« Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ · Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ · Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ · Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασών · Ναασὼν δὲ ἐγέννησε τὸν Σαλμών · Σαλμὼν δὲ ἐγέννησε τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ. » Ῥαχὰβ νομίζουσί τινες εἶναι τὴν Ῥαὰβ ἐκείνην τὴν πόρνην, ἥτις τοὺς κατασκόπους ἐδέξατο τοῦ Ἰησοῦ τοῦ Ναυῆ. Καὶ διέσωσεν αὐτοὺς, καὶ διεσώθη καὶ αὐτή · ἐμνήσθη δὲ ταύτης, ἵνα δηλώσῃ ὅτι ὥσπερ αὕτη πόρνη ἦν, οὕτω καὶ ἡ τῶν ἐθνῶν συναγωγή · ἐξεπόρνευσαν γὰρ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Ἀλλὰ δεξάμενοι τοὺς τοῦ Ἰησοῦ κατασκόπους, ἤτοι τοὺς ἀποστόλους, καὶ πεισθέντες τοῖς λόγοις ἐκείνων, ἐσώθησαν πάντες οἱ ἐξ ἐθνῶν. « Βοὸζ δὲ ἐγέννησε τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ. » Ἡ Ῥοὺθ αὕτη ἀλλόφυλος ἦν, ἀλλ' ὅμως συνεζύγη τῷ Βοόζ · οὕτω καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ἀλλόφυλος οὖσα, καὶ ἔξω τῶν διαθηκῶν, ἐπελάθετο τοῦ λαοῦ αὐτῆς, καὶ τῶν εἰδωλικῶν σεβασμάτων, καὶ τοῦ πατρὸς αὐτῆς τοῦ διαβόλου. Καὶ ἐλήφθη εἰς γάμον τῷ υἱῷ τοῦ Θεοῦ.

**VERS. 5-6.** «Obed autem genuit Jesse, Jesse autem genuit David regem, David autem rex genuit Solomonem ex ea quæ fuit Uriæ.» Hic quoque ejus quæ fuit Uriæ mentionem facit, ut doceat quod nemo debeat erubescere propter progenitores, sed dare magis operam virtute sua illos clariores efficere, et quod omnes accepti sint Deo, etiam e scorto nati, modo virtute sint præditi.

Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί · Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαυῒδ τὸν βασιλέα · Δαυῒδ δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἐκ τῆς τοῦ Οὐρίου. Καὶ πάλιν τῆς τοῦ Οὐρίου μνημονεύει, ἵνα ὑποδείξῃ ὅτι οὐ δεῖ ἐπαισχύνεσθαι τοὺς προπάτορας· ἀλλὰ μᾶλλον σπουδάζειν διὰ τῆς οἰκείας ἀρετῆς λαμπρύνειν κἀκείνους · καὶ ὅτι πάντες δεκτοί εἰσι τῷ Θεῷ, κἂν ἐκ πόρνης γεννηθῶσι, μόνον ἐὰν ἀρετὴν ἔχωσιν.

« Σολομῶν δὲ ἐγέννησε τὸν Ῥοβοάμ· Ῥοβοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά· Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσά· Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ· Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ· Ἰωρὰμ δὲ ἐγέννησε τὸν Ὀζίαν· Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ· Ἰωάθαμ δὲ ἐγέννησε τὸν Ἄχαζ· Ἄχαζ δὲ ἐγέννησε τὸν Ἐζεκίαν· Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆν· Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμών· Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν· Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. » Μετοικεσίαν Βαβυλῶνος λέγει, τὴν αἰχμαλωσίαν ἣν ὕστερον ὑπέστησαν, εἰς Βαβυλῶνα ἀπαχθέντες πάντες ὁμοῦ. Καὶ ἄλλοτε μὲν γὰρ ἐστράτευσαν οἱ Βαβυλώνιοι, ἀλλὰ μετριώτερον αὐτοὺς ἐκάκωσαν· τότε δὲ τελέως αὐτοὺς μετῴκισαν ἀπὸ τῆς πατρίδος.

« Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος, Ἰεχονίας ἐγέννησε τὸν Σαλαθιήλ· Σαλαθιὴλ δὲ ἐγέννησε τὸν Ζοροβάβελ· Ζοροβάβελ δὲ ἐγέννησε τὸν Ἀβιούδ· Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ· Ἐλιακεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ· Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδώκ· Σαδὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ· Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ· Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐλεάζαρ· Ἐλεάζαρ δὲ ἐγέννησε τὸν Ματθάν· Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός. » Τίνος ἕνεκεν γενεαλογεῖ τὸν Ἰωσήφ, καὶ οὐ τὴν Θεοτόκον; Τίς γὰρ μετουσία τῷ Ἰωσὴφ πρὸς τὸν ἄσπορον ἐκεῖνον τόκον; Μὴ γὰρ ἀληθῶς πατὴρ ἦν τοῦ Χριστοῦ ὁ Ἰωσήφ, ἵνα ἀπὸ τοῦ Ἰωσὴφ γενεαλογῇ τὸν Χριστόν· ἄκουε τοίνυν, ὅτι ἀληθῶς οὐδεμίαν μετουσίαν ἔχει ὁ Ἰωσὴφ πρὸς τὴν γέννησιν τοῦ Χριστοῦ· Καὶ ἔδει διὰ τοῦτο τὴν Θεοτόκον γενεαλογηθῆναι· ἀλλ' ἐπειδὴ νόμος ἦν μὴ γενεαλογεῖσθαι γυναῖκας, διὰ τοῦτο οὐκ ἐγενεαλόγησε τὴν Παρθένον· πλήν, τὸν Ἰωσὴφ γενεαλογήσας, καὶ ταύτην ἐγενεαλόγησεν. Ἦν γὰρ νόμος μὴ ἀπὸ ἑτέρας φυλῆς λαμβάνειν γυναῖκας, μηδὲ ἀπὸ ἑτέρας πατριᾶς, ἤτοι συγγενείας, ἀλλ' ἀπὸ τῆς αὐτῆς καὶ φυλῆς καὶ πατριᾶς· ὥστε ἐπεὶ τοιοῦτος ἦν νόμος, πρόδηλον ὅτι καὶ ὁ Ἰωσὴφ γενεαλογούμενος, συνεισάγει τὴν γενεαλογίαν τῆς Θεοτόκου· πάντως γὰρ ἐκ τῆς αὐτῆς φυλῆς ἦν ἡ Θεοτόκος καὶ τῆς αὐτῆς πατριᾶς. Εἰ γὰρ μὴ ἦν, πῶς ἂν ἐμνηστεύθη αὐτῷ; Ὥστε ὁ εὐαγγελιστὴς ἐφύλαξε καὶ τὸν νόμον τὸν κελεύοντα μὴ γενεαλογεῖσθαι γυναῖκας, καὶ οὐδὲν ἧττον ἐγενεαλόγησε τὴν Θεοτόκον, τὸν Ἰωσὴφ γενεαλογήσας· ἄνδρα δὲ Μαρίας ὠνόμασεν αὐτόν, κατὰ τὴν κοινὴν συνήθειαν· καὶ γὰρ τὸν μνηστῆρα, ἔχομεν ἔθος ἄνδρα λέγειν τῆς μνηστευθείσης, κἂν μήπω γάμος προέβη.

« Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυΐδ, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ Δαυΐδ, ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ δεκατέσσαρες. » Εἰς τρεῖς καταστάσεις διεῖλε τὰς γενεάς, ἵνα δείξῃ τοὺς Ἰουδαίους ὅτι καὶ ὑπὸ κριτῶν ἀρχόμενοι, ὡς οἱ ἄχρι τοῦ Δαυΐδ. Καὶ ὑπὸ

A VERS. 7-11. « Salomon autem genuit Roboam, Roboam autem genuit Abia, Abia autem genuit Asa, Asa autem genuit Josaphat, Josaphat autem genuit Joram, Joram autem genuit Oziam, Ozias autem genuit Joathan, Joathan autem genuit Achaz, Achaz autem genuit Ezechiam, Ezechias autem genuit Manassen, Manasses autem genuit Amon, Amon autem genuit Josiam, Josias autem genuit Jechoniam et fratres ejus in transmigratione Babylonis. » Migrationem in Babylonem, vocat captivitatem quam postea omnes tulere, abducti simul omnes in Babylonem Et alias quoque belligerati sunt Babylonii, sed mediocriter eos afflixerunt : tunc autem penitus ipsos a patria sua B migrare fecerunt.

VERS. 12-16. « At post transmigrationem Babylonis, Jechonias genuit Salathiel, Salathiel autem genuit Zorobabel, Zorobabel autem genuit Abiud, Abiud autem genuit Eliachim, Eliachim autem genuit Azor, Azor autem genuit Sadoc, Sadoc autem genuit Achin, Achin autem genuit Eliud, Eliud autem genuit Eleazar, Eleazar autem genuit Matthan, Matthan autem genuit Jacob, Jacob autem genuit Joseph virum Mariæ, ex qua natus est Jesus, qui vocatur Christus. » Quare genealogiam Josephi narrat et non Deiparæ? quæ enim communio Josephi et partus sine semine nati? neque enim vere erat pater Christi Joseph, ut a Joseph C Christi genealogia censeatur. Audi igitur, quod vere nullam communionem habet Joseph cum nativitate Christi, sed oportebat eam propter genealogiam Matris Dei censeri. Verum quia lex erat, mulierum genealogiam non ponere [6], propterea Virginis genealogiam non posuit, sed posita genealogia Josephi, et hujus genealogiam posuit. Erat enim lex non ducendam uxorem ex aliena tribu, neque ex aliena familia in cognatione, sed, ex sua et cognatione et familia : atque adeo quia talis erat lex. manifestum quod et Josephi genealogia posita, genealogiam colligat Matris Dei. Nam ex eadem plane tribu et familia erat Mater Dei. Nam si non fuisset, quomodo fuisset ei desponsata? Atque ita D observavit evangelista legem præcipientem non ponendam mulierum genealogiam, et nihilominus posita Josephi genealogia, 7 genealogiam Matris Dei posuit. Virum autem Mariæ nominavit eum, juxta communem consuetudinem. Etenim mos est sponsum adhuc procum agentem, virum dicere sponsæ, etiamsi nondum habitæ sint nuptiæ.

VERS. 17. « Omnes igitur generationes ab Abraham usque ad David, generationes quatuordecim : et a David usque ad migrationem in Babylonem, generationes quatuordecim : et a migratione in Babylonem usque ad Christum generationes quatuordecim. » In tres ordines distribuit generationes, ut monstraret quod Judæi sive a judicibus

[6] Num. XXXVI, 1.

gubernarentur, ut qui usque ad David : sive a regibus, ut qui usque ad transmigrationem : sive a sacerdotibus, ut qui usque ad Christum : nihil tamen in virtutem profecerunt, et quod opus habuerint vero judice et rege ac sacerdote, qui est Christus. Nam postquam defecerunt reges, venit Christus secundum prophetiam Jacob. Ubi autem sunt a demigratione Babylonica usque ad Christum generationes quatuordecim, cum tredecim tantum personæ reperiantur ? Nam si in genealogia mulier recenseretur, possemus et Mariam connumerare, et complere numerum : nunc autem mulierem diximus ad genealogiam non pertinere, quomodo igitur solvitur hoc ? Dicunt quidam quod et demigrationem posuerit ceu personæ ordinem occupantem.

VERS. 18. « Jesu vero Christi nativitas erat hæc. Nam ut desponsata est mater ejus Maria Josepho » Quare Deus permisit ut ipsa desponsaretur, et omnino suspicionem daret hominibus quasi cognosceret eam Joseph? ut haberet in adversis curatorem : nam hic in fuga in Ægyptum curam ejus habuit, et servavit eam. Est et alia causa, ut lateret diabolum : propterea desponsata est. Diabolus enim cum audisset quod Virgo in utero haberet, observabat Virginem : ut igitur deceptor decipiatur, desponsat Joseph semper Virginem Mariam: et figura quidem fit conjugii, non autem res ipsa. « Priusquam convenirent ipsi, inventa est in utero habens ex Spiritu sancto. » Convenire hic significat congressum. Priusquam enim congrederentur, concepit. Unde et evangelista obstupescit, et clamat : Inventa est quasi de re quadam admirabili dicens.

VERS 19. « Joseph autem vir ejus, cum esset justus, et nollet eam traducere voluit, clam dimittere eam. » Quomodo erat justus Joseph, cum lex præceperit adulteram traducere, hoc est, denuntiare et punire, ipse autem adumbraturus peccatum, et prævaricaturus legem, eam dimittere voluerit ? Solvitur autem hoc, primum quidem, quod propter hoc ipsum justus erat, nolebat enim crudelis esse, sed præ multa benignitate, misericordia eam prosequebatur, ostendens se superiorem lege, et jam super legalia mandata viventem. Deinde quia et ipse cognovit de Spiritu sancto 8 eam concepisse, propterea noluit traducere et affligere eam, quæ de Spiritu sancto, non ex adultero, conceperat. Vide enim quid dicat, quoniam « Inventa est in utero habens. » A quo inventa est ? a Joseph ; hoc est, innotuit quod ex Spiritu sancto concepit Unde clam voluit eam dimittere, quasi non auderet habere uxorem, quæ tantam habebat gratiam.

VERS. 20. « Hæc autem ipso cogitante, ecce Angelus Domini in somno apparuit ei, dicens. » Cum angeretur justus, angelus ei astitit, docens eum quid faciendum esset. In sommo autem ap-

A βασιλέων, ὡς οἱ ἄχρι τῆς μετοικεσίας. Καὶ ὑπὸ ἱερέων, ὡς οἱ ἄχρι τοῦ Χριστοῦ, ὅμως οὐδὲν πρὸς ἀρετὴν ὠφελήθησαν· καὶ ὅτι ἐδέοντο τοῦ ἀληθινοῦ καὶ κριτοῦ καὶ βασιλέως καὶ ἱερέως, ὅς ἐστιν ὁ Χριστός· ἐπιλειψάντων γὰρ τῶν ἀρχόντων, ἦλθεν ὁ Χριστὸς κατὰ τὴν τοῦ Ἰακὼβ προφητείαν· πῶς δὲ εἰσιν ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες, ὅπου δεκατρία πρόσωπα εὑρίσκονται ; Εἰ μὲν γὰρ ἐγενεαλογεῖτο γυνὴ, εἴχομεν ἂν συντάττειν καὶ τὴν Μαρίαν, καὶ συμποσοῦν τὸν ἀριθμόν· νῦν δὲ, οὐ γενεαλογεῖται γυνή· πῶς οὖν λύεται τοῦτο ; Φασί τινες ὅτι καὶ τὴν μετοικεσίαν ὡς προσώπου τάξιν ἔχουσαν ἔθηκεν.

B

« Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ. » Τίνος ἕνεκεν συνεχώρησεν ὁ Θεὸς μνηστευθῆναι ταύτην, καὶ ὅλως δοῦναι ὑπόνοιαν τοῖς ἀνθρώποις, ὅτι συνεγένετο αὐτῇ ὁ Ἰωσήφ ; Ἵνα ἔχῃ τὸν κηδεμόνα ἐν ταῖς συμφοραῖς (1)· οὗτος γὰρ καὶ ἐν τῇ εἰς Αἴγυπτον φυγῇ ἐπεμελήθη αὐτῆς· Καὶ διέσωσεν αὐτήν. Ἅμα δὲ καὶ ἵνα λάθῃ τὸν διάβολον, διὰ τοῦτο ἐμνηστεύθη· ὁ γὰρ διάβολος ἀκούσας ὅτι ἡ Παρθένος ἐν γαστρὶ ἕξει, ἐπετήρει τὴν Παρθένον· ἵνα τοίνυν ἀπατηθῇ ὁ ἀπατεὼν, μνηστεύεται τὴν ἀειπάρθενον ὁ Ἰωσήφ· καὶ σχῆμα μόνον γίνεται συζυγίας, πρᾶγμα δὲ οὔ. « Πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου. » Τὸ

D συνελθεῖν ἐνταῦθα τὴν μίξιν δηλοῖ· πρὶν γὰρ μιγῆναι, συνέλαβεν· ὅθεν καὶ ὁ εὐαγγελιστὴς ἐκπλήττεται, καὶ βοᾷ· Εὑρέθη, ὡς περὶ παραδόξου τινὸς λέγων.

Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. » Πῶς ἦν δίκαιος ὁ Ἰωσὴφ, ὅπου τοῦ νόμου κελεύοντος τὴν μοιχαλίδα παραδειγματίζεσθαι, τουτέστι, φανεροῦσθαι καὶ κολάζεσθαι, αὐτὸς ἔμελλε συσκιάσαι τὸ ἁμάρτημα, καὶ παραβῆναι τὸν νόμον ; Λύεται δὲ τοῦτο, πρῶτον μὲν ὅτι δι' αὐτὸ τοῦτο δίκαιος ἦν. Οὐ γὰρ ἐβούλετο ἀπηνὴς εἶναι, ἀλλ' ἐφιλανθρωπεύετο ἀπὸ πολλῆς χρηστότητος, ἀνώτερον τοῦ νόμου ἑαυτὸν δεικνύων, καὶ ἤδη ὑπὲρ τὰ νομικὰ ἐντάλματα ζῶν. Ἔπειτα, ὅτι καὶ αὐτὸς ἔγνω

D ὡς ἀπὸ Πνεύματος ἁγίου συνέλαβε, καὶ διὰ τοῦτο οὐκ ἠθέλησε τὴν ἀπὸ τοῦ ἁγίου Πνεύματος, καὶ οὐκ ἀπὸ μοιχοῦ, συλλαβοῦσαν παραδειγματίσαι καὶ κακῶσαι, ὅρα γάρ τί φησιν· « Εὑρέθη ἐν γαστρὶ ἔχουσα. » Τίνι εὑρέθη ; Τῷ Ἰωσὴφ, τουτέστι, διεγνώσθη ὅτι ἐκ Πνεύματος ἁγίου συνέλαβεν· ὅθεν ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτὴν, ὡς οὐ τολμῶν ἔτι γυναῖκα ἔχειν, τὴν τοσούτου καταξιωθεῖσαν χαρίσματος.

« Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ, λέγων· » Ὅτε ἠπόρει ὁ δίκαιος, τότε ὁ ἄγγελος ἐπέστη, διδάσκων αὐτὸν τί ποιήσοι. Κατ' ὄναρ δὲ φαίνεται αὐτῷ, διότι

Ex collatione codd. Venet. S. Marci.

(1) Cod. 29 addit, καὶ τοῖς συμβαίνουσι πειρασμοῖς, « et superventuris tentationibus. »

πάνυ πιστὸς ἦν τοῖς μὲν γὰρ ποιμέσι φανερῶς A ἐλάλησεν ὁ ἄγγελος, ὡς ἀγροίκοις· τούτῳ δὲ, ὡς δικαίῳ καὶ πιστῷ, καθ' ὕπνου· πῶς δὲ οὐκ ἔμελλε πιστεῦσαι, ὅταν ὁ ἄγγελος ἐδίδασκεν αὐτὸν περὶ ὧν αὐτὸς κατὰ διάνοιαν εἶχε, καὶ περὶ ὧν οὐκ ἐξεῖπέ τινι; Ἐνθυμηθέντος γὰρ αὐτοῦ, ἀλλ' οὐκ ἐκλαλήσαντος, ἐφίσταται αὐτῷ ὁ ἄγγελος· εἰκότως οὖν ἐπίστευσεν ὅτι ἐκ Θεοῦ ἐστι· Θεοῦ γὰρ τὸ τὰ ἀπόῤῥητα εἰδέναι. « Ἰωσὴφ υἱὸς Δαυΐδ. » Υἱὸν Δαυΐδ εἶπεν αὐτὸν, ἀναμιμνήσκων αὐτὸν, ὅτι ἐκ τοῦ σπέρματος Δαυΐδ προεφητεύετο ὁ Χριστὸς ἔσεσθαι· καὶ ταῦτα λέγων, ὅτι, μὴ ἀπίστει, ἐνθυμηθεὶς τοῦ Δαυΐδ, ὃς ἐπαγγελίαν ἐδέξατο περὶ τοῦ Χριστοῦ. « Μὴ φοβηθῇς παραλαβεῖν. » Δείκνυσιν ἐντεῦθεν, ὅτι ἐφοβεῖτο αὐτὴν ἔχειν, μή πως προσκρούσῃ τῷ Θεῷ, ὡς μοιχαλίδα ἔχων. Ἢ καὶ ἄλλως, μὴ φοβηθῇς, τουτέστι, σὺ μὲν φοβῇ προσάψασθαι αὐτῆς, ὡς ἐκ Πνεύματος ἁγίου συλλαβούσης· ἀλλὰ μὴ φοβοῦ παραλαβεῖν, τουτέστιν, ἔνδον κατέχειν· τῇ γὰρ διανοίᾳ καὶ τῇ ἐνθυμήσει ἤδη ἀπέλυσεν αὐτήν. « Μαριὰμ τὴν γυναῖκά σου. » Τοῦτο λέγει ὅτι, Σὺ μὲν ἴσως νομίζεις ὅτι μοιχαλίς ἐστιν. Ἐγὼ δὲ λέγω σοι ὅτι γυνή σού ἐστι. Τουτέστιν, οὐχ ὑπό τινος διεφθάρη, ἀλλὰ σή ἐστι μνηστή. « Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ Πνεύματός ἐστιν ἁγίου. » Οὐ γὰρ μόνον ἀπήλλακται παρανόμου μίξεως, ἀλλὰ καὶ κατά τινα θειότερον τρόπον συνέλαβεν, ὥστε καὶ χαῖρε διὰ τοῦτο μᾶλλον.

« Τέξεται δὲ υἱόν. » Ἵνα μή τις εἴποι, καὶ πόθεν σοι πιστεύσω, ὅτι ἐκ Πνεύματός ἐστι; Φησὶ περὶ τοῦ μέλλοντος, ὅτι τέξεται υἱόν. Εἰ γὰρ περὶ τούτου C ἀληθεύσω, εὔδηλον ὅτι καὶ τὸ, ἐκ Πνεύματος ἁγίου, ἀληθές ἐστιν· οὐκ εἶπε δὲ, τέξεταί σοι, ἀλλ' ἁπλῶς, τέξεται· οὐ γὰρ ἐκείνῳ ἔτικτεν, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ· οὐδὲ εἰς ἐκεῖνον μόνον ἡ χάρις περιΐστατο, ἀλλ' εἰς πάντας ἐξεχεῖτο. « Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ, Ἰησοῦν. » Σὺ καλέσεις, ὡς δῆθεν πατὴρ, καὶ ὡς κηδεμὼν τῆς Παρθένου· μὴ γὰρ ὑπολάμβανε, Ἰωσὴφ, ὅτι ἐπεὶ ἀπὸ Πνεύματός ἐστιν ἡ σύλληψις, ἀφήσεις τὴν Παρθένον ἀβοήθητον. Ἀλλ' ὑπουργήσεις ἐν ἅπασιν. « Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. » Ἐνταῦθα ἑρμηνεύει, τὸ Ἰησοῦς τί δηλοῖ, ὅτι Σωτήρ. Αὐτὸς γὰρ, φησὶ, σώσει τὸν λαὸν αὐτοῦ οὐ μόνον τὸν Ἰουδαϊκὸν, ἀλλὰ καὶ τὸν ἐθνικὸν, τὸν σπουδάσαντα πιστεῦσαι καὶ γενέσθαι λαὸν αὐτοῦ. Πόθεν δὲ σώσει; Ἆρα ἀπὸ D πολέμων; Οὐχὶ, ἀλλὰ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν· ὅθεν δῆλον ὅτι Θεός ἐστιν ὁ τεχθησόμενος. Θεοῦ γὰρ μόνου τὸ συγχωρεῖν ἁμαρτίας.

« Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος· » Μὴ νομίσῃς ὅτι νεωστὶ ταῦτα ἔδοξε τῷ Θεῷ, ἀλλὰ ἄνωθεν καὶ ἐξ ἀρχῆς. Οἶδας γὰρ, ὦ Ἰωσὴφ, τοὺς προφήτας, ὡς νομομαθής. Καὶ ἐνθυμήθητι τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου· οὐκ εἶπε τὸ ῥηθὲν ὑπὸ Ἡσαΐου, ἀλλ' ὑπὸ τοῦ Κυρίου. Οὐ γὰρ ἄνθρωπος ἐλάλησεν, ἀλλ' ὁ Θεὸς διὰ στόματος τοῦ ἀνθρώπου· ὥστε ἀξιόπιστος ὁ χρησμός.

« Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει. » Φασίν οἱ

A paret ei, quod in fide multum esset firmus. Nam angelus quidem pastoribus, ut agrestibus, manifeste locutus est: huic autem ut justo et fideli, per somnum. Quomodo autem non crediturus esset, cum angelus doceret eum de iis quæ ipse animo versabat, et de iis quæ nulli dixerat? Nam cum ipse cogitaret et non loqueretur, astitit angelus. Merito igitur credidit ex Deo esse. Dei enim est scire quæ non effamur. « Joseph fili David. » Filium David eum dixit, in memoriam reducens quod prædictum erat, futurum Christum ex semine David. Et hæc dicens, admonuit ut non discrederet, sed cogitaret David, qui promissionem acceperat de Christo. « Ne timeas accipere. » Ostendit hic quod metuerit habere eam, ne forte B offenderet Deum, uti adulteram fovens, aut aliter. Ne timeas, hoc est, tu quidem times adjungi illi, quia ex Spiritu sancto concepit, sed ne timeas accipere, hoc est, domi et intus tenere. Cogitatione enim et mente jam amandaverat eam. « Mariam uxorem tuam, » Hoc dicit. Tu quidem fortasse putas adulteram esse: ego autem tibi dico, quod uxor tua sit: hoc est, quod a nullo vitiata, sed tua sit sponsa: « Quod enim in ea natum, ex Spiritu sancto est. » Non enim solum libera est ab illicito coitu, sed et diviniore quodam modo concepit, et propterea rectius gaudere debes.

Vers. 21. « Pariet autem filium. » Ut ne quis dicat, et unde tibi credam quod ex Spiritu sancto C est? dicit de futuro quod paritura sit Filium. Nam si de hoc verum dixero, manifestum est quod et hoc, quod ex Spiritu sancto, verum est. Non dixit autem, pariet tibi, sed simpliciter, pariet. Non enim peperit illi, sed toti orbi: neque illi soli gratia facta est, sed in omnes effusa est. « Et vocabis nomen ejus, Jesum. » Tu vocabis, utpote pater, et curam gerens Virginis, neque suspiceris Joseph quod quia a Spiritu est conceptio, Virginem ideo dimittere debeas adjutorio destitutam, sed ministrabis ei in omnibus. « Is enim salvabit populum suum a peccatis suis. » Hoc loco interpretatur quid significet Jesus, nempe Salvatorem. Ipse enim, inquit, salvabit populum suum: non solum Judaicum, sed et Gentilem, qui credere et fieri D populus ejus non addubitaverit. Quomodo autem salvabit? num ab hostibus? minime, sed a peccatis suis: unde manifestum, Deum esse qui nascetur. Solius enim Dei est condonare peccata.

Vers. 22. « Hoc autem totum factum est, ut adimpleatur quod dictum est a Domino per prophetam, dicentem. » Ne putes, quod nuper hæc placere incœperint Deo, sed superioribus sæculis, et ab initio. Scis enim, o Joseph prophetas: utpote in lege doctus. Et animadverte quod dictum est a Domino. Non autem dixit, dictum ab Isaia, sed a Domino. Non enim homo locutus est, sed Deus per os hominis: unde fide dignum oraculum est.

Vers. 23. « Ecce Virgo in utero habebit. » Dicunt

**Hebræi, quod non habeatur in propheta, Virgo,** A **sed adolescentula.** At quod dicendum quod in Scriptura idem sit adolescentula et virgo. Adolescentulam enim nominat incorruptam, deinde, nisi peperisset Virgo : quomodo futurum erat signum et admirabile? Audi enim Isaiam dicentem : « Propter hoc dabit Dominus ipse vobis signum. » Et statim addit, « Ecce Virgo, » etc. Alioqui si non pareret Virgo, signum non esset. Depravant igitur Hebræi sua malitia Scripturam, et pro Virgine, adolescentulam ponunt. Igitur sive adolescentula vocetur, sive Virgo, omnino Virginem intelligere oportet eam quæ paritura esset, ut et hoc sit miraculum. « Et pariet filium, et vocabunt nomen ejus Emmanuel, quod interpretatur, Nobiscum Deus. » Dicunt Hebræi, Quomodo B igitur non vocatus est Emmanuel, sed Jesus Christus? Dicendum itaque quod non dixit Vocabis, sed Vocabunt, id est, opera ejus demonstrabunt eum Deum esse, et nobiscum conversari. Divina enim Scriptura ex operibus imponit nomina, sicut cum dicit : Voca nomen ejus, Velociter prædare. Et ubi vocatus est quis tali nomine? Quia simul ut natus est Dominus, direptus et captivus adductus est error, sic dicitur nominatus esse appellationem ab opere nactus.

VERS. 24. « Excitatus autem Joseph a somno, fecit ut injunxerat sibi Angelus Domini. » Vide animum alacrem, quomodo statim obedierit. « Et C accepit uxorem suam. » Continuo eam nominat uxorem Josephi, ejiciens malam suspicionem, et docens quod non alterius, sed illius fuerit uxor.

VERS. 25. « Et non cognovit eam, donec peperisset. » Hoc est, non habuit unquam rem cum ea. Hoc enim loco verbum, Donec, non hoc manifestat, quod non cognoverit eam usque ad partum, postea autem cognoverit, sed omnino nunquam eam cognoverit. Hoc enim habet Scripturæ proprietas. Sic cum dicit. « Non reversus 10 est corvus in arcam, donec aresceret terra, » neque enim postea rediit. Sic et alio loco. « Vobiscum sum usque ad consummationem sæculi [7] ; igitur post consummationem non erit vobiscum? Et quomodo? Tunc enim multo D magis erit. Sic igitur et hoc loco, Donec peperisset, intelligas, hoc est, neque ante partum, neque post partum cognovit eam. Quomodo enim attigisset sanctam illam postquam ineffabilem partum cognovisset? « Filium suum primogenitum. » Non quod alio quodam nato dicat eum primogenitum, sed simpliciter ut primum et solum natum. Christus enim et primogenitus est, ut primo natus, et unigenitus, ut non habens alium fratrem. « Et vocavit nomen ejus, Jesum. » Ostendit hoc loco obedientiam Joseph, quia quæcunque dixerat ei angelus, fecit.

A Ἑβραῖοι, ὅτι οὐ κεῖται ἐν τῷ προφήτῃ, παρθένος, ἀλλὰ, νεᾶνις· πρὸς οὓς λεκτέον ὅτι τὸ νεᾶνις καὶ τὸ παρθένος ταυτόν ἐστι παρὰ τῇ Γραφῇ· νεάνιδα γὰρ ὀνομάζει τὴν ἀδιάφθορον· ἔπειτα, εἰ μὴ ἔτεκε παρθένος, πῶς ἔμελλεν εἶναι σημεῖον καὶ παράδοξον; Ἄκουε γὰρ τοῦ Ἡσαΐου λέγοντος· « Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· » καὶ εὐθὺς ἐπάγοντος· « Ἰδοὺ ἡ Παρθένος, » καὶ τὰ ἑξῆς· ὥστε εἰ μὴ ἔμελλε παρθένος τεκεῖν, οὐκ ἂν σημεῖον ἦν. Παραχαράττουσιν οὖν οἱ Ἑβραῖοι ἐθελοκακοῦντες, τὴν Γραφὴν, καὶ ἀντὶ τοῦ παρθένος, νεᾶνις τιθέασιν· εἴτε δὲ νεᾶνις κεῖται, εἴτε παρθένος, πάντως παρθένον δεῖ νοηθῆναι τὴν μέλλουσαν τεκεῖν, ἵνα δὴ καὶ τεράστιον εἴη τοῦτο « Καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ Θεός· Φασὶν οἱ Ἑβραῖοι· Πῶς οὖν οὐκ ἐκλήθη Ἐμμανουὴλ, ἀλλὰ Ἰησοῦς Χριστός; Ῥητέον οὖν ὅτι, οὐκ εἶπε Καλέσεις, ἀλλὰ Καλέσουσι, τουτέστιν, αὐτὰ τὰ πράγματα δείξουσιν αὐτὸν Θεὸν ὄντα, καὶ μεθ' ἡμῶν ἀναστρεφόμενον. ἡ γὰρ θεία Γραφὴ ἀπὸ τῶν ἔργων τίθησι τὰ ὀνόματα, ὡς τὸ, Κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον· καίτοι ποῦ ἐκλήθη τις τοιούτῳ ὀνόματι; Ἀλλ' ἐπειδὴ ἅμα τῷ γεννηθῆναι τὸν Κύριον, ἐσκυλεύθη καὶ ᾐχμαλωτίσθη ἡ πλάνη, οὕτω λέγεται ὀνομασθῆναι ἀπὸ τοῦ πράγματος τὴν κλῆσιν εὑράμενος.

« Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου. Ὅρα ψυχὴν C διεγηγερμένην, πῶς ἐπείσθη ταχέως. « Καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ. » Συνεχῶς δὲ ὀνομάζει αὐτὴν γυναῖκα τοῦ Ἰωσὴφ, ἐκβάλλων τὴν πονηρὰν ὑπόνοιαν, καὶ διδάσκων ὅτι οὐκ ἄλλου τινὸς ἐγένετο γυνὴ, ἀλλ' αὐτοῦ ἦν.

Καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκεν· Τουτέστιν, οὐκ ἐμίγη αὐτῇ οὐδέποτε· τὸ γὰρ Ἕως, ἐνταῦθα οὐ τοῦτο ἐμφαίνει, ὅτι ἄχρι μὲν τοῦ τόκου οὐκ ἔγνω, μετὰ δὲ ταῦτα ἔγνω· ἀλλὰ καθάπαξ οὐδέποτε αὐτὴν ἔγνω. Ἰδίωμα δὲ ἔχει τοιοῦτον ἡ Γραφή· ὡς τὸ, « Οὐκ ἐπέστρεψεν ὁ κόραξ εἰς τὴν κιβωτὸν, ἕως οὗ ἐξηράνθη ἡ γῆ· οὔτε γὰρ μετὰ ταῦτα ὑπέστρεψε· καὶ πάλιν· « Μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος· » Μετὰ δὲ τὴν συντέλειαν ἆρα οὐκ ἔσται; Καὶ πῶς; Τότε γὰρ μᾶλλον· οὕτως οὖν καὶ ἐνταῦθα D τὸ, Ἕως οὗ ἔτεκε, νοήσεις, ἀντὶ τοῦ, οὔτε πρὸ τοῦ τόκου, οὔτε μετὰ τὸν τόκον ἔγνω αὐτήν. Πῶς γὰρ ἂν ἥψατο τῆς ἁγίας ἐκείνης, μεθ' ὃ μάλιστα ἔγνω τὸν ἄφραστον ἐκεῖνον τόκον; « Τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον. » Οὐχ ὡς δευτέρου τινὸς τεχθέντος λέγει τοῦτον πρωτότοκον, ἀλλ' ἁπλῶς, ὡς πρῶτον τεχθέντα καὶ μόνον. Ὁ γὰρ Χριστὸς, καὶ πρωτότοκός ἐστιν, ὡς πρῶτος τεχθείς· καὶ μονογενὴς, ὡς μὴ ἔχων δεύτερον ἀδελφόν. « Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, Ἰησοῦν. » Δείκνυσι κἀνταῦθα τὴν εὐπείθειαν τοῦ Ἰωσὴφ, ὅτι ὅσα εἶπεν αὐτῷ ὁ ἄγγελος, ἐποίησεν.

[7] Matth. XXVIII, 20.

## ΚΕΦΑΛ. Β'.

*Περὶ τῶν Μάγων, καὶ τῶν ἀναιρεθέντων παίδων.*

« Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. » Βηθλεὲμ ἑρμηνεύεται οἶκος ἄρτου. Ἰουδαία δὲ, ἐξομολόγησις. Γένοιτο γοῦν καὶ ἡμᾶς νῦν διὰ τῆς ἐξομολογήσεως, γενέσθαι οἶκον ἄρτου τοῦ πνευματικοῦ. « Ἐν ἡμέραις Ἡρώδου. » Μέμνηται τοῦ Ἡρώδου, ἵνα σὺ μάθῃς ὅτι ἐξέλιπον οἱ ἀπὸ τῆς Ἰούδα φυλῆς ἄρχοντες καὶ βασιλεῖς, καὶ ἀναγκαίως ἦλθεν ὁ Χριστός. Ὁ γὰρ Ἡρώδης οὐκ ἦν Ἰουδαῖος, ἀλλ' Ἰδουμαῖος, Ἀντιπάτρου υἱὸς, ἐκ γυναικὸς Ἀραβίσσης. Ἐκλιπόντων δὲ τῶν ἀρχόντων, ἡ προσδοκία τῶν ἐθνῶν ἦλθεν, ὡς Ἰακὼβ προεφήτευσεν. « Τοῦ βασιλέως. » Ἦν γὰρ καὶ ἕτερος Ἡρώδης, ὁ τετράρχης· διὰ τοῦτο τίθησι τὸ ἀξίωμα τοῦ βασιλέως· « Ἰδοὺ Μάγοι ἀπὸ Ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα. » Τίνος ἕνεκεν οἱ Μάγοι ἔρχονται; Πρὸς κατάκρισιν τῶν Ἰουδαίων. Εἰ γὰρ οἱ Μάγοι, ἄνθρωποι εἰδωλολάτραι, ἐπίστευσαν, ποία ἀπολογία λοιπὸν τοῖς Ἰουδαίοις; Ἅμα δὲ, καὶ ἵνα ἡ δόξα τοῦ Χριστοῦ πλέον ἐκλάμψῃ, μαρτυρούντων τῶν Μάγων, τῶν μάλιστα τοῖς δαίμοσιν ὑποκειμένων, καὶ ἐχθρῶν τοῦ Θεοῦ. « Ἀπὸ Ἀνατολῶν » Καὶ τοῦτο πρὸς κατάκρισιν τῶν Ἑβραίων. Οἳ μὲν γὰρ ἀπὸ τοσούτου διαστήματος ἦλθον, οἱ δὲ Ἑβραῖοι αὐτοῦ ἔχοντες τὸν Χριστὸν, ἐδίωκον.

Λέγοντες, Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; » Λέγουσι τούτους τοὺς Μάγους, τοῦ Βαλαὰμ ἀπογόνους εἶναι τοῦ μάντεως· εὑρόντας δὲ τὸν ἐκείνου χρησμὸν, τὸ, Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, νοῆσαι τὸ κατὰ Χριστὸν μυστήριον, καὶ διὰ τοῦτο ἐλθεῖν, θέλοντας ἰδεῖν τὸ τεχθέν. « Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ Ἀνατολῇ. » Ὅταν ἀκούσῃς ἀστέρα, μὴ νομίσῃς τοιοῦτον εἶναι ἐκεῖνον, οἵους ὁρῶμεν, ἀλλὰ θείαν δύναμιν καὶ ἀγγελικὴν, εἰς τύπον ἀστέρος φαινομένην. Ἐπεὶ γὰρ οἱ Μάγοι ἀστρολόγοι ἦσαν, διὰ τοῦ συνήθους αὐτοῖς προσηγάγετο αὐτοὺς ὁ Κύριος, ὥσπερ καὶ τὸν Πέτρον, ἁλιέα ὄντα, ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων ὧν ἐσαγήνευσεν ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, ἐξέπληξεν. Ὅτι δὲ ἀγγελικὴ δύναμις ἦν ὁ ἀστὴρ, δῆλον ἀπὸ τοῦ καὶ ἐν ἡμέρᾳ ὑπερλάμπειν, καὶ ἀπὸ τοῦ κινεῖσθαι μὲν, κινουμένων τῶν Μάγων, ἵστασθαι δὲ, ἀναπαυομένων· ἀλλὰ καὶ ἀπὸ τοῦ βορείου μέρους, ὅ ἐστι τῆς Περσίδος, εἰς τὸ νότιον ἐκινεῖτο, ὅ ἐστι τῆς Ἱερουσαλήμ. Οὐδέποτε δὲ ἀστὴρ ἀπὸ τοῦ βορείου ἐπὶ τὸ νότιον κινεῖται. « Καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. » Φαίνονται οὗτοι οἱ Μάγοι, μεγάλης ἀρετῆς ὄντες. Εἰ γὰρ ἐν τῇ ξένῃ χώρᾳ προσκυνεῖν ἤθελον, πῶς οὐκ ἂν ἐν τῇ Περσίδι ἐπαῤῥησιάσαντο καὶ ἐκήρυξαν;

« Ἀκούσας δὲ Ἡρώδης ὁ βασιλεὺς, ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ. » Ὁ μὲν Ἡρώδης ἐταράχθη, ὡς ἀλλόφυλος περὶ τῆς βασιλείας δεδοικώς· ἐγίνωσκε γὰρ ὅτι ἀνάξιος ἦν ταύτης· οἱ δὲ Ἰουδαῖοι, τίνος ἕνεκεν ταράττονται; Ἔδει γὰρ αὐτοὺς μᾶλλον χαίρειν, ὅτι βασιλεὺς αὐτοῖς ἔσται, ὑπὸ τῶν

A

## CAPUT II.

*De Magis et occisione puerorum.*

VERS. 1. « Cum autem natus esset Jesus in Bethleem Judæ, » Bethleem interpretatur domus panis; Judæa autem, confessio. Fiat igitur, ut nos nunc per confessionem fiamus domus panis spiritualis. « In diebus Herodis. » Meminit Herodis, ut tu discas quod defecerunt a tribu Juda reges et principes, et necessario venit Christus. Herodes enim non erat Judæus sed Idumœus, Antipatri filius ex uxore Arabe. Cum autem defecissent principes, exspectatio gentium venit, sicut Jacob prædixit[8]. « Regis. » Erat enim et alius Herodes Tetrarcha: et propterea ponit dignitatem regis. « Ecce Magi ab Oriente venerunt Hierosolyma. »
B Quare Magi veniunt? In condemnationem Judæorum. Nam si Magi, homines cultui idolorum dediti, crediderunt, quam postea defensionem prætexent Judæi? Et alia causa est, ut gloria Christi magis effulgeret, testimonium perhibentibus Magis, qui maxime adversarii erant Deo, et obnoxii dæmonibus. « Ab Oriente. » Et hoc ad condemnationem Hebræorum pertinet. Illi enim per tantum spatium venerunt: Hebræi vero Christum, quem apud se habebant, persecuti sunt.

VERS. 2. « Dicentes, Ubi est, qui natus est Rex Judæorum? » Ferunt illos Magos fuisse ex Balaam conjectore progenitos. Nam ut invenerunt oraculum illius, Orietur stella ex Jacob, intelle-
C xerunt mysterium Christi, et idcirco natum adire voluerunt. « Vidimus enim stellam ejus in Oriente. » Quando audis stellam, ne talem putes illam, quales videmus, sed divinam virtutem et angelicam in 11 figura sideris apparentem. Nam quoniam astrologi Magi erant, propterea Dominus familiari ipsis signo eos adduxit, sicut et Petrum piscatorem a multitudine piscium, quos in nomine Christi ceperat, stupescere fecit. Quod autem angelica virtus fuerit stella, manifestum ex eo, quod et in die refulserit, et ad motum Magorum se moverit, et ad quietem eorum quieverit. Quin et a septentrionali parte, quæ est Persidis, ad meridiem, in qua est Hierusalem, movebatur.
D Nunquam autem stella a septentrione ad meridiem vertitur. « Et venimus, ut adoremus eum. » Videntur hi Magi magna virtute præditi. Nam si in aliena regione adorare voluerunt, quomodo non in Perside ipsa magna libertate prædicaverunt?

VERS. 3. « Herodes autem rex ut audivit, turbatus est, et omnis Hierosolyma cum illo. » Herodes quidem turbatus est, ut alienigena, regno suo timens, sciebat enim quod illo indignus esset. Judæi autem quare turbantur? oportebat enim gaudere potius, quod regem ipsi habituri essent,

[8] Gen. XLIX, 3 seqq.

qui a Persicis regibus adoraretur, sed revera insipiens res est malitia.

VERS. 4. « Et congregatis omnibus pontificibus et scribis populi, interrogavit eos, ubi nascatur Christus. » Scribæ erant doctores populi, quales sunt quos nos dicimus grammaticos. Singulari autem Dei dispensatione interrogantur illi, ut confiteantur veritatem, et ex hoc condemnentur, quod illum crucifixerunt, quem prius confessi sunt.

VERS. 5. « At illi dixerunt ei, in Bethleem Judææ. Sic enim scriptum est per prophetam. » Per quem prophetam ? Per Michæam. Ille enim dicit :

VERS. 4. « Et tu Bethleem terra Juda, nequaquam minima es in principibus Juda. » Contempta enim erat ut puto parva : nunc autem quia ex ea prodiit Christus, celebris est. Omnes enim ex finibus terræ veniunt, et sanctam hanc adorant Bethleem. » Ex te enim egressurus est dux. » Recte egressurus est, inquit, et non in te manebit. Non enim mansit Christus in Bethleem, sed ex ea postquam natus est exiit, et in Nazareth frequenter conversatus est. Dicunt autem Judæi quod hoc prædictum sit de Zorobabel; sed mentiuntur manifeste. Etenim Zorobabel non in Bethleem natus est, sed in Babylone. Vide enim nomen ejus, Zoro significat semen et nativitatem : Babel autem Babylona, hoc est, qui natus vel genitus est in Babylone. Sed et prophetia manifeste arguit eos, dicens : « Egressus ejus a principio, a diebus æternitatis[9]. » Cujus autem alterius egressus sunt ab initio, et a 12 diebus æternitatis quam Christi? qui duos egressus habuit, hoc est nativitates. Nam prima ejus nativitas, ab initio fuit a Patre, secunda autem fuit a diebus sæculi, principium sumens a Matre Dei, quæ in tempore fuit. Dicant igitur Judæi, num Zorobabel ab initio fuerit? sed non habent quod dicant : « Qui pascet populum meum Israel. » Pascet dixit, non tyrannidem exercebit, vel devorabit. Alii enim reges non pastores, sed lupi sunt : Christus autem pastor, sicut ipse dicit : « Ego sum pastor bonus[10]. » Populum Israel dicit, tam eos qui ex Judæis, quam qui ex Gentibus crediderunt; Israel enim interpretatur, videns Deum. Unde omnes Deum videntes, Israelitæ sunt, etiamsi ex Gentibus nati sint.

VERS. 7. « Tunc Herodes clam vocatis Magis. » Clanculo illos vocavit, propter Judæos. Suspicabatur enim quod Judæi fortassis puerum facturi essent magni, et curaturi ut servarent eum, utpote liberatorem suum, et propterea clam insidiatur. « Diligenter quæsivit ab eis tempus stellæ quæ apparuit. » Hoc est, accurate didicit. Stella enim antequam natus esset Dominus, apparuerat Magis, quoniam multum temporis in iter insumpturi erant, ideo multo ante apparuit stella, ut adorarent

A Περσικῶν βασιλέων προσκυνούμενος, ἀλλ' ὄντως ἀνόητον χρῆμα ἡ πονηρία.

« Καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται. » Γραμματεῖς ἦσαν οἱ διδάσκαλοι τοῦ λαοῦ, ὥσπερ οὓς ἡμεῖς λέγομεν γραμματικούς. Οἰκονομεῖ δὲ ὁ Θεὸς ἐρωτηθῆναι τούτους, ἵνα ὁμολογήσωσι τὴν ἀλήθειαν, καὶ ἐκ τούτου ὦσι κατακεκριμένοι, αὐτοὶ τοῦτον σταυρώσαντες ὃν ὡμολόγησαν πρότερον.

« Οἱ δὲ εἶπον αὐτῷ, Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου. » Προφήτου ποίου ; Τοῦ Μιχαίου. Ἐκεῖνος γὰρ φησιν,

B « Καὶ σὺ, Βηθλεὲμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. » Μικρᾶς γὰρ οὔσης ταύτης κατεφρόνουν· νῦν δὲ διὰ τὸν ἐκ ταύτης προελθόντα Χριστὸν, περιβόητός ἐστι. Πάντες γὰρ ἐκ περάτων τῆς γῆς ἔρχονται, προσκυνήσοντες ταύτην τὴν ἁγίαν Βηθλεέμ. « Ἐκ τοῦ γὰρ ἐξελεύσεται ἡγούμενος. » Καλῶς εἶπε τὸ, ἐξελεύσεται, καὶ οὐχὶ, ἐν σοὶ μενεῖ. Οὐ γὰρ ἔμεινεν ὁ Χριστὸς ἐν τῇ Βηθλεὲμ, ἀλλ' ἐκ ταύτης μὲν ἐξῆλθε, μετὰ τὸ γεννηθῆναι, ἐν δὲ τῇ Ναζαρὲτ τὰ πλεῖστα διέτριβε. Λέγουσι δὲ οἱ Ἰουδαῖοι ὅτι περι τοῦ Ζοροβάβελ τοῦτο προεφητεύθη. Ψεύδονται δὲ προφανῶς. Καὶ γὰρ Ζοροβάβελ, οὐκ ἐν τῇ βηθλεὲμ ἐγεννήθη, ἀλλ' ἐν τῇ Βαβυλῶνι. Ἴδε γὰρ τὸ ὄνομα αὐτοῦ· Ζορὸ, δηλοῖ τὴν σπορὰν καὶ τὴν γέννησιν· Βαβὲλ δὲ, τὴν Βαβυλῶνα, τουτέστιν, ὁ ἐν Βαβυλῶνι σπαρεὶς ἢ γεννηθείς. Ἀλλὰ
C καὶ ἡ προφητεία φανερῶς ἐλέγχει αὐτοὺς, λέγουσα· « Αἱ ἔξοδοι αὐτου ἀπ' ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος. » Τίνος δὲ ἄλλου αἱ ἔξοδοί εἰσι καὶ ἀπ' ἀρχῆς, καὶ ἐξ ἡμερῶν αἰῶνος ἢ τοῦ Χριστοῦ ; Ὃς δύο ἐξόδους ἔσχεν, ἤτοι γεννήσεις· ἀλλ' ἡ μὲν πρώτη γέννησις, ἀπ' ἀρχῆς ἐκ τοῦ Πατρὸς, ἡ δὲ δευτέρα, ἐξ ἡμερῶν αἰῶνος, ἀπὸ τῆς Θεοτόκου ἀρξαμένη, καὶ ὑπὸ χρόνον οὖσα. Εἰπάτωσαν οὖν οἱ Ἰουδαῖοι, ἐὰν ὁ Ζοροβάβελ ἀπ' ἀρχῆς ἐγένετο ; Ἀλλ' οὐκ ἔχουσιν εἰπεῖν· « Ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. » Ποιμανεῖ εἶπεν ἀλλ' οὐ τυραννήσει, ἢ καταφάγεται. Οἱ μὲν γὰρ ἄλλοι βασιλεῖς, οὐ ποιμένες, ἀλλὰ λύκοι· ὁ δὲ Χριστὸς, ποιμὴν, ὡς καὶ αὐτὸς λέγει· « Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. » Λαὸν δὲ Ἰσραὴλ λέγει, καὶ τοὺς ἐξ Ἑβραίων
D πιστεύσαντας, καὶ τοὺς ἐξ ἐθνῶν. Ἰσραὴλ γὰρ ἑρμηνεύεται, ὁρῶν Θεὸν, ὥστε πάντες οἱ Θεὸν ὁρῶντες, Ἰσραηλῖταί εἰσιν, κἂν ἐξ ἐθνῶν ὦσιν.

« Τότε ὁ Ἡρώδης λάθρα καλέσας τοὺς Μάγους. » Λάθρα τούτους ἐκάλεσε, διὰ τοὺς Ἰουδαίους. Ὑπώπτευε γὰρ ὅτι οἱ Ἰουδαῖοι ἴσως περὶ πολλοῦ ποιήσονται τὸ παιδίον, καὶ φροντίσουσι τοῦ σῶσαι αὐτὸ, ὡς μέλλον ἐλευθερῶσαι αὐτούς. Διὰ τοῦτο οὖν λάθρα ἐπιβουλεύει. « Ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος. » Τουτέστιν, ἀκριβῶς ἀνέμαθεν. Ὁ γὰρ ἀστὴρ, πρὸ τοῦ γεννηθῆναι τὸν Κύριον, ἐφάνη τοῖς Μάγοις· ἐπεὶ γὰρ ἔμελλον πολὺν ἀναλίσκειν χρόνον κατὰ τὴν ὁδοιπορίαν, διὰ τοῦτο

[9] Mich. v, 2. [10] Joan. x, 11.

πρὸ πολλοῦ ἐφάνη ὁ ἀστὴρ, ὡς ἂν προσκυνήσωσιν A αὐτὸν ἔτι ἐν τοῖς σπαργάνοις ὄντα. Τινὲς δὲ λέγουσιν, ὅτι ἅμα τῷ γεννηθῆναι τὸν Χριστὸν, ἐφάνη ὁ ἀστὴρ, καὶ οἱ Μάγοι διὰ δύο ἐτῶν ἦλθον, καὶ οὐκ ἐν σπαργάνοις εὗρον τὸν Κύριον, οὐδὲ ἐν τῇ φάτνῃ, ἀλλ' ἐν οἰκίᾳ μετὰ τῆς μητρὸς, διετῆ ὄντα. Ἀλλὰ σὺ τὸ προῤῥηθὲν ἔχε κρεῖττον.

« Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ, εἶπε, Πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου. » Οὐκ εἶπε περὶ τοῦ βασιλέως, ἀλλὰ περὶ τοῦ παιδίου· οὐδὲ γὰρ τὸ ὄνομα ἀνέχεται· ὅθεν δεικνύει ὅτι μαίνεται κατ' αὐτοῦ.

« Ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν. » Ἄδολοι γὰρ ὄντες αὐτοὶ, B ἐνόμιζον κἀκεῖνον ἀδόλως λέγειν· « Καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ Ἀνατολῇ, προῆγεν αὐτούς. » Ἀπεκρύβη πρὸς μικρὸν ὁ ἀστὴρ οἰκονομικῶς, ἵνα ἐρωτήσωσιν αὐτοὶ τοὺς Ἰουδαίους, καὶ ταραχθῇ ὁ Ἡρώδης, καὶ οὕτω περιφανεστέρα γένηται ἡ ἀλήθεια. Ἐξελθοῦσι δὲ αὐτοῖς ἀπὸ τῆς Ἱερουσαλὴμ, πάλιν ἐφάνη, χειραγωγῶν αὐτούς. Ὅθεν δῆλον ὅτι θεία δύναμις ἦν ὁ ἀστὴρ. « Ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. » Καὶ τοῦτο ξένον. Κατέβη γαρ ὁ ἀστὴρ ἀπὸ τοῦ ὕψους, καὶ προσγειότερος γενόμενος, ἔδειξεν αὐτοῖς τὸν τόπον. Εἰ γὰρ ἐξ ὕψους αὐτοῖς ἐφαίνετο, πῶς ἂν ἔμελλον ἰδικῶς γνωρίσαι τὸν τόπον ἔνθα ἦν ὁ Χριστός; Οἱ γὰρ ἀστέρες πολὺν τόπον περιλαμβάνουσιν. Ὅθεν καὶ σὺ ἐπάνω τῆς σῆς οἰκίας βλέπεις τὴν σελήνην τυχὸν, κἀγὼ δοκῶ ταύτῃ ἀνωτέρω εἶναι C τῆς ἐμῆς οἰκίας μόνης. Καὶ πάντες ἁπλῶς, δοκοῦσιν ἕκαστος ἐπάνω αὐτοῦ μόνου ἵστασθαι τὴν σελήνην ἢ ἄλλον ἀστέρα. Κἀκεῖνος οὖν ὁ ἀστὴρ οὐκ ἂν ἔδειξε τὸν Χριστὸν, εἰ μὴ συγκατέβη, καὶ μονονουχὶ ἐπάνω τῆς κεφαλῆς τοῦ παιδίου ἔστη.

« Ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. » Ὡς οὐ πλανηθέντες, ἀλλ' εὑρόντες τὸ ζητούμενον, ἐχάρησαν.

« Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ. » Ἅμα μὲν τῷ γεννηθῆναι, ἐν τῇ φάτνῃ κατέκλινεν ἡ Παρθένος τὸ παιδίον, οὐ γὰρ εὕρισκον τότε οἰκίαν· μετὰ ταῦτα δὲ εἰκός ἐστιν εὑρεῖν οἰκίαν, ἔνθα καὶ οἱ Μάγοι εὗρον αὐτούς. Ἀνέβησαν μὲν γὰρ εἰς Βηθλεὲμ, ἵνα ἀπογράφωσιν ἐκεῖ, καθὰ καὶ Λουκᾶς λέγει. Πολλοῦ δὲ D πλήθους συντρέχοντος διὰ τὴν ἀπογραφὴν, οὐκ ἔσχον πρὸς καιρὸν οἰκίαν, ἀλλ' ἐν τῷ σπηλαίῳ ἐτέχθη· εἶτα εὑρέθη ἡ οἰκία, ἔνθα ὡράθη τοῖς Μάγοις ὁ Κύριος. « Καὶ πεσόντες προσεκύνησαν αὐτῷ. » Ἴδε ψυχῆς ἔλλαμψιν. Πένητα ἔβλεπον, καὶ προσεκύνουν. Ἐπληροφορήθησαν γὰρ ὅτι Θεός ἐστι, διὸ καὶ προσάγουσιν αὐτῷ δῶρα, ὡς Θεῷ καὶ ὡς ἀνθρώπῳ. Ἄκουε γάρ· « Καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν. » Τὸν μὲν χρυσὸν, προσήγαγον αὐτῷ, ὡς βασιλεῖ. Τῷ γὰρ βασιλεῖ χρυσὸν τελοῦμεν οἱ ὑπὸ χεῖρα. Τὸν δὲ λίβανον, ὡς Θεῷ. Τῷ γὰρ Θεῷ λίβανον θυμιῶμεν. Τὴν δὲ σμύρναν, ὡς μέλλοντι γεύσασθαι θανάτου. Μετὰ γὰρ τῆς σμύρνης ἐνταφιάζουσιν οἱ

eum adhuc in fasciis jacentem. Aliqui autem dicunt, quod cum Christo nato apparuerit stella, et Magi per biennium venerunt, et non in fasciolis invenerunt puerum, neque in præsepio; sed in domo cum matre bimum. Sed tu priorem sententiam ut meliorem habe.

VERS. 8. « Et missis eis in Bethleem, dixit, Ite et diligenter inquirite de puero hoc. » Non dixit de rege, sed de puero : neque enim nomen ferre poterat : demonstrans quantum contra illum insaniret.

VERS 8, 9. « Ubi vero repereritis, renuntiate mihi, ut et ego veniam et adorem illum. At illi, audito rege, profecti sunt. » Ipsi cum dolo carerent, putabant et illum absque dolo loqui. « Et ecce stella, quam viderant in Oriente, præcessit eos. » Occulta erat ad parvum tempus stella singulari dispensatione, ut Judæos interrogarent, et turbaretur Herodes, atque ita manifestior fieret veritas. Ut autem ipsi egressi sunt a Jerusalem, iterum apparuit, ducens eos. Unde manifestum quod stella erat virtus divina. « Donec progressa staret supra ubi erat puer » Et hoc rarum. Descendit enim stella a summitate, et terræ propior facta, ostendit eis locum. Nam si ex summitate apparuisset, quomodo certiores fieri potuissent de loco in quo esset Christus? Stellæ enim multum locum comprehendunt. Unde tu supra domum tuam **13** vides lunam forte, et ego eamdem video nonnisi supra domum meam : et unicuique videtur stare non nisi supra domum suam lunam vel aliam stellam. Unde et illa stella non demonstrasset Christum, nisi descendisset, et tantum non supra caput pueri stetisset.

VERS. 10. « Visa autem stella, gavisi sunt gaudio magno valde. » Quod non aberrassent, sed invenissent quod quærebant, gavisi sunt

VERS. 11. « Et ingressi domum, viderunt puerum cum Maria Matre ejus » Mox quidem ut natus fuit, reclinavit Virgo puerum in præsepium, non enim tunc invenerant domum. Verisimile autem est postea eos invenisse domum, ubi et Magi invenerunt eos. Ascenderant enim in Bethleem, ut recenserentur illic, sicut et Lucas dicit. Multa autem concurrente multitudine ut censeretur, non habebant ad tempus domum, sed in spelunca natus est : deinde inventa domo, visus ibi est a Magis Dominus. « Et cum procidissent, adoraverunt illum. » Vide animæ illustrationem. Pauperem videbant et adorabant. Multis enim argumentis didicerant quod esset Deus, ideo et ei offerunt munera ut Deo et ut homini. Audi enim, « Et apertis thesauris suis, obtulerunt ei dona, aurum et thus et myrrham. » Aurum quidem obtulerunt ei, ut regi. Aurum enim subditi regibus pendimus. Thus autem, ut Deo. Deo enim thus adolemus. Myrrham vero, ut degustaturo mortem. Nam Judæi cum myrrha mortuos sepeliunt, ut corpus maneat

incorruptum. Myrrha enim cum sicca sit, aretacit et ex siccat humiditatem, et non sinit innasci vermes. Vides Magorum fidem, quod et a prophetia Balaam didicerunt Dominum et Deum et regem esse, ac pro nobis moriturum. Audi autem prophetiam. Recubans, inquit, requievit ut leo (*a*) et ut catulus leonis [11]. Ecce regiam dignitatem per leonem significat, mortalitatem autem dum ait, recubans. Qui benedicunt te, benedicentur: ecce et deitatem. Sola enim Dei natura hanc benedictionis virtutem habet.

VERS. 12. « Et oraculo accepto in somnis, ne reverterentur ad Herodem, per aliam viam redierunt in regionem suam. » Vide consequentiam, primum Deus illos ad fidem per stellam adduxit: deinde cum venerunt in Hierosolymam, docuit eos per prophetam, quod in Bethleem nascatur: et tandem, per angelum. Et illi obediunt oraculo, hoc est, divino colloquio. Oraculo igitur accepto, id est, revelatione a Deo habita, imposuerunt Herodi, et non timuerunt ne forte insectaretur, sed confisi sunt virtute nati, verique testes fuerunt.

VERS. 13. « Digressis autem illis, ecce angelus Domini in somnis apparet Joseph, dicens, Surge, et accipe puerum et matrem ejus. » Vidisti quam ob **14** causam permiserit Deus desponsari virginem? Hic enim apparet quod a Deo factum est, ut diligentem ejus curam Joseph gereret. Non dixit autem, accipe uxorem tuam, sed matrem pueri. Nam quoniam suspicio soluta fuit, et justus per miracula in partu facta compertum habuit ex Spiritu sancto esse omnia, non ultra uxorem ejus illam nominat. « Et fuge in Ægyptum. » Fugit et Dominus, ut credatur quod revera homo sit. Nam si in manus incidisset Herodis, et non fuisset occisus, opinati fuissent incarnatum eum apparenter. In Ægyptum autem fugit, ut et illam sanctificet. Duæ enim sunt regiones omnis nequitiæ officinæ, Babylon videlicet et Ægyptus. Babylonem per Magos suscepit adorantem: Ægyptum autem sua præsentia sanctificavit. « Et esto illic, donec dixero tibi. » Esto pro eris illic, donec a Deo jussus fueris. Oportet enim nos nihil facere præter divinam voluntatem. « Quæsiturus enim est Herodes puerum, ut perdat illum. » Vide incogitantiam hominis, qui laborat ut divinam vincat voluntatem. Nam si quidem non est ex Deo, quid times? sin ex Deo est, quomodo perdes puerum?

VERS. 14, 15. « Ille autem excitatus accepit puerum et matrem ejus nocte, et secessit in Ægyptum, et fuit illic usque ad obitum Herodis: ut impleretur quod dictum est a Domino per prophetam, dicentem: Ex Ægypto vocavi Filium meum. » Dicunt Judæi, quod propter populum dictum sit hoc, qui

A Ἰουδαῖοι, διὰ τὸ μένειν τὸ σῶμα ἄσηπτον. Ἡ γὰρ σμύρνα, ξηρὰ οὖσα, ξηραίνει τὴν ὑγρότητα, καὶ οὐκ ἐῇ σκώληκας γεννᾶσθαι. Ὁρᾷς τῶν Μάγων τὴν πίστιν; Ἐπεὶ καὶ ἀπὸ τῆς προφητείας τοῦ Βαλαὰμ ἐδιδάχθησαν, τὸν Κύριον, καὶ Θεὸν εἶναι καὶ βασιλέα, καὶ ὑπὲρ ἡμῶν τεθνηξόμενον. Ἄκουσον δὲ τῆς προφητείας· Κατακλιθεὶς, φησὶν, ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος. Ἰδοὺ τὸ βασιλικὸν, διὰ τοῦ λέοντος, διὰ δὲ τοῦ, κατακλιθεὶς, ἡ νέκρωσις. Οἱ εὐλογοῦντές σε, εὐλόγηνται· ἰδοὺ ἡ θεότης. Τὴν γὰρ τῆς εὐλογίας δύναμιν μόνη ἡ θεία φύσις ἔχει.

« Καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. » Ἴδε ἀκολουθίαν, πρῶτον δι' ἀστέρος B ἐχειραγώγησεν αὐτοὺς ὁ Θεὸς εἰς τὴν πίστιν· εἶτα ἐλθόντας εἰς Ἱεροσόλυμα, ἐδίδαξεν αὐτοὺς διὰ τοῦ προφήτου, ὅτι ἐν Βηθλεὲμ γεννᾶται· καὶ τελευταῖον, διὰ τοῦ ἀγγέλου. Οἱ δὲ πείθονται τῷ χρηματισμῷ, τουτέστι, τῇ θείᾳ ὁμιλίᾳ. Χρηματισθέντες οὖν, ἤτοι παρὰ τοῦ Θεοῦ ἀποκάλυψιν δεξάμενοι, ἠπάτησαν Ἡρώδην· καὶ οὐκ ἐφοβήθησαν μήπως ἐπιδιωχθῶσιν, ἀλλ' ἐθάῤῥησαν τῇ τοῦ γεννηθέντος δυνάμει, οὕτως ἦσαν μάρτυρες ἀληθεῖς.

« Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσὴφ, λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ. » Εἶδες διὰ ποίαν αἰτίαν συνεχώρησεν ὁ Θεὸς μνηστευθῆναι τὴν Παρθένον; Ἐνταῦθα γὰρ προφαίνεταί σοι, διὰ τὸ ἐπιμελεῖσθαι ταυτης καὶ κήδεσθαι. Οὐκ εἶπε δὲ, πα- C ράλαβε τὴν γυναῖκά σου, ἀλλὰ τὴν μητέρα τοῦ παιδίου. Ἐπεὶ γὰρ ἡ ὑποψία ἐλύθη, καὶ ἐπληροφορήθη ὁ δίκαιος ἀπὸ τῶν ἐν τῷ τόκῳ θαυμάτων, ὅτι ἐκ Πνεύματος ἁγίου ἐστὶ πάντα, οὐκ ἔτι γυναῖκα αὐτοῦ ὀνομάζει ταύτην. « Καὶ φεῦγε εἰς Αἴγυπτον. » Φεύγει καὶ ὁ Κύριος, ἵνα πιστώσηται, ὅτι ὄντως καὶ ἄνθρωπος ἦν. Εἰ γὰρ ἐν ταῖς χερσὶ τοῦ Ἡρώδου γενόμενος, οὐ κατεκόπη, ἔδοξεν ἂν κατὰ φαντασίαν σαρκωθῆναι. Εἰς Αἴγυπτον δὲ φεύγει, ἵνα καὶ ἐκείνην ἁγιάσῃ. Δύο γὰρ ἦσαν χῶραι πάσης κακίας ἐργαστήρια, ἡ Βαβυλὼν καὶ Αἴγυπτος. Τὴν μὲν οὖν Βαβυλῶνα, διὰ τῶν Μάγων ἐδέξατο προσκυνοῦσαν· τὴν δὲ Αἴγυπτον, τῇ ἑαυτοῦ παρουσίᾳ ἡγίασεν. « Καὶ ἴσθι ἐκεῖ, ἕως ἂν εἴπω σοι. » Ἴσθι, ἀντὶ τοῦ ἔσο ἐκεῖ, ἄχρις ἂν ἀπὸ D Θεοῦ κελευσθῇς. Δεῖ γὰρ ἡμᾶς μηδὲν ποιεῖν ἔξω τῆς θείας βουλῆς. « Μέλλει γὰρ Ἡρώδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό. » Ἴδε ἀνοησίαν ἀνθρώπου, τὴν τοῦ Θεοῦ βουλὴν σπουδάζει νικῆσαι. Εἰ μὲν γὰρ οὐκ ἔστιν ἐκ Θεοῦ, τί φοβῇ; Εἰ δὲ ἐκ Θεοῦ ἐστι, πῶς ἀπολέσεις τὸ παιδίον;

« Ὁ δὲ, ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον, καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδου· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος· Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου. » Φασὶν οἱ Ἰουδαῖοι, ὅτι διὰ τὸν λαὸν ἐῤῥέθη τοῦτο τὸν ἐκ

[11] Num XXIV, 9.

(*a*) Juxta versionem τῶν Ο'. Vulgata habet, *quasi leæna*.

τῆς Αἰγύπτου ἐπαναχθέντα διὰ Μωϋσέως. Λέγομεν A οὖν, ὅτι καί τι καινὸν ἐλέχθη ἐπὶ τῷ λαῷ τυπικῶς· ἐξέβη δὲ εἰς τὸν Χριστὸν ἀληθινῶς. Ἔπειτα, τίς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ; ὁ λαὸς ὁ προσκυνῶν τῷ Βεελφεγὼρ εἰδώλῳ καὶ τοῖς γλυπτοῖς, ἢ ὁ ὄντως Υἱὸς τοῦ Θεοῦ;

« Τότε Ἡρώδης ἰδὼν, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν Μάγων. » Ὥσπερ τῷ Φαραὼ ἐνέπαιξεν ὁ Θεὸς διὰ Μωϋσέως, οὕτω καὶ τῷ Ἡρώδῃ διὰ τῶν Μάγων· ἐπεὶ καὶ ἄμφω, καὶ Ἡρώδης καὶ Φαραὼ, παιδοκτόνοι. Ὁ μὲν Φαραὼ τὰ τῶν ἐν Αἰγύπτῳ Ἑβραίων ἄῤῥενα φονεύων, ὁ δὲ Ἡρώδης, τὰ τῶν ἐν Βηθλεέμ. « Ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεέμ. » Τὴν κατὰ τῶν Μάγων ὀργὴν, κατὰ τῶν οὐδὲν ἀδικησάντων, ἐνδείκνυται. Τίνος δὲ ἕνεκεν συνεχωρήθησαν οἱ παῖδες σφαγῆναι; Ἵνα B δειχθῇ τοῦ Ἡρώδου ἡ κακία· ἀλλ' ἴσως ἐρεῖς μοι· Καὶ τί τοῦτο; ἵνα δειχθῇ ἡ ἐκείνου κακία, διὰ τοῦτο ἠδικήθησαν οἱ παῖδες; Ἄκουε τοίνυν, ὅτι οὐκ ἠδικήθησαν, ἀλλὰ στεφάνων ἠξιώθησαν. Πᾶς γὰρ ὁ κακόν τι πάσχων ἐνταῦθα, ἢ εἰς ἁμαρτημάτων διάλυσιν πάσχει, ἢ εἰς στεφάνων προσθήκην· ὥσπερ δὴ καὶ οὗτοι οἱ παῖδες, μειζόνως στεφανωθήσονται. « Καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν Μάγων. »

« Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ προφήτου, λέγοντος. » Ἵνα μή τις νομίσῃ, ὅτι ἄκοντος τοῦ Θεοῦ γέγονεν ἡ τῶν νηπίων ἀναίρεσις, δείκνυσιν ὅτι καὶ προεγίνωσκε καὶ προεῖπεν.

« Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη. » Ἡ Ῥαμᾷ, τόπος ἦν C τῆς Παλαιστίνης ὑψηλός. Τοῦτο γὰρ σημαίνει τὸ ὄνομα, ὑψηλήν· Ἔλαχε δὲ εἰς κλῆρον τῇ φυλῇ τοῦ Βενιαμὶν, ὃς ἦν τῆς Ῥαχὴλ υἱός· ἡ δὲ Ῥαχὴλ, ἐν τῇ Βηθλεὲμ ἐτάφη. Λέγει τοίνυν τὴν Βηθλεὲμ ὁ προφήτης, Ῥαχὴλ, διότι ἐν αὐτῇ ἐτάφη ἐκείνη· τὸν δὲ κλαυθμὸν καὶ τὸν θρῆνον, ἀκουσθῆναι ἐν τῇ ὑψηλῇ. Ἄκουε τοίνυν τοῦ προφήτου· « Θρῆνος καὶ κλαυθμὸς, καὶ ὀδυρμὸς πολύς· Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, » τουτέστιν, ἡ Βηθλεὲμ, « καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσίν. » Ἐν τῷ βίῳ τούτῳ οὐκ εἰσὶν, ἐπεὶ αἱ ψυχαὶ, ἀθάνατοι.

« Τελευτήσαντος δὲ Ἡρώδου. » Πικρὰν τελευτὴν ἔσχεν ὁ Ἡρώδης, πυρετῷ, καὶ δυσεντερίᾳ, καὶ κνησμῷ καὶ ὄγκῳ ποδῶν, καὶ σήψει τοῦ αἰδοίου σκώ- D ληκας γεννώσῃ, καὶ δυσπνοίᾳ, καὶ τρόμῳ, καὶ σπασμῷ τῶν μελῶν, ἀποῤῥήξας τὴν πονηρὰν ψυχήν.

« Ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, λέγων· Ἐγερθεὶς, παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ. » Οὐ λέγει, Φεῦγε, ἀλλὰ Πορεύου. Φόβος γὰρ οὐκ ἔτι ἦν. « Τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. » Ποῦ Ἀπολινάριος, ὅστις ἔλεγε μὴ ψυχὴν ἀνθρώπου λαβεῖν τὸν Κύριον; ἐντεῦθεν γὰρ ἐλέγχεται.

« Ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ. Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ

ex Ægypto per Mosen eductus sit. Dicimus itaque, quod novum aliquid etiam per figuram dictum est de populo, impletum autem vere in Christo. Deinde quis est Filius Dei? populusne, qui adoravit idolum Beelphegor et sculptilia, an qui revera est Filius Dei?

VERS. 16. «Tunc Herodes, ubi vidit sibi illusum fuisse a Magis.» Sicut Deus illusit Pharaoni per Mosen, sic Herodi per Magos: quoniam et Herodes et Pharao puericidæ erant. Pharao masculos Hebræorum pueros Ægypto occidit, Herodes autem in Bethleem. «Iratus est vehementer, et misit ac interfecit omnes pueros qui erant in Bethleem.» Ostendit iram contra Magos, qui in nullo offenderant. Quare autem permissi sunt pueri occidi? Ut ostendatur Herodi malitia. Sed forte dices mihi, Et quid hoc! Nunquid ut ostendatur illius malitia, ideo injuria fieri debuit pueris? Audi igitur quod non injuria affecti sunt, sed coronas meruuerunt. Omnis enim qui malum aliquid hic patitur, vel patitur ut peccata dissolvat, vel ut coronæ augeantur, sicut et illi pueri magis coronati sunt. «Et omnibus confiniis ejus a bimatu et infra, juxta tempus quod percontatus erat a Magis.»

VERS. 17. «Tum impletum est quod dictum a Jeremia propheta, dicente.» Ut ne quis putet quod invito Deo fata sit puerorum interemptio, oslendit quod prænoverit et prædixerit.

VERS. 18. «Vox in Rhama 15 audita est.» Rhama locus fuit Palæstinæ excelsus; nomen enim hoc excelsum significat, fuitque in sorte tribus Benjamin, qui fuit filius Rachel. Rachel autem sepulta fuit in Bethleem. Dicit igitur propheta Bethleem, Rachel, eo quod in illa sepulta fuit Rachel, fletum autem et ploratum auditum fuisse in excelso. Audi igitur prophetam: «Lamentatio et ploratus, et fletus multus. Rachel plorans filios suos,» hoc est, Bethleem, «et noluit consolationem admittere, eo quod non sint.» In hac vita non sunt, quia animæ sunt immortales.

VERS. 19. «Defuncto autem Herode.» Amara morte periit Herodes, febri et intestinorum cruciatu, et scabie, et podagra, et putredine verendorum vermes generante, et spirandi difficultate, et tremore et contractione membrorum, malam abrupit animam.

VERS. 19, 20. «Ecce angelus Domini in somnis apparet Joseph in Ægypto, dicens: Surge, et accipe puerum, et matrem ejus, et vade in terram Israel.» Non dicit, Fuge, sed, Vade: timor enim jam nullus erat. «Mortui enim sunt quærentes animam pueri.» Ubi Apollinarius est, qui dicebat Dominum non accepisse animam? Hinc enim arguitur.

VERS. 21, 22. «Ille autem cum surrexisset, accepit puerum et matrem ejus, et venit in terram Israel. Verum quia audiverat quod archelaus regnaret

in Judæa pro Herode patre suo, timuit illuc abire. » Tres filios reliquit Herodes, Philippum, Antipam et Archelaum. Archelaum quidem regem, alios autem tetrarchas esse jussit. Timuit autem Joseph in terram Israel abire, hoc est, in terram Juda, eo quod Archelaus similis patri suo erat. Antipas vero ipse est juvenis ille Herodes qui Præcursorem sustulit. « Oraculo autem accepto in somnis, secessit in partes Galilææ. » Galilæa non erat terra Israel, sed gentilium; unde et Judæi sicut abominationem illos videbant.

« VERS. 23. Ac profectus habitavit in civitate quæ dicitur Nazareth, » At quomodo Lucas dicit, quod postquam natus fuit, implevitque XL dies, et a Simeone gestatus est, descenderit Dominus in Nazareth : hoc autem loco Matthæus ait, quod post reditum ex Ægypto venerit in Nazareth? Disce igitur, quod quæ siluit Matthæus, dixit Lucas. Ut exempli gratia aliquid dicam, postquam natus est, implevit XL dies, deinde descendit in Nazareth: hæc dicit Lucas [12]. Matthæus autem dicit quæ postea facta sunt, quod fugerit in Ægyptum, deinde venerit ab Ægypto in Nazareth. Non dissident ergo inter se. Nam Lucas dicit descensum a Bethleem in Nazareth, Matthæus autem postea reditum ab Ægypto in Nazareth. « Ut impleatur quod dictum est per prophetas. Quod Nazaræus vocabitur. » Et quis propheta hoc dixit? non invenitur nunc. Per negligentiam enim Judæorum multi libri desiderantur, et ob continuas captivitates : fortassis absque etiam scriptura hoc dicebatur **16** apud Judæos. Significat autem Nazaræus, sanctificatus : igitur quoniam sanctus Christus, recte dicitur Nazaræus. Sanctus enim Israelis, a multis prophetis vocatur Dominus.

## CAPUT III.

*Joannes Baptista primus regni cœlestis præco.*

VERS. 1. « In diebus autem illis. » Non cum Dominus esset puer, et in Nazareth habitabat, sed simpliciter sic inquit, ut in tempore illo, quod ante hanc præsentem erat ætatem. « Accessit Joannes Baptista. » Propterea missus est a Deo Joannes, ut argueret Judæos, et persuaderet eis ut sua mala agnoscerent, atque ita Christum susciperent. Nam nisi quis sensum acceperit peccatorum, non venit ad pœnitentiam. Missus igitur est Joannes.

VERS. 1, 2. « Prædicans in deserto Judææ, et dicens : Resipiscite. » Arrogantes erant Judæi, idcirco cogit eos ad pœnitentiam. « Appropinquavit enim regnum cœlorum » Regnum cœlorum dicit primum et secundum Christi adventum, et vitam virtutibus præditam. Quando enim in terra ambulamus, quasi in cœlo degentes absque affectionibus, regnum habemus cœlorum.

[12] Luc. II, 39.

A Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν. » Τρεῖς υἱοὺς κατέλειψεν Ἡρώδης, Φίλιππον, Ἀντίπαν, καὶ Ἀρχέλαον· τὸν μὲν οὖν Ἀρχέλαον, βασιλέα, τοὺς δὲ λοιποὺς, τετράρχας ἐκέλευσεν εἶναι. Ἐφοβήθη δὲ ὁ Ἰωσὴφ ἀπελθεῖν εἰς γῆν Ἰσραὴλ, τουτέστιν, εἰς τὴν Ἰουδαίαν, διότι καὶ ὁ Ἀρχέλαος, ὅμοιος ἦν τῷ πατρὶ αὐτοῦ. Ὁ δὲ Ἀντίπας, αὐτός ἐστιν ὁ νέος Ἡρώδης, ὁ τὸν Πρόδρομον ἀνελών. « Χρηματισθεὶς δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας. » Ἡ Γαλιλαία οὐκ ἦν γῆ Ἰσραὴλ, ἀλλὰ τῶν ἐθνικῶν ἦν· διὸ καὶ οἱ Ἰουδαῖοι ὡς βδέλυγμα τούτους ἔβλεπον.

« Καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ. » Καὶ πῶς ὁ Λουκᾶς λέγει, ὅτι μετὰ τὸ γεννηθῆναι τελέσας τὰς τεσσαράκοντα ἡμέρας, καὶ B ὑπὸ τοῦ Συμεὼν βασταχθεὶς, κατῆλθεν ὁ Κύριος εἰς Ναζαρέτ. ἐνταῦθα δὲ ὁ Ματθαῖος λέγει, ὅτι μετὰ τὴν ἐξ Αἰγύπτου ἐπάνοδον ἦλθεν εἰς Ναζαρέτ; Μάθε τοίνυν, ὅτι ἃ ἐσιώπησεν ὁ Ματθαῖος, εἶπεν ὁ Λουκᾶς. Οἷόν τι λέγω· Μετὰ τὸ γεννηθῆναι, ἐτέλεσε τὰς τεσσαράκοντα ἡμέρας. εἶτα κατῆλθεν εἰς Ναζαρέτ· ταῦτα λέγει ὁ Λουκᾶς· ὁ Ματθαῖος δὲ λέγει τὰ μετὰ ταῦτα, ὅτι ἔφυγεν εἰς Αἴγυπτον, εἶτα ἀνῆλθεν ἀπὸ Αἰγύπτου εἰς Ναζαρέτ. Οὐκ ἐναντιοῦνται οὖν ἀλλήλοις· ἀλλ' ὁ μὲν λέγει τὴν ἀπὸ Βηθλεὲμ εἰς Ναζαρὲτ κάθοδον, ὁ Λουκᾶς· ὁ δὲ Ματθαῖος, τὴν μετὰ ταῦτα ἀπὸ Αἰγύπτου εἰς Ναζαρὲτ ἄνοδον. « Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται. » Καὶ ποῖος προφήτης τοῦτο εἶπεν; οὐχ εὑρίσκεται νῦν. Διὰ γὰρ τὴν ἀμέλειαν τῶν Ἑβραίων, C πολλὰ βιβλία ἀπώλοντο, καὶ ἀπὸ τῶν συνεχῶν αἰχμαλωσιῶν· ἀγράφως δὲ τυχὸν ἐλέγετο παρὰ τοῖς Ἰουδαίοις. Σημαίνει δὲ τὸ, Ναζωραῖος, ἡγιασμένος. ἐπεὶ τοίνυν ἅγιος ὁ Χριστὸς, εἰκότως ἂν λέγοιτο Ναζωραῖος. Ἅγιος γὰρ τοῦ Ἰσραὴλ, παρὰ πολλῶν προφητῶν καλεῖται ὁ Κύριος.

## ΚΕΦΑΛ. Γ'.

*Πρῶτος Ἰωάννης ἐκήρυξε βασιλείαν τῶν οὐρανῶν.*

« Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις. » Οὐχ ὅτε ἦν ὁ Κύριος παῖς, καὶ ἐν Ναζαρὲτ κατῴκει, ἀλλ' ἁπλῶς οὕτω φησὶν, οἷον, ἐν τῷ καιρῷ ἐκείνῳ, τὸ πρὸ τῆς νῦν γενεᾶς. « Παραγίνεται Ἰωάννης ὁ βαπτιστής. » Διὰ τοῦτο ἐπέμφθη παρὰ τοῦ Θεοῦ ὁ Ἰωάννης, ἵνα ἐλέγχων τοὺς Ἰουδαίους, πείσῃ αὐτοὺς εἰς αἴσθησιν D ἐλθεῖν τῶν οἰκείων κακῶν, καὶ οὕτω παραδέξασθαι τὸν Χριστόν. Εἰ μὴ γὰρ αἴσθησιν λάβοι τις τῶν ἁμαρτιῶν, οὐκ ἔρχεται εἰς μετάνοιαν. Ἐπέμφθη τοίνυν ὁ Ἰωάννης.

« Κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, καὶ λέγων· Μετανοεῖτε. » Ἀλαζόνες ἦσαν οἱ Ἰουδαῖοι, διὰ τοῦτο συνωθεῖ αὐτοὺς εἰς μετάνοιαν. « Ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. » Βασιλείαν οὐρανῶν λέγει τὴν πρώτην καὶ δευτέραν τοῦ Χριστοῦ παρουσίαν, καὶ τὴν ἐνάρετον ζωήν. Ὅταν γὰρ ἐπὶ γῆς βαδίζοντες, ὡς ἐν οὐρανῷ πολιτευώμεθα, μὴ ἐμπαθῶς ζῶντες, βασιλείαν ἔχομεν οὐρανῶν.

« Οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ A προφήτου, λέγοντος· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Ὁδὸς, τὸ Εὐαγγέλιον λέγεται· τρίβοι δὲ, τὰ νομικὰ προστάγματα, ὡς κατατετριμμένα καὶ παλαιά. Φησὶ τοίνυν, ὅτι Ἕτοιμοι γένεσθε πρὸς τὴν εὐαγγελικὴν πολιτείαν, καὶ τὰς νομικὰς δὲ ἐντολὰς εὐθείας, τουτέστι, πνευματικὰς ποιήσατε. Τὸ πνεῦμα γὰρ εὐθές ἐστιν. Ὅταν οὖν ἴδῃς Ἰουδαῖον σαρκικῶς νοοῦντα τὰ τοῦ νόμου, εἰπὲ ὅτι οὗτος τὰς τρίβους οὐκ ἐποίησεν εὐθείας, τουτέστιν, οὐ πνευματικῶς νοεῖ τὸν νόμον.

« Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου. » Εἰς μετάνοιαν παρεκάλει καὶ ἀπὸ τοῦ σχήματος. Πενθικὴν γὰρ εἶχε τὴν στολήν. B Λέγουσι δὲ τὴν κάμηλον μεταξὺ εἶναι καθαροῦ καὶ μή. Καθὸ μὲν γὰρ μηρυκάζει, καθαρόν ἐστι· καθὸ δὲ οὐκ ἔστι διχηλοῦν κατὰ τοὺς ὄνυχας, οὐκ ἔστι καθαρόν. Ἐπεὶ οὖν καὶ ὁ Ἰωάννης, τόν τε καθαρὸν δοκοῦντα λαὸν, τὸν Ἰουδαϊκὸν, καὶ τὸν ἀκάθαρτον, τὸν ἐθνικὸν, προσῆγε τῷ Θεῷ, καὶ μεσίτης ἦν παλαιᾶς διαθήκης καὶ νέας, διὰ τοῦτο ἐφόρει τὰς τρίχας τῆς καμήλου. « Καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. » Πάντες οἱ ἅγιοι, ἐζωσμένοι εἰσάγονται παρὰ τῇ Γραφῇ, ὡς ἀεὶ ἐν ἔργῳ ὄντες· οἱ γὰρ ἀμελεῖς καὶ τρυφηλοὶ, οὐ ζώννυνται, ὡς νῦν οἱ Σαρακηνοί· ἢ ὅτι ἐνέκρωσαν τὰ πάθη τῆς ἐπιθυμίας· τὸ γὰρ δέρμα, νεκροῦ ζώου ἐστὶ μέρος. « Ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες, καὶ μέλι ἄγριον. » Τινὲς λέγουσι βοτάνας εἶναι τὰς ἀκρίδας, ἃς καὶ μέλαγρα C καλοῦσι· τινὲς δὲ, τὰ ἀκρόδρυα ἤτοι ὀπώρας ἀγρίας· μέλι δὲ ἄγριον, τὸ ὑπὸ ἀγρίων μελισσῶν γεωργούμενον, ἐν δένδροις εὑρισκόμενον καὶ πέτραις.

« Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα, καὶ πᾶσα ἡ Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου. Καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. » Εἰ καὶ ἐβαπτίζοντο, ἀλλ' οὖν ἄφεσιν ἁμαρτιῶν οὐκ εἶχε τὸ Ἰωάννου βάπτισμα. Ἀλλὰ μόνην μετάνοιαν ἐκήρυττεν ὁ Ἰωάννης, καὶ εἰς ἄφεσιν ἁμαρτιῶν ἔφερεν· ἀντὶ τοῦ, εἰς τὸ τοῦ Χριστοῦ βάπτισμα ὡδήγει, παρ' οὗ ἡ ἄφεσις τῶν ἁμαρτιῶν.

« Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων. » Φαρισαῖος, ἑρμηνεύεται ἀποκεκομμένος. Ἐδόκουν γὰρ ἐν τῷ βίῳ καὶ τῇ γνώσει ἀποκεκόφθαι, καὶ ὑπερέχειν τῶν D ἄλλων. « Καὶ Σαδδουκαίων. » Οὗτοι, οὔτε ἀνάστασιν ἐπίστευον, οὔτε ἄγγελον, οὔτε πνεῦμα. Ἑρμηνεύονται δε, δίκαιοι. Σεδὲκ γὰρ, ἡ δικαιοσύνη. Δικαίους γὰρ ἑαυτοὺς ὠνόμαζον. Ἢ ἀπὸ αἱρεσιάρχου Σαδὼκ ὀνομάζονται. « Ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς. » Οὐκ ἤρχοντο μετὰ γνώμης ὀρθῆς, ὡς οἱ λοιποί. Διὰ τοῦτο καὶ καθάπτεται αὐτῶν. « Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; » Πικρῶς αὐτοῖς διαλέγεται, γινώσκων τὴν στρεβλότητα αὐτῶν, πλὴν ἀλλὰ καὶ ἐπαινεῖ, λέγων· Τίς ὑπέδειξεν ὑμῖν; Θαυμάζει γὰρ πῶς ἐγένετο τοῦτο, τὸ τὴν πονηρὰν αὐτῶν γενεὰν μετανοῆσαι. Γεννήματα δὲ ἐχιδνῶν λέγει αὐτοὺς, διότι ὥσπερ ταῦτα κατεσθίοντα τὰς μήτρας οὕτως

Vers. 3. « Hic enim est qui dictus est ab Isaia propheta, dicente : Vox clamantis in deserto, Parate viam Domini, rectas facite semitas ejus. » Via, Evangelium dicitur : semitæ autem legalia mandata ut trita et vetera. Dicit igitur, Parati estote ad Evangelicam vitam, et legis mandata recta, hoc est, spiritualia facite. Spiritus enim rectus est. Quando igitur videris Judæum carnaliter intelligentem ea quæ legis sunt, dic quod ipse non faciat semitas rectas, hoc est, non spiritualiter intelligat legem.

Vers. 4. « Ipse vero Joannes habebat indumentum suum ex pilis camelorum. » Ad pœnitentiam hortabatur etiam habitu; lugubrem enim gerebat vestem. Dicunt autem camelum medium esse inter munda et immunda animalia : nam quia ruminat, mundum est : quia autem ungulas non dividit, est immundum. Joannes autem quoniam ad Deum adducebat populum Judaicum, qui videbatur mundus esse, et gentilem, qui immundus, eratque mediator veteris et novi testamenti, idcirco ferebat pilos camelorum. « Et zonam pelliceam circa lumbos suos. » Omnes sancti introducuntur a Scriptura cincti, veluti semper in opere exsistentes : negligentes enim et delicati non cinguntur, ut nunc Saraceni : vel quod affectiones concupiscentiæ mortificarunt : pellis enim mortui animalis pars est « Cibus autem ejus erant locustæ, et mel agreste. » Quidam dicunt herbas esse locustas, quas et melagra vocant; alii nuces aut poma sylvestria; mel autem agreste, quod a feris apibus conficitur, **17** et in arboribus ac petris invenitur.

Vers. 5, 6. « Tunc egressu est ad illum Hierosolyma, et omnis Judæa, et omnis regio undique finitima Jordani, et baptizantur in Jordane ab illo, confitentes peccata sua. » Tametsi baptizantur, non tamen remissionem peccatorum habebat baptisma Joannis; sed solam pœnitentiam prædicabat Joannes, et ad remissionem peccatorum ferebat, hoc est, ad Christi baptisma ducebat, apud quem remisssio peccatorum.

Vers. 7. « Cum vidisset autem multos ex Pharisæis. » Pharisæus interpretatur absectus et divisus. Videbantur enim Pharisæi in vita et scientia separati esse, et excedere alios. « Et Sadducæis. » Hi neque resurrectionem credebant, neque angelum, neque spiritum : interpretantur autem, justi. Sedok enim justitia; nam justos seipsos nominabant; vel ab hæresiarcha Sadok nominantur. « Venientes ad baptismum ejus, dicit illis. » Non venerant bona mente, ut cæteri, et idcirco etiam reprehendit eos. « Progenies viperarum, quis submonstravit vobis fugere a futura ira ? » Dure eis loquitur, sciens perversitatem illorum, tametsi aliquantulum laudet, dicens : Quis submonstravit vobis? Admiratur enim quomodo hoc factum sit, ut tam mala natio ipsorum resipiscat. Progenies autem viperarum vocat eos, eo quod sicut illæ devorantes

matrices suas nascuntur, similiter et illi patres, hoc est, magistros, prophetas occiderunt. A futura ira, id est, gehennæ, inquit.

VERS. 8. « Facite igitur fructus dignos pœnitentiæ. » Vides quid dicat, quoniam non oportet solum fugere malitiam, sed etiam fructum virtutis facere. « Declina enim, inquit, a malo et fac bonum. »

VERS. 9. « Et ne sitis hac mente, ut dicatis apud vosipsos, Patrem habemus Abraham. » Hinc perierunt, quod in nobilitate sua confidebant. « Dico enim vobis, quod potest Deus etiam ex his lapidibus suscitare filios Abrahæ. » Per lapides intelliguntur etiam gentes, e quibus multi crediderunt. Simpliciter tamen dicebat Joannes, quod etiam ex lapidibus possit Deus facere filios Abrahæ. Erat enim et vulva Saræ lapis, propter sterilitatem, et nihilominus peperit. Excitavit autem Deus filios Abrahæ ex lapidibus: ecquando vero? cum multi, videntes crucifixum et ruptas petras, crediderunt.

VERS. 10. « Jam vero et securis ad radicem arborum posita est. » Securim vocat judicium Domini: arbores autem, singulos nostrum. Igitur qui non crediderit, jam hinc stirpitus exscinditur, et in gehennam mittitur. « Omnis igitur arbor. » Etiamsi ab Abraham descendat. « Non faciens fructum bonum. » Non dixit, Quæ non fecit, sed, Non faciens; semper enim oportet fructum ferre. Nam licet heri misericors fueris, hodie autem rapias, non bonus eris. « Exsecatur et in ignem mittitur. » Gehennæ scilicet.

VERS. 11. « Ego quidem baptizo vos in aqua ad pœnitentiam: qui autem post me venit, fortior me est. » Dixit eis, Facite fructum. Ostendit 18 igitur quis fructus, nempe credere in eum qui post se venturus erat. Venim enim post eum Christus. Nam sicut sex tantum mensibus secundum nativitatem posterior eo erat, ita et juxta manifestationem fuit posterior. Manifestatus est enim prius Præcursor: deinde Christus, qui ab eo testimonium acceperat. « Cujus non sum idoneus calceamenta gestare. » Ne postremus quidem, inquit, ipsius sum servus ut ista gestem. Per calceamenta autem intelligas etiam duos descensus ejus, nempe eum qui e cœlis in terram, et eum qui a terra in infernum. Calceamentum enim est pellicea caro et mortificatio. Hos igitur duos descensus non potest portare Præcursor, intelligere non valens quomodo facti sint. « Ipse vos baptizabit in Spiritu sancto. » Hoc est, inundabit vos largiter Spiritus sancti gratiis, quia meum, inquit, baptisma non dat spiritualem gratiam, sed neque peccatorum remissionem: ipse autem et remittet vobis peccata, et Spiritum liberaliter dabit.

VERS. 12. « Cujus ventilabrum in manu ejus. » Non credatis quod si baptizati fueritis ab illo, et deinde peccaveritis, ignoscat vobis. Nam et ventilabrum habet, hoc est, judicium et inquisitionem. « Et repurgabit aream suam. » Hoc est, Ecclesiam, quæ multos quidem habet baptizatos, sicut area omne quod in agro cultum fuit: sed inter hos alii

A ἐξέρχονται, οὕτω καὶ οὗτοι τοὺς πατέρας, ἤτοι διδασκάλους, τοὺς προφήτας, ἐφόνευον· ἀπὸ τῆς μελλούσης δὲ ὀργῆς, τῆς γεέννης, φησίν.

« Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας. » Ὁρᾷς τί λέγει, ὅτι οὐ δεῖ μόνον φεύγειν τὴν κακίαν, ἀλλὰ καὶ καρποὺς ἀρετῆς ποιεῖν. « Ἔκκλινον γὰρ, φησὶν, ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. »

« Καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ. » Τοῦτο ἦν αὐτοῖς εἰς ἀπώλειαν, ὅτι ἐν εὐγενείᾳ ἐθάῤῥουν. « Λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. » Λίθοι, νοοῦνται μὲν καὶ τὰ ἔθνη, ἐξ ὧν πολλοὶ ἐπίστευσαν. Πλὴν ἀλλὰ καὶ οὕτως ἁπλῶς τοῦτο λέγει ὁ Ἰωάννης, ὅτι καὶ ἀπὸ λίθων δύναται B τέκνα ποιῆσαι τῷ Ἀβραάμ. Καὶ γὰρ λίθος ἦν καὶ ἡ μήτρα τῆς Σάῤῥας, διὰ τὴν στείρωσιν, ἀλλ' ἔτεκεν ὅμως· ἤγειρε δὲ καὶ τέκνα τῷ Ἀβραὰμ ὁ Κύριος ἀπὸ τῶν λίθων· πότε; ὅτε σταυρουμένου αὐτοῦ, ἰδόντες πολλοὶ τὰς πέτρας ῥαγείσας, ἐπίστευσαν.

« Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. » Ἀξίνην λέγει τὴν τοῦ Χριστοῦ κρίσιν. Δένδρα δὲ, ἕνα ἕκαστον ἡμῶν. Ὁ οὖν μὴ πιστεύσας, ἐντεῦθεν ἤδη αὐτόῤῥιζος ἀποτέμνεται, καὶ εἰς γέενναν ἐμβάλλεται. « Πᾶν οὖν δένδρον. » Κἂν ἀπὸ τοῦ Ἀβραὰμ κατάγηται. « Μὴ ποιοῦν καρπὸν καλόν. » Οὐκ εἶπε, Μὴ ποιῆσαν, ἀλλὰ, Μὴ ποιοῦν. Ἀεὶ γὰρ δεῖ καρποφορεῖν. Εἰ γὰρ χθὲς ἠλέησας, σήμερον δὲ ἁρπάζεις, οὐκ εὐαρεστεῖς. « Ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. » Τὸ τῆς γεέννης.

C « Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστιν. » Εἶπεν αὐτοῖς· Ποιήσατε καρπόν. Δείκνυσιν οὖν τίς ὁ καρπὸς, ὅτι τὸ πιστεῦσαι εἰς τὸν ὀπίσω αὐτοῦ ἐρχόμενον. Ὀπίσω δὲ αὐτοῦ ἤρχετο ὁ Χριστός· καθὸ καὶ ὕστερος αὐτοῦ ἦν κατὰ τὴν γέννησιν, ἓξ μόνοις μησὶν, ἀλλὰ καὶ κατὰ τὴν φανέρωσιν. Ἐφανερώθη γὰρ πρότερον ὁ Πρόδρομος, εἶτα ὁ Χριστὸς, ὑπ' αὐτοῦ μαρτυρηθείς. « Οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. » Οὐδὲ δοῦλος, φησὶν, ἔσχατος αὐτοῦ εἰμι, ὥστε βαστάζειν ταῦτα· Ὑποδήματα δὲ νοήσεις, καὶ τὰς δύο καταβάσεις αὐτοῦ, τήν τε ἐξ οὐρανοῦ εἰς γῆν, καὶ τὴν ἐκ γῆς εἰς τὸν ᾅδην. Ὑποδήματα γάρ εἰσιν ἡ δερματίνη σὰρξ, καὶ ἡ νέκρωσις. Ταύτας οὖν τὰς δύο καταβάσεις, οὐ δύναται βαστάσαι ὁ Πρόδρομος, μὴ δυνάμενος νοῆσαι πῶς ἐγένοντο. D « Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ. » Τουτέστι, Κατακλύσει ὑμᾶς ἀφθόνως ταῖς τοῦ Πνεύματος χάρισιν· Ἐπεὶ τὸ μὲν ἐμὸν, φησὶ, βάπτισμα, οὐ δίδωσι πνευματικὴν χάριν, οὐδὲ γὰρ τὴν ἄφεσιν ἁμαρτιῶν· αὐτὸς δὲ, καὶ ἀφήσει ὑμῖν, καὶ Πνεῦμα δαψιλῶς δώσει.

« Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ. » Μὴ νομίσητε ὅτι ἐὰν βαπτισθῆτε ὑπ' ἐκείνου, εἶτα ἁμαρτάνητε, συγχωρήσει ὑμῖν. Ἀλλὰ καὶ πτύον ἔχει, τουτέστι, κρίσιν καὶ ἐξέτασιν. « Καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ. » Τουτέστι, τὴν Ἐκκλησίαν, ἥτις πολλοὺς μὲν ἔχει βεβαπτισμένους, ὥσπερ ἐν τῇ ἅλωνι πᾶν τὸ γεώργιον· ἀλλ' ἐν τούτοις, οἱ μέν εἰσιν ἄχυρα,

ὅσοι κοῦφοί εἰσι καὶ τοῖς πνεύμασι τῆς πονηρίας κινούμενοι· οἱ δὲ, σῖτος, ὅσοι καὶ ἑτέρους ὠφελοῦσι, καὶ τρέφουσι διὰ διδασκαλίας καὶ πράξεως. « Καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ· τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. » Ἄσβεστόν ἐστι τὸ πῦρ ἐκεῖνο· ὥστε φλυαρεῖ ὁ Ὠριγένης, λέγων ὅτι ἔσται τέλος τῆς κολάσεως.

« Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ· ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν, λέγων. » Καθαρὸς ὢν βαπτίζεται, ἵνα ἡμᾶς ἀποπλύνῃ· καὶ ἵνα δείξῃ ἡμῖν, ἐπ' ἂν μέλλωμεν βαπτισθῆναι, προκαθαίρεσθαι· ἵνα μὴ μολύνωμεν τὸ βάπτισμα, μετὰ ταῦτα εὐκόλως ῥυπαινόμενοι διὰ τὴν πονηρὰν συνήθειαν. Κωλύει δὲ αὐτὸν ὁ Ἰωάννης, ἵνα μὴ νομίσωσιν οἱ ὁρῶντες, καὶ αὐτὸν ὡς ἕνα τῶν πολλῶν εἰς μετάνοιαν βαπτιζόμενον. « Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. » Χρείαν γὰρ εἶχεν ὁ Πρόδρομος ὑπὸ τοῦ Κυρίου καθαρισθῆναι. Ὡς γὰρ ἀπὸ τοῦ Ἀδὰμ κατα[γ]όμενος, καὶ αὐτὸς ἐπεσύρετο τὸ μόλυσμα τὸ ἐκ τῆς παρακοῆς· ὁ Χριστὸς δὲ σαρκωθεὶς, ἐκαθάρισε πάντας. « Καὶ σὺ ἔρχῃ πρός με; » Οὐκ ἐτόλμησεν εἰπεῖν, ὅτι Καὶ σὺ βαπτίζῃ ὑπ' ἐμοῦ; ἀλλὰ, Καὶ σὺ ἔρχῃ; » οὕτως ηὐλαβεῖτο.

« Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν· Ἄφες ἄρτι. » Νῦν, φησὶ, παραχώρησον· ἔσται δὲ καιρὸς ὅτε τὴν ἀξίαν δόξαν ἕξομεν, κἂν μὴ νῦν φαινώμεθα. « Οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. » Τὸν νόμον λέγει δικαιοσύνην. Ἐπικατάρατος, φησὶν, ἦν ἡ ἀνθρωπίνη φύσις, ὅτι τὸν νόμον οὐκ ἠδύνατο τελειῶσαι. Ἐγὼ τοίνυν, ἐτέλεσα καὶ τἄλλα τοῦ νόμου· λείπει δέ μοι τοῦτο, τὸ βαπτισθῆναι. Τοῦτο τοίνυν τελέσας, ἀπαλλάξω τὴν φύσιν τῆς κατάρας· τοῦτο γὰρ ἐμοὶ πρέπει.

« Τότε ἀφίησιν αὐτόν· καὶ βαπτισθεὶς ὁ Ἰησοῦς. » Τριάκοντα ἐτῶν ὢν βαπτίζεται, ἐπεὶ αὕτη ἡ ἡλικία δέχεται πάντα τὰ ἁμαρτήματα. Ἐν μὲν γὰρ τῇ πρώτῃ ἡλικίᾳ, πολὺ τὸ ἀνόητον· ἐν δὲ τῇ δευτέρᾳ, τῇ τῶν νεωτέρων, πολλὴ ἡ φλὸξ τῆς ἐπιθυμίας καὶ τοῦ θυμοῦ· ἐν δὲ ταύτῃ τῇ τῶν ἀνδρῶν, πολλὴ ἡ φιλοχρηματία. Ἀνέμεινεν οὖν ταύτην τὴν ἡλικίαν, ἵνα διὰ πασῶν τῶν ἡλικιῶν πληρώσῃ τὸν νόμον, καὶ ἁγιάσῃ ἡμᾶς. « Εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος. » Οἱ Μανιχαῖοι λέγουσιν, ὅτι τὸ σῶμα αὐτοῦ ἀπέθετο ἐν τῷ Ἰορδάνῃ, κατὰ φαντασίαν δὲ ἄλλο σῶμα ἔδειξεν. Ἐπιστομίζονται δὲ ἐντεῦθεν. Ὁ Ἰησοῦς γὰρ φησὶν, ἀνέβη· οὐκ ἄλλος ἀνέβη, ἀλλ' ὁ καταβὰς εἰς τὸ ὕδωρ. « Καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί. » Ὁ μὲν Ἀδὰμ αὐτοὺς ἔκλεισε· διὰ δὲ τὸν Χριστὸν ἀνοίγονται· ἵνα μάθῃς, ὅτι καὶ σὺ ὅταν βαπτίζῃ, ἀνοίγεις αὐτούς.

« Καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτὸν, καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα. » Κατέρχεται τὸ Πνεῦμα, ἵνα μαρτυρήσῃ, ὅτι μείζων ὁ βαπτιζόμενος ἢ ὁ βαπτίζων. Οἱ γὰρ Ἰουδαῖοι μέγαν εἶχον τὸν Ἰωάννην, τοῦ δὲ Χριστοῦ οὐ τοσοῦτον ἐφρόντιζον. Εἶδον δὲ τὸ Πνεῦμα πάντες ἐρχόμενον ἐπὶ τὸν Ἰησοῦν, ὡς ἂν μὴ νομίσωσιν ὅτι ἡ φωνὴ ἡ λέγουσα, « Οὗτός ἐστιν

A quidem sunt palea, hi scilicet qui leves sunt, et spiritibus malitiæ agitantur : alii autem triticum, qui aliis utiles sunt, et alios pascunt doctrina et opere. « Et congregabit triticum et horreum suum, paleas autem comburet igni inexstinguibili. » Inexstinguibilem illum ignem vocat. Unde nugatur Origenes, dicens quod futurus sit finis suppliciorum.

VERS. 13, 14. « Tunc venit Jesus a Galilæa in Jordanem ad Joannem, ut baptizaretur ab eo. Joannes autem prohibebat eum, dicens. » Cum mundus esset, baptizatur, ut nos abluat, et ut ostendat nobis quod si baptizari velimus, prius mundemur, ut ne inquinemus baptisma, postea facile in sordes relabentes propter malam consuetudinem. B Prohibet autem eum Joannes, ut ne videntes illum putent quasi unum ex multis ad pœnitentiam baptizari. « Mihi opus est ut a te baptizer. » Opus enim habebat Præcursor a Domino mundari utpote ab Adam descendens. Nam et ipse contraxerat ortum ex inobedientia inquinamentum. Christus autem incarnatus, purificavit omnes. » Et tu venis ad me? » Non ausus fuit dicere, Et tu baptizaris a me? sed, Et venis? tam pius erat.

VERS. 15. « Respondens autem Jesus, dixit ad illum. Dimitte nunc. « Nunc, inquit, permitte: erit autem tempus, quo digna nobis erit gloria, licet nunc non appareamus. « Sic enim decet, ut impleamus omnem justitiam. » Legem vocat justitiam. C Maledicta erat, inquit humana natura, quia legem nont poterat perficere. Ego igitur cum implevcrim alia quæ in lege sunt, et desit hoc unum ut baptizer, eapropter cum hoc fecero, liberabo naturam a maledicto. Hoc 19 enim me decet.

VERS. 15, 16. « Tunc omittit illum : et baptizatus Jesus. » Christus cum triginta annorum esset, baptizatur, eo quod ætas illa peccata omnia in se accipit. In prima ætate magna est insipientia. In secunda, quæ est adolescentum, magna est flamma concupiscentiæ et iræ. In virili autem, amor opum regnat. Expectavit igitur hanc ætatem, ut per omnes ætates impleret legem, et nos sanctificaret. « Statim ascendit ab aqua. » Manichæi dicunt quod corpus suum deposuerit in Jordane, juxta apparentiam D autem aliud corpus monstrarit, Obmutescunt autem hinc; Jesns enim, inquit, ascendit : non alius ascendit, sed is qui in aquam descenderat. « Ei ecce aperti sunt ei cœli. » Adam illos clausit, per Christum autem aperiuntur, ut dicas, quod quando baptizaris, aperis eos.

VERS. 16, 17. « Et vidit Spiritum Dei descendentem quasi columbam, et venientem super eum, et ecce vox e cœlis, dicens. » Descendit Spiritus, ut testimonium perhibeat quod major sit qui baptizatur, quam qui baptizat. Judæi enim magnificabant Joannem, at Christum non tantum curabant. Viderunt autem Spiritum omnes venientem super Jesum, ut ne putarent quod vox dicens, Hic est Filius

meus dilectus, pro Joannem dicta sit, sed viso Spiritu crederent quod propter Jesum vox illa sit. Quasi columbam, propter innocentiam et mansuetudinem, et quod mundissima sit columba, et ubi fetor est, ibi non maneat, sic et Spiritus sanctus. Et ut de Noe aiunt columbam nunliasse diluvii solutionem, ramum olivæ afferentem, sic et hic Spiritus sanctus manifestat peccatorum solutionem. Hic ramus olivæ, hic misericordia Dei. « Hic est Filius meus dilectus, in quo mihi bene placitum est. » Hoc est, in quo requiesco, in quo mihi complaceo.

## CAPUT IV.

*De tentatione Christi in deserto, de vocatione Petri, et Andreæ et filiorum Zebedæi.*

VERS. 1. « Tunc Jesus ductus est in desertum a Spiritu. » Docens nos, quod post baptismum magis oportet exspectare tentationes, ducitur a Spiritu sancto : nihil enim sine Spiritu fecit. Ducitur autem in desertum, ut ostendat nobis quod diabolus tunc nos tentet quando viderit solitarios, et non ab aliis adjutos. Oportet igitur nos non temere fidere nobisipsis. « Ut tentaretur a diabolo. » Diabolus dicitur, quod accusaverit et calumniatus fuerit Deum apud Adam. Dixit enim illi, Deus vobis invidet ; et nunc virtutem apud nos calumniatur.

VERS. 2. « Et cum jejunasset. » Jejunavit, ut ostendat quod magna armatura contra tentationes sit jejunium, sicut principium omnis peccati, deliciæ. « Dies quadraginta, 20 et noctes quadraginta. » Tot jejunavit quot et Moses et Elias : quod si plures jejunasset, visa fuisset incarnatio ejus fictitia et apparens. «Postea esuriit.» Quando permisit naturæ, tunc et esuriit, ut daret occasionem diabolo accedendi et congrediendi secum propter famem, et sic prosternat et dejiciat eum, nobisque victoriam largiatur.

VERS. 3. «Et cum accessisset ad eum ille qui tentat, dixit : Si Filius Dei es, dic ut lapides isti panes fiant (*a*). » Audivit vocem cœlestem latro. Iterum videt eum esurientem, et dubitat adhuc, quomodo Filius Dei esuriat, et idcirco tentat eum ut discat. Adulatur autem ei, putans se quid suffuraturum, dicendo, « Si Filius Dei es. » Jam rogas, et quod peccatum erat facere lapides, panes ? Audi igitur, quia audire diabolum in aliquo, peccatum est. Vide autem et aliud : non dixit, Ut lapis hic panis fiat, sed *lapides* : volens Christum ad superflua instigare. Esurienti enim unus panis sufficit, et propter hoc Christus non audivit eum.

VERS. 4. « At ille respondens, dixit : Scriptum est, Non in pane solo victurus est homo, sed in omni verbo quod egreditur per os Dei. » Ex veteri testamento est testimonium hoc; Mosis enim sermo

A ὁ Υἱός μου ὁ ἀγαπητός, » διὰ τὸν Ἰωάννην ἐγένετο, ἀλλ' ἰδόντες τὸ Πνεῦμα, πιστεύσωσιν, ὅτι ἡ φωνὴ αὕτη διὰ τὸν Ἰησοῦν ἐστιν. Ὡσεὶ περιστερὰν δὲ, διὰ τὸ ἄκακον καὶ πρᾶον · καὶ ὅτι καθαρώτατόν ἐστιν ἡ περιστερὰ, καὶ ἔνθα δυσωδία ἐστὶν, οὐ παραμένει · οὕτω καὶ τὸ ἅγιον Πνεῦμα. Ἀλλὰ καὶ ἐπὶ τοῦ Νῶε, περιστερὰ ἤγγειλε τὴν λύσιν τοῦ κατακλυσμοῦ, κάρφος ἐλαίας φέρουσα · οὕτω καὶ ἐνταῦθα τὸ Πνεῦμα τὸ ἅγιον, δηλοῖ λύσιν τῶν ἁμαρτιῶν. Ἐκεῖ κάρφος ἐλαίας, ἐνταῦθα δὲ ἔλεος Θεοῦ. « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα · » τουτέστιν, Ἐν ᾧ ἀναπαύομαι, ἐν ᾧ ἀρέσκομαι.

## ΚΕΦΑΛ. Δ'.

B Περὶ πειρασμοῦ τοῦ Χριστοῦ, περὶ τῆς τοῦ Πέτρου, καὶ Ἀνδρέου, καὶ τῶν υἱῶν τοῦ Ζεβεδαίου κλήσεως.

« Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος. » Διδάσκων ἡμᾶς, ὅτι μετὰ τὸ βάπτισμα, μᾶλλον δεῖ προσδοκᾷν πειρασμοὺς, ἀνάγεται ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου · οὐδὲν γὰρ ἄνευ τοῦ Πνεύματος ἔπραττεν. Ἀνάγεται δὲ εἰς τὴν ἔρημον, ἵνα δείξῃ ἡμῖν, ὅτι ὁ διάβολος τότε πειράζει ἡμᾶς, ὅταν εἴδῃ μεμονωμένους, καὶ μὴ ὑπ' ἀλλήλων βοηθουμένους. Δεῖ οὖν ἡμᾶς μὴ ἀβούλως ἑαυτοῖς θαῤῥεῖν. « Πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. » Διάβολος λέγεται ὡς διαβαλὼν τὸν Θεὸν πρὸς τὸν Ἀδάμ. Εἶπε γὰρ αὐτῷ, ὅτι ὁ Θεὸς φθονεῖ ἡμῖν. Καὶ νῦν δὲ τὴν ἀρετὴν διαβάλλει πρὸς ἡμᾶς.

« Καὶ νηστεύσας. » Ἐνήστευσεν, ἵνα δείξῃ, ὅτι ὅπλον μέγα ἡ νηστεία κατὰ τῶν πειρασμῶν, ὥσπερ
C ἀρχὴ πάσης ἁμαρτίας, ἡ τρυφή. « Ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα. » Τοσαύτας νηστεύει ὅσας καὶ Μωσῆς, καὶ Ἡλίας · εἰ γὰρ πλείους, ἔδοξεν ἂν φαντασία ἡ σάρκωσις. « Ὕστερον ἐπείνασεν. » Ὅτε συνεχώρησε τῇ φύσει, τότε καὶ ἐπείνασεν, ἵνα δώσῃ ἀφορμὴν τῷ διαβόλῳ προσελθεῖν καὶ συμπλακῆναι αὐτῷ διὰ τῆς πείνης, καὶ οὕτω ῥίψῃ αὐτὸν καὶ καταβάλῃ, καὶ τὴν νίκην χαρίσηται ἡμῖν.

« Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων, εἶπεν· Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. » Ἤκουσε τῆς οὐρανοῦ φωνῆς ὁ λῃστής. Πάλιν εἶδεν αὐτὸν πεινῶντα, καὶ ἀμφέβαλλε λοιπὸν, πῶς ὁ Υἱὸς τοῦ Θεοῦ πεινᾷ · διὰ τοῦτο τοίνυν πειράζει αὐ-
D τὸν, ἵνα μάθῃ. Κολακεύει δὲ αὐτὸν, νομίζων ὑποκλέψαι, ἐν τῷ λέγειν · « Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ. » Ἀλλ' ἐρωτᾷς · Καὶ τί ἁμάρτημα ἦν τὸ ποιῆσαι τοὺς λίθους ἄρτους ; Ἄκουε οὖν, ὅτι τὸ ἀκούειν τοῦ διαβόλου κατά τι, ἁμάρτημά ἐστιν. Ἄλλως τε ἴδε · οὐκ εἶπεν, Ἵνα ὁ λίθος οὗτος γένηται ἄρτος, ἀλλ' Οἱ λίθοι, θέλων ῥίψαι τὸν Χριστὸν εἰς περιττότητα. Τῷ γὰρ πεινῶντι εἷς ἄρτος ἀρκεῖ πάντως · διὰ τοῦτο ὁ Χριστὸς οὐκ ἤκουσεν αὐτοῦ.

« Ὁ δὲ ἀποκριθεὶς, εἶπε · Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. » Ἀπὸ τῆς Παλαιᾶς ἐστιν ἡ μαρτυρία · Μωσέως γὰρ ὁ λόγος.

(*a*) Edit. Lut. omisit Scripturæ verba.

Καὶ γὰρ καὶ οἱ Ἑβραῖοι, τῷ μάννα ἐτράφησαν, οὐχ A
ἄρτῳ ὄντι, ἀλλὰ διὰ ῥήματος Θεοῦ, πᾶσαν χρείαν τῶν Ἑβραίων πληροῦντι, καὶ πάντα γινομένῳ ὅσα ἂν φαγεῖν τις ἐπεθύμει. Εἴτε γὰρ ἰχθύος, εἴτε ᾠοῦ, εἴτε τυροῦ ἐπεθύμει, ὁ Ἰουδαῖος, τοιαύτην γεῦσιν παρεῖχεν αὐτῷ τὸ μάννα.

« Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ. » Μέρος τι τοῦ ἱεροῦ, οἷα τὰ παρ' ἡμῖν λεγόμενα διῤῥυτα· ὥσπερ γὰρ πτέρυγες δοκοῦσιν.

« Καὶ λέγει αὐτῷ· Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλλε σεαυτὸν κάτω. Γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. » Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, μονονουχὶ τοῦτο λέγει· Ἐγὼ οὐ B
πιστεύω τῇ ἐξ οὐρανῶν φωνῇ· ὅμως σὺ, εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, δεῖξόν μοι. Καίτοι γε, ὦ μιαρὲ, εἰ Υἱὸς ἦν τοῦ Θεοῦ, κατεκρήμνισεν ἂν ἑαυτόν; Τῆς σῆς ὠμότητος τοῦτό ἐστι, τὸ κατακρημνίζειν τοὺς δαιμονῶντας· Θεοῦ δὲ, τὸ σώζειν. Οὐ γέγραπται δὲ τὸ, « Ἐπὶ χειρῶν ἀροῦσί σε, » περὶ τοῦ Χριστοῦ, ἀλλὰ περὶ τῶν ἁγίων, τῶν δεομένων βοηθείας ἀγγελικῆς. Ὁ δὲ Χριστὸς οὐ δεῖται, Θεὸς ὤν.

« Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Πάλιν γέγραπται· Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. » Ἡμέρως αὐτὸν ἀποκρούεται ὁ Χριστὸς, διδάσκων ἡμᾶς διὰ τῆς πραότητος νικᾷν τοὺς δαίμονας.

« Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασι- C
λείας τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτῶν, καὶ λέγει αὐτῷ· Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. » Τινὲς μὲν νομίζουσιν ὄρος ὑψηλὸν, τὸ τῆς φιλοχρηματίας πάθος, εἰς ὃ σπουδάζει ἀναγαγεῖν τὸν Ἰησοῦν ὁ ἐχθρός· ἀλλ' οὐ καλῶς νομίζουσιν. Αἰσθητῶς γὰρ ἐφάνη αὐτῷ ὁ διάβολος· λογισμοὺς γὰρ ὁ Κύριος οὐκ ἐδέξατο, μὴ γένοιτο. Αἰσθητῶς οὖν αὐτῷ ἔδειξεν ἐν τῷ ὄρει πάσας τὰς βασιλείας, κατὰ φαντασίαν ὑποστήσας αὐτῷ πρὸ ὀφθαλμῶν ταύτας, καὶ, « Ταῦτα πάντα σοι δώσω. » φησίν. Ὡς γὰρ ἴδιον ὄντα τὸν κόσμον λογίζεται, ὑπὸ ὑπερηφανίας· τοῦτο δὲ καὶ νῦν λέγει τοῖς πλεονέκταις, ὥστε οἱ προσκυνοῦντες αὐτῷ, ἐκεῖνοι ταῦτα ἔχουσιν.

« Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται γάρ· Κύριον τὸν Θεόν σου προσ- D
κυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. » Ὀργίζεται ὁ Κύριος αὐτῷ, ὅτε εἶδε αὐτὸν τὰ τοῦ Θεοῦ σφετεριζόμενον, καὶ λέγοντα· « Ταῦτα πάντα σοι δώσω, » ὡς ἴδια. Μάθε δὲ πῶς ὠφελοῦσιν αἱ Γραφαί· ὁ γὰρ Κύριος ἀπ' αὐτῶν ἐπεστόμισε τὸν ἐχθρόν.

« Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος. καὶ ἰδοὺ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ. » Τοὺς τρεῖς πειρασμοὺς ἐνίκησεν ὁ Κύριος, τὸν τῆς γαστριμαργίας, τὸν τῆς κενοδοξίας, καὶ τὸν τῆς φιλοχρηματίας, ἤγουν φιλοπλουτίας. Οὗτοι γὰρ εἰσιν οἱ ἄρχοντες τῶν παθῶν· τούτους οὖν νικήσας, καὶ τοὺς ἄλλους πολλῷ μᾶλλον. Ὅθεν ὁ Λουκᾶς φησιν ὅτι πάντα πειρασμὸν ἐτέλεσε, τὰς κεφαλὰς τῶν πειρασμῶν τελέσας. Ὅθεν καὶ ἄγγελοι διακονοῦσιν αὐτῷ, ἵνα

est. Nam et Hebræi cibati sunt manna, quod non erat panis, sed per verbum Dei implebat omnem Hebræorum indigentiam, et fiebat omnia quæcunque comedere quisquam cupiebat; nam sive piscem, sive ovum, sive caseum concupiscebat Judæus, illius gustum manna ei præbebat.

VERS. 5. « Tunc assumit eum diabolus in sanctam civitatem, et statuit eum supra pinnaculum templi. » Pars quædam templi erat, sicut quæ apud nos dicuntur διῤῥυτα: videntur enim sicut alæ esse.

VERS. 6. « Et dicit ei, Si Filius Dei es tu, mittito te deorsum, Scriptum est enim, Angelis suis mandabit de te, et in manibus portabunt te, ne forte impingas in lapidem pedem tuum. » Si Filius Dei es tu, quasi hoc dicat: Ego non credo voci cœlitus missæ: attamen tu, si Filius Dei es, ostende mihi. Quamvis Filius Dei erat, num, o maledicte, præcipitare debebat seipsum? Tuæ credulitatis est, præcipitare dæmonio actos, Dei autem salvare. Non autem scriptum est istud, In manibus portabunt te, propter Christum, sed propter sanctos, qui indigent angelico præsidio. Christus autem, qui Deus est, non opus illo habet.

VERS. 7. « Dixit illi Jesus: Rursum scriptum est, non tentabis Dominum Deum tuum. » Mansuete repellit eum Christus, docens et nos mansuetudine dæmones vincere.

VERS. 8, 9. « Iterum assumit eum diabolus in montem excelsum valde, et monstrat ei omnia regna, mundi et gloriam illorum, et dicit ei, Hæc omnia tibi dabo, si procideris et adoraveris me. » Quidam putant montem excelsum valde, affectionem et studium in possidendis divitiis, in quem conatur inimicus Jesum ducere; sed non recte opinantur. In sensibili enim forma apparuit ei diabolus. 21 Cogitationes enim tales non habuit Dominus, absit. Sensibiliter igitur ei monstravit in monte omnia regna, ante oculos ea apparere faciens, et, Hæc omnia tibi dabo, inquit. Mundum quasi suus proprius esset proponit, præ superbia. Hoc et nunc dicit avaris, ut adorantes eum omnia hæc habeant.

VERS. 10. « Tunc dicit ei Jesus, Vade post me Satana. Scriptum est enim, Dominum Deum tuum adorabis, et illum solum coles. » Irascitur illi Dominus, quando videt illum ea quæ Dei sunt sibi vindicantem, et dicentem, Hæc omnia tibi dabo, ut propria. Disce autem quomodo prosint Scripturæ, per quas Dominus os inimici obturavit.

VERS. 11. « Tunc omittit illum diabolus, et ecce angeli accedebant et ministrabant ei. » Tres tentationes superavit Dominus, gulæ, vanæ gloriæ, et avaritiæ. Illæ enim præcipuæ sunt affectiones. Has igitur qui vicerit, alias multo magis vincet. Unde Lucas dicit quod omnem tentationem consummaverit, quandoquidem capita tentationum vicit. Proinde angeli ei ministrant: quo commonstratur quod et nobis post victoriam angeli ministraturi sint, omnia

enim propter nos et fecit et monstravit Dominus, quoniam ei ut Deo angeli semper ministrant.

VERS. 12, 13. « Cum audisset autem Jesus quod Joannes traditus esset, secessit in Galilæam, et relicta Nazareth, profectus habitavit in Capernaum, quæ est apud mare, in confiniis Zabulon et Nephtalim. » Secedit Jesus, docens nos ne temere periculis nos injiciamus. Secedit autem in Galilæam, hoc est, devolubilem. Gentes enim in peccatis volutantur. Habitat autem in Capernaum, quod est domus consolationis : ut enim faciat gentes domum consolatoris, ob eam causam (a) descendit. Zabulon interpretatur nocturna, Nephthalim autem latitudo. Gentes enim et noctem habebant et latitudinem in vita : non enim per augustam viam ambulabant, sed per eam qaæ in perditionem fert.

VERS. 14-16. « Ut impleatur quod dictum est per Isaiam prophetam, dicentem : Terra Zabulon, et terra Nephthalim juxta viam maris trans Jordanem, Galilæa gentium. Populus qui sedebat in tenebris vidit lucem magnam, et sedentibus in regione et umbra mortis, lux orta est eis. » Viam maris pro eo quod est ad viam maris sitam. Lux autem magna, Evangelium. Lex enim lux et ipsa erat, sed parva. Umbra autem mortis, peccatum : similitudo enim et adumbratio mortis est. Nam sicut mors corpus, ita et peccatum animam invadit. Orta autem est lux nobis. Non enim quæsivimus illam nos, sed illa apparuit nobis, quasi sequens nos.

VERS. 17. « Ex hoc cœpit Jesus prædicare ac dicere. » Ex quo tempore detentus est in vinculis Joannes, cœpit prædicare Jesus. Exspectavit enim Jesus, ut Joannes prius de se testificaretur, et pararet 22 sibi viam qua venturus erat : sicut servi ante dominos præparant. Æqualis enim exsistens Patri Dominus, habebat et ipse prophetam Joannem, sicut et Pater ejus et Deus habuit prophetas ante Joannem imo et illi et Patris sunt et Filii. « Resipiscite, in propinquo enim est regnum cœlorum. » Regnum cœlorum est et Christus, est et vita virtutibus prædita. Quando enim quis super terram vivit sicut angelus, nonne cœlestis est? atque ita in unoquoque nostrum est regnum cœlorum, si angelicam vitam agimus.

VERS. 18, 19. « Ambulans autem apud mare Galilææ, vidit duos fratres, Simonem qui dicitur Petrus, et Andream fratrem ejus, mittentes rete in mare. Erant enim piscatores, et dicit illis. » Hi fuerunt disciduli Joannis. Vivente autem adhuc Joanne, accesserunt ad Christum. Porro ubi Joannem viderunt vinctum, reversi sunt ad piscatoriam, et sic veniens Christus piscatur eos, dicens :

A δειχθῇ ὅτι καὶ ἡμῖν μετὰ τὴν νίκην ἄγγελοι ὑπηρετήσουσι. Πάντα γὰρ δι' ἡμᾶς καὶ ποιεῖ καὶ δείκνυσιν ὁ Χριστός. Ἐπεὶ αὐτῷ, ὡς Θεῷ, καὶ οἱ ἄγγελοι ὑπουργοῦσιν.

« Ἀκούσας δὲ ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν· καὶ καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ, τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ. » Ἀναχωρεῖ ὁ Ἰησοῦς, παιδεύων ἡμᾶς μὴ ἐπιῤῥίπτειν ἑαυτοὺς τοῖς κινδύνοις. Ἀναχωρεῖ δὲ εἰς τὴν Γαλιλαίαν, ὅ ἐστι, τὴν κατακυλιστήν. Τὰ γὰρ ἔθνη εἰς τὴν ἁμαρτίαν κατεκυλίοντο. Καὶ κατοικεῖ ἐν Καπερναοὺμ, ὅ ἐστιν οἶκος παρακλήσεως· ἵνα γὰρ ποιήσῃ τὰ ἔθνη οἶκον τοῦ Παρακλήτου, διὰ
B τοῦτο κατῆλθε. Ζαβουλὼν δὲ ἑρμηνεύεται νυκτερία· Νεφθαλεὶμ δὲ, πλατυσμός. Τὰ τοίνυν ἔθνη, καὶ νύκτα εἶχον καὶ πλατυσμὸν ἐν τῇ ζωῇ. Οὐ γὰρ τὴν στενὴν ὁδὸν ἐβάδιζον, ἀλλὰ τὴν εἰς ἀπώλειαν φέρουσαν.

« Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα· καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. » Ὁδὸν θαλάσσης, ἀντὶ τοῦ, ἡ πρὸς τὴν ὁδὸν τῆς θαλάσσης κειμένη. Φῶς δὲ μέγα, τὸ Εὐαγγέλιον. Ὁ γὰρ νόμος, φῶς καὶ αὐτὸς ἦν, ἀλλὰ μικρόν. Σκιὰ δὲ θανάτου, ἡ ἁμαρτία· ὁμοίωμα γὰρ καὶ σκιαγραφία τοῦ θανάτου ἐστίν.
C Ὡς γὰρ ὁ θάνατος τὸ σῶμα, οὕτως αὕτη τὴν ψυχὴν κατέχει. Ἀνέτειλε δὲ τὸ φῶς ἡμῖν. Οὐ γὰρ ἡμεῖς ἐζητήσαμεν αὐτὸ, ἀλλ' ἐκεῖνο ἐπεφάνη ἡμῖν, ὡσανεὶ καταδιῶξαν ἡμᾶς.

« Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν. » Ἀφ' οὗ ἐδεσμεύθη ὁ Ἰωάννης, ἤρξατο κηρύσσειν ὁ Ἰησοῦς. Ἀνέμενε γὰρ τὸν Ἰωάννην πρότερον μαρτυρῆσαι περὶ αὐτοῦ, καὶ κατασκευάσαι αὐτῷ ὁδὸν, δι' ἧς ἔμελλεν ἐλθεῖν, ὥσπερ καὶ τοῖς δεσπόταις οἱ δοῦλοι προετοιμάζουσιν. Ἴσος γὰρ ὢν τῷ Πατρὶ ὁ Κύριος, εἶχε καὶ αὐτὸς προφήτην τὸν Ἰωάννην, ὥσπερ ὁ Πατὴρ αὐτοῦ καὶ Θεὸς εἶχε τοὺς πρὸ τοῦ Ἰωάννου προφήτας, μᾶλλον δὲ κἀκεῖνοι τοῦ τε Πατρὸς καὶ τοῦ Υἱοῦ εἰσιν. « Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. » Βασιλεία
D τῶν οὐρανῶν ἐστὶ καὶ ὁ Χριστὸς, ἔστι δὲ καὶ ἡ ἐνάρετος ζωή. Ὅταν γάρ τις ὡς ἄγγελος πολιτεύηται ἐν γῇ, ἆρα οὐκ οὐράνιός ἐστιν; ὥστε ἐν ἑκάστῳ ἡμῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, ἐὰν ἀγγελικῶς ζῶμεν.

« Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν (ἦσαν γὰρ ἁλιεῖς), καὶ λέγει αὐτοῖς. » Οὗτοι τοῦ Ἰωάννου ἐγένοντο μαθηταί. Ζῶντος δὲ ἔτι τοῦ Ἰωάννου, προσῆλθον τῷ Χριστῷ. Ὡς δὲ εἶδον τὸν Ἰωάννην δεσμευθέντα, πάλιν ὑπέστρεψαν εἰς τὴν ἁλιευτικὴν, καὶ οὕτως ἐλθὼν ὁ Χριστὸς, ἁλιεύει αὐτοὺς, λέγων·

(a) Edit. Lut. omisit, *ob eam causam*.

« Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀν- A
θρώπων. Οἱ δὲ, εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. » Ὅρα ὑπηκόους ἀνθρώπους, εὐθέως ἠκολούθησαν αὐτῷ. Ὅθεν δῆλον ὅτι δευτέρα ἐστὶν ἡ κλῆσις αὕτη. Προδιδαχθέντες γὰρ ὑπὸ τοῦ Χριστοῦ, εἶτα ἀφέντες αὐτὸν, ἑτοίμως πάλιν ἠκολούθησαν ἰδόντες αὐτόν.

« Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφοὺς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν. » Ἀρετὴ μεγίστη, τὸ γηροτροφεῖν τὸν πατέρα αὐτῶν, καὶ ἀπὸ δικαίων τρέφεσθαι πόνων. « Καταρτίζοντας τὰ δίκτυα αὐτῶν. » Πένητες γὰρ ἦσαν, καὶ διὰ τοῦτο μὴ δυνάμενοι νέα ὠνήσασθαι, τὰ παλαιὰ συνέῤῥαπτον.

« Οἱ δὲ, εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πα- B
τέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. » Φαίνεται ὁ Ζεβεδαῖος μὴ πιστεύσας, καὶ διὰ τοῦτο ἀφῆκαν αὐτόν. Ὁρᾷς πότε δεῖ ἀφεῖναι τὸν πατέρα, ὅταν ἐμποδίζῃ πρὸς ἀρετὴν καὶ θεοσέβειαν. Οὗτοι δὲ ἰδόντες τοὺς προτέρους ἀκολουθοῦντας, εἰκότως ἠκολούθησαν, μιμησάμενοι ἐκείνους.

« Καὶ περιῆγε ὁ Ἰησοῦς ὅλην τὴν Γαλιλαίαν, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας. » Ἵνα δείξῃ ὅτι οὐκ ἔστιν ἐναντίος τῷ νόμῳ, εἰσέρχεται εἰς τὰς συναγωγὰς τῶν Ἑβραίων. « Καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. » Τῶν σημείων ἄρχεται, ἵνα πιστώσηται ἃ διδάσκει. Νόσος δὲ ἐστιν ἡ χρονία κακοπάθεια· μαλακία δὲ, ἡ πρόσκαιρος ἀνωμαλία τοῦ σώματος. C

« Καὶ ἐξῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, καὶ σεληνιαζομένους, καὶ παραλυτικοὺς, καὶ ἐθεράπευσεν αὐτούς. » Οὐκ (1) ἀπῄτησεν ὁ Χριστός τινα ἐκ τῶν προσαγομένων, πίστιν, διότι αὐτὸ (2) τοῦτο πίστεως ἦν, τὸ μακρόθεν προσφέρειν αὐτούς. Σεληνιαζομένους δὲ λέγει τοὺς δαιμονῶντας. Ὁ γὰρ δαίμων, θέλων ἐνσπεῖραι τοῖς ἀνθρώποις ὅτι οἱ ἀστέρες κακοποιοί εἰσιν, ἐπετήρει τὴν σελήνην ὁλόκυκλον οὖσαν, καὶ τότε ἐπετίθετο, ἵνα δόξῃ ἡ σελήνη τοῦ πάθους αἰτία, καὶ διαβληθῇ ἡ δημιουργία τοῦ Θεοῦ, ὥσπερ καὶ οἱ Μανιχαῖοι ἐπλανήθησαν.

Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας, καὶ Δεκαπόλεως, καὶ Ἱεροσολύμων, καὶ D
Ἰουδαίας καὶ πέραν τοῦ Ἰορδάνου.

ΚΕΦΑΛ. Ε'.

Περὶ τῶν μακαρισμῶν. Περὶ τοῦ μὴ φιλονεικεῖν πρὸς τὸν πλησίον. Περὶ τοῦ μὴ μοιχεύειν. Περὶ τοῦ μὴ ἀπολύειν τὴν γυναῖκα. Περὶ τοῦ μὴ ὀμόσαι ὅλως. Περὶ τοῦ τὰς ὕβρεις ἀνέχεσθαι, καὶ ἀντιστῆναι τῷ πονηρῷ. Περὶ τοῦ ἀγαπᾷν τοὺς ἐχθρούς.

« Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος. » Διδάσκων ἡμᾶς μὴ κατ' ἐπίδειξίν τι ποιεῖν, ἀναβαίνει εἰς

VERS. 19, 20. Venite post me, et faciam vos piscatores hominum. Illi autem statim, relictis retibus, secuti sunt illum. » Vide obedientes homines, statim secuti sunt illum. Unde manifestum quod hæc secunda vocatio sit. Antea enim docti erant a Christo, deinde reliquerunt eum : nunc autem viso ipso, statim secuti sunt.

VERS. 21. « Et progressus illinc, vidit alios duos fratres, Jacobum Zebedæi filium, et Joannem fratrem ejus in navi cum Zebedæo patre suo. » Summa virtus est, pascere patrem senem, atque justis ali laboribus. « Sarcientes retia sua. » Pauperes enim erant, et quia non poterant emere nova, reparaverunt vetera.

VERS. 22. « At illi protinus relicta navi et patre suo, secuti sunt eum. » Apparet Zebedæum non credidisse, et propterea reliquerunt eum. Vides quando oportet relinquere patrem, nempe quando obstat virtuti et pietati. Hi autem ut viderunt priores sequentes Christum, merito secuti sunt, imitantes illos.

VERS. 23. « Et circumibat Jesus totam Galilæam, docens in synagogis illorum, et prædicans evangelium regni. » Ut monstret quod non contrarius sit legi, ingreditur in synagogas Hebræorum. « Et sanans omnem morbum et omnem languorem in populo. » A signis incipit ut credantur quæ docet : morbus autem est diuturna mala valetudo : languor vero temporarius, et deordinatio in corpore.

VERS. 24. « Et dimanavit fama illius in totam Syriam, et attulerunt ad eum omnes male affectos variis morbis, et torminibus contractos, et lunaticos, et paralyticos, et curavit eos. » Non petiit Christus ab aliquo ex iis qui adducebantur, fidem: nam istuc ipsum a longe afferre, fidei erat. Lunaticos autem dicit dæmoniacos. Dæmon enim volens hominibus persuadere quod stellæ maleficæ sint, observat 23 lunam cum integra est, et tunc insidiatur, ut videatur luna passionis et morbi causa, et rejiciatur opificium Dei, quemadmodum et Machæi errant.

VERS. 25. « Et secutæ sunt eum turbæ multæ a Galilæa, et Decapoli, et Hierosolymis, et Judæa, et regionibus trans Jordanem sitis. »

CAPUT V.

*De Beatitudinibus. Quod non liceat cum proximo contendere. Quod non liceat mæchari. Quod non liceat uxorem dimittere. Quod non liceat jurare omnino. Quod contumelias sustinere, et diabolo resistere oporteat. Quod oporteat etiam inimicos diligere.*

VERS. 1. « Et cum vidisset turbas, ascendit in montem. » Docens nos nihil ad ostentationem esse

Ex collatione codd. Venet. S. Marci

(1) Διὰ τί οὐκ cod. 29.

(2) Διότι οὔπω τῆς αὐτοῦ δυνάμεως πεῖραν ἦν δεδωκώς. Ἄλλως τε καὶ αὐτὸ τοῦτο. « Quia nondum suæ virtutis experimentum dederat ; et alias istuc ipsum. » idem cod.

ciendum, ascendit in montem Quandoquidem autem docturus erat, erudit nos a media secedere turba, quando docemus. « Et cum sedisset ipse, accesserunt ad eum discipuli ejus. » Aliæ quidem turbæ propter miracula, discipuli autem propter doctrinam accedunt, unde postquam curavit corpora, et fecit miracula, curat animas : ut discamus quod et animarum et corporum sit opifex.

Vers. 2. « Et aperto ore suo. » Quare additum est, aperto ore suo? videtur quod superfluat. Minime ; docuit enim etiam non aperiendo os suum. Quomodo? per vitam et miracula, nunc autem aperiens os, docet. « Docebat eos, dicens. » Non tantum discipulos, sed et turbam. Incipit autem a beatitudinibus, sicut et David a beatitudine incœpit.

Vers. 3. « Beati pauperes spiritu, quoniam illorum est regnum cœlorum. » Primum modestiam et humilitatem animi ceu fundamentum jacit. Nam quoniam propter superbiam Adam cecidit, per humilitatem erigit nos Chrtstus, quandoquidem Deus fieri sperabat Adam. Contriti autem anima, sunt pauperes spiritu.

Vers. 4. « Beati qui lugent, quoniam ipsi consolationem accipient. » Qui propter peccata lugent, non propter temporalia; lugentes autem dixit, semper scilicet et non semel : et non pro nostris peccatis tantum, sed et pro peccatis proximorum. Cosolationem vero accipient et hic : qui enim luget propter peccata, gaudet spiritualiter : et illic quoque multo magis.

Vers. 5. « Beati mites, quoniam ipsi hæreditatem accipient terræ. » Aliqui spiritualem terram dicunt, cœlum videlicet : verum tu et hanc terram intellige; quoniam enim putantur mites, despecti et inopes, dicit quod hi magis omnia habeant. Mites autem sunt, non qui prorsus non irascuntur, tales enim insipientes sunt et insensati, sed qui iræ quidem 24 vim habent, continent tamen, et quando oportet irascuntur.

Vers. 6. Beati qui esuriunt et sitiunt justitiam, quoniam illi saturabuntur. » Quandoquidem de misericordia dicturus est, ostendit primum servandam justitiam, et eleemosynam non ex rapina dandam. Porro jutitia omni cum alacritate exercenda est, quod significat cum dicit : Esurientes et sitientes. Quoniam autem avari quidam abundantes esse videntur et saturati, dicit quod justi magis etiam hic satientur, quia propria secure possident.

Vers. 7. « Beati misericordes, quoniam ipsi misericordiam consequentur. » Non in solis divitiis est misericordia, sed in sermone : et si nihil habes, etiam in lacrymis. Misericordiam autem consequentur et hic ab hominibus : qui enim heri misericors fuit, etiam si hodie inops sit, ab omnibus misericordiam consequetur : et alibi, multo majorem a Deo.

Vers 8. « Beati mundo corde, quoniam ipsi

A τὸ ὄρος· ἐπεὶ γὰρ ἔμελλε διδάσκειν, παιδεύει ἡμᾶς τῶν ἐν μέσῳ ἀναχωρεῖν θορύβων, ὅταν διδάσκωμεν. « Καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. » Οἱ μὲν ὄχλοι διὰ τὰ θαύματα, οἱ δὲ μαθηταὶ διὰ τὰ διδάγματα προσέρχονται· ὅθεν καὶ μετὰ τὸ πληρῶσαι τὰ θαύματα, καὶ θεραπεῦσαι τὰ σώματα, θεραπεύει καὶ τὰς ψυχάς· ἵνα μάθωμεν, ὅτι καὶ ψυχῶν καὶ σωμάτων αὐτός ἐστι δημιουργός.

« Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ. » Διὰ τί πρόσκειται τὸ, « Ἀνοίξας τὸ στόμα αὐτοῦ ; » φαίνεται γὰρ ὅτι περιττόν ἐστιν. Ἀλλ' οὐχί· καὶ μὴ ἀνοίγων γὰρ τὸ στόμα, ἐδίδασκεν. Πῶς ; διὰ τοῦ βίου καὶ τῶν θαυμάτων· νῦν δὲ ἀνοίγων τὸ στόμα, διδάσκει. « Ἐδίδασκεν αὐτούς, λέγων. » Οὐ τούς μαθητὰς μόνους,
B ἀλλὰ καὶ τὸν ὄχλον· ἄρχεται δὲ ἀπὸ τῶν μακαρισμῶν, ὥσπερ καὶ ὁ Δαυΐδ ἀπὸ μακαρισμοῦ ἤρξατο.

« Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. » Τὴν ταπεινοφροσύνην προκαταβάλλεται ὥσπερ θεμέλιον. Ἐπεὶ γὰρ ἐκ τῆς ὑπερηφανίας ἔπεσεν ὁ Ἀδάμ, διὰ τῆς ταπεινοφροσύνης ἀνορθοῖ ἡμᾶς ὁ Χριστός· ἤλπισε γὰρ Ἀδὰμ Θεὸς γενέσθαι. Οἱ συντετριμμένοι δὲ τῇ ψυχῇ, οὗτοι πτωχοὶ τῷ πνεύματι.

« Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. » Οἱ ἐπὶ τοῖς ἁμαρτήμασι πενθοῦντες, οὐχὶ ἐπί τινι τῶν βιωτικῶν· πενθοῦντες δὲ εἶπε, τουτέστιν, ἀεὶ καὶ οὐχ ἅπαξ· καὶ οὐχ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν τοῦ πλησίον. Παρακληθήσονται δὲ καὶ ἐνταῦθα· ὁ γὰρ πενθῶν δι' ἁμαρτίαν, χαίρει πνευματικῶς· καὶ ἐκεῖ δὲ πολλῷ
C μᾶλλον.

« Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. » Τινὲς γῆν, τὴν νοητὴν φασιν, ἤτοι τὸν οὐρανόν· πλὴν ἀλλὰ καὶ τὴν ταύτην νόει. Ἐπεὶ γὰρ νομίζονται οἱ πραεῖς, καταπεφρονημένοι καὶ ἀποστερούμενοι τῶν ὑπαρχόντων, φησὶν, ὅτι μᾶλλον οὗτοι τὰ πάντα ἔχουσι. Πραεῖς δέ εἰσιν, οὐχ οἱ μηδόλως ὀργιζόμενοι (οἱ τοιοῦτοι γὰρ ἀναίσθητοι), ἀλλ' οἱ θυμὸν μὲν ἔχοντες, κρατοῦντες δὲ, καὶ ὅτε δεῖ ὀργιζόμενοι.

« Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. » Ἐπειδὴ μέλλει περὶ ἐλεημοσύνης εἰπεῖν, δείκνυσι πρῶτον, ὅτι δεῖ δικαιοσύνη μετιέναι, καὶ μὴ ἐξ ἁρπαγῆς ἐλεεῖν· μετὰ ἐπιθυμίας δὲ ἁπάσης δεῖ μετέρχεσθαι τὴν δι-
D καιοσύνην· τὸ γάρ, « Πεινῶντες καὶ διψῶντες, » τοῦτο σημαίνει. Ἐπειδὴ δὲ δοκοῦσιν οἱ πλεονέκται, εὔποροι εἶναι καὶ χορτάζεσθαι, φησὶν ὅτι οἱ δίκαιοι μᾶλλον καὶ ἐνταῦθα χορτασθήσονται, αὐτοὶ γὰρ ἔχουσι τὰ ἴδια μετὰ ἀσφαλείας.

« Μακάριοι οἱ ἐλεήμονες· ὅτι αὐτοὶ ἐλεηθήσονται. » Οὐχὶ διὰ χρημάτων μόνον ἔστιν ἐλεεῖν, ἀλλὰ καὶ λόγου· κἂν μηδὲν ἔχῃς, διὰ δακρύων. Ἐλεηθήσονται δὲ, καὶ ἐνταῦθα παρὰ ἀνθρώπων· ὁ γὰρ χθὲς ἐλεήμων, ἐὰν ἀπορήσῃ σήμερον, παρὰ πάντων ἐλεηθήσεται· καὶ ἐκεῖ δὲ, παρὰ τοῦ Θεοῦ μειζόνως.

« Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν

Θεὸν ὄψονται. » Πολλοί εἰσιν οὔτε ἁρπάζοντες, ἀλλὰ καὶ μᾶλλον ἐλεοῦντες· πλὴν πορνεύουσι, καὶ ἀκάθαρτοι ἄλλως εἰσίν. Ὁ γοῦν Χριστὸς κελεύει, μετὰ τῶν ἄλλων ἀρετῶν, καὶ καθαρούς, ἤτοι σώφρονας, εἶναι· οὐ μόνον τῷ σώματι, ἀλλὰ καὶ τῇ καρδίᾳ. Τοῦ ἁγιασμοῦ γάρ, ἤτοι τῆς σωφροσύνης χωρίς, οὐδεὶς ὄψεται τὸν Κύριον. Ὥσπερ γὰρ τὸ κάτοπτρον ἐὰν ᾖ καθαρὸν, τότε δέχεται τὰς ἐμφάσεις· οὕτω καὶ ἡ καθαρὰ ψυχὴ δέχεται ὄψιν Θεοῦ, καὶ τὴν τῶν Γραφῶν γνῶσιν.

« Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. » Οὐ μόνον οἱ εἰρηνεύοντες αὐτοὶ πρὸς πάντας, ἀλλὰ καὶ οἱ ἑτέρους στασιάζοντας καταλλάσσοντες. Εἰρηνοποιοὶ δὲ εἰσι καὶ οἱ διὰ διδασκαλίας τοὺς ἐχθροὺς τοῦ Θεοῦ ἐπιστρέφοντες. Υἱοὶ δὲ Θεοῦ οἱ τοιοῦτοι. Καὶ γὰρ καὶ ὁ μονογενὴς κατήλλαξεν ἡμᾶς τῷ Θεῷ.

« Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. » Οὐ μόνοι οἱ μάρτυρες διώκονται, ἀλλὰ καὶ πολλοὶ ἕνεκεν τοῦ βοηθεῖν τοῖς ἀδικουμένοις, καὶ πάσης ἁπλῶς ἀρετῆς· δικαιοσύνη γάρ, ἡ πᾶσα ἀρετή. Ἐπεὶ καὶ κλέπται καὶ φονεῖς διώκονται, ἀλλ' οὐ μακάριοι.

« Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν. » Πρὸς αὐτοὺς λοιπὸν τοὺς ἀποστόλους ἀποτείνεται, δεικνὺς, ὅτι μάλιστα τῶν διδασκάλων ἴδιον, τὸ ὀνειδίζεσθαι. « Καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ. » Οὐχ ὁ ἁπλῶς ὀνειδιζόμενος, μακάριος, ἀλλ' ὅταν καὶ διὰ Χριστὸν, καὶ ψευδῶς. Ἐὰν δὲ μὴ τὰ δύο ταῦτα προσῇ, ἄθλιος ἐκεῖνος, ὡς πολλοὺς σκανδαλίζων.

« Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. » Ἐπὶ τῶν ἄλλων οὐκ εἶπε μισθὸν πολύν· ἐνταῦθα δὲ, δεικνύων, ὅτι τὸ ὑπομεῖναι ὄνειδος, μέγα καὶ χαλεπώτατον. Πολλοὶ γὰρ καὶ ἀπηγχόνισαν ἑαυτούς. Καὶ ὁ Ἰὼβ δὲ τοὺς ἄλλους ὑπομείνας πειρασμούς, τότε μάλιστα ἐταράχθη, ὅτε ὠνείδιζον αὐτῷ οἱ φίλοι, ὡς δι' ἁμαρτίας πάσχοντι. « Οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. » Ἵνα μὴ ὑπονοήσωσιν οἱ ἀπόστολοι, ὅτι διὰ τὸ ἐναντία τινὰ διδάσκειν, διωχθήσονται, παραμυθεῖται αὐτούς, λέγων, ὅτι Καὶ οἱ πρὸ ὑμῶν προφῆται δι' ἀρετὴν ἠλαύνοντο· ὥστε παραμυθίαν ἔχετε τὰ ἐκείνων πάθη.

« Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς. » Οἱ μὲν προφῆται εἰς ἓν ἔθνος ἀπεστάλησαν. Ὑμεῖς δὲ τῆς γῆς ἁπάσης ἐστὲ τὸ ἅλας, διὰ τῆς διδασκαλίας καὶ τῶν ἐλέγχων στύφοντες τοὺς χαύνους, ἵνα μὴ γεννήσωσι τοὺς ἀτελευτήτους σκώληκας· ὥστε μὴ ἀποβάλητε τὴν στρυφνότητα τῶν ἐλέγχων, κἂν ὀνειδίζησθε, κἂν διώκησθε. Διό φησιν· « Ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. » Ὁ γὰρ διδάσκαλος ἐὰν μωρανθῇ, τουτέστιν, εἰ οὐκ ἐλέγχει καὶ στύφει, ἀλλὰ χαυνωθῇ,

A Deum videbunt. » Multi sunt non rapientes, sed et misericordes, verumtamen scortantur, et alias immundi sunt. At Christus jubet cum aliis virtutibus etiam mundos, hoc est, castos esse: non solum corpore, sed et corde. Nam absque sanctificatione, hoc est, castitate, nullus videbit Deum. Sicut speculum, si fuerit mundum, tunc accipit imagines, ita et anima pura faciem Dei, et Scripturarum scientiam suscipit.

VERS. 9. « Beati pacifici, quoniam ipsi filii Dei vocabuntur. » Non solum illi qui cum aliis pacem habent, sed et qui seditiosos alios conciliant. Pacifici autem sunt et qui per doctrinam inimicos Dei convertunt; filii autem Dei fiunt tales. Etenim B Unigenitus conciliavit nos Deo.

VERS. 10. « Beati qui persecutionem patiuntur propter justitiam, quoniam ipsorum est regnum cœlorum. » Non soli martyres, sed et multi persecutionem patiuntur, quia juvant injuria afflictos, et in summa omnem virtutem fovent. Justitia enim est omnis virtus. Fures autem et homicidæ, tametsi etiam ipsi persecutionem patiantur, non sunt tamen beati.

VERS. 11. Beati estis, quando exprobraverint vos et persecuti fuerint. » Ad ipsos apostolos deinceps se convertit, ostendens quod maxime proprium sit doctoribus opprobria audire. « Et dixerint omne malum verbum contra vos, mentientes C propter me. » Non simpliciter qui exprobratur beatus est, sed quando et propter Christum, et falso: si autem duo hæc non affuerint, miser ille est, utpote multis existens offendiculo.

VERS. 12. « Gaudete et exsultate, quoniam merces vestra multa est in cœlis. » Cum de aliis loqueretur, non dixit mercedem multam: hic autem ostendit, quod sustinere opprobrium, magnum sit et gravissimum. Multi enim suspenderunt seipsos. Et Job, quamvis sustinebat multas tentationes alias, tunc tamen maxime turbabatur; cum exprobrarent ei amici quasi propter peccata sua pateretur. « Sic enim persecuti sunt prophetas, qui ante vos fuerunt. » Ut ne suspicentur apostoli, quod 25 persecutionem patiantur eo quod contraria quædam D docuerint: consolatur eos, dicens, Quia et ante vos prophetis propter virtutem hoc accidit, unde illorum passiones vos consolari debent.

VERS. 13. « Vos estis sal terræ. » Prophetæ ad unam gentem missi sunt, vos autem totius terræ sal estis, mordentes et condientes doctrina et reprehensionibus dissolutos, ut non pariant vermes perpetuos: propterea ne abjiciatis mordacitatem reprehensionum, etiamsi persecutionem patiamini, et vobis exprobrent. Ideo dicit: « Quod si sal infatuatus fuerit, in quo salietur? ad nihil valet ultra, nisi ut projiciatur foras, et conculcetur ab hominibus. » Si doctor enim infatuatus fuerit, hoc est, si non arguit et constringit, sed mollis est et laxus,

in quo salietur, hoc est, corrigetur? Tunc igitur A foras projicitur a doctorum dignitate: et conculcatur, hoc est, despicitur.

VERS. 14. « Vos estis lux mundi. » Prius sal et tunc lux. Qui enim reprehendit quæ oculte fiunt, ille lux est. Omne enim quod manifestat lux est: non gentem autem unam illustraverunt illi, sed mundum. « Non potest civitas occultari, quæ supra montem sita est. » Docet eos, ut durent in certamine, et diligentem vitæ suæ rationem habeant, ut ii in quos omnes spectant. Ne igitur putetis, inquit, quod in angulo latituri sitis, sed spectabiles eritis, et ideo videte quomodo citra maculam agatis vitam, ut ne et aliis offendiculo sitis.

VERS. 15. Neque accendunt lucernam, et ponunt B eam sub modium, sed super candelabrum, et lucet omnibus qui in domo sunt. » Ego enim accendi lumen, vestri autem sit officii, ne gratia exstinguatur, ita ut et aliis luceat fulgor vitæ vestræ. Inquit enim:

VERS. 16. « Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est. » Non dixit, Vos ostendetis virtutem; hoc enim non esset bonum, sed, Illa sola luceat, ut et inimici vestri admirentur, et glorificent, non vos, sed Patrem vestrum. Et si ita operamur virtutem, in gloriam Dei oportet eam operari, non in nostram.

VERS. 17. « Ne existimetis quod venerim ad C destruendam legem vel prophetas: non veni ut destruam, sed ut adimpleam. » Quoniam ipse novas leges introducturus erat, ut ne putetur quod Deo adversarius sit, dixit prius occurrens pravæ quorumdam suspicioni, quod non destruat, sed magis adimpleat legem. Quomodo autem adimplevit? Primum quidem, quia perfecit omnia quæ de eo prædixerunt prophetæ. Ideo et evangelista subinde dicit: « Ut impleatur quod dictum est de eo per prophetam. » Deinde et omnia mandata legis implevit. « Peccatum enim non fecit neque inventus est dolus in ore ejus [12]. » Quin et alia ratione, adimplevit legem, hoc est denuo implevit: quæcunque 26 enim illa adumbravit, ea hic perfecte depinxit. Illa dixit, « Ne occidas: » hic vero dixit, Ne temere irascaris. Sicut et pictor non D corrumpit lineamenta prima, sed magis illustrat et adimplet.

VERS. 18. « Amen dico vobis. » Amen affirmativa particula est pro, Etiam dico vobis. « Donec prætereat cœlum et terra, iota unum aut apex unus non præteribit ex lege, quoad omnia facta fuerint. » Ostendit hic, quod mundus præterit et transfiguratur. Dicit igitur quod quandiu subsistit universum, neque minima littera e lege transibit. Alii autem, iota et apicem decem legis præcepta dicunt, alii autem crucem; nam crucis iota est rectum lignum,

[12] I Petr. II, 22.

ἐν τίνι ἁλισθήσεται, τουτέστι, διορθωθήσεται: Ἀπὸ τότε οὖν ἔξω ῥίπτεται τοῦ διδασκαλικοῦ ἀξιώματος, καὶ καταπατεῖται, τουτέστι, καταφρονεῖται.

« Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. » Πρότερον ἅλας, καὶ τότε φῶς. Ὁ γὰρ ἐλέγχων τὰ κρυφῇ πραττόμενα, ἐκεῖνός ἐστι φῶς. Πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστιν. Οὐχ ἔθνος δὲ ἓν ἐφώτισαν οὗτοι, ἀλλὰ τὸν κόσμον. « Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. » Παιδεύει αὐτοὺς, ἐναγωνίους εἶναι, καὶ ἀκριβεῖς περὶ τὸν βίον, ὡς παρὰ πάντων βλέπεσθαι μέλλοντας. Μὴ γὰρ νομίσητε, φησὶν, ὅτι ἐν γωνίᾳ κρυβήσεσθε, ἀλλὰ περίβλεπτοι ἔσεσθε, ὥστε βλέπετε πῶς ἀμώμως ζήσεσθε, ἵνα μὴ καὶ ἑτέρους σκανδαλίζητε.

« Οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν ὑπὸ τὸ μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. » Ἐγὼ μὲν, φησὶν, ἧψα τὸ φῶς, τὸ δὲ μὴ σβεσθῆναι τὴν χάριν, τῆς ὑμετέρας ἔστω σπουδῆς, ὡς ἂν καὶ τοῖς ἄλλοις λάμπῃ ἡ λαμπρότης τοῦ ὑμετέρου βίου. Φησὶ γοῦν·

« Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν, ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. » Οὐκ εἶπεν, ὅτι Ὑμεῖς ἐπιδεικνύετε τὴν ἀρετὴν (τοῦτο γε οὐ καλὸν), ἀλλ' ἐκείνη μόνη λαμψάτω, ὥστε καὶ τοὺς ἐχθροὺς ὑμῶν θαυμάζειν, καὶ δοξάζειν, οὐχ ὑμᾶς, ἀλλὰ τὸν Πατέρα ὑμῶν. Ὥστε ἐὰν πράττωμεν ἀρετὴν, εἰς δόξαν δεῖ τοῦ Θεοῦ ταύτην πράττειν, οὐκ εἰς ἡμετέραν.

« Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. » Ἐπειδὴ ἔμελλεν αὐτὸς νόμους εἰσάγειν καινοὺς, ἵνα μὴ νομίσωσιν ὅτι ἀντίθεός ἐστι, φησὶ, προθεραπεύων τὴν τῶν πολλῶν ὑπόληψιν, ὅτι Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ μᾶλλον πληρῶσαι. Πῶς δὲ ἐπλήρωσε; πρῶτον μὲν ὅτι, ὅσα εἶπον περὶ αὐτοῦ οἱ προφῆται, ἐποίησε. Διὸ καὶ ὁ εὐαγγελιστὴς συχνάκις λέγει· « Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου. » Ἀλλὰ καὶ τὰς τοῦ νόμου ἐντολὰς πάσας ἐπλήρωσεν. « Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. » Καὶ ἄλλως δὲ ἐπλήρωσε τὸν νόμον, τουτέστιν, ἀνεπλήρωσεν· ὅσα γὰρ ἐκεῖνος ἐσκιαγράφησε, ταῦτα οὗτος τελείως ἐζωγράφησεν. Ἐκεῖνος τὸ, « Μὴ φονεύσῃς· » οὗτος, τὸ Μηδὲ θυμωθῇς εἰκῇ. Ὥσπερ καὶ ὁ ζωγράφος, οὐ καταλύει τὴν σκιαγραφίαν, ἀλλὰ μᾶλλον ἀναπληροῖ.

« Ἀμὴν γὰρ λέγω ὑμῖν. » Τὸ Ἀμὴν, βεβαιωτικόν ἐστιν, ἀντὶ τοῦ, Ναὶ λέγω ὑμῖν. « Ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. » Δείκνυσιν ἐνταῦθα ὅτι ὁ κόσμος παρέρχεται καὶ μετασχηματίζεται. Λέγει τοίνυν ὅτι ἕως οὗ συνίσταται τὸ πᾶν, οὐδὲ τὸ ἐλάχιστον γράμμα ἐκ τοῦ νόμου παρέλθοι. Ἄλλοι δὲ τὸ ἰῶτα καὶ τὴν κεραίαν, τὰς δέκα τοῦ νόμου ἐντολάς φασιν· ἄλλοι δὲ, τὸν σταυρόν·

τοῦ γὰρ σταυροῦ, ἰῶτά ἐστι τὸ ὀρθὸν ξύλον, καὶ κεραία τὸ πλάγιον. Φησὶ τοίνυν ὅτι τὰ περὶ τοῦ σταυροῦ εἰρημένα, πληρωθήσεται.

« Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. » Ἐλαχίστας ἐντολὰς λέγει, ἃς μέλλει αὐτὸς παραδοῦναι· οὐ γὰρ τὰς νομικάς. Ὀνομάζει δὲ αὐτὰς ἐλαχίστας, διὰ ταπείνωσιν, ἵνα καὶ σὲ παιδεύσῃ μετριοφρονεῖν ἐπὶ ταῖς διδασκαλίαις. Ἐλάχιστος δὲ κληθήσεται ἐν τῇ βασιλείᾳ, ἀντὶ τοῦ, ἐν τῇ ἀναστάσει ἔσχατος καὶ ἀπεῤῥιμμένος εἰς γέενναν. Οὐ γὰρ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελεύσεται, ἄπαγε· ἀλλὰ βασιλείαν, τὴν ἀνάστασιν νόει. « Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. » Πρῶτον τὸ, ποιήσῃ, καὶ τότε τὸ, διδάξῃ· πῶς γὰρ ἄλλον ὁδηγήσω εἰς ὁδὸν ἣν οὐ διώδευσα; Πάλιν δὲ ἐὰν ποιῶ μὲν ἐγὼ, οὐ διδάσκω δὲ, οὐκ ἔχω τοσοῦτον μισθόν· πολλάκις δὲ καὶ κατάκρισιν, ὅταν διὰ φθόνον ἢ ὄκνον οὐ διδάσκω.

« Λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Δικαιοσύνην λέγει τὴν πᾶσαν ἀρετήν. ὡς τὸ, « Δίκαιος ἦν Ἰὼβ, ὅσιος, ἄμεμπτος. » Φρίξον οὖν, ἄνθρωπε, ἐννοήσας πόσον ἀπαιτούμεθα. Εἶτα διδάσκει ἡμᾶς, πῶς ἂν περισσεύσωμεν· καὶ καταλέγει τὰς ἀρετάς.

« Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. » Τὸ παρὰ τίνος ἐῤῥέθη, οὐ λέγει. Εἰ γὰρ εἶπεν, ὅτι Ὁ μὲν Πατήρ μου εἶπε τοῖς ἀρχαίοις, ἐγὼ δὲ λέγω ὑμῖν, ἔδοξεν ἂν ἀντινομοθετεῖν τῷ Πατρί. Πάλιν εἰ εἶπεν, ὅτι Ἐγὼ εἶπον τοῖς ἀρχαίοις, δυσπαράδεκτος ἂν ἐγένετο. Ἀορίστως οὖν λέγει, ὅτι « Ἐῤῥέθη τοῖς ἀρχαίοις· » δείκνυσι δὲ ὅτι ἐπαλαιώθη ὁ νόμος, ἐν τῷ εἰπεῖν, ὅτι « Ἐῤῥέθη τοῖς ἀρχαίοις· » ἐπεὶ δὲ λοιπὸν ἐπαλαιώθη, καὶ ἐγγύς ἐστιν ἀφανισμοῦ, δεῖ ἀφεῖναι αὐτὸν καὶ δραμεῖν ἐπὶ τὰ νέα.

« Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει. » Οἱ μὲν προφῆται μέλλοντες προφητεύειν ἔλεγον· Τάδε λέγει Κύριος· ὁ δὲ Χριστὸς, Ἐγὼ λέγω, δεικνύων τὸ ἐξουσιαστικὸν τῆς θεότητος. Οἱ μὲν γὰρ, δοῦλοι· ὁ δὲ, Υἱὸς, καὶ τὰ τοῦ Πατρὸς πάντα ἔχων. Ὁ ὀργιζόμενος δὲ τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἐκεῖνος κατακρίνεται· ἐὰν δὲ τις ὀργίζηται εὐλόγως καὶ ἐπὶ παιδείᾳ καὶ κατὰ ζῆλον πνευματικὸν, οὐ κατακριθήσεται· καὶ ὁ Παῦλος γὰρ, ὀργῆς ῥήματα ἐφθέγξατο πρὸς Ἐλύμαν τὸν μάγον, καὶ πρὸς τὸν ἀρχιερέα, οὐ μὴν εἰκῆ, ἀλλὰ κατὰ ζῆλον. Τότε δὲ εἰκῆ ὀργιζόμεθα, ὅταν διὰ χρήματα ἢ δόξαν. « Ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, Ῥακὰ, ἔνοχος ἔσται τῷ συνεδρίῳ. » Συνέδριον, τὸ δικαστήριον τῶν Ἑβραίων φησί. Τὸ δὲ, « Ῥακὰ, » σημαίνει ἀντὶ τοῦ, σύ· ὥσπερ ἔθος ἔχομεν λέγειν πρός τινα καταφρονούμενον ὑφ' ἡμῶν· Ἄπελθε σύ. Θέλων οὖν παιδεῦσαι ἡμᾶς καὶ περὶ τὰ μικρὰ ἀκριβεῖς εἶναι, καὶ ἀλλήλους τιμᾷν, παραινεῖ

et apex transversum : quo sensu dicit quod ea quæ de cruce dicta sunt, implebuntur.

VERS. « 19, Quisquis igitur solverit unum ex mandatis his minimis, et docuerit sic homines, minimus vocabitur in regno cœlorum. » Minima mandata dicit, quæ ipse traditurus erat, non legalia. Nominat autem ea minima, propter humilitatem : ut et te instruat modeste docendo loqui. Minimus autem vocabitur in regno, hoc est, in resurrectione ultimus et abjectus in gehennam: non enim in regnum cœlorum ingredietur, apage; sed regnum resurrectionem intellige. « Quisquis autem fecerit et docuerit, hic magnus vocabitur in regno cœlorum. » Primum ponit, fecerit : postea, docuerit, quomodo enim alium inducam in viam, qua nunquam transivi? Cæterum si fecero, et non docuero, non habebo tantam mercedem : sæpe etiam et condemnationem, si quando propter invidiam vel negligentiam non docuero.

VERS. 20. « Dico enim vobis quod nisi abundaverit justitia vestra plus quam Scribarum et Pharisæornm, non intrabitis in regnum cœlorum. » Justitiam dicit omnem virtutem : sicut et cum dicitur, Justus erat Job, pius, irreprehensibilis. Horresce, homo, animadvertens quanta a nobis repetantur. Deinde docet nos quomodo abundemus, et enumerat virtutes.

VERS 21. « Audistis quod dictum sit priscis, Non occides; quisquis autem occiderit, obnoxius erit judicio. » Hoc a certo quodam esse dictum non dicit. Si enim dixisset, quod Pater meus dixerit priscis, ego autem dico vobis, videri posset diversam a Patre legem ponere. Iterum autem si dixisset, Ego dixi priscis, ægre acceptus fuisset sermo. Indefinite igitur dixit, Dictum est antiquis: per hoc autem quod dicit, dictum est antiquis, ostendit antiquatam esse legem : quoniam autem vetera nunc antiquata sunt, et ferme abolita, oportet, omissis illis, currere ad nova.

VERS. 22. « Ego autem dico vobis, Omnis qui irascitur fratri suo temere, obnoxius erit judicio. » Prophetæ dicturi futura dicebant, Hæc dicit Dominus : Christus autem, Ego dico, ostendens divinitatis auctoritatem. 27 Illi enim servi erant, ipse autem Filius omnia quæ sunt Patris in se possidens. Qui irascitur fratri suo temere, ille condemnatur : si autem quis irascitur, ratione justa motus, et ut alium erudiat, et spirituali zelo, non condemnabitur. Unde et Paulus verba iræ locutus est ad Elymam magum et ad pontificem : non temere quidem, sed zelo. Tunc autem temere irascitur, quando propter opes vel gloriam. « Quicumque vero dixerit fratri suo, Rhaca, obnoxius erit concilio. » Concilium vocat Hebræorum tribunal. Rhaca vero significat idem quod Tu : ut cum ad aliquem contemptum a nobis dicimus, Abi tu. Volens igitur nos et de parvis sollicitos esse, et nos invicem venerari, admonet horum. Quidam dicunt Rhaca Syriace et

indignativum et respuitivum quiddam signare. Quisquis igitur injuria affecerit fratrem suum, contumelia invadens, obnoxius erit concilio sanctorum apostolorum, quando sedebunt judicantes duodecim tribus Israel. « Quicunque autem dixerit, Stulte, reus erit gehennæ incendio. » Multi hoc grave et durum esse putant, non est autem. Nam qui fratrem suum ratione et prudentia, quibus a brutis discrepamus, privat, quomodo non dignus gehenna? Etenim qui scommatis et contumeliis persequitur, charitatem destruit: qua destructa, simul omnes tolluntur virtutes: sicut omnes conservantur, ea salva. Dissolvit igitur omnes virtutes, qui contumelia proximum afficit, dum charitatem dilacerat: et proinde ignis incendio dignus fuerit.

A ταῦτα. Τινὲς δὲ τὸ, « Ῥακὰ, » Συριστὶ, κατάπτυστόν φασι σημαίνειν. Ὅστις οὖν ὑβρίσει τὸν ἀδελφὸν αὐτοῦ κατάπτυστον, ἔνοχος ἔσται τῷ συνεδρίῳ τῶν ἁγίων ἀποστόλων, ὅτε καθίσουσι κρίνοντες τὰς δώδεκα φυλάς. « Ὃς δ' ἂν εἴπῃ, Μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. » Πολλοὶ λέγουσι καὶ νομίζουσι βαρὺ εἶναι τοῦτο καὶ σκληρὸν οὐκ ἔστι δέ. Ὁ γὰρ ἀποστερῶν τὸν ἀδελφὸν αὐτοῦ λόγου καὶ φρονήσεως, οἷς τῶν θηρίων διαφέρομεν, πῶς οὐκ ἄξιος γεέννης; Ὁ γὰρ λοιδορῶν καὶ ὑβρίζων, τὴν ἀγάπην διαλύει· ἥτις διαλυθεῖσα, συναναιρεῖ τὰς ἀρετὰς, ὥσπερ καὶ παροῦσα συνιστᾷ· τὰς ἀρετὰς οὖν πάσας καταλύει ὁ ὑβρίζων, ἐν τῷ τὴν ἀγάπην διασπᾷν. Ὥστε εἰκότως ἄξιος τοῦ πυρός.

VERS. 23, 24. « Si ergo obtuleris munus tuum ad altare, et illic recordatus fueris, quod frater tuus habet aliquid adversum te, dimitte illic munus tuum ante altare et abi, prius reconciliare fratri tuo et tunc veniens offer munus tuum. » Contemnit Deus proprium honorem, tantum ut nos diligamus. Cum autem dixisset, Si habuerit aliquid contra te frater tuus, nihil aliud apposuit. Sive enim juste sive injuste habeat, reconciliare. Et non dixit, Si habes tu contra illum, sed Si quid habet ille contra te, conare ut ipsum ad amicitiam reducas. Præcipit autem dimittendum donum, ut ibi necessitatem imponat reconciliandi, et tu si volueris offerre donum, cogaris reconciliari. Docet etiam interim charitatem verum esse sacrificium.

B « Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. » Καταφρονεῖ ὁ Θεὸς τῆς οἰκείας τιμῆς, ἵνα ἡμεῖς μόνον ἀγαπῶμεν. Ἐὰν δὲ ἔχῃ τι κατὰ σοῦ ὁ ἀδελφός σου εἰπὼν, οὐδὲν ἄλλο προσέθηκεν. Εἴτε γὰρ δικαίως εἴτε ἀδίκως ἔχει, διαλλάγηθι. Καὶ οὐκ εἶπεν, Ἐὰν ἔχῃς σὺ κατ' ἐκείνου, ἀλλ', Ἐὰν ἔχῃ ἐκεῖνος τι κατὰ σοῦ, σπούδασον αὐτὸν φιλιῶσαί σοι. Προστάττει δὲ ἀφεῖναι τὸ δῶρον, ἵνα σοι ἀνάγκην ἐνθήσῃ τοῦ καταλλαγῆναι· σὺ γὰρ θέλων προσενεχθῆναι τὸ δῶρόν σου, ἀναγκασθήσῃ διαλλαγῆναι. Ἅμα δὲ δεικνύει ὅτι ἡ ἀγάπη ἐστὶν ἡ ὄντως θυσία.

VERS. 25, 26. « Esto benevolus adversario tuo cito, quandiu est in via cum eo, ne quando te tradat adversarius judici, et judex te tradat ministro, et in carcerem conjiciaris. Amen dico tibi, neutiquam exibis illinc, donec reddas ultimum quadrantem. » Nonnulli putant adversarium dici diabolum, viam autem vitam: Dominum vero admonere, ut quandiu in hac vita es, desciscas a diabolo, ne postea possit te de peccato arguere, quasi aliquid de suo habentem, tuncque pœnæ tradaris usque ad ultimum quadrantem pro peccatis corrigendis. Quadrans habet duo minuta. At tu intellige, 28 quod etiam de adversariis qui hic sunt, dicat: per hoc admonens, ne judicio contendas, et ita a divinis operibus avellaris. Etiam si injuria affectus fueris, inquit, ne abeas ad tribunal: sed in via litem solve, ne ob potentiam adversarii graviora patiaris.

C « Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ. Ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην· » Τινὲς νομίζουσιν ἀντίδικον λέγεσθαι τὸν διάβολον, ὁδὸν δὲ τὸν βίον· παραινεῖν δὲ τὸν Κύριον οὕτως· Ἕως ὅτου εἶ ἐν τῷ βίῳ τούτῳ, διαλύθητι πρὸς τὸν διάβολον, ἵνα μὴ ἔχῃ ὕστερον ἐλέγχειν σε περὶ ἁμαρτίας, ὡς ἔχοντά τι τῶν ἐκείνου, καὶ τότε παραδοθῇς τῇ κολάσει, ἄχρι καὶ τῶν ἐσχάτων ἁμαρτημάτων εὐθυνόμενος. Κοδράντης γάρ ἐστι δύο λεπτά. Σὺ δὲ νόει ὅτι καὶ περὶ τῶν ἐνταῦθα ἀντιδίκων λέγει τοῦτο, παραινῶν μὴ δικάζεσθαι, καὶ ἀπὸ τῶν θείων ἔργων περισπᾶσθαι.
D Κἂν γὰρ ἠδικήθης, φησὶ, μὴ ἀπέλθῃς εἰς δικαστήριον· ἀλλ' ἐν τῇ ὁδῷ διαλύθητι, μήποτε χείρονα πάθῃς διὰ τὴν δυναστείαν τοῦ ἀντιδίκου.

VERS. 27. « Audistis quod dictum sit, Ne mœcheris. » Aliud est mœchia, aliud scortatio: mœchia enim est cum conjugata, scortatio vero cum soluta.

« Ἠκούσατε ὅτι ἐῤῥέθη· Οὐ μοιχεύσεις. » Ἄλλο μοιχεία, καὶ ἄλλο πορνεία· μοιχεία μὲν, ἡ εἰς ὕπανδρον· πορνεία δὲ, ἡ εἰς ἀπολελυμένην.

VERS. 28. « Ego autem dico vobis, quod quicunque aspexerit mulierem ad concupiscendum eam, jam adulterium commisit cum ea in corde suo. » Hoc est, qui stat, et curiose aspectat, et accendit concupiscentiam suam videndo, et iterum videt, ut magis eam concupiscat, hic (*a*) malum perfecit jam

« Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. » Τουτέστιν, ὁ ἱστάμενος καὶ περιεργαζόμενος, καὶ ἀνάπτων τὴν ἐπιθυμίαν ἀπὸ τοῦ βλέπειν, καὶ πάλιν βλέπων πρὸς τὸ πλεῖον ἐπιθυμῆσαι, ὁ τοιοῦτος τὸ κακὸν ἀπήρτισεν ἤδη ἐν τῇ

(*a*) Edit. Lut. *Talis animo*. Sed *hic* textui magis consonat.

καρδίᾳ αὐτοῦ. Εἰ δὲ τὸ ἔργον οὐκ ἐπέθηκε, τί τοῦτο; A Οὐκ ἴσχυσεν· ἐπεὶ ἐὰν ἰσχύσῃ, παραυτίκα τὸ κακὸν τελέσει. Πλὴν γίνωσκε ὅτι κἂν ἐπιθυμήσωμεν, εἶτα κωλυθῶμεν πρᾶξαι τὸ ἔργον, πρόδηλον ὅτι ὑπὸ τῆς χάριτος ἐσκεπάσθημεν. Καὶ αἱ γυναῖκες δὲ, ἐὰν καλλωπίζωνται διὰ τὸ ἀρέσαι τισὶ, κἂν μὴ ἀρέσωσιν, ὅμως ἐκεῖναι τὸ φάρμακον ἐκέρασαν, κἂν μηδεὶς πίνῃ.

« Ἐὰν δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ. Συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. Καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζῃ σε, ἔκκοψον αὐτὴν, καὶ βάλε ἀπὸ σοῦ. Συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. » B Ὀφθαλμὸν καὶ χεῖρα ἀκούων, μὴ νόμιζε περὶ τῶν μελῶν τοῦτο λέγεσθαι· οὐ γὰρ ἂν προσέθηκε τὸ, ὁ δεξιὸς καὶ ἡ δεξιά· ἀλλὰ περὶ τῶν δοκούντων φίλων καὶ βλαπτόντων ἡμᾶς· οἷον· ἔστι τις νέος, ἔχων φίλους ἀκολάστους, καὶ βλάπτεται· Τούτους οὖν ἀπότεμνε, φησί· τάχα μὲν γὰρ κἀκείνους σώσεις, εἰς αἴσθησιν ἐλθόντας· εἰ δὲ μὴ, κἂν σεαυτόν. Εἰ δὲ στέργεις τὴν πρὸς ἐκείνους φιλίαν, ἀμφότεροι ἀπολεῖσθε.

« Ἐῤῥέθη δὲ, ὅτι Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον. » Μωϋσῆς ἐκέλευσεν, ἐάν τις μισῇ τὴν γυναῖκα αὐτοῦ, χωρίζεσθαι αὐτῆς, ἵνα μὴ χεῖρόν τι γένηται· πισουμένη γὰρ, ἴσως ἂν καὶ ἐφονεύθη· διδόναι δὲ τῇ διαζευγνυμένῃ γραμματεῖον ἀπολυτικὸν, ὃ ἐκαλεῖτο ἀποστάσιον· ὡς ἂν C μηκέτι ἐπ' αὐτὸν ἐπανέλθοι, καὶ ἐκ τούτου γένηται σύγχυσις, ἑτέρῳ συνοικοῦντος τοῦ ἀνδρός.

« Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὃς ἂν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται. » Οὐ λύει δὲ τὰ Μωσαϊκὰ, ἀλλὰ διορθοῦται, ἐκφοβῶν τὸν ἄνδρα, ἵνα μὴ ἀλόγως μισῇ τὴν γυναῖκα. Ἐὰν γὰρ ἀπολύσῃ αὐτὴν εὐλόγως, τουτέστι, πορνεύσασαν, ἀκατάκριτός ἐστιν· εἰ δὲ χωρὶς πορνείας, κατάκριτος· ἀναγκάζει γὰρ αὐτὴν μοιχᾶσθαι. Ἀλλὰ καὶ ὁ δεχόμενος ταύτην, μοιχός ἐστιν. Εἰ γὰρ μὴ ἐδέξατο, ἐπανέστρεψεν ἂν ἐκείνη, καὶ ὑπετάγη τῷ ἀνδρί. Τὸν γὰρ Χριστιανὸν δεῖ εἰρηνοποιὸν εἶναι καὶ πρὸς τοὺς ἄλλους, καὶ πολλῷ πλέον πρὸς τὴν ἰδίαν γυναῖκα. D

« Πάλιν ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου. » Τουτέστιν, Ὅταν ὀμνύῃς, ἀλήθευε.

« Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως, μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ· μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ. μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως. » Ἐπειδὴ οἱ Ἰουδαῖοι τοῦ Θεοῦ λέγοντος ἤκουον, « Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον, » ὤμνυον κατὰ τῶν τοιούτων. Ὁ τοίνυν Κύριος κωλύων αὐτοὺς οὐ λέγει, ὅτι Ἐπειδὴ καλὸς καὶ μέγας ἐστὶν ὁ οὐρανὸς, καὶ χρησίμη ἡ γῆ, διὰ τοῦτο μὴ ὀμνύετε· ἀλλ' ὅτι ὁ μὲν θρόνος ἐστὶ τοῦ Θεοῦ, ἡ δὲ, ὑποπό-

A in corde. Quod si opus non addidit, quid hoc? non potuit : quia si potuisset, statim malum perpetrasset. Verum cognosce, quod et si concupiscamus, deinde prohibeamur facere opus, signum est quod manifeste a gratia protecti fuerimus. Ita et mulieres dum se ornant. ut aliquibus placeant, etiamsi non placeant, attamen pharmacum miscuerunt, etiamsi nullus bibat.

VERS. 29, 30. « Et si oculus tuus dexter offendiculo tibi fuerit, erue illum et abjice a te. Utile enim tibi est ut pereat unum ex membris tuis, et non totum corpus mittatur in gehennam. Et si dextera manus tua obstiterit tibi, amputa eam et projice abs te : expedit enim tibi ut pereat unum membrorum tuorum, et non totum corpus tuum conjiciatur in gehennam. » Oculum et manum audiens, ne existimes de membris his dici, non enim apposuisset, dexter et dextera: sed de his qui videntur esse amici, et nocent nobis. Ut, exempli gratia, adolescens est, cui sunt amici intemperantes, a quibus damnum accepit : Hos igitur amputa, inquit. Fortassis enim et illos servabis, ubi hoc persenserint : quod si minus, certe vel teipsum. Si autem amas illorum amicitiam, utrique peribitis.

VERS. 31. « Dictum est autem, quod Quicunque dimiserit uxorem suam, det ei repudiarium. » Moses jussit, si quis oderit uxorem suam, separetur ab ea, ut ne quid gravius contingat. Nam cum odio habetur, fortassis occidi posset. Dare autem jubet dimissæ libellum absolutorium, quem vocat repudiarium, ita ut jam non ad ipsum accedat, et ex hoc fiat confusio, viro alteri cohabitante.

VERS. 32. « Ego autem dico vobis, quod quisquis dimiserit uxorem suam, excepta fornicationis causa, facit eam mœchari : et qui dimissam duxerit, mœchatur. » Non solvit Mosaica, sed corrigit, exterrens virum, ut ne absque causa odio habeat uxorem. Nam si justa de causa dimiserit eam, nempe fornicantem, nulli condemnationi est obnoxius. Quod si absque fornicationis causa, condemnandus est, cogit enim eam mœchari : sed et qui accipit eam, mœchus est. Nisi enim ille accepisset, rediisset utique illa, et subdita fuisset viro. 29 Christianum autem oportet esse pacificum, etiam ad alios, et multo magis cum uxore sua pacem habere.

VERS. 33. « Iterum audistis quod dictum sit priscis, Non pejerabis, sed persolves Domino juramenta tua. » Hoc est, quando juras, vera loquere.

VERS. 34, 35. « Ego autem dico vobis, non jurare omnino, neque per cœlum, quia sedes Dei est : neque per terram, quia scabellum pedum ejus est : neque per Hierosolyma, quia civitas est regis magni. » Judæi quia Deum audierant dicentem, Cœlum mihi thronus, terra autem scabellum, jurabant per talia. Igitur Dominus prohibens eos, non dicit, Quia pulchrum et magnum est cœlum, et terra utilis est, ideo per ea non jurate ; sed, Quia cœlum thronus est Dei, terra autem scabellum

s, ut ne sit locus idololatriæ. Forte enim nnmerum relata fuissent elementa a per ea : id quod antea factum est.

6. « Neqee per caput tuum jurabis, quia unum pilum album vel nigrum facere. » per semetipsum jurat, utpote nulli sub- autem cum non simus nostræ pote- pacto per caput nostrum jurabimus? m est possessio. Si enim tuum est caput, tes, nnum capillum.

« Sit autem sermo vester, Etiam etiam : Ut ne dicas : Et quomodo fidem mihi inquit : Si semper vere locutus fueris, et juraveris. Nulli enim minus creditur frequenter jurat. « Quod autem amplius malo est. » Jurare (inquit) et adjicere Etiam vel Non, a diabolo est. Porro si d et lex Mosis mala erit, quoniam fu- disce quod tunc non erat malum ju- Christum autem malum est, sicut et et in summa, quidquid est Judaicum. m puero convenit, viro minime.

S. « Audistis quod dictum sit, Oculum dentem pro dente. » Lex coudescen- ittit ut eadem quis patiatur quæ inflixit, no se offendant, timore, ne eadem pa- sterriti.

« Ego autem dico vobis, ut ne resista- sed quisquis impegerit alapam in dexte- maxillam, obverte ei et alteram. » c diabolum vocat, qui per hominem ope- n oportet igitur obsistere diabolo? Etiam: t repercutiendum, sed sustinendum. Non exstinguitur ignis; sed aqua. Ne existimes od loquatur solum de percussione maxil- le omni alio malo quod infligitur.

40. « Et ei qui vult tecum judicari, et tu- uam tollere, permitte ei et pallium. » quando te ad judicem trahat et obturbet, mitte ei pallium : non si simpliciter petat. Proprie dicitur quam subuculam vel indu- ocamus : pallium, quo illam tegimus : s sæpe alia pro aliis dicantur.

. 41 « Et qui te adegerit ad miliarium unum, um eo duo. » Quid dico, 30 inquit, tuni- pallium? etiam corpus tuum da ei qui te trahit, et amplius quam ille vult, facito.

s. 42. « Petenti abs te, da : et volentem a te m accipere, ne averseris. » Sive amicus, imicus, sive infidelis, sive pecunias petat, xillum aliud. Mutuum autem non cum fœ- usura mutuum dabant.

s. 43, 44. « Audistis quod dictum est, Diliges um tuum, et odio habebis inimicum tuum. tem dico vobis, Diligite inimicos vestros. » d verticem virtutum: quid enim illo majus? t autem impossibile. Moses enim et Paulus Ju-

A διον, ἵνα μὴν εἰδολωλατρία χώραν ἔξῃ. Ἐθεοποιήθησαν γὰρ ἂν τὰ στοιχετα παρὰ τῶν εἰς αὐτὰ ὀμνυόντων. ὃ καὶ πρότερον ἐγένετο.

« Μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι. » Ὁ Θεὸς μόνος ὀμνύει καθ' ἑαυτοῦ, ὡς μηδενὶ ὑποκείμενος· ἡμετς δὲ οὐκ ἐξουσιάζοντες ἑαυτῶν, πῶς ἂν ὀμοσαιμεν κατὰ τῆς κεφαλῆς ἡμῶν; ἑτέρου γὰρ τὸ κτῆμα. Εἰ γὰρ σή ἐστιν ἡ κεφαλὴ, ἄλλαξον, εἰ δύνασαι, μίαν τρίχα.

« Ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ, ναί· οὔ, οὔ. » Ἵνα μὴ εἴπῃς, Καὶ πῶς πιστευθήσομαι ; φησίν Ἐὰν ἀεὶ ἀληθεύῃς, καὶ μηδέποτε ὀμνύῃς, Οὐδεὶς γὰρ οὕτως ἀπιστεῖται, ὡς ὁ προχείρως ὀμνύων. « Τὸ δὲ περισσὸν τούτων, B ἐκ τοῦ πονηροῦ ἐστι. » Τὸ ὀμνύειν, φησὶ, περισσὸν ὂν παρὰ τὸ ναὶ καὶ τὸ οὔ, τοῦ διαβόλου ἐστίν. Ἀλλ' ἐρετς, ὅτι Καὶ λοιπὸν ὁ νόμος Μωσέως, κελεύων ὀμνύειν, πονηρὸς ἦν ; Μάθε οὖν, ὅτι οὐκ ἦν πονηρὸν τότε τὸ ὀμνύειν· μετὰ δὲ Χριστὸν, ἔστι πονηρόν· ὥσπερ καὶ τὸ περιτέμνεσθαι, καὶ ἁπλῶς τὸ Ἰουδαΐζειν. Ἐπεὶ καὶ τὸ θηλάζειν, τοτς μὲν παιδίοις ἁρμόζει, νοτς δὲ ἀνδράσιν αἰσχύνη.

« Ἠκούσατε ὅτι ἐῤῥέθη, Ὀφθαλμὸ ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. » Ὁ νόμος συγκαταβαίνων συνεχώρει τὴν ταυτοπάθειαν, ἵνα φόβῳ τοῦ τὰ ἴσα παθετν, μὴ ἀδικῶσιν ἀλλήλους.

« Ἐγὼ δὲ λέγω ὑμτν, μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. » Πονηρὸν ἐνταῦθα τὸν C διάβολον λέγει, τὸν διὰ τοῦ ἀνθρώπου ἐνεργοῦντα. Οὐ δετ οὖν ἀντιστασθαι τῷ διαβόλῳ ; ναί. ἀλλ' οὐχὶ διὰ τοῦ ἀντιπλήττειν, ἀλλὰ διὰ τοῦ ὑπομένειν. Οὐ γὰρ πυρὶ σβέννυται πῦρ, ἀλλ' ὕδατι. Μὴ νόμιζε δὲ ὅτε περὶ τῆς εἰς τὴν σιαγόνα πληγῆς λέγει μόνης, ἀλλὰ καὶ περὶ πάσης ἄλλης καὶ παντὸς ἁπλῶς δεινοῦ.

« Καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβετν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. » Ἐάν εἰς δικαστήριόν σε ἕλκῃ καὶ ὀχλῇ, ἄφες αὐτῷ καὶ ἱμάτιον· οὐκ ἐὰν ἁπλῶς ζητῇ. Χιτὼν δὲ κυρίως, τὸ παρ' ἡμτν λεγόμενον ὑποκάμισον· ἱμάτιον δὲ, τὸ ἐπιβαλλόμενον· πλὴν καὶ ἀντ' ἀλλήλων τὰ ὀνόματα λέγονται.

D « Καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο. » Τί λέγω, φησὶν, ἱμάτια καὶ χιτῶνας ; καὶ αὐτὸ τὸ σῶμά σου δὸς τῷ ἀδίκως ἕλκοντι, καὶ πλέον, ἢ ἐκετνος βούλεται, ποίησον.

« Τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, μὴ ἀποστραφῆς. » Κἂν ἐχθρὸς, κἂν φίλος, κἂν ἄπιστος, εἴτε χρήματα ζητετ, εἴτε ἄλλην βοήθειαν. Δάνεισμα δὲ, οὐ τὸ σὺν τόκῳ λέγει, ἀλλὰ τὴν ἁπλῶς χρῆσιν. Ἐπεὶ καὶ ἐν τῷ νόμῳ χωρὶς τόκου ἐδάνειζον.

« Ἠκούσατε ὅτι ἐῤῥέθη· Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου· ἐγὼ δὲ λέγω ὑμτν· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. » Ἔφθασεν ἐπὶ τὴν κορυφὴν τῶν ἀρετῶν· τί γὰρ τούτου μετζον ; Οὐκ ἀδύνατον δέ. Μωσῆς γὰρ καὶ Παῦλος τοὺς κατ' αὐτῶν

λυττῶντας Ἰουδαίους, ὑπὲρ ἑαυτοὺς ἠγάπησαν, καὶ πάντες οἱ ἅγιοι τοὺς ἐχθροὺς αὐτῶν. « Εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς. » Ὡς γὰρ εὐεργέτας δεῖ αὐτοὺς ἔχειν. Πᾶς γὰρ ὁ διώκων καὶ πειράζων, ἐλαφρύνει ἡμῖν τὴν ὑπὲρ τῶν ἁμαρτημάτων τιμωρίαν. Ἄλλως τε, καὶ ὅταν τηλικοῦτον ἔπαθλον δίδωσιν ἡμῖν ὁ Θεός. Ἄκουε γάρ·

« Ὅπως γένησθε υἱοὶ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. » Ὁρᾷς πηλίκον ἀγαθὸν δίδωσί σοι ὁ μισῶν σε καὶ ἐπηρεάζων, ἐὰν μόνον θέλῃς ὑπομένειν; Βροχὴν δὲ καὶ ἥλιον νόει, καὶ τὴν γνῶσιν καὶ τὴν διδασκαλίαν· πάντας γὰρ ὁ Θεὸς φωτίζει καὶ διδάσκει.

« Ἐὰν γὰρ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; » Φρίξωμεν, ὅταν μηδὲ τῶν τελωνῶν ὦμεν ἴσοι, ἀλλὰ καὶ τοὺς ἀγαπῶντας ἡμᾶς μισῶμεν.

« Καὶ ἐὰν ἀσπάζησθε τοὺς φίλους ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; Οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν; Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι. » Τὸ γὰρ τοὺς μὲν τῶν ἀνθρώπων ἀγαπᾷν, τοὺς δῆθεν φίλους, τοὺς δὲ μισεῖν, ἀτελές ἐστι· τέλειον δὲ, τὸ πάντας ἀγαπᾷν.

## ΚΕΦΑΛ. Ϛʹ.

Περὶ ἐλεημοσύνης, προσευχῆς καὶ νηστείας. Περὶ τοῦ καταφρονεῖν τῶν τοῦ κόσμου.

« Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. » Εἰς τὴν μεγίστην τῶν ἀρετῶν τὴν ἀγάπην ἀναγαγὼν, νῦν ἀναιρεῖ καὶ τὴν κενοδοξίαν, ἥτις ἕπεται τοῖς κατορθώμασιν· ὅρα δὲ τί λέγει· Προσέχετε, ὡσανεὶ περὶ θηρίου δεινοῦ λέγοι, πρόσεχε μὴ σε διασπαράξῃ· κἂν ἔμπροσθεν δὲ τῶν ἀνθρώπων ἐλεῇς, οὐ ποιεῖς δὲ τοῦτο πρὸς τὸ θεαθῆναι, οὐ κατακρίνῃ. Ἐὰν δὲ σκοπὸν ἔχῃς κενοδοξίας, εἰ καὶ ἐν τῷ ταμείῳ σου ποιήσῃς, κατακρίνῃ. Τὴν γνώμην γὰρ ἢ κολάζει ἢ στεφανοῖ ὁ Θεός.

« Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. » Οὐ σάλπιγγας εἶχον οἱ ὑποκριταί, ἀλλὰ τὴν διάνοιαν αὐτῶν διαγελᾷ ἐνταῦθα, ὅτι ἠβούλοντο τὴν ἐλεημοσύνην αὐτῶν σαλπίζεσθαι. Ὑποκριταὶ δέ εἰσιν οἱ ἄλλο μὲν ὄντες, ἄλλο δὲ φαινόμενοι· καὶ οὗτοι γοῦν ἐλεήμονες μὲν φαίνονται, ἄλλοι δέ εἰσιν. « Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. » Ἐπαινούμενοι γὰρ, τὸ πᾶν ἀπέλαβον παρὰ τῶν ἀνθρώπων.

« Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου. » Ὑπερβολικῶς τοῦτο εἶπεν· ὅτι Εἰ δυνατὸν, καὶ σεαυτὸν λάνθανε.

A dæos contra se insanientes, plus quam seipsos diligebant, et omnes sancti suos inimicos. « Benedicite (*sic*) precemini devoventibus vos, benefacite his qui oderunt vos, et orate pro his qui lædunt et insectantur vos. » Inter benefactores oportet illos habere. Omnis enim qui nos tentat et persequitur, leviorem facit pœnam quam pro peccatis ferre deberemus. Etiam alia ratione, nempe quia talem mercedem nobis dat Deus. Audi enim :

VERS. 45. « Ut sitis filii Patris vestri qui est in cœlis : quia solem suum exoriri sinit super bonos et malos, et pluit super justos et injustos. » Vides quantum bonum dat tibi qui te odit et lædit, modo sustinere velis : Per pluviam autem et solem intellige etiam doctrinam et scientiam. Omnes enim Deus illustrat et docet.

B VERS. 46. « Nam si dilexeritis diligentes vos, quam mercedem habetis? nonne et publicani idem faciunt? » Trepidemus, quod neque publicanis sumus æquales; sed amantes ipsos odio habemus.

VERS. 47, 48. « Et si dilexeritis amicos vestros tantum, quid amplius facitis? nonne et publicani sic faciunt? Eritis igitur vos perfecti, sicut Pater vester qui in cœlis est, perfectus est. » Nam hominum alios diligere, alios odio habere, imperfectorum : omnes autem diligere, perfectorum.

## CAPUT VI.

*De eleemosyna, oratione et jejunio. De non contemptu mundi.*

C VERS. 1. « Attendite ne eleemosynam vestram faciatis coram hominibus ut videamini ab illis, alioqui mercedem non habetis apud Patrem vestrum qui est in cœlis. » Postquam ad summam virtutum charitatem duxit, nunc tollit inanem gloriam, quæ sequi solet bene operantes. Vide autem quid dicat : Attendite, inquit, et cavete; quasi de aliqua mala bestia dicat, attende ne te dilaceret. Porro licet coram hominibus eleemosynam facias, non tamen ideo facis ut videaris ab hominibus, non condemnaris. Sin autem vanæ gloriæ scopum spectaveris, etiamsi in penetralibus promptuarii tui feceris, condemnaris. Voluntatem enim vel coronat vel punit Deus.

D VERS. 2. « Itaque cum facis eleemosynam, ne tuba canatur ante te, sicut hypocritæ faciunt in synagogis et in vicis, ut glorificentur ab hominibus. » Non tubas habebant hypocritæ, sed animum eorum deridet hoc loco, quod eleemosynam suam volebant celebrari. Hypocritæ sunt, qui alii sunt, alii apparent : et misericordes quidem videntur, alii autem sunt. « Amen dico vobis, quod habent mercedem suam. » Cum laudantur enim, totum acceperunt ab hominibus.

VERS. 3. « Te autem faciente eleemosynam, nesciat sinistra tua quid faciat dextera tua. » Per hyperbolem hoc dicit, quasi diceret, si possibile,

etiam teipsum ignores. Vel etiam aliter, Sinistra est inanis gloria, dextra vero eleemosyna, nesciat igitur eleemosynam inanis gloria.

VERS. 4. « Ut sit eleemosyna tua in abdito, et Pater tuus qui videt in abdito, reddet tibi in manifesto. » Quando? Tunc nuda et manifesta omnia erunt, et tunc magis glorificabere.

VERS. 5. « Et quando oras, non eris quemadmodum hypocritæ, qui amant in conciliabulis et in angulis platearum stantes orare, ut conspicui sint hominibus. Amen dico vobis, quod habent mercedem suam. » Hypocritas et istos nominat, uti eos qui videntur quidem attendere ad Deum, sed ad homines magis attendunt, a quibus habent, hoc est, accipiunt mercedem suam.

VERS. 6. « Tu autem, quando oras, ingredere in cubiculum tuum, et clausa janua tua ora Patrem tuum in abscondito, et Pater tuus qui videt in abscondito, reddet tibi in manifesto. » Quid igitur? in ecclesia non orabo? Omnino, sec recto animo, et citra ostentationem. Locus enim non nocet, sed modus et intentio. Multi enim etiam in abscondito orantes, hoc ut hominibus placeant faciunt.

VERS. 7. « Orantes autem, ne sitis battalogi in precibus vestris, sicut ethinici. » Battalogia est nugacitas, ut exempli gratia, petere aliquid terrenum, gloriam, divitias, victoriam. Battarismus autem est inarticula vox, qualis est puerorum : tu igitur ne nugax et multiloquus sis. « Putant enim quod in multiloquio suo exaudiantur. » Non sunt longæ preces faciendæ, sed breves quidem et crebræ, oportet enim pauca loquentes perseverare in precibus.

VERS. 8. « Ne igitur assimilemini eis; scit enim Pater vester quibus indigetis, antequam petatis ab illo. » Non enim ut doceamus, petimus : sed ut nos a temporalibus et sæcularibus curis abstrahamus, et otiose et magna cum utilitate cum eo colloquamur.

VERS. 9. « Sic igitur orate vos : Pater noster, qui es in cœlis. » Aliud est votum, aliud oratio. Votum enim est promissio coram Deo, ut quando promittit quis se abstinere a vino, vel alia quadam re : oratio autem petitio bonorum. Dicens autem Pater, ostendit tibi quanta bona sis assecutus, factus filius Dei. Et dum dicit, In cœlis, ostendit tibi patriam tuam et domum paternam. Nam si vis habere Patrem Deum, in 32 cœlos specta, et non in terram. Non dicis autem, Pater meus, sed Pater noster, ut omnes quasi fratres unius patris habeas. « Sanctificetur nomen tuum. » Hoc est, facito nos sanctos, ut et tu per nos glorificeris. Sicut enim blasphematur propter me, ita et sanctificatur propter me Deus : hoc est, ut sanctus glorificatur.

VERS. 10. « Adveniat regnum tuum. » Secundus scilicet adventus; nam, fretus bona conscientia, pre-

A ῎Η καὶ ἄλλως · ἀριστερὰ, ἡ κενοδοξία · δεξιὰ, ἡ ἐλεημοσύνη · μὴ γινωσκέτω οὖν ἡ κενοδοξία τὴν ἐλεημοσύνην.

« Ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ, καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ. » Πότε; Ὅτε γυμνὰ καὶ φανερὰ πάντα παρίστανται, καὶ τότε δοξασθήσῃ μᾶλλον.

« Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταὶ, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. » Ὑποκριτὰς καὶ τούτους ὀνομάζει, ὡς δοκοῦντας μὲν Θεῷ προσέχειν, ἀνθρώ- B ποις δὲ προσέχοντας · παρ' ὧν ἀπέχουσι, τουτέστιν, ἀπολαμβάνουσι τὸν μισθὸν αὐτῶν.

« Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. » Τί οὖν; ἐν ἐκκλησίᾳ μὴ προσεύξωμαι; Καὶ πάνυ · ἀλλὰ μετὰ γνώμης ὀρθῆς, καὶ ὥστε μὴ ἐπιδείκνυσθαι, ἐπεὶ ὁ τόπος οὐ βλάπτει, ἀλλ' ὁ τρόπος καὶ ὁ σκοπός. Πολλοὶ γοῦν ἐν τῷ κρυπτῷ εὐχόμενοι, πρὸς ἀνθρωπαρεσκίαν τοῦτο ποιοῦσιν.

« Προσευχόμενοι δὲ, μὴ βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί. » βαττολογία ἐστὶν ἡ φλυαρία · οἷον, τὸ αἰτεῖν τι τῶν γηΐνων, δόξαν, πλοῦτον, νίκην. Βατταρισμος δέ ἐστιν ἡ ἄναρθρος φωνὴ, ὡς ἡ τῶν παι- C δίων · σὺ τοίνυν μὴ φλύαρος ἔσο. Δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Οὐ δεῖ μακρὰς ποιεῖσθαι τὰς εὐχὰς, ἀλλὰ βραχείας μὲν, συχνάκις δὲ, καὶ ὀλίγα φθεγγομένους, προσκαρτερεῖν τῇ εὐχῇ.

« Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς, οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. » Οὐ γὰρ ἵνα διδάξωμεν αἰτοῦμεν, ἀλλ' ἵνα ἑαυτοὺς ἀπασχολήσαντες τῶν βιωτικῶν, ὠφεληθῶμεν ὁμιλοῦντες αὐτῷ.

« Οὕτως οὖν προσεύχεσθε ὑμεῖς · Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. » Εὐχὴ ἄλλο, καὶ προσευχὴ ἄλλο. D Εὐχὴ μὲν γάρ ἐστιν ὑπόσχεσις πρὸς Θεόν · ὡς ὅταν ὑπισχνῆταί τις ἀποσχέσθαι οἴνου ἢ ἄλλου τινός · προσευχὴ δὲ, ἀγαθῶν αἴτησις. Πάτερ δὲ εἰπὼν, δείκνυσί σοι τίνων ἀγαθῶν ἠξιώθης, υἱὸς Θεοῦ γεγονώς · ἐν δὲ τῷ εἰπεῖν, ἐν τοῖς οὐρανοῖς, ἔδειξέ σοι τὴν πατρίδα σου καὶ τὸν οἶκον τὸν πατρικόν · ἐὰν γὰρ θέλῃς ἔχειν Πατέρα τὸν Θεόν, πρὸς τοὺς οὐρανοὺς βλέπε, καὶ μὴ πρὸς γῆν · οὐ λέγεις δὲ Πάτερ μου, ἀλλὰ, Πάτερ ἡμῶν, ὡς ἂν ἔχοις πάντας ὡς ἀδελφοὺς ἑνὸς Πατρός. « Ἁγιασθήτω τὸ ὄνομά σου. » Τουτέστι, Ποίησον ἡμᾶς ἁγίους, ἵνα καὶ σὺ δι' ἡμᾶς δοξάζῃ · ὡς γὰρ βλασφημεῖται δι' ἐμὲ, οὕτω καὶ ἁγιάζεται δι' ἐμὲ ὁ Θεὸς, τουτέστιν, ὡς ἅγιος δοξάζεται.

« Ἐλθέτω ἡ βασιλεία σου. » Τουτέστιν, ἡ δευτέρα παρουσία · ὁ γὰρ συνειδὸς ἔχων πεπαῤῥησιασμένον,

εὔχεται ἐλθεῖν τὴν ἀνάστασιν καὶ τὴν κρίσιν. « Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. » Ὥσπερ, φησὶν, οἱ ἄγγελοι ποιοῦσιν τὸ θέλημά σου, οὕτω καὶ ἡμῖν δὸς ποιεῖν αὐτό.

« Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. » Ἐπιούσιον, τὸν ἐπὶ τῇ οὐσίᾳ καὶ συστάσει ἡμῶν αὐτάρκη, φησίν· ἀναιρεῖ δὲ τὴν περὶ τῆς αὔριον μέριμναν. καὶ τὸ σῶμα δε τοῦ Χριστοῦ ἄρτος ἐστὶν ἐπιούσιος· οὗ μεταλαμβάνειν ἀκατακρίτως εὐχόμεθα.

« Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. » Ἐπειδὴ καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνομεν, ἱκετεύομεν ἵνα ἀφήσῃ ἡμῖν. οὕτω δὲ ἀφήσει ὡς καὶ ἡμεῖς. Ἐὰν γὰρ μνησικακῶμεν, οὐκ ἀφήσει ἡμῖν· ἐμὲ γὰρ ἔχει ὁ Θεὸς παράδειγμα· καὶ ὃ ποιῶ ἐπ' ἄλλῳ, ποιεῖ ἐπ' ἐμοί.

« Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. » Ἀσθενεῖς ἐσμεν οἱ ἄνθρωποι, διὸ οὐ δεῖ ἐπιῤῥίπτειν ἑαυτοὺς τοῖς πειρασμοῖς· ἀλλ' ἐμπεσόντας εὔχεσθαι μὴ καταποθῆναι ὑπὸ τοῦ πειρασμοῦ. Ὁ γὰρ καταποθεὶς καὶ νικηθεὶς, ἐκεῖνος εἰσηνέχθη εἰς τὸν βόθρον τοῦ πειρασμοῦ, ἀλλ' οὐχ ὁ ἐμπεσὼν μὲν, νικήσας δέ. « Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. » Οὐκ εἶπεν, ἀπὸ τῶν πονηρῶν ἀνθρώπων· οὐ γὰρ ἐκεῖνοι ἀδικοῦσιν ἡμᾶς, ἀλλ' ὁ πονηρός. « Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν. » Θαρσύνει ἡμᾶς ἐνταῦθα. Εἰ γὰρ βασιλεύς ἐστι, καὶ δυνατὸς ὁ Πατὴρ καὶ ἔνδοξος, πάντως καὶ ἡμεῖς νικήσομεν τὸν πονηρὸν, καὶ δοξασθησόμεθα ὕστερον.

« Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος. » Πάλιν ἀμνησικάκους ἡμᾶς εἶναι διδάσκει. Ἀναμιμνήσκει δὲ ἡμᾶς τοῦ Πατρὸς, ἵνα αἰδεσθῶμεν αὐτὸν, καὶ μὴ ἐκθηριώμεθα, τοιούτου παῖδες ὄντες.

« Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν. » Οὐδὲν οὕτω μισεῖ ὁ πρᾶος Θεὸς, ὡς τὴν ὠμότητα.

« Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ, σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. » Ἀφανισμὸς προσώπου ἐστὶν ἡ ὠχρότης, ὅταν οὐχ οἷός ἐστί τις φαίνηται, ἀλλὰ προσποιῆται στυγνότητα.

« Σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ. καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι. » Οἱ παλαιοὶ χαρᾶς εἶχον σημεῖον τὸ ἀλείφεσθαι ἐλαίῳ μετὰ τὸ λουτρόν· καὶ σὺ οὖν οὕτω χαίρων φαίνου. Ἔλαιον δὲ νοεῖται καὶ ἡ ἐλεημοσύνη. Κεφαλὴ δὲ ἡμῶν ὁ Χριστὸς, ὃν δεῖ ἀλείφειν ταῖς ἐλεημοσύναις· καὶ τὸ πρόσωπον, ἤτοι τὰς αἰσθήσεις, νίπτειν διὰ δακρύων.

« Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς,

A catur ut veniat resurrectio et judicium. « Fiat voluntas tua sicut in cœlo et in terra. » Sicut, inquit, angeli faciunt voluntatem tuam, ita et nos da eam facere.

VERS. 11. «Panem nostrum supersubstantialem da nobis hodie. » Supersubstantialem dicit, qui substantiæ et constitutioni nostræ sufficit, tollit autem curam de crastino. Quin et corpus Christi panis est supersubstantialis : cujus esse participes citra condemnationem precamur.

VERS. 12. « Et dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris. » Quia et post baptisma peccamus, precamur ut dimittat nobis, sic autem dimittet, quemadmodum et nos :
B nam si vindictæ avidi et memores fuerimus, non remittet. Habet me Deus ut exemplar : et quod facio alii, facit et mihi.

VERS. 13. « Et ne inducas nos in tentationem. » Imbecilles sumus homines, ideo non debemus nos ipsos in tentationes injicere : sed si inciderimus, orandum ne absorbeamur a tentatione. Absorptus enim et victus, ille in profundum tentationis inductus est, at non item qui incidit, et vincit. «Sed libera nos a malo. » Non dixit, a malis hominibus : non enim illi nos injuria afficiunt, sed malignus. « Quoniam tuum est regnum, et potentia, et gloria in sæcula, Amen. » Animat nos hoc loco. Nam si Rex est, et potens Pater et gloriosus, omnino et nos vincemus malignum, et glorificabimur
B posthac.

VERS. 14. « Etenim si remiseritis hominibus delicta sua, remittet etiam vobis Pater vester cœlestis. » Iterum nos docet esse alienos a vindicandi cupiditate. Memoriam autem patris inculcat, ut revereamur eum : et cum ejus simus filii, non exasperemur.

VERS. 15. « Quod si non remiseritis hominibus delicta sua, neque Pater vester remittet vobis delicta vestra » Nihil enim ita odit benignus Deus, ut crudelitatem.

VERS. 16. « Porro cum jejunaveritis, ne sitis sicut hypocritæ vultuosi. Obscurant enim facies suas, ut videantur hominibus jejunantes. Amen
D dico vobis, quod habent mercedem suam. » Obscuratio faciei est pallor : quando quis non est qualis apparet, sed simulat tristitiam.

VERS. 17, 18. « Tu autem jejunans, unge caput tuum, et faciem tuam lava, ne videaris hominibus jejunans, sed Patri tuo qui est in abscondito : et Pater tuus qui videt in abscondito, reddet tibi. » Prisci in gaudii signum habebant, oleo ungi post lotionem : 33 et tu quoque sic lætus appare. Per oleum autem et eleemosyna intelligitur. Porro caput nostrum, hoc est, Christum oportet eleemosyna inungi : faicem autem, hoc est, sensum, lacrymis lavare.

VERS. 18, 19. « Ne thesaurizetis vobis thesau-

ros super terram, ubi ærugo et tinea corrumpit: et ubi fures perfodiunt et furantur. Thesaurizate autem vobis thesauros in cœlo, ubi neque ærugo, neque tinea corrumpit, et ubi fures non perfodiunt, neque furantur. » Postquam inanis gloriæ morbum ejecit, consequenter de inopia loquitur. Homines enim propter vanam gloriam multa possident. Ostendit quam sit inutile thesauros habere super terram : quia ærugo et tinea corrumpunt cibos et vestes, fures autem aurum et argentum. Deinde ne quis dicat ei : Sed non omnia furto pereunt, inquit. Quamvis nihil horum sit, attamen sic addictum esse divitiarum sollicitudini, quomodo non miserum? ideo dicit :

VERS. 21-23. « Ubi enim est thesaurus vester, ibi erit et cor vestrum. Lucerna corporis est oculus: si igitur oculus tuus simplex fuerit, totum corpus tuum lucidum erit : si autem oculus tuus malus fuerit, totum corpus tuum tenebrosum erit. Si igitur lux quæ in te est, tenebræ sunt, tenebræ ipsæ quantæ? » Hoc dicit, quod si adjeceris animum opum sollicitudini, exstinxisti lucernam, obtenebrasti tuam animam. Sicut enim oculus si simplex, hoc est, sanus fuerit, illuminat corpus : si autem malus, hoc est morbidus, obtenebrat: ita et mens excæcatur præ sollicitudine. Quod si mens obtenebrata fuerit, fit et anima tenebrosa, et multo magis corpus.

VERS. 24. « Nullus potest duobus dominis servire. » Duos dominos dicit contraria præcipientes, exempli gratia, ut Deus et Mammon. Nos autem facimus dominum nostrum diabolum, sicut et ventrem deum. Natura enim est vere Dominus, Deus, mammona autem est injustitia. « Aut enim unum odio habebit et alterum diliget : aut uni adhærebit et alterum contemnet. Non potestis Deo servire et mammonæ. » Vides quod non potest dives et injustus Deo servire! Abjicit enim divitiarum amor a Deo.

VERS. 25. « Propterea dico vobis, ne solliciti sitis animæ vestræ quid esuri sitis aut bibituri : neque corpori vestro quibus indumentis usuri. » Quod est hoc, propterea : A Deo ejici propter opes? Non comedit autem anima, incorporea enim est, sed juxta communem consuetudinem locutus est. Videtur autem anima non posse esse in corpore, nisi pascatur caro. Non explodit autem operari, sed seipsos totos curis tradere et negligere Deum, hoc est quod prohibet, quoniam et agros colere oportet et animæ curam habere. « Nonne anima pluris est quam cibus, et corpus quam indumentum? Hoc est, qui majus dedit nempe animam et corpus ipsum **54** formavit, non dabit et alimentum et indumentum ?

VERS. 26. « Aspicite ad volatilia cœli, quia non serunt, neque metunt, neque congregant in horreum, et Pater vester cœlestis pascit ea: nonne vos longe præcellitis illa? » Potuisset afferre in exemplum Heliam et Joannem, et meminit avium : ut nos

A ὅπου σὴς καὶ βρῶσις ἀφανίζει· καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι. Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν· ὅπου γὰρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν. » Ἐπεὶ τὸ τῆς κενοδοξίας ἐξέβαλε νόσημα, περὶ ἀκτημοσύνης λοιπὸν λέγει. Οἱ γὰρ ἄνθρωποι διὰ κενοδοξίαν κτῶνται τὰ πλείω, δείκνυσι δὲ τοῦ ἐπὶ γῆς θησαυροῦ τὸ ἀκερδές· ὅτι σὴς μὲν καὶ βρῶσις ἀφανίζει βρώματα καὶ ἱμάτια, κλέπται δὲ, χρυσίον καὶ ἀργύριον. Εἶτα ἵνα μὴ εἴπῃ τις αὐτῷ, ὅτι Ἀλλ' οὐ πάντες κλέπτονται, φησίν· Εἰ καὶ μηδὲν τούτων ἐστὶν, ἀλλ' οὖν γε αὐτὸ τοῦτο τὸ προσηλῶσθαί σε τῇ περὶ τοῦ πλούτου μερίμνῃ, πῶς οὐκ ἄθλιον ; διὸ λέγει·

B « Ὅπου γὰρ ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν. Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινόν· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται· εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστὶ, τὸ σκότος πόσον ; » Τοῦτό φησιν, ὅτι Ἐὰν προσηλώσῃς τὸν νοῦν σου τῇ τῶν χρημάτων φροντίδι, ἔσβεσας τὸν λύχνον, ἐσκότισάς σου τὴν ψυχήν. Ὥσπερ γὰρ ὁ ὀφθαλμὸς ἁπλοῦς, τουτέστιν ὑγιὴς ὢν, φωτίζει τὸ σῶμα, ἐὰν δὲ πονηρὸς ᾖ, τουτέστι νοσώδης, σκοτίζει, οὕτω καὶ ὁ νοῦς τυφλοῦται ὑπὸ τῆς φροντίδος. Εἰ δὲ ὁ νοῦς σκοτισθείη, ἡ ψυχὴ σκότος γίνεται, καὶ πολλῷ μᾶλλον τὸ σῶμα.

« Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. » Δύο C κυρίους λέγει τοὺς τὰ ἐναντία ἐπιτάττοντας, οἷον Θεὸν καὶ Μαμμωνᾶν. Ἡμεῖς δὲ ποιοῦμεν κύριον ἡμῶν τὸν διάβολον, ὥσπερ καὶ τὴν κοιλίαν θεόν· φύσει δὲ καὶ ἀληθῶς Κύριος, ὁ Θεός· Μαμμωνᾶς δέ ἐστιν ἡ ἀδικία. « Ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ. » Ὁρᾷς ὅτι οὐκ ἔστι δυνατὸν τὸν πλούσιον καὶ ἄδικον Θεῷ δουλεύειν ; Ἐκβάλλει γὰρ αὐτὸν ἡ φιλοχρηματία ἀπὸ Θεοῦ.

« Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε καὶ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. » Διὰ τοῦτο, ποῖον ; Διὰ τὸ ἀπὸ Θεοῦ ἐκβάλλεσθαι ὑπὸ τῶν χρημάτων· Οὐχ ἡ ψυχὴ δὲ ἐσθίει, ἀσώματον γὰρ, ἀλλὰ κατὰ τὴν κοινὴν συνή- D θειαν τοῦτο εἶπε. Δοκεῖ γὰρ ἡ ψυχὴ μὴ ἀνέχεσθαι εἶναι ἐν τῷ σώματι, εἰ μὴ τρέφοιτο ἡ σάρξ. Οὐκ ἐκβάλλει δὲ τὸ ἐργάζεσθαι, ἀλλὰ τὸ μὴ διδόναι ὅλως ἑαυτοὺς ταῖς φροντίσι, καὶ ἀμελεῖν Θεοῦ, τοῦτο κωλύει. Ἐπεὶ καὶ γεωργεῖν δεῖ, ἀλλὰ καὶ ψυχῆς φροντίζειν. « Οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος ; » Τουτέστιν, Ὁ τὸ μεῖζον δοὺς, τὴν ψυχὴν καὶ τὸ σῶμα διαπλάσας, οὐ δώσει καὶ τροφὴν καὶ ἐνδύματα ;

« Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν ; » Δυνάμενος παρενεγκεῖν εἰς παράδειγμα τὸν Ἠλίαν, τὸν

Ἰωάννην, μέμνηται τῶν πετεινῶν· ἵνα ἡμᾶς ἐντρέψῃ, ὅτι καὶ τούτων ἀλογώτεροί ἐσμεν. Τρέφει δὲ αὐτὰ ὁ Θεὸς, ἐνθεὶς αὐτοῖς φυσικὴν γνῶσιν πρὸς τὸ τροφὰς συλλέγειν.

« Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν, δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; » Τοῦτό φησιν, ὅτι κἂν μεριμνᾷς, οὐδὲ ποιεῖς μὴ θέλοντος τοῦ Θεοῦ. Τί τοίνυν περιττῶς κατακόπτεις σεαυτόν;

« Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει. Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. » Οὐ μόνον ἀπὸ τῶν ἀλόγων πτηνῶν ἐντρέπει ἡμᾶς, ἀλλὰ καὶ ἀπὸ τῶν κρίνων τῶν μαραινομένων. Εἰ γὰρ ὁ Θεὸς ἐκεῖνα οὕτως ἐκαλλώπισε, καίτοι μηδεμιᾶς χρείας οὔσης, πόσῳ μᾶλλον τὴν χρείαν τῶν ἡμετέρων ἐνδυμάτων ἀποπληρώσει; Δείκνυσι δὲ ὅτι, κἂν πολλὰ μεριμνήσῃς, οὐ δυνήσῃ καλλωπισθῆναι ὡς τὰ κρίνα· ὅπου γε Σολομὼν ὁ φρονιμώτατος καὶ τρυφηλότατος διὰ πάσης αὐτοῦ τῆς βασιλείας οὐκ ἴσχυσε περιβαλέσθαι τι τοιοῦτον.

« Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; » Μανθάνομεν ἐντεῦθεν, ὅτι οὐ δεῖ φροντίζειν καλλωπισμοῦ. Τοῦτο γὰρ τῶν προσκαίρων ἀνθέων ἐστίν. Ὥστε πᾶς καλλωπιζόμενος, χόρτος ἐστίν. Ὑμᾶς δὲ εἶπε, τοὺς λογικούς, οἷς ψυχὴν καὶ σῶμα διέπλασεν· ὀλιγόπιστοι δὲ πάντες οἱ μεριμνῶντες. Εἰ γὰρ τελείαν εἶχον εἰς Θεὸν πίστιν, οὐκ ἂν ἐμερίμνων οὕτως ἐκτενῶς.

« Μὴ οὖν μεριμνήσητε, λέγοντες· Τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα; Πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ. » Τὸ μὲν φαγεῖν οὐ κωλύει. Τὸ δὲ λέγειν, Τί φάγωμεν; κωλύει. Ὃ λέγουσιν οἱ πλούσιοι ἀφ' ἑσπέρας· Τί φάγωμεν αὔριον; ὁρᾷς ὅτι τὴν τρυφὴν καὶ τὴν ὕβριν κωλύει.

« Οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων. Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. » Βασιλεία τοῦ Θεοῦ, ἡ ἀπόλαυσις τῶν ἀγαθῶν· αὕτη δὲ διὰ δικαιοσύνης προσγίνεται. Ὅστις οὖν ζητεῖ τὰ πνευματικά, προστίθεται τούτῳ καὶ τὰ σωματικὰ κατὰ φιλοτιμίαν Θεοῦ.

« Μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς. » Κακίαν ἡμέρας τὴν συντριβὴν καὶ τὴν κάκωσιν λέγει· οἷον, Ἀρκετόν σοι ὅτι συντρίβῃ ὑπὲρ τῆς σήμερον, εἰ δὲ καὶ ὑπὲρ τῆς αὔριον μεριμνήσεις, πότε σχολάσεις τῷ Θεῷ, ἀεὶ συντρίβων σεαυτὸν ὑπὲρ τῶν σωματικῶν;

## ΚΕΦΑΛ. Ζ'.

Περὶ τοῦ κρίνειν μηδένα· περὶ τοῦ αἰτεῖν, καὶ ζητεῖν· περὶ τοῦ προσέχειν ἀπὸ τῶν ψευδοπροφητῶν.

« Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε! » Οὐχὶ τὸ ἐλέγχειν κωλύει, ἀλλὰ τὸ κατακρίνειν. Ὁ μὲν γὰρ ἐλεγ-

A pudore afficiat, quod nos magis etiam quam illa ratione destituamur. Pascit autem eas Deus, qui indidit eis naturalem scientiam ad colligendas escas.

VERS. 27. «Quis autem ex vobis sollicitus potest apponere ad staturam suam cubitum unum?» Hoc inquit, quod, licet sollicitus sis, nihil poteris non volente Deo. Cur igitur in vanum crucias teipsum?

VERS. 28, 29. « Et de vestimento quid solliciti estis? Considerate lilia agri, quomodo crescant: non laborant, neque nent. Dico autem vobis, quod neque Salomon in omni gloria sua amictus fuit ut unum ex his.» Non solum per aves ratione carentes nos admonet, sed et per lilia quæ marcescunt. B Nam si Deus illa sic ornavit, quamvis nulla necessitas exigat, quanto magis penuriam nostram in vestibus supplebit? Ostendit autem quod licet multum sollicitus sis, non poteris tamen ornari sicut lilia: quandoquidem neque Salomon prudentissimus et delicatissimus in omni regno suo potuit ornari ut unum ex illis.

VERS. 30. « Quod si gramen agri, quod hodie cum sit, cras in clibanum mittitur, Deus sic vestit, an non multo magis vobis id faciet, parum fidentes?» Discimus hoc loco quod nullus curare debet ornatum. Hoc enim caducorum florum est: quicunque ego ornatur, fenum est. Vos autem dixit, rationales, quibus Deus animam et corpus formavit. C Parum fidunt autem omnes solliciti. Nam si perfectam in Deum haberent fidem, non tam enixe solliciti essent.

VERS. 31, 32. «Ne igitur solliciti sitis dicentes: Quid edemus, aut quid bibemus, aut quibus operiemur? Hæc enim omnia gentes quærunt.» Comedere et bibere non prohibet, dicere autem, Quid comedemus? prohibet: sicut dicunt divites, vesperi, Quid comedemus mane? Vides quod delicias et luxum prohibet.

VERS. 32, 33. « Scit enim Pater vester cœlestis quod habetis his omnibus opus. Quærite autem primum regnum Dei et justitiam ejus, et hæc omnia apponentur vobis.» Regnum Dei, bonorum fruitio est: illa autem per justitiam contingit. D Omni igitur quærenti spiritualia, adduntur etiam corporalia, ex liberalitate Dei.

VERS. 34. «Ne igitur solliciti sitis in crastinum: nam dies crastinus curam habebit suiipsius: sufficit enim diei sua malitia.» Malitiam diei, afflictionem et calamitatem vocat. Sufficit enim tibi, quod hodierna afflictione obrueris: quod si et pro crastino sollicitus fueris, quando vacabis Deo, semper temetipsum crucians pro corporalibus!

## CAPUT VII.

35 *Quod non liceat de quoquam judicare. Quomodo petere et quærere debeamus. Quod nobis cavendum sit a fasis prophetis.*

VERS. 1. « Ne judicetis, ut ne judicemini.» Non reprehendere prohibet, sed condemnare: nam re-

A prehensio utilis est, condemnatio autem probrosa, et despectus plena : vel aliter intellige de eo qui, magnis peccatis obnoxius, approbrat alios, et comdemnat minus culpabiles, et in his quæ Deus judicaturus est.

VERS. 2-5. « Quo enim judicio judicatis, judicabimini : et qua mensura metimini, mentientur vobis. Quid autem vides festucam quæ est in oculo fratris, tui, trabem autem quæ est in oculo tuo non vides? Aut quomodo dices fratri tuo, Sine ejiciam festucam ex oculo tuo, et ecce trabs in oculo tuo? Hypocrita, ejice primum trabem ex oculo tuo, et tunc videbis ut ejicias fustucam ex oculo fratris tui. » Carpturum alios oportet immaculatum esse.
B Nam habens trabem in oculo suo, hoc est magnum lignum, scilicet peccatum, et reprehendens alium festucam habentem, impudentiorem illum facit. Ostendit autem Dominus, quod magnus peccator non potest bene videre peccatum fratris. Nam qui habuerit in oculo trabem, quomodo videre potest alium mediocriter malum?

VERS. 6. « Ne detis sanctum canibus, neque mittatis margaritas vestras ante porcos, ne forte conculcent eas pedibus suis, et conversi disrumpant vos. » Canes sunt infideles : porci autem, fideles quidem sunt, sed lutulentam vitam agentes. Mysteria igitur incredulis non sunt prolenda, neque clari et margaritis similes sermones de theo-
C logia immundis communicandi. Porci enim conculcant, sive contemnunt quæ dicuntur, canes autem conversi lacerant nos : quod fecerunt philosophi, cum audirent crucifixum Christum. Dilacerant autem nos ratiocinando, impossibile esse cavillantes.

VERS. 7, 8. « Petite, et dabitur vobis : quærite, et invenietis : pulsate, et aperietur vobis. Omnis enim qui petit, accipit : et qui quærit, invenit : et pulsanti aperietur. » Imperavit nobis in superioribus magna et difficilia : ostendit igitur hoc loco quomodo imperata perficiantur, nempe per preces continuas. Petite enim, dixit, hoc est, semper, Non enim dixit, petatis semel. Deinde et exemplo humano confirmat dictum.

VERS. 9, 10. « An quisquam est ex vobis homo,
D quem si petierit filius ejus panem, lapidem daturus sit illi? aut si piscem petierit, num serpentem addet illi? » Erudit hoc loco quod oportet vehementer petere, et utilia petere. Sicut enim vos, inquit, videntes filios vestros utilia petere, **36** panem et piscem, datis omnia quæ petierint : ita et vos spitualia quærite, non carnalia.

VERS. 11. « Si igitur vos, cum sitis mali, nostis dona bona dare filiis vestris, quanto magis Pater vester qui in cœlis est, dabit bona petentibus se! » Malos nominat homines ad Deum comparatos, quoniam natura nostra bona est, utpote a Deo condita : voluntate autem mali sumus.

χος ἐπὶ ὠφελείᾳ, ἐστὶν, ἡ δὲ κατάκρισις ἐπὶ ὀνειδισμῷ καὶ ἐξουδενώσει, ἄλλως τε καὶ ὅταν ἔχων τις μεγάλας ἁμαρτίας, ὀνειδίζῃ ἑτέροις, καὶ κατακρίνῃ τοὺς ἐλάττονα ἔχοντας, ἃ ὁ Θεὸς μέλλει κρίνειν.

« Ἐν ᾧ γὰρ κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου; Ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σοῦ, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφταλμοῦ τοῦ ἀδελφοῦ σου. » Τὸν μέλλοντα ἐπιπλήττειν ἄλλοις δεῖ ἄμωμον εἶναι. Εἰ γὰρ αὐτὸς δοκὸν ἔχων ἐν τῷ ὀφθαλμῷ, τουτέστι, μέγα ξύλον, ἤτοι ἁμάρτημα, ἐπιμέμφεται ἄλλῳ κάρφος ἔχοντι, ἀναισχύντερον ἐκεῖνον ἐποίησε. Δείκνυσι δὲ ὁ Κύριος, ὅτι οὐδὲ δύναται ἰδεῖν καλῶς τὸ τοῦ ἀδελφοῦ ἁμάρτημα ὁ μεγάλα ἁμαρτάνων· ὁ γὰρ ἔχων δοκὸν ἐν τῷ ὀφθαλμῷ, πῶς ἂν ἴδοι ἄλλον μετρίως βλαπτόμενον;

« Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί· μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. » Κύνες εἰσὶν οἱ ἄπιστοι, χοῖροι δὲ, οἱ πιστοὶ μὲν, βορβορώδη δὲ βίον ἔχοντες. Δεῖ τοίνυν τὰ μυστήρια μὴ λέγειν τοῖς ἀπίστοις, μηδὲ τοὺς λαμπροὺς καὶ μαργαρώδεις λόγους τοὺς περὶ θεολογίας τοῖς ἀκαθάρτοις· οἱ μὲν γὰρ χοῖροι, καταπατοῦσιν, ἤτοι καταφρονοῦσι τῶν λεγομένων, οἱ δὲ κύνες στραφέντες διασπαράττουσιν ἡμᾶς· οἷα ποιοῦσιν οἱ λεγόμενοι φιλόσοφοι, ὅταν ἀκούσωσιν ὅτι ἐσταυρώθη Θεὸς, σπαράττουσιν ἡμᾶς τοῖς συλλογισμοῖς, ἀδύνατον εἶναι τοῦτο σοφιζόμενοι.

« Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. » Ἐπέταξεν ἡμῖν ἐν τοῖς προλαβοῦσι μεγάλα καὶ χαλεπά. Δεικνυσιν οὖν ἐνταῦθα πῶς κατορθωθήσονται, καὶ ὅτι διὰ τῆς εὐχῆς τῆς διηνεκοῦς. Αἰτεῖτε γὰρ, εἶπεν, ἀντὶ τοῦ ἀεὶ, οὐ γὰρ εἶπεν, Αἰτήσασθε ἅπαξ. Εἶτα καὶ ἀπὸ ὑποδείγματος ἀνθρωπίνου βεβαιοῖ τὸ λεχθέν.

« Ἢ τίς ἐστιν ἄνθρωπος ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; » Παιδεύει ἐνταῦθα ὅτι δεῖ καὶ σφοδρῶς αἰτεῖν, καὶ τὰ συμφέροντα αἰτεῖν. Ὑμεῖς γὰρ, φησὶ, βλέπετε τοὺς παῖδας ὑμῶν τὰ πρέποντα αἰτοῦντας, ἄρτον καὶ ἰχθὺν, καὶ τότε δίδοτε αὐτοῖς ὅταν τοιαῦτα ζητῶσιν· οὕτως οὖν καὶ ὑμεῖς τὰ πνευματικὰ ζητεῖτε, μὴ τὰ σαρκικά.

« Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; » Πονηροὺς ὀνομάζει τοὺς ἀνθρώπους, ὡς πρὸς τὸν Θεὸν συγκρίνων αὐτούς, ἐπεὶ ἡ φύσις ἡμῶν ἀγαθή ἐστιν, ὡς Θεοῦ δημιούργημα, κατὰ δὲ προαίρεσιν πονηρευόμεθα.

« Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ A ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. Οὗτος γάρ ἐστι ὁ νόμος καὶ οἱ προφῆται. » Σύντομον δείκνυσι τὴν εἰς ἀρετὴν ὁδόν. Οἱ γὰρ ἄνθρωποι οἴκοθεν γινώσκομεν τὸ δέον. Εἰ γὰρ θέλεις εὐεργετεῖσθαι, εὐεργέτει. Εἰ θέλεις ἀγαπᾶσθαι παρὰ τῶν ἐχθρῶν, ἀγάπα καὶ σὺ τοὺς ἐχθρούς. Καὶ γὰρ ὁ νόμος τοῦ Θεοῦ καὶ οἱ προφῆται ἐκεῖνα λέγουσιν, ἃ καὶ ὁ φυσικὸς νόμος ἡμῖν διατάττεται.

« Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. » Στενὴν πύλην λέγει τοὺς πειρασμούς, τούς τε ἑκουσίους, οἷον νηστείαν καὶ τἄλλα, καὶ τοὺς ἀκουσίους, οἷον δεσμὰ, διωγμούς. Ὥσπερ οὖν πολύσαρκος B ἄνθρωπος, ἢ πολλὰ βαστάζων, οὐ δύναται διὰ τῆς στενῆς εἰσελθεῖν, οὕτως οὐδὲ τρυφηλὸς ἢ πλούσιος· διὰ δὲ τῆς πλατείας οἱ τοιοῦτοι εἰσέρχονται. Δεικνύων δὲ ὅτι καὶ ἡ στενοχωρία πρόσκαιρός ἐστι, καὶ ἡ πλατύτης παροδικὴ, πύλην καὶ ὁδὸν ἐκάλεσε· τήν τε γὰρ πύλην, ἤτοι τὴν κακοπάθειαν, παρέρχεται ὁ κακοπαθῶν, καὶ τὴν τρυφὴν δὲ ὡς ὁδὸν προσοδεύει ὁ τρυφῶν· ἐπεὶ οὖν ἀμφότερα πρόσκαιρα, τὸ κρεῖττον αἱρετέον.

Τί στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν! » Θαυμαστικόν ἐστι τὸ Τί. Θαυμάζει γὰρ, βαβαὶ, πόσον ἐστὶ στενή! Πῶς οὖν ἀλλαχοῦ λέγει· Ὁ ζυγός μου ἐλαφρός; Διὰ τὰς μελλούσας ἀντιδόσεις.

« Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες C ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. » Πανοῦργοί εἰσι καὶ ἐπιθέται οἱ αἱρετικοὶ, διὰ τοῦτο λέγει, Προσέχετε. Χρηστολογίαν μὲν γὰρ προβάλλονται, καὶ βίον ὑποκρίνονται σεμνὸν, ἀλλ' ἔσωθέν ἐστι τὸ ἄγκιστρον. Ἔνδυμα δὲ προβάτου, καὶ ἡ πραότης, ᾗτινι χρῶνταί τινες σχηματιζόμενοι διὰ τὸ κολακεύειν καὶ ἐξαπατᾷν. Ἀπὸ δὲ τοῦ καρποῦ γνωρίζονται, τουτέστι, τῶν ἔργων καὶ τοῦ βίου. Κἂν γὰρ ὑποκρίνωνται πρὸς καιρὸν ἀλλὰ τοῖς προσέχουσιν ἐλέγχονται.

« Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν, ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. » Ἄκανθαι καὶ τρίβολοί εἰσιν οἱ D ὑποκριταί· ἄκανθαι, ὡς πλήττοντες λαθραίως, τρίβολοι δὲ, ὡς πανοῦργοι καὶ πολύτροποι. Σαπρὸν δὲ δένδρον, πᾶς ὃν σήπει ὁ ὑγρὸς καὶ ἐκλελυμένος βίος.

« Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. » Ἕως οὗ ἐστι σαπρὸν, οὐ δύναται· ἐὰν δὲ μεταβληθῇ, δύναται. Ὅρα γὰρ, ὅτι οὐκ εἶπεν, Οὐ δυνήσεται, ἀλλ' ὅτι ἐν ὅσῳ ἐστὶ σαπρὸν, καλὰ οὐ γεννᾷ.

« Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. » Ταῦτα πρὸς Ἰουδαίους

VERS. 12. « Omnia igitur quæcunque volueritis ut faciant vobis homines, et vos facite eis. Hæc enim est lex, et prophetæ. » Brevem ad virtutem viam ostenbit. Ex nobis enim scimus quid facto sit opus. Nam si vis beneficia accipere, benefac : si vis diligi ab inimicis, dilige tu etiam inimicos. Etenim lex Dei et prophetæ illa dicunt : quæ et naturalis lex præcipit.

VERS. 13. « Introite per augustam portam,quia lata est porta et spatiosa via quæ ducit ad interitum, et multi sunt qui ingrediuntur per eam. » Angustam portam vocat tentationes, tum voluntarias, veluti jejunium et alia : tum præter nostram voluntatem evenientes, ut vincula, persecutiones. Quemadmodum autem corpulentum, vel sarcinis onustum, per angustam ingredi nequit : ita neque delicatus vel dives, per latam autem tales vadunt. Cæterum ostendens quod et augustia tempororia sit, et latitudo transitoria,portam et viam vocavit. Per afflictionem enim qui affligitur, quasi per portam transit, et delicatus per delicias quasi per viam ingreditur: et quia utraque temporaria, eligatur quæ melior.

VERS. 14. « Quam augusta est porta et stricta via quæ ducit ad vitam, et pauci sunt invenientes eam! » Admirativa dictio est, Quid? Admiratur enim, papæ, quam augusta! Quomodo igitur alibi dicit,Onus meum leve? propter futuras retributiones.

VERS. 15, 16. « Attendite autem a falsis prophetis qui veniunt ad vos in vestimentis ovium, sed intrinsecus sunt lupi rapaces, a fructibus eognoscetis eos.» Vafri sunt et impostores hæretici, propterea dicit, attendite, hoc est, cavete. Blandiloquentiam enim prætexunt, et vitam simulant sanctam, sed intrinsecus latet hamus. Indumentum autem ovis est et mansuetudo, quam usurpant dum adulantur ct decipiunt. A fructu autem cognoscuntur, hoc est, ab operibus et vita. Nam licet ad tempus simulent, sed produntur successu temporis.

VERS. 16,17. «Nuuquid colligunt a spinis uvam, vel a tribulis ficus? Sic omnis arbor bona fructus bonos facit : arbor autem putris fructus malos facit. » Spinæ et tribuli sunt hypocritæ. Spinæ, ut occulte vulnerantes : tribuli, ut vafri et versatiles. Arbor autem putris, omnis qui molli et dissoluta vita putrescit.

VERS. 18. « Non potest arbor bona fructus malos facere, neque arbor putris fructus bonos 37 facere. » Quandiu est putris, non potest; ubi autem conversa fuerit,potest.Vide enim quod uon dixit.Non poterit : sed quatenus est putris, bona non parit.

VERS. 19, 20. « Omnia abor non faciens fructum bonum, exscinditur,et in ignem mittitur.Utique ex fructibus ipsorum agnoscetis eos,» His Judæos per

stringit, nam et Joannes talia eis dicebat. Arbori autem confert hominem, eo quod potest a sterili peccato in virtutem inseri.

Vers. 21. « Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum cœlorum : sed qui facit voluntatem Patris mei, qui in cœlis est. » Hoc loco ostendit seipsum Dominum, dicendo, Non omnis qui dicit mihi, Domine, Domine, nam ita se et Deum dicit. Docet autem nos, si fidem absque operibus habuerimus, nihil nobis eam profuturam. Nam dicendo, Qui facit voluntatem, non dicit qui semel facit, sed qui usque ad mortem facit. Et non dixit, Voluntatem meam, ne offenderet auditores, sed, Patris mei. Omnino autem una eademque voluntas est patris et filii, nisi degener sit filius.

B Vers. 22, 23. « Multi dicent mihi in die illa: Domine, Domine, nonne in nomine tuo prophetavimus, et in nomine tuo dæmonia ejicimus, et in nomine tuo virtutes multas fecimus? Et tunc confitebor eis : Nunquam cognovi vos, discedite a me, operarii iniquitatis. » Multi cum prædicare incipiebant, ejiciebant dæmonia : et quamvis indigni essent, per nomen Jesu fugabant dæmones. Nam gratia etiam per indignos efficax est, sicut per indignos sacerdotes sanctificamur : et Judas quoque signa fecit, et filii Scevæ. Quod autem dicit, Nunquam cognovi vos, hoc vult, Neque tunc, quando miracula faciebatis, diligebam vos. Hoc enim loco caritas, cognitio dicitur.

C Vers. 24, 25. « Omnis igitur, qui audit ex me sermones hos et facit eos, assimilabo eum viro prudenti, qui ædificavit domum suam super petram, et descendit pluvia, et venerunt flumina, et flaverunt venti et irruerunt in domum illam, et non cecidit : fundata enim erat supra petram. » Absque Deo virtus perfici nequit; idcirco, inquit, assimilabo eum viro prudenti. Petro autem est Christus, domus autem anima. Quicunque igitur animam suam ædificabit, operando mandata Christi, illum neque pluvia, id est diabolus, qui de cœlo decidit : neque flumina, homines scilicet lædentes, qui ab hac pluvia multiplicantur : neque venti, hoc est spiritus mali, et in summa, tentationes omnes si talis fuerit, poterunt dejicere.

D Vers. 26, 27. « Et omnis qui audit a me sermones hos et non facit eos, assimilabitur viro stulto, qui exstruxit domum suam super arenam, et descendit pluvia, et venerunt flumina, et spiraverunt venti, et irruerunt in domum illam, et cecidit, fuitque ruina ejus magna. » Non dixit, Assimilabo eum, sed per seipsum assimilabitur stulto ille qui credit quidem non autem operatur, 38 hic est qui super arenam ædificat ignaviter operans: propterea et a tentationibus dejicitur : irruit, hoc est, impingit in eum tentatio, et magna cadit (a) ruina. Nullus autem

(a) Edit. Lut. solum, *et cadit.*

A ἀποτείνεται, καὶ ὁ Ἰωάννης γὰρ τοιαῦτα αὐτοῖς ἔλεγε. Δένδρῳ δὲ ἀπεικάζει τὸν ἄνθρωπον, διότι δύναται ἐγκεντρισθῆναι ἀπὸ τῆς ἀκάρπου ἁμαρτίας εἰς ἀρετήν.

« Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. » Ἐνταῦθα ἐπιδείκνυσιν ἑαυτὸν Κύριον, ἐν τῷ εἰπεῖν· Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, ὥστε Θεὸν ἑαυτὸν λέγει, διδάσκει δὲ ἡμᾶς ὅτι, ἐὰν πίστιν χωρὶς ἔργων ἔχωμεν, οὐδὲν ἐκ τούτου ὠφελούμεθα· ὁ γὰρ ποιῶν τὸ θέλημα, οὐχ εἶπεν ὁ ἅπαξ ποιήσας, ἀλλ' ὁ ἄχρι θανάτου ποιῶν. Καὶ οὐκ εἶπε, τὸ θέλημά μου, ἵνα μὴ σκανδαλίσῃ τοὺς ἀκούοντας, ἀλλὰ, τοῦ Πατρός μου· πάντως δὲ ἓν θέλημα πατρὸς καὶ υἱοῦ, ἐὰν οὐκ ἔστιν ἀποστάτης ὁ υἱός.

« Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν ; Καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι Οὐδέποτε ἔγνων ὑμᾶς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. » Πολλοὶ ἐν ἀρχῇ τοῦ κηρύγματος ἐξέβαλον δαιμόνια, καὶ ἀνάξιοι ὄντες, διὰ τὸ ὄνομα τοῦ Ἰησοῦ φευγόντων τῶν δαιμόνων· καὶ γὰρ ἡ χάρις καὶ διὰ τῶν ἀναξίων ἐνεργεῖ, ὡς καὶ διὰ τῶν ἀναξίων ἱερέων ἁγιαζόμεθα, καὶ Ἰούδας δὲ σημεῖα ἐποίησε, καὶ οἱ υἱοὶ τοῦ Σκευᾶ. Τὸ δὲ Οὐδέποτε ἔγνων ὑμᾶς, ἀντὶ τοῦ, Οὐδὲ τότε ὅτε ἐθαυματουργεῖτε, ἠγάπων ὑμᾶς· γνῶσις γὰρ ἡ ἀγάπη λέγεται ἐνταῦθα.

« Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἔπεσε, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. » Θεοῦ χωρὶς οὐ δύναται ἀρετὴ κατορθωθῆναι, διὰ τοῦτό φησιν, Ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ. Πέτρα δὲ, ὁ Χριστός· οἰκία δὲ, ἡ ψυχή. Ὅστις οὖν τὴν ψυχὴν αὐτοῦ οἰκοδομήσει ἐπὶ τῇ ἐργασίᾳ τῶν ἐντολῶν τοῦ Χριστοῦ, τοῦτον οὔτε ἡ βροχὴ, ὁ διάβολος λέγω, ὁ ἐξ οὐρανοῦ πεσὼν, οὔτε οἱ ποταμοὶ, οἱ ἐπηρεασταὶ ἄνθρωποι, οἱ ἀπὸ τῆς τοιαύτης βροχῆς πληθυνόμενοι, οὔτε οἱ ἄνεμοι τὰ πνεύματα τῆς πονηρίας, καὶ ἁπλῶς πάντες οἱ πειρασμοὶ, τὸν τοιοῦτον οὐ δύνανται καταβαλεῖν.

« Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. » Οὐκ εἶπεν, Ὁμοιώσω αὐτὸν, ἀλλ', Ὁμοιωθήσεται ἀφ' ἑαυτοῦ, μωρῷ, ἐκεῖνος ὃς πιστεύει μὲν, οὐ πράττει δέ· οὗτος οὖν ἐπὶ ψάμμου κτίζει, ἐπὶ σαθρότητος τῶν ἔργων. Διὰ τοῦτο καὶ ὑπὸ τῶν πειρασμῶν πίπτει· ὅταν γὰρ προσκόψῃ, τουτέστι, προσκρούσῃ αὐτῷ πειρασμὸς,

πίπτει πτῶμα μέγα. Οὐδεὶς δὲ τῶν ἀπίστων πίπτει, ἐκεῖνοι γὰρ χαμαὶ πάντοτε κεῖνται· ὁ δὲ πιστὸς, ἐκεῖνος πίπτει. Καὶ διὰ τοῦτο μέγα τὸ πτῶμα, ὅτι Χριστιανὸς ὢν πίπτει.

« Καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ Ἰησοῦ τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ. Ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς. » Οὐχ οἱ ἄρχοντες ἐξεπλήσσοντο, πῶς γὰρ, οἱ φθονοῦντες αὐτῷ; ἀλλὰ τὸ ἄκακον πλῆθος. Ἐθαύμαζον δὲ οὐχὶ τὴν φράσιν τῶν ῥημάτων, ἀλλὰ τὴν παῤῥησίαν, καὶ ὑπὲρ τοὺς προφήτας γὰρ ἐδείκνυεν ἐξουσίαν. Ἐκεῖνοι γὰρ, Τάδε λέγει Κύριος, ἔλεγον. Χριστὸς δὲ, ὡς Θεός. Ἐγὼ λέγω ὑμῖν.

## ΚΕΦΑΛ. Η'.

Περὶ τοῦ λεπροῦ. Περὶ τοῦ ἑκατοντάρχου. Περὶ της πενθερᾶς Πέτρου. Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων. Περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν. Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων. Περὶ τῶν δαιμονιζομένων. ὧν τὰ δαιμόνια εἰς τὴν ἀγέλην τῶν χοίρων ἐξεβλήθη.

« Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί. Καὶ ἰδοὺ λεπρὸς προσελθὼν προσεκύνει αὐτῷ, λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. » Συνετὸς ὢν ὁ λεπρὸς, οὐκ ἀνῆλθεν εἰς τὸ ὄρος, ἵνα μὴ διακόψῃ τὴν διδασκαλίαν. Καταβάντι δὲ προσκυνεῖ. Καὶ πίστιν δεικνύων πολλὴν, οὐκ εἶπεν, Ἐὰν παρακαλέσῃς τὸν Θεὸν, θεραπεύσεις με· ἀλλ', Ἐὰν θέλῃς, διὸ καὶ ὁ Χριστός·

« Καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ ὁ Ἰησοῦς, λέγων· Θέλω, καθαρίσθητι. Καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅρα μηδενὶ εἴπῃς· ἀλλ' ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον ὃ προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς. » Ἅπτεται τοῦ λεπροῦ, δεικνὺς, ὅτι οὐχ ὑπόκειται τῷ νόμῳ, κελεύοντι μὴ ἅπτεσθαι τοῦ λεπροῦ, ἀλλὰ Δεσπότης τούτου ἐστὶ, καὶ ὅτι τῷ καθαρῷ οὐδὲν ἀκάθαρτον, καὶ ὅτι ἡ ἁγία αὐτοῦ σὰρξ ἁγιασμοῦ μετεδίδου. Φεύγων δὲ τὴν δόξαν, κελύει μηδενὶ εἰπεῖν, ἀλλὰ δεῖξαι ἑαυτὸν τῷ ἱερεῖ. Εἰ γὰρ μὴ εἶπεν ὁ ἱερεὺς, ὅτι κεκάθαρται ὁ λεπρὸς, ἔξω τῆς πόλεως ἔμενε. Κελεύει δὲ καὶ προσενεγκεῖν τὸ δῶρον εἰς μαρτύριον τοῖς Ἰουδαίοις, τουτέστιν, Ὅταν μου κατηγορῶσιν ὡς τὸν νόμον καταλύοντος, ἔσῃ μάρτυς σὺ ὁ νῦν κελευσθεὶς παρ' ἐμοῦ προσαγαγεῖν τὰ παρὰ τοῦ νόμου διαταττόμενα.

« Εἰσελθόντι δὲ αὐτῷ εἰς Καπερναούμ, προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτὸν καὶ λέγων. » Οὐδὲ οὗτος ἐν τῷ ὄρει προσῆλθεν, ἵνα μὴ διαλυθῇ ἡ διδασκαλία. Ὁ αὐτὸς δέ ἐστιν οὗτος, ὁ καὶ παρὰ τῷ Λουκᾷ. Εἰ δὲ ὁ Λουκᾶς λέγει, ὅτι ἑτέρους ἔπεμψε πρέσβεις πρὸς τὸν Ἰησοῦν· οὐκ ἔστι τοῦτο ἐναντιλογία πρὸς τὸν Ματθαῖον, λέγοντα, αὐτὸν ἐκεῖνον προσελθεῖν. Εἰκὸς γὰρ ἦν πρῶτον μὲν ἄλλους ἀποστεῖλαι, εἶτα τοῦ κινδύνου ἐπικειμένου, αὐτὸν ἐλθεῖν καὶ λέγειν·

« Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. » Οὐκ ἤνεγκε

A infidelium cadit, illi enim semper humi jacent: at fidelis cadit. Et ruina, quia Christanus est, magna.

VERS. 28,29. «Et factum est, cum consummasset Jesus sermones illos, obstupuerunt turbæ in doctrina ejus. Erat enim docens eos ut auctoritatem habens,et non sicut scribæ. » Non principes obstupuerunt, (quomodo enim, cum eum odio haberent?) sed innocua plebis multitudo. Mirabantur non facundiam verborum, sed libertatem : et majorem quam prophetæ præ se ferebant auctoritatem. Illi enim dicebant, Hæc dicit Dominus. Christus autem, ut Deus, ego dico vobis.

B

## CAPUT VIII

*De curatione leprosi. De centurione. De socru Petri. De iis qui curati sunt a variis morbis. De non commissu sequela. De increpatione aquarum. De dæmoniacis quorum dæmonia in porcorum gregem emissa sunt.*

VERS. 42. « Cum autem descendisset a monte, secutæ sunt eum turbæ multæ. Et ecce leprosus accessit et adoravit eum, dicens : Domine, si vis, potes me mundare. » Leprosus enim, utpote civilis et modestus, non ascendit in montem, ut ne doctrinæ obesset : cum igitur descendisset,adoravit. Et magnam præ se ferens fidem, non dixit, Si obsecraveris Deum, curabis me : sed, Si vis, et ideo Christus.

C VERS. 3, 4. «Et extenta manu tetigit eum Jesus, dicens : Volo, mundus esto.Et confestim mundata est lepra illius.Dicitque ei Jesus : Vide, nulli dixeris : sed vade, teipsum ostende sacerdoti, et offer munus quod præcepit Moyses in testimonium illis. » Attigit leprosum, ostendens quod non obnoxius sit legi, quæ præcepit ne tangatur leprosus, sed Dominus ejus sit, et quod mundo nihil sit immundum et quod sancta ejus caro sanctificationem communicet. Fugiens autem gloriam, jubet ut nulli dicat, sed ostendat se sacerdoti. Nam nisi sacerdos mundum pronuntiasset, extra civitatem illi manendum fuisset. Præcipit quoque ut offerat donum in testimonium Judæis : hoc est, Quando me arguent ut destructorem legis, tu mihi testis

D eris, qui nunc jussus es a me ut offeras ea quæ a lege præcipiuntur.

VERS. 5,6. «At cum ipse ingressus esset Capernaum,accessit ad eum Centurio, obsecrans eum et dicens.»Neque hic in monte accessit,ut ne præjudicaret doctrinæ. Idem autem hic est qui et apud Lucam. Quamvis autem Lucas dicat quod alios miserit nuntios ad Jesum,non contradicit 39 tamen Matthæo dicenti quod per se accesserit.Verisimile enim est ipsum principio alios misisse, deinde periculo crescente per se accessisse, ac dixisse :

VERS. 6,7. « Domine,puer meus decumbit domi paralyticus, graviterque cruciatur, Et dicit illi Jesus:Ego cum venero, curabo eum.»Non attulit pue-

rum in lecto, credens quod et absentem curare posset. Quapropter.

VERS. 8-10. «Et centurio respondens, dixit: Domine, non sum idoneus ut sub tectum meum ingrediaris, sed tantum dic sermone, et sanabitur puer meus. Nam et ego homo sum sub potestate, et habeo sub me milites, et dico huic, Vade, et vadit : at alteri, Veni, et venit : et servo meo, Fac hoc, et facit. Ut autem hæc audivit Jesus, admiratus est, et dixit his qui sequebantur, Amen dico vobis, ne in Israel quidem tantum fidem inveni. » Si ego, inquit, qui regis servus sum, militibus mihi subditis impero, tu multo magis imperare potes morti et morbis : ita ut ab hoc recedant, ad alium autem veniant. Corporales enim morbi, milites sunt et ultores Dei. Proinde admiratur Christus, et dicit, quod neque in Israelitis tantam invenerit fidem, quantam in hoc gentili.

VERS. 11, 12. «Dico autem vobis, quod multi ab Oriente et Occidente venient, et accumbent cum Abraham et Isaac et Jacob in regno cœlorum; filii vero regni ejicientur in tenebras exteriores. Illic erit ploratus, et stridor dentium. » Non dixit quod multi gentiles accubituri essent, ut ne Judæos exasperaret : sed adumbrando rem dixit, multi ab Oriente et Occidente. Mentionem autem fecit Abrahæ ostendens quod non sit contrarius legi veteri. Porro dicens tenebras exteriores, monstravit esse pœnas quasdam tolerabiliores et leviores. Sunt enim et in suppliciis gradus. Filios autem regni Judæos dicit, ad quos et promissiones factæ sunt. Filius enim, inquit, primogenitus meus Israel.

VERS. 13. «Et dixit Jesus centurioni : Abi, et sicut credidisti, ita fiat tibi. Et sanatus est puer ejus in hora illa, et reversus centurio in domum suam, in illa hora invenit puerum suum sanum. » Declaratur ex his, quoniam si ille verbo sanatus est, vere etiam dictum quod Judæi abjiciendi essent.

τὸν παῖδα ἐπὶ κλίνης, πιστεύων ὅτι καὶ ἀπόντα δύναται θεραπεῦσαι· διὸ,

« Καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος, ἔφη, Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου· καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ. Ἀκούσας δὲ ὁ Ἰησοῦς, ἐθαύμασε καὶ εἶπε τοῖς ἀκολουθοῦσιν· Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. » Εἰ ἐγὼ, φησὶ, βασιλέως δοῦλος ὢν, τοῖς ὑπ' ἐμὲ στρατιώταις ἐπιτάττω, σὺ πολλῷ μᾶλλον δύνασαι ἐπιτάττειν τῷ θανάτῳ καὶ ταῖς νόσοις, ὥστε ἀπὸ τοῦδε μὲν ἀναχωρεῖν, ἄλλῳ δὲ ἐπιτίθεσθαι· αἱ γὰρ σωματικαὶ νόσοι, στρατιῶται καὶ ἔκδικοί εἰσι τοῦ Θεοῦ. Θαυμάζει τοίνυν ὁ Χριστὸς, λέγων ὅτι, Οὐδὲ ἐν τοῖς Ἰσραηλίταις τοσαύτην πίστιν εὗρον ὅσην ἐν τῷ ἐθνικῷ (3-4).

« Λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ Ἀνατολῶν καὶ Δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. » Οὐκ εἶπεν ὅτι πολλοὶ ἐθνικοὶ ἀνακλιθήσονται, ἵνα μὴ πλήξῃ τοὺς Ἰουδαίους, ἀλλὰ συνεσκιασμένως εἶπεν, ἀπὸ Ἀνατολῶν καὶ Δυσμῶν. Ἐμνήσθη δὲ τοῦ Ἀβραὰμ, δεικνύων, ὅτι οὐκ ἔστιν ἐναντίος τῇ Παλαιᾷ· ἐξώτερον δὲ σκότος εἰπὼν, ἐδήλωσεν ὅτι ἐστὶ καὶ ἐνδότερον, ὃ καὶ ἐλαφρότερον. Βαθμοὶ γάρ εἰσι καὶ ἐν τῇ κολάσει. Υἱοὺς δὲ βασιλείας τοὺς Ἰουδαίους λέγει, πρὸς αὐτοὺς γὰρ αἱ ἐπαγγελίαι. Υἱὸς γὰρ, φησὶ, πρωτότοκός μου Ἰσραὴλ (5).

« Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ· Ὕπαγε, καὶ ὡς ἐπίστευσας, γενηθήτω σοι. Καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ, καὶ ὑποστρέψας ὁ ἑκατόνταρχος εἰς τὸν οἶκον αὐτοῦ, ἐν αὐτῇ τῇ ὥρᾳ, εὗρε τὸν παῖδα ὑγιαίνοντα. » Ἔδειξεν ἐξ ὧν λόγῳ ἰάσατο, ὅτι καὶ περὶ τοῦ ἀποῤῥιφῆναι τοὺς Ἰουδαίους, ἀληθεύει.

Ex collatione codd. Venet. S. Marci.

(3-4) Ἐθνικῷ. Ἄλλοι δὲ οὕτως ἡρμήνευσαν τουτὶ τὸ ῥητόν. Ὁ μὲν Ἰακὼβ ἐκεῖνος ἐν πατριάρχαις ἐπίσημος ἰδὼν τὴν οὐρανομήκη ἐκείνην κλίμακα, δι' ἧς οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον, τοπικὸν ὑπέλαβεν εἶναι τὸν Θεὸν, καὶ μὴ παντὶ παρόντα καὶ πανταχοῦ· εἶπε γὰρ, ὅτι Ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν· καὶ πάλιν· Ὡς φοβερὸς ὁ τόπος οὗτος. Οὐκ ἔστι τοῦτο, ἀλλ' οἶκος Θεοῦ. Θαυμάζει τοίνυν ὁ Κύριος τὴν τοῦ ἐθνικοῦ, τούτου πίστιν ὡς μεγάλην οὖσαν καὶ ὑπερφυῆ, λέγων, ὅτι Οὐδὲ ἐν τῷ Ἰσραὴλ, ἤτοι τῷ Ἰακὼβ, τοσαύτην πίστιν εὗρον, ὅσην ἐν τούτῳ. Ἐκεῖνος γάρ με τοπικὸν ὑπέλαβεν εἶναι, οὗτος δὲ παντὶ καὶ πανταχοῦ, καὶ ῥήματι μόνον τὰ πάντα δυνάμενον. Εἶπε γάρ· Εἰπὲ λόγον, καὶ ἰαθήσεται ὁ παῖς μου. Λέγω δὲ ὑμῖν, κ. τ. λ. « Alii autem hocce dictum ita interpretati sunt : Jacob celebris ille inter patriarchas, cum scalam ad cœlum pertingentem, per quam angeli Dei ascendebant et descendebant (Gen. XXVIII, 12) vidisset, suspicatus est Deum localem (seu determinato in loco) esse, non rebus omnibus, ac ubique presentem. Unde ait : *Vere Dominus est in loco isto; et ego nesciebam.* Et rursus: *Quam terribilis est locus iste ! non est hic aliud, nisi domus Dei.* Miratur igitur Dominus gentilis hujus fidem velut magnam et præcellentem, dicens : *Neque in Israel*, hoc est, in Jacob, *tantam fidem inveni*, quantam in hoc. Ille enim me loco circumscriptum esse suspicatus est ; hic autem rebus omnibus et ubique presentem, ac solo verbo omnia posse, credit : ait enim : *Dic verbum, et sanabitur puer meus. Dico autem vobis,* » etc. Cod. 32.

(5) Φασὶ δέ τινες ὅτι, καθάπερ τινὰ πελάγη τῶν θαλασσῶν κόλποι τοιοίδε ἢ τοιοίδε ὠνομάσθησαν, οὕτως ἄρα καὶ τὰ πελάγη τῶν ἀπολαύσεων, ἐν αἷς ἐστιν Ἀβραὰμ, κόλποι τοῦ Ἀβραὰμ ἐκλήθησαν, ὡς ἐπισημοτέρου πάντων παρ' Ἑβραίοις ὄντος τοῦ Ἀβραὰμ, ἰδικῶς τοῦ Ἀβραὰμ τούτους ὠνόμασε. Καὶ εἶπεν ὁ Ἰησοῦς. « Aiunt vero nonnulli, quod, sicut quidam profundi marium tractus appellantur sinus tales vel tales; sic et pelagi deliciarum, in quibus exstat Abraham, sinus Abrahæ dicti sint. Cum enim Abraham omnium celeberrimus esset apud Hebræos; inde proprie Abrahæ hos appellavit. *Et dixit Jesus,* » etc., idem cod.

A « Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν. Καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός. Καὶ ἠγέρθη καὶ διηκόνει αὐτοῖς. » Εἰσῆλθεν εἰς τὴν Πέτρου οἰκίαν διὰ τὸ φαγεῖν. Ἁψάμενος δὲ τῆς χειρὸς, οὐ μόνον τὸν πυρετὸν ἔσβεσεν, ἀλλὰ καὶ καθαρὰν ὑγείαν ἀπέδωκε τῇ γυναικὶ, ὥστε καὶ τὴν δύναμιν ἐπανελθεῖν καὶ ἰσχύσαι διακονεῖν. Καίτοι ἴσμεν ὅτι πολὺς χρόνος εἰς ἀνάῤῥωσιν τοῖς νοσοῦσι παρεκτείνεται. Τῶν ἄλλων δὲ εὐαγγελιστῶν εἰπόντων ὅτι παρεκάλεσαν αὐτὸν, καὶ οὕτω ταύτην ἐθεράπευσεν, ὁ Ματθαῖος οὐκ εἶπε τοῦτο, συντομίας φροντίσας. Εἶπον γάρ σοι καὶ ἀρχόμενος, ὅτι ὃ παρέλιπεν οὗτος, λέγει ἄλλος· μάθε δὲ καὶ ὅτι ὁ γάμος οὐδὲν κωλύει τὴν ἀρετὴν, ὁ γὰρ κορυφαῖος τῶν B ἀποστόλων πενθερὰν εἶχεν.

« Ὀψίας δὲ γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλοὺς, καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν. » Ὀψίας καὶ παρὰ καιρὸν προσῆγον τοὺς ἀῤῥώστους, αὐτὸς δὲ φιλάνθρωπος ὢν ἐθεράπευσε πάντας. Εἶτα ἵνα μὴ ἀπιστήσῃς, πῶς τοσαῦτα νοσήματα ἐν βραχεῖ ἐθεραπεύοντο, παράγει τὸν Ἡσαΐαν μαρτυροῦντα. Καίτοιγε ὁ προφήτης περὶ ἁμαρτιῶν τοῦτο λέγει, ὁ Ματθαῖος δὲ περὶ νοσημάτων αὐτὸ τέθεικε, καὶ γὰρ τὰ πλείω ἐξ ἁμαρτημάτων γίνονται.

« Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν, C ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν. » Οὐ γὰρ ἦν φιλόδοξος, ἅμα δὲ καὶ τῶν Ἰουδαίων τὸν φθόνον ἐκκλίνων.

« Καὶ προσελθὼν εἷς γραμματεὺς, εἶπεν αὐτῷ· Διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. » Γραμματέα λέγει τὸν τὸ γράμμα τοῦ νόμου ἐπιστάμενον. Οὗτος οὖν ἰδὼν τὰ πολλὰ σημεῖα, προσεδόκησεν ἐκ τούτων χρήματα συνάγειν τὸν Ἰησοῦν, διὸ καὶ σπουδάζει ἀκολουθεῖν αὐτῷ ἵνα καὶ αὐτὸς συλλέγῃ. Ὁ δὲ Χριστὸς πρὸς τὴν διάνοιαν αὐτοῦ ἀπαντῶν, μονονουχὶ τοῦτό φησι· Προσδοκᾷς D ἀκολουθῶν ἐμοὶ, χρήματα συλλέγειν· οὐχ ὁρᾷς ὅτι ἄοικός εἰμι; Τοιοῦτος καὶ ὁ ἀκολουθῶν ἐμοὶ ὀφείλει εἶναι. Ταῦτα δὲ ἔλεγεν ὡσεὶ πείσῃ αὐτὸν μεταβληθέντα ἀκολουθεῖν· ὁ δὲ ἀναχωρεῖ. Τινὲς δὲ ἀλώπεκας καὶ πετεινὰ, τοὺς δαίμονάς λέγουσι. Φησὶν οὖν ὅτι Οἱ δαίμονες ἐν σοὶ ἀναπαύονται, καὶ ἐγὼ λοιπὸν οὐκ ἔχω ἐν τῇ σῇ ψυχῇ ἀνάπαυσιν.

"Ετερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. » Μεθ' ὃ δώσει τις ἑαυτὸν τῷ Θεῷ, οὐκ ὀφείλει στρέφεσθαι εἰς τὰ βιωτικά. Δεῖ μὲν γὰρ καὶ τοὺς γονεῖς τιμᾷν, ἀλλὰ τὸν Θεὸν προτιμᾷν. Ἐνταῦθα δὲ καὶ ἄπιστος ἦν ὁ γονεὺς, καὶ δῆλον, ἐκ τοῦ λέγειν.

VERS. 14, 15. « Et ingressus Jesus in domum Petri, vidit socrum ejus decumbentem et febricitantem, tetigitque manum illius, et reliquit illam febris: et surrexit, ac ministravit illis. » Intravit in domum Petri, ut comederet: et attingens manum ejus, non solum febrim exstinxit, sed et sanitatem integram præstitit, ita ut receptis viribus etiam ministrare valeret. Scimus alioqui multo vix tempore convalescentes confirmari. Cum alii evangelistæ dicant quod obsecrarint eum, et sic curata sit, Matthæus hoc brevitatis rationem habens prætermisit Dicebam enim tibi in principio, alium dicere, quod alius 40 omittit. Porro disce hic quod nuptiæ non a virtute prohibent: princeps enim apostolorum socrum habuit.

VERS. 16, 17. « Vespere autem facto, attulerunt ei dæmoniacos multos, et ejecit spiritus verbo, et omnes male habentes curavit, ut impleatur dictum per Isaiam prophetam dicentem, Ipse infirmitates nostras suscepit et morbos portavit. » Vespere et intempestive languidos adducebant. Ipse autem, utpote misericors, curavit omnes. Deinde ne discredas quomodo tot morbos tam brevi tempore curaverit, affert Isaiam testem. tametsi propheta de peccatis hoc dicat, Matthæus autem de morbis posuit, eo quod plerique ex peccatis accidant.

VERS. 18. « Cum vidisset autem Jesus turbas multas circum sese, jussit ut abirent in ulteriorem ripam. » Non erat gloriæ quæsitor, et per hoc etiam Judæorum declinabat invidiam.

VERS. 19, 20. « Et cum adisset unus Scriba, dixit ei; Præceptor, sequar te quocunque ieris. Et dicit ei Jesus: Vulpes foveas habent, et volucres cœli nidos: at Filius hominis non habet ubi caput reclinet. » Scribam dicit, litteram legis scientem. Hic igitur ut vidit multa signa. arbitratus est ex his Jesum quæstum facere, et idcirco laborat ut eum sequi posset, quo et ipse aliquid colligeret. Christus autem. cogitationi ejus occurrens, quasi in hunc modum dicit: An putas me sequi ut opes colligas? non vides ne donum quidem mihi esse? Talem esse oportet et eum qui me sequitur. Hæc autem dicebat, quo persuaderet illi, ut mutatis moribus sequeretur: at ille secessit. Nonnulli vulpes et volatilia diabolos dicunt: quasi diceret, dæmones in te habitant et ego in anima tua quietem non invenio.

VERS. 21, 22 « Alius autem ex discipulis suis dixit ei: Domine, permitte mihi primum abire ut sepeliam patrem meum. At Jesus dixit illi: Sequere me, et sine mortuos sepelire mortuos suos. » Postquam qui sese tradiderit Deo, non debet denuo ad vitæ hujus curas converti: oportet sane et parentes venerari, sed magis oportet venerari Deum. Hujus autem pater incredulus erat, quod manifestum

est ex eo quod dicit, Sine mortuos sepelire mortuos suos, hoc est, infideles. Si autem illi neque patrem sepelire licuit, væ his qui monosticem professi ad mundana regrediuntur negotia.

VERS. 23, 24 « Et cum esset ingressus navim, secuti sunt eum discipuli sui, et ecce motus magnus factus est in mari, ita ut navis a fluctibus operiretur : ipse vero dormiebat. » Discipulos solos servavit secum, ut miraculum viderent. Permisit autem eos tempestate agitari, ut ad tentationes exercerentur, et ut per miraculum firmius crederent. Dormivit vero, ut timore perculsi suam agnoscerent infirmitatem, et eum obsecrarent : propterea dicit :

VERS. 25, 26. « Et accedentes discipuli ejus, excitaverunt eum, dicentes : Domine, serva nos, perimus. 41 Et dicit eis : Quid timidi estis, parum fidentes ? » Non incredulos dicit, sed parvæ fidei. Nam per hoc quod dicunt, Domine, serva nos, fidem monstrant : quod autem dicunt, perimus, non est fidei. Illo enim simul navigante non erat formidandum. Vide autem quod, exprobrans eis ut timidis, ostendit timorem afferre pericula. Idcirco primum sedat turbationem animæ illorum, et tunc solvit etiam maris tempestatem.

VERS. 26, 27. « Tunc excitatus increpavit ventos et mare, et facta est serenitas magna : homines vero admirabantur, dicentes : Qualis est hic, quia venti et mare obediunt ei ? » Quod videbatur, hominis erat, opera autem, Dei.

VERS. 28. « Et cum venisset ad ulteriorem ripam in regionem Gergesenorum, occurrerunt ei duo dæmoniaci. » Dubitantibus illis in navi qualis esset hic, quia venti et mare obediunt ei, veniunt dæmones præcones. Quod si tam Marcus quam Lucas unum dicant, habentem legionem [13], intelligendum est quod unus ex his duobus fuerit insignior forte. A seipso autem ad illos ivit, nemo enim illos adducere audebat : tam crudeles erant. « E monumentis egressi, sævi nimis, ita ut nemo posset transire per viam illam. » In monumentis versabantur. Dæmones dogma quoddam instituere volebant, quod animæ mortuorum fiant dæmones, quod nemo credere debet. Anima enim egressa, in mundo non errat. « Justorum enim animæ in manu Dei sunt [14]: » peccatorum vero et ipsæ hinc abducuntur, ut anima divitis [15].

VERS. 29. « Et ecce clamabant dicentes: Quid nobis et tibi, Jesu fili Dei ? Venisti huc ante tempus ut torqueas nos ? » Ecce Filium Dei prædicant, prius confitentes inimicitias. Tormentum autem et cruciatum putant, si non permittantur lædere homines. Quod autem dicit, ante tempus, intellige

A Ἄφες τοὺς νεκρούς, τουτέστι, τοὺς ἀπίστους, θάψαι τοὺς ἑαυτῶν νεκρούς· εἰ δὲ ἐκεῖνος οὐδὲ τὸν πατέρα θάψαι συνεχωρήθη, οὐαὶ τοῖς μετὰ τὸ μονάσαι εἰς πράγματα (6) στρεφομένοις.

« Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων, αὐτὸς δὲ ἐκάθευδεν. » Τοὺς μαθητὰς μόνους κατέσχεν, ὥστε ἰδεῖν τὸ θαῦμα. Ἀφίησι δὲ αὐτοὺς κλυδωνισθῆναι, ἵνα γυμνασθῶσι πρὸς πειρασμούς, καὶ ἵνα διὰ τοῦτο τὸ σημεῖον ἐπὶ πλεῖον πιστεύσωσι. Καθεύδει δὲ, ὡς ἂν φοβηθέντες ἐπιγνῶσι τὴν ἰδίαν ἀσθένειαν, καὶ παρακαλέσωσιν αὐτόν· διό φησιν·

Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἤγειραν αὐτὸν, λέγοντες· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. Καὶ B λέγει αὐτοῖς· Τί δειλοί ἐστε, ὀλιγόπιστοι; Οὐκ ἀπίστους εἶπεν, ἀλλ' ὀλιγοπίστους· καθὸ μὲν γὰρ εἶπον, Κύριε, σῶσον ἡμᾶς, πίστιν ἐδείκνυνται, τὸ δὲ, Ἀπολλύμεθα, οὐ πίστεως. Ἐκείνου γὰρ συμπλέοντος, οὐκ ἔδει δεδιέναι. Ὅρα δὲ ὅτι ὀνειδίζων αὐτοῖς ὡς δειλοῖς, δείκνυσιν ὡς ἡ δειλία φέρει τοὺς κινδύνους. Διὸ καὶ πρῶτον παύσας τὸν χειμῶνα τῆς ψυχῆς αὐτῶν, τότε λύει καὶ τὸν τῆς θαλάσσης.

« Τότε ἐγερθεὶς, ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ· καὶ ἐγένετο γαλήνη μεγάλη. Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες· Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ; » Τὸ μὲν γὰρ ὁρώμενον, ἀνθρώπου· τὰ δὲ ἔργα, Θεοῦ.

C

« Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν, εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι. » Τῶν ἐν τῷ πλοίῳ δισταζόντων ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ, ἔρχονται οἱ δαίμονες κήρυκες. Εἰ δὲ ὁ Μάρκος καὶ ὁ Λουκᾶς ἕνα λέγουσι τὸν τὴν λεγεῶνα ἔχοντα, νόησον ὅτι ἐκεῖνος εἷς ἦν τούτων τῶν δύο ὁ τάχα ἐπισημότερος· ἀφ' ἑαυτοῦ δὲ ἦλθε πρὸς αὐτοὺς, ἐπεὶ φοβεροὺς ὄντας, οὐδεὶς ἐτόλμα προσαγαγεῖν αὐτούς. « Ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. » Ἐν τοῖς μνημείοις διέτριβον, δόγμα ἐνθεῖναι βουλόμενοι οἱ δαίμονες, ὅτι αἱ ψυχαὶ τῶν ἀποθανόντων δαίμονες γίνονται. Ὃ μηδὲ ἐννοήσειέ τις·

D ἡ ψυχὴ γὰρ ἐξελθοῦσα, οὐκ ἐν τῷ κόσμῳ πλανᾶται· αἱ μὲν γὰρ τῶν δικαίων, ἐν χειρὶ Θεοῦ· αἱ δὲ τῶν ἁμαρτωλῶν, καὶ αὐτοὶ ἔνθεν ἀπάγονται, ὡς ἡ τοῦ πλουσίου.

« Καὶ ἰδοὺ ἔκραξαν λέγοντες· Τί ἡμῖν καὶ σοὶ, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; » Ἰδοὺ Υἱὸν τοῦ Θεοῦ κηρύσσουσι, πρότερον ὁμολογοῦντες τὴν ἔχθραν. Βάσανον δὲ ἡγοῦνται τὸ μὴ συγχωρεῖσθαι ἀδικεῖν τοὺς ἀνθρώπους· τὸ δὲ πρὸ καιροῦ, νόει ὅτι ἐνόμιζον τὸν Χριστὸν μὴ ὑπομένοντα

[13] Marc. v, 9; Luc. viii, 36. [14] Sap. iii, 1. [15] Luc. xvi, 1 seqq.

Ex collatione codd. Venet. S. Marci.

(6) Πράγματα βιωτικά, cod. 32.

τὴν ὑπερβολὴν τῆς κακίας αὐτῶν, μὴ ἀναμεῖναι τὸν καιρὸν τῆς κολάσεως· ὅπερ οὐκ ἔστιν· ἕως γὰρ τῆς συντελείας ἐῶνται παλαίειν ἡμῖν.

A quod existimabat Christum, non ferentem immensas ipsorum malitias, non exspectaturum tempus suppliciorum : id quod non est: nam usque ad consummationem mundi sinuntur certare nobiscum.

« Ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη· οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν, λέγοντες· Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ εἶπεν αὐτοῖς· Ὑπάγετε. Οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων. » Οἱ μὲν δαίμονες αἰτοῦσιν, ὡς ἂν, τοὺς χοίρους πνίξαντες, λυπήσωσι τοὺς δεσπότας αὐτῶν, ὥστε μὴ παραδέξασθαι τὸν Χριστόν. Ὁ δὲ Χριστὸς συγχωρεῖ τοῖς δαίμοσι, δεικνύων ποίαν πικρίαν ἔχουσι πρὸς τοὺς ἀνθρώπους, καὶ ὅτι, εἰ ἐξουσίαν εἶχον καὶ οὐκ ἐκωλύοντο, χεῖρον ἂν τῶν χοίρων διέθεντο ἡμᾶς· B ἐκεῖνος γὰρ φυλάττει τοὺς δαιμονῶντας, ὥστε μὴ φονεύειν ἑαυτούς.

VERS. 30-32. « Erat autem procul ab illis grex porcorum multorum pascens ; dæmones autem rogabant eum dicentes: Si ejicis nos, permitte nobis ut eamus in gregem porcorum. Et ait illis : Abite. Illi vero egressi abierunt in gregem porcorum. » Dæmones petunt, ut vel suffocatis porcis contristent dominos illorum, ut ne Christum susciperent Christus autem concedit dæmonibus : monstrans qua amaritudine et odio erga homines ferantur, et si potestas eis daretur, et non prohiberentur, pejus nos quam porcos illos affligerent. Ipse enim custodit dæmoniacos, ne seipsos occidant.

« Καὶ ἰδοὺ ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. Οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν δαιμονιζομένων. Καὶ ἰδοὺ πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ, καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν, ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν. » Λυπηθέντες, καὶ δόξαντες χεῖρόν τι μετὰ ταῦτα παθεῖν, παραιτοῦνται αὐτόν. Σὺ δὲ μάθε, ὅτι ἔνθα χοιρώδης βίος, ὁ Χριστὸς μὲν οὐ μένει ἐκεῖ, δαίμονες δέ.

VERS. 33, 34. « Et ecce ferebatur totus grex porcorum per præceps in mare, et perierunt in aquis. Porro qui pascebant, aufugerunt, et digressi in civitatem, renuntiaverunt omnia, et quid accidisset dæmoniacis. Et ecce tota civitas 42 exivit in occursum Jesu : et cum vidissent illum, rogabant ut decederet a finibus suis. » Tristitia affecti erant, et existimabant se gravius quiddam passuros, et ideo deprecabantur eum. Tu autem disce quod ubi est vita porcina, ibi non manet Christus, sed diabolus.

## ΚΕΦΑΛ. Θ'.

C

Περὶ τοῦ παραλυτικοῦ. Περὶ τοῦ Ματθαίου. Περὶ τοῦ Σωτῆρος μετὰ τῶν τελωνῶν ἐσθίοντος. Περὶ τῆς θυγατρὸς ἀρχισυναγώγου. Περὶ τῆς αἱμοῤῥοούσης. Περὶ τῶν δύο τυφλῶν. Περὶ τοῦ δαιμονιζομένου κωφοῦ.

## CAPUT IX.

*De paralytico. De Matthæi vocatione. De Salvatoris refectione cum publicanis. De filia principis synagogæ. De hæmorrhousa. De duobus cæcis. De surdo dæmoniaco.*

« Καὶ ἐμβὰς εἰς τὸ πλοῖον, διεπέρασε καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. Καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. » Ἰδίαν πόλιν τὴν Καπερναοὺμ λέγει, ἐκεῖ γὰρ ᾤκει· ἡ μὲν γὰρ Βηθλεὲμ ἔτεκεν, ἡ δὲ Ναζαρὲτ ἔθρεψεν, ἡ δὲ Καπερναοὺμ εἶχε διηνεκῶς οἰκοῦντα. Ὁ δὲ παράλυτος οὗτος ἕτερός ἐστι παρὰ τὸν ἐν τῷ Ἰωάννῃ· ἐκεῖνος μὲν γὰρ, παρὰ τῇ προβατικῇ ἐν Ἱερουσαλὴμ, οὗτος δὲ, ἐν Καπερναούμ. Καὶ ὁ μὲν οὐκ εἶχεν ἄνθρωπον, οὗτος δὲ ὑπὸ τεσσάρων βαστάζεται, ὡς ὁ Μάρκος φησὶν, ὥστε καὶ διὰ τῆς στέγης χαλασθῆναι, ὅπερ ὁ Ματθαῖος παρέλειψεν. « Καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν. » Ἢ τῶν προσενεγκάντων, καὶ γὰρ πολλάκις διὰ τὴν τῶν προσφερόντων πίστιν θαυματουργεῖ, ἢ καὶ αὐτοῦ ἐκείνου. « Εἶπε τῷ παραλυτικῷ· Θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. » Τέκνον καλεῖ, ἢ ὡς πλάσμα Θεοῦ, ἢ ὡς πιστεύσαντα· δεικνὺς δὲ, ὅτι μάλιστα ἡ παράλυσις ἐξ ἁμαρτιῶν, λύει πρῶτον ἐκείνας.

VERS. 1, 2. « Et ingressus navem, trajecit ac venit in suam civitatem. Et ecce adduxerunt illi paralyticum in lecto decumbentem. » Suam civitatem Capernaum dicit; illic enim habitabat: Bethlehem enim peperit, Nazareth educavit, Capernaum præbuit domicilium. Paralyticus autem iste alius est quam is qui apud Joannem. Ille enim erat ad probaticam in Jerusalem, hic autem in Capernaum. Et ille quidem non habuit hominem, hic autem a D quatuor portatur, sicut Marcus dicit, et per lectum demittitur: quod a Matthæo prætermissum. « Cumque vidisset Jesus fidem illorum. » Aut eorum qui afferebant, siquidem frequenter propter afferentium fidem miracula facit: aut illius etiam ipsius. « Dixit paralytico : Confide, fili ; remittuntur tibi peccata tua. » Filium vocat, vel creaturam Dei, vel ut eum qui crediderat; declarans autem quod paralysis ex peccatis esset, primum peccata solvit.

« Καὶ ἰδού τινες τῶν Γραμματέων εἶπον ἐν ἑαυτοῖς· Οὗτος βλασφημεῖ. Καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν· Ἵνα τί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν ; Τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν, Ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, Ἔγειρε καὶ περιπάτει ; » Ἐκ τοῦ τὰς ἐνθυμήσεις εἰδέναι,

VERS. 3-5. « Et ecce Scribæ quidam dixerunt intra semetipsos : Hic blasphemat. Et ut vidit Jesus cogitationes illorum, dixit : Utquid vos mala cogitatis in cordibus vestris ? Quid enim est facilius dictu, Remittuntur tibi peccata tua, an dicere, Surge et ambula ? « Vel ex hoc quod cogitationes resci-

vit, ostendit se Deum. Arguit igitur eos ferme sic dicens : Vos quidem putatis me blasphemum, eo quod pollicear me remittere peccata, id quod magnum quidem est; videtur autem vobis quod ego per hoc effugium quæram ut non reprehendar. Ego igitur et ex corporis cura fidem vobis facio quod animas sanem : Per rem minorem quidem, sed quæ difficilior videatur, confirmans et peccatorum remissionem, quæ magna quidem est, sed facilior vobis videtur, eo quod minus appareat.

Vers. 6-8. « Ut autem sciatis quod potestatem habeat Filius hominis super terram remittere peccata, tunc dicit paralytico, Surge: et tolle lectum tuum, et vade in domum tuam. Surrexitque ille et abiit in domum suam. Et cum vidissent turbæ, admiratæ sunt et glorificaverunt Deum, qui dedit hominibus potestatem talem. » Injunxit ei ut lectum gestaret, ut ne phantasia videatur, et ut turbæ simul, quæ maximum quidem omnium, purum tamen hominem putabant, miraculum intueantur.

Vers. 9. « Et præteriens Jesus 43 illinc, vidit hominem sedentem in telonio, qui Matthæus dicebatur: et dicit illi, Sequere me. Et surgens secutus est eum. » Non cum Petro et Joanne hunc vocavit, sed quando vidit obtemperaturum. Sic et Paulum vocavit postea suo tempore. Admirare autem evangelistam, quomodo vitam suam invulgat, quamvis alii nomen ejus occultarunt, eum appellantes Levi. Dei autem opus fuit, solo verbo eum converti.

Vers. 10, 11. « Et factum est illo recumbente in domo, ecce multi publicani et peccatores venerunt, et recubuerunt cum Jesu et discipulis ejus. Et cum vidissent Pharisæi, dixerunt discipulis ejus : Cur cum publicanis et peccatoribus sumit cibum præceptor vester ? » Gaudens Matthæus quod ad se divertisset Jesus, publicanos alios vocavit. Christus autem simul vescebatur cum eis, ut eis prodesset tametsi propter hoc male audiret. Pharisæi enim, volentes discipulos ab eo avellere, accusabant publicanorum convivium.

« Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; Ὁμοία ἐστὶ παιδίοις καθημένοις ἐν ἀγορᾷ, καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν, καὶ λέγουσιν· Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε. Ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε. » Τὸ δυσάρεστον τῶν Ἰουδαίων αἰνίττεται ἐνταῦθα. Δύστροποι γὰρ ὄντες, οὔτε τῇ σκληραγωγίᾳ τοῦ Ἰωάννου ἠρέσκοντο, οὔτε τῇ τοῦ Χριστοῦ ἁπλότητι· ἀλλ' ὅμοιοι ἦσαν παιδίοις δυσαρε-

στομένοις διὰ κουφότητα, οἷς κἂν κλαίῃ τις, οὐκ ἀρέσκει, κἂν αὐλῇ, οὐδ' οὕτως.

« Ἦλθε γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσι, Δαιμόνιον ἔχει. Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν. » Θρήνῳ μὲν ἀπεικάζει τὴν Ἰωάννου διαγωγήν· καὶ γὰρ σκληρότητα πολλὴν καὶ ἐν ῥήμασι καὶ ἐν πράγμασιν ἀπεδείκνυτο ὁ Ἰωάννης· τὴν δὲ τοῦ Χριστοῦ, αὐλῷ· καὶ γὰρ χαριέστατος ἦν ὁ Κύριος, πᾶσι συγκαταβαίνων, ἵνα πάντας κερδήσῃ τούτους, καὶ βασιλείαν εὐαγγελιζόμενος, καὶ οὐδὲν τοιοῦτον σκυθρωπὸν, οἷον ὁ Ἰωάννης (10). Καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς. » Τοῦτό φησιν, ὅτι Λοιπὸν ἐπεὶ οὔτε ὁ Ἰωάννου βίος, οὔτε ὁ ἐμὸς ἀρέσκει ὑμῖν, ἀλλὰ πάντας τοὺς τρόπους τῆς σωτηρίας διαπτύετε, δίκαιος φαίνομαι ἐγὼ ἡ σοφία. Οὐκ ἔσται γὰρ ἔτι πρόφασις ὑμῖν, ἀλλὰ κατακριθήσεσθε πάντως. Καὶ γὰρ ἐγὼ μὲν πάντα πεπλήρωκα, ὑμεῖς δὲ ἀπειθήσαντες, δίκαιον ἐμὲ ὡς μηδὲν παραλιπόντα δεικνύετε.

contumacibus, quos neque facilitate neque luctu quis placarit.

VERS. 18, 19. « Venit enim, inquit, Joannes neque comedens neque bibens, et dicunt : Dæmonium habet. Venit Filius hominis comedens et bibens, et dicunt: Ecce hominem edacem et vini potatorem, amicumque publicanorum et peccatorum. » Lamentationi assimilat vitam Joannis : erat enim magnæ tam in verbis quam operibus severitatis. Tibiæ autem vitam Christi : gratiosus enim erat Dominus ac mire dispensans omnia, omnibus condescendens, ut omnes lucrifaciat, et regnum evangelizet : proinde non ejus fuit austeritatis cujus Joannes. « Et justificata est sapientia a filiis suis. » Hoc dicit : Quandoqnidem neque Jeannis vita neque mea vobis 55 placet, sed omnes salutis vias aspernamini, justus apparebo ego, qui sapientia sum. Nulla enim posthac vobis excusatio erit, sed omnino condemnabimini. Etenim ego quidem implevi omnia, vos autem increduli facti, justum me, utpote qui nihil prætermiserim, comprobabitis.

Ex collatione codd. Venet. S. Marci.

(10) Cod. 32 hæc interserit : Ἡ γάρ τοῦ Ἰωάννου δίαιτα δυσπόριστος καὶ τραχεῖα, οὔτε γὰρ ἤσθιεν ἄρτον, οὔτε ἔπινεν οἶνον· ἦσαν μὲν ἐναντίαι ἀλλήλοις αὗται αἱ δίαιται. Οὐδετέρως τούτων οὕτω διαιτωμένων, ἠρέσκοντο. Ἀλλὰ τὸν Ἰωάννην μὲν διὰ τὴν ἀσιτίαν καὶ ἀοινίαν, δαιμόνιον ἔχειν ἔλεγον. Τὸν δὲ Χριστὸν διὰ τὸ ἐσθίειν καὶ πίνειν, φάγον καὶ οἰνοπότην ὠνόμαζον. (Εἰ καὶ μὴ ῥητῶς τὰς διαβολὰς τούτων ἀνέγραψεν ὁ εὐαγγελιστὴς, νομίσας ἀρκεῖν τὸν παρόντα λόγον.) Ὥσπερ γὰρ δύο θηρευταὶ ζῶον δυσθήρατον ἑλεῖν σπεύδοντες, ἐκ δύο μόνων διεξόδων θηρευθῆναι μέλλον ἐναντίων ἀλλήλαις, ἑκατέραν διέξοδον ἑκάτερος διαλαβὼν, ἐξεναντίας μὲν ἀλλήλοις ἵστανται, τὸ αὐτὸ δὲ ποιοῦσιν· οὕτως ᾠκονομήθη, τὸν μὲν Ἰωάννην σκληροτέραν ἔχειν ἀγωγὴν, τὸν δὲ Χριστὸν μαλακωτέραν. Ἵνα εἴτε τοῦτον, εἴτε ἐκεῖνον ἀποδεξάμενοι πεισθῶσιν αὐτοῖς. Καὶ εἴτε διὰ τούτου, εἴτε δι' ἐκείνου θηραθῶσι. Καὶ ἦσαν ἐναντίαι μὲν ἀλλήλαις αἱ ὁδοὶ, τὸ δ' ἔργον ὅμοιον. Ἀλλ' αὐτοὶ καθάπερ δύστροποι ἑκατέρους φεύγοντες, ἑκατέρους ἐκάκιζον. Ἐρωτήσωμεν τοίνυν αὐτοὺς, Καλὸν ἡ σκληροτέρα πολιτεία; καὶ πῶς οὐκ ἐπείσθητε τῷ Ἰωάννῃ, τὸν Χριστὸν ὑμῖν ὑποδεικνύοντι; Ἀλλὰ καλὸν ἡ μαλακωτέρα; Καὶ πῶς οὐκ ἐπείσθητε τῷ Χριστῷ, τὴν ὁδὸν ὑμᾶς τῆς σωτηρίας διδάσκοντι; Διὰ τί δὲ μᾶλλον ὁ Ἰωάννης τὴν σκληροτέραν ἀγωγὴν εἶχε; Διότι ἔδει τὸν μὲν κήρυκα τῆς μετανοίας σκυθρωπὸν εἶναι, τὸν δὲ δοτῆρα τῆς ἀφέσεως τῶν ἁμαρτιῶν χαρίεντα· καὶ ὅτι ὁ μὲν Ἰωάννης οὐδὲν πλέον ἐπεδείξατο τοῖς Ἰουδαίοις, εἰ μὴ πολιτείαν μόνην, Ἰωάννης γὰρ φησὶν, οὐδὲν ἐποίησε σημεῖον, ὁ δὲ Χριστὸς καὶ τὴν ἀπὸ τῶν θεοπρεπῶν θαυμάτων μαρτυρίαν ἐκέκτητο. Ἄλλως τε, καὶ γινώσκων ἀσθενεῖς τοὺς ἀνθρώπους, συγκατέβαινεν, ἵνα κερδήσῃ μᾶλλον αὐτοὺς ἐντεῦθεν. Διὰ τοῦτο καὶ εἰς τραπέζας τελωνῶν οἰκονομικῶς εἰσήρχετο. Καὶ τοῖς μεμφομένοις ἀπελογεῖτο, τὴν αἰτίαν λέγων, Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν· ἀλλ' οὐδὲ τῆς σκληρᾶς ἠμέλησεν ἀγωγῆς ἐν τῇ ἐρήμῳ, μετὰ τῶν θηρίων οἰκήσας, καὶ τεσσαράκοντα νηστεύσας ἡμέρας ὡς προδεδήλωται. Εἰς τραπέζας δὲ εἰσιὼν εὐλαβῶς τε καὶ ἐγκρατῶς καὶ ἁγιοπρεπῶς ἤσθιε καὶ ἔπινε. Καὶ ἐδικαιώθη ἡ σοφία, κ. τ. λ. « Joannis enim vivendi ratio ardua fuit et aspera ; utpote qui neque panem manducabat, neque habebat vinum. Erant igitur duæ illæ vivendi rationes inter se contrariæ : ob neutram tamen placebant illi Judæis : sed Joannem quidem (a) propter cibi potusque abstinentiam dæmonium habere, dicebant : Christum vero, eo quod comederet et biberet, edacem et vini epotatorem appellabant (etsi non expresse ipsorum calumnias perscripserit evangelista, ratus satis esse, quæ hic commemorat). Quemadmodum enim duo venatores feram aliquam, cujus difficilis venatio est, capere cupientes, si ea ex duplici tantum sibique opposito exitu capi possit, utrumque ii obsidentes, ex adverso quidem sibi invicem consistunt, eidem tamen operi incumbunt : ita provide dispositum fuit, ut Joannes quidem asperiorem, Christus vero mitiorem vitam ageret ; ut hunc vel illum recipientes eisdem crederent, et ab hoc vel ab illo salubriter caperentur. Erant vero contrariæ quidem hæ viæ ; at opus idem. Attamen illi, utpote perversi et contumaces, utrumque fugientes, utrumque improbabant ac condemnabant. Interrogemus igitur eos : Bonane et laudabilis est asperior vivendi ratio ? Quomodo igitur non credidistis Joanni, qui vobis Christum demonstrabat ? Sed bonane est ratio vivendi mitior ac mollior ? Quomodo ergo non credidistis Christo, qui vos salutis viam edocuit? Verum cur potius Joannes asperiorem vitam duxit, quam Christus? Quia nempe decebat, præconem pœnitentiæ austerum esse, datorem autem remissionis peccatorum esse benignum ac suavem. Et quia Joannes nihil amplius ostendebat Judæis prætorquam suam vivendi rationem: *Joannes enim, inquit, signum nullum fecit* (*Joan.* x, 41). Sed Christus, etiam divinis miraculis fidem sibi astruebat ; ac præterea cognoscens homines imbecilles esse, eisdem condescendebat, ut exinde magis eos lucrifaceret. Ob hanc rationem et ad mensas publicanorum interdum accedebat ; idque contra reprehendentes defendit, causam istam in medium proferens, quia *Non veni vocare justos, sed peccatores* ad pœnitentiam (*Matth.* ix, 13) Cæterum neque vitam austeram omnino neglexit Christus, ut cum in eremo cum animalibus sylvestribus unice versatus, quadraginta dies jejunavit, sicut superius dictum est : et alias, ad mensas accedens, religiose, parce, sancteque cibum potumque sumebat. *Et justificata est sapientia*, etc.

(a) Similia habet Chrysostomus homil. 37, al. 38. in Matth.

VERS. 20. «Tunc cœpit Jesus exprobrare civita- A tibus in quibus factæ fuerant plurimæ virtutes ipsius, quod non egissent pœnitentiam.» Postquam monstravit quod omnia quæcunque oportebat, fecerat, et manserunt absque pœnitentia, tunc consequenter exprobrat :

VERS. 21. «Væ tibi, Chorazin, væ tibi, Bethsaida.» Ut intelligas eos qui non crediderunt, non a natura, sed voluntate malos esse, meminit Bethsaidæ, ex qua Andreas, et Petrus, et Philippus, et filii Zebedæi fuerunt: atque ita non naturæ, sed voluntatis malitia fuit. Nam si naturæ, fuissent et illi mali.

VERS. 21, 22. « Quoniam si in Tyro et Sidone factæ fuissent virtutes quæ factæ sunt in vobis, olim in sacco et cinere pœnitentiam egissent. Ve- B rumtamen dico vobis, Tyro et Sidoni tolerabilius erit in die judicii, quam vobis. » Deteriores dicit Judæos Tyriis et Sidoniis. Tyrii enim naturalem legem transgressi sunt: Judæi autem et Mosaicam. Et illi quidem non viderunt miracula, hi autem et miracula quæ videre, accusarunt. Saccus pœnitentiæ symbolum est. Lugentes videmus cinerem et pulverem super caput spargere.

VERS. 23, 24. « Et tu, Capernaum, quæ usque ad cœlos es exaltata, usque ad infernum detraheris: quoniam si in Sodomis factæ fuissent virtutes quæ in te, mansissent usque in hodiernum diem. Verumtamen dico vobis quod Sodomis tolerabilius erit in die judicii, quam tibi.» Capernaum exalta- C ta est eo quod sit civitas Jesu; glorificata enim fuit, utpote patria ejus, sed nihil utilitatis inde accepit, non credendo: et propterea contrario modo condemnata est usque in infernum, quod talem sortita inquilinum, non sit illinc emendatior facta. Quoniam autem Capernaum interpretari quis potest agrum consolationis: vide quod si quis mereatur fieri ager Paracleti, scilicet Spiritus sancti, et deinde sublime sapiat, et exaltetur usque in cœlum, ita corruet quoque per superbiam. Horrescas igitur, o homo.

VERS. 25. « In illo tempore respondit Jesus, et dixit: Confiteor tibi, Pater, Domine cœli et terræ, quod occultaveris hæc a sapientibus et intelligentibus, et revelaveris ea parvulis.» Quod dicit, hunc D sensum habet: Confiteor, hoc est, gratias ago tibi, Pater, quod Judæi qui sibi videntur esse sapientes et periti in Scripturis, non crediderunt, imperiti autem et parvuli crediderunt et cognoverunt mysteria. Occultavit autem mysteria Deus ab his qui videntur esse sapientes: non ut invidens, vel ut auctor imperitiæ, sed ideo quod non erant digni, propter hoc quod sibi videbantur esse sapientes. Nam qui videtur sibi sapiens, et confidit in sapientia sua, neque Deum invocat. Unde Deus postea non invocatus, neque juvat eum, **56** neque revelat. Et aliter, Deus propter magnam misericordiam suam non revelat quibusvis plura mysteria, ut ne magis puniantur, utpote aspernantes ea quæ didicerunt.

« Τότε ἤρξατο ὁ Ἰησοῦς ὀνειδίζειν τὰς πόλεις, ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν. » Μετὰ τὸ δεῖξαι ὅτι πάντα ὅσα ἔδει, ἐποίησε, καὶ ἔμειναν ἀμετανόητοι, τότε λοιπὸν ὀνειδίζει.

« Οὐαί σοι, Χοραζίν, οὐαί σοι, Βηθσαϊδά. » Ἵνα νοήσῃς ὅτι οὐκ ἐκ φύσεως ἦσαν πονηροὶ οἱ μὴ πιστεύσαντες, ἀλλ' ἐκ προαιρέσεως, μέμνηται τῆς Βηθσαϊδά, ἐξ ἧς Ἀνδρέας, καὶ Πέτρος, καὶ Φίλιππος, καὶ οἱ τοῦ Ζεβεδαίου ἦσαν· ὥστε οὐκ ἐκ φύσεως ἡ πονηρία, ἀλλ' ἐκ προαιρέσεως. Εἰ γὰρ ἐκ φύσεως, ἦσαν ἂν κἀκεῖνοι πονηροί.

« Ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν. Πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν. » Χείρονας τοὺς Ἰουδαίους λέγει τῶν Τυρίων καὶ Σιδωνίων, καθ' ὃ οἱ μὲν Τύριοι τὸν φυσικὸν νόμον παρέβησαν· Ἰουδαῖοι δὲ καὶ τὸν Μωσαϊκόν. Καὶ ἐκεῖνοι μὲν οὐκ εἶδον θαύματα· οὗτοι δὲ καὶ ἰδόντες, διέβαλλον· ὁ δὲ σάκκος, σύμβολον μετανοίας, καὶ τὸ σποδὸν καὶ κόνιν πάττειν κατὰ τῆς κεφαλῆς, ἐπὶ τῶν πενθούντων βλέπομεν.

« Καὶ σὺ Καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν μέχρι τῆς σήμερον. Πλὴν λέγω ὑμῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ σοί. » Ἡ Καπερναοὺμ ὑψώθη διὰ τὸ εἶναι πόλις τοῦ Ἰησοῦ, ἐδοξάζετο γὰρ ὡς δῆθεν πατρὶς αὐτοῦ, ἀλλ' οὐδὲν ὠφελήθη, διὰ τὸ μὴ πιστεῦσαι. Τοὐναντίον γὰρ καὶ διὰ τοῦτο μᾶλλον κατακέκριται ἕως ᾅδου, ὅτι τοιοῦτον ἔχουσα οἰκήτορα, οὐδὲν ὠφελήθη ἐξ αὐτοῦ. Ἐπεὶ δὲ Καπερναοὺμ ἑρμηνεύεται χωρίον παρακλήσεως, βλέπε ὅτι κἂν ἀξιωθῇ τις γενέσθαι χωρίον τοῦ Παρακλήτου, τοῦ ἁγίου δηλαδὴ Πνεύματος, εἶτα ὑψελοφρονήσῃ, καὶ ἐπαρθῇ ἄχρις οὐρανοῦ, καταπίπτει λοιπὸν διὰ τὴν ὑψηλοφροσύνην. Φρίξον οὖν, ὦ ἄνθρωπε.

« Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. » Ὃ λέγει, τοιοῦτόν ἐστιν· Ἐξομολογοῦμαι, ἀντὶ τοῦ, Εὐχαριστῶ σοι, ὦ Πάτερ, ὅτι οἱ δοκοῦντες σοφοὶ καὶ ἔμπειροι εἶναι τῶν Γραφῶν Ἰουδαῖοι, ἠπείθησαν, οἱ δὲ ἀμαθεῖς καὶ νήπιοι ἐπίστευσαν καὶ ἔγνων τὰ μυστήρια. Ἀπέκρυψε δὲ τὰ μυστήρια ὁ Θεὸς ἀπὸ τῶν δοκούντων εἶναι σοφῶν, οὐχ ὡς φθονῶν ἢ ὡς αἴτιος ἀγνωσίας, ἀλλὰ διὰ τὸ μὴ εἶναι ἀξίους, ἐξ αὐτοῦ τούτου τοῦ δοκεῖν ἑαυτοὺς εἶναι σοφούς· ὁ γὰρ δοκῶν ἑαυτὸν σοφὸν, καὶ θαῤῥῶν τῇ οἰκείᾳ γνώσει, οὐδὲ προσκαλεῖται Θεόν. Καὶ λοιπὸν ὁ Θεὸς ὡς μὴ προσκαλούμενος οὐδὲ βοηθεῖ αὐτῷ, οὐδὲ ἀποκαλύπτει. Ἄλλως τε, ὁ Θεὸς μᾶλλον διὰ φιλανθρωπίαν οὐκ ἀποκαλύπτει τοῖς πολλοῖς τὰ μυστήρια, ἵνα μὴ πλεῖον κολασθῶσιν, ὡς μετὰ τὸ γνῶναι διαπτύσαντες αὐτά.

(11) « Ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. » Δηλοῖ ἐνταῦθα τὴν φιλανθρωπίαν τοῦ Πατρός, ὅτι οὐχ ὑπ' ἄλλου παρακληθεὶς ἀπεκάλυψε τοῖς νηπίοις, ἀλλ' οὕτως ἤρεσεν αὐτῷ ἐξ ἀρχῆς. Εὐδοκία γάρ, ἡ θέλησις καὶ ἡ ἀρέσκεια.

« Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου. » Εἶπεν ἀνωτέρω πρὸς τὸν Πατέρα, ὅτι ἀπεκάλυψας, ὦ Πάτερ (12)· ἵνα οὖν μὴ ὑπολάβῃς ὅτι αὐτὸς οὐδὲν ποιεῖ, πάντα δὲ τοῦ Πατρός εἰσι, φησίν, ὅτι Πάντα μοι παρεδόθη, καὶ μία ἐξουσία ἐμοῦ κἀκείνου· τὸ δὲ παρεδόθη ἀκούων, μὴ νόμιζε ὅτι ὡς δούλῳ καὶ ὑποδεεστέρῳ παρεδόθη, ἀλλ' ὡς υἱῷ. Καθ' ὃ γὰρ ἐγεννήθη ἐκ τοῦ Πατρός, κατὰ τοῦτο παρεδόθη αὐτῷ· εἰ γὰρ μὴ ἐγεννήθη, καὶ τῆς αὐτῆς οὐσίας ἦν τῷ Πατρί, οὐκ ἂν παρεδόθησαν. Ὅρα γὰρ τί λέγει· « Πάντα μοι παρεδόθη, » οὐκ ὑπὸ τοῦ δεσπότου, ἀλλ', « ὑπὸ τοῦ Πατρός μου· » ὥσπερ λόγου χάριν, ἐὰν γεννηθῇ εὐειδὲς παιδίον ἀπὸ πατρὸς εὐειδοῦς, καὶ εἴπῃ ὅτι Ἐδόθη μοι τὸ κάλλος ἐκ τοῦ πατρός μου. « Καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. » Τὸ μεῖζον λέγει, ὅτι Οὐδὲν θαυμαστὸν εἰ πάντων εἰμὶ Δεσπότης, ὅπουγε καὶ ἕτερον μεῖζον ἔχω, τὸ εἰδέναι τὸν Πατέρα, καὶ οὕτως αὐτὸν γινώσκειν, ὥστε καὶ ἑτέροις αὐτὸν ἀποκαλύπτειν. Σκόπει δέ, ἀνωτέρω εἶπεν, ὅτι ὁ Πατήρ, ἀπεκάλυψε τὰ μυστήρια τοῖς νηπίοις· ἐνταῦθα δέ, ὅτι ὁ Υἱὸς ἀποκαλύπτει τὸν Πατέρα. Ὁρᾷς οὖν μίαν δύναμιν Πατρὸς καὶ Υἱοῦ, εἴγε καὶ ὁ Πατὴρ ἀποκαλύπτει καὶ ὁ Υἱός.

« Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. » Πάντας καλεῖ οὐ μόνον Ἰουδαίους, ἀλλὰ καὶ ἐθνικούς. Νοήσαις γὰρ ἂν κοπιῶντας μὲν τοὺς Ἰουδαίους, ὡς παρατηρήματα νομικὰ βαρέα μετερχομένους, καὶ κοπιῶντας ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν τοῦ νόμου, πεφορτισμένους δέ, τοὺς ἐθνικούς, οἳ τῷ βάρει τῶν ἁμαρτιῶν ἐπιέζοντο· τούτους οὖν πάντας ἀναπαύει ὁ Χριστός. Τὸ γὰρ πιστεῦσαι, καὶ ὁμολογῆσαι, καὶ βαπτίσασθαι, ποῖος κόπος; πῶς δὲ οὐκ ἀνάπαυσις; ὅταν

VERS. 26. « Etiam, Pater, sic fuit beneplacitum ante te. » Manifestat hoc loco benignitatem Patris, quod non ab alio provocatus, revelat parvulis, sed sic ei placuit ab initio. Complacitum enim voluntas est, et beneplacitum.

VERS. 27. « Omnia mihi tradita sunt a Patre meo. » Dixit superius ad Patrem, quod revelaveris, Pater. Ne igitur suspiceris quod ipse quidem nihil faciat, omnia autem Patris sint, dicit : Omnia mihi tradita sunt, et una potestas mea et illius. Cum autem audis, Tradita sunt, ne suspiceris quod tantam servo et inferiori tradita fuerint, sed tanquam filio. Nam secundum hoc quod natus est a Patre, omnia tradita sunt ei. Nisi enim natus esset ab eo, et ejusdem esset substantiæ, non fuissent ei tradita. Vide enim quid dicat : Omnia mihi tradita sunt, non a domino, inquit, sed a Patre meo : ut exempli gratia si nascatur pulcher puer a pulchro patre, et dicat : Data est mihi pulchritudo a patre meo. « Et nullus cognoscit Filium nisi Pater, neque Patrem quis cognoscit nisi Filius, et cui voluerit Filius revelare. » Majus dicit : Nulli sit mirum me omnium esse Dominum, cum scilicet et aliud majus possim, nempe scire Patrem, ac sic ipsum cognoscere, ut et aliis eum possim revelare. Considera autem quod superius dixerit Patrem revelasse mysteria parvulis : hic autem quod Filius Patrem revelaverit. Vides igitur unam virtutem Patris et Filii : siquidem et Pater revelat ac Filius.

VERS. 28. « Venite omnes ad me qui laboratis et onerati estis, et ego requiescere vos faciam. » Omnes vocat, non solum Judæos, sed gentiles. Per laborantes intellige Judæos, ut facientes traditiones legis graves, et in operatione mandatorum legis fatigatos, per oneratos autem gentiles, onere peccatorum oppressos. Hos igitur omnes quiescere facit Christus. Credere enim, et confiteri, et baptizari, quis labor? Quomodo autem non et quies? quandoquidem et hic nihil sollicitum esse oportet de iis

Ex collatione codd. Venet. S. Marci.

(11) **Cod 32 interserit.** Τὸ δὲ τῆς ἀποκρίσεως ὄνομα πολυσήμαντόν ἐστιν. Ἵνα γὰρ ἐάσω τὸν διαχωρισμὸν καὶ τὴν διαφόρησιν κατὰ τοὺς ἰατρούς, καὶ τὴν εἰς τοῦτο κατάληξιν, ποτὲ μὲν τόπον ἀρχῆς ἔχει, ὡς τό, Ἐξομολογοῦμαί σοι, Πάτερ τοῦ οὐρανοῦ καὶ τῆς γῆς· οὐ νῦν ὁ λόγος, οὐ προηγήσατο γὰρ ἐρώτησις· ποτὲ δὲ πρὸς ἐρώτησιν ἀποδίδοται, ὡς τό, Ἀποκριθεὶς Σίμων Πέτρος εἶπε· Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, προηγήσατο γὰρ ἐρώτησις· ποτὲ δὲ λόγου διαδοχὴν δηλοῖ· τῆς γὰρ Χαναναίας εἰπούσης, Ναί, Κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν, ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις, γεννηθήτω σοι ὡς θέλεις· ποτὲ δὲ σημαίνει παράκλησιν, ὡς τό, Ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· Εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι. Καὶ γὰρ ὁ Μάρκος παρέλιπε τό, ἀποκριθείς, καὶ εἶπεν, Ὁ δὲ Πέτρος ἔφη αὐτῷ. Ἔστι δ' ὅτε δηλοῖ καὶ τὴν ἐρώτησιν, ὡς τό, Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; Ναί, ὦ Πάτερ, κ. τ. λ. « Vox responsio multa significat. Ut enim prætermittam, quod apud medicos *separationem* et *dissolutionem*, ac *desitionem* significat; aliquando quidem initii locum in oratione tenet : ut hic, *Confiteor tibi, Pater cœli et terræ*, cujus sermonis nulla præcesserat interrogatio. Aliquando vero ad interrogationem applicatur: ut, *Respondens Simon Petrus dixit: Tu es Christus Filius Dei vivi*; præcesserat quippe interrogatio. Interdum sermonis continuationem denotat: ut, cum Chananæa dixisset: *Utique, Domine, nam et catelli edunt de micis, quæ cadunt e mensa dominorum suorum; respondens Jesus dixit ei : O mulier, magna est fides tua: fiat tibi sicut vis.* Nonnunquam significat *consolationem*; ut illud: *Respondens autem Petrus, dixit illi: Et si omnes scandalizati fuerint in te, ego nunquam scandalizabor.* Etenim Marcus omisit illud, *respondens*; ac solum dixit : *Petrus autem dixit ei.* Alicubi autem inservit interrogationi, ut : *Respondit autem eis Jesus : Nonne ego vos duodecim elegi? Etiam Pater,* » etc.

(12) Ὅτι ἀπεκάλυψας αὐτά, ὦ Πάτερ. « Quod revelaveris hæc, Pater, » etc. Cod. 29.

quæ ante baptismum facta sunt, et alibi quies te susceptura est.

VERS. 29, 30. «Tollite jugum meum super vos, et discite a me, quia mitis sum, et humilis corde, et invenietis requiem animabus vestris. Jugum enim meum commodum est, et onus meum leve.» Jugum Christi, humilitas et mansuetudo. Qui igitur se humiliaverit omni homini, requiem invenit, imperturbatus manens: sicut vanæ gloriæ cupidus et arrogans semper in curis est, nolens quoquam minor haberi, sed cogitans quomodo magis glorificetur, et quomodo vincat inimicos. Jugum igitur Christi (humilitatem dico) leve est. Facilius est enim humili naturæ nostræ humiliari, quam sublimari. Dicuntur item et omnia 87 mandata Christi jugum leve, quoniam propter futuram retributionem levia, tametsi ad breve tempus gravia videantur.

## CAPUT XII.

*De discipulis in Sabbato spicas vellentibus. De muliere quæ aridam manum habebat. De dæmoniaco cæco et surdo. De petentibus signum. De Matre Christi et fratribus.*

VERS. 1-4. « In illo tempore ibat Jesus Sabbatis per segetes: discipuli vero illius esuriebant, et cœperunt vellere spicas et comedere. » Solvens legales observationes, ducit discipulos per sata; ut manducantes, solverent a Sabbato. «At Pharisæi cum vidissent, dixerunt illi: Ecce discipuli tui faciunt quod non licet facere in Sabbato. Ille vero dixit eis: Non legistis quid fecerit David cum esuriret ipse, et ii qui cum eo erant? quomodo ingressus sit in domum Dei, et panes propositionis ederit, quos ipsi non licebat edere, neque iis qui cum illo erant, nisi sacerdotibus solis? » Iterum Pharisæi naturalem passionem, nempe famem arguunt, cum ipsi gravius peccent. Dominus per historiam David admonet eos. Ille enim, inquit, propter famem majus quiddam ausus fuit. Panes autem propositionis erant duodecim qui quotidie proponebantur in mensa, sex in dextra parte, sex in sinistra. Quamvis autem et David propheta erat, non tamen ei inde licebat edere, sed solis sacerdotibus: quanto magis non licebat his qui cum eo erant; attamen propter famem venia dignus erat: sic igitur et discipuli.

VERS. 5, 6. «An non legistis in lege, quod Sabbatis

A καὶ ἐνταῦθα ἀμέριμνος ἧς ἐπὶ τοῖς πρὸ τοῦ βαπτίσματος πραχθεῖσι, κἀκεῖ ὡσαύτως ἀνάπαυσις διαδέξηταί σε.

« Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. » Ζυγὸς τοῦ Χριστοῦ ἡ ταπείνωσις καὶ ἡ πρᾳότης. Ὁ γοῦν ταπεινούμενος παντὶ ἀνθρώπῳ, ἀνάπαυσιν ἔχει, ἀτάραχος μένων, ὥσπερ ὁ κενόδοξος καὶ ἀλαζὼν πάντοτε ἐν μερίμναις, οὐ θέλων ἐλαττωθῆναί τινος, ἀλλὰ λογιζόμενος πῶς πλέον δοξασθήσεται, πῶς νικήσει τοὺς ἐχθρούς. Ὁ ζυγὸς τοίνυν τοῦ Χριστοῦ, ἡ ταπείνωσις λέγω, ἐλαφρός ἐστιν, εὐκολώτερον γάρ ἐστι τῇ ταπεινῇ ἡμῶν φύσει
B τὸ ταπεινοῦσθαι, ἢ τὸ ἐπαίρεσθαι· ἀλλὰ καὶ πᾶσαι αἱ ἐντολαὶ τοῦ Χριστοῦ ζυγὸς λέγονται, αἵτινες ἐλαφραὶ εἰσὶ διὰ τὴν μέλλουσαν ἀντίδοσιν, εἰ καὶ πρὸς καιρὸν βαρεῖαι δοκοῦσιν.

## ΚΕΦΑΛ. ΙΒ'.

Περὶ τῶν μαθητῶν τοῖς Σάββασι τιλλόντων στάχυας. Περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα. Περὶ τοῦ δαιμονιζομένου τυφλοῦ καὶ κωφοῦ. Περὶ τῶν αἰτούντων σημεῖον. Περὶ Μητρὸς καὶ ἀδελφῶν τοῦ Χριστοῦ.

« Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς Σάββασι διὰ τῶν σπορίμων. Οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν στάχυας καὶ ἐσθίειν. » Λύων τὰς νομικὰς παρατηρήσεις, ἄγει τοὺς μαθητὰς
C διὰ τῶν σπορίμων· « ἵνα φαγόντες, λύσωσιν (13) τοῦ Σαββάτου· » Οἱ δὲ Φαρισαῖοι ἰδόντες, εἶπον αὐτῷ· Ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν Σαββάτῳ. Ὁ δὲ εἶπεν αὐτοῖς, Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαυΐδ, ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ· πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, ἀλλὰ τοῖς ἱερεῦσι μόνοις; » Πάλιν οἱ Φαρισαῖοι τὸ φυσικὸν πάθος, τὴν πεῖναν αἰτιῶνται, χείρω αὐτοὶ ἁμαρτάνοντες· ὁ δὲ Κύριος ἀπὸ τῆς περὶ τὸν Δαυΐδ ἱστορίας ἐντρέπει αὐτούς. Ἐκεῖνος γὰρ, φησὶ, διὰ τὴν πεῖναν, καὶ μεῖζόν τι ἐτόλμησεν. Ἄρτοι δὲ τῆς προθέσεως, οἱ καθ' ἑκάστην ἡμέραν προτιθέμενοι· προετίθεντο γὰρ ἐν τῇ τραπέζῃ δώδεκα· ἓξ ἐκ τοῦ δεξιοῦ μέ-
D ρους, καὶ ἓξ ἐκ τοῦ ἑτέρου· καί τοι κἂν προφήτης ἦν ὁ Δαυΐδ, οὐδὲ οὕτως ἔδει φαγεῖν· τοῖς γὰρ ἱερεῦσι μόνοις ἐξῆν. Ἀλλὰ καὶ πολλῷ μᾶλλον οὐδὲ τοῖς μετ αὐτοῦ ἐξῆν, ὅμως διὰ τὴν πεῖναν, συγγνώμης ἄξιος· οὕτως οὖν καὶ οἱ μαθηταί.

(14) « Ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς

### Ex collatione codd. Venet. S. Marci.

(13) Τὸν τοῦ Σαββάτου νόμον 29, 30 et 32.

(14) Cod. 32 hæc addit: Ἐν τῇ πρώτῃ βίβλῳ τῶν Βασιλειῶν ἱστορηται, ὅτι Δαυΐδ ἐπιβουλευθεὶς παρὰ Σαοὺλ τοῦ ἰδίου πενθεροῦ, καὶ φεύγων αὐτὸν ἐπείνασε, καὶ ἀπελθὼν εἰς Νομβᾶ πόλιν τῶν ἱερέων τοῦ Θεοῦ, προσεποιήσατο παρὰ Σαοὺλ τοῦ βασιλέως ἀποσταλῆναι πρὸς χρείαν τινὰ, καὶ ἐζήτησεν ἄρτους, καὶ μὴ εὑρὼν ἄλλους κατὰ τὸν καιρὸν ἐκεῖνον, ἔλαβε παρὰ τοῦ ἱερέως διὰ τὴν ἀνάγκην τοῦ λιμοῦ, τοὺς τῆς προθέσεως (ἡ δὲ πρόθεσις τράπεζα ἦν ἐν τῷ ναῷ, ἐφ' ᾗ οἱ ἄρτοι τῆς προθέσεως ἔκειντο), καὶ λαβὼν ἔφαγεν αὐτὸς, καὶ τὰ μετ' αὐτοῦ παιδάρια. Ἢ οὐκ ἀνέγνωτε, κ. τ. λ.« In primo Regum narratur, quod David Saulis socri sui persecutiones fugiens, esurierit, et veniens in Nomba civitatem sacerdotum Domini, simulaverit, se a rege Saule ad opus aliquod missum fuisse, atque cum quæsiisset panes, et non invenisset alios, necessitate

Σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ Σάββατον βεβη- A
λοῦσι, καὶ ἀναίτιοί εἰσι; Λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε (15). » Ὁ νόμος ἐκώλυεν ἐν τῷ Σαββάτῳ ἐργάζεσθαι· οἱ οὖν ἱερεῖς ἐν τῷ Σαββάτῳ καὶ ξύλα ἔσχιζον, καὶ πῦρ ἧπτον, ὥστε ἐβεβήλουν τὸν Σάββατον, τουτέστιν, ἐμίαινον, ὡς ὑμεῖς δοκεῖτε. Ἀλλὰ λέγεις μοι, ὅτι ἐκεῖνοι ἱερεῖς ἦσαν, οἱ δὲ μαθηταὶ οὔ. Λέγω οὖν, ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε, τουτέστιν, Ἐπεὶ ἐγὼ ὁ μείζων τοῦ ναοῦ Δεσπότης, καὶ μετὰ τῶν μαθητῶν εἰμι, μείζονα ἐξουσίαν ἔχουσιν οὗτοι λύειν τὸ Σάββατον παρὰ τοὺς ἱερεῖς.

« Εἰ δὲ ἐγνώκειτε τί ἐστιν· Ἔλεον θέλω, καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους, Κύριος γάρ ἐστι καὶ τοῦ Σαββάτου ὁ Υἱὸς τοῦ ἀνθρώπου. » Δείκνυσιν αὐτοὺς καὶ ἀμαθεῖς, ὡς μὴ γινώσκοντας B
τὰ προφητικά· Οὐκ ἔδει γάρ, φησίν, ἐλεῆσαι τοὺς ἀνθρώπους πεινῶντας; Ἄλλος τε, Ἐγὼ ὁ Υἱὸς τοῦ

sacerdotes in templo Sabbatum profanant, et crimine vacant? Dico autem vobis, quod templo majus est hoc in loco. » Lex prohibebat in Sabbato operari [17]. Sacerdotes in Sabbato et ligna scindebant, et ignem accendebant, atque ita profanabant Sabbatum, hoc est, inquinabant, ut vobis videtur. At dicis mihi, quod bene licebat sacerdotibus, discipuli autem sacerdotes non erant. Dico igitur quod templo majus est hoc in loco, hoc est, Quandoquidem ego qui major sum templo, templique Dominus cum discipulis sim, majorem habent hi potestatem solvendi Sabbatum, quam sacerdotes.

Vers. 7, 8. « Quod si scivissetis quid sit, Misericordiam volo, et non sacrificium, nequaquam condemnassetis insontes: nam Dominus est et Sabbati Filius hominis. » Ostendit eos et imperitos, et nescientes prophetias. Non oportebat enim, inquit, misereri esurientibus? Et aliter: Ego Filius hominis, Dominus

[17] Num. XXVIII, 3. Exod. XX, 23; Deut. V, 14.

Ex collatione codd. Venet. S. Marci.

**adactus acceperit a sacerdote panes *propositionis* (erat autem *propositio* mensa quædam in templo, in qua panes *propositionis* servabantur) sumptosque comederit simul cum pueris suis. *An non legistis*, etc. »**

(15) Cod. 32 addit: Συνεχῶς αὐτοῖς ἐπιλέγει τό· Οὐκ ἀνέγνωτε, ὀνειδίζων τούτοις ματαιοπονίαν, ὡς μὴ ἐπιγινώσκουσιν ἃ ἀναγινώσκουσι. Νόμος δὲ ἦν κελεύων, ἐν Σαββάτῳ μηδὲν ἔργον ποιεῖν, καὶ νόμος πάλιν ἕτερος ἐπιτρέπων τοῖς ἱερεῦσι θύειν ἐν τῷ Σαββάτῳ, καὶ διὰ τὴν θυσίαν ξυλοκαρπεῖν, καὶ πῦρ ἀνάπτειν, καὶ κρεανομεῖν, καὶ ἄλλα τοιαῦτα ποιεῖν· C
καὶ ὡς μὲν ὅλως ἐργαζόμενοι ἐβεβήλουν τὸ Σάββατον, ἤτοι ἐμίαινον, ὡς δὲ ἱερὰ ἐργαζόμενοι ἀναίτιοι ἦσαν. Τὴν μὲν γὰρ κατὰ τὸν Δαυῒδ ἱστορίαν τέθηκεν ἀξίους συγγνώμης τοὺς μαθητάς· τὸ δὲ παρὸν ἔλαβε παράδειγμα, δεικνύων ἐκ περιουσίας, ὅτι παντελῶς εἰσιν ἀναίτιοι. Καὶ ὅρα ἀπὸ πόσων τοῦτο κατασκευάζει. Πρῶτον ἀπὸ τοῦ προσώπου, Ἱερεῖς γάρ, φησίν· εἶτα ἀπὸ τοῦ ναοῦ, Ἐν τῷ ἱερῷ γάρ· ἔπειτα ἀπὸ τοῦ πράγματος, βεβηλοῦσιν· οὐ γὰρ εἶπεν, Ὅτι ἀθετοῦσι τὸ Σάββατον, ἀλλά τὸ βαρύτερον, Ὅτι βεβηλοῦσιν. Εἶθ' οὕτως ἐπήγαγε τὸ τοῦ λόγου κεφάλαιον, Ὅτι καὶ ἀναίτιοί εἰσι. Προέταξε μὲν τὴν εὐχερεστέραν ἀπολογίαν, εἶτα ἐπήγαγε τὴν ἰσχυροτέραν. Ὁ μὲν γὰρ Δαυῒδ ἅπαξ διά περίστασιν λύσας τὸν περὶ τῶν ἄρτων τῆς προθέσεως νόμον, κατὰ συγγνώμην ἀφείθη τοῦ ἐγκλήματος. Οἱ δὲ ἱερεῖς καθ' ἕκαστον Σάββατον δίχα περιστάσεως D
λύοντες τὸν τοῦ Σαββάτου νόμον, κατὰ νόμον ἀπολέλυνται τῆς παρανομίας. Λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ καὶ μεῖζόν ἐστιν ὧδε. Αὐτὸς γὰρ ἐνταῦθα πάρεστιν ὁ τοῦ ἱεροῦ Δεσπότης. Καὶ ἐὰν οἱ τοῦ ἱεροῦ τὸ Σάββατον λύοντες ἀναίτιοι ὦσι, πόσῳ μᾶλλον οἱ τοῦ Δεσπότου τοῦ ἱεροῦ. Ὥσπερ γὰρ ἐκεῖνοι δι' αἰτίαν εὔλογον ἀναίτιοί εἰσι, διὰ τὸ θύειν γὰρ καὶ ἱερὰ ἔργα ποιεῖν, οὕτω καὶ οὗτοι. Καὶ γὰρ τοῖς μὲν Ἑβραίοις διὰ τὴν ἀσθένειαν αὐτῶν μίαν ἡμέραν τῆς ἑβδομάδος ἄπρακτον ἀποκεκλήρωκεν ὁ Θεός, λέγω δὴ τὸ Σάββατον, ὥστε καὶ ἐν αὐτῷ τούτους ἀργεῖν μὲν ἀπὸ τῶν ἄλλων ἔργων, καὶ διαναπαύειν τούς ὑπὸ χεῖρα καὶ τὰ ὑποζύγια, σχολάζειν δὲ τῇ ἀναγνώσει τοῦ νόμου καὶ ταῖς θυσίαις. Τοῖς δὲ Χριστιανοῖς, ὡς ἰσχυροτέροις ἅπασαν τὴν ἑβδομάδα σχολάζειν τῇ ἀναγνώσει καὶ ταῖς πνευματικαῖς θυσίαις ἐπέταξε. Κἀκείνους μὲν ἀπὸ τῶν ἄλλων ἐκώλυσεν, ἵνα σχολάζωσι τῇ ἀναγνώσει καὶ ταῖς θυσίαις. Τούτους δὲ σχολάζοντας τοῖς πνευματικοῖς, οὐ δ' ἀπὸ τῶν ἄλλων ἐκώλυσεν· οὐκ ἔδει γὰρ δεδέσθαι τὰς χεῖρας τοὺς πρὸς μηδὲν φαῦλον ταύτας ἐκτείνοντας, οὐδὲ τὰ μικρὰ παιδεύεσθαι τούς τὰ μεγάλα φιλοσοφοῦντας, οὐδὲ τοῖς ἀτελέσιν ἐπίσης πολιτεύεσθαι τούς τελείους. Ὁ νόμος ἐκώλυεν ἐν τῷ Σαββάτῳ, κ. τ. λ.

« Frequenter dicit illis: *Annon legistis*, exprobrans vanum ipsorum laborem, quod non intelligerent, quæ legebant. Lex quidem illis præcipiebat, in Sabbato non operari: sed rursus lex eadem permittebat sacerdotibus in Sabbato sacrificium offerre, atque sacrificii causa ligna colligere, ignem ascendere, carnes distribuere, et alia similia facere. Perfecto illi quatenus absolute operabantur, Sabbatum profanabant, seu violabant: quatenus autem operabantur sacra, crimine vacabant. Facto itaque, quod in historia Davidis refertur, usus est Dominus, ut discipulos venia dignos ostenderet: at vero præsens exemplum usurpavit, ut ex abundanti demonstraret, eos penitus innocuos esse. Vide vero, ex quantis hoc astruat. Primo quidem ex persona, *Sacerdotes* enim, inquit: deinde ex templo; ait enim *in templo*: tertio ex re ipsa; *profanant*: non enim dixit, Transgrediuntur; sed, quod gravius est, *profanant*. Postea profert orationis suæ caput, quoniam nihilominus *crimine vacabant*. Præmisit scilicet faciliorem defensionem; deinde protulit validiorem. David enim semel propter necessitatem violans legem de panibus *propositionis*, per indulgentiam a peccato absolutus est: at sacerdotes quolibet Sabbato absque necessitate solventes legem Sabbati, per legem ipsam soluti erant e crimine. *Dico autem vobis, quod templo majus est hoc in loco.* Ipse enim hic adest, qui templi Dominus est. Quemadmodum igitur illi justa de causa culpæ immunes erant, eo quod sacrificium offerrent ac sacra operarentur; sic et isti. Etenim Hebræis ob imbecillitatem ipsorum unicam hebdomadis diem opere vacuam constituit Deus, videlicet Sabbatum: ut ea die abstinerent ab aliis operibus, et mancipia atque jumenta quiescere sinerent; lectioni vero legis atque sacrificiis operam darent. Christianis autem, utpote fortioribus, per totam hebdomadam sacræ lectioni ac spiritualibus sacrificiis vacare præscripsit. Et illos quidem ab aliis operibus prohibuit, ut lectioni et sacrificiis incumberent; istis autem tametsi spiritualibus rebus vacarent, opera alia non vetuit: quod non deceret, manus iis alligari, qui eas ad prava opera non extendunt: nec parvis erudiri eos, qui magna philosophantur: neque demum imperfectos eodem modo ac perfectos, gubernari. **Lex prohibebat in Sabbato, » etc.**

sum Sabbati, ut omnium et dierum Opifex. Ego igitur ut Dominus solvo Sabbatum. Intellige autem et juxta anagogen: quoniam operarii erant apostoli, messis autem et aristæ, credentes, ideo eos vellebant 58 apostoli et comedebant, hoc est, cibum habebant, salutem hominum. Hoc autem faciebant in Sabbatis, hoc est, in otio malorum Pharisæi autem indignabuntur. Sic et in Ecclesia doctoribus docentibus et prodesse cupientibus Pharisæorum instar sæpe quidam invident, et ægre ferunt.

VERS. 9, 10 « Progressus autem illinc venit in synagogam illorum: et ecce homo erat manum habens aridam, et interrogavsrunt illum, dicentes: Num licet Sabbatis curare? ut accusarent eum. » Alii evangelistæ dicunt, quod Jesus interrogaverit Pharisæos. Dici igitur potest quod cum invidi essent, prævenerint et rogaverint illum, ut dicit Matthæus. Deinde Christus iterum interrogavit eos, uti subsannans et ridens eorum cæcitatem, id quod ab aliis evangelistis dicitur. Interrogant igitur eum, ut occasionem habeant ad calumniandum.

VERS. 11, 12. « At ille dixit eis: Quis erit ex vobis homo, qui habebit ovem unam, et si ea inciderit Sabbatis in foveam, nonne apprehendet illam, et erigit? Quanto igitur præstautior est homo ove? licet igitur Sabbatis benefacere. » Nstendit eos propter avaritiam, et ut ne priventur ove, dissolvere Sabbatum: propter invidiam autem non ferre ut curetur homo: unde hoc loco avaros et crudeles eos esse, et contemptores Dei ostendit. Contemnunt enim Sabbatum, ut non pereat ovis: immisericordes autem sunt, quia hominis curam respuunt.

VERS. 13. « Tunc dicit homini: Extende manum tuam: et extendit, et restituta est sana sicut altera. » Multi et nunc aridas manus habent, hoc est, immisericordes sunt, et non communicant: sed quando sermone evangelico docentur, extendunt eas, et communicant, quamvis Pharisæi, superbi dæmones qui a nobio sunt amputati, propter suam in nos inimicitiam manus nostras ad misericordiam extendi nolunt.

VERS. 14, 15. « Pharisæi autem egressi ceperunt consilium adversus eum, quomodo illum perderent. At Jesus ubi novisset, secessit illinc. » O invidentiam! quande beneficiis afficiuntur, tunc incaniunt. Secedit autem Jesus, eo quod Passionis tempus nondum imminebat, parcens interim illis, ne homicidii crimini fiant obnoxii. Temere enim se periculis objicere, Dee gratum non est. Vide autem quod signanter dicit: Egressi: nam ut exiverunt a Deo, tunc voluerunt perdere Jesum. Nullus enim in Deo manens talia mente agitat.

VERS. 15, 16. « Et secutæ sunt eum turbæ multæ, et curavit eos omnes, et increpavit eos, ne manifestum eum faciant. » Ut invidiam illorum demulce-

A ἀνθρώπου Κύριός εἰμι τοῦ Σαββάτου, ὡς πάντων καὶ τῶν ἡμερῶν Δημιουργὸς, ὥστε ἐγὼ λύω τὸ Σάββατον ὡς Δεσπότης. Νόησον δὲ καὶ κατὰ ἀναγωγήν· ἐπεὶ γὰρ ἐργάται ἦσαν οἱ ἀπόστολοι, θερισμὸς δὲ καὶ στάχυες οἱ πιστεύοντες, ἔτιλλον τούτους οἱ ἀπόστολοι καὶ ἤσθιον, τουτέστι, βρῶμα εἶχον τὴν σωτηρίαν τῶν ἀνθρώπων. τοῦτο δὲ ἐποίουν ἐν τοῖς Σάββασιν, ἐν τῇ ἀργίᾳ τῶν κακῶν· οἱ δὲ Φαρισαῖοι ἠγανάκτουν. Οὕτω κἀν τῇ Ἐκκλησίᾳ, τῶν διδασκάλων πολλάκις διδάσκοντων καὶ ὠφελούντων, οἱ Φαρισαΐζοντες καὶ φθονεροὶ ἀπαρέσκονται.

« Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν, καὶ ἰδοὺ ἄνθρωπος ἦν ἐκεῖ, τὴν χεῖρα ἔχων ξηράν, καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· Εἰ ἔξεστι τοῖς Σάββασι θεραπεύειν; ἵνα κατηγορήσωσιν αὐ-
B τοῦ. » Οἱ ἄλλοι εὐαγγελισταὶ λέγουσιν, ὅτι ὁ Ἰησοῦς ἐπηρώτησε τοὺς Φαρισαίους. Ἔστιν οὖν εἰπεῖν, ὅτι φθονεροὶ ὄντες, προέλαβον καὶ ἠρώτησαν αὐτὸν, ὡς λέγει ὁ Ματθαῖος. Εἶτα ὁ Χριστὸς πάλιν ἠρώτησεν αὐτοὺς, ὥσπερ χλευάζων καὶ τὴν πώρωσιν αὐτῶν διαγελῶν, ὅπερ οἱ ἕτεροι εὐαγγελισταί φασιν. Ἠρώτησαν δὲ αὐτὸν, ἵνα σχῶσιν ἀφορμὴν εἰς τὸ διαβάλλειν.

« Ὁ δὲ εἶπεν αὐτοῖς, Τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς Σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ, καὶ ἐγερεῖ; Πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; Ὥστε ἔξεστι τοῖς Σάββασι καλῶς ποιεῖν. » Δείκνυσιν αὐτοὺς διὰ μὲν φιλοχρηματίαν, καὶ ἵνα μὴ προβάτου στερηθῶσι καταλύοντας τὸ Σάββατον, διὰ δὲ
C τὸ θεραπευθῆναι ἄνθρωπον, μὴ ἀνεχομένους, τοῦτο γενέσθαι. Ὥστε ἐν ταυτῷ καὶ φιλοχρημάτους καὶ ἀπηνεῖς δεικνύει, καὶ καταφρονητὰς τοῦ Θεοῦ. Καταφρονοῦσι γὰρ τοῦ Σαββάτου, ἵνα μὴ ζημιωθῶσι πρόβατον, ἀνελεεῖς δέ εἰσιν, ὅτι ἀνθρώπου θεραπείαν οὐ θέλουσιν.

« Τότε λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου· καὶ ἐξέτεινε, καὶ ἀποκατεστάθη ὑγιὴς ὡς ἡ ἄλλη. » Πολλοὶ καὶ νῦν ἔχουσι ξηρὰς τὰς χεῖρας, τουτέστιν, ἀνελεήμονας καὶ ἀμεταδότους· ἀλλ' ὅταν ὁ λόγος ὁ εὐαγγελικὸς ἐνηχήσῃ αὐτοῖς, ἐκτείνουσιν εἰς μετάδοσιν ταύτας, κἂν οἱ Φαρισαῖοι, οἱ ἀλαζόνες δαίμονες, οἱ ἀποκεκομμένοι ἡμῶν, διὰ τὴν πρὸς ἡμᾶς ἔχθραν, οὐ θέλουσιν ἐκταθῆναι τὰς χεῖρας ἡμῶν εἰς
D ἐλεημοσύνην.

« Οἱ δὲ Φαρισαῖοι ἐξελθόντες, συμβούλιον ἔλαβον κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν. Ὁ δὲ Ἰησοῦς γνοὺς, ἀνεχώρησεν ἐκεῖθεν. » Ὢ φθόνου! ὅτε εὐεργετῶνται, τότε ἐκμαίνονται. Ἀναχωρεῖ δὲ ὁ Ἰησοῦς, διὰ τὸ μήπω ἐνστῆναι τὸν καιρὸν τοῦ πάθους, καὶ ἅμα ἐκείνων φειδόμενος, μὴ ἐγκλήματι φόνου περιπέσωσι. Τὸ γὰρ ῥιψοκίνδυνον, οὐ θεάρεστον. Ὅρα δὲ τὸ, Ἐξελθόντες. Ὅτε γὰρ ἐξῆλθον ἐκ τοῦ Θεοῦ, τότε ἠβουλήθησαν ἀπολέσαι τὸν Ἰησοῦν. Οὐδεὶς γὰρ ἐν τῷ Θεῷ μένων τοιαῦτα βουλεύεται.

« Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας· καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν. » Τὸν φθόνον ἐκε-

τῶν παραμυθούμενος, οὐ θέλει φανεροῦσθαι. Ἐσπού- A
δαζε γὰρ παντὶ τρόπῳ θεραπεύειν αὐτούς.

« Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· Ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα· ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. Θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει. » Εἰσάγει καὶ τὸν προφήτην μάρτυρα τῆς του Ἰησοῦ πραότητος. Ὅσα γὰρ, φησὶ, θέλουσιν οἱ Ἰουδαῖοι, ποιήσει· εἰ θέλουσιν αὐτὸν μὴ φαίνεσθαι, οὐκοῦν καὶ τοῦτο ποιήσει, καὶ οὐκ ἀντιστήσεται ὡς φιλόδοξος, οὐδὲ ἐρίσει. Ἀλλὰ παραγγελεῖ τοῖς ὄχλοις ἵνα μὴ φανερώσωσιν αὐτὸν, ἀλλὰ καὶ τοῖς ἔθνεσι κρίσιν ἀπαγγελεῖ, τουτέστι, καὶ τοὺς ἐθνικοὺς διδάξει. Κρίσις γὰρ ἡ διδασκαλία, καὶ γνῶσις, καὶ διάκρισις τοῦ καλοῦ. Ἢ καὶ τὴν μέλλουσαν κρίσιν ἀπαγγελεῖ τοῖς ἐθνι- B κοῖς, οἳ οὐδέποτε ἤκουσαν περὶ μελλούσης κρίσεως. « Οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. » Οὐ γὰρ ἐν μέσῳ ἀγορᾶς ὡς οἱ φιλόδοξοι, ἀλλ' ἐν τῷ ἱερῷ καὶ ταῖς συναγωγαῖς, καὶ ἐν τῷ ὄρει, καὶ παρὰ τοῖς αἰγιαλοῖς ἐδίδασκεν.

« Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λῖνον τυφόμενον οὐ σβέσει. » Ἠδύνατο, φησὶ, τοὺς Ἰουδαίους ὡς κάλαμον συντετριμμένον κατακλάσαι, καὶ τὸν θυμὸν αὐτῶν ὡς λίνον τυφόμενον, ἤτοι καιόμενον, σβέσαι, ἀλλ' οὐκ ἠθέλησεν, ἕως οὗ πληρώσῃ τὴν οἰκονομίαν, καὶ νικήσῃ διὰ πάντων αὐτούς. Τοῦτο γὰρ σημαίνει τὸ ἐπαγόμενον.

« Ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν· καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. » Ἵνα γὰρ μὴ ἔχωσί τι προφασίζεσθαι, πάντα ὑπέμενεν, ὡς ἂν ὕστερον C κατακδικάσῃ αὐτοὺς, καὶ νικήσῃ μηδὲν ἀντιλέγοντας. Καὶ τί γὰρ οὐκ ἐποίησεν ἵνα κερδήσῃ ἐκείνους; Ἀλλ' οὐκ ἠθέλησαν· ὅθεν τὰ ἔθνη ἐλπιοῦσιν ἐπ' αὐτὸν, ἐπειδὴ οἱ Ἰουδαῖοι οὐκ ἠθέλησαν.

(16) « Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος, τυφλὸς καὶ κωφὸς, καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν. Καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον· Μήτι οὗτός ἐστιν ὁ υἱὸς Δαυΐδ; » Τὰς πρὸς τὴν πίστιν ὁδοὺς ἀπέκλεισεν ὁ δαίμων ὀφθαλμοὺς, καὶ ἀκοὴν, καὶ γλῶσσαν. Ἀλλ' ὁ Ἰησοῦς ἰᾶται, καὶ υἱὸς Δαυΐδ ὀνομάζεται παρὰ τῶν ὄχλων. Προσεδοκᾶτο γὰρ ὁ Χριστὸς ἐκ σπέρματος Δαυΐδ· καὶ νῦν δὲ, ἐὰν ἴδῃς τινὰ

ret, manifestari non vult. Nihil enim omittebat quod ad illorum curam pertinebat.

VERS. 17, 18. « Ut compleretur quod dictum erat per Isaiam prophetam, dicentem : Ecce filius meus quem elegi: dilectus meus, in quo complacuit anima mea. Ponam spiritum meum super illum, et judicium gentibus 59 annuntiabit. Non contendet, neque clamabit. » Introducit et prophetam testem mansuetudinis Jesu. Quæcunque enim, inquit, voluerint Judæi, faciet. Si voluerint ut non appareat, faciet etiam istud, et non reluctabitur, ut inanis gloriæ avidus, neque contendet, sed annuntiabit turbis, ne manifestent eum, et gentibus judicium annuntiabit, hoc est, etiam gentes docebit. Judicium enim est doctrina et scientia, et dijudicatio boni, vel, et futurum judicium annuntiabit Ethnicis, qui nunquam audiverunt de futuro judicio. « Neque in plateis audiet quis vocem ejus. » Non enim in medio fori, ut gloriæ appetentes, sed in templo et synagogis et in monte et juxta littora docebat.

VERS. 20. « Arundinem comminutam non confringet, et linum fumigans non exstinguet. » Poterat, inquit, Judæos ut calamum contritum confringere, et iram eorum ut linum fumigans, hoc est, ardens, exstinguere : sed noluit, quoad dispensatio adimpleretur, et per omnia vinceret eos. Hoc enim significat quod subditur.

VERS. 20, 21. « Donec ejiciat ad victoriam judicium. Et in nomine illius gentes sperabunt. » Ne enim haberent quod prætexerent, omnia sustinuit, ut postea condemnaret eos, et vinceret nihil contradicentes. Et quidnam est quod non fecit ut lucrifaciat? sed noluerunt. Unde gentes sperabunt in eum, quoniam Judæi noluerunt.

VERS. 22, 23. « Tunc adductus est ad eum dæmoniacus cæcus ac mutus, et sanavit illum, ita ut cæcus ac mutus loqueretur et cerneret. Et obstupuerunt omnes turbæ, dicebantque: Num hic est filius David? » Vias ad fidem occluserat dæmon, oculos, aures et linguam: sed Jesus sanat, et filius David a turbis nominatur. Exspectabatur enim Christus ex semine David Et nunc si videris quempiam neque quid bonum sit per se intelligentem, neque alterius

**Ex collatione codd. Venet. S. Marci.**

(16) Cod. 32, Συντετριμμένον κάλαμον, φησὶν D ὁ μέγας Βασίλειος, λογίζομαι τὸν ἐν πάθει τινὶ ποιοῦντα ἐντολὴν Θεοῦ, ὃν κατεάξειν καὶ ἀποκόπτειν οὐ χρὴ, ἀλλὰ μᾶλλον θεραπεύειν, ὡς ὁ Κύριος ἐδίδασκεν, εἰπών· Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· καὶ ὁ Ἀπόστολος παραγγέλλει λέγων· Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν· καὶ ἀλλαχοῦ· Μηδὲν κατ' ἐρίθειαν ἢ κενοδοξίαν. Λίνον δὲ τετυφωμένον, ὅταν τις ποιῇ τὴν ἐντολὴν μὴ διαπύρῳ ἐπιθυμίᾳ καὶ τελείᾳ σπουδῇ, νωθρότερον δὲ πως καὶ χαυνότερον· Ὃν οὐ χρὴ παύειν, διεγείρειν δὲ μᾶλλον ὑπομνήσει τῶν κριμάτων τοῦ Θεοῦ, καὶ τῶν ἐπαγγελιῶν αὐτοῦ. Τότε προσηνέχθη αὐτῷ κ. τ. λ. « Arundinem comminutam, inquit magnus

Basilius, puto esse eum qui passione aliqua Dei mandatum exsequitur : quem confringere et exscindere non oportet : sed potius ipsum curare; quemadmodum docuit Dominus dicens : *Attendite ne eleemosynam vestram faciatis coram hominibus, ut videamini ab illis* (*Matth.* VI, 1). Et Apostolus præcipit dicens : *Omnis facite sine murmuratione et hæsitationibus* (*Philipp.* II, 14). Ac alibi : *Nihil per contentionem, neque per inanem gloriam* (*Ibid.* II, 3). *Linum* vero *fumigans* vocat, eum, qui mandatum Dei facit non animo fervente, ac studio perfecto; sed languidius ac senius: quem non oportet ab opere avocare; sed potius excitare et erigere, ad memoriam ipsi revocando judicia, ac promissiones Dei. Tunc adductus est ad eum, » et c

sermonem suscipientem, existima illum cæcum et mutum, quem utinam sanarit Deus tacto ejus corde.

VERS. 24 «Quæ cum audivissent Pharisæi, dicebant : Hic non ejicit dæmonia nisi in Beelzebub principe dæmoniorum.» Tametsi Dominus propter eos secesserat, illi nihilominus etiam procul audientes taxabunt: cumque homines multis afficerentur beneficiis, erant tam naturæ inimici, quam diabolus.

VERS. 25, 26. «Cum autem sciret Jesus cogitationes illorum, dixit illis : Omne regnum divisum adversus sese, desolatur: et omnis civitas aut domus divisa abversus seipsam, non stabit. Et si Satanas Satanam ejicit, adversus seipsum divisus est : modo igitur stabit regnum ejus? » Invulgando cogitationes illorum, Deum se esse comprobavit. Excusat autem se apud illos communibus exemplis, et monstrat in sipientiam eorum. Quomodo enim dæmones seipsos ejiciunt, cum magis inter se conveniant? Satan autem dicitur adversarius.

VERS. 27. « Et 60 si ego in Beelzebub ejicio dæmonia, filii vestri in quo ejiciunt? Propterea ipsi vestri erunt judices. » Esto, inquit, quod ego talis sim : filii vestri, hoc est, mei discipuli, in quo ejiciunt? Neque enim et illi in Beelzebub? Quod si illi divina virtute, multo magis ego. Illi enim in nomine meo miracula operantur, propterea illi vos condemnaturi sunt, quia illos videtis in meo nomine miracula facere, et adhuc me accusatis.

VERS. 28 «Quod si in spiritu Dei ego dæmonia ejicio, ergo pervenit ad vos regnum Dei. » Hoc dicit, quod, Si in divina virtute ego ejicio dæmonia, ergo ego sum Filius Dei, et advenit propter vos, ut afficiamini beneficiis, atque ita pervenit in vos meus adventus : hic enim est regnnm Dei : quid igitur adventum meum, qui propter vos est, accusatis?

VERS. 29. « Aut quomodo potest aliquis intrare domum potentis, et vasa ejus diripere, nisi prius liget potentem, et tunc domum ejus diripiet? » Tantum inquit, abest ut amicos habeam dæmones, ut et adversarios habeam, et ligem eos qui ante meum adventum fortes erant. In domum autem, id est, in mundum ingressus Jesus, vasa dæmonum, homines dico abstulit.

VERS. 30. « Qui non est mecum, contra me est:

A μητ' αὐτὸν νοοῦντα τὸ ἀγαθὸν, μήτε ἑτέρου λόγους δεχόμενον, τοῦτον νόμιζε τυφλὸν καὶ κωφὸν, ὃν ἰάσαιτο ὁ Θεὸς ἁπτόμενος τῆς καρδίας αὐτοῦ.

« Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες, εἶπον · Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. » Καίτοι γε ἀνεχώρησεν ὁ Κύριος δι' αὐτοὺς, ἀλλ' ἐκεῖνοι καὶ πόῤῥωθεν ἀκούοντες διαβάλλουσιν, καὶ εὐεργετουμένων τῶν ἀνθρώπων, οὕτως ἦσαν ἐχθροὶ τῆς φύσεως ὡς ὁ διάβολος.

« Εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς · Πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς, ἐρημοῦται · καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ σταθήσεται. Καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη · πῶς οὖν σταθή-
B σεται ἡ βασιλεία αὐτοῦ ; » Διὰ τοῦ δημοσιεύειν τὰς ἐνθυμήσεις αὐτῶν, δείκνυσιν ὅτι Θεός ἐστιν. Ἀπολογεῖται δὲ αὐτοῖς ἀπὸ τῶν κοινῶν παραδειγμάτων, καὶ δείκνυσι τὴν ἀφροσύνην αὐτῶν. Πῶς γὰρ οἱ δαίμονες ἑαυτοὺς ἐκβάλλουσιν, ὅπου γε μᾶλλον ἑαυτοὺς συγκροτοῦσι ; Σατὰν δὲ λέγεται ὁ ἀντικείμενος.

« Καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι ; Διὰ τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταί. » Ἔστω, φησὶν, ὅτι ἐγὼ τοιοῦτος εἰμι · οἱ δὲ υἱοὶ ὑμῶν, τουτέστιν, οἱ ἐμοὶ μαθηταὶ, ἐν τίνι ἐκβάλλουσιν ; Οὐ γὰρ δὴ καὶ ἐκεῖνοι ἐν τῷ Βεελζεβούλ ; Εἰ δὲ ἐκεῖνοι θείᾳ δυνάμει, πολλῷ μᾶλλον ἐγώ. Ἐκεῖνοι γὰρ ἐν τῷ ἐμῷ ὀνόματι θαυματουργοῦσι · διὰ τοῦτο οὖν ἐκεῖνοι πρὸς κατάκρισιν
C ὑμῶν ἔσονται, ὅτι καὶ ἐκείνους βλέποντες ἐν τῷ ἐμῷ ὀνόματι θαυματουργοῦντας, ἔτι διαβάλλετέ με.

« Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. » Τοῦτο λέγει, ὅτι Εἰ ἐν θείᾳ δυνάμει ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἐγώ εἰμι ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ παραγέγονα δι' ὑμᾶς, ἵνα εὐεργετηθῆτε. Ὥστε ἔφθασεν εἰς ὑμᾶς ἡ ἐμὴ παρουσία. Αὕτη γὰρ ἡ βασιλεία τοῦ Θεοῦ · τί τοίνυν τὴν δι' ὑμᾶς γενομένην παρουσίαν μου διαβάλλετε ;

« Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει ; » Τοσοῦτον, φησὶν, ἀπέχω τοῦ φίλους ἔχειν τοὺς δαίμονας, ὥστε καὶ ἀντιτάττομαι αὐτοῖς,
D καὶ δεσμῶ αὐτοὺς, τοὺς πρὸ τῆς ἐμῆς παρουσίας ἰσχυροὺς ὄντας · εἰς τὴν οἰκίαν γὰρ, ἤτοι τὸν κόσμον, εἰσελθὼν ὁ Χριστὸς, τὰ σκεύη τῶν δαιμόνων, τοὺς ἀνθρώπους λέγω, ἀφήρπασεν.

(17) « Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι · καὶ

**Ex collatione codd. Venet. S. Marci.**

(17) Cod. 32 addit : Παραδειγματικῶς μὲν ἐξάγει τὸν λόγον, ὑποδηλοῖ δὲ ἰσχυρὸν μὲν τὸν ἄρχοντα τῶν δαιμόνων, οὐχ ὡς ἰσχυρὸν τῇ φύσει, ἀλλ' ὡς τυραννοῦντα μέχρι τοῦδε καὶ καταδυναστεύοντα τῶν ἀσθενούντων ἐν ῥαθυμίαις · σκεύη δὲ αὐτοῦ τὰ ὑποτεταγμένα αὐτῷ δαιμόνια, ὡς ὅπλα αὐτοῦ · σκύη γὰρ ὀνομάζονται καὶ τὰ ὅπλα. Διὸ καὶ ὁ Λουκᾶς πανοπλίαν αὐτοῦ ταῦτα ὠνόμασε, δι' ὧν κατεδουλοῦτο τοὺς ἀθλίους ἀνθρώπους. Εἰσάγει δὲ λογισμὸν διὰ τοιούτου παραδείγματος ὁ Χριστὸς, δεικνύοντα, ὅτι οὐ μόνον οὐκ ἔχει φίλον τῶν δαιμονίων τὸν ἄρχοντα, ἀλλὰ καὶ μᾶλλον ἐδέσμησεν αὐτοῦ τὴν ἰσχὺν, ὡς ἔχθιστον. Ἔστι γὰρ τοῦ λογισμοῦ σκοπὸς, ὅτι ὥσπερ οὐ δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι φυλαττόμενα παρ' αὐτοῦ, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, οὕτω δ' αὐτὸς οὐ διήρπασεν ἂν τὰ δαιμονία, τοῦτ' ἔστι διεσκόρπισεν, εἰ μὴ προτερον ἐδέσμευσε τὸν ἄρχοντα τούτων τὸν ἰσχυρὸν ὄντα. Ὁ μὴ ὢν μετ' ἐμοῦ, καὶ τ. λ. « **Et quidem exemplo, seu similitudine comprobat ille sermonem suum, ac subindicat fortem esse principem dæmoniorum; attamen non natura, sed quia tyrannidem exercet, et dominatur in eos, qui socordia ac pigritia imbecilles fiunt. Vasa**

ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.» Πῶς, φησὶν, A ὁ Βεελζεβοὺλ ἔμελλέ μοι συνεργεῖν, ὃς ἀντιπράττει μοι μᾶλλον; Ἐγὼ μὲν γὰρ ἀρετὴν διδάσκω, ἐκεῖνος δὲ κακίαν. Πῶς οὖν ἐστι μετ' ἐμοῦ; Κἀγὼ μὲν συνάγω τοὺς ἀνθρώπους εἰς σωτηρίαν, ἐκεῖνος δὲ σκορπίζει· αἰνίττεται δὲ καὶ τοὺς Φαρισαίους, ὅτι τούτου διδάσκοντος καὶ ὠφελοῦντος πολλοὺς, ἐκεῖνοι ἐσκεδάννυον τὸν λαὸν, ὥστε μὴ προσέρχεσθαι αὐτῷ. Δείκνυσιν οὖν αὐτοὺς δαιμονιώδεις τῷ ὄντι.

«Διὰ τοῦτο λέγω ὑμῖν· Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις. Καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ νῦν B αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.» Τοῦτο ἐνταῦθα λέγει, ὅτι πᾶσα μὲν ἄλλη ἁμαρτία, κἂν μικρὰν γοῦν ἔχει ἀπολογίαν, οἷον πορνεία, κλοπή. Καταφεύγομεν γὰρ εἰς τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ συγγνωστότεροί ἐσμεν. Ὅταν δέ τις βλέπῃ θαύματα διὰ τοῦ Πνεύματος τελούμενα, καὶ διαβάλλῃ ταῦτα ὡς ὑπὸ δαίμονος γινόμενα, ποίαν ἕξει οὗτος ἀπολογίαν; Πρόδηλον γὰρ ὅτι οἶδε μὲν ὅτι ἀπὸ Πνεύματος ἁγίου γίνονται, ἐθελοκακεῖ δέ. Πῶς οὖν ὁ τοιοῦτος συγγνωστός; Ὅταν μὲν οὖν ἔβλεπον οἱ Ἰουδαῖοι τὸν Κύριον τρώγοντα καὶ πίνοντα, καὶ μετὰ τελωνῶν διάγοντα καὶ πορνῶν, καὶ τἄλλα πάντα ὡς Υἱὸν ἀνθρώπου πράττοντα εἶτα διέβαλλον αὐτὸν ὡς φάγον καὶ οἰνοπότην, ὑπὲρ τούτου συγγνώμης ἄξιοι, καὶ οὐδὲ μετάνοιαν C ἀπαιτηθήσονται ὑπὲρ τούτου. Δοκοῦσι γὰρ εὐλόγως σκανδαλίζεσθαι. Ὅταν δὲ βλέποντες αὐτὸν θαυματουργοῦντα, διέβαλλον καὶ ἐβλασφήμουν τὸ Πνεῦμα τὸ ἅγιον, λέγοντες αὐτὸ δαιμονιῶδες εἶναι, πῶς ἀφεθήσεται τοῦτο τὸ ἁμάρτημα αὐτοῖς, ἐὰν μὴ μετανοήσωσιν; Ὥστε γίνωσκε ὡς ὁ μὲν εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου βλασφημῶν, ἀνθρωπικῶς ζῶντα βλέπων αὐτὸν, καὶ λέγων αὐτὸν φίλον πορνῶν, καὶ φάγον, καὶ οἰνοπότην, διὰ τὸ ταῦτα τὸν Χριστὸν ποιεῖν, ὁ τοιοῦτος κἂν μὴ μετανοήσῃ, οὐ δώσει ὑπὲρ τούτου λόγον· συγγινώσκεται γὰρ ὡς μὴ νοήσας αὐτὸν Θεὸν ὄντα κρυπτόν· ὁ δὲ εἰς τὸ ἅγιον Πνεῦμα, ἤτοι τὰς πνευματικὰς πράξεις τοῦ Χριστοῦ, βλασφημῶν, καὶ λέγων αὐτὰς δαιμονιώδεις, ἐὰν μὴ μετανοήσῃ, οὐ συγγνωσθήσεται· μὴ γὰρ εὔλογόν τινα ἀφορμὴν εἰς D τὸ διαβάλλειν εἶχεν, ὥσπερ ἐκεῖνος ὁ τὸν Χριστὸν ὁρῶν μετὰ πορνῶν ὄντα καὶ τελωνῶν, εἶτα διαβάλλων; Οὐκ ἀφεθήσεται οὖν τούτῳ οὔτε ἐνταῦθα οὔτε ἐκεῖ· ἀλλὰ καὶ ἐνταῦθα καὶ ἐκεῖ τιμωρηθήσεται. Πολλοὶ γὰρ ἐνταῦθα μὲν κολάζονται, ἐκεῖ δὲ οὐδ' ὅλως· ὡς ὁ πτωχὸς Λάζαρος. Ἄλλοι δὲ, καὶ ὧδε καὶ

A et qui non colligit mecum, dispergit.» Quomodo, inquit, Beelzebub mihi cooperatus est, qui contrarium mihi operatur? Ego quidem virtutem doceo, ille autem malitiam, quomodo igitur est mecum? Et ego quidem congrego homines ad salutem, ille autem dispergit. Notat autem Pharisæos, quod se docente et multis prodesse cupiente, ipsi dispergerent populum ita, ne accederent ad se. Unde ostendit eos revera dæmoniis plenos.

VERS. 31, 32. «Idcirco dico vobis: Omne peccatum et convicium remittetur hominibus, at convicium in Spiritum sanctum non remittetur hominibus. Et quisquis dixerit verbum adversus Filium hominis, remittetur illi: qui autem dixerit adversus Spiritum sanctum non remittetur ei, neque in præsenti sæ- B culo, neque in futuro.» Dicit hoc loco omne aliud peccatum vel parvam saltem habere excusationem, utpote scortationem, furtum: confugimus enim ad humanam infirmitatem, et fit veniæ locus: quando autem quis viderit miracula per Spiritum sanctum fieri, et accusaverit ea quasi a diabolo facta: qualem habiturus est ille excusationem? Manifestum est enim scire eum quod a Spiritu sancto fiant, sua autem sponte male operari: quomodo igitur talis venia dignus erit? Itaque Judæi quando viderunt Christum manducantem et bibentem, ac versantem cum publicanis et meretricibus, aliaque omnia more Filii hominis facientem, et deinde arguerunt eum ut C comedonem, et vini potorem: in hoc erant venia digni, et neque pœnitentia super hoc ab eis 61 exigetur. Videbantur enim rationabiliter offendi. Quando autem viderunt eum operari miracula, et arguerunt, blasphemarunt Spiritum sanctum, dicentes hoc dæmoniacum esse, quomodo remittetur hoc peccatum nisi pœnitentiam egerint? Et ita disce quod ille qui blasphemat in Filium hominis, videns eum humano more vivere, et dicens: Hic meretricarins est, vorax et vini potor, dum Christus hoc facit: talis et si non pœniteat, de hoc non reddet rationem. Veniam enim accepit, tanquam qui non intellexerit illum fuisse Deum, eo quod tam occultus fuerit. Qui autem blasphemat in Spiritum sanctum, hoc est, in spiritalia opera Christi, et dicit ea esse diabolica, nisi pœnitentiam egerit, veniam non D assequetur. Non enim rationabilem causam habuit ut calumniaretur, quemadmodum ille qui Christum videns cum meretricibus et publicanis versari, tum calumniabatur. Non remittetur igitur vel hic, vel alibi: sed et hic et alibi punietur. Multi enim sunt qui hic quidem puniuntur, sed alibi prorsus immunes

Ex collatione codd. Venet. S. Marci.

autem ejus, dæmonia eidem subjecta vocat; quæ scilicet velut arma ipsius sunt: vasa enim et arma nuncupantur. Quare Lucas *armaturam* ipsius eadem appellavit: quia per illa miseros homines sibi subigit. Christus itaque hoc exemplo argumentum efformat, ostendens quod non solum nullam cum principe dæmoniorum amicitiam habeat; verum etiam quod virtutem ejus, ut sibi maxime invisam, alligaverit. Est vero talis argumenti illius scopus. Quemadmodum nemo in domum alicujus potentis intrare, vasaque ejus ab ipso custodita diripere potest, si prius non alligaverit fortem: sic et ipse nunquam dæmonia diripuisset, nisi prius principem ipsorum, qui fortis est, alligasset. *Qui non est mecum,* » etc.

sunt, ut pauper Lazarus: alii autem et hic et alibi, ut Sodomitæ, et hi qui in Spiritum sanctum blasphemant: alii neque vero hic, neque alibi, ut apostoli, et præcursor. Nam licet videantur persecutionem pati sed non patiuntur pro peccatis: sunt enim probationes et coronæ.

VERS. 33. « Aut facite arborem bonam, et fructum ejus bonum: aut facite arborem putrem, et fructum ejus putrem. Ex fructu enim arbor cognoscitur. » Cum Judæi non possent miracula Christi arguere ut mala, Christum facientem illa blasphemabant ut dæmoniacum. Vel et me, inquit, dicite arborem bonam esse et miracula mea, quæ fructus sunt bona, erunt omnino. Vel si me dicitis arborem putrem, manifestum quod et fructus, miracula videlicet, putres erunt. Verum miracula, id est, fructum, bona esse dicitis: igitur et ego bonus sum, nempe arbor. Omnino enim sicut ex fructu arbor, ita et ego ex miraculis cognoscor.

VERS. 34. « Progenies viperarum, quomodo potestis bona loqui. cum mali sitis? » Ecce, inquit, vos cum arbores malæ sitis, fructum malum fertis, maledicentes mihi: unde et ego si malus essem, fructus afferrem malos, et non talia miracula. Progeniem viperarum eos vocat, quoniam in Abraham gloriabantur: ostendit autem quod non sint ex Abraham, sed ex primogenitoribus se dignis.

VERS. 34, 35. « Siquidem ex abundantia cordis os loquitur. Bonus homo ex bono thesauro emittit bona, et malus homo ex malo thesauro emittit mala. » Quando enim videris quempiam obscene loquentem, scias quod multo plura habeat in corde, quam quæ loquitur. Nam ex abundantia effundit se in externa, et thesaurum **62** possidet absconditum. Parvam enim partem declarat. Similiter et bona dicens, plura habet in corde.

VERS. 36, 37. « Dico autem vobis, quod homines de omni verbo otioso quod loquentur, rationem reddent in die judicii. Ex sermonibus enim tuis justificaberis, et ex sermonibus tuis condemnaberis. »

A ἐκεῖ· ὡς οἱ Σοδομῖται, καὶ αὐτοὶ οἱ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημοῦντες. Τινὲς δὲ, οὔτε ὧδε, οὔτε ἐκεῖ· ὡς οἱ ἀπόστολοι, καὶ ὁ Πρόδρομος. Κἂν γὰρ δοκῶσι κολάζεσθαι διωκόμενοι, ἀλλ' οὐκ εἰσὶν ἐκεῖνα κολάσεις ὑπὲρ ἁμαρτημάτων, ἀλλὰ δοκιμασίαι καὶ στέφανοι.

« Ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλὸν, ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν. Ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. » Ἐπειδὴ οἱ Ἰουδαῖοι τὰ μὲν θαύματα οὐκ ἠδύναντο διαβάλλειν ὡς κακὰ, τὸν δὲ ταῦτα ποιοῦντα Χριστὸν ἐβλασφήμουν ὡς δαιμονιώδη, φησὶν, ἢ καὶ ἐμὲ τὸ δένδρον λέγετε εἶναι καλὸν καὶ πάντως ἔσονται καὶ τὰ θαύματά μου, ἅτινά εἰσιν ὁ καρπὸς, καλά· ἢ ἐὰν ἐμὲ λέγητε σαπρὸν δένδρον, B εὔδηλον, ὅτι καὶ ὁ καρπὸς, ἤτοι τὰ θαύματα, σαπρὸς ἔσται· ἀλλὰ μὴν τὰ θαύματα, τουτέστι, τὸν καρπὸν, καλὰ λέγετε εἶναι, καὶ ἐγὼ ἄρα καλός εἰμι, τὸ δένδρον. Πάντως γὰρ ἐκ τοῦ καρποῦ τὸ δένδρον γνωρίζεται, ὥστε κἀγὼ ἐκ τῶν θαυμάτων.

« Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες; » Ἰδοὺ, φησὶν, ὑμεῖς δένδρα πονηρὰ ὄντες, καρπὸν πονηρὸν φέρετε, κακολογοῦντες ἐμέ· ὥστε κἀγὼ ἐὰν ἤμην πονηρὸς, καρπὸν ἂν πονηρὸν προέφερον, καὶ οὐ θαύματα τοιαῦτα. Γεννήματα δὲ ἐχιδνῶν τούτους καλεῖ, ἐπεὶ ἐπὶ τῷ Ἀβραὰμ ἐκόμπαζον. Δείκνυσιν οὖν αὐτοὺς, ὅτι οὐκ εἰσὶν ἀπὸ τοῦ Ἀβραὰμ, ἀλλὰ προγόνων ἀξίων τῆς πονηρίας αὐτῶν.

« Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ D στόμα λαλεῖ· ὁ ἀγαθὸς ἄνθρωπος, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος, ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά. » Ὅταν ἴδῃς τινὰ αἰσχρολόγον, γίνωσκε, ὅτι οὐχ ὅσα λέγει ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πολλαπλάσια. Καὶ γὰρ ἐκ τοῦ περισσεύματος ἐκχεῖται καὶ εἰς τὰ ἔξω, καὶ θησαυρὸν ἔχων κρυπτόν. ὀλίγον τι μέρος ἐκφαίνει. Ὁμοίως καὶ ὁ ἀγαθὰ λαλῶν πλείονα ἔχει ἐν τῇ καρδίᾳ (18).

« Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως· ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ (19). » Ἐκφο-

## Ex collatione codd. Venet. S. Marci.

(18) Cod. 32 addit: Ἡ γὰρ φρόνησις πᾶσα ἐν Χριστῷ εἰς δόξαν Θεοῦ, ἀρετῆς θησαυρός ἐστιν ἀγαθός· ἡ δὲ φρόνησις τῆς κακίας τῶν ἀπηγορευμένων ὑπὸ τοῦ Κυρίου, θησαυρὸς πονηρός ἐστιν, ἐξ ὧν προφέρεται κατὰ τὴν τοῦ Κυρίου φωνὴν, ἐν τοῖς οἰκείοις ἑκατέρων ἔργοις τε καὶ λόγοις, εἴτε ἀγαθὰ, εἴτε πονηρά. Λέγω δὲ ὑμῖν, κ. τ. λ. « Omnis enim prudentia in Christo in gloriam Dei, thesaurus est bonus. Prudentia autem iniquitatis, seu rerum a Deo prohibitarum, thesaurus est malus: ex quibus thesauris, juxta Domini effatum, proferuntur in propriis utrorumque factis, et dictis, sive bona sive mala. *Dico autem vobis.* » etc.

(19) Idem cod.: Καθόλου πᾶν ῥῆμα μὴ συντελοῦν εἰς τὴν προκειμένην ἐν Χριστῷ χρείαν, ἀργόν ἐστι. Καὶ τοσοῦτος τοῦ τοιούτου ῥήματος ὁ κίνδυνος, ὅτι κἂν ἀγαθὸν ᾖ τὸ λεγόμενον, μὴ πρὸς οἰκοδομὴν δὲ τῆς πίστεως οἰκονομεῖται, οὐκ ἐν ἀγαθότητι τοῦ ῥήD ματος ὁ λαλήσας, ἔχει τὸν κίνδυνον, ἀλλ' ἐν τῷ μὴ πρὸς οἰκοδομὴν οἰκονομῆσαι τὸ ῥηθὲν, λυπεῖ τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ. Τοῦτο γὰρ σαφῶς ἐδίδαξεν ὁ Ἀπόστολος εἰπών· Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς πίστεως, ἵνα δῷ χάριν τοῖς ἀκούουσι, καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ· οὗ τί ἂν γένοιτο μεῖζον κακόν; Ἐκφοβεῖ δὲ ἐντεῦθεν ἡμᾶς, κ. τ. λ. « Generatim omne verbum, quod non confert ad aliquam in Christo utilitatem, otiosum est. Tantum scilicet est talis verbi periculum etiam, si bonum sit, quod dicitur, si ad ædificationem fidei non ordinetur. Ac non quidem propter verbi bonitatem, subit periculum, qui illud profert; sed propterea quod illud ad ædificationem non refert: sicque contristat Spiritum sanctum Dei. Hoc siquidem clare edocuit Apostolus dicens: (*Ephes.* IV, 29) *Omnis sermo malus ex ore vestro non*

δεῖ ἐνταῦθα ἡμᾶς, ὅτι καὶ ὑπὲρ τοῦ ἀργοῦ λόγου A δώσομεν λόγον, τουτέστι, τοῦ ψευδοῦς, τοῦ συκοφαντικοῦ, ἢ καὶ τοῦ ἀτάκτου καὶ γελοιώδους. Εἶτα τίθησι μαρτυρίαν ἀπὸ τῆς Γραφῆς, ἵνα μὴ δόξῃ οἰκεῖά τινα λέγειν· « Ἐκ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ. »

« Τότε ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ Φαρισαίων, λέγοντες· Διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν. » Θαυμάζων ὁ εὐαγγελιστὴς, προσέθηκε τὸ, τότε. Ὅτε γὰρ ὑποταγῆναι ἔδει διὰ τὰ προγεγονότα θαύματα, τότε σημεῖον, αἰτοῦσιν· ἐξ οὐρανοῦ δὲ θέλουσιν ἰδεῖν σημεῖον, ὡς ἄλλος εὐαγγελιστὴς λέγει. Ἐδόκουν γὰρ, ὅτι τὰ ἐπὶ τῆς γῆς θαύματα, ἀπὸ τῆς τοῦ διαβόλου δυνάμεως ποιεῖ· κοσμοκράτωρ γάρ ὁ διάβολος. Τί οὖν ὁ Σωτήρ; B

« Ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς· Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. » Πονηρὰν μὲν γενεὰν αὐτοὺς καλεῖ, ὡς ἐπηρεαστὰς καὶ δολεροὺς. Μοιχαλίδα δὲ ὡς ἀφισταμένους ἀπὸ τοῦ Θεοῦ, καὶ δαίμοσι κολλωμένους. Σημεῖον δὲ λέγει τὴν ἀνάστασιν αὐτοῦ, ὡς παράδοξον· ἐν γὰρ τῇ καρδίᾳ τῆς γῆς, τῷ κατωτάτω λέγω τόπῳ, τῷ ᾅδῃ δηλονότι καταβὰς, τριήμερος ἀνέστη· τὰς τρεῖς δὲ ἡμέρας καὶ τὰς τρεῖς νύκτας, ἀπὸ μέρους νόησον καὶ μὴ ὁλοκλήρους. C Ἀπέθανε μὲν γὰρ τῇ παρασκευῇ, μία αὕτη ἡμέρα ἦν· καὶ τῷ Σαββάτῳ νεκρὸς, ἰδοὺ καὶ ἄλλη ἡμέρα· καὶ ἡ νὺξ δὲ τῆς Κυριακῆς, ἔτι νεκρὸν αὐτὸν κατέλαβε. Τρία οὖν ἡμερονύκτια ἀπὸ μέρους ἀριθμοῦνται. Ἐπεὶ καὶ οὕτως εἰώθαμεν πολλάκις ἀριθμεῖν.

« Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτὴν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. » Ὁ μὲν Ἰωνᾶς, φησὶ, μετὰ τὴν ἐκ τοῦ κήτους ἔξοδον, κηρύξας ἐπιστεύθη· ἐγὼ δὲ οὐδὲ μετὰ τὴν ἀνάστασιν ὑμῖν πιστευθήσομαι. Ὅθεν καὶ κατακριθήσεσθε ὑπὸ τῶν Νινευϊτῶν πιστευσάντων τῷ δούλῳ μου Ἰωνᾷ χωρὶς σημείων, καὶ ταῦτα Βαρβάρων ὄντων· ὑμεῖς οἱ προφήταις συντεθραμμένοι, οἱ σημεῖα ἰδόντες, μὴ πιστεύσατε ἐμοὶ τῷ δεσπότῃ. Τοῦτο γὰρ σημαίνει τὸ, Καὶ ἰδοὺ πλεῖον D Ἰωνᾶ ὧδε.

« Βασίλισσα Νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτὴν, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε. » Ἡ μὲν βασίλισσα, φησὶ, μακρόθεν ἦλθε, καίτοι γυνὴ ἀσθενὴς οὖσα, ἵνα περὶ δένδρων καὶ ξύλων καὶ φυσικῶν τινων ἀκούσῃ. Ὑμεῖς δὲ, καὶ ἐλθόντα με πρὸς ὑμᾶς, καὶ ἀπόῤῥητα λέγοντα, οὐκ ἐδέξασθε.

« Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ

A Terret hic nos, quoniam et pro otioso verbo rationem daturi sumus, hoc est, pro mendacio, calumnia aut etiam pro inordinatis et ridiculis. Deinde ponit testimonium ex Scriptura, ne videatur propria dicere. Ex sermonibus tuis justificaberis, et ex sermonibus tuis condemnaberis.

Vers. 38. Tunc responderunt quidam ex scribis et Pharisæis, dicentes: Magister volumus a te signum videre. » Admirans evangelista apposuit, tunc. Cum enim obedire illos oporteret propter signa præcedentia, tunc signum petunt. De cœlo autem volunt signum videre sicut alius evangelista dicit: putabant enim quod signa super terram potestate diaboli faceret: mundi enim rector est B Diabolus. Quid igitur ad hæc Salvator?

Vers. 39, 40. «At ille respondens dicit illis: Generatio prava et adultera signum quærit, et signum non dabitur illi, nisi signum Jonæ prophetæ. Quemadmodum enim fuit Jonas in ventre ceti tribus diebus ac tribus noctibus, sic erit Filius hominis in corde terræ tribus diebus et tribus noctibus.» Pravam generationem vocat eos, quia dolose semper tentabant: adulteram autem, quia desciscebant a Deo, et adhærebant dæmonibus. Signum autem dicit resurrectionem suam, ut admirabilem. Postquam enim in cor terræ, in infimum inquam locum, infernum scilicet, descendit, tertio die resurrexit. Tres autem dies et tres noctes a parte intelligas, et non integras. Mortuus enim est in C Parasceve, quæ ipsa una dies est: et mortuus fuit Sabbato, ecce et alia dies: nox autem Dominicæ ipsum adhuc mortuum apprehendit. Tres igitur dies et noctes a parte numerantur, quia et sic sæpe numerare consuevimus.

Vers. 41. «Viri Ninivitæ surgent in judicio cum generatione hac, et condemnabunt eam, quod ipsi pœnitentiam egerint ad prædicationem Jonæ: et ecce plus quam Jonas est hoc loco.» Postquam, inquit, Jonas exiit a ceto, et prædicavit, crediderunt: in me autem, etiam cum surrexero, non credetis. Unde et condemnabimini a Ninivitis, qui crediderunt servo meo Jonæ absque miraculis, quamvis Barbari fuerint: vos autem assueti prophetis, visis signis, non creditis mihi Domi- D no: quod significat, dicens: *Et ecce plus Jona hoc loco.*

Vers. 42. «Regina Austri excitabitur in judicio cum generatione hac, et condemnabit eam: quia venit a finibus terræ ut audiret sapientiam Salomonis; et ecce plus quam Salomon hoc loco.» Regina, inquit, a longe venit, quamvis esset mulier infirma, ut de arboribus et lignis et naturalibus quibusdam audiret: vos autem me, 63 cum ad vos venerim et arcana dixerim, non suscepistis.

Vers. 43-45. « Cum autem immundus spiritus

**Ex collatione codd. Venet. S. Marci.**

*procedat. Sed si quis bonus ad ædificationem fidei, ut det gratiam audientibus. Nolite contristare Spiritum sanctum Dei*; quo quid pejus esse potest? Terret autem hic nos, » etc.

exierit ab homine, perambulat per arentia loca, quærens requiem, et non invenit; tunc dicit : Revertar in domum meam, unde exivi. Et cum venerit, reperit eam vacantem, et scopis purgatam atque ornatam. Tunc abit et adjungit sibi septem alios spiritus sceleratiores se, et ingressi inhabitant illic: et fiunt postrema hominis illius pejora primis. Sic erit et generationi huic perversæ. » Ostendit illos usque in extremam perditionem venisse, quod ipsum non susceperint. Et sicut a dæmoniis liberati, si ignavi fuerint, deterius habent: ita et vestra generatio a dæmonio tenebatur cum idola adoraret, sed per prophetas ejectus est ille dæmon. Veni autem et ego, mundare vos magis volens: sed quia repulistis me et interimere vultis, ut pravius peccantes, gravius etiam puniemini: et extrema captivitas vestra gravior erit prioribus. Tu autem intellige et hoc, quod per baptismum ejicitur immundus spiritus, et vadit ad loca inaquosa, et animas non baptizatas, sed in illis non invenit requiem. Requies enim est dæmoniis, baptizatos turbare per mala opera, quoniam non baptizatos jam habet: convertitur igitur ad baptizatum cum spiritibus septem. Sicut enim septem sunt dona Spiritus, ita e diverso septem sunt malitiæ spiritus. Cum autem ingressus fuerit in baptizatum, deterior fit calamitas. Prius enim spes erat per baptismum esse purgatum: postea autem non est spes secundi baptismi, nisi per pœnitentiam, quæ valde laboriosa est.

A ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει · τότε λέγει · Ἐπιστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον. Καὶ ἐλθὸν, εὑρίσκει σχολάζοντα, σεσαρωμένον καὶ κεκοσμημένον. Τότε πορεύεται, καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ. Καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου, χείρονα τῶν πρώτων · οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ. » Δείκνυσιν αὐτοὺς εἰς ἔσχατον ἀπωλείας καταντήσοντας ἐκ τοῦ μὴ παραδέξασθαι αὐτόν. Ὥσπερ γὰρ οἱ δαιμόνων ἐλευθερωθέντες, ἐὰν ῥᾳθυμήσωσι, χείρονα πάσχουσιν· οὕτω καὶ ἡ ὑμετέρα γενεὰ κατείχετο δαίμονι, ὅτε τὰ εἴδωλα προσεκυνεῖτε · ἀλλὰ διὰ τῶν προφητῶν ἐξέβαλον τοῦτον τὸν δαίμονα. Ἦλθον δὲ καὶ αὐτὸς, πλέον καθᾶραι ὑμᾶς βουλόμενος · ἀλλ' ἐπειδὴ παρώσασθέ με, καὶ B ἀνελεῖν μᾶλλον σπεύδετε, ὡς χεῖρον ἁμαρτάνοντες, χεῖρον καὶ κολασθήσεσθε, καὶ ἡ ἐσχάτη αἰχμαλωσία ὑμῶν βαρυτέρα ἔσται τῶν προτέρων. Σὺ δὲ νόει καὶ τοῦτο, ὅτι διὰ τοῦ βαπτίσματος ἐκβάλλεται τὸ ἀκάθαρτον πνεῦμα, καὶ πορεύεται ἐν ταῖς ἀνύδροις καὶ ἀβαπτίστοις ψυχαῖς · ἀλλ' ἐν ἐκείναις οὐχ εὑρίσκει ἀνάπαυσιν. Ἀνάπαυσις γὰρ τοῖς δαίμοσι, τὸ τοῖς βεβαπτισμένοις ἐνοχλεῖν διὰ τῶν πονηρῶν πράξεων, ἐπεὶ τοὺς ἀβαπτίστους ἤδη ἔχει. Ὑποστρέφεται οὖν ἐπὶ τὸν βεβαπτισμένον μετὰ τῶν ἑπτὰ πνευμάτων. Ὥσπερ γὰρ ἑπτὰ τὰ τοῦ πνεύματος χαρίσματα, οὕτως ἐκ τοῦ ἐναντίου ἑπτὰ καὶ τὰ τῆς κακίας πνεύματα. Ἐπὰν δὲ εἰσέλθῃ εἰς τὸν βεβαπτισμένον, χείρων ἡ συμφορά. Πρότερον μὲν γὰρ ἐλπὶς ἦν διὰ τοῦ βαπτίσματος καθαρισθῆναι. Ἔκτοτε δὲ δευτέρου βαπτίσματος οὐκ ἔστιν ἐλπὶς, εἰ μὴ τοῦ διὰ μετανοίας, ὃ σφόδρα ἐπίπονον.

VERS. 46. « Adhuc autem loquente illo ad turbas, ecce mater ejus et fratres ejus stabant foris quærentes ei loqui. » Humanum quid volebat ostendere mater, quod ut in filium potestatem habeat: nihil enim magnum adhuc de eo intelligebat. propter hoc ipso adhuc loquente, volebat ad se illum attrahere, quasi ambitiosula tanto sibi filio subdito. Quid igitur Christus? Postquam intentionem ejus novit, audi quid dicat.

VERS. 47-50. « Dixit autem quidam illi. Ecce mater tua et fratres tui foris stant, quærentes tibi loqui. At ille respondens dixit ei qui sibi renuntiaverat : Quæ est mater mea, aut qui sunt fratres mei? et extendens manum suam ad discipulos suos dixit : Ecce mater mea et fratres mei. Quisquis enim fecerit voluntatem Patris mei qui est in cœlis, ipse meus frater, et soror et mater est. » Non injuria afficiens matrem, hæc dicit, sed corrigens mentem ejus gloriæ avidam et humanam. Non enim dicit : Non est mater mea : sed, si non fecerit voluntatem Dei, nil ei proderit quod me genuit. Non enim negat naturalem 64 cognationem, sed apponit etiam eam quæ est per virtutem. Nullus enim indignus a cognatione utilitatem capit. Igitur correcto vanæ gloriæ morbo, iterum obedit matri vocanti. Dicit enim evangelista :

C « Ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδοὺ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω, ζητοῦντες αὐτῷ λαλῆσαι. » Ἀνθρώπινόν τι ἐβούλετο ἐνδείξασθαι ἡ μήτηρ, ὅτι ἐξουσιάζει τοῦ παιδός. Οὐδὲν γὰρ μέγα οὔπω περὶ αὐτοῦ ἐνόει · διὰ τοῦτο οὖν καὶ ἔτι λαλοῦντα, βούλεται πρὸς ἑαυτὴν ἐπισπάσασθαι, φιλοτιμουμένη ὡς ὑποταττομένου αὐτῇ τοῦ υἱοῦ. Τί γοῦν ὁ Χριστός ; Ἐπεὶ τὸν σκοπὸν αὐτῆς ἔγνω, ἄκουε τί φησιν.

« Εἶπε δέ τις αὐτῷ. Ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασι ζητοῦντές σοι λαλῆσαι · ὁ δὲ, ἀποκριθεὶς εἶπε τῷ εἰπόντι αὐτῷ · Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου ; καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, D εἶπεν · Ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστιν. » Οὐχ ὑβρίζων τὴν μητέρα λέγει ταῦτα, ἀλλὰ διορθούμενος τὴν φιλόδοξον αὐτῆς καὶ ἀνθρωπίνην γνώμην. Οὐ γὰρ εἶπεν ὅτι Οὐκ ἔστι μου μήτηρ · ἀλλ' ὅτι Ἐὰν μὴ ποιῇ τὸ θέλημα τοῦ Θεοῦ, οὐδὲν αὐτὴν ὠφελήσει τὸ γεννῆσαί με. Οὐ γὰρ ἀρνεῖται τὴν κατὰ φύσιν συγγένειαν, ἀλλὰ προστίθησι καὶ τὴν κατ' ἀρετήν. Οὐδεὶς γὰρ ἀνάξιος ἀπὸ συγγενείας ὠφελεῖται. Διορθωσάμενος τοίνυν τῆς κενοδοξίας τὸ νόσημα, ὅμως πάλιν ὑπακούει τῇ μητρὶ καλούσῃ. Φησὶ γὰρ ὁ εὐαγγελιστής ·

## ΚΕΦΑΛ. ΙΓʹ. A

### Περὶ τῶν παραβολῶν τοῦ σπείραντος καὶ τῆς βασιλείας τῶν οὐρανῶν.

« Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν. Καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοὶ, ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι, καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. » Ἐκάθισεν ἐν τῷ πλοίῳ, ἵνα πάντας τοὺς ἀκροατὰς κατὰ πρόσωπον στήσῃ, καὶ πάντες ἀκούωσι. Καὶ δὲ ἀπὸ τῆς θαλάσσης ἁλιεύει τοὺς ἐν τῇ γῇ.

« Καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς, λέγων· » Τοῖς μὲν ἀπλάστοις ὄχλοις ἐπὶ τοῦ ὄρους χωρὶς παραβολῶν λαλεῖ· ἐνταῦθα δὲ τῶν δολερῶν Φαρισαίων ὄντων, ἐν παραβολαῖς λέγει· ἵνα κἂν ὡς μὴ B νοοῦντες, ἐρωτήσωσι καὶ μάθωσιν. Ἄλλως τε ἀναξίοις οὖσιν, οὐκ ἔδει γυμνὰς τὰς διδασκαλίας αὐτοῖς προκεῖσθαι. Οὐ δεῖ γὰρ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων ῥίπτεσθαι. Πρώτην δὲ παραβολὴν λέγει τὴν ποιοῦσαν προσεκτικώτερον τὸν ἀκροατήν· ἄκουε γάρ· « Ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. » Ἑαυτὸν λέγει τὸν σπείροντα, σπόρον δὲ τὸν λόγον. Ἐξῆλθε δὲ οὐ τόπῳ· πανταχοῦ γὰρ ἦν· ἀλλὰ καθ' ὃ ἐπλησίασεν ἡμῖν μετὰ σαρκὸς, κατὰ τοῦτο λέγεται ἐξῆλθεῖν, τῶν κόλπων τῶν πατρικῶν δηλονότι. Ἐξῆλθεν οὖν πρὸς ἡμᾶς, ἐπειδὴ ἡμεῖς οὐκ ἠδυνάμεθα πρὸς αὐτὸν ἐλθεῖν. Καὶ τί ποιῆσαι ἐξῆλθεν; Ἆρα ἐμπρῆσαι τὴν γῆν διὰ τὰς πολλὰς ἀκάνθας; Ἆρα τιμωρήσασθαι; Οὐχὶ, ἀλλὰ τοῦ σπεῖραι. Τὸν σπόρον δὲ αὐτοῦ εἶπε, διότι καὶ οἱ προφῆται ἔσπειρον. Ἀλλ' οὐ τὸν σπόρον αὐτῶν, ἀλλὰ τὸν τοῦ C Θεοῦ. Οὗτος δὲ Θεὸς ὢν, τὸν σπόρον αὐτοῦ τὸν ἴδιον ἔσπειρεν· οὐ γὰρ χάριτι θείᾳ ἐσοφίσθη, ἄπαγε! ἀλλ' αὐτὸς ἦν ἡ σοφία τοῦ Θεοῦ.

« Καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν· καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτά· ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν πολλὴν, καὶ εὐθέως ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς· ἡλίου δὲ ἀνατείλαντος, ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη. » Οἱ παρὰ τὴν ὁδὸν, εἰσὶν οἱ ῥᾴθυμοι καὶ ὀκνηροὶ, οἳ οὐδ' ὅλως παραδέχονται τὸν λόγον. Ὁ γὰρ λογισμὸς αὐτῶν ὁδός ἐστι καταπεπατημένη καὶ σκληρὰ, καὶ μὴ ἀροτριωθεῖσα ὅλως· ἀπὸ τούτων οὖν ἁρπάζει τὸν λόγον τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἤτοι τοῦ ἀέρος τὰ D πνεύματα, τουτέστιν, οἱ δαίμονες. Οἱ δὲ ἐπὶ τὰ πετρώδη, οἱ ἀκούσαντες μὲν, διὰ δὲ τὴν ἀσθένειαν μὴ ἀντιβάντες πειρασμοῖς ἢ θλίψεσιν, ἀλλὰ καταπροδόντες τὴν οἰκείαν σωτηρίαν· ἥλιον γὰρ ἀνατείλαντα, τοὺς πειρασμοὺς νόει, διότι οἱ πειρασμοὶ δεικνύουσι τοὺς ἀνθρώπους, καὶ φανεροῦσιν ὡς ὁ ἥλιος τὰ κρυπτόμενα. « Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι, καὶ ἀπέπνιξα αὐτά. » Οὗτοί εἰσιν οἱ διὰ τῶν φροντίδων ἀποπνίγοντες τὸν λόγον· κἂν γὰρ δοκῇ ὁ πλούσιος ἀγαθήν τινα πρᾶξιν

## CAPUT XIII.

### *De parabolis seminantis et regni cœlorum.*

VERS. 1, 2. « In die vero illo egressus Jesus e domo sedit juxta mare : et congregatæ sunt ad illum turbæ multæ (*a*), ita ut ipse navim ingressus sederet, et in universa turba in littore stabat.» Sedit in navi, ut omnes auditores in faciem haberet spectantes, et omnes commodius audirent. Sane e mari piscatur eos qui in terra.

VERS. 3. «Et locutus est eis multa in parabolis, dicens : » Simplicibus turbis absque parabola in monte locutus est : his autem in parabola, utpote B dolosis Pharisæis, ut si non intelligant, quærant et discant. Præterea ut indignis, non oportebat doctrinas eis proponere nudas. Non oportet enim margaritas ante porcos mittere. Primam autem parabolam ponit quæ auditorem faciat attentiorem. «Ecce exiit qui seminabat, ad seminandum semen suum.» Seipsum dicit satorem, semen autem verbum Exiit autem non loco, nam ubique erat : sed secundum illud quod nobis propior factus esset per carnem, dicitur egredi e finibus paternis. Exiit autem ad nos, quoniam nos ad ipsum intrare non potuimus. Et ad quid faciendum exiit? Num ut exurat terram propter spinas? num ut puniat? Minime, sed ut sementem faciat. Semen autem suum dicit, eo quod et prophetæ seminaverint, at non semen suum, sed Dei Ipse autem ut Deus C semen suum, hoc est, proprium, seminavit : non enim divina gratia illustratus est, absit, sed ipse erat sapientia Dei.

VERS. 4-6. «Et cum seminaret, alia quidem ceciderunt juxta viam, et venerunt volucres cœli, et devoraverunt ea; alia autem ceciderunt in terram petrosam, ubi non habebant multum terræ, et protinus exorta sunt, eo quod non habebant profunditatem terræ: cum autem exortus est sol, exusta sunt: et qui non habebant radicem, exaruerunt.» Hi qui juxta viam, sunt ignavi et desides, qui nunquam suscipiunt verbum. Mens enim eorum via est conculcata et dura, et minime arata : ab iis igitur rapiunt D verbum volucres cœli, hoc est, spiritus aeris, dæmones videlicet. Qui vero super petrosam, sunt ii qui audierunt quidem, sed propter imbecillitatem in tentationibus aut afflictionibus non obluctantur, sed perdunt suam salutem. Per solem enim orientem, intellige tentationes, eo quod tentatio ostendit homines et declarat quales sunt, sicut sol manifestat abscondita. « Alia autem ceciderunt inter spinas, et ascenderunt spinæ, et suffocaverunt ea.» Illi sunt qui curis suffocant sermonem. Nam dives licet videatur bonum quoddam opus facere, at non crescit

(*a*) Huic turbæ permisti erant Pharisæi ut e sequentibus patet, Supra 5, 6, 7.

opus ejus, neque proficit, sollicitudinibus prohibentibus.

VERS. 7, 8. « Alia vero ceciderunt in terram bonam, et dederunt fructum, ille quidem centum, alius autem sexaginta, alius vero triginta. » Tres partes seminis perierunt, et quarta sola servata est. Pauci enim sunt qui salvantur. Postea vero dicit de terra bona, data nobis pœnitentiæ spe. Est enim possibile, etiam si quis petrosa terra sit, aut juxta viam, vel spinosa, eum fieri terram bonam Non enim æqualem fructum fuerunt omnes qui verbum suscipiunt: sed alius quidem centuplum, forte paupertatem perfectam habens et summam exercitationem. Alius autem sexagecuplum, ut cœnobita forte monachus, et adhuc operans. Alius vero trigecuplum, ut qui honestas nuptias delegit, et virtutem pro virili amplexatur. Vide autem Dei bonitatem, quomodo omnes sucipit, et magna mediocria et parva colentes.

VERS. 9. « Qui habet aures audiendi, audiat. » Manifestat quod hæc spiritualiter intelligenda sint ab his qui spirituales aures animæ habent. Multi autem aures habent, sed non ad audiendum; propterea subdit : Qui habet aures audiendi, ille audiat.

VERS. 10, 12. « Et cum accessissent discipuli, dixerunt illi : Quare in parabolis loqueris illis? Ipse autem respondens dixit illis: Vobis datum est scire arcana regni cœlorum, illis autem non datum est. Quisque enim habet, dabitur illi, et reddetur abundantior : quisquis autem non habet, etiam illud quod habet, tolletur ab eo. » Videntes discipuli magnam in his quæ a Christo dicebantur, obscuritatem : ut communes multitudinis procuratores accedunt interrogantes. At ille dicit : Vobis datum est scire mysteria, hoc est, quia habetis alacritatem et studium, datum est vobis : illis autem non adhibentibus studium, non est datum. Ille enim accipit, qui quærit. Quærite enim, inquit, et dabitur vobis. Vide item quomodo hoc loco parabolam dixit Jesus, et discipuli soli qui interrogaverant acceperunt. Unde bene diximus, adhibenti sudium datum esse scientia abundantiorem fieri : ab eo autem qui non habet studium, nec mentem dignam, ut par est, adhibet etiam tolli quod habere videtur : hoc est, etiam si parvam quamdam boni scintillam habeat, et eam non excitet et accendat per spiritum et spiritualia opera exstingui.

VERS. 13. « Propterea per parabolas loquor illis, quia videntes non vident, et audientes non audiunt, neque intelligunt. » Attende Hic enim solvit quæstionem dicentium quod a natura et a Deo mali sunt quidam. Dixit enim, inquiunt, Christus: Vobis datum est nosse arcana, Judæis autem non est datum. Dicimus ergo ad illos cum Deo, dicentes, 66 quod Deus omnes faciat intelligere natura quantum opus est. Omnem enim hominem illuminat venientem in hunc mundum [47*]. Voluntas autem nostra obtenebrat

[47*] Joan. I, 9.

A ποιεῖν, ἀλλ' ὅμως οὐκ αὐξάνει ἡ πρᾶξις αὕτη, οὐδὲ προκόπτει, κωλυομένη ὑπὸ τῶν μεριμνῶν.

« Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν · καὶ ἐδίδου καρπὸν, ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. » Τὰ τρία μέρη τοῦ σπόρου ἀπώλοντο, καὶ τὸ τέταρτον ἐσώθη μόνον · ὀλίγοι γάρ εἰσιν οἱ σωζόμενοι · ὕστερον δὲ λέγει περὶ τῆς γῆς τῆς ἀγαθῆς, διδοὺς ἡμῖν μετανοίας ἐλπίδα · ἔστι γὰρ δυνατὸν κἂν πετρώδης εἴη τις, κἂν παρὰ τὴν ὁδὸν, κἂν ἀκανθοφορῶν, γῆν ἀγαθὴν γενέσθαι αὐτόν. Οὐ μὴν ἐπίσης καρποφοροῦσι πάντες οἱ δεξάμενοι τὸν λόγον · ἀλλ' ὁ μὲν ἑκατὸν, τυχὸν ὁ ἀκτημοσύνην τελείαν ἔχων καὶ ἄκραν ἄσκησιν · ὁ δὲ ἑξήκοντα, ὁ κοινοβιακὸς τυχὸν μοναχὸς καὶ ἔτι πατρικός · ὁ δὲ τριά-B κοντα, ὁ γάμον σεμνὸν ἑλόμενος, καὶ τὰς ἀρετὰς ὡς ἐγχωρεῖ σπουδαίως μετερχόμενος. Ὅρα δὲ Θεοῦ χρηστότητα, πῶς πάντας καὶ τοὺς τὰ μεγάλα καὶ τοὺς τὰ μέσα καὶ τοὺς τὰ μικρὰ ἐνεργοῦντας δέχεται.

« Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. » Δηλοῖ, ὅτι πνευματικῶς δεῖ νοηθῆναι ταῦτα παρὰ τῶν τὰ πνευματικὰ ὠτία κεκτημένων. Πολλοὶ δὲ ὦτα μὲν ἔχουσιν, ἀλλ' οὐκ εἰς τὸ ἀκούειν · διὰ τοῦτο οὖν προσέθηκε τὸ, Ὁ ἔχων ὦτα εἰς τὸ ἀκούειν, ἐκεῖνος ἀκουέτω.

« Καὶ προσελθόντες οἱ μαθηταὶ, εἶπον αὐτῷ · Διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς ; Ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς, ὅτι Ὑμῖν δέδοται γνῶναι τὰ μυστή-C ρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται · ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. » Ὁρῶντες οἱ μαθηταὶ ἀσάφειαν πολλὴν ἐν τοῖς ὑπὸ τοῦ Χριστοῦ λεγομένοις, ὡς κοινοὶ κηδεμόνες τοῦ πλήθους προσέρχονται ἐρωτῶντες. Ὁ δὲ φησιν · Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια, τουτέστιν, ἐπειδὴ ἔχετε προθυμίαν καὶ σπουδὴν, δέδοται ὑμῖν · ἐκείνοις δὲ μὴ ἔχουσι σπουδὴν, οὐ δέδοται. Ἐκεῖνος γὰρ λαμβάνει, ὁ ζητῶν. Ζητεῖτε γάρ, φησὶ, καὶ δοθήσεται ὑμῖν. Ἴδε γοῦν πῶς ἐνταῦθα εἶπε μὲν ὁ Κύριος τὴν παραβολὴν, μόνοι δὲ οἱ μαθηταὶ ζητήσαντες ἔλαβον. Ὥστε καλῶς εἴπομεν, ὅτι τῷ ἔχοντι σπουδὴν, ἐκείνῳ δίδοται ἡ γνῶσις,
D καὶ περισσεύεται. Τῷ δὲ μὴ ἔχοντι σπουδὴν καὶ γνώμην ἀξίαν, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ · τουτέστι, κἂν μικρόν τινα σπινθῆρα ἔχῃ τοῦ ἀγαθοῦ, σβέννυσι καὶ τοῦτον, μὴ ἐκφυσῶν αὐτὸν διὰ τοῦ πνεύματος καὶ τῶν πνευματικῶν ἔργων, καὶ ἀνάπτων.

« Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσιν. Πρόσεχε. Ἐντεῦθεν γὰρ λύεται τὸ ζήτημα τῶν λεγόντων ὅτι ἐκ φύσεως καὶ ἀπὸ Θεοῦ τινές εἰσι κακοί. Εἶπε γάρ, φασί, καὶ ὁ Χριστὸς, ὅτι Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια, Ἰουδαίοις δὲ οὐ δέδοται. Λέγομεν οὖν πρὸς τοὺς τοιαῦτα λέγοντας, σὺν Θεῷ, ὅτι ὁ μὲν Θεὸς πάντας ποιεῖ νοεῖν τὸ δέον φυσικῶς. Πάντα γὰρ ἄνθρωπον φωτίζει ἐρχόμενον εἰς τὸν κόσμον · ἡ δὲ προαίρεσις ἡμῶν σκοτίζει

ὑμᾶς. Τοῦτο οὖν καὶ ἐνταῦθα δηλοῦται. Φησὶ γάρ, A ὅτι βλέποντες φυσικῶς, τουτέστιν, ὑπὸ τοῦ Θεοῦ δημιουργηθέντες νοεῖν, οὐ βλέπουσι προαιρετικῶς· καὶ ἀκούοντες, τουτέστι, φυσικῶς ὑπὸ τοῦ Θεοῦ δημιουργηθέντες, ὥστε ἀκούειν καὶ συνιέναι, οὐκ ἀκούουσιν, οὐδὲ συνιᾶσιν ἀπὸ προαιρέσεως. Εἰπὲ γάρ μοι, οὐκ ἔβλεπον τὰ θαύματα τοῦ Χριστοῦ; Ναί, ἀλλ' ἐποίουν ἑαυτοὺς τυφλούς. καὶ κατηγόρουν αὐτοῦ. Τοῦτο γοῦν ἐστι τό, βλέποντες οὐ βλέπουσι. Παράγει τοίνυν καὶ τὸν προφήτην μάρτυρα.

« Καὶ ἀναπληροῦται αὐτοῖς ἡ προφητεία Ἡσαΐου, ἡ λέγουσα· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκού- B σωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. » Ὁρᾷς τί φησιν ἡ προφητεία; Ὅτι, οὐ διὰ τοῦτο οὐ μὴ συνῆτε, ὅτι παχεῖαν ἔκτισα τὴν καρδίαν ὑμῶν, ἀλλ' ὅτι ἐπαχύνθη, λεπτὴ δηλονότι πρότερον οὖσα· τὸ γὰρ παχυνόμενον, λεπτὸν πρότερον ἦν. Παχυνθείσης δὲ ταύτης, οὕτω τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν. Οὐκ εἶπε δὲ ὅτι ἐκάμμυσεν ὁ Θεὸς τοὺς ὀφθαλμοὺς αὐτῶν, ἀλλ' ὅτι ἐκεῖνοι ἐκ προαιρέσεως. Τοῦτο δὲ ἐποίησαν, φησίν, ἵνα μὴ ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς· ἐθελοκάκως γὰρ ἐσπούδασαν ἀθεράπευτοι καὶ ἀνεπίστροφοι μεῖναι.

« Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει. Ἀμὴν γὰρ λέγω ὑμῖν, C ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. » Καὶ οἱ αἰσθητοὶ μὲν ὀφθαλμοὶ τῶν ἀποστόλων καὶ τὰ ὦτα μακάρια· πλὴν ἀλλὰ μᾶλλον οἱ ψυχικοὶ ὀφθαλμοὶ καὶ τὰ ὦτα μακαρισμοῦ ἄξια, ὅτι ἐπέγνω τὸν Χριστόν. Προτιμᾷ δὲ τούτους τῶν προφητῶν, διότι καὶ σωματικῶς εἶδον οὗτοι τὸν Χριστόν, ἐκεῖνοι δέ, νοερῶς μόνον· ἀλλὰ καὶ ὅτι ἐκεῖνοι οὐ τοσούτων μυστηρίων καὶ τοιαύτης ἠξιώθησαν γνώσεως, ὅσης οὗτοι· κατὰ δύο οὖν ὑπερέχουσι τῶν προφητῶν οἱ ἀπόστολοι καὶ κατὰ τὸ σωματικῶς ἰδεῖν, καὶ κατὰ τὸ πνευματικώτερον μυηθῆναι τὰ θεῖα. Σαφηνίζει οὖν τὴν παραβολὴν τοῖς μαθηταῖς λέγων·

« Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπεί- D ροντος. Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ, οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς. » Προτρέπεται ἡμᾶς εἰς τὸ συνιέναι τῶν λεγομένων παρὰ τῶν διδασκόντων, ἵνα μὴ καὶ ἡμεῖς ὅμοιοι ὦμεν τοῖς παρὰ τὴν ὁδόν· μήποτε δέ, ἐπεὶ ὁδός ἐστιν ὁ Χριστός, παρὰ τὴν ὁδὸν εἰσιν οἱ ἔξω τοῦ Χριστοῦ. Οἳ οὐκ εἰσὶν ἐν τῇ ὁδῷ, ἀλλὰ παρεκτὸς τῆς ὁδοῦ.

« Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων

nos. Hoc igitur et in isto loco manifestatur. Dicit enim quod videntes natura, hoc est, a Deo facti, ut natura intelligere possint, non vident voluntarie, et audientes, hoc est, naturaliter a Deo ita facti, ut audire et intelligere queant, non audiunt neque intelligunt propter voluntatem. Dic enim, quæso, an non videbant miracula Christi? Profecto: sed faciebant seipsos cæcos, et taxabant eum. Hoc ergo est, videntes non vident. Adducit igitur et prophetam testem.

VERS. 14, 15. « Et impletur in illis prophetia Isaiæ quæ dicit: Auribus audietis, et non intelligetis: et videntes videbitis, et non cernetis. Incrassatum est enim cor populi hujus, et auribus graviter audierunt, et oculos suos occluserunt, nequando viderent oculis, et auribus audirent et corde intelligerent, et convertantur, et sanem illos. » Vides quid dicat prophetia? propterea non intelligetis non quod crassum creaverim cor vestrum, sed quod incrassatum sit, quod antea manifestum est subtile fuisse. Quod enim incrassatur, prius tenue fuit.: incrassato autem illo, sic oculos suos occluserunt: non dixit quod occluserit oculos eorum Deus, sed illi sua voluntate. Illud enim fecerunt, inquit, ne convertantur, et sanem illos. Sua enim malitia operam dederunt ut incurabiles et ad conversionem inepti fierent.

VERS. 16, 17. « Vestri vero beati sunt oculi, quia vident; et aures vestræ, quia audiunt. Amen quippe dico vobis, quod multi prophetæ et justi desideraverunt videre quæ videtis, et non viderunt: et audire quæ auditis, et non audierunt. » Et sensibiles quidem apostolorum oculi et aures beati, sed multo magis spirituales oculi atque aures beatitudine dignæ quod agnoverunt Christum. Præfert autem illos prophetis, eo quod hi Christum corporaliter viderunt, illi mentaliter tantum, sed et quod illi non assecuti fuerunt tanta mysteria et talem notitiam quantum ii. In duobus enim præcellebant prophetas apostoli, et corporaliter vivendo, et magis spiritualiter intelligendo divina. Manifestat igitur parabolam discipulis, dicens:

VERS. 18, 19. « Vos igitur audite parabolam seminantis. Cum quis audierit sermonem regni, et non intellexerit, vadit malignus ille, et rapit insitum in cor ejus. Hic est qui juxta viam seminatus est. » Adhortatur nos ad intelligendum quæ dicuntur a docentibus, ne et nos similes fiamus his qui juxta viam. Fortasse autem quia via est Christus (a), qui secus viam sunt, hi extra Christum sunt, non enim sunt in via, sed extra viam.

VERS. 20, 21. « At qui in petrosa semen jactum exceperat, hic est qui sermonem audit, ac protinus

(a) Edit. Lat. *qui extra Christum sunt*. In Græco videtur aliquid deesse.

cum gaudio arripit eum: non habet autem radicem in seipso, sed temporarius est. » Porro cum inciderit persecutio vel afflictio propter sermonem, statim 67
offenditur. Afflictio, inquit, quia multi a parentibus vel aliis infortunii afflicti, statim blasphemant. Persecutio autem dicit propter eos quibus tyranni molesti sunt.

VERS. 22. « At qui in spinas semen exceperat, hic est qui verbum audit, et cura sæculi hujus et deceptio divitiarum suffocat verbum, et sterilis fit. » Non dixit Sæculum hoc suffocat, sed Cura sæculi: neque Divitiæ, sed deceptio divitiarum. Divitiæ enim quando disperguntur, non suffocant, sed crescere faciunt verbum. Spinæ autem, curæ et deliciæ, eo quod ignem concupiscentiæ et gehennæ accendunt Et sicut spina acuta in corpus penetrat, et vix eradicatur: sic et deliciæ invalescentes in animam ingrediuntur, et vix eradicantur

VERS. 23. « Cæterum qui in terram bonam excepit semen, hic est qui verbum audit et intelligit, qui denique fructum reddit et facit, alius quidem centuplum, alius vero sexagecuplum, alius autem trigecuplum. » Variæ virtutis species sunt, varii et qui proficiunt. Vide autem ordinem in parabola. Oportet enim nos primum audire sermonem et intelligere ne simus sicut qui juxta viam. Deinde firmiter retinere quod auditum est: præterea non esse amatores opum. Quid enim proderit, si audiero et retinuero, et divitiarum amore suffocor?

VERS. 24-30. « Aliam parabolam proposuit eis, dicens: Simile factum est regnum cœlorum homini seminanti bonum semen in agro suo; sed dormientibus hominibus venit illius inimicus et seminavit zizania inter triticum, abiitque. Cum autem germinasset herba, et fructum fecisset, tunc apparuerunt et zizania Accedentes autem servi patrisfamilias dixerunt illi: Domine, nonne bonum semen seminaras in tuo agro? unde igitur habet zizania? Ille vero dixit illis: Inimicus homo hoc fecit. Servi autem dixerunt illi: Vis igitur abeamus, et colligamus ea? At ille dixit: Non: ne dum colligitis zizania, eradicetis simul cum illis et triticum: sinite pariter crescere utraque usque ad messem, et in tempore messis dicam messoribus: Colligite primum zizania, et colligate in fasciculos ad comburendum ea, triticum vero congregate in horreum meum » In priori parabola dixit, quartam partem seminis cadere in terram bonam; in hac autem ostendit, quod neque illud ipsum semen quod in terram bonam cecidit, incorruptum sinat hostis, dum nos dormimus et ignavi sumus Ager etenim Mundus est, vel cujusvis anima. Porro Christus est qui seminavit. Bonum semen, boni homines vel cogitationes. Zizania, hæreses vel malæ cogitationes. Qui vero seminat hæc, diabolus. At dormientes homines, qui propter ignaviam suam locum dederunt hæreticis vel malis cogitationibus; servi au-

αὐτὸν, οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι. » Γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζεται. Θλίψεως εἶπεν, ἐπεὶ πολλοὶ ὑπὸ γονέων ἢ ἄλλων συμφορῶν θλιβόμενοι, εὐθὺς βλασφημοῦσι· διωγμοῦ δὲ, διὰ τοὺς ἐπὶ τῶν τυράννων παραπίπτοντας.

« Ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ ἡ μέριμνα τοῦ αἰῶνος τούτου καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. » Οὐκ εἶπεν, ὅτι Ὁ αἰὼν οὗτος συμπνίγει, ἀλλ' Ἡ μέριμνα τοῦ αἰῶνος· οὐδὲ ὁ πλοῦτος, ἀλλ' Ἡ ἀπάτη τοῦ πλούτου. Ὁ πλοῦτος γὰρ ὅταν σκορπισθῇ, οὐ συμπνίγει, ἀλλ' αὔξει τὸν λόγον· ἄκανθαι δὲ, αἱ μέριμναι καὶ αἱ τρυφαὶ, διότι τὸ πῦρ καὶ τὸ τῆς ἐπιθυμίας καὶ τὸ τῆς γεέννης ἀνάπτουσι. Καὶ ὥσπερ ἡ ἄκανθα ὀξεῖα οὖσα, εἰσδύνει εἰς τὸ σῶμα, καὶ μόλις ἐκβάλλεται, οὕτω καὶ ἡ τρυφὴ, ἐὰν ψυχῆς κρατήσῃ, εἰσδύνει, καὶ μόλις ἐκριζοῦται.

« Ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιὼν, ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ, ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. » Διάφορα τὰ τῆς ἀρετῆς εἴδη, διάφοροι καὶ οἱ προκόπτοντες. Ὅρα δὲ, ὅτι τάξις ἐστὶν ἐν τῇ παραβολῇ. Δεῖ γὰρ ἡμᾶς πρῶτον μὲν ἀκοῦσαι τὸν λόγον καὶ συνιέναι, ἵνα μὴ ὦμεν ὡς οἱ παρὰ τὴν ὁδόν. Ἔπειτα κατασχεῖν ἑδραίως τὸ ἀκουσθέν. Εἶτα μὴ φιλοχρημάτους εἶναι. Τί γὰρ ὄφελος εἰ ἀκούσω καὶ κατάσχω, ὑπὸ δὲ φιλοχρηματίας συμπνίξω;

« Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείραντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ, ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς, καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν. Ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια. Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ· Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; Πόθεν οὖν ἔχει τὰ ζιζάνια; Ὁ δὲ ἔφη αὐτοῖς· Ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν. Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· Θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; Ὁ δὲ ἔφη· Οὔ· μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. Ἄφετε οὖν συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ θερισμοῦ, καὶ ἐν τῷ καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς· Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι αὐτὰ, τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου. » Ἐν τῇ προτέρᾳ παραβολῇ εἶπε τὸ τέταρτον μέρος τοῦ σπόρου πεσεῖν εἰς τὴν γῆν τὴν ἀγαθὴν, ἐν δὲ τῇ παρούσῃ δείκνυσιν, ὅτι οὐδὲ αὐτὸ ἐκεῖνο τὸ πεσὸν εἰς τὴν γῆν τὴν ἀγαθὴν, ἀδιάφθορον εἴασεν ὁ ἐχθρὸς, διὰ τὸ καθεύδειν καὶ ῥᾳθυμεῖν ἡμᾶς. Ἀγρὸς οὖν, ὁ κόσμος, ἢ ἡ ἑκάστου ψυχή. Ὁ σπείρας, ὁ Χριστός. Καλὸν σπέρμα, οἱ ἀγαθοὶ ἄνθρωποι ἢ λογισμοί. Ζιζάνια, αἱ αἱρέσεις ἢ οἱ πονηροὶ λογισμοί. Ὁ σπείρας δὲ ταῦτα, ὁ διάβολος. Καθεύδοντες δὲ ἄνθρωποι, οἱ διὰ ῥᾳθυμίαν χώραν διδόν-

τας τοῖς αἱρετικοῖς καὶ τοῖς πονηροῖς λογισμοῖς. Δοῦλοι δὲ, οἱ ἄγγελοι, οἳ ἀγανακτοῦσιν ἐπὶ τῷ εἶναι αἱρέσεις, ἢ πονηρίας ἐν τῇ ψυχῇ, καὶ βούλονται ἀνασπᾷν καὶ ἐκκόπτειν ἐκ τοῦ βίου τούς τε αἱρετικοὺς καὶ τοὺς τὰ πονηρὰ λογιζομένους. Ὁ Θεὸς οὐ συγχωρεῖ τοὺς αἱρετικοὺς διὰ πολέμων ἀναλίσκεσθαι, ἵνα μὴ συμπάσχωσι καὶ συν[αν]αλίσκωνται καὶ οἱ δίκαιοι. Ὁμοίως οὐδὲ διὰ τοὺς πονηροὺς λογισμοὺς θέλει ὁ Θεὸς ἐκκόπτειν τὸν ἄνθρωπον, ἵνα μὴ καὶ ὁ σῖτος συνδιαφθαρῇ. Οἷον ἐὰν ὁ Ματθαῖος ζιζάνιον ὢν ἐκόπη ἐκ τῆς ζωῆς, συνεξεκόπη ἂν αὐτῷ καὶ ὁ ὕστερον μέλλων ἐξ αὐτοῦ βλαστῆσαι τοῦ λόγου σῖτος· ὁμοίως καὶ ὁ Παῦλος, καὶ ὁ λῃστής· οὗτοι γὰρ ζιζάνια ὄντες, οὐκ ἐξεκόπησαν, ἀλλὰ συνεχωρήθησαν ζῆν, ἵνα αὐξηθῇ ἡ μετὰ ταῦτα αὐτῶν ἀρετή. Λέγει τοίνυν τοῖς ἀγγέλοις, ὅτι, Ἐν τῇ συντελείᾳ, τότε συνάξετε τὰ ζιζάνια, ἤτοι τοὺς αἱρετικούς. Ἀλλὰ πῶς; Εἰς δέσμας, τουτέστι, δήσαντες αὐτῶν χεῖρας καὶ πόδας· οὐκ ἔτι γὰρ δύναταί τις ἐργάσασθαι τότε, ἀλλὰ πᾶσα πρακτικὴ δύναμις δεσμεῖται. Ὁ δὲ σῖτος, ἤτοι οἱ ἅγιοι, συνάγονται παρὰ τῶν θεριστῶν ἀγγέλων εἰς τὰς οὐρανίους ἀποθήκας. Ὁμοίως οὖν καὶ οἱ πονηροὶ λογισμοὶ οὓς εἶχεν ὁ Παῦλος ὅταν ἐδίωκεν, ἐκαύθησαν τῷ πυρὶ τοῦ Χριστοῦ, ὃ ἦλθε βαλεῖν ἐπὶ τῆς γῆς, ὁ δὲ σῖτος, ἤτοι οἱ ἀγαθοὶ λογισμοὶ, συνήχθησαν εἰς τὰς ἀποθήκας τῆς Ἐκκλησίας.

« Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ· ὃ μικρότερον μέν ἐστιν πάντων τῶν σπερμάτων. Ὅταν δὲ αὐξηθῇ, μεῖζον πάντων τῶν λαχάνων ἐστὶ, καὶ γίνεται δένδρον, ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ. » Κόκκος σινάπεως, τὸ κήρυγμα, καὶ οἱ ἀπόστολοι· ὀλίγοι γὰρ δοκοῦντες οὗτοι, τὴν οἰκουμένην ὅλην περιέλαβον· ὥστε τὰ πετεινὰ τοῦ οὐρανοῦ, τουτέστι, τοὺς κούφην καὶ πτερωτὴν πρὸς τὰ ἄνω ἔχοντας γνώμην, ἀναπαύεσθαι ἐν αὐτοῖς. Καὶ σὺ τοίνυν ἔσο κόκκος σινάπεως, μικρὸς μὲν τὸ φαινόμενον (οὐ γὰρ δεῖ θεατρίζειν τὴν ἀρετὴν), θερμὸς δὲ καὶ ζηλωτὴς καὶ δριμὺς καὶ ἐλεγκτικός· οὕτω γὰρ γενήσῃ μείζων τῶν λαχάνων, τουτέστι, τῶν ἀσθενῶν καὶ οὐ τελείων, τέλειος αὐτὸς ὤν, ὥστε καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, τουτέστι, τοὺς ἀγγέλους, ἐν σοὶ ἀναπαύεσθαι ἀγγελικὴν ζῶντι ζωήν. Χαίρουσι γὰρ καὶ οὗτοι ἐπὶ τοῖς δικαίοις.

« Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. » Ζύμην τοὺς ἀποστόλους λέγει, ὥσπερ καὶ κόκκον σινάπεως. Ὥσπερ οὖν ἡ ζύμη, μικρὰ οὖσα, ὅλον τὸ ἄλευρον εἰς ἑαυτὴν μεταποιεῖ, οὕτω καὶ ὑμεῖς ὅλον τὸν κόσμον μεταποιήσετε, κἂν ὀλίγοι ἐστέ. Σάτον δὲ, μέτρον τι ἦν παρὰ τοῖς Ἰουδαίοις, ὥσπερ καὶ ἡμεῖς ἔχομεν, λόγου χάριν, χοίνικας ἢ δεκάλιτρα. Τινὲς δὲ ζύμην νοοῦσι τὸ κήρυγμα· τρία δὲ σάτα, τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις, λογικὸν, θυμικὸν καὶ ἐπιθυμητικόν· γυναῖκα δὲ, τὴν ψυχὴν,

A tem angeli, qui indignantur esse hæreses vel malitiam in animam, et volunt evellere et exscindere ex hac vita hæreticos, et mala 68 cogitantes. Deus autem non permittit hæreticos bellis consumi, ne simul patiantur et consumantur justi. Similiter neque propter malas cogitationes vult Deus exscindi hominem, ne et triticum simul corrumpatur; exempli gratia, si Matthæus excisus fuisset ex hac vita, cum esset zizanium, simul utique excisum fuisset et sermonis frumentum, quod postea ex ipso oriturum erat; similiter et Paulus, et latro. Hi enim cum zizania essent, non sunt exstirpati, sed permissi sunt vivere, ut cresceret postea illorum virtus. Dicitur igitur de angelis quod in consum-
B matione tunc congregabunt zizania, hoc est, hæreticos. Sed quomodo? In fasciculos, hoc est, ligatis eorum manibus et pedibus; non enim tunc ultra quis operari poterit, sed omnis operandi vis ligabitur. Frumentum autem, sancti videlicet, a messoribus angelis congregabitur in cœlestia horrea. Igitur similiter malæ cogitationes quas habuit Paulus, quando persequebatur, exustæ sunt igne Christi, quem venit in terram mittere: frumentum autem, id est, bonæ cogitationes, congregatæ sunt in horrea Ecclesiæ.

Vers. 31, 32. « Aliam parabolam adjecit eis, dicens: Simile est regnum cœlorum grano sinapis, quod accepit homo, et seminavit in agro suo·
C quod minimum quidem est omnium seminum; quando autem creverit, maximum est inter olera, et fit arbor, adeo ut veniant volucres cœli, et nidulentur in ramis illius. » Granum sinapis, prædicatio est, et apostoli: pauci enim videntur hi, et totum orbem occupaverunt, atque ita, ut volatilia cœli, hoc est, qui levem et alatam ad cœlestia mentem habent, in eis quiescant. Et tu quoque esto granum sinapis, quod parvum quidem videtur. Non enim oportet virtutem jactare, sed fervidum se præbere et provocativum, et austere reprehendentem. Sic enim eris maximus inter olera, id est, perfectus inter infirmos et imperfectos, ita ut volatilia cœli, hoc est, angeli, habitent in te, ange-
D licam ducente vitam. Gaudent enim illi in justis.

Vers. 33. « Aliam parabolam dixit eis: Simile est regnum cœlorum fermento quod acceptum mulier abscondit in farinæ satis tribus, donec fermentatum est totum. » Fermentum dicit apostolos, sicut et granum sinapis. Sicut enim fermentum, cum parvum sit, totam farinam in se transfert, sic et vos totum mundum transformabitis, tametsi pauci sitis. Satum autem erat mensura Hebræorum, sicut apud nos est, ut exempli causa dicam, modus vel decalitra Aliqui autem per fermentum intelligunt prædicationem; per tria autem sata tres animæ vires, rationalem, concupiscibilem et irascibilem;

per mulierem vero, animam quæ prædicationem in A omnibus suis facultatibus recondit, commiscet, fermentat, seque totam per illam sanctificat. Oportet enim nos omnino fermentari et transformari in divina. 69 Dicit enim, donec fermentetur totum.

VERS. 34, 35. « Hæc omnia locutus est Jesus per parabolas ad turbas, et sine parabolis nihil locutus est illis, ut compleretur quod dictum fuerat per prophetam qui ait · Aperiam in parabolis os meum, eructabo abscondita a constitutione mundi. » Adducit prophetam prædicentem quomodo docturus erat Jesus, et in parabolis, ne tu putes Christum invenisse novum quemdam docendi modum. Particula autem Ut, non est causæ, sed eventus significativa. Non enim docuit eo modo Jesus ut impleatur prophetia: B sed quia ipse per parabolas docuit, ex effectu impleta est in ipso prophetia. Absque autem parabola non loquebatur eis, tunc solum : non enim semper in parabolis loquebatur. Eructavit autem Dominus quæ abscondita erant a constitutione mundi. Ipse enim manifestavit nobis mysteria quæ in cœlis sunt.

VERS. 36. « Tunc relictis turbis venit in domum Jesus. » Tunc reliquit turbas, cum nihil prodesset doctrina. Ipse enim in parabolis loquebatur, ut eum interrogarent : contra illi non curabant, neque discere quærebant, unde ab eo merito relicti sunt. « Et accesserunt ad eum discipuli ejus, dicentes : Dic nobis parabolam zizaniorum agri. » De hac sola rogant, aliæ manifestiores eis videban- C tur. Zizania autem dicuntur, quæ inter fruges pullulant etiam nociva, utpote lolium, vicia, bromium, et cætera.

VERS. 37-42. « At ille respondens dixit illis : Qui seminat bonum semen, est Filius hominis : ager autem, est mundus. Porro bonum semen, sunt filii regni : zizania vero, sunt filii illius mali: inimicus qui seminat ea, est diabolus: messis vero, consummatio sæculi est : messores autem angeli sunt. Sicut igitur colliguntur zizania, et igni comburuntur: sic erit in consummatione sæculi hujus. Mittet Filius hominis angelos suos, et colligent e regno illius omnia offendicula, et eos qui patrant iniquitatem, ac mittent illos in caminum ignis: ibi erit ploratus, stridorque dentium. » Supra hæc D dicta sunt, quæ hic dicenda. Dicebamus enim quod de hæresibus accipiat, quæ permittuntur esse usque ad consummationem sæculi. Nam si exscinderemus et occideremus hæreticos, seditiones fierent et pugnæ; et forte etiam multi fidelium in seditionibus perirent : quoniam et Paulus et latro habuerunt olim zizania priusquam crediderunt : non execta autem sunt tunc propter futuram frugem. Postea autem fructum attulerunt Deo. Zizania vero Spiritus sancti igne combusta sunt et fervore.

A τὴν τὸ κήρυγμα καταχρύψασαν ἐν πάσαις ταῖς αὐτῆς δυνάμεσι, καὶ συναναχραθεῖσαν, καὶ ζυμωθεῖσαν, καὶ ἁγιασθεῖσαν ὑπ' αὐτοῦ ὅλην· δεῖ γὰρ ἡμᾶς ὅλαυς ζυμοῦσθαι καὶ μεταποιεῖσθαι πρὸς τὸ θειότερον. Φησὶ γὰρ, ἕως οὗ ἐζυμώθη ὅλον.

« Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος· Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου. » Παράγει τὸν προφήτην προαναφωνοῦντα, πῶς ἔμελλε διδάσκειν ὁ Ἰησοῦς, καὶ ὅτι ἐν παραβολαῖς, ἵνα μὴ νομίσῃς σὺ, ὅτι ὁ Χριστὸς καινόν τινα διδασκαλίας τρόπον ἐξεῦρε. Τὸ δὲ, Ὅπως, μὴ αἰτιολογικῶς λάβῃς, ἀλλ' ἐκ τῆς B ἐκβάσεως τοῦ πράγματος. Οὐ γὰρ ἐδίδασκεν ὁ Χριστὸς τοιουτοτρόπως, ἵνα πληρωθῇ ἡ προφητεία, ἀλλὰ διότι ἐδίδασκεν ἐν παραβολαῖς, ἐξ ἀποτελέσματος εὑρίσκεται ἐπ' αὐτῷ πληρωθὲν τὸ τοῦ προφήτου. Χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, τότε μόνον· οὐ γὰρ δὴ πάντοτε ἐν παραβολαῖς ἐλάλει. Ἠρεύξατο δὲ ὁ Κύριος ἃ ἐκρύπτοντο ἀπὸ καταβολῆς κόσμου. Αὐτὸς φὰρ ἐφανέρωσεν ἡμῖν τὰ ἐν οὐρανοῖς μυστήρια.

« Τότε ἀφεὶς τοὺς ὄχλους, ἦλθεν εἰς τὴν οἰκίαν ὁ Ἰησοῦς. » Ἀφῆκε τοὺς ὄχλους τότε, ὅτε οὐδὲν ὠφελοῦντο ἀπὸ τῆς διδασκαλίας. Αὐτὸς μὲν γὰρ ἐν παραβολαῖς ἔλεγεν, ὡς ἂν ἐρωτήσωσιν αὐτόν· ἐκεῖνοι δὲ οὐ φροντίσαντες τούτου, οὐδὲ ζητήσαντές τι μαθεῖν, εἰκότως ἀφίενται παρ αὐτοῦ. « Καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Φράσον C ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ. » Περὶ ταύτης μόνης ἐρωτῶσιν, ὡς τῶν ἄλλων σαφεστέρων νομιζομένων αὐτοῖς. Ζιζάνια δέ εἰσι πάντα τὰ τῷ σίτῳ ἐπιφυόμενα φθαρτικὰ, αἶρα, ὄροβος, βρώμιον, καὶ τἄλλα.

« Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς. Ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ Υἱὸς τοῦ ἀνθρώπου· ὁ δὲ ἀγρὸς ἐστὶν ὁ κόσμος. Τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας. Τὰ δὲ ζιζάνια, εἰσὶν οἱ υἱοὶ του πονηροῦ· ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτὰ, ἐστὶν ὁ διάβολος· ὁ δὲ θερισμὸς ἡ συντέλεια τοῦ αἰῶνός ἐστιν· οἱ δὲ θερισταὶ οἱ ἄγγελοι εἰσιν. Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια καὶ πυρὶ καίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου· ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ D τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον του πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. » Ὅσα ἔδει ῥηθῆναι, ἀνωτέρω εἴρηται. Εἴπομεν γὰρ ὅτι περὶ τῶν αἱρέσεων ἐνταῦθα διαλαμβάνει, αἵτινες συγχωροῦνται εἶναι ἄχρι τῆς συντελείας. Εἰ γὰρ φονεύοιμεν τοὺς αἱρετικοὺς καὶ ἐκκόπτοιμεν, στάσεις ἔσονται καὶ μάχαι, καὶ τάχα καὶ τῶν πιστῶν πολλοὶ διαφθαρήσονται ἐν ταῖς στάσεσιν· ἀλλὰ καὶ ὁ Παῦλος καὶ ὁ ληστὴς ζιζάνια εἶχον πρὶν ἢ πιστεῦσαι· οὐκ ἐξεκόπησαν οὖν τότε, διὰ τὸν μέλλοντα βλαστῆσαι ἐν αὐτοῖς σῖτον, ὕστερον γὰρ ἐκαρποφόρησαν τῷ Θεῷ· τὰ δὲ ζιζάνια, τῷ πυρὶ τοῦ Πνεύματος καὶ τῇ ζέσει κατέκαυσαν.

« Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. » Ἐπεὶ ὁ ἥλιος δοκεῖ ἡμῖν πάντων τῶν ἀστέρων λαμπρότατος, διὰ τοῦτο συγκρίνει πρὸς τὸν ἥλιον τὴν τῶν δικαίων λαμπρότητα. Ἐπεὶ καὶ ὑπὲρ τὸν ἥλιον λάμψουσι· μήποτε δὲ ἐπειδὴ Ἥλιος δικαιοσύνης ἐστὶν ὁ Χριστὸς, τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ Χριστός· ἔσονται γὰρ καὶ αὐτοὶ θεοί.

VERS. 43. « Tunc justi fulgebunt sicut sol in regno Patris sui Qui habet aures audiendi, audiat. » Quoniam sol videtur nobis omnibus stellis fulgentior, propterea comparat soli justorum claritatem. Nam et super solem fulgebunt, fortasse autem, quia Sol justitiæ Christus. Tunc justi fulgebunt ut Christus. Erunt enim et ipsi dii.

« Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει, πάντα ὅσα ἔχει πωλεῖ, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον. Ἀγρὸς ὁ κόσμος, θησαυρὸς τὸ κήρυγμα καὶ ἡ γνῶσις τοῦ Χριστοῦ. Κέκρυπται δὲ ἐν τῷ κόσμῳ. Σοφίαν γὰρ, φησὶν ὁ Παῦλος, κηρύττομεν τὴν ἀποκεκρυμμένην· ὁ δὲ ζητῶν τὴν τοῦ Θεοῦ γνῶσιν, εὑρίσκει αὐτήν· καὶ πάντα ὅσα ἔχει, εἴτε δόγματα ἑλληνικὰ, εἴτε ἤθη πονηρὰ, εἴτε χρήματα, ῥίπτει εὐθέως, καὶ ἀγοράζει τὸν ἀγρὸν, τουτέστι, τὸν κόσμον· κτῆμα γὰρ ἴδιον ἔχει τὸν κόσμον, ὁ τὴν γνῶσιν τοῦ Χριστοῦ ἔχων· οὐδὲν γὰρ ἔχων, τὰ πάντα κατέχει, καὶ δοῦλα ἔχει τὰ στοιχεῖα, ἐπιτάττων αὐτοῖς ὡς ὁ Ἰησοῦς, ὡς Μωσῆς.

VERS. 44. « Iterum simile est regnum cœlorum thesauro in agro abscondito, quem homo qui invenit, abscondit, et præ gaudio illius vadit et vendit universa quæ habet, et emit agrum illum. » Ager, mundus : thesaurus, prædicatio et scientia Christi. Occultus est autem in mundo. Sapientiam enim, inquit Paulus, prædicamus absconditam. Quærens autem scientiam Dei, invenit eam : et omnia quæ habet, sive gentilia dogmata, sive malos mores, sive divitias, abjicit statim, et vendit agrum, id est, mundum. Nam qui scientiam habet Christi, possessionem propriam habet mundum; nihil enim habens, omnia possidet, et elementa ei serviunt, et imperat illis, sicut et Jesus et Moyses.

« Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας, ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακε πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν. » Θάλασσα, ὁ παρὼν βίος. Ἔμποροι, οἱ διὰ τούτου διερχόμενοι καὶ ζητοῦντες γνῶσίν τινα εὑρεῖν. Πολλοὶ μὲν οὖν δοκοῦσι μαργαρῖται, αἱ τῶν πολλῶν σοφῶν δόξαι· εἷς δὲ ὁ πολύτιμος. Μία γὰρ ἡ ἀλήθεια, ἥτις ἐστὶν ὁ Χριστός. Ὥσπερ οὖν ὁ μαργαρίτης ἱστορεῖται γεννᾶσθαι ἐν ὀστρέῳ, ᾧπερ ἀνοίγοντι τὰς πτύχας, ἐνσκήπτει ἀστραπή· εἶτα πάλιν συγκλείοντος ταύτας, ἐκ τῆς ἀστραπῆς καὶ τῆς δρόσου συλλαμβάνεται ὁ μαργαρίτης, καὶ διὰ τοῦτο λευκότατός ἐστιν· οὕτω καὶ ὁ Χριστὸς ἐν τῇ Παρθένῳ συνελήφθη ἐξ ἀστραπῆς τῆς ἄνωθεν, τοῦ ἁγίου Πνεύματος· καὶ ὥσπερ ὁ μαργαρίτην ἔχων, πολλάκις κατέχων τοῦτον ἐν τῇ χειρὶ, αὐτὸς μὲν οἶδε πόσον πλοῦτον ἔχει, ἄλλοι δὲ ἀγνοοῦσιν· οὕτω καὶ τὸ κήρυγμα ἐν τοῖς ἀφανέσι καὶ εὐτελέσι κρύπτεται. Δεῖ οὖν τοῦτον τὸν μαργαρίτην κτᾶσθαι, πάντα διδόντας.

VERS. 45, 46. « Iterum simile est regnum cœlorum homini negotiatori quærenti bonas margaritas, qui cum invenit unam presiosam margaritam, abiens vendidit omnia quæ possidebat, et mercatus est illam. » Mare est præsens vita. Negotiatores, qui per hanc ambulant et quærunt scientiam quamdam invenire Multæ enim margaritæ, multorum sapientum opiniones. Una autem pretiosa, una est veritas, quæ scilicet Christus est. Igitur sicut de margarita traditur quod in concha nascatur, quæ se aperit tempore fulgoris, et dein iterum claudit. concipitur itaque tum ex fulgore et rore, proptereaque candida est : sic et Christus in Virgine conceptus est, ex superno fulgore, Spiritus sancti scilicet. Et sicut sæpe margaritam tenens in manu, ipse scit quantas habeat divitias, alii autem ignorant: ita et prædicatio in obscuris et simplicibus abscondita est. Docet igitur ut datis omnibus margaritam hanc possideamus.

« Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν καὶ ἐκ παντὸς γένους συναγωγούσῃ, ἣν ὅτε ἐπληρώθη ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλὸν, καὶ καθίσαντες, συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον· οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. Ἐξελεύσονται οἱ ἄγγελοι, καὶ ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. » Φοβερὰ αὕτη ἡ παραβολή. δείκνυσι γὰρ ὅτι κἂν πιστεύωμεν, μὴ ἔχωμεν δὲ βίον ἀγαθὸν, εἰς τὸ πῦρ ῥιφησόμεθα· σαγήνη μὲν γὰρ ἡ διδασκαλία τῶν ἁλιέων ἀποστόλων, ἣ ἐπλάκη ἀπό τε σημείων καὶ μαρτυριῶν προφητικῶν. Ἃ γὰρ ἐδίδασκον οἱ ἀπό-

VERS. 47-50. « Iterum simile est regnum cœlorum sagenæ, quæ in mare missa ex omni genere congregavit, quam ut impleta fuisset subducentes ad littus, et sedentes collegerunt quæ bona sunt, in vasa : quæ vero mala, foras ejecerunt. Sic erit in consummatione sæculi. Exibunt angeli, et separabunt malos de medio justorum, et mittent eos in caminum ignis, ibi erit fletus et stridor dentium. » Terribilis est hæc parabola; ostendit enim quod licet credamus, non habeamus autem vitam bonam, in ignem projiciemur. Sagena quidem est doctrina piscatorum apostolorum, quæ ex miraculis et testimoniis prophetarum connexa est. Quæ enim docebant apostoli, firmabant miraculis, et

prophetarum vocibus. Hæc igitur sagena ex omni genere congregavit, Barbaros, Græcos, Judæos, meretrices, publicanos, latrones. Quando autem impleta fuerit, hoc est, consummabitur mundus, tunc qui in sagena fuerint, discernentur. Nam licet crediderimus, inventi 71 autem fuerimus mali, abjiciemur. Qui autem non tales, in vasa mittentur, æterna tabernacula dico. Omne autem opus, sive bonum, sive malum, cibus dicitur esse animæ. Habet enim anima spirituales dentes. Tunc autem anima striderit illis, hoc est, operativas suas virtutes conteret eo quod hæc fecerit.

VERS. 51, 52. «Dicit illis Jesus; Intellexistis hæc omnia? Dicunt illi : Etiam, Domine. At ille dixit illis: Propterea omnis scriba doctus ad regnum cœlorum, similis est patrifamilias, qui depromit de thesauro suo nova et vetera. » Vidisti quomodo parabolæ attentiores eos fecerint? Ecce igitur qui alias insipientes. et imperiti, intelligunt ea quæ oblique dicta. Unde laudans eos Salvator, dicit, Omnis scriba, etc. Scribas enim vocat eos, ut doctos in lege, et licet docti essent in lege, non manserunt tamen in lege, sed docti sunt ad regnum, hoc est. Christi scientiam, et possunt proferre ea quæ ex novo et quæ ex veteri. Paterfamilias igitur Christus ut dives. In ipso enim thesauri sunt scientiæ, qui nova docens, ex veteri subjungebat testimonia : exempli gratia dixerat. Pro otioso sermone rationem reddes, hoc enim novum : Deinde addidit testimonium. Ex sermonibus enim tuis justificaberis, et condemnaberis, hoc vetus. In hoc similes apostoli, qualis Paulus. Imitatores, inquit, mei estote, sicut et ego Christi [18].

VERS. 53, 54. « Et factum est, ut cum finisset Jesus parabolas has, digrederetur illinc. Et cum venisset in patriam suam, docebat eos in synagoga illorum. » Has dixit parabolas, quoniam et alias paulo post dicturus erat. Transit autem, ut et aliis sua præsentia prosit. Patriam autem illius Nazareth intellige : nam in ista educatus est. Cæterum in synagoga docet publice et libere, ne dicere postea possint quod quædam a lege diversa docuerit.

VERS. 54-57. « Ita ut stuperent, ac dicerent. Unde huic sapientia hæc et virtutes? nonne hic est ille fabri filius? nonne mater ejus vocatur Maria, et fratres ejus Jacobus, et Joses, et Simon, et Judas? et sorores ejus nonne omnes apud nos sunt? Unde igitur huic hæc omnia? et offerdebantur super eo.» Insipientes erant Nazareni; existimabant enim ignobilitatem et obscuritatem majorum in causa esse quo minus quis Deo placeat. Esto enim quod humilis homo fuerit Jesus, an non et Deus? Quid obstaret magnum illum in miraculis fieri?

A στολοι, ἐδεδαίουν τοῖς τε θαύμασι, καὶ ταῖς τῶν προφητῶν φωναῖς. Αὕτη τοίνυν ἡ σαγήνη, ἐκ παντὸς γένους συνέλαδε, Βαρδάρους, Ἕλληνας, Ἰουδαίους, πόρνας, τελώνας, λῃστάς. Ὅτε δὲ ἐπληρώθη, τουτέστιν, ὅταν συντελεσθῇ ὁ κόσμος, τότε οἱ ἐν τῇ σαγήνῃ διακρίνονται. Κἂν γὰρ ἐπιστεύσαμεν, εὑρεθῶμεν δὲ σαπροί, ῥιπτόμεθα· οἱ δὲ μὴ τοιοῦτοι, εἰς ἀγγεῖα βάλλονται, λέγω δὴ τὰς αἰωνίους σκηνάς. Πᾶσα δὲ πρᾶξις εἴτε ἀγαθή, εἴτε πονηρὰ, βρῶμα λέγεται εἶναι τῆς ψυχῆς. Ἔχει γὰρ ὀδόντας νοητοὺς καὶ ἡ ψυχή. Τότε οὖν ἡ ψυχὴ βρύχει τούτους, ἤτοι τὰς πρακτικὰς αὐτῆς δυνάμεις συντριδομένη, διότι τοιαῦτα ἔπραξεν.

« Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Συνήκατε ταῦτα B πάντα ; Λέγουσι αὐτῷ· Ναὶ, Κύριε, Ὁ δὲ εἶπεν αὐτοῖς· Διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκδάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. » Εἶδες πῶς αἱ παραδολαὶ προσεκτικωτέρους αὐτοὺς ἐποίησαν ; Ἰδοὺ γοῦν οἱ ἄλλως ἀνόητοι καὶ ἀμαθεῖς, συνῆκαν τὰ δυσκόλως εἰρημένα. Ὅθεν ἐπαινῶν αὐτοὺς ὁ Σωτὴρ, φησὶν, ὅτι Πᾶς γραμματεὺς, καὶ τὰ ἑξῆς. Γραμματέας γὰρ λέγει αὐτοὺς, ὡς νομομαθεῖς, ἀλλ' εἰ καὶ νομομαθεῖς ἦσαν, οὐκ ἐναπέμειναν τῷ νόμῳ, ἀλλ' ἐμαθητεύθησαν εἰς τὴν βασιλείαν, τουτέστιν, εἰς τὴν τοῦ Χριστοῦ γνῶσιν, καὶ δύναται προφέρειν τά τε τῆς καινῆς καὶ τῆς παλαιᾶς. Οἰκοδεσπότης οὖν ὁ Χριστὸς, ὡς πλούσιος. Ἐν αὐτῷ γὰρ οἱ τῆς σοφίας θη- C σαυροί. Ὃς τὰ καινὰ διδάσκων, εἶθ' οὕτως ἔφερε μαρτυρίας ἀπὸ τῆς παλαιᾶς, οἷον εἶπεν, ὅτι καὶ ὑπὲρ ἀργοῦ λόγου εὐθυνθήσῃ, τοῦτο τὸ καινόν. Εἶτα ἐπήγαγε μαρτυρίαν. Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ κατακριθήσῃ, τοῦτο τὸ παλαιόν. Τούτῳ γοῦν ὅμοιοι οἱ ἀπόστολοι, οἷος ὁ Παῦλος, λέγων· Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

« Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραδολὰς ταύτας, μετῆρεν ἐκεῖθεν. Καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν. » Ταύτας εἶπε τὰς παραδολὰς, ἐπειδὴ καὶ ἄλλας μετ' ὀλίγον μέλλει ἐρεῖν. Μεταδαίνει δὲ, ἵνα καὶ ἄλλους ὠφελήσῃ τῇ παρουσίᾳ αὐτοῦ. Πατρίδα δὲ αὐτοῦ, τὴν Ναζαρὲτ νόει· ἐν αὐτῇ γὰρ ἐτράφη. D Ἐν τῇ συναγωγῇ δὲ διδάσκει, ἐν κοινῷ καὶ παῤῥησίᾳ λέγων, ἵνα μὴ ἔχωσιν ὕστερον λέγειν, ὅτι παράνομά τινα ἐδίδαξεν.

« Ὥστε ἐκπλήττεσθαι αὐτοὺς, καὶ λέγειν· Πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις ; Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός ; Οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος, καὶ Ἰωσῆς, καὶ Σίμων, καὶ Ἰούδας ; Καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσι ; Πόθεν οὖν τούτῳ ταῦτα πάντα ; Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. » Ἀνόητοι ὄντες οἱ Ναζαρηνοὶ, ἐνόμιζον ὅτι ἡ δυσγένεια καὶ ἡ εὐτέλεια τῶν προγόνων, βλάπτει τινὰ πρὸς τὸ εὐαρεστῆσαι τῷ Θεῷ. Ἔστω γὰρ, ὅτι ἄνθρωπος ψιλὸς ἦν ὁ Ἰησοῦς, ἀλλ' οὐχὶ Θεός· τί ἐνεπόδιζεν

[18] I Cor. IV, 16.

αὐτὸν μέγαν ἐν θαύμασι γενέσθαι; Εὑρίσκονται A οὖν καὶ ἀνόητοι καὶ φθονεροί. Ἔδει γὰρ αὐτοὺς ἐγκαλλωπίζεσθαι μᾶλλον, ὅτι τοιοῦτον ἡ πατρὶς αὐτῶν ἀγαθὸν ἐξήνεγκεν. Ἀδελφοὺς δὲ καὶ ἀδελφὰς εἶχεν ὁ Κύριος, τοὺς τοῦ Ἰωσὴφ παῖδας, οὓς ἔτεκεν ἐκ τῆς τοῦ ἀδελφοῦ αὐτοῦ Κλοπᾶ γυναικός· τοῦ γὰρ Κλοπᾶ ἄπαιδος τελευτήσαντος, ὁ Ἰωσὴφ ἔλαβε κατὰ τὸν νόμον τὴν γυναῖκα αὐτοῦ, καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς παῖδας ἕξ, τέσσαρας ἄῤῥενας, καὶ δύο θηλείας, τὴν Μαρίαν, ἣ ἐλέγετο τοῦ Κλοπᾶ θυγάτηρ κατὰ τὸν νόμον, καὶ τὴν Σαλώμην. Τὸ δὲ, πρὸς ἡμᾶς εἰσιν, ἀντὶ τοῦ, μεθ' ἡμῶν ὧδε κατοικοῦσιν, Ἐσκανδαλίζοντο οὖν καὶ οὗτοι ἐν τῷ Ἰησοῦ, τάχα λέγοντες καὶ αὐτοὶ, ὅτι ἐν Βεελζεβοὺλ ἐκβάλλεν τὰ δαιμόνια.

« Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ ἔστι προφήτης B ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς, διὰ τὴν ἀπιστίαν αὐτῶν. » Ὅρα τὸν Χριστὸν, πῶς οὐχ ὑβρίζει αὐτοὺς, ἀλλὰ πρᾴως φησὶν ὅτι, Οὐκ ἔστι προφήτης ἄτιμος, καὶ τὰ ἑξῆς. Εἰώθαμεν γὰρ οἱ ἄνθρωποι, τῶν ἐν συνηθείᾳ ἀεὶ καταφρονεῖν· τὰ δὲ ξένα ἀσπάζεσθαι. Τὸ δὲ ἐν τῇ οἰκίᾳ αὐτοῦ προσέθηκε, διότι καὶ οἱ ἀδελφοὶ αὐτοῦ, οἱ ἐκ τῆς αὐτῆς οἰκίας, ἐφθόνουν αὐτῷ. Οὐκ ἐποίησε δὲ ἐκεῖ δυνάμεις πολλὰς, διὰ τὴν ἀπιστίαν αὐτῶν, φειδόμενος αὐτῶν, ἵνα μὴ καὶ μετὰ τὰ σημεῖα ἄπιστοι μείναντες, πλεῖον κολασθῶσι. Πολλὰ μὲν οὖν οὐκ ἐποίησεν, ὀλίγα δ' ἄν, ἵνα μὴ ἔχωσι λέγειν, ὅτι· Εἰ ὅλως ἐποίησεν, ἐπιστεύσαμεν ἄν. Σὺ δὲ νόησον καὶ οὕτως, ὅτι καὶ μέχρι τῆς σήμερον ὁ Ἰησοῦς ἐν τῇ πατρίδι αὐτοῦ, τουτέστι παρὰ τοῖς Ἰουδαίοις, ἀτιμάζεται· ἡμεῖς δὲ οἱ ξένοι τιμῶμεν αὐτόν.

## ΚΕΦΑΛ. ΙΔ'.

Περὶ Ἰωάννου καὶ Ἡρῴδου. Περὶ τῶν ε' ἄρτων καὶ τῶν β' ἰχθύων. Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου τοῦ Ἰησοῦ.

« Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· Οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. » Οὗτος ὁ Ἡρῴδης υἱὸς ἦν τοῦ τὰ βρέφη ἐν Βηθλεὲμ ἀποκτείναντος. Ἐννόησον δὲ ἐντεῦθεν τὸν τῦφον τοῦ τυραννικοῦ βίου. Ἰδοὺ γὰρ μετὰ πόσον χρόνον ὁ Ἡρῴδης ἀκούει τὰ περὶ Ἰησοῦ. Οἱ γὰρ ἐν δυναστείαις βραδέως ταῦτα μανθάνουσι, διὰ D τὸ μὴ φροντίζειν τῶν ἐν ἀρετῇ λαμπόντων. Φαίνεται δὲ φοβεῖσθαι τὸν Βαπτιστὴν οὗτος. Διὰ τοῦτο οὐδὲ ἄλλοις τισὶ τολμᾷ ἐξειπεῖν, ἀλλὰ τοῖς παισὶ, τουτέστι τοῖς δούλοις. Ἐπεὶ δὲ ὅτε ἔζη ὁ Ἰωάννης σημεῖον οὐκ ἐποίησεν, ἐνόμισεν ὁ Ἡρῴδης ὅτι ἐκ τῆς ἀναστάσεως προσέλαβε καὶ τοῦτο τὸ χάρισμα παρὰ Θεοῦ, τὸ ποιεῖν θαύματα.

« Ὁ γὰρ Ἡρῴδης, κρατήσας τὸν Ἰωάννην, ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης, Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν, καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβεῖτο τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. » Οὐκ ἐμνήσθη ἐν τοῖς προ-

Comprobantur igitur et invidi et insipientes. Oportebat sane magis eos gloriari, quod tantum bonum patria eorum protulerit. Fratres autem habuit Dominus et sorores, Joseph filios, quos genuit ex uxore fratris sui Clopæ. Mortuo enim absque liberis Clopa, Joseph juxta legem uxorem ejus accepit, et pueros procreavit sex, quatuor mares, et duas feminas. Mariam quæ dicebatur Clopæ filia secundum legem, et Salomen. Apud nos sunt, hoc est, nobiscum habitant. Offendebantur igitur et illi super Jesu. Fortassis enim ipsi dicebant quod in Beelzebub ejiceret dæmonia.

VERS. 57-58. Jesus autem dixit illis : Non est propheta honoris expers, nisi in patria sua et in domo sua. Et non fecit illic virtutes multas, propter incredulitatem illorum. » Vide Christum quomodo non injuria eos afficit, sed mansuete dicit, Nen est propheta honoris expers, etc. Solemus enim homines familiares contemnere, et externos in admiratione habere. Quod autem adjicit, in domo sua, ideo fecit, quia oderant eum et fratres sui domestici. Porro illic virtutes multas non fecit, propter incredulitatem illorum parcens eis, ne post signa increduli manentes, gravius punirentur. Multa igitur non fecit, pauca autem fecit : ne possent dicere quod si ulla fecisset, credidis- C semus. Tu autem sic quoque intellige, quod et hodie Jesus in patria sua, hoc est apud Judæos, ignominiosus est : nos autem exteri illum veneramur.

## CAPUT XIV.

*De Joanne et Herode. De quinque panibus et duobus piscibus. De ambulatione Christi supra mare.*

VERS. 1, 2. «In illo tempore audivit Herodes tetrarcha famam de Jesu, et dixit pueris suis : Hic est Joannes Baptista; ipse surrexit a mortuis, et ideo virtutes agunt in illo. » Hic Herodes erat filius ejus qui pueros in Bethleem occidit. Considera autem hinc fastum vitæ tyrannicæ. Ecce enim post quantum tempus fama de Jesu ad Herodem pervenit. Qui enim potentatu sunt præditi, tarde ista discunt, eo quod non curent eos qui virtute sunt conspicui. Apparet autem quod Baptistam timuerit, et propterea de his non aliis quam pueris, hoc est, servis, effari audet. Quoniam autem vivens Joannes signum non fecerat, putavit Herodes quod per resurrectionem acceperit etim hoc donum a Deo, ut miracula operaretur.

VERS. 3-5. « Herodes enim ceperat Joannem, et vinxerat, ac posuerat in carcere propter Herodiadem uxorem Philippi fratris sui. Dicebat enim ei Joannes : Non licet tibi habere eam. Et volens eum occidere, metuebat turbam, propterea quod illum ceu prophetam habebant. » Narrationis hujus de Joanne

in superioribus non meminit Matthæus, eo quod scopus illi erat ea duntaxat scribere quæ ad Christum spectabant. Sane nec nunc meminisset ejus, nisi et hoc ad Christum retulisset. Arguit autem Joannes 73 Herodem, ut fratris uxorem non legitime habentem. Lex enim jubebat fratris uxorem accipere tunc fratrem, quando ille absque liberis defungeretur. Hic autem Philippus non absque liberis defunctus erat. Erat enim puella quæ saltabat. Sunt autem quidam qui dicunt quod, etiam adhuc vivente Philippo, Herodes ei abstulerit et uxorem, et tetrarchiam. Sive autem hoc, sive illud erat, illicitum erat facinus. Non timebat autem Deum, sed turbam timebat, unde distulit cædem: at diabolus opportunum tempus sibi invenit.

VERS. 6-8. Cum autem celebrarentur natalia Herodis, saltabat filia Herodiadis in medio, et placuit Herodi, unde cum jurejurando pollicitus est se illi daturum quidquid peteret. At illa prius instructa a matre sua: Da mihi, inquit, hic in patina caput Joannis Baptistæ.» Vide luxum: reginas altat, et quanto pulchrius saltavit, tanto pejus. Turpe enim est reginæ, aliquid indecorum vel scite facere. Considera autem aliam insipientiam Herodis. Juravit quidquid peteret daturum se. Quod si caput tuum petisset, dedissesne illud? Da mihi, inquit hic caput Joannis. Quare opposuit Hic? Timebat ne forte Herodes resipiscens postea pœnitudine duceretur: propterea urget dicens: Da mihi hic.

VERS. 9-12. «Et indoluit rex: attamen propter jusjurandum et accumbentes jussit dari. Et cum misisset carnifices, amputavit caput Joannis in carcere, et allatum est caput ejus in patina, et datum puellæ, atque illa obtulit matri suæ. Et accesserunt discipuli ejus, et tulerunt corpus, et sepelierunt illud.» Indoluit propter virtutem. Admiratur enim virtutem et hostis, attamen propter jusjurandum dat donum inhumanum. Discamus autem hoc loco esse aliquando melius pejerare quam propter juramentum, impium aliquid facere. Sepultum autem est corpus Baptistæ in Sebaste Cæsarea. Venerabile autem ejus caput primum in Emesam repositum fuit. «Abieruntque et renuntiaverunt Jesu.» Quid annuntiant Jesu? non quod mortuus esset Joannes, nam id fama subinde attulerat, sed quod Herodes de Jesu diceret, quod Joannes esset.

VERS 13. «Id cum audisset Jesus, secessit illinc in navi ad desertum locum seorsim.» Secedit Jesus propter Herodis homicidium, docens nos quoque ne objiciamus nosipsos temere in pericula, et interim ne videatur juxta apparentiam tantum incarnatus, propterea secedit. Si enim tenuisset eum Herodes, conatus fuisset illum occidere: et si, conante hoc Herode, Jesus seipsum e mediis periculis eripuisset, eo quod nondum instabat tempus mortis,

A λαβοῦσι τοῦ κατὰ τὸν Ἰωάννην διηγήματος ὁ Ματθαῖος, διότι σκοπὸς ἦν αὐτῷ μόνα τὰ περὶ Χριστοῦ γράψαι. Καὶ γὰρ οὐδὲ νῦν ἐμνήσθη ἄν, εἰ μὴ καὶ τοῦτο εἰς Χριστὸν ἔφερεν. Ἤλεγχε δὲ ὁ Ἰωάννης τὸν Ἡρώδην, ὡς παρανόμως ἔχοντα τοῦ ἀδελφοῦ αὐτοῦ τὴν γυναῖκα· ὁ γὰρ νόμος ἐκέλευε, τὴν τοῦ ἀδελφοῦ γυναῖκα τότε λαμβάνειν τὸν ἀδελφὸν, ὅτε ἄπαις τελευτήσοι ἐκεῖνος. Ἐνταῦθα δὲ ὁ Φίλιππος, οὐκ ἄπαις ἐτελεύτησεν. Ἦν γὰρ αὐτῷ παῖς ἡ ὀρχησαμένη. Τινὲς δὲ λέγουσιν ὅτι ζῶντος ἔτι τοῦ Φιλίππου ἀφείλετο ὁ Ἡρώδης καὶ τὴν γυναῖκα καὶ τὴν τετραρχίαν. Εἴτε δὲ τοῦτο, εἴτε ἐκεῖνο, παράνομον ἦν τὸ πραχθέν. Μὴ φοβούμενος δὲ τὸν Θεὸν, τὸν ὄχλον ἐφοβεῖτο, ὅθεν καὶ ἀνεβάλλετο τοῦ φονεῦσαι,
B ἀλλ' ὁ διάβολος ἐξεῦρεν αὐτῷ καιρὸν ἐπιτήδειον.

« Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ· ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. Ἡ δὲ, προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς· Δός μοι, φησὶν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. » Ἴδε ἀσέλγειαν! Ἡ βασίλισσα ὀρχεῖται, καὶ ὅσῳ καλῶς ὀρχεῖται, τοσούτῳ κακῶς. Αἰσχύνη γὰρ βασιλίσσῃ τὸ πράττειν τι ἀπρεπὲς ἐπιδεξίως. Σκόπει δὲ καὶ ἄλλην ἀνοησίαν τοῦ Ἡρώδου, ὤμοσεν ὃ ἐὰν αἰτήσηται, δοῦναι (20)· εἰ δὲ τὴν κεφαλήν σου ᾐτήσατο, δέδωκας ἂν αὐτήν; Δός μοι, φησὶν, ὧδε τὴν κεφαλὴν Ἰωάννου. Τίνος ἕνεκεν προσέθηκε τὸ, ὧδε; Ἐφοβεῖτο, μήπως ὁ Ἡρώδης σωφρονήσας ὕστερον μεταμεληθῇ. Διὰ τοῦτο
C κατεπείγει· Δός μοι ὧδε, λέγουσα.

« Καὶ ἐλυπήθη ὁ βασιλεὺς, διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι, καὶ πέμψας, ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ, καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἦραν τὸ σῶμα καὶ ἔθαψαν αὐτό. » Ἐλυπήθη διὰ τὴν ἀρετήν. Θαυμάζει γὰρ ἀρετὴν καὶ πολέμιος· ὅμως διὰ τοὺς ὅρκους, δίδωσι δωρεὰν ἀπάνθρωπον. Μανθάνωμεν δὲ ἐντεῦθεν, ὅτι ἔστιν ὅτε κρεῖττον ἐπιορκεῖν, ἢ διὰ τοὺς ὅρκους ἀσεβές τι ποιεῖν. Ἐτάφη δὲ τὸ σῶμα τοῦ Βαπτιστοῦ ἐν τῇ Σεβαστῇ Καισαρείᾳ· ἡ δὲ τιμία αὐτοῦ κεφαλὴ, τὸ πρῶτον κατετέθη εἰς Ἔμεσαν. Καὶ ἐλθόντες
D ἀπήγγειλαν τῷ Ἰησοῦ. Τί ἀπήγγειλαν τῷ Ἰησοῦ; Οὐχ ὅτι ἀπέθανεν Ἰωάννης· τὸ γὰρ κατὰ τὸν Ἰωάννην διήγημα παρενετέθη μέσον· ἀλλ' ὅτι ὁ Ἡρώδης λέγει περὶ αὐτοῦ ὡς Ἰωάννης ἐστί.

« Καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. » Ἀναχωρεῖ ὁ Ἰησοῦς διὰ τὴν Ἡρώδου μιαιφονίαν, διδάσκων καὶ ἡμᾶς μὴ ῥίπτειν ἑαυτοὺς προφανῶς εἰς κινδύνους. Καὶ ἅμα ἵνα μὴ δόξῃ κατὰ φαντασίαν σαρκωθῆναι, διὰ τοῦτο ἀναχωρεῖ. Εἰ γὰρ ἐκράτησεν αὐτὸν ὁ Ἡρώδης, ἐπεχείρησεν ἂν ἀνελεῖν· ἐπιχειροῦντος δὲ ἀνελεῖν, ἐὰν ἐκ μέσων τῶν κινδύνων ἐξήρπασεν ἑαυτὸν ὁ Ἰησοῦς, διὰ τὸ μήπω ἐνστῆναι τὸν καιρὸν τοῦ θανάτου, ἔδοξεν ἂν φάντασμα

**Ex collation ecodd. Venet. S. Marci.**

(20) Cod. 29, Ὤμοσεν ὃ, ἐὰν ὀρχήσαιτο δεξιῶς αἰτήσαιτο δοῦναι. « **Juravit, si eleganter saltaret, quidquid petierit, daturum se,** » etc.

εἶναι, διὰ ταῦτα γοῦν ἀναχωρεῖ. Εἰς ἔρημον δὲ τόπον κατ' ἰδίαν, ἵνα θαυματουργήσῃ τὸ ἐπὶ τοῖς ἄρτοις θαῦμα.

« Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων. Καὶ ἐξελθὼν ὁ Ἰησοῦς, εἶδε πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, καὶ ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν. » Πίστιν ἐνδείκνυνται οἱ ὄχλοι, ὅπου γε καὶ ἀναχωροῦντι προστρέχουσι τῷ Ἰησοῦ. Διὸ μισθὸν τῆς πίστεως κομίζονται τὰς ἰάσεις, ἀλλὰ καὶ τὸ πεζῇ ἀκολουθῆσαι, καὶ τὸ χωρὶς τροφῆς, πάντα ταῦτα πίστεως.

« Ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ἔρημος ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας, ἀγοράσωσιν ἑαυτοῖς βρώματα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. » Φιλάνθρωποί εἰσιν οἱ μαθηταί, κήδονται γὰρ τοῦ ὄχλου, καὶ διὰ τοῦτο οὐ θέλουσι νήστεις αὐτοὺς εἶναι. Τί οὖν ὁ Σωτήρ; Δότε, φησὶν, αὐτοῖς ὑμεῖς φαγεῖν. Τοῦτο δὲ λέγει, οὐχ ὡς ἀγνοῶν ὅσην πενίαν εἶχον οἱ ἀπόστολοι, ἄπαγε, ἀλλ' ἵνα εἰπόντων ἐκείνων, ὅτι Οὐκ ἔχομεν, δόξῃ ἐξ ἀνάγκης ἐλθεῖν ἐπὶ τὸ θαυματουργῆσαι, καὶ οὐ κατὰ φιλοδοξίαν.

« Οἱ δὲ λέγουσιν αὐτῷ· Οὐκ ἔχομεν ὧδε, εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. Ὁ δὲ εἶπε· Φέρετέ μοι αὐτοὺς ὧδε. Καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε. » Φέρετέ μοι τοὺς ἄρτους ὧδε· εἰ γὰρ καὶ ὀψία ἐστὶν, ἀλλ' ὁ τῶν ὡρῶν Ποιητὴς πάρειμι· εἰ ἔρημος ὁ τόπος, ἀλλ' ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ ἐγώ εἰμι. Μανθάνομεν δὲ ἐντεῦθεν ὅτι κἂν ὀλίγα ἔχωμεν, δεῖ ταῦτα εἰς τὴν φιλοξενίαν ἀναλίσκειν, καὶ γὰρ οἱ ἀπόστολοι ὀλίγα ἔχοντες δεδώκασι τοῖς ὄχλοις. Ἀλλ' ὥσπερ τὰ ὀλίγα ταῦτα ἐπλεόνασαν, οὕτω καὶ τὰ σὰ ὀλίγα πληθυνθήσονται. Ἀνακλίνει δὲ τοὺς ὄχλους ἐπὶ τοὺς χόρτους, διδάσκων τὴν εὐτέλειαν, ἵνα καὶ σὺ μὴ ἐπὶ κλινῶν πολυτελῶν καὶ στρωμάτων ἀναπαύῃ. Ἀναβλέπει δὲ εἰς τὸν οὐρανὸν καὶ εὐλογεῖ τοὺς ἄρτους, τάχα μὲν, καὶ ἵνα πιστώσηται ὡς οὐκ ἀντίθεός ἐστιν, ἀλλ' ἐκ τοῦ Πατρὸς ἦλθε καὶ οὐρανόθεν· ἅμα δὲ, καὶ ἵνα παιδεύσῃ ἡμᾶς ἁπτομένους τραπέζης εὐχαριστεῖν καὶ οὕτως ἐσθίειν.

« Καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις· καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, δώδεκα κοφίνους πλήρεις. Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων. » Τοῖς μαθηταῖς δίδωσι τοὺς ἄρτους, ἵνα διὰ μνήμης ἔχωσιν ἀεὶ τὸ θαῦμα, καὶ μὴ ἀποῤῥύῃ τῆς διανοίας αὐτῶν, κἂν ἐκεῖνοι συντόμως ἐπελάθοντο· ἵνα δὲ μὴ νομίσῃς ὅτι κατὰ φαντασίαν ἐθαυματούργησε, διὰ τοῦτο περιττεύουσι. Δώδεκα δὲ κόφινοι, ἵνα καὶ Ἰούδας βαστάσῃ, καὶ μὴ εἰς προδοσίαν ἐκτραχηλισθῇ, ἐνθυμούμενος τὸ θαῦμα. Καὶ τοὺς ἄρτους δὲ πληθύνει καὶ τοὺς ἰχθύας, ἵνα δείξῃ

A habitus fuisset phantasma esse, et eapropter secedit. In desertum autem locum seorsum, ut miraculum illud de panibus operaretur.

VERS. 13, 14. « Et cum audissent turbæ, secutæ sunt eum itinere pedestri relictis urbibus. Et egressus Jesus vidit multam turbam, et miseratus 74 illam, sanavit infirmos illorum. » Fidem indicant turbæ, unde et ad secedentem accurrunt, et ideo sanitatem, fidei mercedem deportant: sed et quod pedestri itinere inceduut, et quod absque cibis veniunt, fidei signa sunt.

VERS. 15, 16. « Facta autem vespera, accesserunt ad eum discipuli ipsius, dicentes : Desertus B est locus, et hora jam præteriit : dimitte turbas ut abeant in vicos, et emant sibi cibaria. At illis dixit Jesus: Non est illis necesse ut abeant, date illis vos quod edant. » Misericordes sunt discipuli. Curam enim gerunt turbæ, et propterea nolunt eam jejunam esse. Quid igitur Salvator? Date, inquit, vos illis quod edant. Hoc autem dicit, non tanquam ignorans in quanta apostoli egestate essent: absit, sed ut dicentibus illis se non habere quod edant, appareat ipsum non inanis gloriæ studio, sed necessitate ad operandum miraculum procedere.

VERS. 17-19. « At illi dicunt ei : Non habemus hic nisi quinque panes, et duos pisces. Ille vero dixit: Afferte mihi eos huc. Et jussit turbas discumbere super gramina, sumptisque quinque panibus ac duobus piscibus, ac sublatis in cœlum oculis C benedixit. » Afferte mihi panes huc, et licet sit vespera, temporum ego Conditor adsum : licet desertus locus sit, ego tamen sum qui omni carni escam do. Discamus autem hoc loco quod etiam pauca quæ habemus, in hospitalitatem insumere debemus. Etenim apostoli pauca habentes, dederunt turbis : et quemadmodum pauca hæc multiplicavit, ita et tua pauca multiplicabuntur. Facit autem turbas super gramina considere, frugalitatem docens, ne tu in pretiosis lectis et stratis recumbas. Porro suspicit in cœlum et benedicit panes : fortassis ut major fides ei habeatur quod non sit contrarius Deo, sed cœlitus et a Patre venerit. Docet quoque ut et nos mensam accedentes, primum gratias agamus, et sic comeD damus.

VERS. 19-21. « Et cum fregisset, dedit discipulis panes, discipuli vero turbis. Et comederunt omnes, et saturati sunt, et sustulerunt quod superfuerat de fragmentis duodecim cophinos plenos. Porro qui comederant, fuere viri ferme quinquies mille, præter mulieres ac pueros. » Discipulis dat panes, ut in memoria semper habeant miraculum, et ne effluat a cogitatione eorum, tametsi illi cito obliviscebantur. Ne autem opineris quod apparenter tantum miracula fecerit, multiplicantur usque ad impletionem duodecim cophinorum panes, ut et Judas portet, et ad prodendum non sit pervicax, miraculum secum cogitans. Panes autem multipli-

cat et pisces, ut ostendat quod ipse sit qui terram A et mare condiderit, et omnes cibi, quibus vescimur, ab ipso nobis dentur, et per ipsum multiplicentur. Cæterum in deserto fit miraculum, ne quis opinetur e civitate vicina emptos panes, multitudinique distributos; 75 desertum enim erat: et hoc quidem secundum historiam. Juxta anagogen autem disce. Postquam Herodes, hoc est, carnalis et pellicea mens Judæorum (ita enim Herodes sonat) decollavit Joannem, prophetarum caput, hoc est, de Christo prædicentibus non credidit, secedit Jesus in desertum locum, ad gentes a Deo destitutas, et sanavit infirmas animas, et deinde pavit eas. Nam nisi remiserit nobis peccata, et sanaverit morbos per baptismum, non pascet nos communione impollutorum mysteriorum. Nullus enim non baptizatus B communicat. Jam quinque millia signant eos quorum quinque sensus male affecti erant, et qui per quinque panes curantur. Enim vero quia quinque sensus infirmabantur, quot plagæ erant, tot erant et emplastra. Duo vero pisces, piscatorum sermones. Unus piscis, Evangelium; alius piscis, Apostolus. Quidam quinque panes, quinque libros Moysis intellexerunt, Genesim, Exodum, Leviticum, Numeros, Deuteronomium. Duodecim autem cophini fuerunt sublati ab apostolis, et portati. Quæcunque enim nos turbæ comedere, hoc est, intelligere non potuimus, eorum apostoli capaces portarunt et diviserunt. Præter mulieres ac parvulos: exigitur enim a Christiano ne quid puerile vel muliebre præ C se ferat.

Vers. 22. « Et statim coegit Jesus discipulos suos intrare in navim, et præcedere se in ulteriorem ripam, donec dimisisset turbas. » Ut significaret quam indivulsi essent a Domino discipuli, dixit, Coegit, semper enim ei adesse volebant. Dimittit autem et turbas, nolens ipsas subsequi, ne arrogantiæ studiosus videretur.

Vers. 23, 24. « Et dimissis turbis, ascendit in montem ad orandum seorsum. Cum autem advenisset vespera, solus erat illic. Cæterum navis jam in medio maris erat, et affligtabatur a fluctibus: nam ventus erat adversus. » Ostendens nobis quod oporteat absque distractione mentis precari, in D montem ascendit: omnia enim propter nos facit, neque enim ipse precibus opus habet. Usque ad vesperam autem precatur, docens quod nos non statim ab orationibus discedere debeamus, sed et nocte potissimum illis vacare, tunc enim major quies. Permittit autem discipulos in tempestate, quo discant tentationes ferre fortiter, suamque agnoscant virtutem. In medio autem maris navigium, signat majorem esse timorem.

Vers. 25-27. « Quarta autem noctis vigilia abiit ad illos Jesus, ambulans super mare, et ubi vidissent eum discipuli super mare ambulantem, turbati sunt, dicentes: Spectrum est, ac præ metu excla-

ὅτι αὐτός ἐστιν ὁ γῆς καὶ θαλάσσης Δημιουργὸς, καὶ ὅτι ἃ καθ' ἑκάστην ἐσθίομεν, αὐτοῦ διδόντος ἐσθίομεν, καὶ ὑπ' αὐτοῦ πληθύνονται· ἐν ἐρήμῳ δὲ τὸ θαῦμα, ὡς ἂν μὴ νομίσῃ τις, ὅτι ἐκ πόλεως γείτονος ἠγόρασε τοὺς ἄρτους, καὶ διένειμε τῷ πλήθει, ἔρημος γὰρ ἦν· καὶ οὕτω μὲν καθ' ἱστορίαν. Κατὰ δὲ ἀναγωγὴν, μάθε ὅτι ἐπειδὴ Ἡρώδης, ὁ σάρκινος καὶ δερμάτινος τῶν Ἰουδαίων νοῦς, τοῦτο γὰρ Ἡρώδης ἑρμηνεύεται, ἀπεκεφάλισε τὸν Ἰωάννην, τὸ τῶν προφητῶν κεφάλαιον, τουτέστι, τοῖς περὶ Χριστοῦ προφητεύσασιν οὐκ ἐπίστευσεν, ἀναχωρεῖ λοιπὸν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον, εἰς τὰ ἔθνη, τὰ ἔρημα τοῦ Θεοῦ, καὶ θεραπεύει τοὺς ἀῤῥώστους κατὰ ψυχὴν, εἶτα καὶ τρέφει τούτους. Εἰ μὴ γὰρ ἀφήσει ἡμῖν τὰς ἁμαρτίας, καὶ θεραπεύσει τὰς ἀῤῥωστίας διὰ τοῦ βαπτίσματος, οὐ θρέψει ἡμᾶς τῇ μεταδόσει τῶν ἀχράντων μυστηρίων. Οὐδεὶς γὰρ ἀβάπτιστος μεταλαμβάνει. Πεντακισχίλιοι δὲ, οἱ τὰς πέντε αἰσθήσεις κακῶς διακείμενοι, οἳ καὶ διὰ τῶν πέντε ἄρτων θεραπεύονται. Ἐπεὶ γὰρ αἱ πέντε αἰσθήσεις ἐνόσουν, ὅσαι αἱ πληγαὶ, τοσαῦται καὶ αἱ ἔμπλαστροι, Δύο δὲ ἰχθύες, οἱ τῶν ἁλιέων λόγοι. Εἷς ἰχθὺς τὸ Εὐαγγέλιον, ἕτερος ἰχθὺς ὁ Ἀπόστολος. Τινὲς δὲ πέντε ἄρτους, τὴν Πεντάτευχον τοῦ Μωσέως ἐνόησαν, Γένεσιν, Ἔξοδον, Λευιτικὸν, Ἀριθμοὺς, Δευτερονόμιον. Δώδεκα δὲ κόφινοι ἦσαν οἱ ἀρθέντες ὑπὸ τῶν ἀποστόλων καὶ βασταχθέντες. Ὅσα γὰρ ἡμεῖς οἱ ὄχλοι, οὐ δυνάμεθα φαγεῖν, τουτέστι, νοῆσαι, ταῦτα οἱ ἀπόστολοι ἐβάστασαν καὶ ἐχώρησαν. Χωρὶς δὲ γυναικῶν καὶ παιδίων, οὐδὲν γὰρ νηπιῶδες ἢ γυναικεῖον καὶ ἄνανδρον ἀπαιτεῖται ὁ Χριστιανὸς ἔχειν.

« Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. » Τὸ δυσαπόσπαστον αἰνιττόμενος τῶν μαθητῶν, εἶπε τὸ Ἠνάγκασεν, ἤθελον γὰρ ἀεὶ αὐτῷ συνεῖναι. Ἀπολύει δὲ τοὺς ὄχλους, οὐ θέλων ἐπισύρεσθαι αὐτοὺς, ἵνα μὴ δόξῃ φιλόκομπος.

« Καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι· ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ· τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων, ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. » Δεικνὺων ἡμῖν ὅτι δεῖ ἀπερισπάστως προσεύχεσθαι, εἰς τὸ ὄρος ἀναβαίνει, πάντα γὰρ δι' ἡμᾶς ποιεῖ, οὐ γὰρ αὐτὸς ἐδεῖτο προσευχῆς. Ἕως δὲ ὀψίας εὔχεται, διδάσκων ἡμᾶς μὴ ταχέως ἀφίστασθαι τῆς προσευχῆς· ἀλλὰ καὶ τῆς νυκτὸς μάλιστα τοῦτο ποιεῖν, τότε γὰρ ἡσυχία πολλή. Συγχωρεῖ δὲ τοὺς μαθητὰς κλυδωνισθῆναι, ἵνα μάθωσι γενναίως φέρειν τοὺς πειρασμοὺς, καὶ ἐπιγνῶσι τὴν αὐτοῦ δύναμιν. Ἀλλὰ καὶ μέσον τῆς θαλάσσης τὸ πλοῖον, ὡς μείζονα εἶναι τὸν φόβον.

« Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς περιπατῶν ἐπὶ τῆς θαλάσσης· καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα, ἐταράχθησαν, λέγοντες ὅτι Φάντασμά ἐστι,

καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. Εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. » Οὐκ (21) εὐθέως αὐτοῖς ἐπέστη λύσων τὸν χειμῶνα, παιδεύων μὴ ταχέως λύσιν αἰτεῖν τῶν συμφορῶν, ἀλλὰ φέρειν γενναίως, ἀλλὰ περὶ τετάρτην φυλακήν· εἰς τέσσαρα γὰρ διαιρεῖται ἡ νὺξ παρὰ τοῖς φυλάσσουσιν ἐκ διαδοχῆς στρατιώταις, ἀνὰ τρεῖς ὥρας ἐχούσης ἑκάστης φυλακῆς. Ὁ γοῦν Κύριος μετὰ τὴν ἐννάτην ὥραν τῆς νυκτὸς, περιπατῶν ἐπάνω τοῦ ὕδατος, ὡς Θεὸς, ἐπέστη. Οἱ δὲ, διὰ τὸ ἀηθὲς καὶ ξένον, ἔδοξαν φάντασμα εἶναι. Οὐ γὰρ ἀπὸ τοῦ εἴδους ἐγνώρισαν αὐτὸν, ἅμα μὲν καὶ διὰ τὴν νύκτα, ἅμα δὲ καὶ διὰ τὸν φόβον· ὁ δὲ, παραθαῤῥύνει πρῶτον αὐτοὺς, λέγων· Ἐγώ εἰμι, ὁ πάντα δυνάμενος, θαρσεῖτε.

« Ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπε· Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα. » Θερμότατος ὢν ὁ Πέτρος τὴν πρὸς Χριστὸν ἀγάπην, ἐπιθυμεῖ ταχέως ἐγγὺς αὐτοῦ γενέσθαι καὶ πρὸ τῶν ἄλλων. Πιστεύει δὲ ὅτι ὁ Ἰησοῦς οὐ μόνον αὐτὸς περιπατεῖ ἐπὶ τῶν ὑδάτων, ἀλλὰ καὶ αὐτῷ τοῦτο δώσει· οὐκ εἶπε δὲ, Κέλευσόν με βαδίσαι, ἀλλὰ Πρὸς σὲ ἐλθεῖν. Τὸ μὲν γὰρ ἐπιδείξεως ἦν· τὸ δὲ ἀγάπης τῆς πρὸς Χριστόν.

« Ὁ δὲ εἶπεν· Ἐλθέ. Καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος, περιεπάτει ἐπὶ τὰ ὕδατα, ἐλθεῖν πρὸς τὸν Ἰησοῦν· βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι, ἔκραξε, λέγων· Κύριε, σῶσόν με. » Ὑπέστρωσε τῷ Πέτρῳ τὴν θάλασσαν ὁ Κύριος, δεικνὺς τὴν ἑαυτοῦ δύναμιν. Ὅρα δὲ πῶς τοῦ μείζονος περιγενόμενος ὁ Πέτρος, τῆς θαλάσσης λέγω, τὸν ἄνεμον ἐφοβήθη, οὕτως ἐστὶν ἀσθενὴς ἡ ἀνθρωπίνη φύσις· καὶ αὐτίκα ὅτε ἐφοβήθη, τότε ἤρξατο καταποντίζεσθαι. ὅτε γὰρ ἠσθένησεν ἡ πίστις, τότε βυθίζεται ὁ Πέτρος. Τοῦτο δὲ καὶ αὐτὸν ἐποίησε μὴ ὑψηλοφρονεῖν, καὶ τοὺς ἄλλους μαθητὰς παρεμυθήσατο. Ἴσως γὰρ ἐφθόνησαν αὐτῷ· ἀλλὰ καὶ πόσον ὑπερέχει ὁ Χριστὸς αὐτοῦ, ἔδειξεν.

« Εὐθέως δὲ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ, καὶ λέγει αὐτῷ· Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; Καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος· οἱ δὲ ἐν τῷ πλοίῳ, ἐλθόντες προσεκύνησαν αὐτῷ, λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς εἶ. » Δεικνύων ὁ Χριστὸς, ὅτι οὐχ ὁ ἄνεμος αἴτιος τοῦ καταποντισθῆναι, ἀλλ' ἡ μικροψυχία, οὐ τῷ ἀνέμῳ ἐπιτιμᾷ, ἀλλὰ τῷ μικροψυχήσαντι Πέτρῳ. Διὸ καὶ ἀναβαστάσας αὐτὸν, ἔστησεν ἐπὶ τοῦ ὕδατος, ἐάσας τὸν ἄνεμον πνεῖν. Οὐκ εἰς τὸ πᾶν δὲ ἐδίστασεν ὁ Πέτρος, ἀλλ' εἴς τι, τουτέστι, μερικῶς· καθ' ὃ μὲν γὰρ ἐφοβήθη, κατὰ τοῦτο ἠπίστησε· καθ' ὃ δὲ ἔκραξε, Κύριε, σῶσόν με, κατὰ τοῦτο ἰάσατο τὴν ἀπιστίαν. Διὸ ὀλιγόπιστος ἀκούει, ἀλλ' οὐκ ἄπιστος. Οἱ οὖν ἐν τῷ πλοίῳ, καὶ αὐτοὶ τοῦ φόβου ἀπελύθησαν. Ἐκόπασε γὰρ ὁ ἄνεμος· καὶ δὴ γνόντες ἀπὸ τούτων τὸν Ἰησοῦν, ὁμολογοῦσι τὴν αὐτοῦ θεότητα. Οὐ γὰρ

A maverunt; sed statim locutus est illis Jesus dicens: Fidite, ego sum, ne terreamini.» Non statim astitit eis ut tempestatem sedaret, docens non cito petendam adversitatum solutionem, sed ferendas fortiter: at circa quartam vigiliam. In quatuor 76 partes noctem dividunt custodes juxta militarem disciplinam, singulis per tres horas suam servantibus custodiam. Dominus autem post nonam horam noctis ambulans supra aquam, tanquam Deus, astitit. Illi autem rem tam raram ac insolitam spectantes, putabant spectrum esse. Neque enim a specie ipsum cognoscebant, partim propter noctem, partim propter metum. Ille autem animans illos autem dixit: Ego sum, qui omnia

B possum: fidite.

VERS. 28. «Respondens autem illi Petrus dixit: Domine, si tu es, jubeto me venire ad te super aquas.» Ferventissima Petri erga Christum charitas erat: desiderabat enim statim prope illum esse, et præ aliis. Credidit autem quod Jesus non solum ipse ambularet super aquas, sed et sibi daturus esset hoc. Non dixit autem, Jube me ambulare, sed, Ad te ire. Nam illud ostentationis est, hoc autem amoris in Christum.

VERS. 29, 30. «Ille autem dixit: Veni; et cum descendisset e navi Petrus, ambulabat super aquas, ut iret ad Jesum. Cæterum cum videret ventum validum, territus est: et cum cœpisset demergi, clamavit dicens, Domine, serva me.» Subsrtavit

C Dominus Petro mare, suam declarans virtutem. Attende autem quod majori periculo, nempe maris, superato, ventum timuit: ita infirma est humana natura: et statim ut timuit, cœpit submergi: quando enim fides infirma est, tunc in profunda descendit Petrus. Hoc autem fecit, ne ille superbiret, et alios solaretur discipulos. Forte enim invidissent, sed et Christus quantum ipsum superet, ostendit.

VERS. 31-33. «Confestim autem Jesus extenta manu apprehendit eum, et dixit illi: Parvæ fidei, ad quid formidasti? Et ingressis illis in navim, conquievit ventus. Porro qui in navi erant accesserunt ad eum, et adoraverunt, dicentes: Vere Dei

D Filius es.» Ostendens Christus non ventum, sed pusillanimitatem submergendi causam esse, non ventum increpat, sed Petrum pusillanimem. Ideo et apprehensum eum statuit super aquam permisso vento flare. Non omnino autem dubitabat Petrus, sed secundum quid, hoc est, ex parte, nam juxta id quod dubitavit, incredulus fuit: juxta id autem quod clamavit, Domine, serva me, curavit incredulitatem. Ideo *parvæ fidei* dicitur, non *incredulus*. Igitur qui in navi, et ipsi metu soluti sunt. Cessavit enim ventus. Et ex his cogito Jesu, confessi sunt ejus deitatem. Neque enim hominis est super mare

**Ex collatione codd. Venet. S Marci.**

(21) Edit. Lut. omisit οὐκ, habent codd. S. Marci 30 et 31.

ambulare, sed Dei : sicut et David dicit : « In mari viæ tuæ, et semitæ tuæ in aquis multis [19]. » Juxta anagogen autem, navis terra, fluctus vita a malis spiritibus turbata, nox ignorantia. In quarta igitur vigilia, ad finem sæculorum astitit Christus. Prima vigilia, fœdus cum Abraham : secunda, lex Moysi: 77 tertia prophetæ : quarta, Domini adventus. Ipse enim servavit nos fluctibus agitatos, veniens ad nos, ita ut eum cognosceremus, et ut Deum adoraremus. Vide autem et hoc quod negationem Petri, et deinde ejus conversionem et pœnitentiam præsignarunt ea quæ ipsi in mari acciderunt. Nam sicut illic dicebat confidens, « Non te negabo [20], » sic et hic, Jube me venire super aquas, et sicut tunc permisit negare, ita et hic permittit mergi. Hic manum ei porrexit Dominus, et non permisit eum submergi : ita tunc per pœnitentiam eum a profundo negationis extraxit.

A ἀνθρώπου τὸ περιπατεῖν ἐπὶ θαλάσσης, ἀλλὰ Θεοῦ, καθὰ καὶ ὁ Δαυῒδ λέγει· « Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς. » Ἀνακτέον δὲ τὸν λόγον· σκάφος, ἡ γῆ· κύματα, ὁ βίος ὑπὸ τῶν πονηρῶν πνευμάτων ταραττόμενος, νὺξ, ἡ ἀγνωσία. Ἐν τῇ τετάρτῃ δὲ φυλακῇ, πρὸς τῷ τέλει δηλονότι τῶν αἰώνων, ἐπέστη ὁ Χριστός. Πρώτη μὲν γὰρ φυλακή, ἡ πρὸς Ἀβραὰμ διαθήκη· δευτέρα, ὁ Μωσέως νόμος· τρίτη, οἱ προφῆται· τετάρτη, ἡ τοῦ Κυρίου παρουσία· αὐτὸς γὰρ ἔσωσε τοὺς κλυδωνιζομένους, εἰσελθὼν καὶ γενόμενος μεθ' ἡμῶν, ὥστε ἡμᾶς ἐπιγνόντας αὐτὸν ὡς Θεὸν προσκυνεῖν. Ὅρα δὲ καὶ τοῦτο, πῶς τὴν ἄρνησιν τοῦ B Πέτρου, εἶτα τὴν ἐπιστροφὴν καὶ μετάνοιαν, προεσήμανε τὰ ἐν τῇ θαλάσσῃ αὐτῷ συμβάντα· ὥσπερ γὰρ ἐκεῖ λέγει θρασυνόμενος· « Οὐ μή σε ἀπαρνήσομαι· » οὕτω κἀνταῦθα· Κέλευσόν με ἐλθεῖν ἐπὶ τὰ ὕδατα· καὶ ὥσπερ τότε συνεχωρήθη ἀρνήσασθαι, οὕτω κἀνταῦθα συγχωρεῖται ποντίζεσθαι· ἐνταῦθα χεῖρα δέδωκεν αὐτῷ ὁ Κύριος, καὶ οὐκ ἀφῆκε ποντισθῆναι. Κἀκεῖ διὰ τῆς μετανοίας αὐτὸν ἀπὸ τοῦ βυθοῦ τῆς ἀρνήσεως εἵλκυσεν.

VERS. 34-36. « Et cum trajecissent, venerunt in terram Genezareth. Et cum agnovissent illum viri loci illius, emiserunt nuntios in totam undique finitimam regionem, et attulerunt illi omnes male habentes, et obsecrabant eum ut tantum tangerent fimbriam vestimenti ipsius, et quotquot tetigerunt eum, salvi facti sunt. » Gennezareni Christum multo tempore apud se versantem non solum ex aspectu, sed etiam ex miraculis agnoscentes, alacrem exhibuerunt fidem, ita ut cuperent et fimbriam contingere, atque ita curati sunt. Sic et tu quoque summitatem vestis Christi contingito, hoc est, finem incolatus sui in carne. Si enim credideris quod assumptus est : salvaberis, vestis, enim, caro : fimbria autem ejus, finis vitæ super terram.

« Καὶ διαπεράσαντες, ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ. Καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου, ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, καὶ παρεκάλουν αὐτὸν, ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο, διεσώθησαν. » Διὰ πολλοῦ χρόνου ἐπιδημήσαντα τῇ Γεννησαρὲτ τὸν Ἰησοῦν, οὐ μόνον ἐκ τῆς ὄψεως, ἀλλὰ καὶ ἐκ τῶν σημείων ἐπιγνόντες οἱ ἄνθρωποι, πίστιν ἐνδείκνυνται θερμήν· ὥστε ἐπιθυμεῖν καὶ τοῦ C κρασπέδου ἅψασθαι, καὶ δὴ τοῦτο ποιήσαντες, ἐθεραπεύθησαν. Οὕτως οὖν καὶ σὺ ἅψαι τοῦ ἄκρου τοῦ ἱματίου τοῦ Χριστοῦ, ἤτοι τοῦ τέλους τῆς ἐνσάρκου αὐτοῦ ἐπιδημίας. Ἐὰν γὰρ πιστεύσῃς ὅτι ἀνελήφθη, σωθήσῃ· ἱμάτιον γὰρ ἡ σάρξ· κράσπεδον δὲ ταύτης, τὸ τέλος τῆς ἐν γῇ ζωῆς.

## CAPUT XV.

*De transgressione mandatorum Dei per traditionem hominum. De Chananæa. De multitudine sanata. De septem panibus.*

## ΚΕΦΑΛ. ΙΕ'.

Περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ Θεοῦ διὰ τὴν παράδοσιν τῶν ἀνθρώπων. Περὶ τῆς Χαναναίας. Περὶ τῶν θεραπευθέντων ὄχλων. Περὶ τῶν ἑπτὰ ἄρτων.

VERS. 1, 2. « Tunc accedunt ad Jesum Hierosolymitani Scribæ et Pharisæi, dicentes : Quare discipuli tui transgrediuntur traditionem seniorum? non enim lavant manus suas quando edunt panem. » Quanquam in omnibus locis erant Scribæ et Pharisæi, magis tamen venerabiles erant Hierosolymitani : ideo illi magis invidebant, utpote inanis gloriæ magis appetentes. Morem autem habebant Judæi non comedere illotis manibus, idque ex patrum traditione. Has igitur traditiones ut vidissent non observari a discipulis, putaverunt illos contemnere seniores. Quid ad hæc Salvator? Nihil ad hoc respondet, sed vicissim reprehendit eos.

« Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ Ἱεροσολύμων Γραμματεῖς καὶ Φαρισαῖοι, λέγοντες· Διατί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν D πρεσβυτέρων ; οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν, ὅταν ἄρτον ἐσθίωσιν. » Εἰ καὶ πᾶσαι αἱ χῶραι εἶχον Γραμματεῖς καὶ Φαρισαίους, ἀλλ' οἱ ἐντιμότεροι ἐν Ἱερουσαλὴμ ἦσαν· διὸ καὶ οὗτοι ἐφθόνουν μάλιστα, ὡς φιλοδοξότεροι· ἔθος δὲ εἶχον οἱ Ἰουδαῖοι, μὴ ἀνίπτοις χερσὶν ἐσθίειν, ἀπὸ παλαιᾶς παραδόσεως. Ταύτης οὖν τῆς παραδόσεως καταφρονοῦντας ὁρῶντες τοὺς μαθητὰς, ἐνόμισαν αὐτοὺς ἐξουθενεῖν τοὺς πρεσβυτέρους. Τί οὖν ὁ Σωτήρ ; Οὐδὲν μὲν πρὸς τοῦτο ἀπολογεῖται· ἀντεγκαλεῖ δὲ αὐτοῖς.

VERS. 3-6. « At ille respondens dixit eis: Quare et vos transgredimini præceptum Dei propter traditionem vestram ? nam Deus præcepit dicens:

« Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν ; Ὁ γὰρ Θεὸς ἐνετείλατο, λέγων· Τίμα τὸν

[19] Psal. LXXVI, 20. [20] Marc. XIV, 31.

πατέρα σου καὶ τὴν μητέρα· καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. Ὑμεῖς δὲ λέγετε· Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί· Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα· καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν. » Οἱ μὲν Φαρισαῖοι κατηγόρουν τῶν μαθητῶν, ὡς ἐντολὴν τῶν πρεσβυτέρων παραβαινόντων· ὁ δὲ Χριστὸς δεικνύει αὐτοὺς τὸν τοῦ Θεοῦ νόμον παραβαίνοντας· ἐδίδασκον γὰρ τοὺς παῖδας μηδὲν διδόναι τοῖς γονεῦσιν, ἀλλ' ἀνατιθέναι ὅσα ἔχουσι τῷ γαζοφυλακίῳ τοῦ ἱεροῦ. Ἦν γὰρ ἐν τῷ ἱερῷ θησαυρὸς, ἐν ᾧ ὁ βουλόμενος ἔβαλλεν, ἐκαλεῖτο δὲ οὗτος γάζα. Ὁ δὲ θησαυρὸς τοῖς πένησι διεδίδοτο. Οἱ τοίνυν Φαρισαῖοι πείθοντες τοὺς παῖδας μηδὲν διδόναι τοῖς γονεῦσιν, ἀλλ' ἀνατιθέναι αὐτὰ τῷ θησαυρῷ τοῦ ἱεροῦ, ἐδίδασκον αὐτοὺς λέγειν ὅτι Δῶρόν ἐστι, τουτέστιν, ἀνατεθειμένον τῷ Θεῷ ἐστιν, ὦ πάτερ, ὃ ζητεῖς ἐξ ἐμοῦ ὠφεληθῆναι. Καὶ οὕτως ἐμέριζον αὐτοὶ μετὰ τῶν παίδων τὰ χρήματα, καὶ οἱ γονεῖς κατελιμπάνοντο ἀγηροκόμητοι· ἐποίουν δὲ τοῦτο καὶ οἱ δανεισταί. Ἐὰν γάρ τις ἐδάνεισέ τινι χρήματα, εἶτα δύσκολος ὁ χρεώστης ἦν καὶ οὐκ ἀπεδίδου τὸ ὀφειλόμενον, ἔλεγεν ὁ δανειστὴς πρὸς τοῦτον τὸν ἀγνώμονα χρεώστην· Κορβᾶν ἐστιν ὃ ὀφείλεις μοι, τουτέστι, δῶρον τῷ Θεῷ ἀνατεθειμένον. Ὁ οὖν χρεώστης ὡς τῷ Θεῷ ἔκτοτε ὀφείλων, καὶ ἄκων κατέβαλλε· τοῦτο ἐδίδασκον τοὺς παῖδας οἱ Φαρισαῖοι ποιεῖν.

« Ὑποκριταὶ, καλῶς προεφήτευσε περὶ ὑμῶν Ἡσαΐας, λέγων· Ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων. » Δείκνυσι διὰ τῆς Ἡσαΐου φωνῆς, καὶ περὶ τὸν Πατέρα αὐτοῦ τοιούτους ὄντας αὐτοὺς, οἷοι καὶ περὶ αὐτὸν εὑρίσκονται· πονηροὶ γὰρ ὄντες, καὶ διὰ τῶν πονηρῶν ἔργων μακρύνοντες ἑαυτοὺς τοῦ Θεοῦ, στόματι μόνον ἐλάλουν τὰ τοῦ Θεοῦ λόγια. Μάτην γὰρ πάντως σέβονται καὶ δοκοῦσι τιμᾷν τὸν Θεὸν, οἱ διὰ τῶν ἔργων αὐτὸν ἀτιμάζοντες.

« Καὶ προσκαλεσάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς· Ἀκούετε καὶ συνίετε. Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον. » Οὐκ ἔτι τοῖς Φαρισαίοις διαλέγεται, ὡς ἀθεραπεύτοις, τῷ ὄχλῳ δέ. Καὶ διὰ τοῦ προσκαλέσασθαι δοκεῖ τιμᾷν αὐτοὺς, ἵνα παραδέξωνται τὸν λόγον αὐτοῦ, καὶ φησιν· Ἀκούετε καὶ συνίετε, διανιστῶν αὐτοὺς εἰς προσοχήν. Τῶν δὲ Φαρισαίων αἰτιωμένων τοὺς μαθητὰς ὡς ἀνίπτοις χερσὶν ἐσθίοντας, ὁ Κύριος περὶ βρωμάτων λέγει, ὅτι οὐδὲν βρῶμα κοινοῖ τὸν ἄνθρωπον, τουτέστι μολύνει. Καὶ εἰ τὸ βρῶμα οὐ μολύνει, πολλῷ μᾶλλον τὸ ἀνίπτοις χερσὶν ἐσθίειν. Μολύνει γὰρ τὸν ἐντὸς ἄνθρωπον, τὸ λέγειν ἃ μὴ δεῖ. Αἰνίττεται δὲ διὰ τούτου τοὺς Φαρισαίους, μολυνομένους ἐκ τοῦ λέγειν φθονούντων ῥήματα· ὅρα δὲ σοφίαν, πῶς οὔτε φανερῶς τὸ ἄνιπτον ἐσθίειν

A Honora patrem tuum et matrem : et qui maledixerit patri aut matri, morte moriatur : vos autem dicitis : Quicunque dixerit patri aut matri, Donum Dei est, quidquid per me in tuum cessurum erat commodum, et non honorabit 78 patrem suum, aut matrem suam : et irritum fecistis præceptum Dei propter traditionem vestram.» Pharisæi accusabant discipulos quasi mandatum seniorum prævaricantes. Christus autem ostendit ipsos Dei legem prævaricari. Docebant enim pueros ne quid darent parentibus, sed offerrent quæcunque habebant in gazophylacium templi. Erat autem in templo thesaurus, in quem quisquis volebat quidpiam immitteret, vocabaturque ille gaza. At distribuebatur in pauperes thesaurus. Pharisæi igitur persuadentes B pueris ne quid darent parentibus, sed offerrent in thesaurum templi, docebant ipsos ut dicerent : Donum Dei est, id est, oblatum Deo est, o pater, id quod per me tibi usui esse cupis Et sic partiebantur ipsi cum filiis opes : et parentes relinquebantur et contemnebantur, nec in senecta alebantur. Faciebant autem hoc et creditores. Si quis enim cuipiam mutuo dedisset pecunias : et deinde malus debitor non redderet debitum, dicebat creditor ad illum ingratum debitorem : Corban est quod debes mihi, hoc est, donum Deo oblatum. Debitor igitur tunc quasi Deo debens, etiam invitus dinumerabat. Hoc docebant Pharisæi pueros facere.

Vers. 7-9. «Hypocritæ, bene prophetavit de vobis Isaias dicens: Appropinquat mihi populus hic ore suo, et labiis me honorat, cæterum cor eorum C procul abest a me. Sed frustra me colunt docentes præcepta doctrinæ hominum.» Ostendit Isaiæ voce quod etiam tales sint erga Patrem suum, quales et erga se inveniuntur. Nam cum mali essent, et propter mala opera longius a Deo recederent, divinum (a) sermonem solo ore loquebantur. Frustra enim colunt et putant se colere Deum, qui per opera illum dehonorant.

Vers. 10, 11. « Et advocatis ad se turbis, dixit eis : Audite et intelligite. Non quod ingreditur os. impurat hominem : sed quod egreditur ex ore, hoc impurum reddit hominem. » Non loquitur ultra Pharisæis, utpote incurabilibus : turbæ autem loquitur, et per quod illos ad se advocat honorem D illis deferre videtur, ut suscipiant sermonem suum: et inquit, Audite, et intelligite, excitans eos, et attentos faciens. Quia autem Pharisæi arguebant discipulos quod illotis manibus comederent, Dominus de cibis dicit quod nullus cibus coinquinet hominem, vel impuret. Et si cibus non inquinat, multo magis, illotis comedere manibus. Coinquinat enim intus hominem dicere quæ non oportet. Notat autem latenter Pharisæos per illa verba, qui dicentes invidorum verba coinquinabantur. Vide autem sapientiam, quomodo neque manifeste illotis manibus

(a) Edit. Lut. *cum mali essent, propter mala opera longe fiebant a Deo, et divinum.*

comedere approbat, neque aversatur, sed aliud quiddam docet, quod non ejiciant e pectore malos sermones.

VERS. 12. «Tunc accedentes discipuli ejus dixerunt illi : Nosti Pharisæos audito sermone isto offensos fuisse? » Discipuli propter 79 Pharisæos dicunt quod offensi sint, tametsi etiam ipsi turbati fuerint, quod manifestum ex eo quod accesserit Petrus, et interrogaverit de hoc. Igitur Jesus cum audisset quod offensi essent Pharisæi, dixit :

VERS. 13, 14. « Omnis plantatio quam non plantavit pater meus cœlestis, eradicabitur. Omitte illos, duces sunt cæci cæcorum. Porro si cæcus cæco dux fuerit, ambo in foveam cadent. » Seniorum traditiones et Judæorum præcepta eradicatum iri dixit, non legalia, ut existimant Manichæi. Lex enim plantatio est Dei, non igitur illa eradicata est. Manet enim radix ejus, id est, spiritus qui in occulto est. Folia autem, hoc est, apparens littera, defluunt. Legem enim ultra non juxta litteram, sed juxta spiritum intelligimus. Quoniam autem desperati ac incurabiles erant Pharisæi, dixit : Omittite illos. Hinc enim discimus, quod offendi illos qui sponte offenduntur, et incurabiles sunt, non est nobis damnosum. Præceptores autem illos dicit cæcos cæcorum duces, ut ab eis turbas abduçat.

VERS. 15. « Respondens autem Petrus dixit ei : Dic nobis parabolam hanc. » Petrus quia sciebat legem prohibere promiscue esum omnium, et timebat dicere Jesu : Ex his quæ dixisti, offendimur : apparent enim legi adversa esse : simulat ignorantiam, et interrogat.

VERS. 16-20. «Jesus autem dixit : Adhuc et vos intelligentia caretis. Nondum intelligitis quod quidquid ingreditur in os, in alvum abit, et in secessum ejicitur ? At ea quæ proficiscuntur ex ore, ex ipso corde egrediuntur, et illa impurum reddunt hominem. Nam ex corde exeunt cogitationes malæ, cædes, adulteria, stupra, furta, falsa testimonia, convicia. Hæc sunt quæ impurant hominem. Cæterum illotis manibus cibum capere, non inquinat hominem. » Increpat discipulos Salvator, et insipientiam exprobrat, vel ut offensis, vel ut manifesta ignorantibus. Dicit igitur: Non intelligitis quod omnes intelligunt et sciunt ? Cibi enim non manent intus, sed infra exeunt per alvum, et nihil hominem in anima coinquinant, non enim manent intus. Cogitationes autem intrinsecus nascuntur, et manent illic, et egredientes, hoc est, in opus procedentes et actus inquinant hominem. Cogitatio enim scortationis intrinsecus manens maculat, et egrediens in opus maculat.

VERS. 21, 23. «Et digressus illinc Jesus, secessit in partes Tyri et Sidonis : et ecce mulier Chananæa quæ a finibus illis venerat, clamabat ad illum, dicens: Miserere mei, Domine, fili David : filia mea

A νομοθετεῖ, οὔτε ἀποτρέπει. Ἀλλ' ἕτερόν τι διδάσκει, τὸ μὴ ἐκβάλλειν ἀπὸ τῆς καρδίας πονηροὺς λόγους.

« Τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, εἶπον αὐτῷ· Οἶδας ὅτι οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον, ἐσκανδαλίσθησαν ; » Οἱ μὲν μαθηταὶ διὰ τοὺς Φαρισαίους λέγουσιν, ὅτι ἐσκανδαλίσθησαν. Πλὴν ἀλλὰ καὶ αὐτοὶ ἐθορυβήθησαν· τοῦτο δὲ δῆλον ἀπὸ τοῦ προσελθεῖν τὸν Πέτρον καὶ ἐρωτῆσαι περὶ τούτου. Ὁ γοῦν Ἰησοῦς ἀκούσας, ὅτι ἐσκανδαλίσθησαν οἱ Φαρισαῖοι, εἶπε·

« Πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται· ἄφετε αὐτούς· ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν, τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφό- B τεροι εἰς βόθυνον πεσοῦνται. » Τὰς τῶν πρεσβυτέρων παραδόσεις καὶ τὰ Ἰουδαϊκὰ ἐντάλματα λέγει ἐκριζωθήσεσθαι· οὐχὶ τὰ τοῦ νόμου, ὡς νοοῦσι Μανιχαῖοι· ὁ γὰρ νόμος φυτεία ἐστὶ Θεοῦ· οὐ τοίνυν οὗτος ἐξεῤῥιζώθη. Μένει γὰρ ἡ ῥίζα αὐτοῦ, τουτέστι, τὸ κρυπτόμενον πνεῦμα. Τὰ δὲ φύλλα, ἤτοι τὸ φαινόμενον γράμμα, ἀπεῤῥύη· οὐκ ἔτι γὰρ τὸν νόμον κατὰ τὸ γράμμα, ἀλλὰ κατὰ τὸ πνεῦμα νοοῦμεν· Ἀπεγνωσμένων δὲ ὄντων τῶν Φαρισαίων καὶ ἀνιάτων, εἶπε τό· Ἄφετε αὐτούς. Ἐντεῦθεν οὖν μανθάνομεν, ὅτι τὸ σκανδαλίζεσθαι τοὺς ἑκοντὶ σκανδαλιζομένους καὶ ἀνιάτους, οὐκ ἔστιν ἡμῖν βλαβερόν· διδασκάλους δὲ αὐτοὺς λέγει τυφλοὺς τυφλῶν· τοῦτο δέ φησιν ὡς ἂν ἀποστήσῃ ἀπ' αὐτῶν τοὺς ὄχλους.

« Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Φράσον C ἡμῖν τὴν παραβολὴν ταύτην. » Ὁ Πέτρας ἐπεὶ ᾔδει ὅτι ὁ νόμος ἐκώλυε πάντα ἐσθίειν, δεδιὼς εἰπεῖν τῷ Ἰησοῦ, ὅτι Σκανδαλίζομαι ἐφ' οἷς εἶπας, φαινομένοις παρανόμοις εἶναι· προσποιεῖται ἄγνοιαν καὶ ἐπερωτᾷ.

« Ὁ δὲ Ἰησοῦς εἶπεν, Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε. Οὔπω νοεῖτε, ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται ; Τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον· ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι. Ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον. Τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον. » Ἐπιτιμᾷ τοῖς μαθηταῖς ὁ Σωτήρ, καὶ ἀφρο- D σύνην ὀνειδίζει, ἢ ὡς σκανδαλισθεῖσιν. ἢ ὡς ἀγνοήσασι τὸ σαφές· φησὶν οὖν, ὅτι Τοῦτο τὸ πᾶσι νοούμενον καὶ φαινόμενον οὐ νοεῖτε ; ὅτι τὰ μὲν βρώματα οὐ μένει ἔσω, ἀλλὰ κάτω ἐξέρχονται, μηδὲν μολύνοντα κατὰ ψυχὴν τὸν ἄνθρωπον, οὐ γὰρ μένουσιν ἔνδον. Οἱ δὲ λογισμοὶ ἔσωθέν τε γεννῶνται, καὶ μένουσιν ἐκεῖ, καὶ ἐξερχόμενοι, τουτέστιν, εἰς ἔργον προχωροῦντες καὶ εἰς πρᾶξιν, μολύνουσι τὸν ἄνθρωπον· ὁ γὰρ λογισμὸς τῆς πορνείας, ἔσωθέν τε μένων, μιαίνει, καὶ ἐξερχόμενος εἰς ἔργον καὶ πραττόμενος, κατασπιλοῖ.

« Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς, ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος· καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγαζεν αὐτῷ, λέγουσα· Ἐλέησόν με, Κύριε υἱὲ Δαυίδ· ἡ θυγάτηρ μου

κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. » Τίνος ἕνεκεν τοὺς μαθητὰς κωλύσας εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν, αὐτὸς εἰς Τύρον καὶ Σιδῶνα, τὰς ἐθνικὰς πόλεις, παραγίνεται; Μάθε οὖν ὅτι οὐχ ὡς κηρύξων ἦλθεν ἐκεῖ, ἐπεὶ ὡς ὁ Μάρκος φησί, « καὶ ἔκρυψεν ἑαυτόν. » Ἄλλως τε, ἐπεὶ εἶδε τοὺς Φαρισαίους μὴ δεξαμένους τὸν περὶ βρωμάτων λόγον, μεταβαίνει ἐπὶ τὰ ἔθνη. Ἐλέησον δὲ λέγει, οὐχὶ τὴν θυγατέρα μου· ἐκείνη γὰρ ἀναισθητεῖ, ἀλλ' ἐμὲ τὴν τὰ δεινὰ πάσχουσαν καὶ αἰσθανομένην. Καὶ οὐ λέγει, Ἐλθὲ, καὶ ἴασαι, ἀλλ' Ἐλέησον. Ὁ δὲ οὐκ ἀποκρίνεται αὐτῇ λόγον, οὐχ ὡς καταφρονῶν, ἀλλ' ἵνα δείξῃ, ὅτι διὰ τοὺς Ἰουδαίους ἦλθε προηγουμένως· καὶ ἐμφράξῃ τὰς συκοφαντίας αὐτῶν, μὴ ἐχόντων ὕστερον λέγειν, ὅτι τοὺς ἐθνικοὺς εὐεργετεῖ· ἅμα δὲ, ἵνα καὶ τὴν ἐπίμονον πίστιν τῆς γυναικὸς ἐπιδείξῃ·

« Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν, λέγοντες· Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ, ἀποκριθεὶς εἶπεν· Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. » Οἱ μαθηταὶ βαρυνθέντες τῇ κραυγῇ τῆς γυναικὸς, ἠρώτων, ἵνα ἀπολύσῃ αὐτὴν, τουτέστι, παρεκάλουν ἀποπέμψασθαι αὐτήν. Τοῦτο δὲ ἐποίουν, οὐχ ὡς ἄσπλαγχνοι, ἀλλὰ μᾶλλον θέλοντες πεῖσαι τὸν Κύριον ἐλεῆσαι αὐτήν. Ὁ δέ· Οὐκ ἀπεστάλην, φησὶν, εἰ μὴ εἰς τοὺς Ἰουδαίους, οἳ ἀπολωλότα εἰσὶ πρόβατα, ἀπὸ κακίας τῶν ἐμπιστευθέντων αὐτά. Διὰ δὲ τούτων δημοσιεύει τὴν πίστιν τῆς γυναικὸς ἐπὶ πλέον.

« Ἡ δὲ, ἐλθοῦσα προσεκύνησεν αὐτῷ, λέγουσα, Κύριε, βοήθει μοι. Ὁ δὲ, ἀποκριθεὶς εἶπεν· Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ εἶπε· Ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. » Ἐπεὶ εἶδεν ἡ γυνὴ τοὺς συνηγόρους αὐτῆς τοὺς ἀποστόλους, ἀποτυχόντας, πάλιν πρόσεισι θερμῶς, καὶ Κύριον ἀποκαλεῖ. Ἐπεὶ δὲ ὁ Χριστὸς κύνα αὐτὴν ἀποκαλεῖ, διὰ τὸ τοὺς ἐθνικοὺς ἀκάθαρτον βίον ἔχειν καὶ περὶ τὰ αἵματα τῶν εἰδωλοθύτων ἀναστρέφεσθαι, τέκνα δὲ τοὺς Ἰουδαίους, ἐκείνη συνετῶς ἀποκρίνεται καὶ μάλα σοφῶς, ὅτι Εἰ καὶ κύων εἰμὶ καὶ οὐκ ἀξία ἄρτον λαβεῖν, τουτέστι, δύναμίν τινα καὶ μέγα σημεῖον· ἀλλ' οὖν τοῦτο τὸ μικρὸν μὲν ὡς πρὸς τὴν σὴν δύναμιν, ἐμοὶ δὲ μέγα, δός· ὥσπερ καὶ τὰς ψίχας, οἱ μὲν τοὺς ἄρτους ἐσθίοντες οὐ μέγα τι ἔχουσιν, οἱ δὲ κύνες μέγα, καὶ ἐκ τούτων τρέφονται.

« Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις· καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης. Ἐφανέρωσε νῦν ὁ Ἰησοῦς τὴν αἰτίαν δι' ἣν ἀνεβάλλετο τὴν θεραπείαν ἐξ ἀρχῆς· ἵνα γὰρ ἡ πίστις καὶ ἡ σύνεσις τῆς γυναικὸς ἀναφανῇ, διὰ τοῦτο οὐκ εὐθὺς ἐξ ἀρχῆς κατένευσεν ὁ Χριστὸς, ἀλλὰ καὶ ἀποπέμπεται μᾶλλον. Νῦν δὲ ἐπεὶ ἐξεκαλύφθη ἡ πίστις (22) αὐτῆς, ἐπαινεῖται, ἀκούουσα· « Μεγάλη σου ἡ

A male a dæmonio agitatur. Ille vero non respondit ei verbum. » Quare discipulos prohibuit ire in viam gentium, ipse autem in Tyrum et Sidonem, gentilium civitates, ivit? Disce igitur quod non ut prædicaturus ivit illuc, quia (ut Marcus dicit) « et occultavit se. » Vel aliter sic: quia vidit Pharisæos nolle suscipere sermonem de 80 cibis, transit ad gentes. Miserere autem, dicit non filiæ meæ, illa enim sensu caret, sed mei, quæ tam gravia patior et sentio. Nec dicit, Veni, et sana, sed, Miserere. At ille non respondit ei verbum, non quod contemnat, sed ut ostendat quod propter Judæos inprimis venerit: et ut occludat calumnias eorum, ne possint postea dicere quod gentilibus benefecerit, ipsis con-
B temptis; ad hæc, ut etiam firmam mulieris fidem manifestam reddat.

VERS. 23, 24. « Et accedentes discipuli ejus rogabant illum, dicentes: Omitte illam, nam clamat post nos. At ille respondens dixit: Non sum missus nisi ad oves quæ perierunt domus Israel. » Discipuli gravatim ferentes clamorem mulieris, rogabant: Dimitte eam, hoc est, obsecrabant ut ablegaret illam a se. Hoc autem faciebant non tanquam immisericordes, sed magis volentes persuadere Domino ut misereretur ei. At ille inquit: Non sum missus nisi ad Judæos, qui sunt oves perditæ per eorum malitiam, quibus fuerant concreditæ. Per hoc
C autem amplius evulgat fidem mulieris.

VERS. 25, 27. « Illa vero venit et adoravit illum dicens: Domine, succurre mihi. At ille respondit, ac dixit: Non est bonum sumere panem filiorum, et objicere catellis. Illa autem dixit: Etiam, Domine. Etenim catelli comedunt de micis quæ cadunt de mensa dominorum suorum. » Postquam vidit mulier patronos suos repulsam passos, iterum Dominum ferventer accedit, et invocat ut Dominum. Quia autem Christus canem illam dixerat, eo quod gentiles impuram agerent vitam, et in sanguine idolis immolatorum versarentur, filios vero Judæos: illa valde sapienter et magno intellectu respondit: Quamvis et canis sim, et indigna quæ panem accipiam, hoc est, virtutem, et signum ma-
D gnum: sed hoc parvum quid, quantum ad virtutem tuam attinet, mihi autem magnum fuerit, da, sicut et qui panes comedunt, non magni faciunt si micas dent: canes autem bene ex his pascuntur.

VERS. 28. « Tunc respondens Jesus dixit illi: O mulier, magna est fides tua, fiat tibi sicut vis. Et sanata est filia ejus ex illa hora. » Nunc manifestat Jesus causam propter quam sanationem ab initio distulerit, nempe ut fides et prudentia mulieris clarescat. Propterea non statim ab initio annuit Christus, sed magis illam a se amandavit: nunc autem quandoquidem ejus fides manifestata est, laudat eam: « Magna est fides tua. » Hoc autem quod dicit,

Ex collatione codd. Venet. S. Marci.

(22) Καὶ ἡ σύνεσις add. codd. 29.

Fiat tibi sicut vis, ostendit quod nisi fidem habuisset, nihil fuisset assecuta. Atque ita si voluerimus et nos, nihil vetat et nos assequi quæ voluerimus. Observa autem quod licet sancti orent pro nobis, sicut pro illa apostoli, attamen nos pro nobis ipsis petentes magis audimur. Est autem Chananæa symbolum Ecclesiæ e gentibus collectæ.
81 Nam et gentes prius repulsæ fuerunt, et postea in filiorum ordinem provectæ obtinuerunt panem, corpus, inquam, Domini. Judæi autem canes facti, ex micis videntur pasci, hoc est, parvitate et vilitate litteræ. Significat enim Tyrus cohibitionem, Sidon autem venantes: Chananæa, præparata humiliationi. Gentiles igitur qui malitia tenebantur, inter quos fuerunt venatores animarum dæmones, humilitate sunt præparati. Justi enim sublimi regno Dei sunt præparati.

VERS. 29, 31. « Et progressus illinc Jesus, venit juxta mare Galilææ, et conscenso monte sedebat illic: et accesserunt ad eum turbæ multæ, habentes secum claudos, cæcos, surdos, mutilos, et alios multos, et abjecerunt eos ante pedes Jesu, et sanavit eos, adeo ut turbæ miratæ sint cum viderent mutos loqui, mutilos esse sanos, claudos ambulare, cæcos videre: et glorificabant Deum Israel. » Non continuo versatur in Judæa, sed in Galilæa, propter multam incredulitatem Judæorum. Galilæi enim fideliores illis erant. Vide igitur fidem illorum, quomodo et in montem ascendant claudi exsistentes et cæci: non segnes sunt, sed et ad pedes Jesu objiciuntur, utpote illum supra hominem esse existimantes, unde et sanitatem assecuti sunt. Et tu igitur ascende in montem mandatorum, ubi sedet Jesus: et si cæcus fueris, non valens videre per teipsum quod bonum: et si claudus, videns quidem quod bonum, non valens autem ad hoc pervenire: et si surdus, qui neque alium audias admonentem, neque alium admonere valeas: et si mutilus sis, non valens extendere manum ad eleemosynam: et si alio quodam morbo teneare, prosternas te ad pedes Jesu, et vestigia vitæ illius attinge, curationemque habebis.

VERS. 32. « Jesus autem vocatis ad se discipulis suis dixit: Miseret me turbæ, propterea quod jam triduo perseverant apud me, et non habent quod edant: et dimittere eos jejunos nolo, ne deficiant in via. » Turbæ quidem non audebant panes petere, utpote qui ad recipiendam sanitatem venerant: ipse autem misericors exsistens, curam agit: et ne quis dicere possit quod alia viatica habeant, inquit, quod si etiam habuissent, fuissent consumpta: tres enim jam dies sunt. Ostendit autem quod a longe venerint, dicendo, Ne deficiant in via. Hæc autem dicit ad discipulos, excitare eos volens ut dicant ipsi quod possit eos alere, sicut et quinque millia: sed illi adhuc sapientia carebant.

VERS. 33. « Et dicunt illi discipuli ejus: Unde

A πίστις· » τὸ δὲ, Γενηθήτω σοι ὡς θέλεις, εἰπὼν, ἔδειξεν ὅτι ἐὰν μὴ πίστιν εἶχεν, οὐκ ἂν ἔτυχε τῆς αἰτήσεως· ὥστε ἐὰν θέλωμεν καὶ ἡμεῖς, οὐδὲν τὸ κωλῦον τυχεῖν ὧν θέλομεν. Σημείωσαι δὲ ὅτι κἂν ἅγιοι αἰτῶσιν ὑπὲρ ἡμῶν, ὥσπερ ὑπὲρ ἐκείνης οἱ ἀπόστολοι, ἀλλ' οὖν ἡμεῖς ὑπὲρ ἑαυτῶν αἰτοῦντες, πλέον ἀνύομεν. Σύμβολον δὲ ἡ Χαναναία καὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας. Καὶ γὰρ καὶ τὰ ἔθνη ἀπωσμένα πρότερον, ὕστερον εἰς τὴν τῶν υἱῶν τάξιν ἀνεβιβάσθησαν, καὶ τοῦ ἄρτου ἠξιώθησαν, τοῦ σώματος λέγω τοῦ Κυρίου. Οἱ δὲ Ἰουδαῖοι, κύνες ἐγένοντο, ἐκ τῶν ψιχίων δοκοῦντες τρέφεσθαι, τουτέστι, τῶν μικρῶν καὶ εὐτελῶν τοῦ γράμματος. Σημαίνει δὲ ἡ Τύρος, συνοχήν· ἡ δὲ Σιδὼν, θηρῶντες. Χαναναία δὲ, ἡτοιμασμένη
B τῇ ταπεινώσει· οἱ γοῦν συνεχόμενοι τῇ κακίᾳ ἐθνικοὶ, ἐν οἷς ἦσαν οἱ θηρῶντες τὰς ψυχὰς δαίμονες, οὗτοι καὶ τῇ ταπεινώσει εἰσὶν ἡτοιμασμένοι· οἱ γὰρ δίκαιοι, τῷ ὕψει τῆς βασιλείας τοῦ Θεοῦ ἡτοιμάσθησαν.

« Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς, ἦλθε παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, καὶ ἀναβὰς εἰς τὸ ὄρος, ἐκάθητο ἐκεῖ· καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ, ἔχοντες μεθ' ἑαυτῶν χωλοὺς, τυφλοὺς, κωφοὺς, κυλλοὺς, καὶ ἑτέρους πολλοὺς, καὶ ἔῤῥιψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐθεράπευσεν αὐτούς· ὥστε τοὺς ὄχλους θαυμάσαι βλέποντας, κωφοὺς λαλοῦντας, κυλλοὺς ὑγιεῖς, χωλοὺς περιπατοῦντας, τυφλοὺς βλέποντας· καὶ ἐδόξασαν τὸν Θεὸν Ἰσραήλ. » Οὐ τῇ Ἰουδαίᾳ συνεχῶς ἐπιδημεῖ, ἀλλὰ τῇ Γαλιλαίᾳ,
C διὰ τὴν πολλὴν ἀπιστίαν τῶν Ἰουδαίων· οἱ γὰρ Γαλιλαῖοι πιστότεροι ἦσαν ἐκείνων. Ἴδε οὖν τὴν πίστιν αὐτῶν, πῶς καὶ εἰς τὸ ὄρος ἀνέρχονται χωλοὶ ὄντες καὶ τυφλοὶ, καὶ οὐ κατοκνοῦσιν, ἀλλὰ καὶ πρὸς τοὺς πόδας ῥίπτονται τοῦ Ἰησοῦ, ὡς ὑπὲρ ἄνθρωπον δοκοῦντες αὐτὸν, ὅθεν καὶ τῆς ἰάσεως ἔτυχον. Καὶ σὺ οὖν ἄνελθε εἰς τὸ ὄρος τῶν ἐντολῶν, ἔνθα κάθηται ὁ Κύριος· κἂν τυφλὸς ᾖς, μὴ δυνάμενος ἀφ' ἑαυτοῦ ἰδεῖν τὸ καλόν. κἂν χωλὸς, βλέπων μὲν τὸ καλὸν, οὐ δυνάμενος δὲ εἰς αὐτὸ ἐλθεῖν· κἂν κωφὸς, μήτε ἄλλου ἀκούων παραινοῦντος, μήτε ἄλλῳ παραινέσαι δυνάμενος· κἂν κυλλὸς, τουτέστι, τὴν χεῖρα εἰς ἐλεημοσύνην μὴ δυνάμενος ἐκτεῖναι· κἂν ἄλλο τι νοσῇς, πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ καὶ τῶν ἰχνῶν τοῦ βίου ἐκείνου ἀψάμενος, θεραπευθήσῃ.

« Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπε· Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη
D ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι, καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μὴ ποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. » Οἱ μὲν ὄχλοι οὐκ ἐτόλμων ἄρτους αἰτῆσαι, ὡς ἐπὶ θεραπείᾳ ἐλθόντες. Αὐτὸς δὲ φιλάνθρωπος ὢν, φροντίζει· ἵνα δὲ μὴ ἔχῃ τις εἰπεῖν ὅτι, Ἀλλα ἐφόδια ἔχουσι, φησὶν, Εἰ καὶ εἶχον, ἀνηλώθησαν ἄν· τρεῖς γὰρ ἤδη ἡμέραι εἰσί. Δείκνυσι δὲ ὅτι καὶ μακρόθεν ἦλθον, ἐν τῷ λέγειν, Ἵνα μὴ ἐκλυθῶσιν ἐν τῇ ὁδῷ· ταῦτα δὲ λέγει πρὸς τοὺς μαθητὰς, διεγεῖραι αὐτοὺς βουλόμενος πρὸς τὸ εἰπεῖν αὐτῷ, ὅτι Δύνασαι αὐτοὺς θρέψαι ὡς καὶ τοὺς πεντακισχιλίους· ἀλλ' ἐκεῖνοι ἀνοηταίνουσιν ἔτι.

« Καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Πόθεν

ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι, ὥστε χορτάσαι ὄχλον A τοσοῦτον; » Καίτοι ἔδει συνιέναι αὐτοὺς, ὅτι καὶ πρότερον πλείους ἐτράφησαν ἐν ἐρημίᾳ· ἀλλ' ἀναισθήτως ἔχουσιν, ἵν' ὅταν ἴδῃς τούτους ὕστερον σοφίας τοσαύτης πλήρεις, θαυμάζῃς τὴν τοῦ Χριστοῦ χάριν.

« Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πόσους ἄρτους ἔχετε; Οἱ δὲ εἶπον· Ἑπτὰ, καὶ ὀλίγα ἰχθύδια. Καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας, εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ· οἱ δὲ μαθηταὶ τῷ ὄχλῳ. Καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων ἑπτὰ σπυρίδας πλήρεις. Οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων. » Εὐτέλειαν διδάσκων, B ἐπὶ τὴν γῆν ἀνακλίνει· εὐχαριστεῖν δὲ διδάσκων πρὸ τροφῆς ἡμᾶς, εὐχαριστεῖ καὶ αὐτός. Ἐρωτᾷς δὲ πῶς ἐκεῖ μὲν, καίτοι πέντε ὄντων ἄρτων καὶ πεντακισχιλίων τῶν τραφέντων, δώδεκα κόφινοι· ἐνταῦθα δὲ πλειόνων τῶν ἄρτων ὄντων καὶ ἐλαττόνων τῶν τραφέντων, ἑπτὰ σπυρίδες ἐπερίττευσαν; Ἔστιν οὖν εἰπεῖν, ὅτι ἢ αἱ σπυρίδες μείζους ἦσαν τῶν κοφίνων, ἢ ἵνα μὴ ἡ ἰσότης τοῦ θαύματος εἰς λήθην αὐτοὺς ἐμβάλῃ. Εἰ γὰρ καὶ νῦν ἐπερίσσευσαν δώδεκα κόφινοι, ἐπελάθοντο ἂν ἐκ τῆς ἰσότητος, ὅτι δεύτερον ἐθαυματούργησεν ἐπὶ ἄρτοις. Σὺ δὲ καὶ τοῦτο γνῶθι, ὅτι οἱ τετρακισχίλιοι, τουτέστιν, οἱ τὰς τέσσαρας ἀρετὰς ἔχοντες τελείως, οὗτοι ἑπτὰ ἄρτοις, τουτέστι, πνευματικωτέροις λόγοις καὶ τελειοτέροις τρέφονται. Ὁ γὰρ ἑπτὰ ἀριθμὸς, τῶν ἑπτὰ πνευματικῶν χαρισμά- C των σύμβολον· ἀναπίπτουσι δὲ ἐπὶ τὴν γῆν, ὑποκάτω αὐτῶν τιθέντες πάντα τὰ γήϊνα, καὶ καταπατοῦντες αὐτά, ὥσπερ καὶ οἱ πεντακισχίλιοι ἐπὶ τοὺς χόρτους ἀνέπεσον, τουτέστι, τὴν σάρκα καὶ τὴν δόξαν ὑποκάτω αὐτῶν ἔθεντο. « Πᾶσα γὰρ σὰρξ, χόρτος· καὶ πᾶσα ἀνθρώπου δόξα, ὡς ἄνθος χόρτου. » Ἑπτὰ δὲ σπυρίδες ἐνταῦθα τὰ περιττά, διότι πνευματικὰ καὶ τελειότερα ἦσαν ἃ οὐκ ἠδυνήθησαν φαγεῖν· ἐκεῖνα οὖν ἐπερίσσευσαν ἃ ἑπτὰ σπυρίδες χωροῦσι, τουτέστιν, ἃ μόνον τὸ ἅγιον Πνεῦμα οἶδε. « Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. »

« Καὶ ἀπολύσας τοὺς ὄχλους, ἐνέβη εἰς τὸ πλοῖον, καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά. » Ἀναχωρεῖ ὁ Ἰησοῦς, ἐπεὶ οὐδὲν ἄλλο σημεῖον ἐποίει πλείους αὐτῷ ἀκολουθεῖν ὡς τὸ τῶν ἄρτων. Ὥστε καὶ βασιλέα αὐ- D τὸν ἔμελλον ποιῆσαι, ὡς Ἰωάννης φησίν. Ἵνα οὖν φύγῃ τὴν τῆς τυραννίδος ὑποψίαν, μεταβαίνει.

## ΚΕΦΑΛ. ΙϚ'.

Περὶ τῆς ζύμης τῶν Φαρισαίων. Περὶ τῆς ἐν Καισαρείᾳ ἐπερωτήσεως. Περὶ τῆς ἐπιτιμήσεως τοῦ Πέτρου, ὅπως μὴ Χριστὸς πάθῃ.

« Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι, πειράζοντες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. » Κἂν τοῖς δόγμασι διΐσταντο Φαρισαῖοι καὶ Σαδδουκαῖοι, ἀλλά γε κατὰ Χριστοῦ

A nobis in solitudine panes tam multi ut saturemus turbam tantam? » Quamvis non oportebat illos oblitos esse, quod et prius plures paverit in solitudine, sed stupidi erant, ut cum postea hos videris tanta sapientia præditos, mirereris Christi gratiam.

VERS. 34-38. « Et dicit illis Jesus : Quot panes habetis? Illi autem dixerunt : Septem, et paucos 82 pisciculos. Et jussit turbas discumbere in terra, et sumpsit septem panes ac pisces: et postquam gratias egisset, fregit, deditque discipulis suis : discipuli autem turbæ. Comederuntque omnes, et saturati sunt. Et sustulerunt quod supererat fragmentorum, septem sportulas plenas. At hi qui comederant, erant quater mille viri, præter mulie- B res et pueros, » Frugalitatem docens, super terram recumbere jubet: et gratias agere ante cibum nos discens, gratias agit et ipse. Rogas autem, quo pacto illic quidem cum essent quinque panes, et quinque millia aliti essent, duodecim cophini superfuerunt : hic autem cum essent pauciores pascendi, et plures panes, septem sportæ? Dici igitur posset vel quod sportæ majores essent cophinis, vel ne æqualitas miraculi eos oblivisci faceret. Nam si nunc quoque superfuissent duodecim cophini, obliti fuissent ob æqualitatem, quod iterum miraculum fecisset in panibus. Tu autem et hoc scias quod quatuor millia, hoc est, qui quatuor virtutes recte possident, hi septem panibus, hoc est, magis spiritualibus et perfectis sermonibus pascuntur. Se- C ptenarius enim numerus, septem spiritualium donorum est symbolum. Discumbunt autem super terram, quia omnibus terrenis superiores sunt, et calcant ea : sicut et quinque millia super fenum discubuerunt, hoc est, carnem et gloriam subjecerunt[21]. « Omnis enim caro, fenum : et omnis gloria hominis sicut flos feni[22]. » Septem autem sportæ hoc loco residuæ, eo quod spiritualia et perfectiora fuerunt, quæ non potuerunt comedere. Illa igitur supererant, quæ septem sportæ capiunt, hoc est, quæ solus sanctus Spiritus scit. Spiritus enim omnia scrutatur, etiam profunditates Dei.

VERS 39. « Et dimissis turbis conscendit navim, venitque in fines Magdala. » Secedit Jesus. Nullum enim signum plures, ut eum sequerentur, incitabat, quam illud quod in multiplicandis panibus fecerat. D Ita ut etiam, quemadmodum ait Joannes, in regem assumpturi erant illum [23]. Unde et secedit, quo tyrannidis effugiat suspicionem.

## CAPUT XVI.

*De fermento Pharisæorum. De facta Cæsareæ interrogatione. De increpatione Petri renuentis Christum pati.*

VERS. 1. « Et aggressi Pharisæi una cum Sadducæis, tentantes rogabant eum ut signum e cœlo ostenderet sibi. » Tametsi dogmatis dissideant Sadducæi et Pharisæi, nihilominus tamen contra Chri-

[21] Eccli. XIV, 18. [22] I Cor. II, 10. [23] Joan. VI, 15.

stam conspirant. Sihnum autem e cœlo petunt, ut sistere solem vel lunam. Existimabant enim quod signa quæ super terram fiebant, diabolica virtute et in Beelzebud fierent. Ignorabant enim insipientes quod 83 et Moses in Ægypto multa signa super terram fecerat, et ignem e cœlo descendisse super pecora Job, a diabolo erat, atque adeo non omnia quæ e cœlo, a Deo : neque quæ in terra omnia, a dæmonibus.

VERS. 2-4. « At ille respondens, dixit eis : Cum cœperit esse vespera, dicitis, Serenitas erit, nam rubet cœlum. Et mane : Hodie tempestas, rubet enim cœlum triste. Hypocritæ, faciem cœli scitis dijudicare, signa vero temporum non potestis ? » Reprehendit tentativam illorum quæstionem, hypocritas ipsos nominans, et inquit : Sicut signorum apparentium in cœlo aliud quidem pluvarium, aliud autem serenitatis indicium est : et nemo videns pluviarum signum, serenitatem requirit: vel serenitatis signum videns, pluvias timet : sic et de me cogitare oportet, quod alius tempus hujus adventus, et aliud futuri Nunc opus est miraculis in terra : quæ autem in cœlo fient, usque in illud tempus reservabuntur, quo sol exstinguetur, luna occultabitur, cœlum immutabitur [24]. « Natio prava et adultera signum requirit, et signum non dabitur ei, nisi signum Jonæ prophetæ. Et relictis illis, abiit. » Natio mala, utpote tentans: et adultera, ut deficiens a Deo, et adhærens diabolo. Petentibus autem signum e cœlo, non dat nisi signum Jonæ prophetæ, hoc est, quod in ventre magni ceti, hoc est, mortis, factus triduanus, resurget. Hoc autem signum etiam e cœlo esse dixeris. In morte enim ejus obtenebratus est sol, et creatura omnis immutata est. Vide autem sermonem: « Signum non dabitur ei nisi signum Jonæ prophetæ. » Ipsis enim data sunt signa, hoc est, propter ipsos facta sunt, tametsi non crediderint. Proinde et relictis illis ut incurabilibus, abiit.

VERS. 5, 6. « Et cum venissent discipuli ejus in ulteriorem ripam, per oblivionem non acceperunt panes. At Jesus dixit illis: Videte et cavete a fermento Pharisæorum et Sadducæorum. » Quemadmodum fermentum amarum est et vetus, ita et Pharisæorum et Sadducæorum doctrina mordet animas, amara existens, et veteres seniorum traditiones introducens. Et sicut fermentum temperatura est aquæ et farinæ : sic doctrina Pharisæorum mista est ex sermone et ex vita corrupta. Non dixit autem illis manifeste: Cavete a doctrina Pharisæorum, ut memores eos faceret signi panum.

VERS. 7-12. « At illi reputabant intra se, dicentes: Panes non sumpsimus. Quod ubi cognovit Jesus, dixit illis: Quid cogitatis intra vosipsos, o parum fidentes, quod panes non sumpseritis ? Nondum

[24] Matth. XXIV, 29.

A συμπνέουσι· σημεῖον δὲ ἐκ τοῦ οὐρανοῦ ζητοῦσιν, οἷον ἥλιον στῆσαι, σελήνην· ἐδόκουν γὰρ ὅτι τὰ ἐπὶ τῆς γῆς σημεῖα, ἀπὸ δαιμονικῆς δυνάμεως καὶ ἐν Βεελζεβοὺλ γίνονται. Ἠγνόουν γὰρ οἱ ἀνόητοι, ὅτι καὶ ὁ Μωσῆς ἐν Αἰγύπτῳ πολλὰ σημεῖα ἐκ τῆς γῆς ἐποίησε, καὶ τὸ πῦρ τὸ ἐξ οὐρανοῦ κατελθὸν ἐπὶ τὰ τοῦ Ἰὼβ κτήνη, ἀπὸ τοῦ διαβόλου ἦν· ὥστε οὐ πάντα τὰ ἐξ οὐρανοῦ, ἐκ Θεοῦ· οὐδὲ τὰ ἐκ γῆς πάντα, ἐκ δαιμόνων.

« Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ὀψίας γενομένης, λέγετε· Εὐδία, πυῤῥάζει γὰρ ὁ οὐρανός. Καὶ πρωΐ· Σήμερον χειμών, πυῤῥάζει γὰρ στυγνάζων ὁ οὐρανός· ὑποκριταί, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ
B δύνασθε ; » Ἐλέγχει τὴν πειραστικὴν αὐτῶν ζήτησιν, ὑποκριτὰς αὐτοὺς ὀνομάζων, καὶ φησὶν ὅτι Ὥσπερ τῶν ἐν οὐρανῷ φαινομένων ἄλλο μὲν τοῦ χειμῶνος σημεῖον, ἄλλο δὲ τῆς εὐδίας, καὶ οὐκ ἄν τις τὸ σημεῖον τοῦ χειμῶνος ἰδών, γαλήνην ζητήσειεν, οὐδὲ τὸ τῆς γαλήνης, χειμῶνα· οὕτω καὶ περὶ ἐμοῦ λογίζεσθαι χρή. Ἄλλος γὰρ οὗτος τῆς παρουσίας ὁ καιρὸς, καὶ ἄλλος ὁ μέλλων· νῦν χρεία τῶν ἐν γῇ σημείων. Τὰ δὲ ἐν τῷ οὐρανῷ, ἐν ἐκείνῳ τῷ καιρῷ ταμιεύεται, ὅτε ὁ ἥλιος σβεσθήσεται, ἡ σελήνη κρυβήσεται, ὁ οὐρανὸς ἀλλαγήσεται. « Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου, καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθε. » Πονηρὰ γενεά, ὡς πει-
C ράζοντες, μοιχαλίς, ὡς ἀφιστάμενοι τοῦ Θεοῦ· καὶ κολλώμενοι τῷ διαβόλῳ. Σημεῖον δὲ ἐξ οὐρανοῦ ζητούντων, οὐ δίδωσιν εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ, τουτέστιν, ὅτι τριήμερος ἐν τῇ κοιλίᾳ τοῦ μεγάλου κήτους τοῦ θανάτου γενόμενος, ἀναστήσεται. Τοῦτο δὲ τὸ σημεῖον, καὶ ἐξ οὐρανοῦ εἴποις ἂν εἶναι. Ἐν γὰρ τῷ θανάτῳ αὐτοῦ, ὁ ἥλιος ἐσκοτίσθη· καὶ ἡ κτίσις πᾶσα ἠλλοίωτο. Ὅρα δὲ τὴν λέξιν, « Σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. » Αὐτοῖς γὰρ ἐδίδοντο τὰ σημεῖα, τουτέστι, δι' αὐτοὺς ἐγίνοντο, κἂν ἐκεῖνοι ἠπίστουν. Διὸ καὶ καταλιπὼν αὐτοὺς ὡς ἀθεραπεύτους, ἀπῆλθεν.

« Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν, ἐπελάθοντο ἄρτους λαβεῖν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φα-
D ρισαίων καὶ Σαδδουκαίων. » Ὥσπερ ἡ ζύμη ὀξώδης ἐστὶ καὶ παλαιά, οὕτω καὶ ἡ τῶν Φαρισαίων καὶ Σαδδουκαίων διδασκαλία ἔδακνε τὰς ψυχάς, ὀξώδης οὖσα, καὶ παλαιὰς παραδόσεις τῶν πρεσβυτέρων εἰσάγουσα· καὶ ὥσπερ ἡ ζύμη μίγμα ἐστὶν ὕδατος καὶ ἀλεύρου, οὕτω καὶ ἡ διδασκαλία τῶν Φαρισαίων, μικτὴ ἔκ τε λόγου καὶ βίου διεφθαρμένου. Οὐκ εἶπε δὲ αὐτοῖς φανερῶς, Προσέχετε ἀπὸ τῆς διδασκαλίας τῶν Φαρισαίων, ἵνα ὑπομνήσῃ αὐτοὺς τῶν σημείων τῶν ἄρτων.

Οἱ δὲ διελογίζοντο ἐν αὐτοῖς λέγοντες ὅτι, Ἄρτους οὐκ ἐλάβομεν. Γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε ; Οὔπω νοεῖτε οὐδὲ μνημονεύετε τοὺς πέντε

ἄρτους τῶν πενταχισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε; οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, καὶ πόσας σπυρίδας ἐλάβετε; Πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν, Προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων; Τότε συνῆκαν ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλὰ ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων. Ἐνόμιζον ὅτι τοῦτο ἔλεγεν αὐτοῖς, τὸ φυλάττεσθαι τὸν ἐκ τῶν Ἰουδαϊκῶν βρωμάτων μολυσμὸν, διό καὶ διελογίζοντο ὅτι ἄρτους οὐκ ἔλαβον· ὀνειδίζει οὖν αὐτοῖς ὡς ἀνοήτοις καὶ ὀλιγοπίστοις. Καθ' ὃ μὲν γὰρ οὐκ ἐμνήσθησαν πόσοις ἄρτοις πόσους ἔθρεψεν, ἀνόητοι· καθ' ὃ δὲ ἠπίστησαν, ὅτι κἂν μὴ ἠγόρασαν ἄρτους ἐξ Ἰουδαίων, ἠδύνατο παραγαγεῖν αὐτὸς, κατὰ τοῦτο ὀλιγόπιστοι· ὡς δὲ ἐπετίμησεν αὐτοῖς σφοδρότερον, οὐ γὰρ πανταχοῦ ἡ πραότης καλὸν, εὐθέως συνῆκαν ὅτι ζύμην τὴν διδασκαλίαν ἐκάλεσε. Τοσοῦτον ἰσχύει πανταχοῦ ἡ εὔλογος ἐπιτίμησις.

« Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν Υἱὸν τοῦ ἀνθρώπου; » Ἐμνήσθη τοῦ κτίσαντος τὴν πόλιν, ἐπειδή ἐστι καὶ ἄλλη Καισάρεια, ἡ Στράτωνος, καὶ οὐκ ἐν ἐκείνῃ, ἀλλ' ἐν ταύτῃ αὐτοὺς ἐρωτᾷ. Πόῤῥω γὰρ τῶν Ἰουδαίων ἀπάγει τοὺς μαθητὰς, ὡς ἂν μηδένα φοβούμενοι, μετὰ παῤῥησίας εἴπωσι. Πρῶτον δὲ τὴν τοῦ πλήθους ἐρωτᾷ ὑπόληψιν, ἵνα εἰς μείζονα ἀνενεχθῶσιν ἔννοιαν, καὶ μὴ εἰς τὴν αὐτὴν ταπεινότητα τοῖς πολλοῖς πέσωσιν· οὐκ ἐρωτᾷ δὲ, Τίνα με λέγουσιν οἱ Φαρισαῖοι; ἀλλ', Οἱ ἄνθρωποι, περὶ τοῦ ἀδόλου πλήθους λέγων.

« Οἱ δὲ εἶπον· Οἱ μὲν Ἰωάννην τὸν Βαπτιστὴν, ἄλλοι δὲ Ἠλίαν· ἕτεροι δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. » Οἱ μὲν Ἰωάννην αὐτὸν ὀνομάζοντες, ἦσαν ὧν ὁ Ἡρώδης, νομίζοντες τὸν Ἰωάννην μετὰ τὴν ἀνάστασιν καὶ τοῦτο τὸ χάρισμα λαβεῖν, τὸ τῆς θαυματουργίας· οἱ δὲ Ἠλίαν, διὰ τὸ ἐλεγκτικὸν, καὶ διὰ τὸ προσδοκᾶσθαι ὅτι ἐλεύσεται· οἱ δὲ Ἱερεμίαν, διὰ τὸ αὐτοφυὲς τῆς σοφίας καὶ ἄνευ μαθήσεως· ὁ γὰρ Ἱερεμίας, παῖς ὢν εἰς προφητείαν ἐτάχθη.

« Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε· Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Καὶ πάλιν ὡς θερμὸς ὁ Πέτρος προπηδᾷ, καὶ ὁμολογεῖ ἀληθῶς αὐτὸν εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ. Οὐ γὰρ εἶπε, Σὺ εἶ ὁ Χριστὸς Υἱὸς τοῦ Θεοῦ, χωρὶς τοῦ ἄρθρου, ἀλλὰ μετὰ τοῦ ἄρθρου, ὁ Υἱὸς, τουτέστιν, αὐτὸς ἐκεῖνος ὁ εἷς καὶ μόνος, οὐ χάριτι Υἱὸς, ἀλλ' ὁ ἐξ αὐτῆς τῆς οὐσίας τοῦ Πατρὸς γεννηθεὶς, ἐπεὶ καὶ Χριστοὶ πολλοὶ ἦσαν, οἱ ἱερεῖς πάντες καὶ οἱ βασιλεῖς, ἀλλ' ὁ Χριστὸς μετὰ τοῦ ἄρθρου, εἷς ἐστιν.

« Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. »

A intelligitis, neque memoria tenetis quinque panes, cum homines essent quinque millia,et cophinos sustuleritis? neque septem illos pa cum essent quatuor millia,et quot sportas acc ritis? Qui fit ut non intelligatis me non de dixisse vobis illud,ut caveretis a84fermento Ph særum etSadducæorum?Tunc intellexerunt, nonjussisset cavere a fermento panis,sed a doc Pharisæorum etSadducæorum.»Existimabant hoc diceret illis,ut custodirent se ne coinquina tur a cibis Judaicis, ideoque loquebantur int quod panes non accepissent. Exprobrat igitur quod tam stupidi et tam parvæ fidei essent:im dentes enim erant et stupidi, quod non cogita B quam paucis panibus multos supra aluisset;etq paucæ fidei,quod quia non emerant aJudæis p diffiderent ipsum posse alicunde acquiere. E acrius eos perstrinxit (non enim ubique bon mansuetudo),statim intellexerunt quod fermen doctrinam vocasset. Tantum ubique valet rati bilis increpatio.

VERS. 13. « Cum venisset autem Jesus in pa Cæsareæ Philippi, interrogabat discipulos s dicens : Quem me dicunt homines esse, Fil hominis ? » Meminit ejus qui civitatem cond quia est et alia Cæsarea Stratonis, et non in sed in hac illos interrogat. Procul enim a Ju abducit discipulos, ut nullum timentes libere C fidenter dicant.Primum autem percontatur m tudinis opinionem, ut ad sublimiorem adduca cogitationem,et ne in eamdem, in quam pleri cadant humilitatem.Non interrogat autem. Q me dicunt Pharisæi? sed, Homines : de sim multitudine dicens.

VERS. 14. « Illi vero dicebant : Alii qui Joannem Baptistam, alli vero Eliam, alii au Hieremiam,aut unum ex prophetis.» QuiJoan illum nominabant, erant ex his qui cum He putabant Joannem post resurrectionem e donum accepisse operandi miracula. Qui au Eliam,movebantur ex eo quod acriter repreher bat et exspectabant, quod veniret.Qui veroH miam,hoc dicebant,quod simili sapientia præd D esset, quam a nullo didicerat. Etenim Hiere cum puer esset, in prophetam assumptus est

VERS. 15, 16. « Dicit illis: Vos autem quem dicitis esse ? Respondens autem Simon Pe dixit : Tu es Christus ille Filius Dei viventi Iterum ut ferventior Petrus prosilit, et vere c tetur ipsum esse Filium Dei.Non enim dixit,T Christus Filius Dei, absque articulo, sed articulo, *ille Filius*, hoc est, ille ipse, qui solu unicus : non gratia Filius, sed qui ex ipsa P substantia genitus : quia et multi Christi er sacerdotes et reges omnes, sed Christus cum culo unus est.

VERS. 17. « Et respondens Jesus, dixit i Beatus es,SimonBarJona.quia caro et sanguis revelavit tibi, sed Pater meus qui est in cœli

A Beatum dicit Petrum, quia a divina gratia scientiam acceperat: approbans autem Petrum, ostendit consequenter aliorum hominum opiniones falsas. Dixit autem illum Bar Jona, hoc est, filium Jona, quasi ita diceret: Sicut tu Jonæ filius, ita ego Patris mei 86 cœlestis, consubstantialis illi existens sum. Revelationem autem scientiam dicit, quia abscondita et ignota ei a Patre erant revelata.

VERS. 18. « At ego tibi dico, quod tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam, et portæ inferi non prævalebunt contra illam. » Remunerat Petrum Dominus, mercedem illi dans magnam, quod supra eum ædificavit Ecclesiam. Quia enim confessus erat eum Dei Filium Petrus, B dixit quod hæc confessio quam confessus est fundamentum erit futurum credentium: ita ut omnis homo exstructurus fidei domum, hoc jacturus sit fundamentum. Nam licet innumeras condamus virtutes, non habeamus autem fundamentum rectam confessionem, inutiliter ædificamus: cum autem dixit, Ecclesiam meam, ostendit se Dominum universi: Deo enim serviunt omnia. Portæ autem inferi, temporales sunt persecutores, qui ad infernum mittere conantur Christianos. Et hæretici quoque portæ sunt ad infernum ducentes. Multis igitur persecutoribus, et multis hæreticis prævaluit Ecclesia. Est autem et unusquisque nostrum Ecclesia, quæ fit domus Dei. Si igitur in confessione Christi C confirmati fuerimus, portæ inferi, hoc est, peccata, non prævalebunt nobis. De his enim portis exaltatus David dicebat: « Qui exaltas me de portis mortis [25]. Quales portæ? o David. Duæ: cædis scilicet, et adulterii.

VERS. 19. « Et dabo tibi claves regni cœlorum, et quidquid alligaveris super terram erit alligatum in cœlis: et quidquid solveris super terram erit solutum in cœlis. » Tanquam Deus magna potestate dicit: Dabo tibi. Sicut enim pater dedit tibi revelationem, sic ego claves. Claves autem intelligas quæ ligant et solvunt, hoc est, delictorum vel indulgentias vel pœnas. Habent enim potestatem remittendi et ligandi, qui sicut Petrus, episcopatus gratiam assecuti sunt. Quamvis autem Petro soli dictum sit, Dabo tibi: omnibus tamen et apostolis ea potestas con- D cessa est. Quando? cum dixit, Quorumcunque remiseritis peccata, remittuntur. Etenim cum dixit, Dabo, futurum tempus signat, hoc est, post resurrectionem. Cœli autem dicuntur et virtutes, quarum claves sunt bonæ operationes. Nam operando ingredimur, quasi per claves quasdam aperientes, in unamquamque virtutum. si autem non operor, sed solum scio bonum, habeo quidem clavem scientiæ solum, extra autem maneo. Ligatur autem in cœlis, hoc est, in virtutibus, qui non ambulat in illis: nam sedulus in illis solutus est. Ne habeamus igitur peccata, ut non catenis nostrorum peccatorum ligati simus.

[25] Psal. IX, 15.

Μακαρίζει τὸν Πέτρον ὡς ἐκ θείας χάριτος λαβόντα τὴν γνῶσιν· ἀποδεχόμενος δὲ αὐτὸν, δείκνυσι λοιπὸν τὰς τῶν ἄλλων ἀνθρώπων ὑπολήψεις ψευδεῖς· εἶπε δὲ αὐτῷ Βὰρ Ἰωνᾶ, τουτέστιν, υἱὲ τοῦ Ἰωνᾶ, μονονουχὶ τοῦτο λέγων, ὅτι Ὥσπερ σὺ τοῦ Ἰωνᾶ παῖς, οὕτως ἐγὼ τοῦ Πατρός μου τοῦ ἐν οὐρανῷ ὁμοούσιος ὢν ἐκείνῳ. Ἀποκάλυψιν δὲ λέγει τὴν γνῶσιν, ὡς τῶν κρυφίων καὶ ἀγνώστων φανερωθέντων παρὰ τοῦ Πατρός.

« Κἀγὼ δὲ σοι λέγω ὅτι σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. » Ἀμείβεται τὸν Πέτρον ὁ Κύριος, μισθὸν αὐτῷ διδοὺς μέγαν, τὸ ἐπ' αὐτῷ οἰκοδομηθῆναι τὴν Ἐκκλησίαν. Ἐπεὶ γὰρ ὡμολόγησεν αὐτὸν Υἱὸν Θεοῦ ὁ Πέτρος, φησὶν ὅτι, Αὕτη ἡ ὁμολογία ἣν ὡμολόγησας, θεμέλιον μέλλει εἶναι τῶν πιστευόντων, ὥστε πάντα ἄνθρωπον μέλλοντα κτίζειν τὸν τῆς πίστεως οἶκον, ταύτην τὴν ὁμολογίαν ὑποτιθέναι θεμέλιον. Κἂν γὰρ μυρίας ἀρετὰς κτίζωμεν, μὴ ἔχωμεν δὲ θεμέλιον τὴν ὀρθὴν ὁμολογίαν, σαθρὰ κτίζομεν. Εἰπὼν δὲ, Τὴν Ἐκκλησίαν μου, δείκνυσιν ἑαυτὸν Δεσπότην τοῦ παντός· Θεοῦ γὰρ δοῦλα τὰ σύμπαντα. Πύλαι δὲ ᾅδου, οἱ κατὰ καιροὺς διῶκται, οἳ εἰς ᾅδην παρέπεμπον τοὺς Χριστιανούς. Καὶ οἱ αἱρετικοὶ δὲ, πύλαι εἰς ᾅδην φέρουσαι· πολλῶν οὖν διωκτῶν καὶ πολλῶν αἱρετικῶν ὑπερίσχυσεν ἡ Ἐκκλησία. Ἔστι δὲ καὶ ἕκαστος ἡμῶν Ἐκκλησία, οἶκος Θεοῦ γινόμενος. Ἐὰν οὖν ἐπὶ τῇ ὁμολογίᾳ τοῦ Χριστοῦ στηριχθῶμεν, αἱ πύλαι τοῦ ᾅδου, ἤτοι αἱ ἁμαρτίαι, οὐ κατισχύσουσιν ἡμῶν· ἐκ γὰρ τούτων τῶν πυλῶν ὑψωθεὶς καὶ ὁ Δαυῒδ ἔλεγεν· « Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου. » Ποίων, ὦ Δαυῒδ, πυλῶν; Τῶν δύο, τοῦ φόνου καὶ τῆς μοιχείας.

« Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. » Ὡς Θεὸς λέγει τὸ, Δώσω σοι, ἐξουσιαστικῶς· ὡς γὰρ ὁ Πατὴρ δέδωκέ σοι τὴν ἀποκάλυψιν, οὕτως ἐγὼ τὰς κλεῖς. Κλεῖδας δὲ νοήσεις, τὰς δεσμούσας καὶ λυούσας τὰς τῶν σφαλμάτων ἢ συγχωρήσεις ἢ ἐπιτιμήσεις· ἔχουσι γὰρ ἐξουσίαν ἀφιέναι καὶ δεσμεῖν, οἱ κατὰ Πέτρον τῆς ἐπισκοπικῆς ἀξιωθέντες χάριτος· εἰ γὰρ καὶ πρὸς Πέτρον μόνον εἴρηται τὸ, Δώσω σοι, ἀλλὰ καὶ πᾶσι τοῖς ἀποστόλοις δέδοται. Πότε; Ὅτε εἶπεν Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται. Καὶ γὰρ τὸ, Δώσω, μέλλοντα χρόνον σημαίνει, τουτέστι, τὸν μετὰ ἀνάστασιν. Οὐρανοὶ δὲ λέγονται καὶ αἱ ἀρεταὶ, κλεῖδες δὲ τούτων, αἱ ἐργασίαι· διὰ γὰρ τοῦ ἐργάζεσθαι εἰσερχόμεθα, ὥσπερ διά τινων κλειδῶν ἀνοιγουσῶν, εἰς ἑκάστην τῶν ἀρετῶν. Ἐὰν δὲ οὐκ ἐργάζωμαι, ἀλλὰ μόνον οἶδα τὸ ἀγαθὸν, ἔχω μὲν τὴν κλεῖδα τῆς γνώσεως μόνον, ἔξω δὲ μένω· δέδεται δὲ ἐν τοῖς οὐρανοῖς, τουτέστιν, ἐν ταῖς ἀρεταῖς, ὁ μὴ βαδίζων ἐν αὐταῖς· ὁ γὰρ σπουδαῖος, ἐν ταύταις λέλυται. Μὴ ἔχωμεν οὖν ἁμαρτίας, ἵνα μὴ σειραῖς τῶν οἰκείων ἁμαρτιῶν δεσμώμεθα.

« Τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ ἵνα μηδενὶ A εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός. » Ἐβούλετο ὁ Χριστὸς, πρὸ τοῦ σταυροῦ συσκιάζεσθαι τὴν περὶ αὐτοῦ δόξαν. Εἰ γὰρ ἤκουσαν οἱ ἄνθρωποι πρὸ τοῦ πάθους ὅτι Θεός ἐστιν, εἶτα ἔβλεπον αὐτὸν πάσχοντα, πῶς οὐκ ἂν ἐσκανδαλίσθησαν; Διὰ τοῦτο οὖν κρύπτει ἑαυτὸν τοῖς πολλοῖς, ἵνα μετὰ τὴν ἀνάστασιν ἀσκανδαλίστως γνωσθῇ, τοῦ Πνεύματος πάντα ἐξομαλίζοντος διὰ τῶν θαυματουργιῶν.

« Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ Γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. » Προλέγει αὐτοῖς τὸ πάθος, B ἵνα μὴ ἐλθόντος ἀπροσδοκήτως, σκανδαλισθῶσιν, οἰηθέντες ὡς ἄκων καὶ ἀγνοῶν πέπονθεν· ἐπεὶ γὰρ ἤκουσαν διὰ τῆς τοῦ Πέτρου ὁμολογίας ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐστι, τότε ἀποκαλύπτει αὐτοῖς καὶ τὰ τοῦ πάθους. Μετὰ δὲ τὰ λυπηρὰ, ἐπάγει καὶ τὸ χαρμόσυνον, τὸ ἐν τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

« Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾷν αὐτῷ, λέγων· Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. » Ὃ μὲν ἀπεκαλύφθη, ὁ Πέτρος ὀρθῶς ὡμολόγησεν, ὃ δὲ οὐκ ἀπεκαλύφθη, ἐσφάλη· ἵνα μάθωμεν ὅτι χωρὶς Θεοῦ οὐδὲ ἐκεῖνο ἐφθέγξατο τὸ μέγα. Μὴ θέλων οὖν παθεῖν τὸν Χριστὸν ὁ Πέτρος, καὶ ἀγνοῶν τὸ τῆς ἀναστάσεως μυστήριον· Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο, φησίν. C

« Ὁ δὲ στραφεὶς εἶπε τῷ Πέτρῳ. Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. » Ὅτε μὲν ὀρθὰ ἐλάλει ὁ Πέτρος, μακαρίζει αὐτὸν ὁ Χριστὸς, ὅτε δὲ ἀλόγως ἐδειλίασε, καὶ οὐκ ἤθελε παθεῖν αὐτὸν, ἐπέπληξεν, εἰπών· Ὕπαγε ὀπίσω μου, Σατανᾶ, Σατανᾶς δὲ, ὁ ἀντικείμενος λέγεται. Ὕπαγε οὖν ὀπίσω μου, τουτέστι, μὴ ἀνθίστασο, ἀλλ' ἀκολούθει τῷ θελήματί μου. Καλεῖ δὲ οὕτως τὸν Πέτρον, ἐπεὶ καὶ τῷ Σατανᾷ ἀθέλητον ἦν τὸ παθεῖν τὸν Χριστόν· φησιν οὖν ὅτι, Σὺ μὲν ἀνθρωπίνῳ λογισμῷ δοκεῖς τὸ πάθος ἀπρεπές μοι εἶναι· οὐ νοεῖς δὲ ὅτι ὁ Θεὸς διὰ τούτου σωτηρίαν ἐργάζεται, καὶ ὅτι τοῦτο ἐμοὶ πρέπει μάλιστα. D

« Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. » Τότε, πότε; Ὅτε τῷ Πέτρῳ ἐπετίμησε· θέλων γὰρ δεῖξαι ὅτι ἐσφάλη ὁ Πέτρος κωλύων αὐτὸν τοῦ παθεῖν, φησὶν, ὅτι Σὺ ἐμὲ κωλύεις. Ἐγὼ δὲ λέγω σοι ὅτι οὐ μόνον τὸ ἐμὲ μὴ παθεῖν ἐπιβλαβές σοι, ἀλλ' οὐδὲ σὺ σωθῆναι δυνήσῃ, ἐὰν μὴ καὶ αὐτὸς ἀποθάνῃς, ἀλλὰ καὶ εἴ τις ἄλλος, κἂν ἀνὴρ, κἂν γυνὴ, κἂν πένης, κἂν πλούσιος. Θέλει δὲ εἶπεν, ἵνα δείξῃ ὅτι αὐτεξούσιον καὶ οὐκ ἀναγκαστὸν ἡ ἀρετή. Ὀπίσω δὲ ἀκολουθεῖ τοῦ Ἰησοῦ, οὐχ ὁ ὁμολογῶν αὐτὸν μόνον Υἱὸν Θεοῦ, ἀλλ' ὁ καὶ διὰ πάντων τῶν δεινῶν ἐρχόμενος, καὶ τὰ αὐτὰ ὑφιστάμενος. Ἀπαρνησάσθω δὲ ἑαυτὸν, εἶπε τὴν τελείαν ἄρνησιν διὰ τῆς ἀπὸ

VERS. 20. « Tunc edixit discipulis suis ne cui dicerent quod ipse esset Christus. » Volebat Christus ante crucem obscurari suam gloriam. Nam si audivissent homines ante passionem quod Deus esset, et deinde vidissent eum pati, quomodo non fuissent offensi ? Propterea igitur occultat 86 se multis, ut post resurrectionem absque offendiculo a multis sciatur, Spiritu sancto omnia miraculorum operationibus adæquante.

VERS. 21. « Ex eo tempore cœpit Jesus indicare discipulis suis quod oportet ipsum abire Hierosolymam, et multa pati a senioribus et principibus sacerdotum et scribis, et occidi, et tertio die resuscitari. » Prædicit illis passionem, ne inexspectata illa veniente offendantur, putantes quod invitus et non præsciens passus esset. Postquam enim audiverunt per confessionem Petri quod Filius sit Dei, tunc revelavit illis et passionem. Post tristia autem subdit et lætitiam, nempe quod die tertio resurgeret.

VERS. 22. « Et cum abduxisset illum Petrus, cœpit increpare illum, dicens : Propitius esto tibi, Domine, nequaquam erit tibi hoc. » Id quod revelatum erat, Petrus recte confessus est: in eo autem quod non revelatum, lapsus : ut sciamus quod absque Deo neque locutus est magnum quiddam. Nolens igitur Petrus Christum pati, et ignorans resurrectionis mysterium, dixit: Propitius esto tibi, Domine, nequaquam erit tibi hoc.

VERS. 23. « Conversus autem ille, dixit Petro : Abi post me, Satana, obstaculo es mihi : quia non sapis ea quæ sunt Dei, sed ea quæ sunt hominum. » Petrum recte quidem loquentem, beatum prædicat Christus : irrationabiliter autem formidantem, et nolentem se pati, perstringit dicens : Vade post me, Satana. Satanas autem adversarius dicitur. Vade igitur post me, hoc est, ne obsistas, sed sequere voluntatem meam. Vocat autem sic Petrum, quia etiam Satanæ displicebat pati Christum. Dicit igitur: Tibi quidem juxta humanam rationem videtur mihi indecens passio: non intelligis autem quod Deus per hanc salutem operetur, et quod hoc me maxime decent.

VERS. 24. « Tunc Jesus dixit discipulis suis: Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam, et sequatur me. » Tunc quando? cum Petrum increpasset. Volens enim ostendere errare Petrum prohibentem se pati, dicit: Tu quidem me prohibes, ego autem dico tibi, non solum, si non patiar, tibi damnosum esse: sed neque salvari poteris, nisi et ipse moriaris et quisquis alius, sive vir, sive mulier, sive pauper, sive dives. Dicit autem, Vult, ut ostendat liberum arbitrium, et non coactam virtutem. Post Christum autem sequitur non solum is qui illum confitetur Filium Dei, sed et qui per omnia gravia transit, et illa sustinet. Abneget autem semetipsum dixit, perfectam abnegationem per præpositionem, *ab*, significans: exempli

gratia, ne habeat communionem quamdam cum corpore, sed contemnat seipsum: sicut consuevimus dicere quod quis quempiam negarit, hoc est, non habet eum pro amico vel noto. Sic igitur omnes docet nullam cum corpore habere communionem, id est, amicitiam, ita ut et crucem tollant, hoc est, mortem eligant, et cum studio inquirant etiam mortem ignominiosissimam, 87 qualis crux apud veteres fuit. Sed, Et sequatur me, inquit. Multi enim crucifiguntur latrones et fures, at illi non sunt discipuli mei. Sequatur igitur, hoc est, omnem aliam virtutem præ se ferat. Abnegat autem seipsum et qui heri quidem intemperatus erat, hodie autem castus et sobrius. Talis erat Paulus, qui abnegavit semetipsum cum diceret: « Vivo autem non jam ego, vivit autem in me Christus [26]. » Tollit autem crucem, qui mortificavit et crucifixit seipsum mundo.

VERS. 25. « Qui enim voluerit animam suam servare, perdet eam; quisquis autem perdiderit animam suam propter me, inveniet eam. » Ad martyrium adhortatur nos: invenit enim animam ad præsens, hoc est, servat, qui negat, et postea perdit. Perdit autem animam, sed propter Christum, qui de eo testificatur: qui et inveniet eam in incorruptione, et vita æterna.

VERS. 26, 27. « Quid enim prodest homini, si totum mundum lucratus fuerit, animæ vero suæ jacturam fecerit? Aut quid dabit homo, cujus permutatione redimat animam suam? Venturus est enim Filius hominis in gloria Patris sui cum angelis suis, et tunc reddet unicuique juxta facta ipsius. » Sic igitur et fingamus quod totum mundum lucreris, sed quæ utilitas si corpus bene habeat, et anima male afficiatur? quemadmodum si mater familias lacera veste, et ancillæ fulgido ornatu incedant. Neque in futuro sæculo poterit quis dare commutationem pro anima sua: hic quidem potest dare lacrymas et eleemosynam, et jejunare, illic autem non. Judex enim tunc nos excipiet, dona respuens: nam juxta opera sua judicabit unumquemque. Est autem et metuendus: veniet enim in gloria sua et cum angelis, et non contemptibilis.

VERS. 28. « Amen dico vobis: sunt quidam hic stantes, qui non gustabunt mortem, donec viderint Filium hominis venientem in regno suo. » Dixerat venturum Filium hominis in gloria sua: ne igitur increduli sint, dicit quia sunt hic quidam qui juxta quod capere possunt, videbunt in transfiguratione gloriam secundi adventus. Interim autem ostendit in qua gloria erunt qui propter ipsum passi fuerint. Sicut enim tunc caro ejus fulguravit, ita pro sua portione tunc fulgebunt sancti: significat autem hoc loco Petrum et Jacobum, et Joannem, quos in montem assumpsit, et ostendit illis regnum suum, hoc est, futurum statum in quo venturus esset ipse, et justi

[26] Galat. II, 20.

A προθέσεως σημαίνων. Οἷον, μὴ ἐχέτω τι κοινὸν πρὸς τὸ σῶμα, ἀλλὰ καταφρονείτω ἑαυτοῦ, ὥσπερ εἰώθαμεν λέγειν, Ὁ δεῖνα τὸν δεῖνα ἠρνήσατο, ἀντὶ τοῦ, Οὐκ ἔχει φίλον, οὐδὲ γνωστόν. Οὕτως οὖν καὶ πᾶς ὀφείλει μηδεμίαν φιλίαν ἔχειν πρὸς τὸ σῶμα· ὥστε καὶ τὸν σταυρὸν αἴρειν, τουτέστι, θάνατον αἱρεῖσθαι, καὶ μετὰ σπουδῆς ἐπιζητεῖν καὶ θάνατον τὸν ἐπονείδιστον· τοιοῦτος γὰρ ὁ σταυρὸς παρὰ τοῖς παλαιοῖς. Ἀλλὰ, Καὶ ἀκολουθείτω μοι, φησί. Πολλοὶ γὰρ σταυροῦνται λῃσταὶ καὶ κλέπται, ἀλλ' οὐκ εἰσὶν ἐκεῖνοι μαθηταί μου· ἀκολουθείτω οὖν, τουτέστι, καὶ πᾶσαν τὴν ἄλλην ἀρετὴν ἐπιδεικνύσθω. Ἀπαρνεῖται δὲ ἑαυτὸν καὶ ὁ χθὲς μὲν ἀσελγαίνων, σήμερον δὲ σωφρονῶν. Τοιοῦτος ἦν ὁ Παῦλος, ἀπαρνησάμενος ἑαυτὸν
B ἐν τῷ λέγειν, « Ζῶ δὲ οὐκ ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. » Αἴρει δὲ τὸν σταυρὸν, ὁ νεκρώσας καὶ σταυρώσας ἑαυτὸν τῷ κόσμῳ.

« Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. » Ἐπὶ μαρτύριον προτρέπεται ἡμᾶς. Εὑρίσκει μὲν οὖν τὴν ψυχὴν πρὸς τὸ παρὸν, τουτέστι, σώζει, ὁ ἀρνούμενος, ὃς καὶ ἀπόλλυσιν ὕστερον· ἀπόλλυσι δὲ τὴν ψυχὴν, ἀλλ' ἕνεκεν τοῦ Χριστοῦ, ὃς μαρτυρήσει ὑπὲρ αὐτοῦ. Ὃς καὶ εὑρήσει αὐτὴν ἐν ἀφθαρσίᾳ καὶ ζωῇ αἰωνίᾳ.

« Τί γὰρ ὠφελεῖται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ
C Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. » Ἔστω, φησὶ, καθ' ὑπόθεσιν, ὅτι τὸν κόσμον ὅλον ἐκέρδανας, ἀλλὰ τί τὸ ὄφελος, τῆς ψυχῆς κακῶς διακειμένης, τὸ σῶμα εὐπαθεῖν; ὥσπερ ἂν εἰ τῆς οἰκοδεσποίνης ῥάκια διεῤῥηγμένα φορούσης, αἱ θεραπαινίδες λαμπροφοροῖεν. Οὐδὲ γὰρ ἐν τῷ μέλλοντι αἰῶνι δύναταί τις δοῦναι ἀντάλλαγμα ὑπὲρ τῆς ψυχῆς αὐτοῦ. Ἐνταῦθα μὲν γὰρ δύναται δοῦναι δάκρυα, στεναγμοὺς, ἐλεημοσύνην· ἐκεῖ δὲ οὔ. Ἀδωροδόκητος γὰρ κριτὴς διαδέξεται· κατὰ γὰρ τὰ ἔργα δικάζει ἑκάστῳ· ἀλλὰ καὶ φοβερὸς, ἐν τῇ δόξῃ γὰρ αὐτοῦ ἔρχεται καὶ μετὰ τῶν ἀγγέλων, καὶ οὐχὶ καταπεφρονημένος.

« Ἀμὴν λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστώτων,
D οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ. » Εἶπεν ὅτι μέλλει ἔρχεσθαι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ. Ἵνα οὖν μὴ ἀπιστῶσιν ἐκεῖνοι, φησὶν ὅτι εἰσί τινες ἐνταῦθα, οἳ κατὰ τὸ ἐγχωροῦν ὄψονται ἐν τῇ μεταμορφώσει τὴν δόξαν τῆς δευτέρας παρουσίας· ἅμα δὲ καὶ δείκνυσιν ἐν ποίᾳ δόξῃ ἔσονται οἱ δι' αὐτὸν παθόντες. Ὡς γὰρ ἐξήστραψεν ἡ σὰρξ αὐτοῦ τηνικαῦτα, οὕτω κατὰ ἀναλογίαν οἱ ἅγιοι τότε ἐκλάμψουσιν· αἰνίττεται δὲ ἐνταῦθα τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, οὓς παρέλαβεν εἰς τὸ ὄρος, καὶ ἔδειξεν αὐτοῖς τὴν βασιλείαν αὐτοῦ, τουτέστι,

τὴν κατάστασιν τὴν μέλλουσαν, ἐν ᾗ ἐλεύσεται καὶ A αὐτὸς καὶ οἱ δίκαιοι ἐκλάμψουσι. Λέγει τοίνυν ὅτι Τινὲς τῶν ἐνθάδε οὐ μὴ ἀποθάνωσιν, ἕως οὗ ἴδωσι [με] μεταμορφούμενον. Ὅρα δὲ ὅτι οἱ ἑστῶτες ἐν τῷ καλῷ καὶ βέβαιοι, ἐκεῖνοι βλέπουσι τὸν Ἰησοῦν ἐπὶ τὸ λαμπρότερ ν μεταμορφούμενον, καὶ προκόπτουσιν ἀεὶ ἐν τῇ πίστει καὶ ταῖς ἐντολαῖς,

## ΚΕΦΑΛ ΙΖʹ.

Περὶ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ. Περὶ τοῦ σεληνιαζομένου. Περὶ τῶν αἰτούντων τὸ δίδραχμον.

Καὶ μεθ' ἡμέρας ἕξ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ (23). » Οὐκ ἔστιν ἐναντίον τοῦτο τῷ παρὰ τῷ Λουκᾷ ῥηθέντι, ὅτι, » Μετὰ δὲ τοὺς λόγους τούτους B ἐγένοντο ὡσεὶ ἡμέραι ὀκτὼ, » καὶ τὰ ἑξῆς· ὁ γὰρ Λουκᾶς καὶ τὴν πρώτην ἀριθμεῖ καὶ τὴν ὑστέραν, καθ' ἣν ἀνέβησαν εἰς τὸ ὄρος. Ὁ δὲ Ματθαῖος, τὰς μέσας μόνας. Ἔλαβε δὲ τὸν μὲν Πέτρον, ὡς σφόδρα ἀγαπῶντα αὐτὸν, τὸν δὲ Ἰωάννην, ὡς ἀγαπώμενον, τὸν δέ Ἰάκωβον, ὡς καὶ αὐτὸν ζηλωτὴν ὄντα· καὶ δῆλον ὅτι ζῆλον εἶχεν, ἀπὸ τοῦ καὶ ὑποσχέσθαι τὸ ποτήριον πιεῖν, καὶ ἀπὸ τοῦ τὸν Ἡρώδη μαχαίρᾳ ἀνελεῖν αὐτὸν πρὸς ἀρέσκειαν τῶν Ἰουδαίων.

« Καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. Καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. » Εἰς ὄρος ὑψηλὸν ἀναφέ- C ρει αὐτοὺς, δεικνύων, ὅτι ἐὰν μή τις ὑψωθῇ, οὐκ ἄξιος γίνεται τοιούτων θεωριῶν. Κατ' ἰδίαν δὲ, διότι εἴωθεν ὁ Χριστὸς τὰς παραδοξοτέρας θαυματουργίας ἐν ἀποκρύφῳ ποιεῖν, ἵνα μὴ ὁρώμενος τοῖς πολλοῖς ὡς Θεὸς, κατὰ φαντασίαν ἄνθρωπος νομισθῇ. Μεταμόρφωσιν δὲ ἀκούων, μὴ νόμιζε, ὅτι τὸ σῶμα ἀπέβαλε τότε, ἀλλὰ μένοντος τοῦ σώματος ἐπὶ τοῦ σχή-

fulgebunt. Dicit igitur quod quidam qui hic sunt non morientur, donec viderint me transfigurari. Vide autem quod stantes in bono et firmi, sunt illi qui vident Jesum clarius transformari, et proficiunt semper in fide et mandatis.

## CAPUT XVII.

*De transfiguratione Christi. De lunatico. De exigentibus didrachmam.*

Vers. 29. « Et omnis qui reliquerit domos, aut fratres, aut sorores, aut patrem, aut matrem, aut uxorem, aut filios, aut agros propter nomen meum, **104** centupla accipiet, et vitæ æternæ hæreditatem sortietur. » Ne quis suspicetur, quod dictum est, solis congruere discipulis, dilatat promissionem ad omnes qui similia faciunt. Habebunt enim pro carnalibus cognatis familiaritatem et fraternitatem cum Deo, pro agris paradisum, et pro lapideis ædibus supernam Hierusalem, pro matre anus quæ sunt in Ecclesia, pro patre presbyteros, pro uxore omnes fideles mulieres: num nuptiis? absit, sed spirituali affectione, et misericode erga se cura. Non jubet autem Christus separari simpliciter a familiaribus, sed quando ad pietatem obsistunt Sicetiam corpus et animam jubet contemnere, non ut quisseipsum occidat. Vide autem quod bonus Deus non solum hæc dat, sed et vitam apponit æternam. Cura igitur ut et tu vendas facultates tuas, et des pauperibus. Facultates autem sunt, iracundo furor, adultero adulterandi cupiditas, vindictæ avido

**Ex collatione codd. Venet. S. Marci.**

(26 Cod. 32 addit: Ἐπειδὴ καὶ ὁ Μάρκος λέγει, Πολλαπλασίονα λήψονται ἐν τῷ αἰῶνι τούτῳ, λεκτέον περὶ τῶν πνευματικῶν χαρισμάτων, πολὺ τὰ ἐπίγεια παρατρεχόντων, ἅπερ εἰσὶν ἀῤῥαβῶνές τινες τῶν μελλόντων ἀγαθῶν, ἅπερ οἱ ἔχοντες ἐν μεγίσταις εἰσὶ τιμαῖς· πάντων σχεδὸν ἀνθρώπων προστρεχόντων τοῖς ἁγίοις, ἵνα δι' αὐτῶν τῆς θείας ἀπολαύσωσι χάριτος. Καὶ σὺ οὖν, σπούδασον πωλῆσαι, καὶ τ. λ.

« Quandoquidem et Marcus ait, eos multo plura in sæculo isto recepturos; id intelligendum de spiritualibus donis, quæ terrena multum excedunt: quæque sunt velut pignora futurorum bonorum: quæ qui recipiunt, in maximo honore sunt: nam cuncti fere homines ad sanctos confugiunt, ut per ipsos divinam gratiam consequantur. *Cura igitur, ut et tu vendas,* » etc.

vindicandi cupido. Vende igitur hæc, et da pauperibus dæmonibus et omni bono privatis: converte affectiones tuas in affectionum auctores: et tunc habebis thesaurum, hoc est Christum, in cœlo tuo, hoc est in summa mente tua. Cœlum enim habet in seipso qui factus est cœlestis.

A σαι τὰ ὑπάρχοντά σοι, καὶ δοῦναι τοῖς πτωχοῖς. Ὑπάρχοντα δέ εἰσι, τῷ μὲν θυμώδει ὁ θυμός· τῷ δὲ μοιχῷ ἡ μοιχευτικὴ διάθεσις· τῷ δὲ μνησικάκῳ, ἡ μνησικακία. Πώλησον οὖν ταῦτα, καὶ δὸς τοῖς πτωχοῖς δαίμοσι καὶ παντὸς ἀγαθοῦ ἐστερημένοις. Ἀντίστρεψον τὰ πάθη τοῖς τῶν παθῶν δημιουργοῖς, καὶ τότε ἕξεις τὸν θησαυρὸν, τουτέστι τὸν Χριστὸν, ἐν τῷ οὐρανῷ σου, τουτέστιν ἐν τῷ ὑψηλῷ σου νοΐ. Οὐρανὸν γὰρ ἔχει ἐν ἑαυτῷ, ὁ γενόμενος οἷος ὁ ἐπουράνιος.

Vers. 30. « Multi autem erunt primi novissimi, et novissimi primi. » Judæos hic insinuat et gentiles. Nam qui primi erant, facti sunt novissimi: gentiles autem, qui eramus novissimi, primi constituti sumus, et ut manifeste discas quod dicitur, coaptat etiam sequentem parabolam.

« Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι. » Τοὺς Ἰουδαίους ἐνταῦθα αἰνίττεται καὶ τοὺς ἐθνικούς. Οἱ μὲν γὰρ, πρῶτοι ὄντες, ἔσχατοι ἐγένοντο, οἱ δὲ ἐθνικοὶ ἔσχατοι ὄντες, πρῶτοι κατέστημεν· καὶ ἵνα σαφῶς μάθῃς τὸ λεγόμενον, ἐπισυνάπτει καὶ τὴν ἑπομένην παραβολήν.

## CAPUT XX.

*De mercede conductis operariis. De filiis Zebedæi. De duobus cœcis.*

## ΚΕΦΑΛ. Κʹ

B Περὶ τῶν μισθουμένων ἐργατῶν· περὶ τῶν υἱῶν τοῦ Ζεβεδαίου· περὶ τῶν δύο τυφλῶν.

Vers. 1-7. « Simile enim est regnum cœlorum homini patrifamilias qui exiit primo statim diluculo ad conducendos operarios in vineam suam. Conventione autem facta cum operariis in singulos dies ex denario, misit eos in vineam suam. Et egressus circiter horam tertiam, vidit alios stantes in foro otiosos, et illis dixit: Ite et vos in vineam meam, et quodcunque justum fuerit, dabo vobis. Illi autem abierunt. Iterum cum exisset circa sextam et nonam horam, similiter fecit. Circa undecimam vero horam exiit, et invenit alios stantes otiosos, et dixit illis: Cur hic statis tota die otiosi? Dicunt illi: Quia nullus nos conduxit. Dixit illis: Abite et vos in vineam: et quidquid justum fuerit, accipietis. » Christus est regnum cœlorum, qui assimilatur homini, secundum quod humanam accepit 1 OO formam. Paterfamilias autem, quia Dominus est domus, hoc est, Ecclesiæ. Hic igitur Christus exiit e sinibus paternis, et conduxit operarios in vineam, hoc est Scrituras, vel mandata. Vel, unumquemque conduxit ut operetur vineam, hoc est suam animam. Conducit autem alium quidem primo diluculo, hoc est in pueritia: alium autem hora tertia, hoc est adolescentia: rursus alios sexta et nona, quando quis viginti quinque fuerit annorum, vel triginta, et simpliciter in virili ætate porro circa undecimam, senes. Multi enim et senes crediderunt. Vel aliter, dies dicitur præsens sæculum: in illum enim operamur sicut in die. Vocavit igitur Dominus prima hora Enoch et Noe, tertia Abraham, sexta Mosen, nona prophetas, undecima autem, hoc est in consummatione sæculi, gentiles, qui otiosi fuerunt ab omni bono: nullos enim eos conduxerat, neque missus est propheta quis ad gentes.

Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ συμφωνήσας μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ ἐξελθὼν περὶ τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ, καὶ ἐκείνοις εἶπεν· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν· οἱ δὲ ἀπῆλθον. Πάλιν δὲ ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν, ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀργούς. καὶ λέγει αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; Λέγουσιν αὐτῷ, Ὅτι οὐδεὶς ἐμισθώσατο. C Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε. « Ὁ Χριστός ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, ὃς ὁμοιοῦται ἀνθρώπῳ, καθ' ὃ μορφὴν ἡμετέραν ἔλαβεν· οἰκοδεσπότης δὲ, ὡς δεσπόζων τοῦ οἴκου, τουτέστι τῆς Ἐκκλησίας. Οὗτος οὖν ὁ Χριστὸς ἐξῆλθεν ἐκ τῶν κόλπων τοῦ Πατρὸς, καὶ μισθοῦται ἐργάτας εἰς τὸν ἀμπελῶνα, ἤτοι τὰς Γραφὰς ἢ τὰς ἐντολάς. Ἢ ἕκαστον μισθοῦται εἰς τὸ ἐργάζεσθαι τὸν ἀμπελῶνα, ἤτοι τὴν οἰκείαν ψυχήν. Μισθοῦται δὲ τὸν μὲν τὸ πρωῒ, τουτέστι κατὰ τὴν νεαρὰν ἡλικίαν· τὸν δὲ κατὰ τὴν τρίτην ὥραν, τὴν μειρακιώδη ἡλικίαν· τοὺς δὲ κατὰ τὴν ἕκτην καὶ ἐννάτην, ὅτε εἰκοστοῦ πέμπτου εἴη τις ἐνιαυτοῦ, ἢ τριακοστοῦ, καὶ ἁπλῶς ἀνδρικῆς ἡλικίας· περὶ δὲ τὴν ἑνδεκάτην, τοὺς γέροντας· πολλοὶ γὰρ D καὶ γέροντες ἐπίστευσαν. Ἢ καὶ ἄλλως, ἡμέρα λέγεται ὁ παρὼν αἰὼν, ἐν αὐτῷ γὰρ ἐργαζόμεθα ὡς ἐν ἡμέρᾳ. Ἐκάλεσεν οὖν ὁ Κύριος τῇ πρώτῃ ὥρᾳ τοὺς περὶ τὸν Ἐνὼχ καὶ τὸν Νῶε· τῇ τρίτῃ τοὺς περὶ τὸν Ἀβραάμ· τῇ ἕκτῃ τοὺς περὶ τὸν Μωσέα· τῇ ἐννάτῃ, τοὺς προφήτας· τῇ ἑνδεκάτῃ, ἤτοι τῷ τέλει τῶν αἰώνων τοὺς ἐθνικοὺς, οἳ ἀργοὶ ἦσαν πάσης ἀγαθοεργίας· οὐδεὶς γὰρ αὐτοὺς ἐμισθώσατο ὅτι μηδὲ ἀπεστάλη προφήτης τις εἰς τὰ ἔθνη.

Vers. 8-16. « Cum autem vespera facta esset, dixit dominus vineæ procuratori suo, Voca operarios, et redde illis mercedem, incipiens a postremis utque ad primos. Et cum venissent qui circa un-

« Ὀψίας δὲ γενομένης, λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ

τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. Ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται. Καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον· λαβόντες δὲ, ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες, ὅτι Οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα; Ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε, οὐκ ἀδικῶ σε. Οὐχὶ δηναρίου συνεφώνησάς μοι; ἆρον τὸ σὸν, καὶ ὕπαγε. Θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί· ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.» Ὀψία ἡ συντέλεια· ἐν γοῦν τῇ συντελείᾳ λαμβάνουσι πάντες ἀνὰ δηνάριον, ὅ ἐστιν ἡ τοῦ ἁγίου Πνεύματος B χάρις, ἀναμορφοῦσα τὸν ἄνθρωπον εἰς τὸ κατ' εἰκόνα, καὶ ποιοῦσα θείας φύσεως κοινωνόν. Πλέον δὲ ἐκοπίασαν οἱ πρὸ τῆς τοῦ Χριστοῦ ἐπιδημίας, καθ' ὃ οὔπω ἦν τότε ὁ θάνατος λυθεὶς, οὐδὲ ὁ διάβολος συνετρίβη, ἀλλ' ἔτι ἔζη ἡ ἁμαρτία· ἡμεῖς δὲ χάριτι Χριστοῦ διὰ τοῦ βαπτίσματος δικαιωθέντες, δύναμιν λαμβάνομεν εἰς τὸ νικῆσαι τὸν ἀντίπαλον ἡμῶν, ἤδη καταβληθέντα καὶ θανατωθέντα ὑπὸ τοῦ Χριστοῦ· ἀλλὰ καὶ κατὰ τὴν προτέραν ἑρμηνείαν, οἱ νεώτεροι πιστεύσαντες, πλείονα κάματον ἔχουσιν ὑπὲρ τοὺς ἐν γήρᾳ προσελθόντας· ὁ μὲν γὰρ νέος, τὸ βάρος τοῦ θυμοῦ καὶ τὸν καύσωνα τῆς ἐπιθυμίας βαστάζει, πολεμῶν τοῖς πάθεσιν· ὁ δὲ γέρων ἐν γαλήνῃ γίνεται. Ἀλλ' ὅμως πάντες, μιᾶς δωρεᾶς τοῦ C ἁγίου Πνεύματος ἀξιοῦνται. Διδάσκει οὖν ἡμᾶς ἡ παραβολὴ, ὅτι κἂν τῷ γήρᾳ ἔστι μεταγνῶναι καὶ τῆς βασιλείας τυχεῖν· τοῦτο γὰρ ἡ ἑνδεκάτη ὥρα. Οὐ φθονήσουσι δὲ οἱ ἅγιοι τοῖς τὰ ἴσα λαβοῦσιν; Ἄπαγε, ἀλλὰ τοῦτο δείκνυται ἐντεῦθεν, ὅτι τοσαῦτα καὶ τηλικαῦτά εἰσι τὰ διδόμενα τοῖς δικαίοις ἀγαθὰ, ὥστε καὶ φθόνον κινῆσαι δύνανται.

« Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς· Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ Γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι, καὶ μαστιγῶσαι, καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ τῶν D υἱῶν αὐτῆς, προσκυνοῦσα καὶ αἰτοῦσά τι παρ' αὐτοῦ. Ὁ δὲ εἶπεν αὐτῇ· Τί θέλεις; Λέγει αὐτῷ· Εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου, εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου ἐν τῇ βασιλείᾳ σου.» Ἐνόμιζον οἱ τοῦ Ζεβεδαίου, ὅτι ἐὰν ἀπέλθῃ εἰς Ἱεροσόλυμα ὁ Κύριος, βασιλεύσει αἰσθητὴν βασιλείαν· ἤκουον γὰρ αὐτοῦ συνεχῶς λέγοντος, ὅτι Ἀναβαίνομεν εἰς Ἱεροσόλυμα· ἔπαθον οὖν ἀνθρώπινόν τι, καὶ προσελθεῖν τὴν μητέρα πείθουσιν, αὐτοὶ εὐλαβούμενοι ἐν τῷ φανερῷ προσελθεῖν· κρύφα γὰρ προσῆλθον καὶ αὐτοὶ, ὡς ὁ Μάρκος λέγει· φησὶ γὰρ, ὅτι Προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης, ἀντὶ τοῦ λάθρα καὶ ἰδίᾳ προσέρχονται.

**A decimam horam venerant, acceperunt singuli denarium. Venientes autem et primi, arbitrati sunt quod plus essent accepturi, et acceperunt ipsi quoque singuli denarium. Et cum accepissent, murmurabant adversus patremfamilias, dicentes: Hi novissimi unam horam fuerunt in opere, et illos pares nobis fecisti, qui portavimus pondus diei et æstum! At ille respondens uni eorum, ait: Amice, non afficio te injuria. Nonne denario pactus es mecum? Tolle quod tuum est, et abi. Volo autem huic novissimo dare sicut et tibi. Annon licet mihi quod volo facere in rebus meis? an oculus tuus malus est, quod ego bonus sim? Sic novissimi erunt primi, et primi novissimi: multi enim sunt vocati, pauci autem electi.» Vesperum est consummatio: B in fine autem diei et consummatione accipiunt omnes suum denarium, qui est Spiritus sancti gratia, transformans hominem ad suum exemplar, et faciens divinæ naturæ participem. Plus autem laboraverunt qui ante Christi adventum fuerunt, eo quod tunc nondum erat mors soluta, neque diabolus contritus, sed adhuc vivebat peccatum. Nos autem gratia Christi per baptismum justificati, virtutem accipimus ad vincendum adversarium nostrum, jam dejectum et occisum a Christo. Et juxta priorem interpretationem, qui juvenes credidere, majorem laborem habent, quam hi qui in senectute ad fidem accesserunt. Adolescens enim pondus iræ et æstum consupiscentiæ gestat, certans cum C affectionibus. Senex autem in tranquillo est: attamen omnes nos unum donum Spiritus sancti assequimur. Docet igitur nos 106 parabola, quod in senectute etiam licet resipiscere, et regnum cœlorum assequi. Hæc enim undecima hora est. Num invidebunt sancti his qui paria accipiunt? Absit, sed ostendit hic quod tanta et talia sunt bona quæ dantur justis, ut et invidium excitare possint.**

Vers. 18-21. « Et ascendens Jesus Hierosolyma, assumpsit duodecim discipulos suos solos in via, et ait illis: Ecce conscendimus Hierosolyma, et Filius hominis tradetur principibus sacerdotum ac scribis, et condemnabunt eum morte, et tradent eum gentibus ad illudendum, et flagellandum, et crucifigendum, et tertio die resurget. Tunc accessit ad eum mater filiorum Zebedæi cum filiis D suis, adorans et petens aliquid ab eo. At ille dixit ei: Quid vis? Ait illi: Dic ut sedeant hi duo filii mei, unus a dextris tuis, et alter ad sinistram tuam in regno tuo.» Opinabantur filii Zebedæi quod vadens Hierolosyma Dominus regnaturus esset regno quodam temporali. Audierant enim eum sæpe dicentem, Conscendimus Hierosolyma. Passi autem humanum quid, et ut mater accedat persuadent, ipsi reveriti in manifesto accedere: clanculo enim accesserunt et ipsi, ut Marcus dicit. Accedunt enim, inquit, ad eum Jacobus et Joannes, hoc est, privatim et seorsum accedunt ad eum.

VERS. 22. « Respondens autem Jesus, dixit: Nescitis quid petitis. Potestis bibere poculum quod ego bibiturus sum, aut baptismo quo ego baptizor, baptizari? Dicunt ei: Possumus. » Matre prælerita, filiis loquitur: ut ostendat quod non ignoraverit ab ipsis præmissam matrem, et dicit ad illos: Nescitis quid petitis. Magnum est, et angelicas virtutes concutiens. Deinde abducens illos ab hujusmodi cogitationibus, ad pericula magis hortatur. Interrogat autem, non ignorans, sed ut cogat manifestare ulcus per responsum, et studeant implere promissionem. Hoc enim dicit, Quia non potest quis fieri particeps regni mei, nisi et mearum passionum particeps fiat; dicite mihi, num possitis similia pati? Poculum enim dicit martyrium, et suam mortem: simul ostendens quod leve sit, et quod oporteat nos B tam facile illud aggredi, quam si bibendum esset poculum: et declarans quod ipse suaviter accedat ad mortem. Sicut enim bibens poculum statim dormit gravatus: sic et qui martyrii poculum bibit, in mortis somnum defertur. Baptisma quoque mortem suam nominat, quod nos omnes purificet. Hi vero nescientes quid promitterent, sed solum spectantes ad id quod cupiebant, omnia facile pollicebantur.

A « Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν; ἢ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; Λέγουσιν αὐτῷ· Δυνάμεθα. » Τὴν μητέρα καταλείψας, τοῖς υἱοῖς διαλέγεται, ἵνα δείξῃ ὡς οὐκ ἠγνόησεν ὅτι αὐτοὶ προεβάλοντο τὴν μητέρα, καὶ φησὶ πρὸς αὐτούς· Οὐκ οἴδατε τί αἰτεῖσθε· πῶς ἐστι μέγα καὶ τὰς τῶν ἀγγέλων δυνάμεις ἐκπλῆττον. Εἶτα ἀπάγων αὐτοὺς τῶν τοιούτων λογισμῶν, ἐπὶ κινδύνους μᾶλλον προτρέπεται. Ἐρωτᾷ δὲ, οὐκ ἀγνοῶν, ἀλλ' ἵνα ἀναγκάσῃ φανερῶσαι τὸ ἕλκος διὰ τῆς ἀποκρίσεως, καὶ σπουδάσωσι πληρῶσαι τὴν ὑπόσχεσιν. Τοῦτο γὰρ λέγει, ὅτι Ἐπεὶ οὐ δύναταί τις γενέσθαι κοινωνὸς τῆς βασιλείας μου, εἰ μὴ καὶ τῶν ἐμῶν παθημάτων γένηται κοινωνὸς, εἴπατέ μοι, εἰ δύνασθε τὰ ὅμοια παθεῖν. Ποτήριον γὰρ λέγει τὸ μαρτύριον καὶ τὸν οἰκεῖον θάνατον, ἅμα μὲν δεικνύων, ὅτι εὔκολόν ἐστιν, ὥσπερ τὸ πιεῖν ποτήριον, καὶ δεῖ λοιπὸν καὶ ἡμᾶς ὡς εὐκόλῳ τούτῳ προστρέχειν· ἅμα δὲ δηλῶν, ὅτι καὶ αὐτὸς ἡδέως πρόσεισι τὸν θάνατον. Ὥσπερ δὲ ὁ πίνων ποτήριον, εὐθέως ὑπνώττει καταβαρούμενος, οὕτω καὶ ὁ τὸ τοῦ μαρτυρίου ποτήριον πίνων, εἰς τὸν τοῦ θανάτου καταφέρεται ὕπνον. Καὶ βάπτισμα δὲ ὀνομάζει τὸν θάνατον αὐτοῦ, ὡς καθαρτικὸν ὄντα πάντων ἡμῶν· οἱ δὲ ὑπέσχοντο, οὐκ εἰδότες ὃ ἔλεγον, ἀλλὰ μόνον πρὸς τὸ τυχεῖν ὧν ἤθελον, πάντα εὐκόλως ὑπισχνούμενοι.

VERS. 23. « Ait illis: Poculum quidem meum bibetis, et baptismo quo ego baptizor, baptizabimini. sedere autem ad dextram meam et sinistram, non est meum dare, sed quibus paratum est a Patre C meo. » Scio quidem vos testificaturos, et evenient hæc omnino. 107 Jacobum enim Herodes occidit, Joannem autem Trajanus condemnavit prædicantem verbum veritatis. Porro sedere non est meum dare, sed quibus præparatum est: sic intellige: Si inventus fuerit quis cum veritatis testificatione, omni alia virtute præditus, ille accepiet donum. Illi enim præparatum est, qui laboraverit, sicut et certantibus coronæ sunt præparatæ. Quemadmodum cursus certamine proposito, ac rege certaminis præside, si quispiam qui non certasset prodeat, et dicat: Da mihi coronam non ingresso stadium, o certaminis præses, huic respondere utique ille poterit: Non est meum dare ad gratiam coronam, sed quibus præparatum est, hoc est, his qui cucurre- D rint et vicerint. Sic autem et hoc loco dicit Christus: Ego non possum ad gratiam dare vobis sedem a dextris meis: aliorum enim est qui laboraverint, et illis præparata est. Rogabis igitur consequenter, an aliqui sessuri sint. Discas autem quod nullus ibi sessurus est: hoc enim solius divinæ naturæ est. Ad quem enim angelorum dixit: « Sede a dextris meis? » Verum hoc Dominus dixit juxta illorum opinionem: quærebant enim hanc sedem, non intelligentes quod sedere super duodecim sedes, sit glorificari propter virtutem.

« Καὶ λέγει αὐτοῖς· Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός μου. » Μαρτυρήσετε μὲν, οἶδα τοῦτο, καὶ ἐξέβη πάντως. Ἰάκωβον μὲν γὰρ Ἡρώδης ἀπέκτεινεν, Ἰωάννην δὲ Τραϊανὸς κατεδίκασε μαρτυροῦντα τῷ Λόγῳ τῆς ἀληθείας. Τὸ δὲ καθίσαι, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται, τουτέστιν, ἐὰν εὑρεθῇ τις μετὰ τοῦ μαρτυρῆσαι, καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν ἔχων, ἐκεῖνος λήψεται τὴν δωρεάν. Ἐκείνῳ γὰρ ἡτοίμασται τῷ κοπιάσαντι, ὥσπερ καὶ τοῖς ἀθλοῦσιν οἱ στέφανοι ἑτοιμάζονται· ὥσπερ οὖν ἀγῶνος δρομικοῦ προκειμένου, καὶ ἀγωνοθετοῦντος τοῦ βασιλέως, ἐὰν προσέλθῃ τις μηδόλως ἀγωνισάμενος, καὶ εἴπῃ· Δός ἐμοὶ τὸν στέφανον, ὦ ἀγωνοθέτα, τῷ μὴ ἀγωνισαμένῳ, εἴποι ἂν αὐτῷ ἐκεῖνος· Οὐκ ἔστιν ἐμὸν δοῦναι κατὰ χάριν τὸν στέφανον, ἀλλ' ᾧ ἡτοίμασται, τουτέστι, τῷ δραμόντι καὶ νικήσαντι· οὕτω δὴ κἀνταῦθά φησιν ὁ Χριστὸς, ὅτι Οὐκ ἐγὼ κατὰ χάριν δύναμαι δοῦναι ὑμῖν τὴν ἐκ δεξιῶν μου καθέδραν· ἄλλων γὰρ, τῶν κοπιασάντων ἐστὶ, καὶ ἐκείνοις ἡτοίμασται. Ἐρωτήσεις οὖν, Ἆρα λοιπόν τινες μέλλουσι καθεσθῆναι; Μαθήσῃ δὲ ὅτι οὐδεὶς ἐκεῖ καθήσεται. Μόνης γὰρ τῆς θείας οὐσίας τοῦτό ἐστι. Πρὸς τίνα γὰρ τῶν ἀγγέλων εἶπε· « Κάθου ἐκ δεξιῶν μου; Ἀλλὰ τοῦτο εἶπεν ὁ Κύριος πρὸς τὴν ἐκείνων ὑπόνοιαν· μὴ νοήσαντες γὰρ ὅτι τὸ καθεσθῆναι ἐπὶ δώδεκα θρόνους, τὸ δοξασθῆναί ἐστι δι' ἀρετὴν, ἐζήτουν τοιαύτην καθέδραν.

VERS. 24-28. « Et cum audissent decem, indignati sunt de duobus fratribus. Jesus autem vocavit eos ad se, et ait: Scitis quod principes gentium do-

« Καὶ ἀκούσαντες οἱ δέκα, ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, εἶπεν· Οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυ-

ριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. Οὐχ οὕτως ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔσται ὑμῶν διάκονος, καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔσται ὑμῶν δοῦλος· ὥσπερ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. » Ὅτε εἶδον οἱ δέκα τοὺς δύο ἐπιτιμηθέντας παρὰ τοῦ Χριστοῦ, τότε καὶ αὐτοὶ ἀγανακτοῦσι, καὶ ἔδειξαν ὅτι καὶ προήχθοντο ἐπὶ τῇ τούτων τιμῇ Ἔτι γὰρ ἦσαν ἀτελεῖς· οἱ μὲν γὰρ κατεξανίσταντο τῶν δέκα· οἱ δὲ ἐφθόνουν τοῖς δύο. Ἐπεὶ οὖν οἱ δέκα ἀκούσαντες ἐθορυβήθησαν, προσκαλεῖται αὐτοὺς, τῇ κλήσει πρὸ τῶν λόγων αὐτοὺς καταπραΰνων. Καὶ γὰρ οἱ τοῦ Ζεβεδαίου ἀποῤῥαγέντες τῶν ἄλλων, ὡμίλουν αὐτῷ· πᾶσιν οὖν κοινῶς ὁμιλεῖ. Εἰδὼς γὰρ τυραννικὸν τὸ φιλόπρωτον, καὶ σφοδροτέρας δεόμενον πληγῆς, βαθύτερον αὐτῶν καθικνεῖται εἰς τὴν τῶν ἐθνικῶν καὶ ἀπίστων μοῖραν αὐτοὺς ἀποῤῥίπτων, εἰ φιλοδοξεῖν θέλοιεν. Καὶ οὕτως αὐτοὺς ἐντρέπει, φάσκων· Οἱ μὲν ἄλλοι ἄνθρωποι, διότι ἄρχουσι, λαμπρύνονται· καὶ τὸ ἐρᾷν τῶν πρωτείων, τῶν ἐθνικῶν ἐστι πάθος· οἱ δὲ ἐμοὶ μαθηταὶ, ἀπὸ ταπεινώσεως τιμῶνται· ὥστε καὶ ὁ μείζων θέλων εἶναι, ὀφείλει διακονεῖν τοῖς ὑποδεεστέροις, ὅπερ τῆς ἄκρας ἐστὶ ταπεινώσεως. Ἐν ἐμαυτῷ δὲ τοῦτο δείκνυμι, ὃς ἄρχων ὢν καὶ βασιλεὺς τῶν ἐν οὐρανοῖς, ἐταπείνωσα ἐμαυτὸν, διακονήσων ὑμῖν εἰς τὴν σωτηρίαν· καὶ τοσοῦτον δουλεύσων ὑμῖν, ὥστε καὶ τὴν ψυχὴν δοῦναι λύτρον ἀντὶ πολλῶν, τουτέστι, πάντων· οἱ γὰρ πάντες, πολλοί.

« Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἱεριχὼ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. Καὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν λέγοντες· Ἐλέησον ἡμᾶς, Κύριε, υἱὸς Δαυΐδ. Ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς ἵνα σιωπήσωσιν. Οἱ δὲ μεῖζον ἔκραζον, λέγοντες· Ἐλέησον ἡμᾶς, Κύριε, υἱὸς Δαυΐδ. Καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς, καὶ εἶπε· Τί θέλετε ποιήσω ὑμῖν; Λέγουσιν αὐτῷ· Κύριε, ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί. Σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς, ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ ἠκολούθησαν αὐτῷ. » Ἀπὸ τῆς φήμης οἱ τυφλοὶ γνόντες τὸν Κύριον, ἐδράξαντο τοῦ καιροῦ ἀκούσαντες μὲν ὅτι παρέρχεται τὴν ὁδόν· πιστεύσαντες δὲ, ὅτι Ἰησοῦς ὁ ἐκ σπέρματος Δαυΐδ τὸ κατὰ σάρκα, δυνατὸς ἦν θεραπεῦσαι αὐτοὺς, ὡς δὲ ἄγαν θερμοὶ περὶ τὴν πίστιν, οὐδὲ ἐπιστομιζόμενοι ἐσιώπων, ἀλλὰ καὶ πλείω ἔκραζον. Ὅθεν οὐδὲ ἐρωτᾷ αὐτοὺς εἰ πίστιν ἔχουσιν, ἀλλὰ τί θέλουσιν, ἵνα μή τις νομίσῃ ὅτι ἄλλα βουλομένοις ἄλλα δίδωσι. Δείκνυσιν οὖν ὅτι οὐχ ἕνεκεν τοῦ λαβεῖν ἀργύριον ἐβόων, ἀλλὰ τοῦ ἰαθῆναι. Ἁψάμενος δὲ θεραπεύει, ἵνα μάθωμεν, ὅτι πᾶν μέλος τῆς ἁγίας αὐτοῦ σαρκὸς, ζωοποιὸν καὶ Θεοῦ μέλος ἦν. Εἰ δὲ ὁ Λουκᾶς καὶ ὁ Μάρκος ἕνα λέγουσι τὸν τυφλὸν, οὐδὲν τοῦτο διαφωνεῖ· ἐκεῖνοι γὰρ τοῦ ἐπιφανεστέρου ἐμνήσθησαν.

A minentur illis : et qui magni sunt, potestatem exerceant in eas. Non ita erit inter vos, sed quicunque voluerit inter vos magnus fieri, erit vester minister : et qui voluerit inter vos primus esse, erit vester servus : sicut Filius hominis non venit ut sibi ministraretur, sed ut ipse ministraret, atque daret animam suam redemptionem pro multis. » Ubi viderunt decem duos illos a Christo increpatos, tunc et ipsi indignati sunt, et ostenderunt se commotos ob istorum honorem. Adhuc enim erant imperfecti : nam illi adversus decem insurgebant, hi vero duobus invidebant. Postquam igitur decem his auditis turbati fuerunt, accessit illos, vocatione ante sermonem eos demulcens. Etenim filii Zebedæi avulsi ab aliis conversabantur cum ipso. Omnibus itaque B simul loquitur. Sciens enim quam sit tyrannica, et gravi indigeat reprehensionis plaga, ambitio, acrius eos perstringit, et sbjicit eos in infidelium et gentilium portionem, si inani gloriæ studere voluerint: et sic eos adhortatur, dicens : Alii quidem homines, quia regunt, clari sunt : et amare primatum, gentilium est affectio; meos autem discipulos humilitas commendat, et honorabiles facit : atque adeo qui major esse voluerit, debet, his qui opus habent, ministrare, id quod præcipuæ humilitatis est, et hoc in meipso ostendo : cum enim sim princeps et rex cœlestium, humiliavi memetipsum, ita ut vobis ministrem ad salutem; **108** et in tantum ministrem vobis, ut et animam meam po- C nam redemptionem pro multis, hoc est omnibus: omnes enim multi.

VERS. 29-34. « Et egredientibus illis a Hiericho, secuta est eum turba multa. Et ecce duo cæci sedentes secus viam cum audissent quod Jesus transiret, clamaverunt dicentes : Miserere nostri, Domine, fili David. Turba autem increpabat eos ut tacerent. At illi magis clamabant, dicentes: Miserere nostri, Domine, fili David. Et stetit Jesus, ac vocavit eos, et ait : Quid vultis ut faciam vobis ? Dicunt illi : Domine, ut aperiantur oculi nostri. Misertus autem eorum Jesus, tetigit oculos eorum, et confestim visum receperunt oculi illorum, et secuti sunt eum. » Fama agnoverant cæci Dominum, et observabant tempus cum audissent quod D præteriret. Crediderunt autem quod Jesus (qui ex semine David secundum carnem) posset curare illos. Et plane multum fervebant fide, neque dum tacere juberentur, silebant, sed longe amplius clamabant. Unde non interrogavit illos an fidem habeant, sed qnid vellent : ne quis existimet quod alia det alia volentibus. Monstrans igitur quod non pecuniæ gratia ad se clamarint, sed ut curentur, tactos curat, ut discamus omnia suæ sanctæ carnis membra, vivifica et Dei membra esse. Quod autem Lucas et Marcus unum dicunt cæcum fuisse, non ab his dissonat [36]. Illi enim insignioris mentionem fecerunt. Vel aliter, Lucas dicit quod antequam veniret

[36] Luc. XVIII, Matth. X.

in Hiericho, curarit cæcum; Marcus autem, postquam exivit de Hiericho. Matthæus vero brevitatis amator simul utrumque complexus est. Intellige autem per cæcos, eos qui ex gentibus, qui secus viam curati sunt. Non enim præcipue venit Christus propter gentes, sed propter Israelitas. Quemadmodum autem cæci audiendo didicerunt de Jesu, sic et gentes ex auditu fidei Hi autem qui silentium imperant cæcis, ne clamando invocent nomen Jesu, sunt persecutores tyranni, qui attentant Ecclesiæ os obturare : sed illa multo magis confitetur nomen Christi : idcirco sanatur, et videt veritatis lumen clarius, et sequitur Christum, vitam ejus imitando.

A Ἄλλως τε, ὁ Λουκᾶς λέγει ὅτι πρὸ τοῦ ἀπελθεῖν εἰς Ἱεριχὼ ἐθεράπευσε τυφλόν· ὁ δὲ Μάρκος, μετὰ τὸ ἐξελθεῖν ἀπὸ Ἱεριχώ. Ὁ οὖν Ματθαῖος φιλοσύντομος ὢν, περιέλαβεν ἐν ταὐτῷ τοὺς δύο. Νόησον δὲ τυφλοὺς, τοὺς ἐξ ἐθνῶν, οἳ ἐκ παρόδου ἰάθησαν· οὐ γὰρ προηγουμένως ἦλθεν ὁ Χριστὸς διὰ τοὺς ἐθνικοὺς, ἀλλὰ διὰ τοὺς ἐξ Ἰσραήλ· ὥσπερ δὲ οἱ τυφλοὶ ἐξ ἀκοῆς ἔμαθον περὶ τοῦ Ἰησοῦ, οὕτω καὶ οἱ ἐθνικοὶ ἐξ ἀκοῆς πίστεως (27)· οἱ δὲ ἐπιστομίζοντες τοὺς τυφλοὺς μὴ κράζειν τὸ ὄνομα τοῦ Ἰησοῦ, εἰσὶν οἱ διῶκται τύραννοι, οἳ ἐπειρῶντο ἐπιστομίζειν τὴν Ἐκκλησίαν, ἀλλ' ἐκείνη πλέον ὡμολόγει τὸ τοῦ Χριστοῦ ὄνομα· διὸ καὶ ἰάθη καὶ βλέπει τὸ τῆς ἀληθείας φῶς τρανότερον, καὶ ἀκολουθεῖ τῷ Χριστῷ, κατὰ τὸν βίον μιμουμένη αὐτόν.

B

## CAPUT XXI.

*De asina et pullo. De claudis et cæcis. De ficu arefacta. De principibus sacerdotum et presbyteris Dominum Jesum interrogantibus Parabola de duobus filiis. Parabola de vinea.*

## ΚΕΦΑΛ. ΚΑ'.

Περὶ τῆς ὄνου καὶ τοῦ πώλου. Περὶ τῶν χωλῶν καὶ τυφλῶν. Περὶ τῆς ξηρανθείσης συκῆς. Περὶ τῶν ἐπερωτώντων τὸν Κύριον ἀρχιερέων καὶ πρεσβυτέρων. Περὶ τῶν δύο υἱῶν παραβολή. Περὶ τοῦ ἀμπελῶνος.

VERS. 1-5. « Et cum appropinquassent Hierosolymis, et venissent Bethphage ad montem Olivarum, tunc Jesus misit duos discipulos, dicens illis: Ite in castellum quod contra vos est, et statim invenietis asinam alligatam, 100 et pullum cum ea: solvite, et adducite mihi, et si quis vobis aliquid dixerit, dicite, Dominus his opus habet, et confestim emittit eos. Hoc autem totum factum est ut adimpleretur quod dictum est per prophetam dicentem : Dicite filiæ Sion, Ecce rex tuus venit tibi mansuetus, sedens super asinam, et pullum filium subjugalis. » Sedit super asinam, non in ullum alium usum, quam ut impleretur prophetia, et ut ostenderet quomodo oporteat viliter vehi : non enim equo, sed asello vili vectus est. Implet igitur prophetiam et juxta historiam et juxta anagogen. Nam juxta historiam visibili asino insedit : et juxta anagogen quoque, quia etiam pullo insedit, novo, indomito, et obedientiæ nescio populo. Ligati autem erant asina et pullus catenis suorum peccatorum. Duo missi sunt ad solvendum, Paulus quidem ad gentes, Petrus vero in circumcisionem, hoc est, ad Judæos. Et usque in hodiernum diem duo nos solvunt a peccatis, Apostolus et Evangelium. Venit autem Christus mansuetus. Non enim venit ut judicet mundum in primo adventu, sed ut salvet. Et alii quidem reges Judæorum fuerunt rapaces et injusti, Christus autem rex mansuetus.

« Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγὴ πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς, λέγων αὐτοῖς· Πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς· λύσαντες ἀγάγετέ μοι. καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει, εὐθέως δὲ ἀποστέλλει αὐτούς. Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· Εἴπατε τῇ θυγα-
C τρὶ Σιών· Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου. » Ἐκάθισεν ἐπὶ τῆς ὄνου, οὐδεμιᾶς ἄλλης οὔσης χρείας, εἰ μὴ τοῦ πληρῶσαι τὴν προφητείαν, καὶ ἵνα δείξῃ ὑμῖν ὅπως δεῖ εὐτελῶς ἐποχεῖσθαι· οὐ γὰρ ἐφ' ἵππου, ἀλλ' ἐπὶ ὀναρίου εὐτελοῦς ὠχήθη. Πληροῖ γοῦν τὴν προφητείαν καὶ καθ' ἱστορίαν καὶ κατὰ ἀναγωγήν· καθ' ἱστορίαν μὲν, ὡς ἐπὶ ὄνου καθίσας, τὸ ὁρώμενον· κατὰ ἀναγωγὴν δὲ, ὅτι καὶ ἐπὶ τοῦ πώλου ἐκάθισε, τοῦ νέου καὶ ἀδαμάστου λαοῦ, τοῦ ἀνυποτάκτου. Ἐδέδεντο δὲ καὶ ἡ ὄνος (28) καὶ ὁ πῶλος ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτιῶν. Δύο δὲ ἀπεστάλησαν λύσοντες, ὁ μὲν Παῦλος εἰς τὰ ἔθνη, Πέτρος δὲ εἰς τὴν περιτομὴν, τουτέστι, τοὺς Ἰουδαίους. Καὶ μέχρι δὲ τοῦ νῦν, δύο λύουσιν ἡμᾶς
D ἀπὸ τῶν ἁμαρτιῶν, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον· ἔρχεται δὲ ὁ Χριστὸς πραΰς· οὐ γὰρ ἦλθε κρῖναι τὸν κόσμον ἐν τῇ πρώτῃ παρουσίᾳ, ἀλλὰ σῶσαι. Ἀλλὰ καὶ οἱ μὲν ἄλλοι βασιλεῖς τῶν Ἑβραίων ἅρπαγες ἦσαν καὶ ἄδικοι, ὁ δὲ Χριστὸς, βασιλεὺς πραΰς.

VERS. 6, 7. « Euntes autem discipuli fecerunt sicut præceperat illis Jesus, et adduxerunt asinam et pullum, et imposuerunt super eos vestimenta sua,

« Πορευθέντες δὲ οἱ μαθηταὶ, καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ

Ex collatione codd. Venet. S. Marci.

(27) Cod. 32, ἐξ ἀκοῆς ἐπίστευσαν, « ex auditu crediderunt.

(28) Cod. 32. Κατὰ μὲν ἱστορίαν τῇ ἀμπέλῳ κατὰ τὸ εἰρημένον. Δεσμεύων τῇ ἀμπέλῳ τὸν ὄνον αὐτοῦ καὶ τῇ ἕλικι τῆς ἀμπέλου· κατὰ ἀναγωγὴν δὲ ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτιῶν, δύο δὲ ἀπεστάλησαν, καὶ τ. λ. « Secundum quidem historiam, ad vitem, juxta illud: *Ligans ad vitem asinum suum, et ad pampinum vitis* (*Gen.* XLIX, 11) : secundum autem sensum anagogicum, catenis suorum peccatorum. Duo vero missi sunt, » etc.

ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπάνω αὐτῶν. » Ὁ μὲν A Λουκᾶς καὶ ὁ Μάρκος ὑποζύγιον μόνον εἶπον. Ματθαῖος δὲ ὄνον καὶ πῶλον, οὐκ ἐναντία λέγοντες· ἀγομένῳ γὰρ τῷ πώλῳ συνηκολούθει καὶ ἡ μήτηρ. Ἐκάθισε δὲ ἐπάνω αὐτῶν, οὐχὶ τῶν δύο ὑποζυγίων, ἀλλὰ τῶν ἱματίων· ἢ πρῶτον μὲν ἐκάθισεν ἐπὶ τῆς ὄνου, εἶτα καὶ ἐπὶ τοῦ πώλου. Ἐπεὶ καὶ πρῶτον ἐπανεπαύσατο τῇ τῶν Ἰουδαίων συναγωγῇ, εἶτα τῷ ἐξ ἐθνῶν λαῷ.

« Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν αὐτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ· ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων, καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ· οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ ἀκολουθοῦντες, ἔκραζον λέγοντες· Ὡσαννὰ τῷ υἱῷ Δαυΐδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις. » Κατὰ μὲν τὴν ἱστορίαν, πολλὴν τιμὴν ἐμφαίνει ἡ τῶν ἱματίων ὑπόστρω- B σις, καὶ τῶν κλάδων ἡ τομὴ, πανηγύρεως ἔνδειξις· κατὰ δὲ ἀναγωγὴν, μάνθανε ὅτι μετὰ τὸ ἐπιθεῖναι τοὺς ἀποστόλους τὰ ἱμάτια αὐτῶν, ἤτοι τὰς ἀρετὰς αὐτῶν, τότε ἐπικάθηται ὁ Κύριος. Εἰ γὰρ μὴ καλλωπισθῇ ὁ ψυχὴ ταῖς ἀποστολικαῖς ἀρεταῖς, οὐκ ἐποχεῖται ἐπὶ ταύτης ὁ Θεός. Οἱ δὲ προάγοντες, εἰσὶν οἱ πρὸ τῆς τοῦ Χριστοῦ σαρκώσεως προφῆται· οἱ δὲ ἀκολουθοῦντες, οἱ μετὰ ταῦτα μάρτυρες καὶ διδάσκαλοι, οἳ τὰ ἱμάτια αὐτῶν στρωννύουσι τῷ Χριστῷ, τουτέστι, τὴν σάρκα ὑποτάσσουσι τῷ πνεύματι· ἱμάτιον γὰρ καὶ κάλυμμα τῆς ψυχῆς, τὸ σῶμα. Ἔστρωσαν οὖν ἐν τῇ ὁδῷ, τουτέστι, ἐν τῷ Χριστῷ. « Ἐγὼ γάρ εἰμι ἡ ὁδὸς, » φησίν. Ἐὰν γὰρ μή τις τὴν σάρκα αὐτοῦ στρώσῃ, τουτέστι, ταπεινώσῃ, ἐν τῇ ὁδῷ, τουτέστιν, ἐν τῷ Χριστῷ μένων, καὶ μὴ αἱ- C ρετικὸς ὤν, οὐκ ἐποχεῖται ἐπὶ τούτου ὁ Κύριος. Τὸ δὲ Ὡσαννὰ, οἱ μὲν λέγουσιν ὅτι ὕμνον ἢ ψαλμὸν σημαίνει, οἱ δὲ, ὃ καὶ ἀκριβέστερον· Σῶσον δή. Ἐρχόμενος δὲ λέγεται ὁ Κύριος, ὡς προσδοκώμενος παρὰ τοῖς Ἑβραίοις ἐλθεῖν· οὕτω γὰρ καὶ ὁ Ἰωάννης λέγει· « Σὺ εἶ ὁ ἐρχόμενος, » ἀντὶ τοῦ, ὁ προσδοκώμενος ἐλεύσεσθαι. Καὶ ἄλλως δὲ λέγεται ὁ ἐρχόμενος ὡς καθ' ἡμέραν προσδοκωμένης τῆς δευτέρας αὐτοῦ παρουσίας· δεῖ οὖν ἕκαστον ἀεὶ ἐλπίζειν τὴν συντέλειαν, καὶ ἀεὶ ἐρχόμενον τὸν Κύριον, καὶ ἑτοιμάζεσθαι.

« Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη πᾶσα ἡ πόλις, λέγουσα· Τίς ἐστιν οὗτος; Οἱ δὲ ὄχλοι ἔλεγον· Οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας. » Οἱ ὄχλοι ἄδολοι ὄντες καὶ D ἄπλαστοι, οὔτε ἐφθόνουν τῷ Χριστῷ, οὔτε πάλιν τὴν προσήκουσαν περὶ αὐτοῦ ὑπόληψιν εἶχον. Διὸ καὶ νῦν προφήτην αὐτὸν λέγουσι. Μή ποτε δὲ ἐπεὶ μετὰ τοῦ ἄρθρου φασὶν, ὁ προφήτης, δύναται νοηθῆναι ὅτι οὗτός ἐστιν ὁ προσδοκώμενος προφήτης· ὃν εἶπε Μωσῆς, ὅτι « Προφήτην ὑμῖν ὁ Θεὸς ἀναστήσει. » Οὐ γὰρ εἶπον, Οὗτός ἐστι προφήτης, ἀλλ', Ὁ προφήτης, τουτέστιν, ἐκεῖνος ὁ ἐλπιζόμενος.

« Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ· καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατ-

[37] Joan. XIV, 6. [38] Deut. XVIII, 18.

et collocarunt eum super illa. » Lucas quidem et Marcus subjugalem solum dixerunt. Matthæus autem asinam et pullum. Non dixerunt contrarium, ducentes enim pullum, secuta est mater. Collocarunt autem eum super illa: non super duo jumenta, sed super vestes. Aut primum quidem sedit super asinam, postea super pullum: quia et primum quievit Judæorum Synagoga, deinde in gentili populo.

VERS. 8, 9. « Plurima autem turba straverunt vestimenta sua in via: alii vero cædebant ramos de arboribus, et sternebant in via. Porro turbæ quæ præcedebant et quæ sequebantur, clamabant, dicentes: Hosanna filio David: benedictus qui venit in nomine Domini, hosanna in altissimis. » Juxta historiam multum in se habet honoris vestes stravisse, et ramos objectasse, nam ostendunt magnam gloriam. At juxta anagogen disce quod postquam apostoli superposuerunt vestimenta sua, virtutes inquam suas, tunc super illas sedit Dominus. Nam nisi anima nostra ornata fuerit apostolicis virtutibus, non equitabit eam Dominus. Præcedentes, sunt prophetæ, qui ante incarnatum Christum fuere: sequentes autem, martyres et doctores, qui vestimenta sua sternunt Christo, hoc est, carnem subjiciunt spiritui. Vestimenta enim et tegumenta animæ, corpus. Straverunt igitur in via, hoc est, in Christo. « Ego enim sum via [37], » inquit. Si enim quis carnem suam non straverit, 110 hoc est, humiliaverit in via, hoc est, in Christo manens, et non hæreticus exsistens, non insidebit in eo dominus. Hosanna autem quidam dicunt quod Hymnum vel Psalmum significet, alii autem, id quod evidentius: Salva, obsecro. Venturus autem dicitur Dominus quia exspectabatur ab Hebræis venturus. Sic enim et Joannes dicit: « Tu es qui venturus es? » hoc est, qui exspectaris ut venias. Dicitur et aliter venturus, eo quod adventus ejus secundus quotidie exspectetur. Debemus igitur et nos omnes consummationem mundi et adventum Christi exspectare ac præparari.

VERS. 10, 11. « Et cum intrasset Hirosolyma, commota est universa civitas, dicens: Quis est hic? Turbæ autem dicebant: Hic est Jesus ille propheta a Nazareth Galilææ » Turbæ simplices et candidæ, neque invidebant Christo, neque rursus opinionem dignam de Christo habebant: ideo et nunc prophetam illum dicunt. Nisi forte, quandoquidem eum articulo dicunt, ὁ προφήτης, propheta ille possit intelligi quod iste sit qui exspectabatur propheta, de quo dixit Moses, « Prophetam vobis Deus excitabit [38]. » Non enim dixerunt, Hic est propheta: sed, propheta ille, hoc est, ille qui exspectatur.

VERS. 12, 13. « Et intravit Jesus in templum Dei, et ejiciebat omnes vendentes et ementes in templo, mensasque collybistarum et cathedras vendentium

columbas evertit, et dixit illis: Scriptum est, Domus mea domus deprecationis vocabitur : at vos fecistis illam speluncam latronum. » Tanquam dominus domus, hoc est, templi, ejecit vendentes : ostendens ea quæ Patris sunt, et sua esse, interim etiam honestati templi curam habens, sed et translationem sacrificiorum significans, eo quod ejiciendo boves et columbas, præsignavit non ultra opus esse animalium sacrificio aut immolatione, sed oratione. Domus enim mea, inquit, domus deprecationis est; vos autem fecistis illam speluncam latronum. In speluncis enim latronum fiunt mactationes, et sanguinis effusiones. Vel etiam propter negotiatores ementes et vendentes, speluncam latronum vocavit templum. Avaritia enim et lucri cupiditas, latronum morbus est. Collybistæ autem sunt qui apud nos dicuntur mensarii. Collybos enim species est vilis numismatis, sicut habemus et nos obolos(*a*) aut nummos argenteos. Vendunt autem columbas et hi qui in Ecclesiis gradus vendunt Spiritus enim gratiam, qui est columba, vendunt ipsi : unde ejiciuntur ex superno et inferno templo. Indigni enim sunt sacerdotio fungi. Vide autem et tu ne forte templum Dei, cogitationem tuam facias speluncam latronum, id est, dæmoniorum. Fiet autem spelunca, si habuerimus cogitationes carnalibus rebus amicas, vendentes et ementes, et ita lucri cupidas, ut et collybos et vilia numismata congregent; 111 et si vendiderimus et emerimus columbas, hoc est, si quod in nobis fuerit spirituale dogma, et hujusmodi honesta cogitatio, speluncam latronum fecimus nos ipsos.

VERS. 14. « Et accesserunt ad eum cæci et claudi in templo : et sanavit eos. » Per infirmos quos curavit, ostendit se Deum esse, et bene facere, ejiciens cum auctoritate e domo sua indignos. Declaratur etiam hoc, quod ejectis Judæis, qui legi et animalium mactationi addicti erant, cæci et claudi ex gentibus assumpti fuerint sanati ab eo.

VERS. 15, 16. « Cum autem vidissent principes sacerdotum et Scribæ mirabilia quæ fecerat, et pueros clamantes in templo et dicentes : Hosanna Filio David, indignati sunt, et dixerunt ei : Audis quid isti dicunt? Jesus autem dicit illis : Utique. Nunquam legistis : Ex ore infantium et lactentium perfecisti laudem? » Pharisæi cum viderent pueros hymnum David offerre Christo, quem videtur Propheta Deo obtulisse, dissecantur invidia, et interpellant illum, quod permittat de se dici quæ soli Deo debentur. Ille autem magis approbans dicit: Etiam. Tantum abest ut obturem ora talia dicentium, ut et Prophetæ testimonium adducam, et vos ostendam vel imperitos, vel invidos. Annon enim legistis quod Ex ore infantium et lactentium perfecisti laudem? *Perfecisti* autem significat : Perfectam et absolutam

(*a*) Edit. Lut. *et obolos*.

A ἔστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς. Καὶ λέγει αὐτοῖς· Γέγραπται· Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. » Ὡς δεσπότης του οἴκου, ὅ ἐστι τοῦ ἱεροῦ, ἐξέβαλε τοὺς πωλοῦντας· δεικνὺς ὅτι τὰ τοῦ Πατρὸς, καὶ αὐτοῦ εἰσι. Τοῦτο δὲ ἐποίει, ἅμα μὲν καὶ τῆς εὐκοσμίας τοῦ ἱεροῦ φροντίζων, ἅμα δὲ καὶ τὴν μετάθεσιν τῶν θυσιῶν σημαίνων· δι' ὧν γὰρ ἐξέβαλλε τοὺς βόας καὶ τὰς περιστερὰς, προεμήνυεν, ὅτι οὐκ ἔτι χρεία ζωοθυσιῶν ἢ σφαγίων, ἀλλὰ προσευχῆς· Ὁ γὰρ οἶκός μου, φησὶν, οἶκος προσευχῆς, ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν· ἐν γὰρ τοῖς σπηλαίοις τῶν λῃστῶν γίνονται σφαγαὶ καὶ αἱματεκχυσίαι· ἢ καὶ διὰ τοὺς καπηλεύοντας, καὶ ἀγοράζοντας καὶ πωλοῦντας, σπήλαιον λῃστῶν ἐκάλεσε τὸ ἱερόν· τὸ γὰρ φιλοκερδὲς, λῃστρικὸν πάθος
B ἐστί· κολλυβισταὶ δέ εἰσιν οἱ παρ' ἡμῖν λεγόμενοι τραπεζῖται· κόλλυβος γὰρ, εἶδός ἐστι νομίσματος εὐτελοῦς, ὥσπερ ἔχομεν τυχὸν ἡμεῖς τοὺς ὀβολοὺς ἢ τὰ ἀργύρια. Πωλοῦσι δὲ περιστερὰς καὶ οἱ τοὺς ἐν ταῖς Ἐκκλησίαις βαθμοὺς πωλοῦντες. Τὴν γὰρ τοῦ Πνεύματος χάριν, ὅ ἐστι περιστερὰ, πωλοῦσιν αὐτοί. Ὅθεν ἐκβάλλονται ἐκ τοῦ ἄνω ναοῦ, καὶ τοῦ κάτω· ἀνάξιοι γάρ εἰσιν ἱερατεύειν. Βλέπε δὲ καὶ σὺ μήποτε τὸ ἱερὸν τοῦ Θεοῦ, τουτέστι, τὴν σὴν διάνοιαν, ποιήσῃς σπήλαιον λῃστῶν, τουτέστι, τῶν δαιμόνων. Γενήσεται δὲ σπήλαιον, ἐὰν ἔχωμεν λογισμοὺς φιλούλους, πωλοῦντας καὶ ἀγοράζοντας καὶ φιλοχρημάτους, ἄχρι καὶ αὐτῶν τῶν κολλύβων ἤτοι τῶν εὐτελῶν νομισμάτων συνάγοντας· καὶ ἐὰν πωλῶμεν δὲ καὶ
C ἐκπριώμεθα τὰς περιστερὰς, τουτέστιν, εἴ τι ἐν ἡμῖν εἴη πνευματικὸν δόγμα καὶ λογισμὸς τοιοῦτος, σπήλαιον λῃστῶν ἐποιήσαμεν ἑαυτους.

« Καὶ προσῆλθον αὐτῷ χωλοὶ καὶ τυφλοὶ ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς. » Ἐξ ὧν θεραπεύει τοὺς ἀσθενεῖς δείκνυσιν ὅτι Θεός ἐστι καὶ καλῶς ποιεῖ, ἐκβάλλων μετ' ἐξουσίας ἐκ τοῦ οἴκου αὐτοῦ τοὺς ἀναξίους· δηλοῦται δὲ καὶ τοῦτο, ὅτι μετ' ὃ ἐξεβλήθησαν οἱ Ἰουδαῖοι, οἱ τῷ νόμῳ καὶ ταῖς ζωοσφαγίαις προσέχοντες, οἱ τυφλοὶ, καὶ χωλοὶ οἱ ἐξ ἐθνῶν προσελήφθησαν, θεραπευθέντες ὑπ' αὐτοῦ.

« Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέγοντας· Ὡσαννὰ τῷ υἱῷ Δαυΐδ, ἠγανάκτησαν, καὶ εἶπον αὐτῷ· Ἀκούεις τί οὗτοι λέγουσιν;
D Ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς· Ναί. Οὐδέποτε ἀνέγνωτε, ὅτι Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; » Οἱ Φαρισαῖοι ἰδόντες τοὺς παῖδας προσφέροντας τῷ Χριστῷ τὸν ὕμνον τοῦ Δαυΐδ, ὃν δοκεῖ ὁ προφήτης τῷ Θεῷ ἀναθεῖναι, διαπρίονται τῷ φθόνῳ, καὶ κακίζουσιν αὐτὸν ὡς ἀνεχόμενον τὰ τοῦ Θεοῦ ἐπ' αὐτῷ λέγεσθαι· ὁ δὲ, ἐπιβεβαιῶν μᾶλλον, φησί· Ναί. Τοσοῦτον γὰρ, φησὶν, ἀπέχω τοῦ ἐπιστομίσαι τοὺς λέγοντάς μοι ταῦτα, ὥστε καὶ τὸν προφήτην παράγω μάρτυρα, καὶ ὑμᾶς ἀποδείκνυμι ἢ ἀμαθεῖς ἢ φθονερούς. Οὐκ ἀνέγνωτε γὰρ, ὅτι Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; Κατηρτίσω δὲ

σημαίνει ἀντὶ τοῦ Ἄρτιον καὶ τέλειον ἐδείξω ὕμνον, κἂν ἐκεῖνοι ἀτελεῖς δοκῶσι τὴν ἡλικίαν. Οὐ γὰρ ἐκεῖνοι ἔλεγον ἃ ἔλεγον, ἀλλὰ τὸ στόμα μόνον δεδωκότες τῷ Πνεύματι, ὄργανα ἦσαν ἐκείνου. Διὰ τοῦτο οὖν φησιν· Ἐκ στόματος νηπίων, αἰνιττόμενος ὡς οὐ τῆς αὐτῶν διανοίας ἦσαν τὰ ῥήματα, ἀλλὰ μόνου τοῦ στόματος θείᾳ χάριτι κινουμένου· ἐσήμαινε δὲ τοῦτο ὅτι καὶ ἀπὸ τῶν ἐθνῶν τῶν νηπίων καὶ μωρῶν εὐλογηθήσεται. Καὶ τῶν ἀποστόλων δὲ παραμυθία ἦν τοῦτο, ὅτι δοθήσεται καὶ αὐτοῖς λόγος, κἂν ἀφελεῖς ὦσι. Καὶ σὺ δὲ ἐὰν νηπιάζῃς τῇ κακίᾳ ἄκακος ὤν, καὶ θηλάζῃς τὸ πνευματικὸν γάλα, τὰ θεῖα λόγια, τότε γενήσῃ ἄξιος τοῦ ὑμνεῖν τὸν Θεόν.

« Καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν, καὶ ηὐλίσθη ἐκεῖ. » Ἀναχωρεῖ ἀπὸ τούτων ὡς ἀναξίων, καὶ ἔρχεται εἰς Βηθανίαν ὃ ἑρμηνεύεται οἶκος ὑπακοῆς· ἀπὸ γὰρ τῶν ἀνυποτάκτων ἐπὶ τοὺς ὑπακούοντας αὐτῷ μεταβαίνει, καὶ αὐλίζεται ἐν αὐτοῖς. Φησὶ γάρ· Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω.

« Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασε· καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον, καὶ λέγεται αὐτῇ· Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα· καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ· καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν, λέγοντες· Πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; » Ἐπειδὴ συχνὰς ἐποίει θαυματουργίας ὁ Κύριος πρὸς εὐεργεσίαν πάσας ὁρώσας, οὐδεμίαν δὲ κολαστικὴν θαυματουργίαν ἐνεδείξατο, ἵνα μὴ νομίσωσί τινες, ὅτι οὐ δύναται κολάζειν, δείκνυσιν ἐνταῦθα καὶ ταύτην αὐτοῦ τὴν δύναμιν, οὐκ εἰς ἀνθρώπους καταχρησάμενος ταύτῃ, ἀλλ' εἰς δένδρον ὡς φιλάνθρωπος· ὥσπερ καὶ πρὸ τούτου εἰς τοὺς χοίρους. Ξηραίνει οὖν τὸ δένδρον, ἵνα σωφρονίσῃ ἀνθρώπους (29)· θαυμάζουσι δὲ οἱ μαθηταί, εἰκότως. Τοῦτο γὰρ τὸ δένδρον ὑγρότερόν ἐστι, καὶ μᾶλλον δεικνύει τὸ θαῦμα, ὅτι ταχέως ἐξηράνθη· σημαίνει δὲ ἡ συκῆ, καὶ τὴν τῶν Ἰουδαίων Συναγωγήν, φύλλα μόνον ἔχουσαν, τουτέστι, τὸ φαινόμενον γράμμα, οὐχὶ τὸν καρπὸν τοῦ πνεύματος. Ἀλλὰ καὶ πᾶς ἄνθρωπος τῇ γλυκύτητι τοῦ παρόντος βίου αὑτὸν ἐκδεδωκώς, συκῇ ἀπεικάζεται· ὃς καρπὸν οὐκ ἔχει πνευματικόν, ἵνα πεινῶντι τῷ Ἰησοῦ δῷ, φύλλα δὲ μόνον, τὴν πρόσκαιρον φαντασίαν καὶ καταῤῥέουσαν. Οὗτος οὖν κατηραμένος ἀκούει. Πορεύεσθε γάρ, φησίν, οἱ κατηραμένοι, εἰς τὸ πῦρ. Ἀλλὰ καὶ ξηραίνεται· ἡ γλῶσσα αὐτοῦ ὡς καὶ ἡ τοῦ πλουσίου.

« Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον

ostendisti laudem, etiamsi illi propter ætatem imperfecti et viles videantur Non enim illi dicebant quæ dicebant, sed os solum accommodantes Spiritui, organa ejus fuerunt. Et idcirco dicit: Ex ore infantium, innuens quod ea verba non ab illorum mente procederent, sed quod os solum divina gratia movebatur. Significatur item quod a gentibus, quæ simplices et stultæ erant, benedicendus esset. Erat autem et hoc apostolis consolatio, dandum et sibi sermonem, tametsi perquam viles forent. Et tu innocens si fueris, ac malitia parvulus, suxerisque spirituale divinorum eloquiorum lac, tunc dignus eris qui laudes et prædices Deum.

VERS. 17. « Et relictis illis exiit e civitate in Bethaniam, et diversatus est illic. » Secedit ab illis, ut ab indignis, et venit in Bethaniam, hoc est, domum obedientiæ. Ab inobedientibus enim ad obedientes se confert, et inter illos versatur. Dicit enim, « Habitabo in eis, et ambulabo in eis [39]. »

VERS. 18, 19. «Mane autem revertens in civitatem, esuriit. Et cum vidisset fici arborem unam in via, venit ad eam, et nihil invenit in ea, nisi folia tantum, et ait illi : Ne posthac ex te fructus nascatur in æternum. Et arefacta est continuo ficus: et eo viso discipuli mirati sunt, dicentes: Quomodo continuo exaruit ficus?» Quoniam Dominus frequenter miracula operatus est, et in omnibus hoc spectavit ut benefaceret, nullum autem ostendit quo puniret: 112 ne putarent quod non posset punire ostendit hoc loco et hanc suam potestatem : non in homines illa utens, sed in arborem, utpote misericors, sicut et antea in porcos. Arefacit igitur arborem, ut emendet homines. Porro discipuli merito admirantur. Arbor enim illa humidior est, et majus ostendit miraculum, eo quod statim exaruit. Cæterum ficus Judæorum significat Synagogam folia sola habentem, hoc est, apparentem litteram, non fructum spiritus. Sed et omnis homo exponens se deliciis hujus vitæ, ficui comparatur: quia fructum non habet spiritualem, ut esurienti Jesu det, sed folia tantum, et temporalem ac defluentem apparentiam. Hic igitur maledictus audiet. Ite enim, inquit, maledicti in ignem. Sed et arescet : nam dum cruciatur in flamma, arescit ejus lingua, sicut et divitis. ἀποτηγανιζομένου γὰρ αὐτοῦ ἐν τῇ φλογί, ξηραίνεται

VERS. 20-22. «Respondens autem Jesus ait illis: Amen dico vobis, si habueritis fidem, et non hæsi-

[39] II Cor. VI, 16.

Ex collatione codd. Venet. S. Marci.

(29) Cod. 32 : Ἵνα σωφρονίσῃ αὐτούς. Ἅμα δὲ τούτῳ ἀπόῤῥητός τις λόγος συμπλέκεται παρὰ γερόντων σοφῶν εἰς ἡμᾶς φοιτήσας, ὅτι τὸ ξύλον τῆς παραβάσεως τοῦτο, οὗ καὶ τοῖς φύλλοις εἰς σκέπην οἱ παραβάντες ἐχρήσαντο. Καὶ λίαν φιλανθρώπως κατηράθη παρὰ Χριστοῦ, μηκέτι καρπὸν ἐνεγκεῖν αἴτιον ἁμαρτίας· ἐπειδὴ δευτέρα Θεοῦ παρουσία πρὸς ἐνανθρώπησιν μὲν οὐκ ἔστι, πρὸς δὲ κρίσιν τῶν πεπραγμένων. Θαυμάζουσι δέ, καὶ τ. λ. « Ut emendet ipsos. Verum huic arcarna quædam ratio adjungitur, quæ a vetustis sapientibus ad nos pervenit; nempe quod hoc sit lignum prævaricationis: cujus etiam foliis ad operimentum sui prævaricatores usi sunt. Et valde misericorditer maledictum est a Christo, ne amplius fructum produceret, qui esset causa peccati : quandoquidem secundus adventus non ad incarnationem, sed ad factorum judicium erit. Porro discipuli merito admirantur, » etc.

taveritis,non solum hoc quod accidit ficui,facietis; verum etiam si monti huic dixeritis,Tollere,et projice te in mare,fiet.Et omnia quæcunque petieritis in deprecatione credentes, accipietis. » Magna Christi quam discipulis dat, promissio,quod possimus montes transferre, si non ambigui fuerimus fide, et hæsitaverimus.Quæcunque enim petiverimus citra hæsitationem fidentes divinæ virtuti,accipiemus.Etiam,inquit, si petiverimus et quod non conducibile, credam autem insipienter quod hoc mihi det Dominus, accipiamne igitur et illi quod mihi non expedit? Deus igitur quomodo misericors, si quidem meam petitionem,quæ mihi non prodest, adimplet? Audi ergo. Primum cum audieris fidem, non stultam illlam fidem,sed eam quæ revera fides est,accipe,et deprecationem illam quæ utilia petit, sicut tradidit Dominus dicens:«Ne inducas nos in tentationem,sed libera nos a malo [40] : » et quæ in ea oratione sunt verba.Insuper vide et verbum hæsitaveritis. Nam qui unitus fuerit Deo, et unus est cum illo, et non discretus et separatus, quomodo petet quod inutile est? Unde si indivisi et indiscreti fuerimus a Deo,conducibilia petemus a Deo, et accipiemus.

VERS. 23-27. «Et cum venisset in templum,accesserunt ad eum docentem principes sacerdotum et seniores populi,dicentes:Qua auctoritate hæc facis? et quis tibi dedit istam auctoritatem? Respondens autem Jesus,dixit eis:Interrogabo vos et ego quiddam,quod si dixeritis mihi,et ego vobis dicam qua auctoritate hæc faciam. Baptismus Joannis unde erat? e cœlo, an ex hominibus? At illi cogitabant apud se,dicentes:Si dixerimus e cœlo,dicet nobis, Quare ergo non credidistis illi? Sin autem dixerimus,ex hominibus, timemus turbam.Omnes enim habebant Joannem ut prophetam.Et respondentes Jesu dixerunt: Nescimus. **113** Ait illis et ipse: Nec ego dico vobis qua auctoritate hæc faciam. » Invidentes legisperiti Jesu quod ejecisset e templo negotiantes,accessserunt ad eum,et talia quædam rogaverunt: Quis es tu qui e templo ejicis negotiantes? Nunquid hoc facis ut sacerdos?At tu quidem sacerdotalem dignitatem non habes.Num hoc facis ut rex? Enim vero neque rex es,neque si esses,liceret tibi hæc facere.Non enim licet regibus in templo hæc agere. Interrogabant autem hæc a Domino, ut, si quidem diceret : Mea potestate hæc facio, accusarent eum ut rebellem, et propriam potestatem se habere dicentem.Sin autem diceret : Divina potestate hæc facio, abducerent ab eo turbas, illum ut Deum laudantes,monstrantes:Ecce Jesus ille non est Deus, sed potestate Dei hæc facit ut servus. Quid igitur Christus ipsamet sapientia? Comprehendit sapientes in versutia sua [41], et interrogat eos de Joanne similia,ut si quidem dicerent : E cœlo fuit prædicatio Joannis,comprobarentur Deo adversarii,quod illam non suscepissent.Si autem ex homi-

A τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται, καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ, πιστεύοντες, λήψεσθε. » Μεγάλη ἡ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς ἐπαγγελία, τὸ τὰ ὄρη μεθιστᾷν δύνασθαι, ἐὰν μὴ διακριθῶμεν, τουτέστι, διστάσωμεν· ὅσα γὰρ αἰτοῦμεν ἀδιστάκτως πιστεύοντες τῇ τοῦ Θεοῦ δυνάμει, ληψόμεθα. Ναὶ, φησὶ, καὶ ἐὰν αἰτήσωμαί τι ἀσύμφορον, πιστεύω δὲ ἀνοήτως ὅτι δώσει μοι τοῦτο ὁ Θεὸς, ἆρα λήψομαι καὶ ἐκεῖνο τὸ ἀσύμφορον; Καὶ πῶς φιλάνθρωπος ὁ Θεὸς, εἴγε τὸ ἀσύμφορόν μου αἴτημα πληροῖ; Ἄκουε οὖν. Πρῶτον μὲν ὅτι, ὅταν ἀκούσῃς πίστιν, οὐχὶ τὴν ἀνόητον, ἀλλὰ τὴν
B ὄντως, νοεῖν ὀφείλεις· καὶ προσευχὴν ἐκείνην, τὴν τὰ συμφέροντα αἰτουμένην, ὡς ὁ Κύριος παρέδωκε, λέγων· « Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, » καὶ ὅσα τῆς τοιαύτης εὐχῆς ῥήματα· ἔπειτα ὅρα καὶ τὴν λέξιν τοῦ, Διακριθῆτε. Ὁ γὰρ ἡνωμένος τῷ Θεῷ, καὶ ἓν ὢν πρὸς ἐκεῖνον, καὶ μὴ διακριθεὶς καὶ χωρισθεὶς, πῶς ἂν τὸ ἀσύμφορον αἰτήσοιτο; ὥστε ἐὰν ἀχώριστοι καὶ ἀδιάκριτοι ὦμεν τοῦ Θεοῦ, τότε τὰ συμφέροντα αἰτησόμεθα καὶ ληψόμεθα.

« Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν, προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ, λέγοντες· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς
C εἶπεν αὐτοῖς· Ἐρωτήσω κἀγὼ ὑμᾶς λόγον ἕνα, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς, λέγοντες· Ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν· Διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; Ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, φοβούμεθα τὸν ὄχλον· πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην. Καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον· Οὐκ οἴδαμεν. Ἔφη αὐτοῖς καὶ αὐτός· Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. » Φθονοῦντες οἱ νομοδιδάσκαλοι ὅτι ἐξέβαλεν ἀπὸ τοῦ ἱεροῦ τοὺς καπηλεύοντας, προσέρχονται ἐρωτῶντες αὐτὸν τοιάδε τινὰ, ὡς Τίς σὺ ἐκβάλλεις ἀπὸ τοῦ ἱεροῦ τοὺς πραγματευομένους; Ἆρα ὡς
D ἱερεὺς, καὶ μὴν ἱερατικὴν ἀρχὴν οὐκ ἔχεις. Ἆρ' οὖν ὡς βασιλεύς; καὶ μὴν οὔτε βασιλεὺς εἶ, οὔτε ἐὰν ὑπῆρχες, ἐξῆν σοι τοιαῦτα ποιεῖν· οὐ γὰρ ἔξεστι ταῦτα τοῖς βασιλεῦσιν ἐν ἱερῷ πράττειν. Ἠρώτων δὲ ταῦτα τὸν Κύριον, ἵνα, ἐὰν μὲν εἴπῃ, ὅτι Ἐν τῇ ἐμῇ ἐξουσίᾳ ταῦτα ποιῶ, διαβάλλωσιν αὐτὸν ὡς ἀντάρτην, καὶ ἰδίαν ἐξουσίαν ἔχειν λέγοντα· ἐὰν δὲ εἴπῃ, ὅτι Ἐν τῇ θείᾳ ἐξουσίᾳ ταῦτα ποιῶ, ἀποστήσωσιν ἀπ' αὐτοῦ τοὺς ὄχλους τοὺς ὑμνοῦντας αὐτὸν ὡς Θεὸν, δείξαντες τοῖς ὄχλοις ὅτι. Ἰδοὺ οὐκ ἔστι Θεὸς αὐτὸς, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ ἐξουσίᾳ ταῦτα ποιεῖ ὡς δοῦλος. Τί οὖν ὁ Χριστὸς ἡ αὐτοσοφία; Δράττεται τοὺς σοφοὺς ἐν τῇ κακουργίᾳ αὐτῶν, καὶ ἐρωτᾷ αὐτοὺς περὶ τοῦ Ἰωάννου τὰ ὅμοια, ἵνα ἐὰν μὲν εἴπωσιν ὅτι ἐξ οὐρανοῦ ἦν τὸ κήρυγμα τοῦ Ἰωάννου, εὑρεθῶσι θεο-

40 Matth. vi, 13. 41 I Cor. iii, 19.

μάχοι, ὡς μὴ παραδεξάμενοι τοῦτο· ἐὰν δὲ ἐξ ἀνθρώπων εἴπωσι, κινδυνεύσωσιν ἐκ τοῦ ὄχλου. Πάντες γὰρ ὡς προφήτην εἶχον τὸν Ἰωάννην. Δείκνυσι δὲ ἐντεῦθεν ὁ Κύριος, ὅτι τοῖς κακούργως ἐρωτῶσιν οὐ δεῖ ἀποκρίνεσθαι. Οὐδὲ γὰρ οὐδ' αὐτὸς ἀπεκρίνατο τοῖς ἐρωτῶσιν αὐτὸν Ἰουδαίοις ἐν δόλῳ, καίτοι οὐκ ἠπόρει ἀποκρίσεως. Ἅμα δὲ μανθάνομεν ὅτι καὶ τὸ ἑαυτὸν ἐγκωμιάζειν, οὐκ ἔστι κατὰ Χριστόν. Ἰδοὺ οὖν ὁ Κύριος δυνάμενος εἰπεῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ, οὐκ εἶπεν, ἵνα μὴ δόξῃ ἑαυτὸν ἐγκωμιάζειν.

« Τί δὲ ὑμῖν δοκεῖ; Ἄνθρωπος εἶχε τέκνα δύο· καὶ προσελθὼν τῷ πρώτῳ, εἶπε· Τέκνον, ὕπαγε σήμερον, ἐργάζου ἐν τῷ ἀμπελῶνί μου. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐ θέλω. Ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθε. Καὶ προσελθὼν τῷ δευτέρῳ, εἶχεν ὡσαύτως· ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἐγὼ, κύριε· καὶ οὐκ ἀπῆλθε. Τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; Λέγουσιν αὐτῷ· Ὁ πρῶτος. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ. » Δύο τάγματα εἰσάγει· ἓν μὲν τῶν ἐξ ἀρχῆς ὑποσχομένων· οἷοι ἦσαν οἱ Ἰουδαῖοι, εἰπόντες· « Πάντα ὅσα εἶπεν ὁ Θεὸς ποιήσομεν καὶ ἀκουσόμεθα· » ἕτερον δὲ, τῶν ἀπειθησάντων, οἷον πορνῶν καὶ τελωνῶν, ἀλλὰ δὴ καὶ τοῦ ἐξ ἐθνῶν λαοῦ, οἳ ἐξ ἀρχῆς μὴ ὑπακούσαντες τῷ θελήματι τοῦ Θεοῦ, ὕστερον μετέγνωσαν καὶ ὑπήκουσαν. Ὅρα οὖν τὴν σοφίαν τοῦ Χριστοῦ, Οὐκ εὐθὺς ἐξ ἀρχῆς εἶπεν αὐτοῖς ὅτι Κρείττονες ὑμῶν εἰσὶν οἱ τελῶναι καὶ αἱ πόρναι, ἀλλὰ προκατέσχεν αὐτοὺς καὶ ὡμολόγησαν ὅτι ἐκ τῶν δύο υἱῶν ἐκεῖνος πειθήνιος, ὁ ποιήσας τὸ θέλημα τοῦ πατρός. Εἶθ' οὕτως ὁμολογησάντων ἐκείνων, ἐπήγαγεν ὅτι Ἦλθεν Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, τουτέστιν, ἐν ἀμέμπτῳ βίῳ· οὐκ ἔχετε γὰρ εἰπεῖν ὅτι ἐπίψογος ἦν αὐτῷ ὁ βίος, ἀλλ' ὅμως αἱ πόρναι ὑπήκουσαν, ὑμεῖς δὲ οὔ· διὸ καὶ προάγουσιν ὑμᾶς, τουτέστι, πρότεραι ὑμῶν εἰσέρχονται εἰς τὴν βασιλείαν· ὥστε ἀγωνίσασθε καὶ ὑμεῖς, ἵνα κἂν γοῦν μετ' ἐκείνας εἰσέλθητε καὶ αὐτοὶ πιστεύσαντες· ἐὰν δὲ μὴ πιστεύσητε, οὐδ' ὅλως εἰσελεύσεσθε. Πολλοὶ δὲ καὶ μέχρι τοῦ νῦν ὑπισχοῦνται μὲν τῷ Θεῷ καὶ Πατρὶ, μοναχοὶ τυχὸν ἔσεσθαι ἢ ἱερεῖς, μετὰ δὲ τὴν ὑπόσχεσιν ῥᾳθυμοῦσιν. Ἕτεροι δὲ, μοναχικὴν μὲν ἢ ἱερατικὴν διαγωγὴν οὐκ ἐπηγγείλαντο, μοναχικῶς δὲ καὶ ἱερατικῶς διάγουσιν· ὥστε οὗτοι τέκνα εὐπειθῆ, οἱ πράττοντες κἂν μηδὲν ὑπέσχοντο.

« Ἄλλην παραβολὴν ἀκούσατε. Ἄνθρωπος ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνόν. Καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν. » Ἄλλην παραβολὴν αὐτοῖς ἐπιφέρει, δεικνύων ὅτι καὶ μυρίας ἐπιμελείας ἀξιωθέντες, οὐκ ἐβελτιώθησαν. Ἄνθρωπος γὰρ οἰκοδε-

A nibus dicerent, periclitarentur propter turbam. Omnes enim ut prophetam habebant Joannem. Ostendit autem hoc loco Dominus, quod maligne interrogantibus non oporteat respondere. Nam nec ipse Judæis dolose interrogantibus respondit, quam vis nulla respondendi difficultas esset. Discimus autem interim quod semetipsum laudare non est juxta Christi doctrinam. Ecce Dominus enim qui potuit dicere qua potestate hæc faceret, non dixit, ne seipsum laudare videretur.

VERS. 28-32. «Quid autem vobis videtur? Homo quidam habebat duos filios: et accedens ad priorem dixit: Fili, vade hodie, operare in vinea mea. Ille autem respondens ait: Nolo. Postea vero pœnitentia B motus abiit Accedens autem ad alterum dixit similiter; at ille respondens ait: Eo, domine, et non abiit. Uter e duobus fecit quod voluit pater? Dicunt ei: Prior. Dicit illis Jesus: Amen dico vobis, quod publicani et meretrices præcedunt vos in regno Dei. Venit enim ad vos Joannes per viam justitiæ, et non credidistis ei: publicani autem et meretrices crediderunt ei. Vos autem cum vidissetis eum, non fuistis commoti pœnitentia postea ut crederetis ei.» Duos ordines inducit, unum principio pollicentium, quales fuerunt Judæi qui dixerunt: » Omnia quæcunque dixit Deus, faciemus et audiemus[42]; » alterum eorum qui non statim persuasi sunt, quales sunt meretrices et publicani, et qui ex gentilium populo qui ab initio non obedierunt voluntati divinæ, C postea autem pœnitudine ducti obedierunt. Vide igitur sapientiam Christi. Non statim a principio dixit illis: Meliores publicani sunt et meretrices: sed prius cepit ipsos, et confessi sunt quod ex duobus filiis ille **114** obediens fuerit, qui fecerit voluntatem patris. Postea ubi hoc confessi fuerunt, subdidit venisse Joannem per viam justitiæ, hoc est, in vita irreprehensibili: non potestis enim dicere vitam Joannis fuisse reprehensibilem: attamen meretrices ei obedierunt, vos autem non; idcirco et præcedunt vos, hoc est, ante vos ingrediuntur in regnum cœlorum: laborate itaque et vos ut saltem post illas intretis et ipsi credentes: si au- D tem increduli fueritis, nunquam intrabitis. Multi autem etiam hodie pollicentur Deo et Patri, monachos se futuros forte vel sacerdotes: post promissionem autem negligentes sunt. Alii autem monasticam vel sacerdotalem vitam polliciti non sunt, sicut monachi tamen vel sacerdotes vivunt: atque ita illi sunt obedientes pueri, qui faciunt etiamsi nihil promiserint.

VERS. 33. « Aliam parabolam audite. Homo quidam erat paterfamilias, qui plantavit vineam, et sepem circumdedit ei, et fodit in ea torcular, et ædificavit turrim, et locavit eam agricolis, ac peregre profectus est.» Aliam parabolam eis affert, ostendens quod, licet summa diligentia eis exhibita sit non meliores facti fuerint. Homo enim pater-

[42] Exod. XXIV, 3.

familias, Dominus est qui propter misericordiam homo appellatur. Vinea autem, populus Judæorum, plantatus a Deo in terra promissionis. Introducens enim inquit [43], plantabis eos in monte sancto tuo. Sepes autem, lex, non sinens eos gentibus misceri: vel angeli custodientes Israel. Torcular, altare Turris, templum Agricolæ vero doctores populi, Pharisæi et Scribæ. Profectus est autem paterfamilias Deus, quando non amplius in columna nubis loquebatur eis. Vel peregrinatio Dei, longanimitas ejus. Videtur enim Deus et dormire, et peregre proficisci, dum longanimis est, et non e vestigio peccatorum pœnas exigit.

A σπότης ὁ Κύριος, ὁ διὰ τὴν φιλανθρωπίαν, ἄνθρωπος προσαγορευόμενος. Ἀμπελὼν δὲ ὁ λαὸς τῶν Ἰουδαίων, φυτευθεὶς παρὰ τοῦ Θεοῦ ἐν τῇ γῇ τῆς ἐπαγγελίας· Εἰσαγαγὼν γὰρ, φησὶ, καταφύτευσον αὐτοὺς εἰς ὄρος ἅγιόν σου. Φραγμὸς δὲ ὁ νόμος, οὐκ ἐῶν αὐτοὺς ἐπιμιγῆναι τοῖς ἔθνεσιν· ἢ οἱ ἅγιοι ἄγγελοι οἳ ἐφύλαττον τὸν Ἰσραήλ. Ληνὸς, τὸ θυσιαστήριον. Πύργος, ὁ ναός. Γεωργοὶ δὲ οἱ διδάσκαλοι τοῦ λαοῦ, Φαρισαῖοι καὶ Γραμματεῖς. Ἀπεδήμησε δὲ ὁ οἰκοδεσπότης Θεὸς, ὅτε μηκέτι ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς· ἢ ἀποδημία τοῦ Θεοῦ, ἡ μακροθυμία. Δοκεῖ γὰρ καὶ ὑπνώττειν καὶ ἀποδημεῖν ὁ Θεὸς, ἐν τῷ μακροθυμεῖν, καὶ μὴ παρὰ πόδας τῶν ἀδικημάτων ἀπαιτεῖν τὰς εὐθύνας.

VERS. 34-39. «Cum autem tempus fructuum appropinquasset, misit servos suos ad agricolas ut acciperent fructus ipsius. Et agricolæ apprehensis servis ejus, alium cæciderunt, alium vero lapidaverunt. Iterum misit alios servos plures prioribus, et fecerunt illis similiter. Novissime autem misit ad eos filium suum, dicens: Reverebuntur filium meum. Agricolæ autem, viso filio, dixerunt intra se: Hic est hæres: venite, occidamus eum, et occupemus hæreditatem ejus. Et apprehensum eum ejecerunt e vinea, et occiderunt.» Appropinquavit tempus fructuum, prophetarum temporibus. Servi enim missi fuerunt prophetæ, quos variis affecerunt injuriis agricolæ, hoc est, qui tunc erant falsi prophetæ, et falsi doctores. Et alium quidem percusserunt, ut Michæam: Sedechias enim eum in maxillam percussit [44] Alium autem occiderunt ut Zachariam inter templum et altare [45]. Alium vero lapidaverunt, ut Zachariam filium Jodoc pontificem [46]. 115 Postea missus est Filius Dei, in carne apparens. Quod autem dixit: «Reverebuntur Filium meum,» non ignorans dicit quod illum occisuri essent, sed significare volens quid facere deberent. Oportebat enim, inquit, licet servos occiderint, vel filium revereri. Agricolæ autem viso ipso dixerunt. «Hic est hæres, venite occidamus eum.» Etenim Judæi, qui dicebant, Hic est Christus, ipsi illum crucifixerunt. Ejecerunt autem eum extra vineam: nam extra civitatem occisus est Dominus. Præterea quia vineam dicebamus esse populum, extra vineam, hoc est, præter simplicis populi sententiam, occiderunt eum Pharisæi, mali agricolæ.

« Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε
B τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδηραν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων· Ἐντραπήσονται τὸν υἱόν μου. Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν, εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν.» Ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, κατὰ τοὺς τῶν προφητῶν χρόνους. Δοῦλοι γὰρ ἀποσταλέντες οἱ προφῆται, οὓς καὶ ὕβρισαν διαφόρως οἱ γεωργοὶ, τουτέστιν, οἱ κατὰ καιροὺς
C ψευδοπροφῆται καὶ ψευδοδιδάσκαλοι. Τὸν μὲν γὰρ ἔδηραν, ὥσπερ τὸν Μιχαίαν, πατάξαντος αὐτὸν ἐπὶ σιαγόνα Σεδεκίου· τὸν δὲ ἀπέκτειναν, ὥσπερ τὸν Ζαχαρίαν, μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου· ἐλιθοβόλησαν δὲ, ὡς Ζαχαρίαν τὸν υἱὸν Ἰωδαὲ τὸν ἀρχιερέα. Ὕστερον δὲ ἀπεστάλη ὁ Υἱὸς τοῦ Θεοῦ, ἐν σαρκὶ φανείς. Τὸ δὲ «Ἐντραπήσονται τὸν Υἱόν μου» εἶπεν, οὐκ ἀγνοῶν ὅτι ἔμελλον αὐτὸν ἀποκτεῖναι, ἀλλὰ τὸ ὀφειλόμενον γενέσθαι σημαίνων. Ἔδει γὰρ, φησὶν, εἰ καὶ τοὺς δούλους ἀπέκτειναν, ἀλλὰ κἂν τοῦ Υἱοῦ τὸ ἀξίωμα ἐντραπῆναι. Οἱ δὲ γεωργοὶ ἰδόντες αὐτὸν, εἶπον· «Οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτόν.» Καὶ γὰρ οἱ Ἰουδαῖοι οἱ λέγοντες, ὅτι Οὗτός ἐστιν ὁ Χριστὸς, ἐκεῖνοι αὐτὸν ἐσταύρωσαν. Ἐξέβαλον δὲ αὐτὸν ἔξω
D τοῦ ἀμπελῶνος, ἔξω γὰρ τῆς πόλεως ἀπεκτάνθη ὁ Κύριος. Ἀλλὰ καὶ ἐπεὶ ἀμπελῶνα ἐλέγομεν εἶναι τὸν λαὸν, ἔξω τοῦ ἀμπελῶνος, τουτέστιν, ἔξω τῆς τοῦ ἀδόλου λαοῦ γνώμης, αὐτὸν ἀπέκτειναν οἱ Φαρισαῖοι, οἱ πονηροὶ γεωργοί.

VERS 40, 41. «Cum ergo venerit dominus vineæ, quid faciet agricolis illis? Dicunt illi: Malì cum sint, male perdet illos; et vineam suam locabit aliis agricolis, qui reddent ei fructum in temporibus suis.» Cum venerit, quando? Num in secundo adventu? Videtur quidem et hoc sentire, verum tamen meliussic intelligitur: Dominus vineæ, Deus et Pater, qui misit Filium suum ab illis occisum. Cum igitur venerit, hoc est, cum ipse respexerit ad ini-

« Ὅταν οὖν ἔλθῃ ὁ Κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτοὺς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.» Ὅταν ἔλθῃ· πότε; Ἆρα ἐν τῇ δευτέρᾳ παρουσίᾳ; Φαίνεται μὲν καὶ τοῦτο νοεῖσθαι, πλὴν κρεῖττον οὕτω νοηθῆναι· Κύριος τοῦ ἀμπελῶνος, ὁ Θεὸς καὶ Πατὴρ, ὅς ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ, τὸν καὶ φονευθέντα ὑπ'

[43] Ezech. XVII, 23. [44] III Reg. XVIII, 24. [45] Matth. XXII, 35. [46] II Paral. XXIV, 20.

αὐτῶν. Ὅταν οὖν οὗτος ἔλθῃ, τουτέστιν, ὅταν ἐπιβλέψῃ ἐπὶ τὴν ἀνομίαν, ἣν ἐποίησαν οἱ Ἰουδαῖοι, τότε κακοὺς κακῶς ἀπολέσει αὐτούς, τὰ Ῥωμαϊκὰ στρατεύματα ἐπιπέμψας. Καὶ τὸν ἀμπελῶνα αὐτοῦ, τουτέστι, τὸν λαόν, ἐκδώσεται ἄλλοις γεωργοῖς, τουτέστιν, ἀποστόλοις καὶ διδασκάλοις. Νόησον δὲ ἀμπελῶνα, καὶ τὰς θείας Γραφάς, ἐν αἷς φραγμὸς μὲν ἐστι τὸ γράμμα· ληνὸς δὲ ὀρυχθεὶς, τὸ βάθος τοῦ πνεύματος· πύργος δὲ ἡ θεολογία, διηρμένη καὶ ὑψηλοτάτη οὖσα. Ταύτας οὖν τὰς Γραφὰς εἶχον μὲν πρότερον κακοὶ γεωργοί, οἱ Φαρισαῖοι· ἐξέδοτο δὲ ἡμῖν ταύτας ὁ Θεὸς τοῖς καλῶς γεωργοῦσιν αὐτάς. Ἐκεῖνοι γὰρ καὶ τὸν Κύριον ἀπέκτειναν ἔξω τοῦ ἀμπελῶνος, τουτέστιν, ἔξω ὧν ἔλεγον αἱ Γραφαί.

« Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς Γραφαῖς· Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν ; Διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. Καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. » Λίθον ἑαυτὸν ὀνομάζει· οἰκοδόμους δὲ, τοὺς διδασκάλους τῶν Ἰουδαίων, οἳ ὡς ἀχρεῖον μὲν αὐτὸν ἀπεδοκίμασαν, λέγοντες· « Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις. » Αὐτὸς δὲ ἐκ νεκρῶν ἀναστὰς, ἐτέθη εἰς κεφαλὴν γωνίας, τουτέστι, κεφαλὴ τῆς Ἐκκλησίας ἐγένετο, συνάπτων τοὺς Ἰουδαίους καὶ τοὺς ἐθνικοὺς εἰς μίαν πίστιν. Ὥσπερ γὰρ ὁ λίθος ὁ τὴν γωνίαν ἐν τῇ οἰκοδομῇ ποιῶν, συνέχει τὸν ἔνθεν καὶ τὸν ἐκεῖθεν τοῖχον, οὕτω καὶ ὁ Χριστὸς εἰς μίαν πίστιν πάντας συνέδησεν. Ἡ γωνία δὲ αὕτη θαυμαστή ἐστι, καὶ παρὰ Κυρίου ἐγένετο. Ἡ γὰρ συνέχουσα ἡμᾶς Ἐκκλησία καὶ ἑνοποιοῦσα τῇ πίστει, παρὰ Κυρίου ἐγένετο, καὶ ἔστι θαύματος ἀξία πολλοῦ, διὰ τὸ καλῶς οἰκοδομηθῆναι. Καὶ ἄλλως δὲ ἐστι θαυμαστὴ, διότι τοῖς θαύμασιν ἐδεδαιώθη καὶ ἐκραταιώθη ὁ λόγος ὁ τοῦ Χριστοῦ· ὥστε ἡ σύστασις τῆς Ἐκκλησίας θαυμαστή ἐστιν. Ἤρθη οὖν ἡ βασιλεία τοῦ Θεοῦ ἀπὸ τῶν Ἰουδαίων, τουτέστιν, ἡ οἰκειότης ἡ πρὸς Θεὸν, καὶ ἐδόθη τοῖς πιστεύσασιν. Οἱ γὰρ προσκόπτοντες τῷ λίθῳ, καὶ σκανδαλιζόμενοι ἐπὶ τῷ Χριστῷ, συνθλασθήσονται μὲν καὶ ἐν τῇ δευτέρᾳ παρουσίᾳ· πλὴν καὶ ἐντεῦθεν ἤδη ἐλικμήθησαν ὑπ' αὐτοῦ, τουτέστι, διεσπάρησαν ἁπανταχοῦ τῆς γῆς, ὥσπερ ὁρῶμεν νῦν τοὺς ἀθλίους Ἰουδαίους. Τοῦτο οὖν ἐστι τὸ λικμήσει, τουτέστι, διασπερεῖ αὐτούς.

« Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ, ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει· καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶχον· » Πάλιν ὅρα, ὅτι ὁ μὲν ὄχλος ὁ ἄδολος καὶ ἄπλαστος, ἀκολουθεῖ τῇ ἀληθείᾳ. Οἱ δὲ νομοδιδάσκαλοι κακουργοῦσιν. Ἀλλὰ καὶ μέχρι τοῦ νῦν ζητοῦσιν οἱ Ἑβραῖοι κρατῆσαι τὸν Ἰησοῦν, ἀλλ' οὐ κρατοῦσιν αὐτὸν, οὐδὲ νοοῦσι. Τὸν γὰρ Ἀντίχριστον κρατήσουσιν, καὶ ἐκείνῳ προσκυνήσουσιν· ὁ δὲ Χριστὸς οὐ ληφθήσεται, ἤτοι νοηθήσεται παρ' αὐτῶν.

A quitatem quam fecerunt Judæi, tunc malos male perdet, misso Romano exercitu : et vineam suam, hoc est, populum, locabit aliis agricolis, hoc est apostolis et doctoribus. Intellige item per vineam divinas Scripturas, in quibus spes quidem littera est: torcular autem defossum, profundus spiritus: turris autem, theologia, quæ summa est et divina. Has itaque Scripturas habebant prius mali agricolæ, Pharisæi : locavit autem nobis Deus eas bene colentibus. Illi enim Dominum occiderunt extra vineam, hoc est. præter jussum eorum quæ dicebant Scripturæ.

B VERS. 42-44. «Dicit illis Jesus: Nunquam legistis in Scripturis : Lapidem quem reprobaverunt ædificantes, hic factus est in caput anguli : a Domino factum est istud, et est mirabile in oculis nostris? Idcirco dico vobis, auferetur a vobis regnum Dei, et dabitur genti facienti fructus ejus. Et qui ceciderit super lapidem istum, confringetur : super quem autem ceciderit, illum conteret. » Lapidem seipsum nominat: ædificantes autem magistros Judæorum, qui illum quasi inutilem reprobaverunt, dicentes : Samaritanus es tu, et dæmonium habes. Ipse autem cum surrexisset ex mortuis, positus est in caput anguli, hoc est, caput Ecclesiæ factus est conjungens Judæos et gentiles in unam fidem. Sicut enim lapis angulum in domo faciens, continet hac C et illac murum, sic et Christus non omnes in unam fidem colligavit. Angulus autem ille admirabilis est, et a Domino est factus. Ecclesia enim nos continens ac fide uniens, a Domino facta est, et est magna admiratione digna, eo quod pulchre ædificata sit. Est autem et alia **116** ratione admirabilis, eo quod miraculis firmatus est et confortatus sermo Domini : et ita Ecclesiæ quoque constitutio admirabilis. Ablatum igitur est regnum Dei a Judæis, hoc est, peculiaritas, qua Dei proprii erant, et datum est his qui crediderunt. Qui enim impingunt in lapidem, et offenduntur in Christo Jesu, confringentur quidem in secundo adventu; verum tamen et hic contriti sunt ab ipso, hoc est. dispersi sunt ubique terrarum, sicut videmus nunc miseros Ju- D dæos. Conteret, hoc est ita conteret, ut dispergat eos.

VERS. 45, 46 Et cum audissent principes sacerdotum ac Pharisæi parabolas ejus, cognoverunt quod de ipsis diceret : et quærentes illum comprehendere, timuerunt turbas, quoniam tanquam prophetam eum habebant. » Iterum vide quod turba quidem simplex et fuci nescia, sequitur veritatem, legisperiti autem maligne agunt. Et usque in hunc diem quærunt Hebræi Jesum comprehendere, sed non comprehendunt, neque intelligunt. Antichristum enim comprehendent, et ipsum adorabunt: at Christus non capietur, hoc est, non intelligetur ab eis.

## CAPUT XXII.

*De invitatis ad nuptias. De interrogantibus ob censum. De Sadducæis. De jurisperito. De factis a Domino interrogationibus.*

VERS. 1-7. «Et respondens Jesus, iterum dixit illis per parabolas, dicens : Simile factum est regnum cœlorum homini regi, qui fecit nuptias filio suo : et emisit servos suos, ut vocarent invitatos ad nuptias, et nolebant venire. Iterum emisit alios servos, dicens : Dicite invitatis : Ecce prandium meum paravi : tauri mei et altilia mactata sunt, et omnia parata; venite ad nuptias. Illi autem neglexerunt, et abierunt, alius in villam suam, alius vero ad negotiationem suam: reliqui vero tenuerunt servos ejus, et contumeliis affectos occiderunt. Rex autem cum audisset, iratus est, et missis exercitibus suis perdidit homicidas illos, et civitatem illorum succendit. » Et hæc parabola Judæorum inobedientiam subindicat, sicut et superior de vinea. Verum sicut illa mortem Christi, ita hæc nuptiale gaudium, hoc est, resurrectionem declarat. Cæterum hæc monstrat multo atrociora quæ patrarint illi, quam superior. Illi enim cum exigerentur fructus, occidebant eos qui exigebant: hi autem cum vocarentur ad nuptias, homicidium fecerunt. Homini igitur regi similis est Deus. Non enim apparet ut est, sed qualem decet ut nobis se videndum exhibeat. Nam quando uti homines morimur humanis peccatis obnoxii, ut homo nobis apparet Deus : quando autem, ut dii ambulamus, tunc stat Deus in synagoga **117** deorum [47] : sicut et quando ferarum naturas assuminus, fit et ille nobis panthera, et ursus, et leo. Facit autem nuptias Filio suo copulans eum omni formosæ animæ. Sponsus enim Christus, Sponsa autem Ecclesia et anima. Servi vero primum missi, Moses et alii, quibus non crediderunt Hebræi, sed exasperaverunt Deum in deserto quadraginta annis, et noluerunt sermonem Dei et charitatem suscipere spiritualem. Deinde missi sunt servi alii, prophetæ : sed et illorum quosdam occiderunt, ut Isaiam: quosdam contumeliis affecerunt, ut Jeremiam, quem in lacum luti injecerunt. Quidam autem minus mali, sibi ab hujusmodi injuriis temperaverunt, sed alius quidem in proprium agrum abiit, hoc est, indulsit deliciis et voluptatibus vitæ (uniuscujusque enim ager est corpus), alius autem in negotiationem suam, hoc est, avaritiæ deditus fuit. Negotiatorum enim genus avarum est, et lucri cupidissimum. Ostendit igitur parabola, quod qui a spiritualibus nuptiis et convivio et Christi societate destituuntur, ob has duas potissimum causas excluduntur, vel propter corporales voluptates, vel avaritiæ morbum. Prandium autem hoc loco nominat, quamvis alio loco cœnam eam dixerit. Non absurde cœnam : nam in novissimis temporibus perfecte apparebunt illæ nuptiæ, et ad vesperum, seu ad

47 Psal. LXXXI, 1.

A

## ΚΕΦΑΛ. ΚΒ'.

Περὶ τῶν καλουμένων εἰς τὸν γάμον. Περὶ ἐπερωτησάντων διὰ τὸν κῆνσον. Περὶ τῶν Σαδδουκαίων. Περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ. Περὶ τῶν τοῦ Κυρίου ἐπερωτήσεων.

« Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς, λέγων· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ, καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων· Εἴπατε τοῖς κεκλημένοις· Ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους. Οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν, ὁ δὲ εἰς
B
τὴν ἐμπορίαν αὐτοῦ. οἱ δὲ λοιποὶ, κρατήσαντες τοὺς δούλους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν. Καὶ ἀκούσας ὁ βασιλεὺς ἐκεῖνος, ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν. » Καὶ αὕτη ἡ παραβολὴ τὴν τῶν Ἰουδαίων ἀπείθειαν ὑποσημαίνει, ὥσπερ καὶ ἡ τοῦ ἀμπελῶνος. Πλὴν ὅσον ἐκείνη μὲν τὸν θάνατον τοῦ Χριστοῦ, αὕτη δὲ χαρὰν γαμήλιον, ἤτοι τὴν ἀνάστασιν δηλοῖ. Δείκνυσι δὲ αὕτη καὶ χείρονα πλημμελήσαντας τούτους τῶν ἐν τῇ προτέρᾳ παραβολῇ. Ἐκεῖνοι μὲν γὰρ καρποὺς ἀπαιτούμενοι, ἐφόνευσαν τοὺς ἀπαιτητάς· οὗτοι δὲ εἰς γάμους καλούμενοι, τὴν μιαιφονίαν ἐπεδείξαντο· ἀνθρώπῳ οὖν βασιλεῖ ὁμοιοῦται ὁ Θεὸς, οὐ γὰρ φαίνεται οἷός
C
ἐστιν, ἀλλ' οἷον δεῖ πρὸς ἡμᾶς φαίνεσθαι. Ὅταν μὲν οὖν ὡς ἄνθρωποι ἀποθνήσκωμεν, τοῖς ἀνθρωπίνοις ἐλαττώμασιν ὑποκείμενοι, ὡς ἄνθρωπος φαίνεται ἡμῖν ὁ Θεός· ὅταν δὲ ὡς θεοὶ περιπατῶμεν, τότε ἵσταται ὁ Θεὸς συναγωγῇ θεῶν. Ὥσπερ οὖν καὶ ὅταν ὡς θηρία ζῶμεν, γίνεται καὶ ἐκεῖνος ἡμῖν πάνθηρ, καὶ ἄρκτος, καὶ λέων· ποιεῖ δὲ γάμον τῷ Υἱῷ αὐτοῦ, συνάπτων αὐτὸν πάσῃ ψυχῇ ὡραίᾳ. Νυμφίος γὰρ ὁ Χριστὸς, νύμφη δὲ ἡ Ἐκκλησία καὶ ἡ ψυχή. Δοῦλοι δὲ ἀποσταλέντες πρότερον, οἱ περὶ τὸν Μωσέα εἰσὶν, οἷς οὐκ ἐπείσθησαν οἱ Ἑβραῖοι, ἀλλὰ παρεπίκραναν τὸν Θεὸν ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, καὶ οὐκ ἠθέλησαν τὸν λόγον τοῦ Θεοῦ καὶ τὴν χαρὰν παραδέξασθαι τὴν
D
πνευματικήν. Εἶτα ἀπεστάλησαν ἄλλοι δοῦλοι, οἱ προφῆται. Ἀλλὰ καὶ τούτων τοὺς μὲν ἀπέκτειναν, ὡς τὸν Ἡσαΐαν· τοὺς δὲ ὕβρισαν, ὡς τὸν Ἱερεμίαν, εἰς λάκκον βορβόρου ἐμβαλόντες. Οἱ δὲ μετριώτεροι παρῃτήσαντο, ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν ἀπελθὼν, τουτέστιν, εἰς φιλόσαρκον βίον καὶ τρυφηλὸν ἀπονεύσας· ἀγρὸς γὰρ ἑκάστου ἴδιος τὸ σῶμα· ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ, τουτέστιν, εἰς τὸν φιλοκερδῆ βίον· οἱ γὰρ ἔμποροι, φιλοκερδέστατον γένος. Δείκνυσιν οὖν ἡ παραβολὴ, ὅτι οἱ ἀποτυγχάνοντες τοῦ πνευματικοῦ γάμου, καὶ τῆς πρὸς Χριστὸν συναφείας καὶ ἑστιάσεως, διὰ δύο ταῦτα ὡς ἐπὶ τὸ πλεῖστον ἀποτυγχάνουσιν· ἢ διὰ τὰς σωματικὰς ἡδονὰς, ἢ διὰ τὸ τῆς φιλοκερδείας πάθος. Ἀρι-

στον δὲ ἐνταῦθα ὀνομάζει, καίτοι ἀλλαχοῦ δεῖπνον A αὐτὸ λέγων· οὐκ ἀλόγως· δεῖπνον μὲν γὰρ, ὡς ἐν ἐσχάτοις καιροῖς τελείως φανέντος τοῦ τοιούτου γάμου, καὶ πρὸς τῇ ἑσπέρᾳ ἤτοι τῷ τέλει τῶν αἰώνων· ἄριστον δὲ, διότι καὶ ἐν τοῖς προτέροις αἰῶσιν ἀπεκαλύπτετο τὸ μυστήριον, εἰ καὶ ἀμυδρότερον. Ταῦροι δὲ καὶ σιτιστὰ, ἡ Παλαιὰ καὶ ἡ Νέα Διαθήκη. Ἡ μὲν γὰρ Παλαιὰ, ἐμφαίνεται διὰ τῶν ταύρων· ζωοθυσίας γὰρ εἶχεν· ἡ δὲ Νέα, διὰ τῶν σιτιστῶν· ἄρτους γὰρ προσφέρομεν νῦν ἐν τῷ θυσιαστηρίῳ, οἳ ἐτυμώτερον ἂν κληθεῖεν σιτιστὰ, ὡς ἐκ σίτου συνιστάμενοι. Καλεῖ τοίνυν ἡμᾶς ὁ Θεὸς ἵνα φάγωμεν καὶ τὰ τῆς Παλαιᾶς Γραφῆς ἀγαθὰ καὶ τὰ τῆς Νέας. Ἀλλὰ καὶ ὅταν ἴδῃς τινὰ ἑρμηνεύοντα τὰ θεῖα λόγια σαφῶς, γίνωσκε τὸν τοιοῦτον σιτιστὰ B βρώματα διδόναι· οἱονεὶ γὰρ σιτίζει καὶ ἐμβρωματίζει τοὺς ἁπλουστέρους, ὁ σαφῶς διδάσκων. Ζητήσεις δὲ ἐνταῦθα πῶς λέγει « Καλέσατε τοὺς κεκλημένους· » εἰ κεκλημένοι ἦσαν, πῶς ἔμελλον πάλιν αὐτοὺς καλεῖν; Μάνθανε οὖν, ὅτι ἕκαστος ἡμῶν κέκληται ὑπὸ φύσεως εἰς τὸ καλὸν, ὑπὸ τοῦ λόγου τοῦ ἐμφύτου διδασκάλου καλούμενος. Ὅμως ὁ Θεὸς καὶ τοὺς ἔξω διδασκάλους πέμπει, ἵνα τοὺς ὑπὸ τοῦ λόγου κεκλημένους φυσικῶς, καὶ οὗτοι ἔξωθεν καλέσωσιν· ἀπέστειλε δὲ ὁ βασιλεὺς τὰ στρατεύματα αὐτοῦ, τουτέστι, τὰ Ῥωμαϊκὰ, καὶ τοὺς ἀπειθεῖς Ἰουδαίους ἀπώλεσε, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε τὴν Ἱερουσαλὴμ, ὡς καὶ ὁ φιλαλήθης Ἰώσηπος λέγει.

« Τότε λέγει τοῖς δούλοις αὐτοῦ· Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι· πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἐὰν εὕρητε, καλέσατε εἰς τοὺς γάμους. Καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς, συνήγαγον πάντας ὅσους εὗρον, πονηρούς τε καὶ ἀγαθοὺς, καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. » Ἐπειδὴ οἱ πρότεροι δοῦλοι, οἱ περὶ Μωσέα καὶ οἱ προφῆται οὐκ ἔπεισαν, τότε ἄλλους δούλους ἀποστέλλει, τοὺς ἀποστόλους, οἳ τοὺς ἐξ ἐθνῶν ἐκάλεσαν, οὐκ ἐν τῇ ὁδῷ τῇ ἀληθινῇ βαδίζοντας, ἀλλ' ἄλλους ἀλλαχῇ μεμερισμένους, καὶ ἐν ὁδοῖς πλείοσι καὶ δόγμασι διεσχισμένους. Μᾶλλον δὲ παρὰ τὰς διεξόδους τῶν ὁδῶν ὄντας, τουτέστι, πλάνῃ πολλῇ καὶ ἀνωμαλίᾳ. Καὶ γὰρ καὶ αὐτοὶ πρὸς ἑαυτοὺς ἐστασίαζον, καὶ οὐκ ἐν ταῖς ὁδοῖς ἦσαν, ἀλλὰ παρὰ τὰς διεξόδους· καὶ ἐκεῖνά ἐστι τὰ δόγματα τὰ πονηρὰ ἃ ἐδογμάτιζον. Οὐ πάντες ἔστεργον ὁμοίως, ἀλλ' οἱ μὲν τοιῷσδε, οἱ δὲ τοιῷσδε. Μήποτε δὲ βέλτιον καὶ οὕτω νοηθῆναι; Ὁδός ἐστιν ὁ βίος ἑκάστου καὶ ἡ πολιτεία· διέξοδοι δὲ ἀπὸ τῆς ὁδοῦ, D τὰ δόγματα. Οἱ γοῦν Ἕλληνες ὁδοὺς ἔχοντες πονηρὰς, τουτέστι, βίους ἐπιψόγους, ἀπὸ τῶν βίων τῶν πονηρῶν ἐπὶ τὰ δόγματα ἐξῄεσαν τὰ ἄθεα, θεοὺς αἰσχροὺς ὑποστήσαντες συνηγόρους τοῖς πάθεσιν· ἐξελθόντες οὖν οἱ ἀπόστολοι ἐκ τῆς Ἱερουσαλὴμ ἐπὶ τὰ ἔθνη, συνήγαγον πάντας πονηρούς τε καὶ ἀγαθοὺς, τουτέστι, τούς τε πάσης κακίας πεπληρωμένους, καὶ τοὺς μετριώτερον ἔχοντας, οὓς καὶ ἀγαθοὺς ὀνομάζει, ὡς πρὸς σύγκρισιν ἐκείνων.

« Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου, καὶ λέγει αὐτῷ· Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε,

finem sæculorum; prandium autem, eo quod in prioribus sæculis revelatum fuit mysterium, tametsi obscurius. Tauri autem et altilia, Vetus est et Novum Testamentum. Vetus enim signatur per tauros (animalium enim mactationem continebat); Novum autem per altilia. Panes enim offerimus nunc in altare, qui proprie dicti sunt σιτιστὰ utpote ex frugibus confecti. Vocat igitur nos Deus ut comedamus et Veteris Testamenti bona, et Novi. Et tu quando videris quempiam manifeste interpretantem divina Eloquia, scias eum altilia et e frugibus confectos cibos dare, ac quasi frugibus alere, et cibis farcire simpliciores manifeste docendo. Quæres autem hoc loco, quomodo dicat : « Vocate invitatos : » si enim invitati erant, quomodo denuo sunt vocandi? Scias igitur omnes a natura vocari ad bonum per insitam doctoris vice rationem: attamen Deus et illos externos doctores mittit, ut qui intus a sermone naturali vocati sunt: et extrinsecus vocentur. Misit autem rex exercitus suos, hoc est, Romanos, qui inobedientes Judæos perdiderunt, et civitatem illorum Jerusalem succenderunt, ut veritatis amator (*a*) Josephus innuit.

VERS. 8-10. « Tunc dicit servis suis : Nuptiæ quidem paratæ sunt : sed qui invitati erant, non fuerunt digni. Ite ergo ad exitus viarum, et quotcunque inveneritis, vocate ad nuptias. Et egressi C servi illi in vias, congregaverunt 118 omnes quotquot invenerunt, malos pariter et bonos : ac impletæ sunt nuptiæ discumbentium. » Quoniam priores servi, Moses et prophetæ non persuaserunt, alios quoque servos tunc mittit, apostolos, qui gentiles vocarunt in via vera non incedentes, sed alios alio divisos, et in viis pluribus et dogmatis discordes, imo exsistentes juxta exitus viarum, hoc est in errore et inæqualitate multa Nam et ipsi inter se dissidebant et tumultuabantur : et non in viis erant, sed extra vias, et illa sunt mala eorum dogmata quæ docebant. Non omnes diligebant æqualiter, sed alii hoc modo, alii alio Quid si sic melius intelligatur? Via est vita uniuscujusque et vitæ ratio : exitus a via, dogma. Gentiles igitur qui vias habebant malas, hoc est, vitam reprehensibilem, ab ea mala via exierunt in dogmata impia, fœdos sibi deos constituentes patronos vitiorum. Egressi igitur apostoli a Jerusalem ad gentes, congregaverunt omnes tam malos quam bonos, hoc est, omni malitia repletos, et minus malos, quos et bonos nominat, si aliis conferantur.

VERS. 11-14. « Ingressus autem rex ut videret discumbentes, vidit illic hominem non vestitum veste nuptiali, et ait illi : Amice, quomodo huc in-

(*a*) Edit. Lut. non habet, *veritatis amator*.

trasti non habens vestem nuptialem? At ille obticuit. Tunc dixit rex ministris : Ligatis pedibus et manibus ejus, tollite eum et ejicite in tenebras exteriores : ibi erit fletus, et stridor dentium. Multi enim sunt vocati, pauci vero electi.» Ingressus ad nuptias sine judicatione fit. Gratia enim sola omnes vocati sumus tam boni quam mali : at vita eorum qui ingressi fuerint posthac non indisquisita erit, sed examen valde magnum faciet rex eorum qui post ingressum ad fidem in sordido habitu invenientur. Horreamus igitur cogitantes, quia, nisi quis vitam habeat puram, nihil ei proderit nuda fides : non solum enim e nuptiis ejicitur, sed et in ignem mittitur. Quis est ille sordida vestimenta gerens? Is qui non idutus est viscera miserationum, fraternitatem, benignitatem. Multi igitur seipsos vana spe decipientes, putant quod regnum cœlorum assequentur, et seipsos simul immiscent discumbentium choro, sentientes de seipsis magna. Rationem igitur sumens Dominus ab indigno illo, monstrat nobis duo hæc : unum, quod misericors sit; alterum, quod et nos nullos condemnare debemus, etiamsi manifeste peccent, nisi redarguantur peccantes. Dicit igitur Dominus ministris, angelis tortoribus : « Ligatis manibus et pedibus,» id est, operativis ejus virtutibus. In sæculo enim præsenti operari possumus, in futuro autem sæculo ligantur omnes virtutes animæ operativæ, et non potest fieri aliquid boni in ablutionem peccatorum. Stridor autem dentium, pœnitentia est, quæ tunc stulte et inutiliter fit. Multi autem sunt vocati, **110** multos enim vel potius omnes vocat Deus: pauci vero electi. Pauci enim qui salvantur, et qui digni sunt ut eligantur a Deo: ita ut Dei quidem sit vocare, electos autem fieri, vel non, nostrum est. Ostendit igitur quod propter Judæos dicta sit parabola, qui vocati quidem fuere, non autem electi, eo quod audierunt.

A μὴ ἔχων ἔνδυμα γάμου ; Ὁ δὲ ἐφιμώθη· Τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, ἄρατε αὐτὸν καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. » Ἡ μὲν εἰς τὸν γάμον εἰσέλευσις ἄνευ διακρίσεως γίνεται· χάριτι γὰρ μόνῃ πάντες ἐκλήθημεν, ἀγαθοί τε καὶ πονηροί, ἡ δὲ ζωὴ μετὰ ταῦτα τῶν εἰσελθόντων, οὐκ ἀνεξέταστος ἔσται, ἀλλὰ καὶ πάνυ πολλὴν ἐξέτασιν ποιεῖται ὁ βασιλεὺς τῶν μετὰ τὸ εἰσελθεῖν εἰς τὴν πίστιν ῥυπαρῶν εὑρισκομένων. Φρίξωμεν οὖν ἐννοήσαντες, ὅτι, εἰ μὴ ἔχοι τις βίον καθαρόν, οὐδὲν αὐτὸν ὠφελεῖ ἡ πίστις μόνη· οὐ μόνον γὰρ ἐκβάλλεται ἐκ τοῦ γάμου, ἀλλὰ καὶ εἰς τὸ B πῦρ ἀποπέμπεται. Τίς δέ ἐστιν ὁ ῥυπαρὰ ἱμάτια φορῶν ; Ὁ μὴ ἐνδυσάμενος σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, φιλαδελφίαν· πολλοὶ οὖν ἑαυτοὺς ἐξαπατῶντες κεναῖς ἐλπίσι, νομίζουσιν ὅτι τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτεύξονται, καὶ παρεμβάλλουσιν ἑαυτοὺς τῷ τῶν ἀνακειμένων χορῷ, οἰόμενοι περὶ ἑαυτῶν μεγάλα. Δικαιολογούμενος δὲ ὁ Κύριος πρὸς τὸν ἀνάξιον ἐκεῖνον, δείκνυσιν ἡμῖν δύο ταῦτα· ἓν μέν, ὅτι φιλάνθρωπός ἐστιν, ἕτερον δέ, ὅτι καὶ ἡμᾶς δεῖ μὴ καταγινώσκειν τινῶν, κἂν φανερῶς ἁμάρτωσιν, εἰ μὴ ἐλεγχθῶσιν οἱ ἁμαρτόντες. Λέγει οὖν ὁ Κύριος τοῖς διακόνοις, ἀγγέλοις τιμωρητικοῖς· « Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, » τουτέστι, τὰς πρακτικὰς τῆς ψυχῆς αὐτοῦ δυνάμεις. Ἐν τῷ αἰῶνι C μὲν γὰρ τῷ ἐνεστῶτι, ἔστι πρᾶξαι καὶ ἐνεργῆσαί τι, ἐν δὲ τῷ μέλλοντι, δεσμοῦνται πᾶσαι αἱ πρακτικαὶ δυνάμεις τῆς ψυχῆς. Καὶ οὐκ ἔστι ποιῆσαί τι ἀγαθὸν εἰς ἀντισήκωσιν τῶν ἁμαρτιῶν· βρυγμὸς δὲ ὀδόντων, ἡ τότε γενησομένη ἀνοήτως μεταμέλεια· πολλοὶ δέ εἰσι κλητοί, πολλοὺς γὰρ καλεῖ ὁ Θεός, μᾶλλον δὲ πάντας· ὀλίγοι δὲ ἐκλεκτοί. Ὀλίγοι καὶ οἱ σωζόμενοι καὶ ἄξιοι τοῦ ἐκλεγῆναι παρὰ Θεοῦ· ὥστε τοῦ μὲν Θεοῦ, τὸ καλεῖν, τὸ δὲ ἐκλεκτοὺς γενέσθαι ἢ μή, ἡμέτερόν ἐστι· δείκνυσι τοίνυν, ὅτι διὰ τοὺς Ἰουδαίους ἐλέχθη ἡ παραβολή, οἱ ἐκλήθησαν μέν, οὐκ ἐξελέγησαν δέ, ὡς μὴ ἀκούσαντες.

VERS. 15, 16. « Tunc abeuntes Pharisæi consilium ceperunt ut illaquearent eum in sermone : et ad illum emittunt discipulos suos cum Herodianis. » Per insidias hæc fiebant : propterea et Lucas insidiatores illos vocat, tanquam missos in hoc ut insidientur Christo. Herodiani autem erant vel Herodis milites, vel qui putabant Herodem Christum. Quoniam enim deficientibus principibus Juda regnavit Herodes, arbitrabantur ipsum esse Christum : veniunt igitur Pharisæi cum illis illaqueaturi eum. Audi enim quomodo loquantur dicentes :

« Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν. » Ἐπιβουλὴ ἦν τὸ γινόμενον, διὰ τοῦτο καὶ ὁ D Λουκᾶς ἐγκαθέτους τοὺς τοιούτους ὀνομάζει, ὡς ὑποπεμφθέντας ἐπὶ τὸ ἐπιβουλεῦσαι Χριστῷ· Ἡρωδιανοὶ δὲ ἦσαν, ἢ οἱ τοῦ Ἡρώδου στρατιῶται, ἢ οἱ νομίζοντες Ἡρώδην εἶναι τὸν Χριστόν· ἐπεὶ γὰρ ἐκλιπόντων τῶν ἀρχόντων Ἰούδα, ἐβασίλευσεν ὁ Ἡρώδης, ἐνόμισαν, ὅτι αὐτός ἐστιν ὁ Χριστός. Ἔρχονται τοίνυν οἱ Φαρισαῖοι μετὰ τούτων παγιδεύσοντες αὐτόν. Ἄκουε δὲ πῶς ὁμιλοῦσιν αὐτῷ, λέγοντες·

VERS. 16-22. « Magister, scimus quod verax sis, et viam Dei in veritate doces, neque cures quemquam: non enim respicis personam hominum. Dic ergo nobis, quid tibi videtur? Licet censum dari Cæsari, annon? Cognita autem Jesus malitia eorum, ait : Quid me tentatis, hypocritæ? Ostendite mihi numisma census. At illi obtulerunt ei denarium. Et ait illis : Cujus est imago hæc et inscriptio? Dicunt

« Διδάσκαλε, οἴδαμεν, ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλλει σοι περὶ οὐδενός, οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων· Εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ ; Ἔξεστιν δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ ; Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπε· Τί με πειράζετε, ὑποκριταί ; Ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. Καὶ λέγει αὐτοῖς· Τίνος ἡ

εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; Λέγουσιν αὐτῷ· Καί- A
σαρος. Τότε λέγει αὐτοῖς· Ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. » Νομίζοντες μαλάξαι αὐτὸν καὶ χαυνῶσαι τοῖς ἐπαίνοις, κολακεύουσιν, ἵνα χαυνωθεὶς εἴπῃ, ὅτι οὐ δεῖ διδόναι τὸν φόρον, καὶ ἐκ τούτου κρατήσωσιν αὐτὸν ὡς στασιαστὴν καὶ ἀνασείοντα τὸν λαὸν κατὰ τοῦ Καίσαρος. Διὰ τοῦτο καὶ τοὺς Ἡρωδιανοὺς ἐπάγονται, ὡς τοῦ βασιλέως ὄντας, ἵνα κατάσχωσιν αὐτὸν ὡς νεωτεριστήν. Οὐ λαμβάνεις δὲ πρόσωπον, φασί, τουτέστιν, οὐδὲν ἂν εἴποις πρὸς χάριν Πιλάτου ἢ Ἡρώδου· εἰπὲ οὖν ἡμῖν, ὀφείλομεν καὶ ἀνθρώποις ὑποτελεῖς εἶναι, καὶ φέρειν αὐτοῖς τὸ τέλος ὥσπερ καὶ τῷ Θεῷ τὸ δίδραχμον, ἢ μόνῳ τῷ Θεῷ τελέσωμεν; οὐχὶ δὲ καὶ τῷ Καίσαρι; Τοῦτο δὲ ἔλεγον, B
ὡς ἔφην, ἵνα, ἐὰν εἴπῃ, ὅτι οὐ δεῖ τελεῖν τῷ Καίσαρι, συλλάβωσιν αὐτὸν καὶ ἀποκτείνωσιν, ὡς τοὺς περὶ Θευδᾶν καὶ Ἰούδαν, τοὺς λέγοντας μὴ δεῖν θύειν ὑπὲρ τοῦ ὀνόματος τοῦ Καίσαρος· ὁ δὲ Ἰησοῦς διὰ τοῦ ἐντετυπῶσθαι τῷ νομίσματι τὸν Καίσαρα, πείθει αὐτοὺς ὡς δεῖ τῷ Καίσαρι ἀποδιδόναι τὰ ἑαυτοῦ, τουτέστι, τὰ ἔχοντα τὴν αὐτοῦ εἰκόνα· καὶ ἐν τοῖς σωματικοῖς καὶ τοῖς ἔξω ὑποτάττεσθαι τῷ βασιλεύοντι, ἐν δὲ τοῖς ἔσω καὶ πνευματικοῖς, τῷ Θεῷ. Δεῖ καὶ οὕτω νοεῖν, ὡς δεῖ ἕκαστον ἡμῶν τὰ τοῦ Καίσαρος, τουτέστι, τὰ τοῦ δαίμονος τοῦ τῶν κάτω κρατοῦντος, αὐτῷ ἐκείνῳ ἀποδιδόναι καὶ προσρίπτειν. Οἷον ἔχεις θυμὸν ἀπὸ C
τοῦ Καίσαρος, ῥῖψον τοῦτον ἐπ' αὐτὸν, θυμώθητι κατ' αὐτοῦ· οὕτω γὰρ δυνήσῃ καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ ἀποδοῦναι. Ἀλλὰ μὴν καὶ διττοὶ ὄντες ἡμεῖς, ἐκ ψυχῆς γὰρ καὶ σώματος συνιστάμεθα, τῷ μὲν σώματι ὡς Καίσαρι, ὀφείλομεν διατροφὰς καὶ σκεπάσματα, τῷ δὲ ἐν ἡμῖν θειοτέρῳ, τὰ ἁρμόδια.

« Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· Διδάσκαλε, Μωσῆς εἶπεν· Ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί, καὶ ὁ πρῶτος, γαμήσας ἐτελεύτησε· καὶ μὴ ἔχων σπέρμα, ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ· ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. Ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή· ἐν D
τῇ οὖν ἀναστάσει, τίνος τῶν ἑπτὰ ἔσται γυνή; Πάντες γὰρ ἔσχον αὐτήν. » Ἐπιστομισθέντων τῶν Φαρισαίων σὺν τοῖς Ἡρωδιανοῖς, πάλιν οἱ Σαδδουκαῖοι πειράζουσιν. Αἵρεσις δὲ ἦν τούτων τοιάδε· οὐκ ἐπίστευον οὔτε ἀνάστασιν, οὔτε πνεῦμα, οὔτε ἄγγελον, ἀπεναντίας τοῖς Φαρισαίοις διακείμενοι· πρᾶγμα οὖν συντιθέασι μὴ γενόμενον. Θὲς γὰρ ὅτι οἱ δύο ἔλαβον αὐτὴν, καὶ ἀπέθανον, πῶς ἂν ὁ τρίτος οὐκ οἰωνίσατο καὶ ἀπείπατο τὸν γάμον, τοῖς πρὸ αὐτοῦ παιδευθείς; Πλάττονται δ' οὖν οἰόμενοι τὸν Χριστὸν εἰς ἀπορίαν ἐμβαλεῖν, ἵνα τὴν ἀνάστασιν διαβάλλωσιν· καὶ τὸν Μωσέα τῷ πλάσματι αὐτῶν συνήγορον παραλαμβάνουσιν. Ἑπτὰ δὲ εἶπον εἶναι τοὺς ἀδελφοὺς, ἵνα ἐπὶ πλέον κωμῳδήσωσι τὸ τῆς ἀναστάσεως μυστήριον·

A ei, Cæsaris. Tunc ait illis, Reddite ergo quæ sunt Cæsaris, Cæsari, et quæ sunt Dei, Deo. Et his auditis mirati sunt, et omisso eo abierunt. » Arbitrati se demulsuros illum laudibus, adulantur, ut lactatus dicat non deberi Cæsari tributum, et inde comprehendant eum tanquam seditiosum, et commoventem populum contra Cæsarem: et idcirco Herodianos secum adducunt, qui regii erant, ut comprehenderent illum quasi rerum novatorem. Non respicis personam cujusquam, inquiunt, hoc est, nihil dicis in gratiam Herodis aut Pilati. Dic igitur nobis, Debemus et hominibus tributarii esse, et dare eis censum, sicut et Deo didrachmum? An soli Deo tribuemus? Nunquid autem et Cæsari? Hoc autem dicebant (sicut dixit) ut si dicat quod
B non oporteat tributum et Cæsari pendere, comprehendant eum et occidant: sicut Theudam et Judam, qui dicebant non sacrificandum pro nomine Cæsaris. Jesum autem per hoc quod figuratum erat numisma imagine Cæsaris, persuadet illis deberi Cæsari quæ ejus sunt, hoc est, quæ habent ejus imaginem. Et in corporalibus et in externis obediendum est regi: in internis autem et spiritualibus, Deo. Licet autem et sic intelligere, quod oporteat unumquemque nostrum ea quæ sunt Cæsaris, hoc est, dæmonis, infernorum principis, illi ipsi reddere, et objicere: ut exempli gratia, si habes iram a Cæsare, rejice eam in illum,
C irasçere contra ipsum, sic poteris et ea **120**
quæ sunt Dei, Deo reddere. Item quia duplices sumus nos, et ex anima corporeque constituimur, corpori cibos et amictum ut Cæsari debemus: diviniori autem nostræ parti, quæ et illi congruunt.

VERS. 23-28. « In illo die accesserunt ad eum Sadducæi, qui dicunt non esse resurrectionem, et interrogaverunt eum, dicentes: Magister, Moyses dixit, Si quis mortuus fuerit non habens filium, ducat frater ejus uxorem illius, et suscitet semen fratri suo. Erant autem apud nos septem fratres, et primus uxore ducta defunctus est: ac non habens semen, reliquit uxorem suam fratri suo: similiter secundus et tertius, usque ad septimum.
D Novissime autem omnium defuncta est mulier: in resurrectione igitur, cujus e septem illis erit uxor? Omnes enim habuerunt eam. » Confutatis Pharisæis cum Herodianis, iterum Sadducæi tentant. Hæresis autem illum erat talis: neque resurrectionem, neque spiritum, neque angelos credebant, diversa a Pharisæis sentiebant. Rem fingunt, quæ nunquam contigit. Pone enim quod duo acceperint ipsam et mortui sint, qui fieri potuit ut tertius omen aversans nuptias non recusaverit, periculis præcedentium admonitus? Fingunt igitur, quasi Christum in dubium tracturi, ut resurrectionem arguant, et Mosen figmento suo patronum faciant. Septem dixerunt esse fratres, maxime incessentes resurrectionis mysterium; et, Cujus ex

illis, dicunt, erit mulier? Diceret quis. O contaminati Sadducæi, prioris qui duxerat uxor erit, siquidem concederemus in resurrectione nuptias fore : alii enim non veri, sed viri erant accessorii.

VERS. 29-33 « Respondens autem Jesus, dixit illis : Erratis, nescientes Scripturas, neque virtutem Dei. In resurrectione enim neque matrimonium contrahunt, neque elocantur, sed sunt sicut angeli Dei in cœlo. De resurrectione vero mortuorum non legistis quod vobis dictum est a Deo, Ego sum Deus Abraham, Deus Isaac, et Deus Jacob? Non est Deus, mortuorum Deus, sed viventium. Et cum audissent turbæ, stupuerunt de doctrina ejus. » Ostendit Salvator et resurrectionem futuram, et non talem carnalem, ut errant, sed diviniorem et spiritualiorem. Quid enim, inquit, erratis, nescientes Scripturas, et vim Dei? Nam si Scripturas sciretis, crederetis utique Deum non esse Deum mortuorum, sed viventium. Quod si virtutem Dei sciretis, cognosceretis utique Deo omnia esse possibilia, et posse Deum facere ut homines vivant sicut angeli. Vide autem sapientiam Domini. Illi per Mosen conabantur dogma de resurrectione subvertere, et Dominus per Mosen illis iterum persuadet. Ego enim sum, inquit, Deus Abraham, et Isaac, et Jacob. Hoc autem dicere vult : Deus non est eorum Deus qui non sunt, sed qui subsistunt et sunt. Neque enim dixit, 121 Ego eram, sed, Sum. Nam quamvis mortui sint, spe tamen resurrectionis vivunt. Interrogas autem. Quomodo igitur alio loco dicit : Mortuorum et viventium Dominus est? Disce igitur quod mortuos illos illic dicit defunctos quidem, victuros autem : hic vero Dominus respondet hæresi Sadducæorum, docentium non esse animam immortalem, sed omnino corrumpi, dicens Deum non esse Deum mortuorum, hoc est, sicut vos putatis, omnino pereuntium, sed viventium, hoc est, immortalem habentium animam, et resurgentium, etiamsi mortui fuerint.

VERS. 34-40. « Pharisæi autem cum audissent quod silentium imposuisset Sadducæis, convenerunt in unum, et interrogavit eum unus ex eis legislator quispiam, tentans eum, et dicens: Magister, quod est mandatum magnum in lege? Ait illi Jesus : Diliges Dominum Deum tuum ex toto corde tuo, et in tota anima tua, et in tota mente tua. Hoc est primum et magnum mandatum. Secundum est autem simile huic : Diliges proximum tuum sicut teipsum. In his enim duobus mandatis universa lex et prophetæ pendent. » Ex immodica invidia accedit tentans. Quia enim viderant Sadducæos confusos, et laudatum Dominum ob sapientiam, accedunt tentantes si apponat aliquid mandato primo, quasi legem corrigens, ut inveniant contra ipsum ansam. Dominus autem invulgans eorum malitiam, quod non ad discendum venissent, sed vacui charitate invideant potius et æmulentur, ostendit charitatem

A καὶ τίνος αὐτῶν, φασὶν, ἔσται ἡ γυνή ; Εἴποι οὖν ἄν τις· Ὦ μιαροὶ Σαδδουκαῖοι, τοῦ πρώτως γεγαμηκότος ἔσται ἡ γυνὴ, εἴγε συγχωρήσωμεν, ὅτι καὶ ἐν τῇ ἀναστάσει γάμος ἐστίν· οἱ γὰρ ἄλλοι, ὑποβολιμαῖοι, οὐχὶ νόμιμοι ἄνδρες.

« Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. Ἐν γὰρ τῇ ἀναστάσει, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσι. Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ λέγοντος· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ ; οὐκ ἔστιν ὁ Θεὸς, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. » Δείκνυσιν ὁ Σωτὴρ, ὅτι καὶ ἀνάστασις ἔσται,
B καὶ οὐ τοιαύτη σαρκικὴ ὡς πλανῶνται, ἀλλὰ θειοτέρα καὶ πνευματικωτέρα. Τί γὰρ, φησὶ, πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ ; Εἰ μὲν τὰς Γραφὰς ἐγινώσκετε, ἠπίστασθε ἂν, ὅτι ὁ Θεὸς οὐκ ἔστι νεκρῶν Θεὸς, ἀλλὰ ζώντων· εἰ δὲ τὴν δύναμιν τοῦ Θεοῦ ᾔδειτε, ἐγινώσκετε ἂν, ὅτι τῷ Θεῷ πάντα δυνατὰ, ὥστε καὶ τοὺς ἀνθρώπους ὡς ἀγγέλους ποιῆσαι πολιτεύεσθαι. Ὅρα δὲ τὴν σοφίαν τοῦ Κυρίου· ἐκεῖνοι ἀπὸ τοῦ Μωσέως ἐσπούδαζον περιτρέψαι τὸ τῆς ἀναστάσεως δόγμα, καὶ οὗτος ἀπὸ τοῦ Μωσέως πάλιν πείθει αὐτούς. Ἐγὼ γάρ εἰμι, φησὶν, ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ὁ Θεὸς οὐκ ἔστι τῶν μὴ ὄντων Θεὸς, ἀλλὰ τῶν ὑφισταμένων καὶ ὄντων· οὐδὲ γὰρ εἶπεν· Ἐγὼ ἤμην, ἀλλ' Εἰμί. Εἰ γὰρ καὶ ἐτελεύτησαν, ἀλλὰ τῇ ἐλπίδι τῆς ἀναστάσεως ζῶσιν.
C Ἀλλ'. ἐρωτᾷς, Πῶς οὖν ἀλλαχοῦ φησιν, ὅτι καὶ νεκρῶν καὶ ζώντων κυριεύει ; Μάθε τοίνυν ὅτι νεκροὺς ἐκεῖ λέγει τοὺς ἀποθανόντας μὲν, μέλλοντας δὲ ζήσεσθαι. Ἐνταῦθα δὲ ὁ Κύριος πρὸς τὴν αἵρεσιν τῶν Σαδδουκαίων ἐνιστάμενος, δογματιζόντων μὴ εἶναι τὴν ψυχὴν ἀθάνατον, ἀλλὰ πάντη διαφθείρεσθαι, φησὶν ὅτι οὐκ ἔστιν ὁ Θεὸς νεκρῶν, τουτέστι, τῶν ὡς ὑμῖν δοκεῖ διαφθειρομένων παντελῶς, ἀλλὰ τῶν ζώντων, τουτέστι τῶν ἀθάνατον ἐχόντων τὴν ψυχὴν, καὶ ἀναστησομένων, εἰ καὶ νῦν νεκροί εἰσιν.

« Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτὸ, καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς, πειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ ; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Ἀγαπήσεις Κύριον τὸν Θεόν
D σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή· δευτέρα δὲ, ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. » Ἐξ ἀμέτρου φθόνου πρόσεισιν ὁ πειράζων· ἐπεὶ γὰρ εἶδον καταισχυνθέντας τοὺς Σαδδουκαίους, καὶ ἐπαινούμενον τὸν Κύριον ἐπὶ τῇ σοφίᾳ, προσίασι πειράζοντες, εἰ προστίθησί τι ἐντολῇ τῇ πρώτῃ, ὡς διορθούμενος τὸν νόμον, ἵνα εὕρωσι λαβὴν κατ' αὐτοῦ. Ὁ δὲ Κύριος δημοσιεύων αὐτῶν τὴν κακίαν, ὅτι οὐ διὰ τὸ μαθεῖν ἦλθον, ἀλλ' ἀπὸ τοῦ μὴ ἔχειν ἀγάπην, διὰ τὸ φθονεῖν δὲ μᾶλλον καὶ ζηλοτυπεῖν,

δείκνυσι τὴν ἀγάπην ὑπερέχουσαν τῶν ἐντολῶν. Καὶ A διδάσκει, ὅτι οὐ μερικῶς δεῖ ἀγαπᾷν τὸν Θεὸν, ἀλλ' ὅλους ἑαυτοὺς διδόναι τῷ Θεῷ. Τρεῖς γὰρ ταύτας περὶ τὴν τοῦ ἀνθρώπου ψυχὴν κατανοοῦμεν διαφορὰς, τὸ φυτικὸν, τὸ ζωῶδες, τὰ λογικόν. Καθ' ὃ μὲν γὰρ αὔξεται καὶ τρέφεται, καὶ τὸ ὅμοιον γεννᾷ, τοῖς φυτοῖς ὁμοιοῦται· καθ' ὃ δὲ θυμοῦται καὶ ἐπιθυμεῖ, τοῖς ζώοις· καθ' ὃ δὲ διανοεῖται, λογικὸς λέγεται. Ὅρα οὖν ἐνταῦθα σημαινόμενα ταῦτα τὰ τρία· « Ἀγαπήσεις τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου· » τοῦτο τὸ ζωῶδες μέρος τοῦ ἀνθρώπου· « καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου· » τοῦτο, τὸ φυτικόν· ἔμψυχα γὰρ τὰ φυτά· « καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· » τοῦτο τὸ λογικόν. Ὥστε τὸ δεῖν ἀγαπᾷν τὸν Θεὸν ὁλοψύχως, τοῦτό ἐστι, τὸ διὰ πάντων τῶν τῆς ψυχῆς μερῶν καὶ δυνάμεων B αὐτῷ προσέχειν. « Αὕτη πρώτη καὶ μεγάλη ἐντολὴ, » εἰς εὐσέβειαν ἡμᾶς γυμνάζουσα· « δευτέρα δὲ ὁμοία αὐτῇ, » εἰς τὰ πρὸς ἀνθρώπους δίκαια διεγείρουσα. Δύο γὰρ εἰσι τὰ εἰς ἀπώλειαν φέροντα, δόγματα πονηρὰ, καὶ βίος διεφθαρμένος. Ἵνα μὲν οὖν μὴ ἐμπέσωμεν εἰς δόγματα ἀσεβῆ, δεῖ ἀγαπᾷν τὸν Θεόν· ἵνα δὲ μὴ ἔχωμεν βίον διεφθαρμένον, δεῖ ἀγαπᾷν τὸν πλησίον· ὁ γὰρ ἀγαπῶν τὸν πλησίον, πάσας τὰς ἐντολὰς πληροῖ· καὶ ὁ πληρῶν τὰς ἐντολὰς, ἀγαπᾷ τὸν Θεόν· ὥστε δι' ἀλλήλων συγκροτοῦνται καὶ συνίστανται αἱ δύο αὗται ἐντολαὶ, καὶ περιέχουσι πάσας τὰς ἄλλας ἐντολάς. Τίς γὰρ ἀγαπῶν τὸν Θεὸν καὶ τὸν πλησίον, ἢ κλέψει, ἢ μνησικακήσει, ἢ μοιχεύσει, ἢ φονεύσει, ἢ πορνεύσει; Οὗτος δὲ ὁ Νομικὸς ἐξ ἀρχῆς μὲν πειράζων ἦλθεν, εἶτα ἀπὸ τῆς τοῦ Χριστοῦ ἀποκρίσεως βελτιωθεὶς C ἐπῃνέθη, ὡς καὶ ὁ Μάρκος φησὶν, ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, ἠσπάσατο αὐτὸν, καὶ εἶπεν αὐτῷ· Οὐ μακρὰν εἶ τῆς βασιλείας τοῦ Θεοῦ.

« Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; Λέγουσιν αὐτῷ· Τοῦ Δαυΐδ. Λέγει αὐτοῖς. Πῶς οὖν Δαυΐδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Εἰ Δαυΐδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; Καὶ οὐδεὶς ἠδύνατο ἀποκριθῆναι αὐτῷ λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτόν οὐκ ἔτι. » Ἐπειδὴ ψιλὸν ἄνθρωπον αὐτὸν ἐνόμιζον εἶναι, ἀνα- D τρέπει αὐτῶν τὴν δόξαν, καὶ διδάσκει τὸ ἀληθὲς διὰ τῆς τοῦ Δαυΐδ προφητείας, ὅτι καὶ Κύριός ἐστι, τὴν θεότητα τὴν ἑαυτοῦ ἀνακηρύττων. Εἰπόντων γὰρ τῶν Φαρισαίων ὅτι Υἱός ἐστι τοῦ Δαυΐδ ὁ Χριστὸς, τουτέστιν, ἄνθρωπος ψιλὸς, φησί· Πῶς οὖν ὁ Δαυΐδ Κύριον αὐτὸν ὀνομάζει; καὶ οὐχ ἁπλῶς Κύριον, ἀλλ' ἐν πνεύματι, τουτέστι διὰ τῆς τοῦ Πνεύματος χάριτος ἀποκαλυφθεὶς αὐτόν; Οὐκ ἀρνούμενος δὲ τὸ εἶναι υἱὸς Δαυΐδ ταῦτα λέγει, ἀλλὰ τοῦτο δεικνύων, ὅτι οὐκ ἔστι ψιλὸς ἄνθρωπος, ἐκ μόνου τοῦ Δαυϊδικοῦ

inter mandata præcellere: docetque quod non ex parte oportet diligere Deum, sed nos totos dare Deo. Tres enim tales in anima discimus esse vires, plantativam, animalem et rationalem. Secundum quod crescit et nutritur, et simile generat, plantis assimilatur: secundum quod irascitur et concupiscit, brutis comparatur: secundum quod intelligit, rationalis dicitur. Vide igitur hoc loco quod illa tria significentur: « Diliges Deum tuum in toto corde tuo, » hæc est brutalis animæ pars: « et in tota anima tua, » hæc est plantativa virtus, animatæ enim sunt plantæ: « et in tota mente tua, » hæc est vis rationalis. Et sic oportet Deum diligere tota anima, hoc est omnibus partibus et virtutibus animæ ei adhærere. « Hoc est primum et magnum mandatum, » ad pietatem nos exercens. « Secundum autem simile est illi, » quod nos excitat ad faciendum quæ sunt justa homini. Duo enim nos in interitum ducunt, mala doctrina, et corrupta vita. Ut igitur non incidamus in impia dogmata, diligendus est Deus: ne autem sit vita perversa, diligendus est proximus. Qui enim diligit proximum, omnia mandata implet: et qui implet mandata, diligit Deum: atque ita duo illa mandata inter se cohærent et copulantur, et continent omnia alia mandata. Quis
122 enim diligens Deum et proximum, vel furatur, vel vindictæ avidus est, vel adulterium committit, vel scortatur, vel occidit? Hic autem Legisperitus principio quidem venit tentans, deinde responso Christi emendatior factus, laudatus est, sicut et Marcus inquit, quod spectans eum Jesus amplexatus sit illum, et dixit ei: Non longe es a regno Dei [48].

VERS. 41-46. « Congregatis autem Pharisæis, interrogavit eos Jesus, dicens: Quid vobis videtur de Christo? cujus filius est? Dicunt ei, David. Ait illis: Quomodo ergo David in spiritu vocat eum Dominum dicens: Dixit Dominus Domino meo, Sede a dextris meis, donec ponam inimicos tuos subsellium pedum tuorum? Si ergo David vocat eum Dominum, quomodo filius ejus est? et nemo poterat ei respondere verbum, neque ausus fuit quisquam ex eo die eum amplius interrogare. » Quoniam purum hominem Christum esse putabant, subvertit eorum opinionem, et docet per veritatem per David prophetiam, quod Dominus est (a), divinitatem suam prædicans. Dicentibus enim Pharisæis, Filius est David Christus, hoc est, homo purus, dicit, Quomodo igitur David Dominum eum nominat? et non simpliciter eum nominat Dominum, sed in spiritu, hoc est, per Spiritus gratiam ipsum revelavit? Non negat autem filium David esse hoc dicendo, sed monstrat quod non sit purus homo ex solo Davidico semine descen-

48 Marc. XII, 34.

(a) Edit. Lat omittit, *quod Dominus est.*

illis, dicunt, erit mulier? Diceret quis, O contaminati Sadducæi, prioris qui duxerat uxor erit, siquidem concederemus in resurrectione nuptias fore : alii enim non veri, sed viri erant accessorii.

VERS. 29-33 « Respondens autem Jesus, dixit illis : Erratis, nescientes Scripturas, neque virtutem Dei. In resurrectione enim neque matrimonium contrahunt, neque elocantur, sed sunt sicut angeli Dei in cœlo. De resurrectione vero mortuorum non legistis quod vobis dictum est a Deo, Ego sum Deus Abraham, Deus Isaac, et Deus Jacob? Non est Deus, mortuorum Deus, sed viventium. Et cum audissent turbæ, stupuerunt de doctrina ejus. » Ostendit Salvator et resurrectionem futuram, et non talem carnalem, ut errant, sed diviniorem et spiritualiorem. Quid enim, inquit, erratis, nescientes Scripturas, et vim Dei? Nam si Scripturas sciretis, crederetis utique Deum non esse Deum mortuorum, sed viventium. Quod si virtutem Dei sciretis, cognosceretis utique Deo omnia esse possibilia, et posse Deum facere ut homines vivant sicut angeli. Vide autem sapientiam Domini. Illi per Mosen conabantur dogma de resurrectione subvertere, et Dominus per Mosen illis iterum persuadet. Ego enim sum, inquit, Deus Abraham, et Isaac, et Jacob. Hoc autem dicere vult : Deus non est eorum Deus qui non sunt, sed qui subsistunt et sunt. Neque enim dixit, 121 Ego eram, sed, Sum. Nam quamvis mortui sint, spe tamen resurrectionis vivunt. Interrogas autem. Quomodo igitur alio loco dicit : Mortuorum et viventium Dominus est? Disce igitur quod mortuos illos illic dicit defunctos quidem, victuros autem : hic vero Dominus respondet hæresi Sadducæorum, docentium non esse animam immortalem, sed omnino corrumpi, dicens Deum non esse Deum mortuorum, hoc est, sicut vos putatis, omnino pereuntium, sed viventium, hoc est, immortalem habentium animam, et resurgentium, etiamsi mortui fuerint.

VERS. 34-40. « Pharisæi autem cum audissent quod silentium imposuisset Sadducæis, convenerunt in unum, et interrogavit eum unus ex eis legislator quispiam, tentans eum, et dicens: Magister, quod est mandatum magnum in lege? Ait illi Jesus : Diliges Dominum Deum tuum ex toto corde tuo, et in tota anima tua, et in tota mente tua. Hoc est primum et magnum mandatum. Secundum est autem simile huic : Diliges proximum tuum sicut teipsum. In his enim duobus mandatis universa lex et prophetæ pendent. » Ex immodica invidia accedit tentans. Quia enim viderant Sadducæos confusos, et laudatum Dominum ob sapientiam, accedunt tentantes si apponat aliquid mandato primo, quasi legem corrigens, ut inveniant contra ipsum ansam. Dominus autem invulgans eorum malitiam, quod non ad discendum venissent, sed vacui charitate invideant potius et æmulentur, ostendit charitatem

A καὶ τίνος αὐτῶν, φασίν, ἔσται ἡ γυνή; Εἴποι οὖν ἄν τις· Ὦ μιαροὶ Σαδδουκαῖοι, τοῦ πρώτως γεγαμηκότος ἔσται ἡ γυνή, εἴγε συγχωρήσωμεν, ὅτι καὶ ἐν τῇ ἀναστάσει γάμος ἐστίν· οἱ γὰρ ἄλλοι, ὑποβολιμαῖοι, οὐχὶ νόμιμοι ἄνδρες.

« Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφάς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. Ἐν γὰρ τῇ ἀναστάσει, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσι. Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ λέγοντος· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ; οὐκ ἔστιν ὁ Θεὸς, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. » Δείκνυσιν ὁ Σωτήρ, ὅτι καὶ ἀνάστασις ἔσται,
B καὶ οὐ τοιαύτη σαρκικὴ ὡς πλανῶνται, ἀλλὰ θειοτέρα καὶ πνευματικωτέρα. Τί γάρ, φησί, πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ; Εἰ μὲν τὰς Γραφὰς ἐγινώσκετε, ἠπίστασθε ἄν, ὅτι ὁ Θεὸς οὐκ ἔστι νεκρῶν Θεὸς, ἀλλὰ ζώντων· εἰ δὲ τὴν δύναμιν τοῦ Θεοῦ ᾔδειτε, ἐγινώσκετε ἄν, ὅτι τῷ Θεῷ πάντα δυνατά, ὥστε καὶ τοὺς ἀνθρώπους ὡς ἀγγέλους ποιῆσαι πολιτεύεσθαι. Ὅρα δὲ τὴν σοφίαν τοῦ Κυρίου· ἐκεῖνοι ἀπὸ τοῦ Μωσέως ἐσπούδαζον περιτρέψαι τὸ τῆς ἀναστάσεως δόγμα, καὶ οὗτος ἀπὸ τοῦ Μωσέως πάλιν πείθει αὐτούς. Ἐγὼ γάρ εἰμι, φησίν, ὁ Θεὸς Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ὁ Θεὸς οὐκ ἔστι τῶν μὴ ὄντων Θεὸς, ἀλλὰ τῶν ὑφισταμένων καὶ ὄντων· οὐδὲ γὰρ εἶπεν· Ἐγὼ ἤμην, ἀλλ' Εἰμί. Εἰ γὰρ καὶ ἐτελεύτησαν, ἀλλὰ τῇ ἐλπίδι τῆς ἀναστάσεως ζῶσιν.
C Ἀλλ' ἐρωτᾷς, Πῶς οὖν ἀλλαχοῦ φησιν, ὅτι καὶ νεκρῶν καὶ ζώντων κυριεύει; Μάθε τοίνυν ὅτι νεκροὺς ἐκεῖ λέγει τοὺς ἀποθανόντας μέν, μέλλοντας δὲ ζήσεσθαι. Ἐνταῦθα δὲ ὁ Κύριος πρὸς τὴν αἵρεσιν τῶν Σαδδουκαίων ἐνιστάμενος, δογματιζόντων μὴ εἶναι τὴν ψυχὴν ἀθάνατον, ἀλλὰ πάντη διαφθείρεσθαι, φησὶν ὅτι οὐκ ἔστιν ὁ Θεὸς νεκρῶν, τουτέστι, τῶν ὡς ὑμῖν δοκεῖ διαφθειρομένων παντελῶς, ἀλλὰ τῶν ζώντων, τουτέστι τῶν ἀθάνατον ἐχόντων τὴν ψυχήν, καὶ ἀναστησομένων, εἰ καὶ νῦν νεκροί εἰσιν.

« Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό, καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικός, πειράζων αὐτόν, καὶ λέγων· Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Ἀγαπήσεις Κύριον τὸν Θεόν
D σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή· δευτέρα δέ, ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. » Ἐξ ἀμέτρου φθόνου πρόσεισιν ὁ πειράζων· ἐπεὶ γὰρ εἶδον καταισχυνθέντας τοὺς Σαδδουκαίους, καὶ ἐπαινούμενον τὸν Κύριον ἐπὶ τῇ σοφίᾳ, προσίασι πειράζοντες, εἰ προστίθησί τι ἐντολῇ τῇ πρώτῃ, ὡς διορθούμενος τὸν νόμον, ἵνα εὕρωσι λαβὴν κατ' αὐτοῦ. Ὁ δὲ Κύριος δημοσιεύων αὐτῶν τὴν κακίαν, ὅτι οὐ διὰ τὸ μαθεῖν ἦλθον, ἀλλ' ἀπὸ τοῦ μὴ ἔχειν ἀγάπην, διὰ τὸ φθονεῖν δὲ μᾶλλον καὶ ζηλοτυπεῖν,

δείκνυσι τὴν ἀγάπην ὑπερέχουσαν τῶν ἐντολῶν. Καὶ διδάσκει, ὅτι οὐ μερικῶς δεῖ ἀγαπᾷν τὸν Θεὸν, ἀλλ' ὅλους ἑαυτοὺς διδόναι τῷ Θεῷ. Τρεῖς γὰρ ταύτας περὶ τὴν τοῦ ἀνθρώπου ψυχὴν κατανοοῦμεν διαφορὰς, τὸ φυτικὸν, τὸ ζωῶδες, τὸ λογικόν. Καθ' ὃ μὲν γὰρ αὔξεται καὶ τρέφεται, καὶ τὸ ὅμοιον γεννᾷ, τοῖς φυτοῖς ὁμοιοῦται· καθ' ὃ δὲ θυμοῦται καὶ ἐπιθυμεῖ, τοῖς ζώοις· καθ' ὃ δὲ διανοεῖται, λογικὸς λέγεται. Ὅρα οὖν ἐνταῦθα σημαινόμενα ταῦτα τὰ τρία· « Ἀγαπήσεις τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου· » τοῦτο τὸ ζωῶδες μέρος τοῦ ἀνθρώπου· « καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου· » τοῦτο, τὸ φυτικόν· ἔμψυχα γὰρ τὰ φυτά· « καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· » τοῦτο τὸ λογικόν. Ὥστε τὸ δεῖν ἀγαπᾷν τὸν Θεὸν ὁλοψύχως, τοῦτό ἐστι, τὸ διὰ πάντων τῶν τῆς ψυχῆς μερῶν καὶ δυνάμεων αὐτῷ προσέχειν. « Αὕτη πρώτη καὶ μεγάλη ἐντολὴ, » εἰς εὐσέβειαν ἡμᾶς γυμνάζουσα· « δευτέρα δὲ ὁμοία αὐτῇ, » εἰς τὰ πρὸς ἀνθρώπους δίκαια διεγείρουσα. Δύο γὰρ εἰσι τὰ εἰς ἀπώλειαν φέροντα, δόγματα πονηρὰ, καὶ βίος διεφθαρμένος. Ἵνα μὲν οὖν μὴ ἐμπέσωμεν εἰς δόγματα ἀσεβῆ, δεῖ ἀγαπῆν τὸν Θεόν· ἵνα δὲ μὴ ἔχωμεν βίον διεφθαρμένον, δεῖ ἀγαπᾷν τὸν πλησίον· ὁ γὰρ ἀγαπῶν τὸν πλησίον, πάσας τὰς ἐντολὰς πληροῖ· καὶ ὁ πληρῶν τὰς ἐντολὰς, ἀγαπᾷ τὸν Θεόν· ὥστε δι' ἀλλήλων συγκροτοῦνται καὶ συνίστανται αἱ δύο αὗται ἐντολαὶ, καὶ περιέχουσι πάσας τὰς ἄλλας ἐντολάς. Τίς γὰρ ἀγαπῶν τὸν Θεὸν καὶ τὸν πλησίον, ἢ κλέψει, ἢ μνησικακήσει, ἢ μοιχεύσει, ἢ φονεύσει, ἢ πορνεύσει; Οὗτος δὲ ὁ Νομικὸς ἐξ ἀρχῆς μὲν πειράζων ἦλθεν, εἶτα ἀπὸ τῆς τοῦ Χριστοῦ ἀποκρίσεως βελτιωθεὶς ἐπῃνέθη, ὡς καὶ ὁ Μάρκος φησὶν, ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, ἠσπάσατο αὐτὸν, καὶ εἶπεν αὐτῷ· Οὐ μακρὰν εἶ τῆς βασιλείας τοῦ Θεοῦ.

« Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; Λέγουσιν αὐτῷ· Τοῦ Δαυίδ. Λέγει αὐτοῖς. Πῶς οὖν Δαυὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Εἰ Δαυὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; Καὶ οὐδεὶς ἠδύνατο ἀποκριθῆναι αὐτῷ λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκ ἔτι. » Ἐπειδὴ ψιλὸν ἄνθρωπον αὐτὸν ἐνόμιζον εἶναι, ἀνατρέπει αὐτῶν τὴν δόξαν, καὶ διδάσκει τὸ ἀληθὲς διὰ τῆς τοῦ Δαυὶδ προφητείας, ὅτι καὶ Κύριός ἐστι, τὴν θεότητα τὴν ἑαυτοῦ ἀνακηρύττων. Εἰπόντων γὰρ τῶν Φαρισαίων ὅτι Υἱός ἐστι τοῦ Δαυὶδ ὁ Χριστὸς, τουτέστιν, ἄνθρωπος ψιλὸς, φησί· Πῶς οὖν ὁ Δαυὶδ Κύριον αὐτὸν ὀνομάζει; καὶ οὐχ ἁπλῶς Κύριον, ἀλλ' ἐν πνεύματι, τουτέστι διὰ τῆς τοῦ Πνεύματος χάριτος ἀποκαλυφθεὶς αὐτόν; Οὐκ ἀρνούμενος δὲ τὸ εἶναι υἱὸς Δαυὶδ ταῦτα λέγει, ἀλλὰ τοῦτο δεικνύων, ὅτι οὐκ ἔστι ψιλὸς ἄνθρωπος, ἐκ μόνου τοῦ Δαυϊδικοῦ

A inter mandata præcellere: docetque quod non ex parte oportet diligere Deum, sed nos totos dare Deo. Tres enim tales in anima discimus esse vires, plantativam, animalem et rationalem. Secundum quod crescit et nutritur, et simile generat, plantis assimilatur: secundum quod irascitur et concupiscit, brutis comparatur: secundum quod intelligit, rationalis dicitur. Vide igitur hoc loco quod illa tria significentur: « Diliges Deum tuum in toto corde tuo, » hæc est brutalis animæ pars: « et in tota anima tua, » hæc est plantativa virtus, animatæ enim sunt plantæ: « et in tota mente tua, » hæc est vis rationalis. Et sic oportet Deum diligere tota anima, hoc est omnibus partibus et virtutibus
B animæ ei adhærere. « Hoc est primum et magnum mandatum, » ad pietatem nos exercens. « Secundum autem simile est illi, » quod nos excitat ad faciendum quæ sunt justa homini. Duo enim nos in interitum ducunt, mala doctrina, et corrupta vita. Ut igitur non incidamus in impia dogmata, diligendus est Deus: ne autem sit vita perversa, diligendus est proximus. Qui enim diligit proximum, omnia mandata implet: et qui implet mandata, diligit Deum: atque ita duo illa mandata inter se cohærent et copulantur, et continent omnia alia mandata. Quis
122 enim diligens Deum et proximum, vel furatur, vel vindictæ avidus est, vel adulterium committit, vel scortatur, vel occidit? Hic autem Legisperitus principio quidem venit tentans, deinde
C responso Christi emendatior factus, laudatus est, sicut et Marcus inquit, quod spectans eum Jesus amplexatus sit illum, et dixit ei: Non longe es a regno Dei 48.

VERS. 41-46. « Congregatis autem Pharisæis, interrogavit eos Jesus, dicens: Quid vobis videtur de Christo? cujus filius est? Dicunt ei, David. Ait illis: Quomodo ergo David in spiritu vocat eum Dominum dicens: Dixit Dominus Domino meo, Sede a dextris meis, donec ponam inimicos tuos subsellium pedum tuorum? Si ergo David vocat eum Dominum, quomodo filius ejus est? et nemo poterat ei respondere verbum, neque ausus fuit quisquam ex eo die eum amplius interrogare. »
D Quoniam purum hominem Christum esse putabant, subvertit eorum opinionem, et docet per veritatem per David prophetiam, quod Dominus est (a), divinitatem suam prædicans. Dicentibus enim Pharisæis, Filius est David Christus, hoc est, homo purus, dicit, Quomodo igitur David Dominum eum nominat? et non simpliciter eum nominat Dominum, sed in spiritu, hoc est, per Spiritus gratiam ipsum revelavit? Non negat autem filium David esse hoc dicendo, sed monstrat quod non sit purus homo ex solo Davidico semine descen-

48 Marc. XII, 34.

(a) Edit. Lat omittit, *quod Dominus est*.

dens. Hæc autem interrogat Dominus, ut si vel dicant se nescire, interrogent ac discant, vel si dicant veritatem, credant: vel si nihil posssint dicere, confundantur et secedant, non audentes ultra interrogare illum.

## CAPUT XXIII.

### *De Miseria Pharisæorum.*

VERS. 1-3. « Tunc Jesus locutus est ad turbas et ad discipulos suos, dicens: In cathedra Moysis sederunt Scribæ et Pharisæi: omnia ergo quæcunque jusserint vos servare, servate et facite: secundum opera vero eorum nolite facere: dicunt enim, et non faciunt. » Quando eos confutavit, et ostendit incurabiliter ægrotantes, tunc de ipsis dicit, et de vita ac moribus illorum loquitur, admonens auditores, ne contemnant doctores, etiamsi corruptæ vitæ sint. Ostendit præterea quod legi non sit adversarius, sed malit servari ea quæ legis sunt, quamvis ea docentes indigni sint. Quæcunque enim dicunt doctores, illa Moysen putate dicere, imo Deum. Faciendane igitur omnia quæ dicunt, etiamsi mala fuerint? Dicimus igitur primum, quod docens nullum unquam audet adhortari in malum. Deinde ut demus hoc ut quis in malam vitam inhortetur, non tunc a Moysis cathedra, neque de lege loquitur. Dominus autem **123** dicit de his qui in cathedra Moysi sedent, hoc est, his qui ea quæ in lege babentur, docent. Eos igitur qui docent divinam legem, etiam si ipsi non faciant, audire oportet.

VERS. 4, 5. « Colligant autem onera gravia difficiliaque portatu, et imponunt in humeros hominum, cæterum digito suo nolunt ea movere. Omnia vero opera sua faciunt, ut spectentur ab hominibus. Dilatant autem phylacteria sua, et magnificant fimbrias palliorum suorum. » Onera gravia imponebant Pharisæi, cogentes homines ut implerent mandata legis, quamvis tenuia essent et difficilia observatu. Vel etiam plura legis mandata aggravarunt, traditiones quasdam ultra leges tradentes, quas ipsi digito suo non movent, nihil operantes, neque ad talia onera propius accedentes. Quando enim qui docet, non solum docet, sed et operatur, videtur simul cum his qui docentur, laborare et operari. Cum vero ille me onerat, ipse autem nihil agit, magis me gravat: inde ostendens ea quæ dicit fieri non posse. Arguit igitur Dominus Pharisæos, eo quod nolunt simul gestare onera mandatorum et cooperari. Non solum autem nihil boni faciunt, sed et simulant quasi faciant: atqui etiamsi facerent, si tamen ut viderentur facerent, auferretur utique illorum merces: nunc autem quanta condemnatione digni, quando neque faciunt, et videri volunt quasi faciant? Quid autem faciunt? Dilatant phylacteria sua, et magnificant fimbrias vestium suarum. Hoc autem ita se habebat. In lege habetur: **Alligabitis ea in manu vestra, eruntque immota**

A σπέρματος καταγόμενος. Ταῦτα δὲ ἐρωτᾷ ὁ Κύριος, ὡς ἂν ἢ εἰπόντες, ὅτι, Οὐκ οἴδαμεν, ἐρωτήσωσι καὶ μάθωσιν, ἢ εἰπόντες τὸ ἀληθὲς, πιστεύσωσιν, ἢ μηδὲν ἔχοντες εἰπεῖν, καταισχυνθῶσι καὶ ἀναχωρήσωσι, μηκέτι τολμῶντες ἐρωτῆσαι αὐτόν.

## ΚΕΦΑΛ. ΚΓ'.

### Περὶ τοῦ ταλανισμοῦ τῶν Φαρισαίων.

« Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ, λέγων· Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. Λέγουσι γὰρ καὶ οὐ ποιοῦσιν. » Ὅτε αὐτοὺς ἐπεστόμισε, καὶ ἔδειξεν ἀνίατα νοσοῦντας, τότε περὶ αὐτῶν λέγει· περὶ βίου B δὲ καὶ πολιτείας διαλέγεται, διορθούμενος τοὺς ἀκούοντας, ἵνα μὴ καταφρονῶσι τῶν διδασκάλων, κἂν διεφθαρμένου βίου ὦσιν. Ἅμα δὲ δείκνυσιν ὅτι οὐδὲ τῷ νόμῳ ἐναντιοῦται, ἀλλὰ μᾶλλον θέλει τὰ τοῦ νόμου πράττεσθαι, κἂν οἱ ταῦτα διδάσκοντες ἀνάξιοι ὦσιν. Ὅσα γὰρ, φησὶ, λέγουσιν οἱ διδάσκαλοι, τὸν Μωϋσῆν νομίζετε ταῦτα λέγειν, μᾶλλον δὲ τὸν Θεόν. Ἆρ' οὖν πάντα ὅσα λέγουσι δεῖ ποιεῖν, κἂν κακὰ ὦσι; Λέγομεν οὖν πρῶτον μὲν ὅτι οὐδὲ τολμήσειέ ποτε ὁ διδάσκων προτρέψασθαί τινα εἰς κακόν. Ἔπειτα εἰ καὶ δῶμεν τοῦτο, ὅτι ἔστω τις εἰς κακὸν βίον προτρεπόμενος, οὐκ ἀπὸ τῆς Μωσέως καθέδρας ὁ τοιοῦτος, οὐδ' ἀπὸ τοῦ νόμου φθέγγεται. Ὁ δὲ Κύριος περὶ τῶν ἐν τῇ Μωσέως καθέδρᾳ καθημένων λέγει, τουτέστι, τῶν τὰ τοῦ νόμου διδασκόν- C των. Δεῖ οὖν τῶν διδασκόντων τι ἀπὸ τοῦ θείου νόμου ἀκούειν, κἂν αὐτοὶ μὴ ποιῶσιν.

« Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά· πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν. » Φορτία βαρέα ἐπετίθεσαν οἱ Φαρισαῖοι, ἀναγκάζοντες τοὺς ἀνθρώπους τὰς ἐντολὰς τοῦ νόμου ἐκπληροῦν, λεπτὰς οὔσας καὶ δυσφυλάκτους· ἢ καὶ πλείω τῶν ἐντολῶν τοῦ νόμου ἐβάρυνον, παραδόσεις τινὰς παραδιδόντες ἐπέκεινα τοῦ νόμου, αὐτοὶ δὲ τῷ δακτύλῳ αὐτῶν μὴ κινοῦντες, τουτέστι, μηδὲν αὐτοὶ ἐνεργοῦντες, μηδὲ πλησιάσαι τολμῶντες τοῖς τοιούτοις D φορτίοις. Ὅταν γὰρ ὁ διδάσκων οὐ μόνον διδάσκει, ἀλλὰ καὶ πράττει, δοκεῖ συμβαστάζειν καὶ συνεργεῖν τοῖς διδασκομένοις· ὅταν δὲ ἐμὲ μὲν ἐπιφορτίζῃ, αὐτὸς δὲ μηδὲν πράττῃ, βαρύνει μᾶλλον ἐμὲ· δεικνύων ἐξ ὧν αὐτὸς ἀμελεῖ, ὡς ἀδύνατόν ἐστι κατορθωθῆναι ἃ λέγει. Ἐγκαλεῖ τοίνυν ὁ Κύριος τοῖς Φαρισαίοις, ὡς μὴ θέλουσι συμβαστάζειν τὰ βάρη τῶν ἐντολῶν καὶ συμπράττειν. Οὐ μόνον δὲ οὐ ποιοῦσί τι ἀγαθὸν, ἀλλὰ καὶ σχηματίζονται ὡς ποιοῦντες· καίτοι κἂν ἐποίουν, διὰ δὲ τὸ θεαθῆναι ἐποίουν, ὑφῄρειτο ἂν αὐτοῖς τὸ κέρδος· νῦν δὲ πόσης καταδίκης ἄξιοι, ὅταν οὔτε ποιῶσι, καὶ θέλωσι δοξάζεσθαι ὡς ποιοῦντες; Τί δὲ ποιοῦσι; Πλατύνουσι τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα

τῶν ἱματίων αὐτῶν. Τοῦτο δὲ τοιοῦτον ἦν· ἐν τῷ νόμῳ ἔκειτο· Ἐφάψατε ἐπὶ τῆς χειρὸς ὑμῶν, καὶ ἔστοι ἀσάλευτα πρὸ ὀφθαλμῶν ὑμῶν. Ἔγραφον οὖν ἐπὶ δύο διφερίων, τουτέστι χαρτίων, τὰς δέκα τοῦ νόμου ἐντολὰς, καὶ ἐτίθεσαν τὸ μὲν ἓν ἐπὶ τοῦ μετώπου αὐτῶν. τὸ δὲ ἕτερον ἐκρέμων ἐπὶ τῆς δεξιᾶς· τὰ δὲ κράσπεδα ἐποίουν ἐπὶ τῶν ἄκρων τῶν ἱματίων, ὑακίνθινά τινα ἢ κόκκινα κλώσματα οἷον κροσσούς· Καὶ τοῦτο δὲ ἐν τῷ νόμῳ εὗρον κείμενον, ἵνα ὁρῶντες αὐτὰ, μὴ ἐπιλανθάνωνται τῶν ἐντολῶν τοῦ Θεοῦ. Ὁ δὲ Θεὸς οὐ τοῦτο ἐβούλετο, ἀλλὰ τὸ μὲν ἔχειν ἐπὶ τῆς χειρὸς τὸ φυλακτήριον, ἐσήμαινε τὸ δεῖν ἐργάζεσθαι τὰς ἐντολάς· τὸ δὲ κόκκινα εἶναι τὰ κράσπεδα, ἐδήλου ὅτι δεῖ ἡμᾶς τῷ αἵματι τοῦ Χριστοῦ σημειοῦσθαι· ἐκεῖνοι δὲ ἐποίουν τά τε φυλακτήρια μεγάλα καὶ τὰ κράσπεδα, ἵνα δόξωσι νομοφύλακες εἶναι τοῖς ὁρῶσι ταῦτα.

« Φιλοῦσι δὲ τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων Ῥαββὶ, Ῥαββί. » Βαβαί! οἷον λέγει; Διότι γὰρ φιλοῦσι, διὰ τοῦτο κατακρίνονται. Εἰ δὲ ὁ μόνον φιλῶν τὴν πρωτοκλισίαν ψέγεται, ὁ καὶ πάντα πράττων ὑπὲρ ταύτης, τίνος ἄξιος; « Καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς· » ἔνθα μᾶλλον ὤφειλον καὶ νοὺς ἄλλους διδάσκειν ταπεινοφρονεῖν, ἐκεῖ αὐτοὶ ἐκεῖνοι διεφθείροντο. Πάντα γὰρ ἔπραττον ὑπὲρ δόξης· καὶ ταῦτα πράττοντες οὐκ ἐπῃσχύνοντο, ἀλλὰ μᾶλλον ἤθελον καλεῖσθαι Ῥαββὶ, Ῥαββὶ, τουτέστι, διδάσκαλοι.

« Ὑμεῖς δὲ μὴ κληθῆτε Ῥαββὶ, εἷς γάρ ἐστιν ὑμῶν ὁ διδάσκαλος, ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς, εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Μηδὲ κληθῆτε καθηγηταί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητὴς, ὁ Χριστός. Ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος. Ὅστις δὲ ὑψώσει ἑαυτὸν, ταπεινωθήσεται, καὶ ὅστις ταπεινώσει ἑαυτὸν, ὑψωθήσεται. » Οὐ κωλύει ὁ Χριστὸς τὸ καλεῖσθαί τινα διδάσκαλον, ἀλλὰ τὸ ἐμπαθῶς θέλειν καλεῖσθαι, καὶ πάντα τρόπον σπουδάζειν εἰς τὸ κληθῆναι. Τὸ γὰρ διδασκαλικὸν ἀξίωμα μόνῳ πρόσεστι κυρίως Θεῷ. Πατέρα δὲ μὴ καλέσητε, λέγων, οὐ κωλύει τὴν πρὸς τοὺς γονεῖς τιμὴν, ἐπεὶ θέλει ἡμᾶς τιμᾷν τοὺς γονεῖς, καὶ μάλιστα τοὺς πνευματικοὺς πατέρας, ἀλλὰ πρὸς τὸ τὸν ἀληθῆ Πατέρα ἐπιγινώσκειν, τουτέστι τὸν Θεὸν, ἐνάγει· κυρίως γὰρ πατὴρ ὁ Θεός. Οἱ δὲ σωματικοὶ, οὐκ αἴτιοι τῆς γεννήσεως, ἀλλ' ὑπουργοὶ καὶ συναίτιοι. Δεικνύων δὲ τὸ κέρδος τῆς ταπεινοφροσύνης, φησὶν ὅτι, Ὁ μείζων ὑμῶν ὀφείλει εἶναι ὑμῶν διάκονος καὶ ἔσχατος. Ὅς γὰρ ὑψώσει ἑαυτὸν οἰηθεὶς εἶναί τι, ταπεινωθήσεται, ἐγκαταλειφθεὶς ὑπὸ τοῦ Θεοῦ.

« Οὐαὶ δὲ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι, διὰ τοῦτο λήψεσθε περισσότερον κρῖμα. » Ὑποκριτὰς τούτους καλεῖ, ὡς ἐπαγγελλομένους εὐλάβειαν καὶ μηδὲν ποιοῦντας ἄξιον τῆς ἐπαγγελίας, ἀλλὰ προφάσει τοῦ προσεύχεσθαι μακρὰ, τουτέστιν ἐπὶ πολὺν καιρὸν, κατεσθίοντας τὰ τῶν χηρῶν χρήματα. Τῷ ὄντι γὰρ ἐμπαῖκται ἦσαν, καταγελῶντες τῶν ἁπλουστέρων καὶ

ante oculos vestros. Scribebant igitur in duabus chartulis decalogum legis, et ponebant unam super frontem, et alteram super dextram suspendebant. Fimbrias autem faciebant in summis vestibus, violaceis et coccineis clavis. Et hoc invenerant in lege, ut videntes illa, non obliviscerentur mandatorum Dei. At Deus hoc nolebat, sed jubendo ferre super manum phylacterium, significare volebat mandata operari eos oportere. Per coccineas autem fimbrias declarabat quod oporteat nos sanguine Domini signari. Illi vero faciebant phylacteria magna et fimbrias, ut videntibus illa appareant observatores esse legis.

VERS. 6, 7. « Amantque primos accubitus in cœnis, et primas cathedras in synagogis, et salutationes in foro, et vocari ab hominibus Rabbi, Rabbi. » Papæ quid dicit? Idcirco condemnantur, quia amant. Quod si solum amans primos accubitus condemnatur, qui nihil non facit pro illis, qua condemnatione dignus? « Et primas cathedras in synagogis; » ubi magis debebant docere alios humilitatem, eo loco illi ipsi majori fastu corrumpebantur. Omnia enim pro gloria faciebant, et hæc facientes non confundebantur, sed interim vocari volebant **124** Rabbi, Rabbi, hoc est, doctores.

VERS. 8-12. « Vos autem nolite vocari Rabbi: unus est enim magister vester, nempe Christus, omnes autem vos fratres estis. Et patrem nolite vocare vobis super terram: unus est enim Pater vester, qui in cœlis est. Nec vocemini magistri: unus enim est magister vester, nempe Christus. Qui major est vestrum, erit vester minister. Qui autem se exaltaverit, humiliabitur: et qui se humiliaverit, exaltabitur. » Non prohibet Christus vocari quempiam magistrum, sed tanta affectione velle vocari, et omnibus modis curare ut ita vocetur. Docendi enim dignitas proprie solius est Dei. Patrem autem ne vocetis, dicens, non prohibet honorem parentibus debitum, quia vult nos venerari parentes et maxime spirituales patres, sed inducit ut verum Patrem agnoscamus, hoc est, Deum. Deus enim proprie pater est. Carnales enim non sunt auctores nativitatis, sed cooperarii et ministri. Porro lucrum humilitatis indicans dicit: Qui major est vestrum, debet esse vester minister et ultimus. Qui enim exaltaverit semetipsum, aliquid se esse ratus, humiliabitur derelictus a Deo.

VERS. 14. « Væ autem vobis, Scribæ et Pharisæi hypocritæ, quia comeditis domos viduarum, dum sub prætextu precibus prolixis precamini: propter hoc plus accipietis damnationis. » Hypocritas hos vocat, ut promittentes pietatem, et nihil promissione dignum facientes: sed prætexentes se precari longum, hoc est, multo tempore, devorant viduarum facultates. Re autem ipsa illusores sunt, ac derident simpliciores, et exsugunt

eos. «Et plus condemnationis accipietis,» eo quod ea quæ viduarum, comeditis, quibus oportebat magis suppeditare, et ipsarum inopiam sublevare. Vel aliter, multo plus damnationis accipietis, eo quod prætextu boni operis malum quiddam committitis, nempe precando viduarum bona comedentes. Majori enim condemnatione dignus, qui prætextu boni in malum allicit.

VERS. 13. «Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia clauditis regnum cœlorum ante homines: vos enim non ingredimini, neque advenientes sinitis ingredi.» Non solum, inquit, vos increduli estis, et vitam habetis corruptam: sed et alios docetis ne mihi credant, et per vitæ vestræ exemplum corrumpitis. Solet enim populus principibus fieri similis, et magis si illos in malum videt propensos. Omnis itaque malus doctor et princeps videat quid lucretur, nempe væ, eo quod per suam vitam non sinit alios in bono proficere.

VERS. 15. « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia circumitis mare at aridam, ut faciatis unum proselytum: et cum fuerit factus, facitis eum filium gehennæ duplo magis quam vos estis.» Non solum, inquit, Judæos corrumpitis, sed et eos qui ex idolorum **125** cultu ad Judaicam religionem accesserunt. Hos enim proselytos nominabat. Studetis quidem convertere aliquem ad Judaicam conversationem et ad circumcisionem: quando autem judaizat, tunc perit a vestra infectus malitia: filius autem gehennæ, qui dignus est illa, cum qua familiaritatem habet in illa flagraturus.

VERS. 16-22. «Væ vobis, duces cæci, qui dicitis: Quicunque juraverit per templum, nihil est: qui autem juraverit per aurum templi, debet. Stulti et cæci, quid enim majus est, aurum, an templum quod sanctificat aurum? Et quicunque juraverit per altare, nihil est: quicunque autem juraverit per donum quod est super illud, debet. Stulti ac cæci, quid enim majus est, donum, an altare quod sanctificat donum? Qui ergo juraverit per altare, jurat per illud et per omnia quæ super illud sunt. Et qui juraverit per templum; jurat per illud et per eum qui habitat in ipso. Et qui juraverit per cœlum, jurat per thronum Dei et per eum qui sedet super illum.» Cæcos eos nominat, quia nolebant docere ea quæ decebat: et quæ minori loco debebant coli, venerebantur: quæ præcipua erant, in secundum ordinem referebant. Etenim aurum in templo, et Cherubin, et aureum urceum præferebant templo: ideo et multo docebant quod nihil sit per templum jurare, sed per aurum in templo jacens, quod tamen propterea venerabile erat, quia in templo continebatur. Et dona quæ in altario ponebantur, digniora dicebant altario ipso: atque adeo Pharisæi sic docebant, ut si quis jurasset per aureum vas, vel bovem vel ovem oblatam in sacrificium, et deinde pejerasset, similia persolveret. Donum enim altario

ἐκμυελίζοντες αὐτούς. « Διὸ καὶ περισσότερον λήψεσθε κρῖμα, » διότι ἅπαντα τὰ τῶν χηρῶν κατεσθίετε, αἷς ἔδει μᾶλλον ἐχορηγεῖν, καὶ τὴν πενίαν αὐτῶν διορθοῦσθαι. Καὶ ἄλλως δὲ, περισσότερον ἔσται τὸ κατάκριμα, ὅτι διὰ προσχήματος ἀγαθοῦ ἔργου, τοῦ προσεύχεσθαι, πονηρόν τι κατεργάζονται, τὸ κατεσθίειν τὰ τῶν χηρῶν· πλείστης γὰρ κατακρίσεως ἄξιος ὁ διὰ προσχήματος ἀγαθοῦ δελεάζων εἰς τὸ κακόν.

« Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. » Οὐ μόνον, φησὶν, ὑμεῖς ἄπιστοί ἐστε, καὶ τὸν βίον διεφθαρμένον ἔχετε, ἀλλὰ καὶ ἑτέρους διδάσκετε μὴ πιστεύειν ἐμοί, καὶ διὰ τοῦ βίου τοῦ ὑμετέρου καὶ τοῦ ὑποδείγματος διαφθείρετε. Εἴωθε γὰρ ὁ λαὸς ὁμοιοῦσθαι τοῖς ἄρχουσι, καὶ μᾶλλον εἰ πρὸς τὸ κακὸν ῥέποντας ὁρᾷ τούτους. Πᾶς οὖν πονηρὸς διδάσκαλος καὶ ἄρχων ὁράτω τί κερδαίνει, ὅτι τὸ οὐαὶ, ὡς διὰ τοῦ οἰκείου βίου μὴ ἐῶν τινας προκόπτειν εἰς τὸ ἀγαθόν.

« Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. » Οὐ μόνον, φησὶ, τοὺς Ἰουδαίους διαφθείρετε, ἀλλὰ καὶ τοὺς ἐξ εἰδωλολατρῶν προσελθόντας τῇ Ἰουδαϊκῇ θρησκείᾳ· τούτους γὰρ προσηλύτους ὠνόμαζον. Σπουδάζετε μὲν γὰρ ἐπιστρέψαι τινὰ πρὸς τὴν Ἰουδαϊκὴν ἀγωγὴν καὶ περιτομήν· ὅταν δὲ Ἰουδαΐσῃ, τότε ἀπόλλυται, διαφθειρόμενος ὑπὸ τῆς ὑμῶν κακίας· υἱὸς δὲ γεέννης, ὁ ἄξιος ταύτης, καὶ οἰκειότητά τινα πρὸς αὐτὴν ἔχων ὥστε καυθῆναι ὑπ' αὐτῆς.

« Οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοὶ, οἱ λέγοντες· Ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει. Μωροὶ καὶ τυφλοὶ, τί γὰρ μεῖζόν ἐστιν, ὁ χρυσὸς, ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν; Καὶ ὃς ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. Μωροὶ καὶ τυφλοὶ, τί γὰρ μεῖζον, τὸ δῶρον, ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; Ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ, καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικοῦντι αὐτὸν, καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ, καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ. » Τυφλοὺς αὐτοὺς ὀνομάζει, ὡς μὴ θέλοντας τὰ πρέποντα διδάσκειν, καὶ τὰ μὲν ἐλαχιστότερα τιμῶντας, τὰ δὲ τιμῆς ἄξια δευτέρου λόγου ἀξιοῦντας. Καὶ γὰρ τὸν χρυσὸν τὸν ἐν τῷ ναῷ, καὶ τὰ Χερουβὶμ καὶ τὴν στάμνον τὴν χρυσῆν προετίμων αὐτοῦ ναοῦ. Διὸ καὶ τοὺς πολλοὺς ἐδίδασκον ὅτι οὐδέν ἐστι τὸ κατὰ τοῦ ναοῦ ὀμνύειν, ἀλλὰ τὸ εἰς τὸν χρυσὸν τὸν τῷ ναῷ περικείμενον, ὃς διὰ τοῦτο πάντως αἰδέσιμος ἦν, ὅτι τῷ ναῷ περιέκειτο. Καὶ τὰ δῶρα δὲ τὰ ἐπὶ τοῦ θυσιαστηρίου τιθέμενα, τιμιώτερα ἔλεγον εἶναι αὐτοῦ τοῦ θυσιαστηρίου· ὥστε καὶ οὕτως ἐδογμάτιζον οἱ Φαρισαῖοι, ὅτι ἐάν τις ὤμοσε κατὰ τοῦ χρυσοῦ σκεύους, ἢ βοὸς ἢ προβάτου εἰς θυσίαν προσαχθέν-

τος, εἶτα ἐπιώρκησε, κατεδικάζετο τὰ ἴσα ἀποτίσαι. A Τὸ γὰρ δῶρον τοῦ θυσιαστηρίου προετίμων διὰ τὰ ἐκ τῶν θυσιῶν κέρδη. Εἰ δὲ κατὰ τοῦ ναοῦ ὀμόσας ἐπιώρκησεν, ἐπεὶ οὐκ ἠδύνατο ὅμοιον τῷ ναῷ κτίσαι, διὰ τοῦτο ἀπελύετο· καὶ ἐδόκει λοιπὸν ἐλαφρότερος εἶναι ὁ ὅρκος ὁ εἰς τὸν ναὸν, διὰ τὸ φιλοκερδὲς τῶν Φαρισαίων· ἐπὶ μὲν οὖν τῆς παλαιᾶς, οὐ συγχωρεῖ ὁ Χριστὸς μεῖζον εἶναι τὸ δῶρον τοῦ θυσιαστηρίου, ἐφ' ἡμῶν δὲ τὸ θυσιαστήριον ὑπὸ τῶν δώρων ἁγιάζεται μᾶλλον· εἰς γὰρ τὸ Δεσποτικὸν σῶμα αὐτὸ ἐκεῖνο μεταβάλλονται θείᾳ χάριτι οἱ ἄρτοι· διὸ καὶ ἁγιάζεται ὑπό τούτων τὸ θυσιαστήριον.

« Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν. Ταῦτα B ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι· ὁδηγοὶ τυφλοὶ, οἱ διυλίζοντες τὸν κώνωπα, την δὲ κάμηλον καταπίνοντες. » Πάλιν ὀνειδίζει αὐτούς ὡς ἀνοήτους, διότι τῶν μειζόνων ἐντολῶν καταφρονοῦντες, ἐν τοῖς μικροῖς ἐζήτουν τὴν ἀκρίβειαν· οὐδὲ τὴν τοῦ κυμίνου δεκάτωσιν παρορῶντες, ἀλλὰ κἀκεῖνο ἀποδεκατοῦντες· καὶ εἴ τις αὐτοὺς κατεμέμψατο ὡς μικρολόγους, προέφερον ὅτι ὁ νόμος τοῦτο λέγει. Κρεῖττον δὲ ἦν καὶ θεαρεστότερον, εἰ τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν ἀπῄτουν παρὰ τοῦ λαοῦ. Τίς δέ ἐστιν ἡ κρίσις; Τὸ μηδὲν ἄδικον καὶ ἄλογον ποιεῖν, ἀλλὰ πάντα κεκριμένως καὶ μετὰ λόγου. Αὐτίκα γὰρ τῇ κρίσει ἕπεται καὶ ὁ ἔλεος. Ὁ γὰρ κεκριμένως ποιῶν πάντα, οἶδε καὶ τίνας δεῖ ἐλεεῖν· τῷ δὲ ἐλέῳ ἕπε- C ται ἡ πίστις. Ὁ γὰρ ἐλεῶν πιστεύει πάντως ὅτι οὐδὲν ἀπολέσει, ἀλλὰ πάντα λήψεται· ἄλλως τε, δεῖ ἐλεεῖν, ἀλλὰ καὶ πιστεύειν Θεῷ ἀληθινῷ. Πολλοὶ γὰρ τῶν Ἑλλήνων ἔλεον μὲν εἶχον, μὴ πιστεύοντες δὲ εἰς τὸν ζῶντα Θεὸν, οὐκ εἶχον τῷ ἐλέῳ ἑπομένην τὴν πίστιν. Δεῖ οὖν ἕκαστον τῶν διδασκάλων ἀποδεκατοῦν ἀπὸ τοῦ λαοῦ αὐτοῦ, τουτέστιν, ἀπαιτεῖν ἀπὸ τῶν δέκα αἰσθήσεων, τῶν πέντε σωματικῶν καὶ τῶν πέντε ψυχικῶν, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· τὸ δὲ, Ταῦτα ἔδει ποιῆσαι, εἶπεν ὁ Κύριος, οὐ προτρεπόμενος ἐπὶ τὸ ἀποδεκατοῦν τὰ λάχανα, ἀλλ' ἵνα μὴ δόξῃ ἀντινομοθετεῖν τέως τῷ Μωσεῖ. Ὁδηγοὺς δὲ τυφλοὺς αὐτοὺς ὀνομάζει, διότι αὐχοῦντες διδάσκειν καὶ πάντα εἰδέναι, οὐδένα ὠφέλουν, D ἀλλὰ καὶ μᾶλλον πάντας διέφθειρον, εἰς βόθρον ῥίπτοντες ἀπιστίας. Τὸν κώνωπα δὲ διυλίζοντας τούτους ὀνομάζει, ὡς τὰ μὲν μικρὰ ἁμαρτήματα παραφυλαττομένους, τὴν δὲ κάμηλον, ἤτοι τὰ μεγάλα, καταπίνοντας καὶ παρορῶντας.

« Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας. Φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν. » Τὰς παραδόσεις τῶν πρεσβυτέρων κρατοῦντες, ἔπλυνον τὰ ποτήρια καὶ τὰς παροψίδας, τουτέστι, τοὺς πίνακας ἐν οἷς τὰ ὄψα τίθενται· ἐξ ἁρπαγῆς δὲ ἔπινον οἶνον, καὶ ἐδέσματα ἤσθιον, ἃ ἐμόλυνον μᾶλλον αὐτά. Μὴ κτήσῃ οὖν, φησὶν,

præferebant propter hostiarum lucra. Quod si quis per templum jurans pejerasset, non potuisset simile templo ædificare, et propterea absolvebatur, videbaturque postea levius esse juramentum per templum, propter Pharisæorum avaritiam. Itaque in veteri non permittit Christus donum majus esse altario. Apud nos autem altarium a donis magis sacratur : panes enim in dominicum corpus divina gratia convertetur : ideo et sanctificatur ab eis altare.

VERS. 23, 24. « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia decimatis mentham, et anethum, et cyminum, et reliquistis quæ graviora sunt legis, judicium ac misericordiam et fidem. Hæc oportebat facere, et illa non omittere. Duces cæci, excolantes calicem, camelum autem glutientes. » Iterum objurgat eos ut insipientes, eo quod contemnentes mandata majora, in parvis diligentes erant, et cymini decimationem non negligebant, sed illud quoque decimabant. Et si quis reprehendisset ut parcos, prætexebant legem hoc docere. Melius autem fuisset ac **126** Deo gratius, si judicium et misericordiam et fidem expetissent a populo. Quid autem est judicium? Nihil injustum et absurdum facere, sed omnia cum judicio et ratione. Statim enim judicium sequitur et misericordia. Qui enim discrete facit omnia, scit et quod debeat misereri : misericordiam autem sequitur fides. Qui enim miseretur, credit omnino quod nihil perdat, sed omnia accipiat. Vel aliter, oportet misereri, et credere Deo vero. Multi enim paganorum misericordes quidem fuerunt, non credentes autem in Deum vivum, non habuerunt misericordiæ comitem fidem. Oportet autem unumquemque doctorum decimare a populo suo, hoc est, petere a decem sensibus, hoc est, a quinque corporalibus, et quinque animalibus, judicium misericordiam et fidem. Hæc quidem oportebat facere, dicit Christus non adhortans ad decimandum herbas, sed ne videretur tunc contrarius Moysi. Duces autem cæcos eos nominat, eo quod gloriabantur se omnia scire et docere, nullique proderant, sed omnes potius corrumpebant in barathrum infidelitatis projicientes. Culicem autem excolantes eos nominat, ut parva peccata observantes, camelum autem, hoc est, magna deglutientes et despicientes.

VERS. 25, 26. « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia purgatis exteriorem poculi patinæque partem, cæterum intus plena sunt rapina et intemperantia. Pharisæe cæce, purga prius quod est intra poculum et patinam, ut et exteriores horum partes puræ reddantur. » Qui traditiones seniorum observabant, lavabant calices et paropsides, hoc est patinas, in quibus opsonia ponuntur: ex rapina autem bibebant vinum, et comedebant cibos qui magis coinquinabant. Dicit igitur : Ne possideas vi-

num injuste partum, et mundus etiam intus calix erit. Vel non de calicibus et patinis dicit, sed de externa et corporali habitudine, et interna et spirituali. Tu enim, inquit, exteriores poculi partes, hoc est exteriorem tuam habitudinem, fricas, ut elegantiores sint : intus autem te imples sordibus, hoc est, rapinis et injuria alios afficis. Oportet autem te intus lavari, hoc est in anima, ut puritate animæ cohonestetur et exterior dignitas.

Vers. 27, 28. « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia similes estis sepulcris dealbatis, quæ foris quidem apparent speciosa, intus autem plena sunt ossibus mortuorum omnique spurcitia : sic et vos foris quidem apparetis hominibus justi, intus autem pleni estis fictione et iniquitate. » Et hæc parabola similiter intelligitur ut præcedens. Dabant enim operam ut exteriori habitudine decori viderentur, sicut sepulcra dealbata, id est gypso et asbesto dealbata, intus autem omni et mortuorum et putridorum operum immunditia erant pleni.

Vers: 29-31. « Væ vobis, Scribæ et Pharisæi hypocritæ, 127 quia ædificatis sepulcra prophetarum, et ornatis monumenta justorum, ac dicitis : Si fuissemus in diebus patrum nostrorum, non fuissemus socii eorum in sanguine prophetarum. Itaque testimonio estis vobismetipsis, quod filii sitis eorum qui prophetas occiderunt. » Miseros dicit illos, non quod sepulcra ædificant prophetarum (hoc enim Deo gratum), sed quia ita simulabant, et patres suos condemnabant, deteriores illis exsistentes, malitiaque eos excellentes mentiebantur manifeste, quia Si fuissemus in diebus patrum nostrorum, non occidissemus prophetas: ipsis enim prophetarum Dominum rabidi occidere cupiebant. Idcirco et dicit :

Vers. 32, 33. « Vos quoque implete mensuram patrum vestrorum. Serpentes, progenies viperarum, quomodo effugietis judicium gehennæ » Non imperat, aut compellit illos ut se occidant, dicens, Implete et vos mensuram patrum vestrorum: sed hoc est quod dicit : qui serpentes estis, et talium patrum progenies, et in tanta insania obstinati estis, ut incurabiles sitis : reliquum et cum operam dabitis, ut patres vestros vincatis, hoc erit quando me occidetis. Tunc enim summum malitiæ verticem apprehendetis, cum omissam a patribus vestris cædem implebitis. Cum igitur tales sitis, quomodo pœnam effugietis ?

Vers. 34. « Ideo ecce ego mitto ad vos prophetas et sapientes, et scribas, et illorum aliquot occidetis, crucifigetisque, et illorum nonnullos flagellabitis in synagogis vestris, et persequemini de civitate in civitatem. » Arguit illos mendacii, dicentes quod Si fuissemus in diebus patrum nostrorum, non occidissemus prophetas. Ecce enim ego, inquit, mitto prophetas, et sapientes, et scribas; attamen vos illos occidetis. De apostolis au-

A οἶνον ἐξ ἀδικίας, καὶ γίνεται λοιπὸν τὸ ἔσωθεν τοῦ ποτηρίου καθαρόν· ἢ οὐ περὶ ποτηρίων καὶ πινάκω λέγει, ἀλλὰ περὶ τῆς σωματικῆς καὶ ἔξω καταστάσεως, καὶ τῆς ἔσω καὶ πνευματικῆς. Σὺ μὲν γὰρ, φησὶ, τὸ ἔξω σοῦ ποτηρίου, τουτέστι τὴν ἔξω σου κατάστασιν, σχηματίζεις εἰς τὸ σεμνοπρεπέστερον, τὸ δὲ ἔσω σου γέμει ῥύπου· ἁρπάζεις γὰρ καὶ ἀδικεῖς. Δεῖ δὲ τὰ ἔσω πλύνειν τουτέστι τὴν ψυχὴν, ἵνα τῇ καθαρότητι τῆς ψυχῆς συνεκλάμψῃ καὶ ἡ ἔξωθεν σεμνοπρέπεια.

« Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας· οὕτω καὶ B ὑμεῖς, ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας. » Καὶ αὕτη ἡ παραβολὴ ὁμοίως νοεῖται τῇ προλαβούσῃ· ἐσπούδαζον γὰρ τὴν μὲν ἔξωθεν κατάστασιν σεμνοὶ φαίνεσθαι, ὥσπερ οἱ τάφοι οἱ κεκονιαμένοι, τουτέστι τῇ γύψῳ καὶ τῇ ἀσβέστῳ λελευκασμένοι· τὰ δὲ ἔσω πάσης ἀκαθαρσίας καὶ νεκρῶν καὶ σεσηπότων ἔργων ἦσαν πλήρεις.

« Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε· Εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν· Ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. » Ταλανίζει αὐτοὺς οὐχ ὅτι C οἰκοδομοῦσι τούς τάφους τῶν προφητῶν· τοῦτο γὰρ θεάρεστον· ἀλλ' ὅτι προσποιούμενοι ταῦτα, καὶ δῆθεν καταγινώσκοντες τῶν πατέρων αὐτῶν, χείρονα ἐκείνων ἐποίουν, καὶ ὑπερηκόντισαν ἐκείνους τῇ κακίᾳ, ψευδόμενοι προφανῶς, ὅτι, Εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἐφονεύομεν τούς προφήτας· αὐτοὶ γὰρ τὸν τῶν προφητῶν Δεσπότην ἐλύττων φονεῦσαι. Διὸ καὶ φησιν·

« Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν· ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φυγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης ; » Οὐκ ἐπιτάττων αὐτούς, ἢ συνωθῶν πρὸς τὸ φονεῦσαι αὐτὸν, λέγει τὸ, Πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν, ἀλλὰ τοιοῦτόν τι λέγει· Ἐπειδὴ ὄφεις ἐστὲ καὶ γεννήματα τοιούτων πατέρων, καὶ εἰς τοσαύτην κακίαν ἐξετραχηλίσθητε, D ὥστε ἀνιάτως ἔχειν, συντομώτερον σπουδάσατε νικῆσαι τούς πατέρας ὑμῶν· τοῦτο δὲ ἔσται, ἐὰν ἐμὲ φονεύσητε· αὐτὸ γὰρ τὸ ἀκρότατον τῆς κακίας καταλήψεσθε, ἐὰν τὴν ἐλλείπουσαν τοῖς πατράσιν ὑμῶν μιαιφονίαν ἀναπληρώσητε· πῶς οὖν τοιοῦτοι ὄντες, φύγητε τὴν κόλασιν ;

« Διὰ τοῦτο ἰδού ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας, καὶ σοφούς, καὶ γραμματεῖς· καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν. » Ἐλέγχει αὐτούς, ψευδῶς εἰπόντας, ὅτι Εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἐφονεύομεν τούς προφήτας. Ἰδοὺ γὰρ, φησίν, ἐγὼ ἀποστέλλω προφήτας, καὶ σοφούς, καὶ γραμματεῖς, ἀλλ' ὅμως ἀποκτενεῖτε αὐτούς.

Περὶ δὲ τῶν ἀποστόλων ταῦτα λέγει· τὸ γὰρ ἅγιον A Πνεῦμα, καὶ διδασκαλίαις αὐτοὺς κοσμῆσαν, γραμματεῖς ἐποίησε. τουτέστι τοῦ λαοῦ διδασκάλους, καὶ προφήτας, καὶ σοφίας πάσης πεπληρωμένους. Ἀποστέλλω δὲ, εἶπε, δεικνὺς τὸ τῆς θεότητος ἐξουσιαστικόν.

« Ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. » Ἐπὶ τοὺς τότε ὄντας Ἰουδαίους φησὶν ἥξειν πᾶν αἷμα ἀδίκως ἐκχυθέν. χεῖρον γὰρ τιμωρηθήσονται παρὰ τοὺς πατέρας αὐτῶν, οἱ μηδὲ μετὰ τοσαῦτα παραδείγματα σωφρονισθέντες· ὥσπερ B καὶ ὁ Λάμεχ παρὰ τὸν Κάϊν πλέον ἐκολάσθη, καίτοι οὐκ ἀδελφὸν ἀνελὼν, διότι οὐκ ἐσωφρονίσθη τῷ κατὰ τὸν Κάϊν ὑποδείγματι. Ἥξει οὖν, φησὶν, ἐφ' ὑμᾶς πᾶν αἷμα, ἀπὸ Ἄβελ ἕως Ζαχαρίου. Εὐκαίρως δὲ ἐμνήσθη τοῦ Ἄβελ. Ὡς γὰρ ὁ Ἄβελ διὰ φθόνον ἀνῃρέθη, οὕτω καὶ ὁ Χριστὸς φθονηθείς. Ποίου δὲ Ζαχαρίου ἐνταῦθα μέμνηται; Οἱ μὲν τοῦ ἐν τοῖς δώδεκα προφήταις φασὶ συναριθμουμένου· οἱ δὲ, τοῦ πατρὸς τοῦ Προδρόμου. λόγος γὰρ ἔχει παραδοθεὶς ἡμῖν, ὅτι τόπος τις ἦν ἐν τῷ ναῷ, ἐν ᾧ ἵσταντο αἱ παρθένοι. Ὁ τοίνυν Ζαχαρίας ἀρχιερεὺς ὤν, καὶ μετὰ τὸ τεκεῖν τὸν Χριστὸν τὴν Θεοτόκον ἔστησεν ἐν τῷ τόπῳ τῶν παρθένων· ἀγανακτήσαντες δὲ ἐπὶ τούτῳ οἱ Ἰουδαῖοι, ἀπέκτειναν αὐτὸν, ὡς μετὰ τῶν παρθένων τάξαντα γυναῖκα γεννήσασαν· οὐδὲν δὲ C θαυμαστὸν, εἰ καὶ ὁ πατὴρ τοῦ Προδρόμου εἶχε πατέρα Βαραχίαν ὀνόματι, ὥσπερ καὶ ὁ ἐν τοῖς δώδεκα προφήταις Βαραχίου λέγεται υἱός· εἰκὸς γὰρ ὥσπερ τὰ τούτων ὀνόματα συνέδραμον, οὕτω καὶ τὰ τῶν πατέρων αὐτῶν.

« Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος· λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. » Διπλασιάζει τὸ ὄνομα τῆς Ἱερουσαλὴμ, ἐλεῶν αὐτὴν καὶ ἀνακαλούμενος συμπαθῶς· D ὥσπερ γὰρ πρός τινα φιλουμένην μὲν δικαίως, καταφρονοῦσαν δὲ τοῦ φιλοῦντος, ἀπολογεῖται, μέλλων ἐπάγειν τὴν κόλασιν· αἰτιᾶται γὰρ αὐτὴν ὡς φονικὴν, καὶ ὅτι πολλάκις θέλοντος αὐτοῦ ἐλεῆσαι ταύτην, αὐτὴ οὐκ ἠθέλησε, ἀλλὰ τῷ διασκορπίζοντι αὐτὴν πειθομένη διαβόλῳ, καὶ ἀπάγοντι ἀπὸ τῆς ἀληθείας, ἥτις ἑνοειδές τι χρῆμά ἐστι, τὸν συνάγοντα Κύριον οὐκ ἐδέχετο· οὐδὲν γὰρ οὕτω σκορπίζει ἀπὸ Θεοῦ, ὡς ἁμαρτία· ὥσπερ αὖ συνάγει πρὸς Θεὸν τὸ ἀγαθὸν συνειδός· τὴν φιλοστοργίαν δὲ ἐνδεικνύμενος, τὸ τῆς ὄρνιθος ὑπόδειγμα τέθεικε. Διὸ ἐπεὶ οὐ θέλετε, ἀφίημι τὸν ναὸν ἔρημον. Ἐντεῦθεν δὲ μανθάνωμεν, ὅτι δι' ἡμᾶς κατοικεῖ καὶ τοὺς ναοὺς ὁ Θεός· ὅταν δὲ ἡμεῖς ἀπεγνωσμένοι ὦμεν, τότε καὶ οἱ ναοὶ ἀφίενται. Οὐ μὴ οὖν με ἴδητε ἄχρι

A tem hæc dicit, quos Spiritus sanctus doctrina ipsos exornans scribas fecit, hoc est, doctores populi, et sapientia omni et prophetia ornavit. Emitto autem, inquit, declarans suæ deitatis potestatem.

VERS. 35, 36. «Ut veniat super vos omnis sanguis justus qui effunditur super terram a sanguine Abel justi, usque ad sanguinem Zachariæ filii Barachiæ, quem occidistis inter templum et altare. Amen dico vobis, quod venient hæc omnia super generationem istam.» Super Judæos illos qui tunc erant, dicit, veniet omnis sanguis injuste effusus. Plus enim punientur, quam patres sui. Nam neque B post tanta exempla emendati fuerunt. Sic enim et Lamech post Cain plus punitus fuit, quamvis non intemerisset fratrem, eo quod non fuisset ad exemplum Cain emendatus. Veniet igitur, inquit, super vos omnis sanguis, ab Abel usque ad Zachariam. Opportune autem meminit Abelis. Sicut enim Abel propter invidiam interemptus est, ita et Christus occisus est. Cujus autem Zachariæ hoc loco meminit? 128 Alii dicunt illum fuisse unum de duodecim prophetis, alii patrem Præcursoris Domini. Habet enim ita narratio nobis tradita, quod locus quidam in templo fuerit, in quo stabant virgines. Zacharias igitur cum esset pontifex, postquam Deipara peperisset Christum, et statuisset illam in eo loco, indignati sunt contra eum Judæi, et occide- C runt eum, quod cum virginibus collocasset mulierem quæ pepererat. Non est enim mirabile quod etiam pater Præcursoris habuerit patrem Barachiam, sicut et is qui ex duodecim erat, dicitur Barachiæ filius. Verisimile enim quod sicut illi fuerunt cognomines, ita et patres ipsorum.

VERS. 37-39. «Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidas eos qui ad te missi sunt, quoties volui congregare filios tuos, quemadmodum gallina congregat pullos suos sub alas, et noluisti? Ecce relinquitur vobis domus vestra deserta. Dico enim vobis, haudquaquam me videbitis posthac, donec dicatis : Benedictus qui venit in nomine Domini.» Bis ponit nomen Jerusalem, misertus ejus, et magna cum compassione eam revocans. Expo- D stulans enim cum ea, quasi cum quadam vehementer dilecta, quæ diligentem contemnat, respondet inducturum se pœnam : unde arguit illam quasi sanguinariam, et quod sæpius volente se misereri ejus, ipsa noluerit, sed diabolum potius audierit, a quo dispersa, et a veritate, quæ uniendi vim habet, fuerit abducta, congregantem autem Dominum non susceperit. Nihil enim sic a Deo dispergit, ut peccatum : et nihil ita ad Deum aggregat, ut virtus. Ostendens autem misericordiam, avis exemplum ponit. Idcirco quia noluistis, relinquo templum desertum. Hoc loco discamus, quod propter nos Deus et templa inhabitat : quod si nos desperandi fuerimus, tunc tunc relinquuntur et templa. Non igitur me videbitis, inquit, usque ad se-

cundum adventum. Tunc etiam nolentes eum adorabunt, et dicent, « Benedictus qui venit. » *Posthac* autem intellige, postquam crucifixus fuero : non enim de hora quæ hæc dicebat, loquitur : nam postea sæpius eum viderunt : post crucifixionem autem nequaquam, nec visuri sunt, donec instet adventus ejus.

## CAPUT XXIV.

### *De consummatione, die et hora.*

VERS. 1, 2. « Et egressus Jesus discedebat a templo. Et acccesserunt ad eum discipuli ejus, ut ostenderent ei structuras templi. Jesus autem dixit illis : Nonne videtis hæc omnia? Amen dico vobis, non relinquetur hic lapis super lapidem, qui non destruetur. » Egressus a templo, ostendit quod a Judæis migraturus sit : 129 et sicut dixit quod Relinquatur vobis domus deserta, ita et facit. Prædicit quoque discipulis destructionem templi. Sapiebant enim et illi terrena, et stupebant ædificiorum pulchritudinem, et quasi Christo monstrabant : Ecce qualem domum relinquis desertam. unde abducit illos, ne adhæreant terrenis, et ad supernam Jerusalem transmittit, Neutiquam manebit hic lapis super lapidem, dicens : hyperbolicum usurpat sermonem, funditus periturum ædificium innuens.

VERS. 3. « Sedente autem eo in monte Olivarum, accesserunt ad eum discipuli secreto, dicentes : Dic nobis, quando hæc erunt, et quod signum adventus tui et consummationis sæculi? » Secreto accedunt, ut de magnis rebus interrogaturi. De duobus enim rogant, et quando hæc erunt, nempe destructio templi expugnatioque Jerusalem, et quod signum ipsius adventus.

VERS. 4. « Et respondens Jesus dixit eis, Videte ne quis vos seducat. Multi enim venient in nomine meo dicentes : Ego sum Christus, multosque seducent. » Multi, inquit, venient prædicantes se esse Christos. Nam Dositheus Samaritanus dicebat se prophetam a Mose prædictum, et Simon Samaritanus (*a*) magnam virtutem Dei se nominabat.

VERS. 6. « Audituri estis bella, et rumores bellorum : videte ne turbemini : oportet enim omnia fieri, sed nondum est finis. Consurget autem gens contra gentem, et regnum contra regnum, et erunt pestilentiæ, et fames, et terræmotus singulis locis. Hæc autem omnia initia sunt dolorum. » Bella dicit Romanorum in Hierosolymis. Non solum autem bella dicit futura, sed et fames et pestes : quandoquidem ira Dei in Judæos erit (*b*). Bella enim quis dixerit hominum incursiones, famem autem et pestem nunquam aliunde provenire quam a Deo. Deinde ne putent quod priusqnam prædi-

A τῆς δευτέρας παρουσίας. Τότε γὰρ καὶ ἄκοντες αὐτὸν προσκυνήσουσι, καὶ ἐροῦσι τό· « Εὐλογημένος ὁ ἐρχόμενος. » Τὸ δὲ ἀπ' ἄρτι, ἀντὶ τοῦ, μετὰ τὸ σταυρωθῆναι, νόησον, μὴ μέντοιγε τὴν ὥραν ἐκείνην καθ' ἣν ταῦτα ἔλεγε. Εἶδον γὰρ αὐτὸν ἀφ' οὗ ἐλάλησε ταῦτα πολλάκις· μετὰ μέντοι τὸ σταυρωθῆναι οὐκ εἶδον αὐτὸν, οὐδὲ ἴδωσιν ἄχρις ἂν ἐνστῇ ἡ παρουσία αὐτοῦ.

## ΚΕΦΑΛ. ΚΔ'.

### Περὶ τῆς συντελείας, ἡμέρας καὶ ὥρας.

« Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ, καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Βλέπετε ταῦτα πάντα; Ἀμὴν λέγω ὑμῖν,
B οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται. » Ἐξελθὼν ἀπὸ τοῦ ἱεροῦ, ἔδειξεν ὅτι ἀπὸ τῶν Ἰουδαίων μεταστήσεται. Καὶ καθὼς εἶπεν ὅτι Ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος, οὕτω δὴ καὶ ποιεῖ. Καὶ προλέγει τὴν κατάλυσιν τοῦ ναοῦ τοῖς μαθηταῖς· ἐπειδὴ γὰρ ἐκεῖνοι πρόσγεια φρονοῦντες, περὶ τὰ κάλλη τῶν οἰκοδομημάτων ἐπτόηντο, καὶ ὡσανεὶ ἐδείκνυον τῷ Χριστῷ· Ἴδε ποίου οἴκου κάλλη ἀφίης ἔρημα· ἀπάγει αὐτοὺς τοῦ μὴ προσηλῶσθαι τοῖς ἐπιγείοις, καὶ ἐπὶ τὴν ἄνω Ἱερουσαλὴμ παραπέμπει, Οὐ μὴ μείνῃ, λέγων, ὧδε λίθος ἐπὶ λίθον· τοῦτο δὲ εἶπε, τὴν παντελῆ ἀπώλειαν τῆς οἰκοδομῆς αἰνιττόμενος, καὶ ὑπερβολικὸν τὸν λόγον ποιούμενος.

« Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ κατ' ἰδίαν, λέγον-
C τες· Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος; » Ἰδίᾳ προσέρχονται, ὡς περὶ μεγάλων μέλλοντες ἐρωτῆσαι. Περὶ δύο γὰρ ἐρωτῶσι πραγμάτων· Πότε ταῦτα ἔσται, τουτέστιν ἡ κατάλυσις τοῦ ναοῦ καὶ ἡ ἅλωσις τῆς Ἱερουσαλὴμ, καὶ ἄλλο, Τί τὸ σημεῖον τῆς σῆς παρουσίας;

« Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός· καὶ πολλοὺς πλανήσουσιν. » Πολλοὶ, φησὶν, ἥξουσιν ἀνακηρύττοντες ἑαυτοὺς Χριστούς· καὶ γὰρ Δοσίθεος ὁ Σαμαρείτης ἔλεγεν ὅτι, Ἐγώ εἰμι ὁ ὑπὸ τοῦ Μωσέως προαγορευθεὶς προφήτης· καὶ Σίμων δὲ ὁ Σαμαρείτης μεγάλην τοῦ Θεοῦ δύναμιν ἑαυτὸν ὠνόμαζεν.

D « Μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ὁρᾶτε μὴ θροεῖσθε, δεῖ γὰρ τὰ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος· ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους· πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. » Πολέμους τοὺς ἐν Ἱεροσολύμοις λέγει τῶν Ῥωμαίων. Οὐ μόνον δὲ πολέμους λέγει γενήσεσθαι, ἀλλὰ καὶ λιμοὺς καὶ λοιμοὺς, δεικνύων, ὅτι θεήλατος ἔσται κατὰ τῶν Ἰουδαίων ἡ ὀργή. Τοὺς μὲν γὰρ πολέμους ἔχοι ἄν τις εἰπεῖν ἀπὸ τῆς τῶν ἀνθρώπων ἐπηρείας γινομένους· λιμοὺς δὲ καὶ λοιμοὺς, οὐδαμόθεν ἄλλοθεν ἢ ἀπὸ Θεοῦ πάντως. Εἶτα

(*a*) Edit. Lut. omisit, *Samaritanus*.

(*b*) Edit. Lut. omisit, *in Judæos erit*.

ὅνε μὴ νομίσωσιν ὅτι πρὶν ἢ κηρύξωσι συντελεσθήσεται ὁ κόσμος, φησί· Μὴ θορυβεῖσθε. Οὔπω γὰρ ἡ συντέλεια· οὐδὲ γὰρ ἅμα τῇ κατασκαφῇ τῆς Ἱερουσαλὴμ καὶ ἡ κοινὴ συντέλεια ἔσται. Ἔθνος δὲ ἐπὶ ἔθνος, καὶ βασιλείαν ἐπὶ βασιλείαν ἐγερθήσεσθαι λέγει, διὰ τὰ ἐσόμενα τοῖς Ἰουδαίοις κακὰ, ἅπερ εἰσὶν ἀρχὴ ὠδίνων. Ὥσπερ γὰρ αἱ ὠδῖνες γίνονται τῇ τικτούσῃ, καὶ οὕτω τίκτει, οὕτω καὶ ὁ παρὼν αἰὼν μετὰ τὰς συγχύσεις καὶ τοὺς πολέμους ἀπογεννήσει τὰ μέλλοντα.

« Τότε παραδώσουσιν ὑμᾶς εἰς θλίψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου· καὶ τότε σκανδαλισθήσονται πολλοὶ, καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους· καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς· καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. » Προλέγει τὰ συμβησόμενα κακὰ, παραθαῤῥύνων διὰ τοῦ προλέγειν τοὺς μαθητάς. Τὸ γὰρ ἀπροσδόκητον εἴωθεν ἐκφοβεῖν καὶ ταράττειν. Προομαλίζει οὖν τὸν φόβον διὰ τοῦ προαγορεύειν τὰ μέλλοντα δεινὰ, τοὺς φθόνους, τὰς ἔχθρας, τοὺς σκανδαλισμοὺς, τοὺς ψευδοπροφήτας, οἳ πρόδρομοι τοῦ Ἀντιχρίστου εἰσὶν, ἀποπλανῶντες τοὺς πολλοὺς, ὥστε πρὸς πᾶν εἶδος ἀνομίας ἐκτραχηλίζειν αὐτούς· διὰ δὲ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ἐκ τῆς πλάνης τοῦ Ἀντιχρίστου, ἐκθηριωθήσονται οἱ ἄνθρωποι, ὡς μηδὲ πρὸς τοὺς οἰκειοτάτους σώζειν ἰκμάδα τινὰ ἀγάπης, ἀλλὰ παραδίδοσθαι ὑπ' ἀλλήλων· ὁ δὲ ἄχρι τέλους ὑπομείνας, καὶ καρτερικῶς φέρων, καὶ μὴ ἐνδοὺς πρὸς τὰ ἐπαγόμενα, σωθήσεται ὡς δόκιμος στρατιώτης ἀναφανείς.

« Καὶ κηρυχθήσεται τοῦτο τὸ Εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος. » Οὐκ ἐμποδισθήσεσθε εἰς τὸ κηρύττειν, θαῤῥεῖτε. Κηρυχθήσεται γὰρ τὸ Εὐαγγέλιον ἐν πᾶσι τοῖς ἔθνεσιν, εἰς μαρτύριον, τουτέστιν εἰς ἔλεγχον, εἰς κατηγορίαν τῶν μὴ πιστευσάντων, καὶ τότε ἥξει τὸ τέλος, οὐχὶ τοῦ κόσμου, ἀλλὰ τῆς Ἱερουσαλήμ· πρὸ γὰρ τοῦ ἁλῶναι τὴν Ἱερουσαλὴμ ἐκηρύχθη τὸ Εὐαγγέλιον, ὥσπερ καὶ ὁ Παῦλος λέγει· Τοῦ Εὐαγγελίου κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπ' οὐρανόν. Ὅτι γὰρ περὶ τοῦ τέλους τῶν Ἱεροσολύμων λέγει, δῆλον ἀπὸ τῶν ἑξῆς· φησὶ γάρ·

« Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω. » Βδέλυγμα τῆς ἐρημώσεως τὴν στήλην λέγει τοῦ τὴν πόλιν κρατήσαντος, ἣν ἔστησεν ἐν τοῖς ἀδύτοις τοῦ ναοῦ· ἐρημώσεως μὲν οὖν, διότι ἐπορθήθη ἡ πόλις· βδέλυγμα δὲ, διότι τὰς στήλας καὶ τὰς εἰκόνας τῶν ἀνθρώπων, βδελύγματα ὠνόμαζον οἱ Ἑβραῖοι, τὴν εἰδωλολατρίαν μισοῦντες.

« Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν ἐπὶ τὰ ὄρη· ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω ἆραι τὰ ἐκ τῆς

A caverint consummetur mundus, dicit : Ne turbemini. Nondum enim consummatio, neque cum subversione Hierusalem erit generalis consummatio. Gentem vero contra gentem, et regnum contra regnum exsurrectura dicit propter imminentia Judæis mala : quæ initia sunt dolorum. Sicut enim parturiens dolet, et sic parit ita et præsens sæculum post confusiones et bella pariet futura.

VERS. 9. « Tunc tradent vos in afflictionem, et occident vos, et eritis invisi cunctis gentibus propter nomen meum. Et tunc offendiculum patientur multi, et alius alium invicem tradent, seque odio habebunt invicem, et multi pseudoprophetæ

B surgent, et seducent multos : et quoniam abundabit iniquitas, refrigescet charitas multorum. Qui autem perseveraverit usque in finem, hic salvus erit. » Prædicit eventura 130 mala, animans discipulos per hoc quod prædicit. Nam inexspectata terrere et turbare consueverunt. Præmitigat igitur timorem, prædicendo futura gravia, odia, inimicitias, offensiones, pseudoprophetas, qui præcursores sunt Antichristi, seducentes multos, ita ut in omnem iniquitatem eos præcipitent. Quia autem multiplicabitur iniquitas per imposturas Antichristi, exasperabuntur et efferi erunt homines, ita ut neque cum familiarissimis ullum servent charitatis vinculum, sed mutuum se tradant [49]. Qui autem usque ad finem perseveraverit, et forti-

C ter tulerit, neque cesserit his quæ inferuntur, tunc salvus erit, et comprobabitur strenuus miles.

VERS. 14. « Et prædicabitur hoc Evangelium regni in universo orbe, in testimonium omnibus gentibus et tunc veniet consummatio. » Non erit vobis prædicandi obstaculum, confidite, prædicabitur enim Evangelium in omnibus gentibus, in testimonium, hoc est, in reprehensionem et condemnationem eorum qui non crediderunt : et tunc veniet consummatio, non mundi, sed Hierusalem. Nam ante captam Hierusalem prædicatum est Evangelium, sicut et Paulus dicit : Evangelii, quod prædicatum est in omni quæ sub cœlo creatura. Nam quod de fine Hierosolymorum dicat, manifestum est ex sequentibus. Dicit enim :

D VERS. 15. « Cum ergo, videritis abominationem desolationis, quæ dicta est a Daniele propheta, stantem in loco sancto, qui legit, intelligat. » Abominationem desolationis dicit statuam ejus qui civitati imperavit, quam erexit in adytis templi. Desolationis autem dicitur, eo quod expugnanda esset civitas. Abominatio vero, eo quod statuas et imagines hominum Hebræi abominationes vocabant, odio idololatriæ.

VERS 16. « Tunc hi qui in Judæa sunt, fugiant in montes : is qui in tecto, non descendat ut tollat

49 Coloss. I.

quidquam de domo sua : et is qui in agro, non revertatur ut tollat vestes suas. »Insinuans summa pericula quæ evadi non possunt,inquit quod oporteat fugere non respiciendo neque curando quid in domo sit, vel vestes, vel alia vasa. Quidam autem abominationem desolationis 80. Antichristum existimantes, eo quod vastaturus mundum et subversurus sit ecclesias, ac sessurus in templo, intelligunt et ista sic, quod qui in tecto est, id est, excelsis virtutibus præditus, non descendat a summis virtutibus ut tollat ea quæ sunt corporis. Domus enim animæ, corpus. Oportet autem et ab agro succedere, hoc est terrenis : ager enim vita (*a*), neque vestem tollere malitiæ, quæ vetus est vestis quam exuimus.

VERS. 19. «Væ autem prægnantibus et lactantibus in illis diebus. » Prægnantes quidem non poterunt fugere, onore ventris gravatæ : lactantes autem propter compassionem erga pueros. Illos enim relinquere nequeunt, neque secum portare et simul salvare possunt : tunc non effugient iram (*b*). Fortasse 131 Christus insinuat quod et comederint pueros. Dicit enim Josephus quod cum esset fames propter obsidionem, mulier coxerit filium suum et comederit.

VERS. 20. «Orate autem ne fuga vestra fiat hieme, neque Sabbato. » In persona apostolorum ad Judæos hæc dicit. Apostoli enim prius egressi erant ex Jerusalem. Judæis igitur dicit ut precentur ne in hieme fiat fuga sua, eo quod incommodum sit illis temporibus fugere; neque in Sabbato: tunc enim juxta legem otiosi sunt, et fugere non audent. Tu autem et sic intelligito, quod non oporteat precari ne fiat fuga nostra ex hac vita, hoc est mors, in Sabbato, otiosis nobis a bonis operibus, neque hieme, in sterilitate bonorum, sed in serenitate animæ, quæ non turbetur.

VERS. 21, 22. « Erit enim tunc afflictio magna, qualis non fuit ab initio mundi ad hoc usque tempus, neque fiet. Et nisi abbreviati fuissent dies illi, non fieret salva omnis caro : propter electos autem abbreviabuntur dies illi. » Afflictio intolerabilis tunc erat. Jussi sunt enim Romanorum milites ne cui parcerent : sed Deus propter credituros ex illis, vel eos qui jam crediderant, non permisit simul omnes occidi. Decurtavit afflictiones et bella : nam si bellum diuturnius fuisset, omnes qui intus erant, fame periisssent. Quidam de Antichristi diebus hæc intelligunt : sed non sunt intelligenda hæc de Antichristo, sed de captivitate urbis Jerusalem. Quæ ad Antichristum pertinent, hoc loco incipiunt. Audi igitur :

VERS. 23, 25. « Tunc si quis vobis dixerit,Ecce hic Christus,aut illic, nolite credere. Surgent enim

A οἰκίας αὐτοῦ, καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ. » Τὴν τῶν συμφορῶν ἄφυκτον ὑπερβολὴν αἰνιττόμενος, φησὶν, ὅτι χρὴ φεύγειν ἀνεπιστρόφως, μηδενὸς φροντίζοντας τῶν ἐν ταῖς οἰκίαις ὄντων, μήτε ἱματίων, μήτε ἄλλοίων σκευῶν · τινὲς δὲ βδέλυγμα τῆς ἐρημώσεως τὸν Ἀντίχριστον νοοῦντες, ὡς ἐπ' ἐρημώσει τοῦ κόσμου καὶ καταστροφῇ τῶν ἐκκλησιῶν ἐσόμενον καὶ καθίσοντα ἐν τῷ ναῷ, νοοῦσι καὶ ταῦτα οὕτως, ὅτι ὁ ἐπὶ τοῦ δώματος, τουτέστιν ἐν τῷ ὕψει τῶν ἀρετῶν ὤν, μὴ καταβάτω ἀπὸ τοῦ ὕψους τῶν ἀρετῶν, ὥστε ἆραι τὰ τοῦ σώματος. Οἰκία γὰρ τῆς ψυχῆς, τὸ σῶμα. Δεῖ δὲ καὶ ἀπὸ τοῦ ἀγροῦ ἀναχωρεῖν, τουτέστι τῶν γηΐνων· ἀγρὸς γὰρ ὁ βίος, καὶ μηδὲ τὸ ἱμάτιον αἴρειν, τὴν παλαιὰν κακίαν ἣν ἐξεδυσάμεθα.

B « Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. » Αἱ μὲν γὰρ ἔγκυοι οὐ δυνήσονται φεύγειν τῷ φορτίῳ τῆς γαστρὸς βαρυνόμεναι. Αἱ δὲ θηλάζουσαι, διὰ τὴν πρὸς τὰ τέκνα συμπάθειαν, μήτε ἐᾶσαι αὐτὰ δυνάμεναι, μήτε μὴν βαστάζειν, καὶ σὺν αὐτοῖς σωθῆναι, οὐκ ἐκφεύξονται τὴν τότε ὀργήν · ἢ καὶ τοῦτο αἰνίττεται ὁ Χριστὸς, τὴν τεκνοφαγίαν. Λέγει γὰρ ὁ Ἰώσηφος ὅτι λιμοῦ ὄντος διὰ τὴν πολιορκίαν, ὤπτησε γυνὴ τὸ τέκνον αὐτῆς καὶ ἔφαγε.

« Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν ἐν χειμῶνι, μηδὲ Σαββάτῳ. » Ἐν προσώπῳ τῶν ἀποστόλων πρὸς Ἰουδαίους ταῦτά φησιν · αἱ γὰρ ἀπόστολοι προέφθασαν ἐξελθόντες τῆς Ἱερουσαλήμ. Τοῖς Ἰουδαίοις οὖν λέγει εὔχεσθαι ἵνα μὴ γένηται ἡ φυγὴ C αὐτῶν ἐν χειμῶνι, διὰ τὴν δυσκολίαν τοῦ καιροῦ μὴ δυναμένων ἀποδρᾶναι, μηδὲ ἐν Σαββάτῳ, τότε γὰρ ἀργοῦσι κατὰ τὸν νόμον, καὶ οὐκ ἂν ἐπιτολμήσαιεν τῇ φυγῇ. Σὺ δὲ καὶ οὕτω νόει, ὅτι δεῖ εὔχεσθαι ἵνα μὴ γένηται ἡ φυγὴ ἡμῶν ἐκ τοῦ βίου τούτου, τουτέστιν ἡ τελευτὴ, ἐν Σαββάτῳ, τῇ ἀργίᾳ τῶν καλῶν πράξεων, μηδὲ ἐν χειμῶνι, τῇ ἀκαρπίᾳ τῶν ἀγαθῶν, ἀλλ' ἐν εὐδίᾳ ψυχῆς καὶ ἀταραξίᾳ.

« Ἔσται γὰρ τότε θλίψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ γένηται· καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ · διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. » Θλίψις ἀφόρητος τότε ἦν. Ἐκελεύσθησαν γὰρ οἱ τῶν Ῥωμαίων στρατιῶται, μηδενὸς φείδεσθαι, ἀλλ' ὁ Θεὸς διὰ τοὺς μέλλοντας D πιστεύειν ἐξ αὐτῶν, ἢ καὶ πιστεύσαντας ἤδη, οὐκ ἀφῆκεν ἄρδην ἀναιρεθῆναι, ἀλλὰ καὶ τὰς θλίψεις καὶ τὸν πόλεμον ἐκολώβωσεν · εἰ γὰρ ἐκράτησεν ἐπὶ πλέον ὁ πόλεμος, πάντες ἂν οἱ ἔνδον ὑπὸ τοῦ λιμοῦ διεφθάρησαν. Τινὲς δὲ περὶ τῶν τοῦ Ἀντιχρίστου ἡμερῶν νοοῦσι ταῦτα · οὐκ ἔστι δὲ περὶ τοῦ Ἀντιχρίστου ταῦτα, ἀλλὰ περὶ τῆς ἁλώσεως τῆς Ἱερουσαλήμ. Τὰ δὲ περὶ τοῦ Ἀντιχρίστου ἐντεῦθεν ἄρχεται · ἄκουε οὖν.

« Τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδοὺ ὧδε ὁ Χριστὸς, ἢ ὧδε, μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι

80 I Thess. II.

(*a*) **Edit. Lut. omisit, *ager enim vita*.**

(*b*) **Edit Lut. omisit, *tunc non effugient iram*.**

καὶ ψευδοπροφῆται· καὶ δώσουσι σημεῖα μεγάλα καὶ A τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς. Ἰδοὺ προείρηκα ὑμῖν.» Ἐπειδὴ δύο προσήνεγκαν ἐρωτήσεις οἱ μαθηταὶ, περὶ τῆς ἁλώσεως τῆς Ἱερουσαλὴμ, καὶ τῆς παρουσίας τοῦ Κυρίου, εἰπὼν περὶ τῆς ἁλώσεως, ἐντεῦθεν ἄρχεται περὶ τῆς ἑαυτοῦ παρουσίας, καὶ τῆς συντελείας τοῦ κόσμου. Τὸ δὲ, τότε, οὐ τοῦτο ἐμφαίνει, ὅτι εὐθὺς μετὰ τὸ ἁλῶναι τὴν Ἱερουσαλὴμ, ἐάν τις ὑμῖν εἴπῃ, καὶ τὰ ἑξῆς, ἀλλὰ τὸν καιρὸν ἐκεῖνον ἐμφαίνει καθ' ὃν μέλλει γενήσεσθαι· ὥστε εἶναι τὸ λεγόμενον τοιόνδε· Τότε, τουτέστι, ὅταν μέλλῃ Ἀντίχριστος ἐλθεῖν, ἔσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται πολλοὶ, ἐκ φαντασίας δαιμόνων διαπαίζοντες τοὺς τῶν ὁρώντων ὀφθαλμοὺς, πρὸς τὸ ἀπατῆσαί τινας· ὥστε ἢν μὴ νήφωσι, B καὶ οἱ δίκαιοι ἀπατηθήσονται. Ἀλλ' ὑμῖν ἰδοὺ προείρηκα· οὐκ ἔχετε πρόφασιν· δύνασθε γὰρ μὴ ἀπατηθῆναι.

« Ἐὰν οὖν εἴπωσιν ὑμῖν, Ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστὶ, μὴ ἐξέλθητε· Ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου· ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. » Ἐὰν ἔλθωσι, φησὶν, οἱ ἀπατεῶνες. λέγοντες ὅτι, Ἦλθεν ὁ Χριστός. ἀλλ' ἐν τῇ ἐρήμῳ ἐστὶ κρυπτόμενος, ἢ ἐν οἰκίᾳ τινι, καὶ ἐν τοῖς ταμείοις καὶ ἐσωτέροις τόποις ταύτης, μὴ ἀπατηθῆτε· ἡ γὰρ τοῦ Χριστοῦ παρουσία οὐ δέεται τοῦ δείξοντος. ἀλλὰ καταφανὴς ἔσται πᾶσιν, ὥσπερ καὶ ἡ ἀστραπή. Καὶ γὰρ αὕτη καὶ αἰφνίδιός ἐστι, καὶ C πᾶσι κατάδηλος· οὕτως οὖν κἀκείνη πᾶσι τοῖς ἐν τῷ κόσμῳ ἔκδηλος ἔσται· οὐ γὰρ ὥσπερ ἐν τῇ προτέρᾳ παρουσίᾳ ἀπὸ τόπου εἰς τόπον μετέβαινεν, οὕτω καὶ ἐν τῇ δευτέρᾳ, ἀλλ' ἐν ῥιπῇ ὀφθαλμοῦ παρέσται. Καὶ ὥσπερ ἐπὶ νεκρὸν σῶμα συνάγονται ὀξέως οἱ ἀετοὶ, οἱ γῦπες δηλαδὴ, οὕτω καὶ ἔνθα ἂν εἴη ὁ Χριστὸς, ἐλεύσονται πάντες οἱ ἅγιοι, οἱ τὸ ὑψηλὰ πετόμενοι, καὶ ἐν ταῖς νεφέλαις ἁρπαγησόμενοι ὡς ἀετοί· πτῶμα δὲ πάντως ὁ Χριστὸς, διὰ τὸ πεσεῖν ὑπὲρ ἡμῶν καὶ ἀποθανεῖν. Ὡς καὶ ὁ Συμεὼν λέγει· Οὗτος κεῖται εἰς πτῶσιν.

« Εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρα- D νοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. » Μετὰ τὴν τοῦ Ἀντιχρίστου, φησὶν, ἔλευσιν, ἥτις ταχὺ λυθήσεται· τοῦτο γὰρ διὰ τοῦ εὐθέως ἐδήλωσεν· ὁ ἥλιος σκοτισθήσεται, ἀντὶ τοῦ ἀμαυρωθήσεται, οὐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῷ τῆς τοῦ Χριστοῦ παρουσίας φωτί· ὥσπερ καὶ τὰ ἄστρα καὶ ἡ σελήνη· τίς γὰρ ἔτι χρεία τοιούτου αἰσθητοῦ φωτὸς, νυκτὸς οὐκ οὔσης, καὶ τοῦ Ἡλίου τῆς δικαιοσύνης ὀφθέντος; Ἀλλὰ καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, τουτέστιν ἐκπλαγήσονται καὶ φρίξουσιν, ὁρῶσαι τὴν κτίσιν ἀλλοιουμένην, καὶ πάντας τοὺς ἀπὸ Ἀδὰμ μέχρι τότε ἀνθρώπους δώσειν μέλλοντας λόγον.

« Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀν-

pseudochristi et pseudoprophetæ, et dabunt signa magna et prodigia, ita ut in errorem inducantur etiam electi, si fieri potest. Ecce prædixi vobis. » Quoniam discipuli duas quæstiones introduxerant, unam de captivitate Jerusalem, et alteram de adventu Domini : postquam de captivitate dixit, inde et de suo adventu dicere incipit ac consummatione sæculi. Cum autem dicit, tunc, non hoc sibi vult, quod statim post captam Jerusalem, si quis vobis dicat, etc., sed tempus illud declarat quo futurum est, ut id quod dicitur, hunc sensum habeat: Tunc, id est, quo tempore venturus est Antichristus, erunt pseudochristi et pseudoprophetæ multi, qui in dæmonum apparitione fallent videntium oculos, ut quosdam decipiant, atque adeo, nisi valde sobrii sint, et justi seducantur. Sed ecce prædixi vobis : non habetis excusationem : potestis enim non decipi.

VERS. 26-28. « Si ergo dixerint vobis, Ecce in deserto est, nolite exire : ecce in penetralibus, nolite credere. Sicut enim fulgur exit ab oriente, et apparet usque in occidentem, ita erit adventus Filii hominis. Ubi enim fuerit cadaver, illic congregabuntur et aquilæ. » Si venerint, inquit, impostores dicentes, 132 Christus venit, sed in solitudine est occultus, vel in domo quadam, vel in promptuariis et interioribus locis ejus, ne decipiamini. Adventus enim Christi non opus habebit quopiam qui illum demonstret, sed manifestus erit omnibus, sicut et fulgur. Nam sicut illud repentinum est et omnibus clarum, ita et ipse omnibus in mundo manifestus erit. Non enim sicut in primo adventu de loco in locum transivit, ita et in secundo, sed in momento oculi aderit. Et sicut apud mortuum cadaver congregantur statim aquilæ, quæ vultures sunt, sic et omnes sancti venient eo ubi Christus fuerit. Hi enim in summa volant, et in nubes rapientur, sicut aquilæ Cadaver autem dicitur Christus, quia pro nobis cecidit et mortuus est : sicut et Simeon dicit, Hic positus est in casum.

VERS. 29. « Statim autem post tribulationem dierum illorum sol obscurabitur et luna non dabit lumen suum, et stellæ cadent de cœlo, et virtutes cœlorum commovebuntur. » Post adventum, inquit, Antichristi, qui brevi solvetur : hoc enim declaravit per hoc quod dicit, statim : sol obtenebrabitur, hoc est, obscurabitur, non disparens, sed superatus lumine adventus Christi, quemadmodum et stellæ et luna : quid enim preterea opus erit hujusmodi sensibili lumine, cum non erit nox, sed apparebit Sol justitiæ [51]? Quin et virtutes cœlorum commovebuntur, hoc est, obstupescent et horrescent, videntes creaturam immutari, et omnes ab A[illegible]m usque ad illud tempus homines rationem [illegible]turos.

VERS. 30. « Et tunc apparebit signum Filii homi-

[51] Zach. xiv, 4, seqq.

nis in cœlo, et tunc plangent omnes tribus terræ, A et videbunt Filium hominis venientem in nubibus cœli cum virtute et gloria multa.» Crux tunc apparebit in cœlo supra solem fulgens, ad arguendos Judæos. Veniet enim Christus contra Judæos habens crucem, ut magnam justificandi materiam et testimonium : veluti si quis lapide percussus ostendat lapidem. Signum autem dicit crucem, tanquam tropæum et insigne regium. Tunc igitur plangent omnes omnes tribus terræ Judaicæ, lugentes suam inobedientiam et incredulitatem, et omnes qui terrena sapiunt, plangent, etiam si Christiani sint. Tribus enim terræ ducuntur hi, qui terrena sapiunt. Quamvis autem cum cruce veniat Dominus, veniet tamen cum gloria multa B et virtute.

VERS. 31. « Et emittet angelos suos cum tubæ voce magna, et congregabunt electos ejus a quatuor ventis, a summis cœlis usque ad terminos eorum.» Emittet angelos suos, ut congregent sanctos, et eos qui ex mortuis resurrexerunt, ita ut occurrant illi in nubibus. Veneratur igitur eos etiam per angelorum vocationem. Quamvis autem Paulus dicat 31* per nubes rapiendos 13*, non est his adversum. Collectos enim per angelos rapient nubes. Tuba autem dicitur ad majorem terrorem.

VERS. 32, 33 « A ficu autem dicite parabolam Cum jam ramus ejus tener fuerit, et folia fuerint enata, scitis quod prope est æstas. Ita et vos cum C videritis omnia hæc, scitote quod prope sit in foribus. » Quando, inquit, omnia hæc fient, non procul aberit meus adventus et ultima mundi consummatio. Æstatem autem dicit futurum sæculum, et post procellam, serenitatem quæ erit justis. Impiis enim peccatoribus tempestas et turbatio major erit. Dicit igitur : Sicut videntes ramos et folia ficus, æstatem speratis, ita et signa illa videntes, ut dixi, solem et lunam immutari, meum exspectate adventum.

VERS. 34, 35 « Amen dico vobis, non præteribit hæc generatio, donec omnia illa fiant. Cœlum et terra præteribunt, verba autem mea non præ- D teribunt. » Generationem hoc loco dicit non eam quæ tunc erat, sed fidelium, qaasi hoc dicens : Non præteribit generatio fidelium, donec omnia hæc fiant. Non enim quia auditis famem et pestilentiam, credatis quod generatio fidelium his malis intereat, sed permanebit, et nihil illi prævalebit. Sunt qui hæc omnia de sola captivitate

θρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς. » Ὁ σταυρὸς τότε ὀφθήσεται ἐν τῷ οὐρανῷ ὑπὲρ τὸν ἥλιον λάμπων, πρὸς ἔλεγχον τῶν Ἰουδαίων · ὥσπερ γάρ τι δικαίωμα μέγιστον ἔχων τὸν σταυρὸν, ἔρχεται κατὰ τῶν Ἰουδαίων ὁ Κύριος · καθάπερ εἴ τις λίθῳ πληγεὶς ἐπεδείκνυτο τὸν λίθον. Σημεῖον δὲ λέγει τὸν σταυρὸν, ὥσπερ τι τρόπαιον καὶ παράσημον βασιλικόν. Τότε τοίνυν κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς αἱ Ἰουδαϊκαὶ, θρηνοῦσαι τὴν ἑαυτῶν ἀπείθειαν · καὶ πάντες δὲ οἱ τὰ γήϊνα φρονοῦντες, εἰ καὶ Χριστιανοί εἰσι, κόψονται. Φυλαὶ γὰρ τῆς γῆς λεχθεῖεν ἂν οἱ τοῖς γηΐνοις προσκείμενοι · εἰ δὲ καὶ μετὰ τοῦ σταυροῦ ἔρχεται ὁ Κύριος, ἀλλ' οὖν καὶ μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

« Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν. » Ἀποστελεῖ τοὺς ἀγγέλους ἐπισυνάξαι τοὺς ἁγίους, καὶ τοὺς ἐκ νεκρῶν ἀναστάντας, ὥστε ὑπαντῆσαι αὐτῷ ἐν νεφέλαις. Τιμᾷ οὖν αὐτοὺς καὶ τῇ δι' ἀγγέλων κλήσει. Εἰ δὲ καὶ ὁ Παῦλος λέγει αὐτοὺς διὰ νεφελῶν ἁρπαγήσεσθαι, οὐκ ἐναντίον τοῦτο · συλλεγέντας γὰρ ὑπὸ τῶν ἀγγέλων, ἁρπάσουσιν αἱ νεφέλαι. Ἡ σάλπιγξ δὲ, πρὸς πλείονα ἔκπληξιν.

(30) « Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· Ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. Οὕτω καὶ ὑμεῖς ὅταν ἴδητε πάντα ταῦτα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. » Ὅταν, φησὶ, ταῦτα πάντα γένηται, οὐ πολὺ ἔσται τὸ μέσον τῆς συντελείας καὶ τῆς ἐμῆς παρουσίας. Θέρος δὲ λέγει τὸν μέλλοντα αἰῶνα, καὶ γαλήνην ἀπὸ χειμῶνος ἀλλὰ τοῖς δικαίοις · ὡς τοῖς γε ἁμαρτωλοῖς χειμὼν καὶ ταραχὴ μᾶλλον ἐστιν · Ὥσπερ οὖν, φησὶ, τῆς συκῆς τοὺς κλάδους καὶ τὰ φύλλα ὁρῶντες, θέρος ἐλπίζετε · οὕτω καὶ τὰ σημεῖα ἐκεῖνα ἃ εἶπον ὁρῶντες, τὸν ἥλιον καὶ τὴν σελήνην ἀλλοιούμενα, τὴν ἐμὴν προσδέχεσθε παρουσίαν.

« Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γένηται · ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. » Γενεὰν ἐνταῦθα λέγει, οὐ τὴν τότε οὖσαν, ἀλλὰ τὴν τῶν πιστῶν · ὡσανεὶ τοῦτο λέγων· Οὐ μὴ παρέλθῃ ἡ γενεὰ τῶν πιστῶν, ἕως οὗ ταῦτα πάντα γένηται · μὴ γὰρ ἐπειδὴ ἀκούετε λιμοὺς καὶ λοιμοὺς, νομίσητε, ὅτι ἡ γενεὰ τῶν πιστῶν ὑπὸ τούτων τῶν κακῶν φθαρήσεται, ἀλλὰ παραμενεῖ, καὶ οὐδὲν αὐτῆς κρατήσει δεινόν. Τινὲς δὲ τὸ, ταῦτα πάντα, περὶ

31* I Thess. IV, 16

Ex collatione codd. Venet. S. Marci.

(30) Cod, 32 addit : Τὸ δὲ, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν, εἰπὼν, διδάσκει ἡμᾶς τὰ αὐτὰ εἶναι γῆς καὶ οὐρανοῦ ἄκρα · ὥστε Χριστῷ δεῖ πιστεύειν καὶ οὐκ ἀπατᾶσθαι, ὡς ἐλαχίστου μορίου τῆς γῆς οὔσης ἐν μέσῳ τοῦ οὐρανοῦ, ἀπείροις μεγέθεσιν ὑπερβάλλοντος αὐτήν. Ἀπὸ δὲ τῆς συκῆς, κ. τ. λ.

«Dum autem ait: *a summis cœlis usque ad terminos eorum*, docet nos. easdem esse terræ ac cœli summitates seu terminos Quare Christo credere oportet, ac non errare putando, tellurem esse minimam partem in medio cœli infinita magnitudine ipsum excedentis. *A ficu autem,* » etc.

τῆς ἁλώσεως μόνης τῆς Ἱερουσαλὴμ ἐνόησαν, οὐχὶ A καὶ περὶ τῆς δευτέρας παρουσίας· ὅθεν οὕτως ἑρμηνεύουσιν· Οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, τουτέστιν, ὑμῶν τῶν ἀποστόλων ἡ γενεὰ ὄψεται τὰς τῆς Ἱερουσαλὴμ συμφοράς· βεβαιῶν δὲ τὰ ῥηθέντα, φησὶν, ὅτι Εὐκολώτερόν ἐστιν ἀφανισθῆναι οὐρανὸν καὶ γῆν, τὰ πεπηγότα ταῦτα καὶ ἀκίνητα στοιχεῖα, ἢ τῶν ὑπ' ἐμοῦ ῥηθέντων διαψευσθῆναί τι.

« Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατήρ μου μόνος. » Διδάσκει τοὺς μαθητὰς ἐνταῦθα, μὴ ζητεῖν μανθάνειν τὰ ὑπερβαίνοντα τὴν ἀνθρωπίνην γνῶσιν. Ἐν τῷ εἰπεῖν γὰρ οὔτε οἱ ἄγγελοι, ἐπέσχεν αὐτοὺς τοῦ νῦν μαθεῖν, ὅπερ καὶ οἱ ἄγγελοι ἀγνοοῦσιν· ἐν δὲ τῷ εἰπεῖν, ὅτι ὁ Πατήρ B μου μόνος, ἐκώλυσεν αὐτοὺς καὶ τοῦ ζητῆσαι μαθεῖν εἰς τὸ μετέπειτα· εἰ γὰρ εἶπεν, ὅτι Οἶδα μὲν, οὐ θέλω δὲ ὑμῖν εἰπεῖν, ἐλυπήθησαν ἄν, ὡς δῆθεν καταφρονούμενοι ὑπ' αὐτοῦ· νῦν δὲ ἐν τῷ εἰπεῖν, ὅτι Οὐδὲ ὁ Υἱὸς οἶδεν, εἰ μὴ ὁ Πατὴρ μόνος, κωλύει αὐτοὺς ζητεῖν· ὥσπερ καὶ πατέρες πολλάκις κατέχοντές τι ἐν ταῖς χερσὶν, εἶτα ζητούμενοι τοῦτο ὑπὸ τῶν παίδων, καὶ μὴ θέλοντες δοῦναι, κρύπτουσιν αὐτὸ, λέγοντες· Οὐκ ἔχομεν ὃ ζητεῖτε, καὶ οὕτω παύονται τὰ παιδία κλαυθμυριζόμενα· οὕτω καὶ ὁ Κύριος, ἵνα παύσῃ τοὺς ἀποστόλους θέλοντας μαθεῖν περὶ τῆς ἡμέρας καὶ τῆς ὥρας, εἶπεν, ὅτι Οὐδὲ ἐγὼ οἶδα, εἰ μὴ ὁ Πατὴρ μόνος· ὅτι γὰρ γινώσκει καὶ αὐτὸς τὴν ὥραν καὶ τὴν ἡμέραν ἐκείνην, δῆλον μὲν καὶ ἐξ ἄλλων πολλῶν. Πάντα γὰρ ὅσα ἔχει ὁ Πατὴρ, C τοῦ Υἱοῦ εἰσι· καὶ τὴν γνῶσιν δὲ ἔχει τῆς ἡμέρας, καὶ ὁ Υἱὸς ἄρα ἔχει ταύτην· ἐκδηλότερον δὲ, ἐκ τοῦδε. Πῶς γὰρ ἐνδέχεται ἀγνοεῖν τὴν ἡμέραν τὸν Υἱὸν, ᾧ τὰ πρὸ τῆς ἡμέρας οὕτως ἔγνωσται; ὁ γὰρ ἐπὶ τὰ πρόθυρα ἀγαγὼν, πρόδηλον, ὅτι καὶ τὴν θύραν ἠπίστατο· ἀλλὰ συμφερόντως οὐκ ἤνοιξε ταύτην· οὐ συμφέρει γὰρ ἡμῖν τὸ εἰδέναι πότε ἡ συντέλεια, ἵνα μὴ ῥᾳθυμήσωμεν. Ἡ γὰρ ἄγνοια διεγηγερμένους ἡμᾶς ποιεῖ (31).

« Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις τῆς πρὸ τοῦ κατακλυσμοῦ, τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, D ἄχρις ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας· οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. » Πρὸς βεβαίωσιν τῶν ἀψευδῶν αὐτοῦ λόγων, κέχρηται τοῖς κατὰ τῶν Νῶε γενομένοις· ὥσπερ γὰρ τότε χλεύην ἡγοῦντό τινες τὴν τῆς κιβωτοῦ κατασκευὴν, ἕως οὗ ἦλθε τὸ πάθος καὶ ἠφά-

Jerusalem intellexerunt et non de secundo adventu : unde et sic interpretantur : Non præteribit generatio hæc, hoc est, vestra apostolorum generatio videbit Jerosolymorum calamitates. Confirmans autem dicta, inquit : Facilius est transire cœlorum et terram aboleri, ac illa firma et immobilia elementa, quam ut quoddam ex meis dictis mendax sit.

VERS. 36. « De die autem illo et hora nemo scit, neque angeli quidem cœlorum, nisi Pater meus solus. » Docet hoc loco discipulos ut non quærant discere humanam naturam transcendentia : nam dum dicit, neque angeli, admonet eos quod discere non attentent id quod angeli ignorant : et dum dicit, Pater meus solus, prohibet eos anniti ut discant postea. Quod si dixisset eis, Scio quidem, vobis autem dicere nolo, contristati essent utique, quasi despecti ab eo. Nunc autem cum dicit quod neque Filius novit, nisi Pater solus, prohibet ne inquirant : sicut et patres sæpe continent quid in manibus, deinde autem dum quærunt hoc filii, et dare ipsi nolunt, occultant dicentes : Non habemus quod quæritis, et sic plorantes filios compescunt; ita et Dominus ut compescat apostolos ne discere velint de die illo et hora, dixit : Neque scio ego, nisi Pater solus. Scit enim et ipse horam et diem illum : id quod ex multis aliis est manifestum, Omnia enim quæcunque habet Pater, Filii sunt [52] : scientiam autem habet diei hujus; proinde et Filius illam habet. Manifestius autem ex hoc. Quomodo enim possibile est ignorare Filium **134** diem illum cui ea quæ ante eum diem contingent, ita cognita sunt? Nam qui ad vestibulum ducit, manifestum quod is etiam januam sciat. Sed utiliter hanc non aperuit; nobis enim scire non prodest quando erit consummatio, ne ignavi simus. Ignorantia enim nos facit alacres.

VERS. 37-39. «Sed sicut erant dies Noe, ita erit et adventus Filii hominis. Sicut enim erant in diebus qui præcesserunt diluvium, edentes et bibentes, contrahentes matrimonium, et nuptum dantes usque ad diem quo intravit Noe in arcam, et non cognoverunt donec venisset diluvium, et sustulisset universos; ita erit et adventus Filii hominis. » Ad confirmationem verissimorum suorum dictorum utitur his quæ tempore Noe sunt facta : tunc irridebant nonnulli arcæ præparationem, donec veniret afflictio et involveret omnes. Sic et nunc

[52] Joan XVI, 15.

## Ex collatione codd. Venet. S. Marci.

(31) Cod. 32 : Ἡ γὰρ ἄγνοια διεγηγερμένους ἡμᾶς ποιεῖ περὶ τὴν εὐσέβειαν. Ἢ πᾶσιν εὔδηλον, ὅτι γινώσκει μὲν ὡς Θεὸς, ἀγνοεῖ δὲ ὡς ἄνθρωπος· ἐάν τε τὸ φαινόμενον χωρίσῃ τοῦ νόμου ἀλλ' ἐπειδὴ δὲ δι' ἡμᾶς γέγονεν ἄνθρωπος, ἴδιον δὲ ἀνθρώπων τὸ ἀγνοεῖν, οἰκειοῦται τὴν ἄγνοιαν ὡς ἄνθρωπος γεγονώς. Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, » κ. τ. λ.

« Ignorantia enim facit alacres circa pietatem, Vel illud omnibus clarum est, quod sciret quidem ut Deus, ignoraret autem ut homo. Etsi enim videretur ille exceptus ab hac lege, nihilominus, quoniam propter nos homo factus est, propriumque hominis est ignorare, hinc sibi ut homini ignorantiam attribuere voluit. ***Sed sicut erant dies Noe,* » etc.**

aliqui irrident sermones de consummatione sæculi, sed repente, inquit adveniet interitus. Ostendit autem quod cum venerit Antichristus, voluptatibus erunt homines dediti, et ad nuptias et delicias propensiores, sicut in tempore Noe gigantes.

Vers. 40, 41. « Tunc duo erunt in agro : unus assumitur, et alter relinquitur. Duæ molentes in mola, una assumitur, et altera relinquitur. » Tunc, inquit, cum omnes sine sollicitudine, et sua operati fuerint opera : unus quidem assumitur, justus scilicet, in occursum Christi in aerem; alter autem, peccator videlicet, infra relinquitur. Sed et si servi aliqui fuerint et molant : et in his illi quidem assumuntur qui digni, relinquuntur autem qui indigni. Atque ita discimus ex hoc loco, quod et servi et mulieres a virtute non impediuntur.

Vers. 42-44. « Vigilate igitur, quia nescitis qua hora Dominus vester venturus est. Illud autem scitote, quod si scisset paterfamilias qua hora fur venturus fuisset, vigilasset utique, et non permisisset fodi domum suam. Propter hoc et vos estote parati, quia qua hora non putatis, Filius hominis veniet. » Vigilare jubet et præparari, hoc est habere virtutis opera, quasi in thesauro quodam reposita, ut cum venerit Dominus repetens id quod vult, possimus dare. Vide autem quomodo non dixerit, Nescio qua hora fur venturus sit : sed, Nescitis. Furem autem mundi consummationem nominat, et uniuscujusque mortem. Porro insinuat hoc loco nocte adventum suum futurum. Sicut igitur fur clam venit, ita et meus adventus : itaque non negligentes

νισε πάντας · οὕτω καὶ νῦν χλεάζουσι τινες τοὺς περὶ τῆς συντελείας λόγους · ἀλλ' αἰφνιδίως, φησὶν, ἐπελεύσεται ὁ ὄλεθρος · δείκνυσι δὲ, ὅτι τοῦ Ἀντιχρίστου ἐλθόντος, ἡ ἡδονὴ κρατήσει τῶν ἀνθρώπων, καὶ εἰς γάμους καὶ τρυφὰς ἀποκλινοῦσιν ὑβριστικώτερον, ὥσπερ καὶ οἱ ἐπὶ Νῶε γίγαντες.

« Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ · ὁ εἷς παραλαμβάνεται, καὶ ὁ εἷς ἀφίεται. Δύο ἀλήθουσαι ἐν τῷ μύλωνι · μίαν παραλαμβάνεται, καὶ μία ἀφίεται. » Τότε, φησὶν, ἀμερίμνων ὄντων πάντων, καὶ ἐργαζομένων τὰ οἰκεῖα ἔργα, ὁ μὲν εἷς παραλαμβάνεται, τουτέστιν, ὁ δίκαιος, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, ὁ δὲ εἷς, ὁ ἁμαρτωλὸς δηλονότι, ἀφίεται κάτω. Ἀλλὰ κἂν δοῦλοί τινες ὦσι καὶ ἀλήθωσι, καὶ ἐν τούτοις οἱ μὲν παραλαμβάνονται, ὅσοι ἄξιοι · οἱ δὲ ἀφίενται, ὅσοι ἀνάξιοι · ὥστε μανθάνομεν καὶ ἐντεῦθεν, ὅτι καὶ δοῦλοι καὶ θήλειαι οὐκ ἐμποδίζονται πρὸς ἀρετήν (32).

« Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ νοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. » Ἀγρυπνεῖν ἐπιτάττει καὶ ἑτοιμάζεσθαι, ἤτοι ἔχειν τὰ τῆς ἀρετῆς ἔργα προτεθησαυρισμένα, ἵνα ἐπειδὰν ἔλθῃ ὁ Κύριος, ἀπαιτῶν τι ὧν θέλει, ἔχωμεν διδόναι. Ὅρα δὲ πῶς οὐκ εἶπεν, ὅτι Οὐκ οἶδα ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἀλλ', Οὐκ οἴδατε · κλέπτην δὲ τὴν συντέλειαν ὀνομάζει, καὶ τὸν ἑκάστου θάνατον · αἰνίττεται δὲ ἐντεῦθεν, ὅτι καὶ νυκτὸς ἔσται ἡ παρουσία αὐτοῦ. Ὥσπερ οὖν ὁ κλέπτης ἀφανῶς ἔρχεται, οὕτω καὶ ἡ ἐμὴ παρουσία. ὥστε μὴ ῥᾳθυ-

Ex collatione codd. Venet. S. Marci.

(32) Cod. 32 addit : Οἱ ἐν τῷ ἀγρῷ, τῷ κόσμῳ τούτῳ δηλαδὴ, εἰσὶν οἱ ἄγροικοι καὶ ἰδιῶται, καὶ ἐλάχιστοι γένει, καὶ πλούτῳ ἔνδοξοι, καὶ ἄδοξοι. Οἱ μὲν δίκαιοι, οἱ δὲ ἄδικοι · καὶ οἱ μὲν δίκαιοι παραλαμβάνονται, οἱ δὲ ἄδικοι ἀφίενται ἐν τῷ πυρί · αἱ δὲ ἀλήθουσαί εἰσι τὸ πλῆθος τῶν γυναικῶν, ἐν μέρει δὲ καὶ αἱ ψυχαὶ, αἱ δουλικὸν λαχοῦσαι ζυγὸν, καὶ ἐν ἀσθενείᾳ τελέσασαι τὴν ζωήν. Εἰσὶ δὲ γυναῖκες δίκαιαι, καί εἰσιν ἄδικαι, εἰσὶν ἀσθενεῖς δίκαιοι, ὡς ὁ Ἰὼβ, καὶ ὁ Λάζαρος. εἰσὶν ἄδικοι ὡς ὁ Κάϊν καὶ Γιεζῆ. Ὅθεν φησὶ, Δύο ἔσονται ἐπὶ κλίνης, ἀσθένειαν αὐτῶν ὑπεμφαίνων, οἱ δὲ δίκαιοι παραλαμβάνονται, καὶ οἱ ἄδικοι ἀφίενται. Πῶς δὲ παραλαμβάνονται οἱ δίκαιοι, λεγέτω Παῦλος· Οἱ ζῶντες ἐν Κυρίῳ ἐν νεφέλαις ἁρπαγήσονται εἰς ἀέρα, καὶ πάντοτε σὺν Κυρίῳ ἔσονται. Πῶς ἀφίενται οἱ ἄδικοι ; Συνάξουσιν οἱ ἄγγελοι τοὺς μὲν ἐκλεκτοὺς ἐκ τῶν τεσσάρων ἀνέμων, τοὺς δὲ ἀσεβεῖς κατακαύσουσι πυρὶ ἀσβέστῳ. Μὴ οὖν ὑπολάβῃς ξύλοις ἄσβεστον εἶναι τὸ πῦρ τῆς κολάσεως, μηδὲ τοὺς ὑποκαίοντας δημίους τινὰς, ὡς οἱ λῆροι τῶν πολλῶν νομίζουσιν, ἀλλ' ἀπόβλεψον πρὸς Σόδομα, καὶ ἴδε κάμινον δίχα ξύλων. Ἐννόησον τῆς γυναικὸς Λὼτ τὴν ἀπολίθωσιν, καὶ θαύμασον τοῦ πυρὸς τὴν ἀπειλὴν, ἅμα γὰρ ἦν ὅ τε Λὼτ καὶ ἡ γυνὴ καὶ αἱ δύο θυγατέρες, καὶ οὔτε ὁ Λὼτ ἐπυρπολήθη σὺν ταῖς θυγατράσιν αὐτοῦ, οὔτε ἡ γυνὴ διέδρα τὴν τοῦ πυρὸς ἀπειλήν · Ἀλλ' ἕκαστον ἡ δίκη οἰκείῳ κλήρῳ ἀπέδωκεν· οὕτω καὶ ἐπὶ τῆς κρίσεως οἱ μὲν δίκαιοι παραλαμβάνονται ὡς ὁ Λὼτ, οἱ δὲ ἄδικοι ἀφίενται, ὡς ἡ γυνὴ αὐτοῦ. Γρηγορεῖτε οὖν, κ. τ. λ. « Qui *in agro* sunt, videlicet in hoc mundo, sunt rustici, idiotæ, ignobiles, et divitiis quidem clari, sed gloria obscuri. Porro horum alii quidem justi sunt, alii vero iniqui : et justi quidem assumuntur, iniqui vero relinquuntur in igne. *Molentes* vero sunt generatim feminæ, sed in particulari animæ, quæ servitutis jugum sortitæ sunt, quæque in imbecillitate seu infirmitate vitam transigunt. Sunt vero aliæ quidem mulieres justæ, aliæ injustæ. Sic et ex infirmis alii sunt justi, ut Job et Lazarus; et alii injusti, ut Cain et Giezi. Unde ait : *Duo erunt in lecto*, eorumdem infirmitatem subindicans. Justi autem assumuntur, et injusti relinquuntur. Quomodo vero assumendi sint justi, edicat Paulus : *Vivi*, inquit, *in Domino in nubibus rapientur in aera, et semper cum Domino erunt.* (*I Thess.* IV, 16.) Quomodo relinquuntur injusti? *Congregabunt angeli electos* quidem *ex quatuor ventis* (*Matth.* XXIV, 31), impios autem *comburent igne inextinguibili.* (*Luc.* III, 17.) Ne vero putes, ignem illum supplicii inexstinguibilem ex lignis esse, aut comburentes esse ministros quosdam publicos, ut imperiti quidam imaginantur : sed respice ad Sodomam, et vide fornacem succensam absque lignis. Considera uxoris Lot conversionem in lapidem : et mirare ignis activitatem. Simul enim erant Lot, ejus uxor et duæ filiæ : et Lot quidem combustus non est, neque duæ filiæ; sed uxor ignis activitatem non effugit : scilicet, justitia unumquemque propriæ tradidit sorti. Ita et in judicio : justi quidem assumentur, ut Lot; injusti autem relinquentur, veluti uxor ejus. *Vigilate igitur*, » etc.

μεῖτε, ἀλλὰ νήφετε. Εἰ γὰρ ᾔδειμεν τὴν τελευτὴν ἡμῶν πότε ἔσται, ἐκείνην ἂν μόνην τὴν ἡμέραν ἐσπουδάζομεν εὐαρεστεῖν τῷ Θεῷ· νῦν δὲ ἀγνοοῦντες, νήφομεν ἀεὶ πρὸς τὰ τῆς ἀρετῆς ἔργα.

« Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. » Διαπορεῖ ὁ Κύριος τις ἔσται ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, ἵνα δείξῃ ὅτι σπάνιος καὶ δυσεύρετος ὁ τοιοῦτος. Δύο δὲ ἀπαιτεῖται πᾶς οἰκονόμος, πίστιν καὶ φρόνησιν· εἴτε γὰρ πιστὸς μέν ἐστι καὶ οὐδὲν κλέπτει, φρόνιμος δὲ οὐχ ὑπάρχει, ἀλλὰ μάτην ἀπόλλυσι τὰ χρήματα, εἴτε φρόνιμος δῆθεν ὢν, κλέπτει αὐτὰ, οὐδὲν ὄφελος. Ὁ τοίνυν εὑρεθησόμενος τότε πιστὸς καὶ φρόνιμος, ἐκεῖνος καὶ τῶν τελειοτέρων ἐπιστεύξεται, λέγω δὲ τῆς βασιλείας τῶν οὐρανῶν. Πάντων γὰρ τῶν ὑπαρχόντων τῷ Θεῷ κληρονόμοι ἔσονται οἱ ἅγιοι. Πιστὸς δὲ δοῦλος καὶ φρόνιμος, καὶ πᾶς διδάσκαλος ὁ ἐν καιρῷ διδοὺς τὴν τροφὴν ἑκάστῳ τῶν ὑπ' αὐτοῦ διδασκομένων, οἷος ὁ Παῦλος, νῦν μὲν γάλα ποτίζων, νῦν δὲ σοφίαν λαλῶν, πιστός τε διάκονος ὢν, ὁ πρότερον βλάσφημος, καὶ φρόνιμος, ὡς μὴ ἀγνοῶν τὰ νοήματα τοῦ ἐχθροῦ· ἀλλὰ καὶ πᾶς ὁ ὁτιοῦν παρὰ Θεοῦ λαβὼν, εἴτε χρήματα, εἴτε δυναστείαν, εἴτε ἀρχὴν, ὀφείλει καὶ πιστῶς καὶ φρονίμως διοικεῖν ταῦτα, ὡς λόγον δώσων.

« Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, Χρονίζει ὁ κύριός μου ἐλθεῖν, καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους, ἐσθίῃ δὲ καὶ πίνῃ μετὰ τῶν μεθυόντων, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. » Εἰπὼν πῶς τιμηθήσεται ὁ πιστὸς δοῦλος, νῦν λέγει πῶς κολασθήσεται ὁ πονηρός. Ἐὰν γάρ τις οἰκονομίαν τινὸς χαρίσματος πιστευθεὶς, καταφρονῇ τοῦ ἐκεῖθεν δικαστηρίου, καὶ λέγῃ ὅτι, Χρονίζει ὁ κύριός μου, τουτέστιν, οὐ παρὰ πόδας καὶ εὐθέως τὴν τιμωρίαν ἐπιτίθησι, καὶ τὴν ἀνεξικακίαν τοῦ Θεοῦ ἀφορμὴν πονηρίας ποιῆται, καὶ τύπτῃ τοὺς συνδούλους αὐτοῦ, φημὶ δὴ σκανδαλίζῃ, καὶ τύπτῃ τὴν συνείδησιν αὐτῶν· οἱ γὰρ ἀρχόμενοι, βλέποντες τοὺς ἄρχοντας κακῶς χρωμένους τοῖς δοθεῖσι, πλήσσονται σκανδαλιζόμενοι, καὶ βλάπτονται· ὁ τοιοῦτος οὖν διχοτομηθήσεται, τουτέστι γυμνωθήσεται τοῦ προσόντος αὐτῷ χαρίσματος, καὶ τότε φανήσεται οἷος ἦν, καὶ βληθήσεται εἰς τὸ σκότος· πρώην μὲν γὰρ διὰ τοῦ προσχήματος ἠπάτα, οἷοι πολλοὶ τῶν ἀρχιερέων, ἅγιοι δοκοῦντες διὰ τὸ ἀξίωμα· τότε δὲ ἀρθήσεται ἀπ' αὐτῶν ἡ χάρις. Καὶ ὡς ὑποκριταὶ κολασθήσονται, ἄλλο ὄντες καὶ ἄλλο φαινόμενοι.

estote, sed sobrii et vigilantes. Nam si sciremus quando futura esset mors nostra, illo solo die daremus operam quomodo placeremus Deo : nunc autem cum ignoramus, sobrii sumus semper ad virtutum opera.

VERS. 45-47. « Quisnam est fidelis servus et prudens, quem præfecit dominus famulitio suo, ut det illis cibum in tempore? Beatus servus ille, quem cum venerit dominus ejus, 125 invenerit sic facientem. Amen dico vobis, quoniam super omnia bona sua constituet eum. » Dubitat an futurus sit fidelis quis et prudens, quem constituit dominus ejus super famulitium suum, ut ostendat quod rarus talis sit et inventu difficilis. Duo enim exiguntur ab omni dispensatore, fides et prudentia. Nam si quidem fidelis sit, et nihil furetur, prudens autem non sit, sed in vanum disperdat opes : vel si prudens fuerit, et furetur, nihil proderit. Igitur qui tunc inventus fuerit fidelis et prudens, ille et multo plura consequetur[53], regnum dico cœlorum. Nam omnium quæ sunt Dei, hæredes erunt sancti. Fidelis autem servus et prudens omnis etiam est doctor, qui in tempore dedit cibum discipulis, sicut Paulus, nunc quidem lacte potans, nunc autem sapienter loquens, fidelisque minister, qui prius blasphemus[54], et prudens, ut non ignorans cogitationes inimici. Sed et omnis qui a Deo acceperit vel opes, vel potentiam, vel principatum, debet et fideliter et prudenter ministrare ea, tanquam rationem redditurus.

VERS. 48-51. « Quod si dixerit servus ille malus in corde suo, Cunctatur dominus meus venire, cœperitque percutere conservos, imo edere et bibere cum ebriis : Veniet dominus servi illius in die quo non exspectat, et hora qua ignorat, et dissecabit eum, et partem ejus ponet cum hypocritis : illic erit ploratus et stridor dentium. » Ubi dixit quomodo fidelis servus honores habiturus sit, nunc dicit quomodo punietur malus. Nam si quis cui sunt concredita dispensationis dona, contemnat judicium illud, et dicat, Moratur Dominus meus, hoc est, non statim et e vestigio pœnam imponit : et sumpta occasione ex longanimitate Dei, percutiat conservos suos offendendo scandalis, et illorum conscientiam verberet (subditi enim videntes principes donis Dei male uti, scandalizantur et damnum accipiunt); qui igitur talis, dissecabitur, hoc est spoliabitur dono suo, et tunc apparebit qualis sit : et mittetur in tenebras, qui prius sub figura quadam decipiebat : sicut multi pontificum sancti videntur propter dignitatem, tunc autem tolletur ab eis gratia, et sicut hypocritæ punientur. Nam cum alii sint, alii apparent.

53 Matth. XXIV, 45. 54 I Tim. I, 12, 13.

## CAPUT XXV.

*De decem virginibus. Parabola eorum qui talenta acceperunt. De adventu Christi.*

VERS. 1-5. « Tunc assimilabitur regnum cœlorum decem virginibus, quæ sumptis lampadibus
136 suis exierunt in occursum sponso. Quinque autem ex illis erant prudentes, et quinque fatuæ. Quæ erant fatuæ, acceptis lampadibus suis, non acceperant oleum secum: prudentes vero sumpserant oleum in vasis suis, una cum lampadibus. Tardante vero sponso dormitaverunt omnes a: dormierunt. » Sub persona virginum proponit parabola de eleemosyna: ut quoniam magnum opus est virginitas, ne quis illud unum curans, alia negligat, sed discat quod absque eleemosyna etiam virgines cum scortis ejicientur. Merito autem qui compassione caret et misericordia, ejicitur, etiam si virgo sit. Scortum enim ab affectione tyrannica expugnatur et naturali, immisericors autem a divitiis. Quanto igitur infirmius cui obluctandum, tanto minori venia dignus est qui expugnatur ab avaritiæ morbo. Et stultus quidem est, qui vincit naturale incendium, et vincitur a parva pecuniarum cupiditate ac morbo. Dormitatio est mors. Mors autem sponsi dicitur, quia non statim secundus adventus fit.

VERS. 6-13. « Porro medio noctis clamor factus est: Ecce sponsus venit, exite obviam ei. Tunc surrexerunt omnes virgines illæ, et apparaverunt lampades suas. Fatuæ autem prudentibus dixerunt: Date nobis de oleo vestro, quia lampades nostræ exstinguuntur. Et responderunt prudentes dicentes: Nequaquam, ne non sufficiat nobis et vobis. Sed ite potius ad eos qui vendunt, et emite vobisipsis. Porro dum irent emptum, venit sponsus, et quæ paratæ erant, intraverunt cum eo ad nuptias clausaque est janua. Postea vero veniunt et reliquæ virgines, dicentes: Domine, Domine, aperi nobis. At ille respondens ait, Amen dico vobis, non novi vos. Vigilate itaque, quia nescitis diem neque horam qua Filius hominis veniet. » Media nocte dicit clamorem fieri, ut ostendat quod sic inexspectatus veniat Dominus, quasi media nocte omnes dormiamus profundo somno At cum clamore venit, tuba enim sonabit in secundo adventu. Lampades autem animæ nostræ, et uniuscujusque mens lampas est, quæ tunc accenditur, quando habet oleum virtutum et misericordiam. Fatuæ autem virgines ideo quod tunc requirunt oleum, cum non sit negotiandi tempus. Porro prudentes dicunt, Ne forte non sufficiat nobis et vobis. Virtus enim proximi mei vix sufficiet illi ad defensionem, tantum abest ut et mihi. Ex suis enim quique operibus justificabuntur, non proximorum. Sed fatuæ ad vendentes abeunt, hoc est, ad pauperes. Cæterum quod dico hunc sensum habet: Pœnitudine ducuntur fatuæ, eo quod eleemosynam non fecerint: et nunc primum sciunt quod a pauperibus oporteat nos oleum emisse. Hoc

A

## ΚΕΦΑΛ. ΚΕ'.

*Περὶ τῶν δέκα παρθένων. Περὶ τῶν τὰ τάλαντα λαβόντων. Περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ.*

« Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί· αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ των λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι κα ἐκάθευδον. » Ἐπὶ τοῦ προσώπου τῶν παρθένων σχηματίζει τὴν περὶ ἐλεημοσύνης παραβολὴν, ἵνα ἐπειδὴ μέγα πρᾶγμά ἐστι, μὴ τοῦτο μόνον κατορθῶν τις, ἀμελῇ τῶν ἄλλων· ἀλλὰ μάνθανε ὡς τῆς ἐλεημοσύνης χωρὶς, κἂν παρθενίαν ἔχῃς, μετὰ πορνῶν ἐκβληθήσῃ.
B Εἰκότως δὲ ὁ ἀσυμπαθὴς καὶ ἀνελεήμων ἐκβάλλεται, κἂν παρθένος εἴη· ὁ μὲν γὰρ πόρνος πάθους ἡττήθη τυραννικοῦ τε καὶ φυσικοῦ· ὁ δὲ ἀνελεήμων χρημάτων. Ὅσῳ οὖν ὁ ἀνταγωνιστὴς ἀσθενέστερος τοσούτῳ ἀσυγχώρητος ὁ νικηθεὶς ὑπὸ τοῦ τῆς φιλοχρηματίας πάθους· καὶ μωρὸς δὲ ὁ τοιοῦτος δι' αὐτὸ τοῦτο, τὸ νικῆσαι μὲν φυσικὴν πύρωσιν, ἡττηθῆναι δὲ τοῦ μικροῦ πάθους τῶν χρημάτων· νυσταγμὸς δὲ, ὁ θάνατος. Χρονισμὸς δὲ τοῦ νυμφίου, τὸ μὴ συντόμως γίνεσθαι τὴν δευτέραν παρουσίαν.

« Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν, αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον·
C Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ὑμῖν καὶ ἡμῖν. Πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα· ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. » Μεσούσης τῆς νυκτὸς λέγει κραυγὴν γενέσθαι, ἵνα δείξῃ ὅτι ἀνέλπιστος ἔρχεται ὁ Κύριος, ὥσπερ μεσονυκτίου πάντες ἤδη καθεύδομεν βαθεῖ
D ὕπνῳ. Ἀλλὰ μετὰ κραυγῆς ἔρχεται· σάλπιγξ γὰρ ἠχήσει ἐν τῇ δευτέρᾳ παρουσίᾳ· λαμπάδες δὲ, καὶ αἱ ψυχαὶ ἡμῶν, καὶ ὁ νοῦς ἑκάστου λαμπάς ἐστιν· ἥτις τότε ἀνάπτεται, ὅτε ἔχει τὸ τῶν ἀρετῶν ἔλαιον καὶ τὴν ἐλεημοσύνην μωραὶ δὲ ὄντως εἰσὶν αἱ παρθένοι καὶ κατὰ τοῦτο, καθὸ τότε ἐζήτουν τὸ ἔλαιον, ὅτε οὐκ ἔτι καιρὸς πραγματείας, Αἱ δὲ φρόνιμοί φασι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν. Ἡ γὰρ ἀρετὴ τοῦ πλησίον μου μόλις ἀρκέσει ἐκείνῳ πρὸς ἀπολογίαν, μήτι γε καὶ ἐμοί· ἕκαστος γὰρ ἐκ τῶν ἔργων αὐτοῦ δικαιωθήσεται, οὐχὶ τῶν τοῦ πλησίον. Ἀλλ' αἱ μωραὶ πρὸς τοὺς πωλοῦντας ἀπέρχονται, τουτέστι, πρὸς τοὺς πένητας. Ὁ δὲ λέγει τοιοῦτόν ἐστι· Μεταμέλονται αἱ μωραὶ διότι μὴ ἐποίησαν

ἐλεημοσύνην, καὶ νῦν πρῶτον γινώσκουσιν ὅτι ἀπὸ A τῶν πενήτων ἔδει ἡμᾶς τὸ ἔλαιον ἔχειν. Τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι ἀπῆλθον πρὸς τοὺς πωλοῦντας ἀγοράσαι ἔλαιον, τουτέστιν, ἀπῆλθον τῇ διανοίᾳ πρὸς τοὺς πένητας, καὶ ἐνελογίσαντο οἷον ἀγαθὸν ἡ ἐλεημοσύνη, ἀλλὰ γὰρ ἐκλείσθη αὐταῖς ἡ θύρα· μεταμελείας γὰρ καὶ ἐργασίας καιρὸς οὐκ ἔστι μετὰ τὴν ἐνθένδε ἀποβίωσιν. Ὁ γοῦν Κύριος λέγει αὐταῖς· Οὐκ οἶδα ὑμᾶς. Ὁ γὰρ φιλάνθρωπος καὶ ἐλεήμων οὐκ οἶδε τὰς ἀνελεήμονας. Πῶς γὰρ τὰς ἀλλοτρίας αὐτοῦ καὶ ἀνομοίας; Γίνωσκε δὲ ὅτι καὶ πᾶσα ψυχὴ λαμπάδα καὶ φωτισμὸν ἐκ Θεοῦ ἔσχε, καὶ πᾶσαι ἐγείρονται εἰς συνάντησιν τοῦ Κυρίου· πᾶσαι γὰρ ἐπιθυμοῦσι τοῦ συναντῆσαι καὶ συναφθῆναι Θεῷ· ἀλλὰ τοῦ Θεοῦ δόντος φωτισμὸν καὶ λαμπάδα, αἱ μὲν φρόνιμοι διὰ τῆς ἀγαθοεργίας ἐπιβάλλουσιν ἔλαιον· B αἱ δὲ μωραὶ ἐῶσαι τὰς λαμπάδας ἀνελαίους, ἀποκλείονται, μὴ ἔχουσαι ἀγαθὰ ἔργα δι' ὧν ἀνάψει τὸ ἐν αὐταῖς φῶς· ἐὰν γὰρ μὴ τὰ καλὰ ἐργαζώμεθα, ἐσβέσαμεν τὸ ἐν ἡμῖν φῶς τοῦ Θεοῦ.

« Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν, ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ, καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα· ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο· ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ. Μετὰ δὲ χρόνον πολὺν, ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ' αὐτῶν λόγον. » Εἰπὼν ἄνω ὅτι Οὐκ οἴδατε τὴν ἡμέραν ὅτε ἥξει ὁ Κύριος, C προστίθησι καὶ τὴν παραβολὴν ταύτην, δεικνύων ὅτι ἐξαπιναίως ἐλεύσεται· ὡσανεὶ γὰρ ἄνθρωπος ἀποδημῶν, οὕτω δὴ καὶ ὁ κύριος ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ τάδε καὶ τάδε αὐτοῖς διέθετο. Ἀποδημεῖν οὖν λέγεται ὁ δι' ἡμᾶς γενόμενος ἄνθρωπος Χριστὸς, ἢ καθὸ ἀνέβη εἰς οὐρανοὺς, ἢ καθὸ μακροθυμεῖ, καὶ οὐκ εὐθὺς ἀπαιτεῖ τὴν ἐργασίαν, ἀλλ' ἀναμένει. Δοῦλοι δὲ αὐτοῦ, οἱ τὴν τοῦ λόγου διακονίαν πεπιστευμένοι, οἷον ἀρχιερεῖς, ἱερεῖς, διάκονοι, καὶ χαρίσματα πνευματικὰ λαβόντες, οἱ μὲν μείζονα, οἱ δὲ ἐλάττονα, ἕκαστος κατὰ τὴν ἰδίαν δύναμιν, τουτέστι, κατὰ τὸ μέτρον τῆς πίστεως, καὶ τῆς καθάρσεως. Ἐν γὰρ τῷ ἀγγείῳ ᾧ δώσω ἐγὼ τῷ Θεῷ, ἐν ἐκείνῳ ἐπιβαλεῖ μοι τὴν δωρεὰν αὐτοῦ· εἰ μικρὸν δώσω, ὀλίγην, εἰ μέγα, D πολλήν. Εὐθέως δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, ἀπελθὼν εἰργάσατο. Ὅρα τὴν ἐντρέχειαν αὐτοῦ, πῶς οὐδὲν ἠμέλησεν, ἀλλ' εὐθέως εἰργάσατο, διπλασιάζων ὃ ἔλαβεν. Ὁ γὰρ μὴ μόνον ἑαυτὸν ὠφελῶν, εἴτε λόγον ἔχοι, εἴτε πλοῦτον, εἴτε δυναστείαν παρὰ βασιλεῦσιν, εἴτε ἄλλην οἱανοῦν δύναμιν ἢ τέχνην, ἀλλὰ καὶ ἑτέρους θέλων ὠφελεῖν, ὁ τοιοῦτος διπλασιάζει τὸ δοθὲν αὐτῷ. Ὁ δὲ χώσας τὸ τάλαντον, ἐστὶν ὁ τῆς ἰδίας μόνον ὠφελείας φροντίζων, καὶ μὴ καὶ τῆς τῶν ἄλλων, ὃς καὶ κατακρίνεται. Ἀλλὰ καὶ ἐὰν εὐφυῆ ἴδῃς καὶ ἐπιτήδειον ἄνθρωπον, τῇ εὐφυΐᾳ εἰς πραγματείας καὶ δολιότητας καὶ γήϊνα πράγματα καταχρώμενον, τὸν τοιοῦτον εἰπὲ κατορύξαι τὸ τάλαντον εἰς τὴν γῆν, τουτέστιν, εἰς τὰ τῆς γῆς πράγμα-

igitur 137 est quod dicit abire ad vendentes ut emerent oleum: hoc est, mente abierunt ad pauperes, et secum cogitarunt quale bonum sit eleemosyna, sed clausa est eis janua: post vitam enim istam non est hic tempus pœnitendi et operandi. Proinde Dominus dicit illis, Nescio vos. Misericors enim et miserator Dominus nescit immisericordes. Quomodo enim dissimiles et alienos a se nosset? Scito insuper omnem animam a Deo habere illustrationem et lampadem, et omnes surgere in occursum Domini. Omnes enim desiderant occurrere et conjungi Deo, sed Deo dante lampadem et illustrationem, prudentes quidem bene operando oleum immittunt, fatuæ autem sinunt lampadem sine oleo. Excluduntur igitur non habentes bona opera, propter quæ accenditur in illis lumen: nisi enim bona opera faciamus, exstinguitur lumen Dei in nobis.

Vers. 14-19. «Sicut enim homo quidam peregre proficiscens, vocavit servos suos et tradidit illis bona sua, et huic quidem dedit quinque talenta, alii autem duo, alii vero unum, unicuique secundum propriam facultatem, et profectus est statim. Abiit autem qui quinque talenta acceperat, et operatus est in eis, et confecit altera quinque Similiter et qui duo acceperat, lucratus est ipse duo altera: qui autem unum acceperat, abiens fodit in terram, et abscondit pecuniam domini sui. Post multum vero temporis venit dominus servorum illorum, et ponit rationem cum eis.» Cum dixisset supra quod nesciatur dies quando venturus sit Dominus, apponit et parabolam hanc, ostendens quod repente venturus sit. Sicut enim homo peregre proficiscens, ita et dominus vocavit servos suos et hæc atque ista commisit. Peregre autem proficisci dicitur, qui propter nos factus est homo Christus, vel secundum quod ascendit in cœlos, vel secundum quod longanimis est et non statim exigit opus, sed exspectat. Servi autem illius quibus concreditum est sermonis ministerium, ut episcopi, sacerdotes, diaconi et spiritualia dona accipientes: illi quidem plura, hi vero minora, unusquisque secundum propriam facultatem, hoc est, secundum mensuram fidei et purificationis. In vas enim quod ego daturus sum Deo, in illud mittet donum suum: si parvum dedero, parvum dabit et ipse donum: si magnum, magnum ipse quoque dabit. Statim autem qui quinque talenta acceperat, abiit et operatus est. Vide sedulitatem illius, quomodo nihil neglexit, sed statim operatus est duplicans quod acceperat. Qui enim non solum sibi soli prodest, sive prudentiam habeat, sive divitias, sive potentiam et auctoritatem apud reges, sive quamcunque aliam vel artem vel facultatem, sed et aliis vult prodesse, is duplicat quod sibi datum est. Qui 138 autem talentum fodit in terram, is est qui suæ tantum utilitatis curam habet, et non aliorum, qui et condemnatur. Et si bonæ mentis et studiosum hominem videbis,

qui ingenio suo ad negotiationes, dolos et terrena opera abutitur, de illo dicas quod defoderit talentum suum sub terra, hoc est, in terrena opera. Post multum autem temporis venit dominus qui dederat argentum vel eloquia sua. Argentum enim igne probatum, eloquia Dei [55]: vel simpliciter omne donum quod clarum et insignem facit hominem, argentum dictum est. Et convocat illos, ut rationem ab his qui talenta acceperant, audiat.

A τα· μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ δοὺς τὸ ἀργύριον, ἢ τὰ λόγια αὐτοῦ· ἀργύριον γὰρ πεπυρωμένον, τὰ τοῦ Θεοῦ λόγια, ἢ ἁπλῶς πᾶν ὁτιοῦν χάρισμα, λαμπρὸν καὶ ἔνδοξον ποιοῦν τὸν ἔχοντα, ἀργύριον λεχθείη. Καὶ συναίρει λόγον ἀπαιτῶν καὶ λογοπραγῶν τοὺς λαβόντας.

Vers. 15-30. «Et accedens his qui quinque talenta acceperat, attulit alia quinque talenta, dicens: Domine, quinque talenta tradidisti mihi. ecce altera quinque talenta lucratus sum per ea. Ait illi Dominus ejus: Euge, serve bone et fidelis, super pauca fuisti fidelis, supra multa te constituam, intra in gaudium Domini tui. Accedens autem qui duo talenta acceperat, ait: Domine, duo talenta tradidisti mihi, ecce alia duo lucratus sum per ea. Ait illi Dominus ejus: Euge, serve bone et fidelis, super pauca fuisti fidelis, supra multa te constituam, intra in gaudium Domini tui. Accedens autem et qui unum talentum acceperat, ait: Domine, noveram te quod homo durus sis, metens ubi non seminasti. et inde congregans ubi non sparsisti, ac territus abii, abscondique talentum tuum in terra: ecce habes quod tuum est. Respondens autem Dominus ejus, dixit ei: Serve male et piger, sciebas quod metam ubi non seminavi, et congregem illinc ubi non sparsi: oportuit ergo te committere pecuniam meam mensariis, et veniens ego recepissem utique quod meum est cum usura. Tollite itaque ab eo talentum, et date ei qui habet decem talenta. Omni enim habenti dabitur, et abundabit: qui vero non habet, etiam quod habet auferetur ab eo. Et inutilem servum ejicite in tenebras exteriores; illic erit fletus et stridor dentium.» Ambo hi qui in concreditis operantur, laudantur a domino eodem modo: Euge, serve bone et fidelis, uterque audit. Per bonum autem hic omnino intelligimus misericordem et liberalem, qui suam bonitatem et proximis impartit. Qui autem super pauca fideles apparent, super multa constituuntur: nam licet hic dona consequamur, ea tamen futuris non sunt conferenda. Gaudium autem Domini, incessabilis lætitia, quam habet Deus gaudens in operibus suis, sicut David dicit[56]. Tali igitur gaudio gaudent sancti in operibus suis lætantes: sicut et contra peccatores dolent in operibus propriis: et sancti gaudent quod tam divitem habeant Dominum. Vide autem quod et is qui quinque, et is qui duo talenta acceperat, eadem bona consequantur. Quando enim quis etiam pauca acceperit, 139 et datum sibi donum, licet parvum sit, bene dispensarit, æqualem honorem adepturus est cum eo qui magna habuit et fecit. Unusquisque enim ut acceperit, ita et exclusus videbitur, si bene egerit. Porro servi grati ita se habent: at perversus et piger aliter respondet, et ut se dignum est. Durum enim dominum nominat, sicut et nunc

« Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων· Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς· Ἔφη αὐτῷ ὁ Κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν, εἶπε· Κύριε, δύο τάλαντά μοι παρέδωκας, ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. Ἔφη αὐτῷ ὁ Κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς, εἶπε· Κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας, καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε ἔχεις τὸ σόν. Ἀποκριθεὶς δὲ ὁ Κύριος αὐτοῦ, εἶπεν αὐτῷ· Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα· ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ· ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ· καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. » Οἱ μὲν ἐπεργασάμενοι τοῖς δοθεῖσιν, ἐπαινοῦνται ὑπὸ τοῦ δεσπότου ὁμοίως ἀμφότεροι, Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἑκάτερος αὐτῶν ἀκούων· ἀγαθὸν δὲ ἐνταῦθα πάντως τὸν φιλάνθρωπον, τὸν ἄφθονον νοοῦμεν, ὃς τὴν οἰκείαν ἀγαθότητα καὶ τοῖς πλησίον ἐφαπλοῖ· ἐπὶ ὀλίγα δὲ πιστοὶ φανέντες, ἐπὶ πολλῶν καθίστανται. Καὶ γὰρ εἰ καὶ ἐνταῦθα χαρισμάτων ἀξιούμεθα, ὅμως οὐδέν εἰσι ταῦτα πρὸς τὰ μέλλοντα ἀγαθά. Χαρὰ δὲ τοῦ Κυρίου, ἡ ἄληκτος εὐφροσύνη, ἣν ἔχει ὁ Θεὸς, εὐφραινόμενος ἐπὶ τοῖς ἔργοις αὐτοῦ, ὡς ὁ Δαυῒδ λέγει. Τοιαύτην οὖν εὐφροσύνην εὐφραίνονται καὶ οἱ ἅγιοι ἐπὶ τοῖς ἔργοις αὐτῶν· ὥσπερ οὖν οἱ ἁμαρτωλοὶ λυποῦνται ἐπὶ τοῖς οἰκείοις ἔργοις, καὶ μεταμέλονται· καὶ τὸν Κύριον δὲ πλοῦτον ἔχοντες οἱ ἅγιοι, χαίρουσιν ἐπ' αὐτῷ. Ὅρα δὲ ὅτι καὶ ὁ τὰ πέντε τάλαντα λαβὼν, καὶ ὁ τὰ δύο, τῶν αὐτῶν ἀγαθῶν ἀξιοῦνται. Ὅταν γάρ τις, καὶ ὀλίγα λαβὼν, ὅμως τὴν δοθεῖσαν αὐτῷ χάριν, κἂν μικρὰ εἴη, καλῶς οἰκονομήσῃ, ἴσην τιμὴν ἀπολήψεται τῷ μεγάλων ἀξιωθέντι καὶ κατορθώσαντι. Ἕκαστος γὰρ καθ' ὃ ἔλαβε, κατὰ τοῦτο καὶ ἄκρος δοκεῖ, ἐὰν κατορθώσῃ. Ἀλλ' οἱ μὲν εὐγνώμονες δοῦλοι, τοιοῦτοι· ὁ δὲ πο-

[55] Psal. xi, 7. [56] Psal. civ, 5.

νηρὸς καὶ ὀκνηρὸς ἄλλως ἀπολογεῖται, καὶ ἑαυτοῦ ἀξίως. Σκληρὸν γὰρ ὀνομάζει τὸν δεσπότην, ὥσπερ καὶ νῦν πολλοὶ τῶν διδασκόντων λέγουσι· Σκληρόν ἐστι τὸ ζητεῖν παρὰ ἀνθρώπων ὑπακοὴν οἷς οὐκ ἐνεποίησεν ὁ Θεὸς τὸ ὑπήκοον, οὐδὲ ἐνέσπειρεν αὐτοῖς τὸ εὐπειθές· τοῦτο γὰρ αἰνίττεται διὰ τοῦ εἰπεῖν· Θερίζεις ὅπου οὐκ ἔσπειρας, τουτέστιν, ᾧτινι οὐκ ἐνέσπειρας τὸ εὐπειθὲς, ἀπαιτεῖς παρ' ἐκείνου τὸ εὐπειθές. Λέγων δὲ σκληρὸν τὸν δεσπότην ὁ δοῦλος, ἑαυτὸν κατακρίνει. Ἐπεὶ γὰρ σκληρὸς ἦν, ὤφειλε μᾶλλον ἐπιμελεῖσθαι, ὡς σκληρὸν καὶ ἀπηνῆ ἔχων δεσπότην. Εἰ γὰρ τὰ ἑτέρων ἀπαιτεῖ, μᾶλλον τὰ ἑαυτοῦ ἀπαιτήσει· ὥστε ἔδει καὶ σὲ πλεονάσαι ὃ ἔλαβες, καὶ ποιῆσαι μαθητὰς, ἀφ' ὧν ἀπῄτησεν ἂν τὸ ὀφειλόμενον (33). Τραπεζίτας γὰρ τοὺς μαθητὰς ὀνομάζει, ὡς δοκιμάζοντας ἢ ἀποδοκιμάζοντας τὸν λόγον· τόκον δὲ ἀπαιτεῖ παρὰ τῶν μαθητῶν τὴν τῶν ἔργων ἐπίδειξιν. Ὁ γὰρ μαθητὴς, λαμβάνων παρὰ τοῦ διδασκάλου τὸν λόγον, ἔχει μὲν καὶ αὐτὸν, καὶ ἀποδίδωσιν αὐτὸν ὁλόκληρον· προσδίδωσι δὲ καὶ τόκον τὴν ἐργασίαν τοῦ ἀγαθοῦ. Αἴρεται οὖν ἀπὸ τοῦ πονηροῦ καὶ ὀκνηροῦ δούλου τὸ χάρισμα. Ὁ γὰρ λαβὼν χάρισμά τι εἰς τὸ ὠφελῆσαι ἄλλους, καὶ μὴ κεχρημένος τούτῳ, καὶ αὐτὸ ἀπόλλυσιν· ὁ δὲ πλείονα σπουδὴν ποιησάμενος, πλείονα ἐπισπᾶται καὶ τὴν δωρεάν. Τῷ γὰρ ἔχοντι σπουδὴν δοθήσεται πλείων ἡ χάρις, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος σπουδὴν καὶ τὸ χάρισμα ὃ δοκεῖ ἔχειν, ἀρθήσεται· ὁ γὰρ μὴ σπουδὴν ἔχων, μηδὲ ἐπεργασάμενος οἷς ἔλαβεν, οὐκ ἔχει τὸ χάρισμα, ἀλλὰ δοκεῖ ἔχειν· ἠμαύρωσε γὰρ τοῦτο διὰ τῆς ἀμελείας.

« Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. » Ἐπειδὴ ἡ πρώτη παρουσία τοῦ Κυρίου ἐν ἀτιμίᾳ γέγονε καὶ ὕβρει, φησὶ τὸ, Ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ. Ἐν γὰρ τῇ δευτέρᾳ μετὰ δόξης ἐλεύσεται, ἀγγέλων δορυφορούντων αὐτόν. Πρῶτον δὲ ἀφορίζει τοὺς ἁγίους ἀπὸ τῶν ἁμαρτωλῶν, ἀπαλλάσσων αὐτοὺς ἀγωνίας, καὶ ἵστησι, καὶ τότε φωνεῖ πρὸς αὐτούς. Πρόβατα μὲν οὖν καλεῖ τοὺς ἁγίους, διὰ τὸ ἥμερον, καὶ ὅτι καρπὸν ἡμῖν διδόασι καὶ ὠφέλειαν ὡς τὰ πρόβατα, καὶ ἔριον χορηγοῦντες ἤτοι σκέπην θείαν καὶ πνευματικὴν, καὶ γάλα, τουτέστι τροφὴν προσήκουσαν· ἐρίφους δὲ, τοὺς ἁμαρτωλούς· κατὰ κρημνῶν γὰρ βαδίζουσι, καὶ ἄτακτοί εἰσι καὶ ἄκαρποι ὡς οἱ ἔριφοι.

« Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομή-

multi doctorum dicunt. Durum quidem requirere ab hominibus obedientiam, quibus Deus non indidit obedientiam et persuasibilitatem, hoc enim insinuat dicens : Metis ubi non seminasti, hoc est, cui non dedisti ut obediret, exigis ab illo ut obediat. Dicens autem durum dominum servus seipsum condemnat. Nam quoniam durus erat, debebat magis diligens esse, utpote durum et crudelem dominum sortitus. Num si aliena exigit, multo magis sua exiget : atque ita oportebat et te multiplicare quæ acceperas, et facere discipulos a quibus debitum repeteret. Nummularios autem discipulos nominat, tanquam eos qui probent aut reprobent sermones. Verum usuram exigit a discipulis, operum scilicet exhibitionem. Discipulus enim a doctore sermonem accipiens, habet quidem illum et reddit integrum, addit autem et usuram, boni operationem. Tollitur itaque a malo et segni servo donum. Qui enim donum aliquod in aliorum utilitatem accepit, nec eo utitur, illud etiam perdit : qui vero multiplicare studet, majorem sibi conciliabit gratiam. Diligentiam enim adhibenti dabitur major gratia, ita ut abundet. Studium autem non adhibens, et dono quod videtur habere privabitur. Negligens enim, et qui non operatur per ea quæ accepit, non habet donum, sed videtur habere : nam perdidit sua negligentia.

VERS. 31-33. « Cum autem venerit Filius hominis in gloria sua, et omnes sancti angeli cum eo, tunc sedebit super sedem gloriæ suæ, et congregabuntur ante eum omnes gentes, et separabit eos ab invicem, quemadmodum pastor segregat oves ab hœdis, et statuet quidem oves a dextris suis, hœdos autem a sinistris. » Quoniam primus adventus Domini in ignominia fuit et opprobriis, dicit, Cum venerit in gloria sua. In secundo enim cum gloria aderit, angelis ipsum stipantibus. Primum autem separat sanctos a peccatoribus, liberans eos a labore, et statuit, et tunc loquitur eis. Itaque oves vocat sanctos, quia mansueti sunt, et fructum nobis ac utilitatem dant ut oves lanam suppeditantes, videlicet divinum et spiritualem amictum : et lac, hoc est, cibum congruum : hœdos autem peccatores : in præceps enim vadunt, et incompositi sunt, et steriles ut hœdi.

VERS. 34-40. « Tunc dicet 140 rex his qui a dextris sibi erunt : Venite, benedicti Patris mei,

**Ex collatione codd. Venet. S. Marci.**

(32) Cod. 32 addit : Τῶν δούλων γὰρ ἐστι τὸ μεταδοῦναι, τοῦ δὲ δεσπότου τὰ ἀπαιτῆσαι· λέγει οὖν ὁ δοῦλος πρὸς τὸν δεσπότην· Σκληρὸν, φησὶ, συνειδὸν τὸ ἐπίταγμά σου, τὸ ζητεῖν παρὰ ἀνθρώπων ὑπακοὴν, οἷς οὐκ ἐνεποίησας διὰ τοῦ λόγου τὸ εὐπειθὲς, διὸ φοβηθεὶς μὴ ἄπρακτος γένωμαι, τὸ κατ' ἐμαυτὸν μόνον ἐφύλαξα, τὸ δὲ περὶ ἑτέρους οὐκ ἐσπούδασα, Τραπεζίτας, κ. τ. λ. « Servorum enim est reddere, domini vero repetere. Affatur itaque servus dominum : Austerum, inquit, vidi esse mandatum tuum qui obedientiam ab hominibus exigis, quibus scilicet per rationem facilitatem obediendi non tribuisti; idcirco timens, ne a ministerio exciderem, id tantum, quod a me pertinebat, custodivi: quod autem aliorum erat, neglexi. *Nummularios autem*, » etc.

possidete regnum in hæreditatem paratum vobis ab exordio mundi. Esurivi enim, et dedistis mihi edere: sitivi, et dedistis mihi bibere: hospes eram, et collegistis me: nudus, et operuistis me: infirmus, et visitastis me: in carcere eram, et venistis ad me. Tunc respondebunt ei justi, dicentes: Domine, quando te vidimus esurientem, et pavimus? aut sitientem, et dedimus tibi potum? Quando autem vidimus hospitem, et collegimus te? aut nudum, et cooperuimus te? Aut quando te vidimus infirmum, aut in carcere, et venimus ad te? Et respondens rex dicet illis: Amen dico vobis, quatenus fecistis uni de his fratribus meis minimis, mihi fecistis.» Non antea præmiat vel punit, quam dijudicet. Misericors enim est, et nos docet id ipsum, quod non antea debeamus punire, quam rem discusserimus. Sic enim excusatione magis carebunt, qui præcedente judicio puniuntur. Porro sanctos vocat benedictos, ut a Patre susceptos. Hæredes autem ipsos facit regni, ostendens quod Deus eos participes faciet gloriæ suæ, ut filios suos. Non enim dixit, Accipite: sed, Possidete in hæreditatem, ut paternam substantiam. Jam fratres minimos vocat vel suos discipulos, vel omnes simpliciter pauperes. Omnis enim pauper frater est Christi quatenus pauper: quandoquidem et Christus in egestate vixit. Vide autem Dei justitiam quomodo laudet ac prædicet sanctos. Vide item et illorum candorem quomodo propter modestiam negent se illum pavisse: sed Dominus ea quæ pauperibus sunt facta, in semetipsum suscipit.

VERS. 41-46. « Tunc dicet et his qui a sinistris erunt, Discedite a me, maledicti in ignem æternum, qui paratus est diabolo et angelis ejus. Esurivi enim, et non dedistis mihi cibum: sitivi, et non dedistis mihi potum: hospes eram, et non me collegistis: nudus, et non operuistis me: infirmus et in carcere eram, et non visitastis me. Tunc respondebunt ei et ipsi dicentes: Domine, quando vidimus te esurientem, aut sitientem, aut hospitem, aut nudum, aut infirmum, aut in carcere, et non ministravimus tibi? Tunc respondebit illis, dicens: Amen dico vobis, quatenus non fecistis uni de minimis his, nec mihi fecistis. Et ibunt hi in supplicium æternum, justi vero in vitam æternam.» Eos qui a sinistris, in ignem mittit qui præparatus est diabolo. Quia enim compassionis expertes sunt diaboli, et hostiliter et inimice erga nos affecti sunt: merito idem supplicium habent, qui ejusdem voluntatis sunt, qui et propriis operibus maledicti facti sunt. Vide autem quod Deus ignem non præparavit hominibus: supplicium enim non fecit propter nos, sed propter diabolum: ego autem memetipsum supplicio facio obnoxium. Horresce igitur, o homo, cum cogitaveris
141 hoc, quod illi neque ut scorta, neque ut latrones, neque ut qui grave aliud flagitium perpetrarunt, puniuntur, sed ut hi qui bonum non fecerunt. Profecto si bene consideras, raptor est qui multa habet, et non miseretur, etiamsi neminem manifesta con-

A σατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες· Κύριε, πότε σε εἴδομεν, πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν; Πότε δέ σε εἴδομεν ξένον, καὶ συνηγάγομεν; ἢ γυμνόν, καὶ περιεβάλομεν; Πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρός σε; Καὶ ἀποκριθεὶς ὁ βασιλεύς, ἐρεῖ αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.» Οὐ πρότερον τιμᾷ ἢ κολάζει, πρὶν ἢ δικάσηται. Φιλάνθρωπος γάρ ἐστι, καὶ ἡμᾶς δὲ τοῦτ' B αὐτὸ παιδεύει, μὴ πρότερον κολάζειν πρὶν ἂν ἐξετάσωμεν. Οὕτω γὰρ ἀναπολόγητοι μᾶλλον ἔσονται οἱ μετὰ δικαστήριον κολασθέντες. Εὐλογημένους δὲ καλεῖ τοὺς ἁγίους, ὡς ὑπὸ τοῦ Πατρὸς ἀποδεχθέντας. Κληρονόμους δὲ αὐτοὺς ποιεῖται τῆς βασιλείας, ἵνα δείξῃ ὅτι κοινωνοὺς αὐτοὺς ποιεῖ ὁ Θεὸς τῆς ἑαυτοῦ δόξης, ὡς υἱοὺς αὐτοῦ. Οὐ γὰρ εἶπε, Λάβετε, ἀλλά, Κληρονομήσατε, οἱονεί τινα πατρῴαν περιουσίαν. Ἀδελφοὺς δὲ ἐλαχίστους καλεῖ, ἢ τοὺς αὐτοῦ μαθητάς, ἢ πάντας ἁπλῶς τοὺς πένητας. Πᾶς γὰρ πένης, ἀδελφός ἐστι τοῦ Χριστοῦ κατ' αὐτὸ τοῦτο, ἐπεὶ καὶ ὁ Χριστὸς ἐν πενίᾳ διήγαγεν. Ὅρα δὲ καὶ τὴν τοῦ Θεοῦ δικαιοσύνην, πῶς ἀνακηρύττει τοὺς ἁγίους. Ὅρα καὶ τὴν ἐκείνων εὐγνωμοσύνην, πῶς δι' ἐπιείκειαν ἀρνοῦνται τὸ θρέψαι· ἀλλ' ὁ Κύριος τὰ εἰς C τοὺς πένητας γενόμενα εἰς ἑαυτὸν ἀναδέχεται.

« Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνός, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε ἀποκριθήσονται καὶ αὐτοί, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνόν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.» Τοὺς ἐξ D εὐωνύμων εἰς τὸ πῦρ ἐκπέμπει, ὃ ἡτοίμασται τῷ διαβόλῳ. Ἐπεὶ γὰρ ἀσυμπαθεῖς εἰσιν οἱ δαίμονες, καὶ ἀπηνῶς διάκεινται καὶ ἐχθρωδῶς πρὸς ἡμᾶς, εἰκότως τῆς αὐτῆς τιμωρίας ἀξιοῦνται οἱ τῆς αὐτῆς γνώμης ὄντες, οἳ καὶ ἐκ τῶν ἰδίων αὐτῶν ἔργων ἐπικατάρατοι ἐγένοντο. Ὅρα δὲ ὅτι οὐχ ἡτοίμασεν ὁ Θεὸς τὸ πῦρ τοῖς ἀνθρώποις, οὐδὲ τὴν κόλασιν ἐποίησε δι' ἡμᾶς, ἀλλὰ διὰ τὸν διάβολον, ἐγὼ δὲ ποιῶ ἐμαυτὸν τῇ κολάσει ὑπόδικον. Φρίξον δέ, ἄνθρωπε, ἐννοήσας ἐντεῦθεν ὅτι ἰδοὺ οὗτοι οὔτε ὡς πόρνοι, οὔτε ὡς ἅρπαγες, οὔτε ὡς ἄλλο τι πλημμελήσαντες κακόν, κολάζονται, ἀλλ' ὡς μὴ ποιήσαντες ἀγαθόν. Τῷ ὄντι γὰρ ἐὰν καλῶς σκοπήσῃς, ἅρπαξ ἐστὶν ὁ πολλὰ ἔχων καὶ μὴ ἐλεῶν, κἂν μηδένα [illegible] προδήλως. [illegible]

γὰρ ἔχει περισσότερα τοῦ δέοντος, ἥρπασε πάντως ἀπὸ τῶν χρῃζόντων μὲν, μὴ λαμβανόντων δὲ ἐξ αὐτοῦ. Εἰ γὰρ εἰς κοινὸν ταῦτα κατέθηκεν, ἦσαν ἂν κἀκεῖνοι ἀνενδεεῖς· νῦν δὲ ἐπεὶ ἀπέκλεισε ταῦτα, καὶ ἰδιοποιήσατο, διὰ τοῦτο πένονται ἐκεῖνοι. Ὥστε ὁ ἀνελεήμων ἅρπαξ ἐστὶ τοσούτους ἀδικῶν ὅσους εὐεργετεῖν ἠδύνατο, καὶ οὐκ εὐηργέτησεν, ὅθεν ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον καὶ μηδέποτε λήγουσαν· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Ὥσπερ γὰρ οἱ ἅγιοι ἄπαυστον ἔχουσι χαρὰν, οὕτω καὶ οἱ ἄδικοι ἄπαυστον κόλασιν, κἂν Ὠριγένης φλυαρῇ λέγων ὅτι ἐστὶ κολάσεως τέλος, καὶ οὐκ ἀεὶ τιμωρηθήσονται οἱ ἁμαρτωλοὶ, ἀλλ' ἔσται, ὅτε εἰς τὸν τῶν δικαίων τόπον ἐλεύσονται, διὰ τῆς κολάσεως καθαρθέντες. Ἐλέγχεται γὰρ ἐντεῦθεν φανερῶς, τοῦτο μὲν, ἐν οἷς λέγει ὁ Κύριος· κόλασιν αἰώνιον, τουτέστιν οὐδέποτε λήγουσαν, τοῦτο δὲ, ἐν οἷς προβάτοις μὲν παρεικάζει τοὺς δικαίους, ἐρίφοις δὲ τοὺς ἁμαρτωλούς. Ὥσπερ γὰρ ἔριφος οὐκ ἄν ποτε γένοιτο πρόβατον, οὕτως οὐδὲ ὁ ἁμαρτωλὸς καθαρθήσεταί ποτε, καὶ δίκαιος γενήσεται· σκότος δὲ ἐξώτερον, τὸ πορρώτερον τοῦ φωτὸς τοῦ θείου, καὶ διὰ τοῦτο καὶ χαλεπωτέραν ποιοῦν τὴν κόλασιν. Ἔστι δὲ καὶ αἰτίαν τήνδε εἰπεῖν εἰς τοῦτο, ὁ ἁμαρτωλὸς καὶ ἐνταῦθα μὲν σκότος ἔχει, ἐκπεσὼν τοῦ τῆς δικαιοσύνης Ἡλίου, ἀλλ' ἐπεὶ ἐλπίς ἐστι μεταβολῆς, διὰ τοῦτο οὐκ ἔστι τὸ σκότος τοῦτο ἐξώτερον· μεθὸ μέντοι ἀποθάνοι, καὶ ἐπισταίη ἡ τῶν πεπραγμένων ἐξέτασις, διαδέχεται αὐτὸν καὶ ἐξώτερον· οὐκ ἔτι γὰρ ἐλπίς ἐστι μεταβολῆς, ἀλλὰ παντελῆ στέρησιν τῶν τοῦ Θεοῦ ἀγαθῶν ὑφίσταται. Ἐν ὅσῳ γὰρ ἐνταῦθά ἐστι, κἂν μετρίως ἀπολαύῃ τῶν τοῦ Θεοῦ ἀγαθῶν, τῶν αἰσθητῶν τῆς κτίσεως λέγω, καὶ δοκεῖ δοῦλος εἶναι ὁπωσοῦν τοῦ Θεοῦ, ἐν τῷ οἴκῳ αὐτοῦ τῇ κτίσει ταύτῃ διάγων, καὶ ὑπ' αὐτοῦ τρεφόμενος καὶ διεξαγόμενος· τότε δὲ παντάπασιν ἀποκόπτεται τοῦ Θεοῦ, οὐδενὸς μετέχων τῶν αὐτοῦ ἀγαθῶν. Τοῦτο ἐστι τὸ σκότος, συγκριτικῶς λεγόμενον ἐξώτερον, ὡς πρὸς τὸ ἐνταῦθα. Ὅπερ οὐκ ἔστιν ἐξώτερον, ὡς μὴ παντελῶς ἀποκοπτομένου ἐντεῦθεν ἤδη τοῦ ἁμαρτωλοῦ. Ἀλλὰ σὺ φεῦγε τὸ ἄσπλαγχνον, καὶ τὴν ἐλεημοσύνην ἐργάζου καὶ αἰσθητῶς μὲν, πλὴν ἀλλὰ καὶ πνευματικῶς. Θρέψον γὰρ τὸν Χριστὸν πεινῶντα τὴν ἡμετέραν σωτηρίαν· ἀλλὰ καὶ τὸν πεινῶντα διδασκαλίας ἐὰν θρέψῃς καὶ ποτίσῃς, ἔθρεψας Χριστὸν καὶ ἐπότισας. Ὁ γὰρ ἐν τῷ Χριστιανῷ Χριστὸς καὶ ἡ πίστις τρέφεται καὶ αὔξεται διὰ τῆς διδασκαλίας. Ἀλλὰ κἂν ἴδῃς τινὰ, ξένον γινόμενον τῆς ἄνω πατρίδος, συνεισάγαγε, τουτέστι, σὺν τῷ καὶ αὐτὸς εἰσέρχεσθαι εἰς οὐρανοὺς, εἰσάγαγε κἀκεῖνον, μὴ ἄλλοις κηρύσσων, αὐτὸς δὲ ἀδόκιμος ὤν· κἂν τις τὸ τῆς ἀφθαρσίας ἱμάτιον ἀποβάλῃ, ὃ διὰ τοῦ βαπτίσματος ἔσχε, καὶ γυμνωθείη, ἔνδυσον αὐτόν, καὶ τὸν ἀσθενοῦντα τῇ πίστει, ὡς ὁ Παῦλός φησι, προσλαβοῦ· καὶ τὸν καθειργμένον ἐν τῇ φυλακῇ, τῷ σώματι τούτῳ τῷ σκοτεινῷ, ἐπίσκεψαι, ὥσπερ τι φέγγος αὐτῷ τὴν νουθεσίαν δωρούμενος. Ταῦτα πάντα τὰ ἓξ εἴδη τῆς ἀγάπης ἐπιτέλει μὲν καὶ σωματικῶς, πλὴν ἀλλὰ καὶ ψυχικῶς· διπλῶν γὰρ ὄντων ἡμῶν, ἐκ ψυχῆς καὶ σώματος, δύνανται ταῦτα διπλῶς κατορθωθῆναι.

A tumelia afficiat. Quia enim quædam habet quibus non indiget, rapit omnino ab his qui egent, et non accipiunt ab ipso. Nam si in commune ea posuisset, fuissent utique et illi non indigi: nunc autem quia reclusit, et propria fecit, propterea illi esuriunt: atque ita et raptor est qui immisericors, tot injuria afficiens, quot beneficiis afficere potuit, et non affecit. Ideo ibunt hi in supplicium æternum et nunquam finiendum; justi vero in vitam æternam. Nam sicut sancti incessabile habent gaudium, ita injusti indesinentem pœnam: tametsi Origenes nugetur dicens fore suppliciorum finem, et non semper puniendos peccatores, sed fore aliquando tempus, quando in justorum venturi sint consortium purgati a pœnis. Arguitur autem ex hoc loco
B manifeste, nam Dominus dicit: supplicium æternum, hoc est, nunquam desinens. Unde et ovibus comparat justos, hædis autem peccatores: sicut enim hœdus nunquam fit ovis, sic nunquam peccator purgabitur et erit justus. Tenebræ autem exteriores, quæ procul sunt a luce divina, et propterea graviorem faciunt pœnam. Potest item causa quædam afferri ad hæc. Peccator enim in hac vita in tenebris est, nam excidit a sole justitiæ: sed quia spes est conversionis, propterea non sunt tenebræ illæ exteriores. Porro ubi mortuus fuerit, et institerit examen factorum, excipiunt eum exteriorse. Non enim ultra conversionis spes est, sed sustinet omnigenam divini splendoris privationem.
C Quandiu enim hic est, etiamsi bona Dei minus ubertim suscipiat [loquor de sensibilibus et creatis], videtur esse quodammodo servus Dei dum in domo ejus, hoc est in creaturis, versatur, ab ipsoque alitur et educatur. Tunc autem omnibus modis a Deo dividitur, nihil commune cum illius bonis habens. Hæ sunt per comparationem ad has tenebræ exteriores, eo quod hic non omnibus modis peccator resecatur. At tu fuge immisericordiam et fac eleemosynas, et alias quidem sensibiles, alias autem spirituales. Pasce Christum, qui esurit salutem nostram. Sed et esurientem doctrinas si paveris et potaveris, pavisti Christum et potasti. In Christiano enim Christus est, et fides alitur et crescit doctrinis. Sed et si videris peregrinum a superna
D patria, tecum et collige, hoc est, dum ingrederis in cœlos, introduc et illum, ne aliis prædicans ipse sis reprobus. Et si quis incorruptionis vestem abjecerit, quam per baptismum induit, et nudus sit, 144 indue illum. Et infirmum fide (ut Paulus dicit[57]) assume: et vinctum in carcere, hoc est corpore illo tenebroso, invise, illi quasi splendorem admonitionem donans. Hax sex species charitatis omnes imple quidem corporaliter; imple autem et spiritualiter; nam cum duplicis naturæ simus, ex anima et corpore, possunt hæc et bifariam perfici.

[57] I Cor. III, 2.

## CAPUT XXVI.

*De Magdalena Dominum ungente. De Paschate. De mystica cœna. De traditione Christi. De negatione Petri.*

VERS. 1. « Et factum est, cum consummasset Jesus sermones hos omnes, dixit discipulis suis : Scitis quia post biduum Pascha fiet, et Filius hominis tradetur ut crucifigatur. » Quia regni meminit et retributionis, tempestive consequenter et de passione sua disserit, quasi dicens : Etiam hi qui me crucifixerint, igne punientur.

VERS. 2-5. « Tunc congregati sunt principes sacerdotum, et scribæ, et seniores populi, in atrium principis sacerdotum, qui dicebatur Caipha, et consilium inierunt ut Jesum dolo tenerent et occiderent. Dicebant autem : Non in die festo, ne tumultus fiat in populo. » Cum lex præciperet ut unum tantum haberent pontificem per omne illius vitæ tempus, illi contra legem multos faciebant, quos quotannis mutabant : idcirco ad pontificem illius anni veniunt de homicidio consilium inituri, ubi oportebat magis homicidas puniri. Principes autem sacerdotum dicit eos qui jam annuo munere functi fuerant. Cæterum sceleratam cædem perpetraturi, non Deum, sed turbam timebant. Timuerunt enim ne quo pacto, si in die festo illum occiderent, turba in ultionem excitaretur. Vel etiam quia tunc offerenda erant omnia sacrificia in lege decreta, ne populus propter homicidium a sacrificiis absisteret, perderentque ipsi lucrum quod ex sacrificiis habebant. Fortassis autem et hoc timuerunt, ne forte in die festo occiso, illius mors nobilior et clarior fieret : optabant enim memoriam ejus abolere. Illi igitur ante festum consilium inierunt, ut vel forte post diem festum occiderent. At non quando illi voluerunt, sed quando ipse voluit pati, se capiendum eis permisit, per tempus scilicet Paschæ, ut quando typicum Pascha, tunc et verum Pascha fieret. Discere autem et illos cædis avidos fuisse possumus. Nam qui nolebant illum occidere indie festo, cum invenerunt proditorem, tunc occiderunt contempta etiam turba, modo voluntas eorum fieret.

VERS. 6, 7. « Cum autem esset Jesus in Bethania in domo Simonis leprosi, accessit ad eum mulier habens alabastrum unguenti pretiosi, et effudit super caput ipsius recumbentis. » 143 Quidam dicunt tres esse mulieres quæ unxerint Dominum unguento, quarum etiam quatuor evangelistæ meminerunt ; alii autem duas dicunt : unam apud Joannem, quæ est Maria soror Lazari : aliam, cujus Matthæus nunc meminit, quæ eadem cum illa quæ apud Marcum et Lucam. Simonem autem hunc leprosum quidam dicunt fuisse patrem Lazari, quem Christus a lepra purificavit, et apud cum cœnarit. Dicitur autem quod et Jesus qui dixerat discipulis suis : Abite ad quemdam, et ostendet vobis cœnaculum stratum, ad illum

A

## ΚΕΦΑΛ. ΚϚ'.

Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ. Περὶ τοῦ πάσχα. Περὶ τοῦ μυστικοῦ δείπνου. Περὶ τῆς παραδόσεως τοῦ Χριστοῦ. Περὶ τῆς ἀρνήσεως τοῦ Πέτρου.

« Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Οἴδατε; ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται. Καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. » Ἐπειδὴ βασιλείας ἐμνήσθη καὶ ἀνταποδόσεως, εὐκαίρως λοιπὸν καὶ τοῦ πάθους τοῦ οἰκείου διαλέγεται, μονονουχὶ τοῦτο λέγων, ὅτι Καὶ οἱ σταυρώσαντές με τοῦ πυρὸς ἀξιωθήσονται.

« Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα, καὶ συνεβουλεύ-
B σαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν· Ἔλεγον δέ· Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ. » Τοῦ νόμου κελεύοντος ἕνα εἶναι ἀρχιερέα διὰ βίου, πολλοὺς ἐποίουν αὐτοὶ παρανόμως, ἀμείβοντες αὐτοὺς κατ' ἐνιαυτόν· διὸ καὶ πρὸς τὸν τοῦ ἐνιαυτοῦ ἐκείνου ἀρχιερέα ἔρχονται βουλευσόμενοι περὶ φόνου, ὅθεν ἔδει μᾶλλον τοὺς φονευτὰς κολάζεσθαι· ἀρχιερεῖς δὲ λέγει τοὺς πεπληρωκότας ἤδη τὴν ἐνιαύσιον λειτουργίαν. Τὸν δὲ ἀνόσιον φόνον μέλλοντες πράξειν, οὐχὶ τὸν Θεὸν, ἀλλὰ τὸν ὄχλον φοβοῦνται. Ἐδεδίεσαν γὰρ μή πως, ἐν τῇ ἑορτῇ φονευσάντων αὐτὸν, διεγερθῇ ὁ ὄχλος εἰς ἄμυναν, ἢ καὶ τοῦ προσάγειν τὰς νενομισμένας θυσίας ἀπόσχηται διὰ τὴν μιαιφονίαν αὐτῶν, καὶ
C ἀπολέσωσιν αὐτοὶ τὰ ἐκ τῶν θυσιῶν κέρδη· Ἴσως δὲ καὶ τοῦτο ἐφοβοῦντο, μήποτε ἐν τῇ ἑορτῇ φονευθέντος, ἐπίσημος γένηται καὶ ἔνδοξος αὐτοῦ ὁ θάνατος· αὐτοὶ γὰρ ἠβούλοντο ἀφανίσαι τὸ μνημόσυνον αὐτοῦ. Ἐκεῖνοι μὲν οὖν οὕτω πρὸ τῆς ἑορτῆς βουλευθέντες μετὰ τὴν ἑορτὴν τάχα φονεῦσαι· ὁ δὲ, δεικνὺς, ὅτι οὐχ ὅτε ἤθελον, ἀλλ' ὅτε ἠθέλησεν αὐτὸς, πάσχει, συνεχώρησεν αὐτοῖς κατὰ τὸν καιρὸν τοῦ Πάσχα συλλαβεῖν· ἵνα ὅτε τὸ τυπικὸν Πάσχα ἐγίνετο, τότε καὶ τὸ ἀληθινὸν Πάσχα ἐκβαίη. Ἔστι δὲ καὶ τὴν μιαιφονίαν αὐτῶν καταμαθεῖν. Οἱ γὰρ μὴ βουλόμενοι ἐν τῇ ἑορτῇ φονεῦσαι αὐτὸν, ὅτε εὗρον τὸν προδιδόντα, τότε φονεύουσι, καταφρονήσαντες καὶ τοῦ ὄχλου, μόνον ἵνα τὸ θέλημα αὐτῶν γένηται.

« Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβα-
D στρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. » Τινὲς τρεῖς λέγουσιν εἶναι τὰς ἀλειψάσας τὸν Κύριον γυναῖκας, ὧν καὶ οἱ τέσσαρες εὐαγγελισταὶ μέμνηνται· ἄλλοι δὲ δύο ταύτας φασὶ, μίαν τὴν παρὰ τῷ Ἰωάννῃ, ἥτις ἐστὶ Μαρία ἡ ἀδελφὴ τοῦ Λαζάρου, καὶ τὴν νῦν παρὰ τῷ Ματθαίῳ μνημονευομένην, ἥτις ἐστὶν ἡ αὐτὴ τῇ παρὰ τῷ Λουκᾷ καὶ τῷ Μάρκῳ. Τὸν δὲ Σίμωνα τοῦτον τὸν λεπρὸν, φασί τινες καὶ πατέρα εἶναι τοῦ Λαζάρου, ὃν ἀπὸ τῆς λέπρας καθαρίσας, εἱστιᾶτο παρ' αὐτῷ. Λέγεται δὲ ὅτι καὶ ὁ Κύριος εἰπὼν τοῖς μαθηταῖς, Ἀπέλθετε πρὸς τὸν δεῖνα, καὶ δείξει ὑμῖν ἀνώγεων ἐστρωμένον, πρὸς τοῦτον ἀποστέλλει αὐ-

τούς · ἀμέλει καὶ ὑποδέξατο, ὥς φασι, τὸν Κύριον, καὶ παρ' αὐτῷ τὸ Πάσχα ἐτέλεσεν. Ἡ γοῦν γυνὴ ἰδοῦσα τὸν λεπρὸν καθαρισθέντα, ἐθάῤῥησεν ὡς καὶ αὐτὴ τῆς ἀφέσεως τεύξεται, καὶ καθαρισθήσεται τὴν ψυχικὴν λέπραν · πίστιν δὲ πολλὴν ἐνεδείξατο, τὸ οὕτω τίμιον μύρον καταχέασα, καὶ ἀπειδήσασα τούτου · ἐπὶ τὴν κεφαλὴν δὲ τοῦτο καταχέει, τῷ κυριωτάτῳ μέρει τὴν τιμὴν προσάγουσα. Καὶ σὺ γοῦν εἰ λέπραν ἔχεις ψυχικὴν καὶ φαρισαϊκὴν, τετυφωμένην ἤτοι ἀποκεκομμένην Θεοῦ, δέξαι τὸν Ἰησοῦν εἰς τὴν οἰκίαν σου, καὶ μύρισον αὐτὸν τῷ μύρῳ τῶν ἀρετῶν · δύνασαι γὰρ καθάραντί σε τῆς λέπρας τῷ Ἰησοῦ σκευάσαι μύρον, καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ καταχέαι. Τίς δὲ ἡ κεφαλὴ τοῦ Χριστοῦ, ἢ ἡ θεότης αὐτοῦ, πρὸς ἣν ἡ εὐωδία τῶν ἀρετῶν προσφέρεται; « Κατευθυνθήτω γὰρ, φησὶν, ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, Κύριε. » Εὐωδίαν οὖν τὴν ἐκ τοῦ πολυσυνθέτου μύρου τῶν ἀρετῶν προσάγαγε τῇ θεότητι τοῦ Χριστοῦ · ἀλλὰ δὴ καὶ εἰ μὴ μόνον ἄνθρωπον ψιλὸν αὐτὸν δογματίζεις, ἀλλὰ καὶ Θεὸν, τότε τὴν κεφαλὴν αὐτοῦ ἤτοι τὴν θεότητα εὐωδίασας, τουτέστιν, ἐθεολόγησας

« Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἠγανάκτησαν, λέγοντες · Εἰς τί ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς. Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς · Τί κόπους παρέχετε τῇ γυναικί; Ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ · πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. » Οἱ μαθηταὶ πολλὰ περὶ ἐλεημοσύνης ἀκούσαντες, καὶ πολὺν αὐτῆς ποιούμενοι λόγον, ἐμέμψαντο τὴν γυναῖκα, ὡς μᾶλλον τὸν ἔλεον ζητοῦντος τοῦ Θεοῦ, ἢ τὴν εἰς αὐτὸν τιμήν · ὁ δὲ ἐπιπλήττει τοῖς μαθηταῖς, διότι ἀκαίρως ἐμέμψαντο τὴν γυναῖκα. Δεῖ γὰρ μὴ τὰ ὑψηλὰ ἀπαιτεῖν παρὰ τῶν ἄρτι προσιόντων, καὶ μάλιστα παρὰ γυναίου ἀσθενοῦς, ἀλλὰ τὴν μετρίαν γοῦν αὐτῶν πίστιν δέχεσθαι. Ὅταν γάρ τις προσφέρῃ τῷ Θεῷ δῶρον, μὴ ἀπόστρεφε αὐτὸν, μηδὲ κατάκλα τὴν προθυμίαν αὐτοῦ, ἀπολύων αὐτὸν εἰς τὸ διαδοῦναι πτωχοῖς, ἀλλ' ἄφες πληρῶσαι τὴν προσαγωγήν. Εἰ μέντοι βουλευόμενός τις συμβούλῳ σοι χρήσεται, πότερον δεῖ δοῦναι πτωχοῖς, ἢ προσαγαγεῖν τῷ Θεῷ, συμβούλευσον αὐτῷ δοῦναι πτωχοῖς · μεθ' ὃ μέντοι προσαγάγοι, περιττόν ἐστιν ἀποστρέφειν αὐτόν · δεῖ γὰρ τὴν εἰς τὸν Θεὸν τιμὴν προκρίνειν πάντων ἁπλῶς, καὶ τῆς ἐλεημοσύνης αὐτῆς · μηδὲ γὰρ ἐπεὶ διὰ φιλανθρωπίαν ἀναδέχεται εἰς ἑαυτὸν ὁ Χριστὸς τὸν ἔλεον, νομίσῃς ὅτι δεῖ καταφρονεῖν τοῦ Θεοῦ, καὶ τὴν ἐλεημοσύνην μόνον ἐπιτηδεύειν · ἐπεὶ οὕτω γε καὶ ἱεροσυλεῖν δεῖ λοιπὸν, καὶ ἐκ τῶν συληθέντων ἐλεημοσύνην ποιεῖν. Ἀλλ' οὐκ ἔστι τοῦτο · ὅτι γὰρ οὐκ ἔστι ταυτὸν τὸ ἐλεεῖν πτωχοὺς καὶ τὸ τιμῆσαι τὸν Χριστὸν αὐτὸν ἐκεῖνον, καὶ θεραπεῦσαι, ἄκουε · « Τοὺς πτωχοὺς γὰρ, φησὶ, πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. » Ὁρᾷς οὖν πῶς ἄλλο ἐστὶ τὸ τὸν Χριστὸν θεραπεύειν, καὶ ἄλλο τὸ πτωχοὺς ἐλεεῖν, εἰ καὶ διὰ φιλανθρωπίαν ὁ Χριστὸς εἰς ἑαυτὸν ἀναδέχεται τὰ εἰς τοὺς πένητας γινόμενα.

miserit eos. Denique et suscepit (ut dicunt) Dominum, qui et apud illum perfecit Pascha. Mulier igitur cum vidisset leprosum purificatum, confisa est quod ex ipsa peccatorum consequeretur remissionem, et purgaretur a lepra animæ. Magnam autem fidem ostendit, quod tam pretiosum unguentum et absque parcimonia in caput ejus effudit, honorem exhibens membro præcipuo. Et tu quoque si lepra laboras, et pharisaica lepra inflatus es, quæ a Deo separat, suscipe Jesum in domum tuam, et unge eum unguento virtutum. Potes enim parare unguentum Jesu, qui lepram tuam purgavit, et caput ejus perungere. Quod autem est caput Christi? Divinitas ejus, cui fragrantia virtutum offertur. « Dirigatur inquit, oratio mea sicut thymiama in conspectu tuo, Domine [08]. » Affer igitur fragrantiam unguenti ex multis virtutibus confecti divinitati Christi. Quin etiam si non solum hominem illum esse docueris, sed dixeris et Deum, tunc caput suum, hoc est divinitatem, fragranti unguento perfundes, hoc est, theologum ages.

Vers. 8-11. « Videntes autem discipuli indignati sunt, dicentes: Ad quid perditio hæc? Potuit enim istud unguentum venundari magno et dari pauperibus. Eo autem cognito, Jesus ait illis: Quid molesti estis mulieri? Opus enim bonum operata est erga me. Nam semper pauperes habetis vobiscum, me vero non semper habetis. » Discipuli quoniam multa de eleemosyna audierant, magnamque illius rationem habuerant, reprehenderunt mulierem, tanquam Deo misericordiam magis requirente quam honorem suum. Ille autem increpavit discipulos, eo quod intempestive mulierem reprehendissent. Non enim summa exigere ab his qui nuper ad fidem adducti sunt, maxime ab infirma muliere, sed mediocrem eorum fidem suscipere oportet. Quando igitur quis offert Deo donum, ne averseris illum, neque confringas alacritatem ejus, abducens illum ut det pauperibus, sed sine implere oblationem. Quod si quis consilio tuo indiguerit utrum oporteat facere, pauperibus dare, vel offerre Deo, consule illi ut det pauperibus: at cum offert, indignum est aversari illum. Decet enim ut **144** honorem quem Deo debemus, præferamus simpliciter omnibus, etiam eleemosynæ ipsi. Noli enim, quia propter benignitatem Christus suscipit misericordiam quasi sibi facta esset, existimare quod oporteat contemnere Deum et eleemosynam tantum curare, quia sic et sacrilegium liceret, et ex sacrilegiis esset eleemosyna danda. Verum non sic habet, quia non est idem, misereri pauperum, et colore ac honorare ipsummet Christum. Audi: « Pauperes enim, inquit, semper habetis vobiscum, me autem non semper. » Vides igitur quomodo aliud sit curam impendere Christo, et aliud misereri pauperibus, tametsi Christus propter benignitatem suscipiat perinde ac si in se collocetur, quod pauperibus impenditur.

[08] Psal. cxl, 2.

VERS. 12, 13. « Quod enim hæc unguentum hoc misit super corpus meum, ad sepeliendum me fecit. Amen dico vobis, ubicumque prædicatum fuerit hoc Evangelium in toto mundo, hoc quoque quod hæc fecit, narrabitur in memoriam ipsius. » Docet nos quod mulier hæc juxta divinam dispensationem hoc fecerit, præsignans mortem illius, et corporis sepulturam. Non enim tulisset Christus unguento ungi, nisi mysterium quoddam subfuisset; prædixit autem tanquam Deus, quod esset futurum, quod in gloriam ejus ubique prædicetur res quam fecit mulier. Vide autem Dei misericordiam, quomodo mulierem magnis donis remunerat. Facit enim eam memorabilem ubique, quandiu suum Evangelium duraturum sit. Quomodo autem sepultura ejus præsignatur unguento? Mos erat Judæis cum unguento mortuorum corpora sepelire, sicut et Ægyptii faciebant, ut incorrupta manerent, nec feterent. Ostendit igitur mulier, inquit, ex hoc quod unguentum effudit, corpus meum brevi sepeliendum. Hæc autem omnia dicit demulcens et dehortans Judam, per quem sepulturæ tradendus erat. Intellige item per anagogen, leprosum quidem esse gentilem populum: mulierem autem peccatricem, congregationem et Ecclesiam ex gentibus, quæ unguentum, hoc est fidem, in Christi caput, hoc est deitatem, effudit. Omnis enim credens Deum esse Christum, unguentum effundit in caput Christi. Judas autem qui increpavit mulierem (sicut Joannes dicit) figuram tenet Judæorum, qui usque in hunc diem contra Ecclesiam murmurant.

VERS. 14-16. « Tunc abiit unus de duodecim, qui dicebatur Judas Iscariotes, ad principes sacerdotum, et ait illis: Quid vultis mihi dare, et ego vobis tradam illum? At illi constituerunt ei triginta argenteos. Et ex eo tempore quærebat opportunitatem ut eum traderet. » Cum aliena mulier meretrix tantum exhiberet honorem, tunc discipulus abiit proditurus illum. Non enim frustra adjicitur. Tunc abiit, sed ut ostendatur impudentia Judæ. 440 Addidit autem, Iscariotes, ut notiorem eum redderet. Erat enim et alius Judas, qui Lebbæus dicebatur: hic vero proditor erat a pago qui dicebatur Iscara. Illi autem constituerunt triginta argenteos, hoc est, decreverunt ut ei darentur, non autem ut multi putant, appenderunt. Quærebat igitur opportunitatem ut illum solum traderet eis. Timebant enim turbam, et idcirco conduxerunt Judam ut indicaret eis quando solus esset.

VERS. 17-19. « Primo autem die azymorum accesserunt discipuli ad Jesum, dicentes ei: Ubi vis paremus tibi ad edendum Pascha? At ille dixit: Ite in civitatem ad quemdam, et dicite ei: Magister dixit: Tempus meum prope est, apud te facio Pascha cum discipulis meis. Et fecerunt discipuli sicut constituit illis Jesus, et paraverunt Pascha. » Primum azymorum diem vocat, quæ

« Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησε. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη, εἰς μνημόσυνον αὐτῆς. » Διδάσκει ἡμᾶς, ὅτι κατά τινα θείαν κίνησιν ἐποίησε τοῦτο ἡ γυνὴ, προτυποῦσα τὸν θάνατον αὐτοῦ, καὶ τὴν τοῦ σώματος ταφήν· οὐ γὰρ ἂν ἠνέσχετο ὁ Κύριος μύρῳ καταχρίεσθαι, εἰ μὴ μυστήριόν τι ἐδήλου. Ὡς Θεὸς δὲ προεῖπε τὸ ἐσόμενον, ὅτι εἰς καύχημα αὐτῆς μέλλει λαλεῖσθαι πανταχοῦ ὃ ἐποίησεν ἔργον ἡ γυνή. Ἴδε δὲ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, πῶς ἀμείβεται τὴν γυναῖκα μεγάλῃ χάριτι· ποιεῖ γὰρ αὐτὴν μνημονεύεσθαι διόλου, ἄχρις ἂν τὸ αὐτοῦ Εὐαγγέλιον διασώζηται. Πῶς δὲ εἰς τὸν ἐνταφιασμὸν αὐτοῦ συνεβάλλετο τὸ μύρον; Ἔθος ἦν τοῖς Ἰουδαίοις μετὰ μύρων ἐνταφιάζειν τὰ σώματα, ὡς καὶ οἱ Αἰγύπτιοι ἐποίουν, διὰ τὸ ἄσηπτα τηρεῖσθαι καὶ ἄνευ δυσωδίας. Δείκνυσιν οὖν, φησὶν, ἡ γυνὴ ἐκ τοῦ τὸ μύρον καταχέαι, ὅτι τὸ σῶμά μου ἐνταφιασθήσεται. Ταῦτα δὲ πάντα λέγει, δυσωπῶν καὶ ἐντρέπων τὸν Ἰούδαν, δι' οὗ ἔμελλε ταφῇ παραδοθῆναι. Νόησον δὲ καὶ κατὰ ἀναγωγὴν, λεπρὸν μὲν εἶναι τὸν ἐθνικὸν λαὸν, γυναῖκα δὲ ἁμαρτωλὴν τὴν ἐξ ἐθνῶν συναγωγὴν καὶ Ἐκκλησίαν, ἥτις τὸ μύρον, τουτέστι τὴν πίστιν, εἰς τὴν τοῦ Χριστοῦ κεφαλὴν, ἤτοι τὴν θεότητα, ἐξέχεε. Πᾶς γὰρ ὁ πιστεύων Θεὸν εἶναι τὸν Χριστὸν, μύρον καταχέει εἰς τὴν κεφαλὴν τοῦ Χριστοῦ· ὁ δὲ Ἰούδας ἐπιτιμήσας τῇ γυναικὶ, ὡς Ἰωάννης φησὶ, τύπον ἐπέχει τῶν Ἰουδαίων, τῶν ἔτι καὶ νῦν γογγυζόντων κατὰ τῆς Ἐκκλησίας.

« Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπε· Τί θέλετέ μοι δοῦναι, κἀγὼ παραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια· καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. » Ὅτε ἡ ἀλλοτρία γυνὴ, ἡ πόρνη, τοσαύτην ἐπεδείξατο τιμὴν, τότε ὁ μαθητὴς ἀπέρχεται προδώσων αὐτόν. Οὐ γὰρ μάτην κεῖται τὸ, τότε πορευθεὶς, ἀλλ' ἵνα δείξῃ τὴν ἀναίδειαν τοῦ Ἰούδα· ὁ Ἰσκαριώτης δὲ προστίθησιν, ἵνα γνωριμώτερον αὐτὸν ποιήσῃ. Ἦν γὰρ καὶ ἕτερος Ἰούδας, ὁ καὶ Λεββαῖος. Οὗτος μέντοι ὁ προδότης ἀπὸ κώμης τινὸς ἦν, ἥτις ἐκαλεῖτο Ἰσκάρα. Οἱ δὲ ἔστησαν τριάκοντα ἀργύρια, ἀντὶ τοῦ, συνεφώνησαν, ἀφώρισαν δοῦναι, οὐχ ὡς οἱ πολλοὶ νοοῦσιν, ἀντὶ τοῦ ἐζυγοστάτησαν. Ἐζήτει οὖν εὐκαιρίαν, μόνον αὐτὸν παραδοῦναι αὐτοῖς· ἐφοβοῦντο γὰρ τὸν ὄχλον, καὶ διὰ τοῦτο ἐμισθώσαντο τὸν Ἰούδαν, ἵνα καταμηνύσῃ αὐτοῖς ὅτε καταμόνας ἐστί.

Τῇ δὲ πρώτῃ τῶν ἀζύμων. προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; Ὁ δὲ εἶπεν· Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ· Ὁ διδάσκαλος λέγει· Ὁ καιρός μου ἐγγύς ἐστι· πρὸς σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου. Καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ Πάσχα. » Πρώτην (a) τῶν ἀζύμων, τὴν πρὸ τῶν ἀζύ-

(a) Textus ab interpolatore corruptus. Genuinum affert Petrus Arcudius lib. III, cap. 5, ex codicibus Romanis optimæ notæ. Scilicet: Πρώτην τῶν ἀζύμων, τὴν πρὸ τῶν ἀζύμων φησὶν ἡμέραν· οἷον τι

μων φησὶν ἡμέραν, οἷόν τι λέγω· τῇ Παρασκευῇ ἑσπέρας ἔμελλον ἐκεῖνοι φαγεῖν τὸ Πάσχα, καὶ αὕτη ἐκαλεῖτο τῶν ἀζύμων· ὁ γοῦν Κύριος πέμπει τοὺς μαθητὰς τῇ πέμπτῃ, ἣν ὀνομάζει ὁ εὐαγγελιστὴς πρώτην τῶν ἀζύμων, ὡς πρὸ τῆς Παρασκευῆς οὖσαν, καθ' ἣν Παρασκευὴν τῇ ἑσπέρᾳ ἤσθιον τὰ ἄζυμα. Προσέρχονται τοίνυν οἱ μαθηταὶ, καὶ ἐρωτῶσι· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; Οὐ γὰρ εἶχον οὔτε ἐκεῖνοι, οὔτε αὐτὸς ἴδιον οἶκον· ἀποστέλλει δὲ αὐτοὺς πρὸς ἄνθρωπον μὴ γινωσκόμενον μήτε γινώσκοντα, ὥσπερ καὶ ἐπὶ τῆς ὄνου ἐποίησε, δεικνύων αὐτοῖς, ὅτι δύναται καὶ ἀπὸ ψιλῶν ῥημάτων πεῖσαι καὶ τοὺς μηδόλως αὐτὸν γινώσκοντας, ὑποδέξασθαι αὐτόν. Ἤθελε γὰρ τὸ Πάσχα τελέσαι, ἵνα μὴ δόξῃ ἐναντίος εἶναι τῷ νόμῳ· καιρὸν δὲ αὐτοῦ ὀνομάζει τὴν σφαγὴν, ὡς ἂν μάθωμεν ὅτι οὐκ ἀγνοῶν, οὐδὲ ἄκων σφαγιάζεται· προστίθησι δὲ τῷ, ὅτι Πρὸς σὲ ποιῶ τὸ Πάσχα, ἀντὶ τοῦ ἐν τῇ σῇ οἰκίᾳ, τὸ μετὰ τῶν μαθητῶν μου, ἵνα ἀρκοῦσα γένηται ἡ παρασκευὴ, ὡς πολλῶν μελλόντων φαγεῖν.

« Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα, καὶ ἐσθιόντων αὐτῶν, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. Καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· Μή τι ἐγώ εἰμι, Κύριε; » Ἐκ τούτου νομίζουσί τινες ὅτι τῷ ἐνιαυτῷ ἐκείνῳ οὐκ ἔφαγε τὸ Πάσχα ὁ Κύριος· λέγουσι γὰρ ὅτι ἱστάμενοι ἤσθιον τὸν ἀμνόν· ὁ δὲ Χριστὸς ἀνέκειτο, οὐκ ἄρα ἔφαγε τὸ Πάσχα. Φαμὲν οὖν ὅτι ἔφαγε πρῶτον τὸ Πάσχα ἱστάμενος· εἶτα ἀναπεσὼν παρέδωκε τὸ οἰκεῖον μυστήριον· πρῶτον γὰρ τὸ τυπικὸν τελέσας, οὕτω τὸ ἀληθινὸν ἐπετέλεσε· προαγγέλλει δὲ τὰ περὶ τὸν Ἰούδαν, ἵνα διορθώσηται αὐτὸν, αἰδεσθέντα εἰ μή τι ἄλλο, τὴν γοῦν κοινὴν τράπεζαν, καὶ γνόντα ὅτι Θεὸν μέλλει προδιδόναι, τὸν τὰς καρδίας εἰδότα. Οἱ δὲ μαθηταὶ ἠγωνίων· εἰ γὰρ καὶ καθαρὸν εἶχον τὸ συνειδὸς, ὅμως πλέον ἐπίστευον τῷ Χριστῷ, ἢ ἑαυτοῖς, ὡς ἐκείνῳ κρεῖττον εἰδότι τὰς αὐτῶν καρδίας.

« Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται. Καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, εἶπε· Μήτι ἐγώ εἰμι, Ῥαββί; Λέγει αὐτῷ· Σὺ εἶπας. » Ἐλέγχει φανερῶς τὸν προδότην, ἐπειδὴ κρυφίως ἐλεγχόμενος οὐ

diem azymorum præcedit; ut exempli gratia dicam: Die Parasceves vesperi manducaturi erant illi Pascha, et hæc vocabatur azymorum. Dominus igitur mittit discipulos die quinto, quem nominat Evanglista primum azymorum, ut qui ante Parasceven esset, in qua Parasceve vesperi comedebant azyma. Accedunt igitur discipuli et rogant: Ubi vis paremus tibi ad edendum Pasch? Non enim habebant neque illi neque ipse proprias ædes. Mittit autem illos ad hominem qui non cognoscebatur neque cognoscebat, sicut et de asina fecerat monstrans illis quod possit nudis verbis persuadere etiam eis qui plane non cognoscunt, ut eum excipiant. Voluit autem Pascha perficere, ne legi contrarius esse videatur. Tempus vero suum nominat immolationem: ut dicamus quod non ignorans neque involuntarius immoletur. Ad id quod ait, Apud te facio Pascha, id est in domo tua, adjicit, cum discipulis meis: ut pararetur quantum sat esset multis qui esuri erant.

VERS. 20-22. « Vespere autem facto discumbebat cum duodecim, et edentibus illis, dixit: Amen dico vobis, quod unus vestrum me proditurus est. Et mœsti redditi vehementer, cœperunt singuli dicere ei: Num ego sum, Domine? » Ex hoc putant quidam quod anno non comederit Dominus Pascha. Dicunt enim quod stantes comedebant agnum. Christus autem recumbebat, igitur Pascha non comedit. Dicimus itaque quod prius Pascha stans comederit, deinde recumbens tradidit suum sacramentum: primum enim pefecit figuralia, deinde verum perfecit. Prænuntiantem de Juda, ut reveritus corrigatur, et si ob nihil aliud, saltem vel ob communem mensam, vel quod scire se proditurum Deum, corda cognoscentem. Discipuli vero turbabantur: et licet purum cor haberent ac sanam conscientiam, attamen magis credebant Christo, quam sibi ipsis, 146 eo quod ille melius sua corda cognosceret, quam ipsi.

VERS. 23-25. « At ipse respondens, ait: Qui intinxit mecum manum in catino, hic me traditurus est. Filius quidem hominis vadit sicut scriptum est de illo: væ autem homini illi per quem Filius hominis proditur. Bonum erat ei si natus non fuisset homo ille. Respondens autem Judas, qui tradidit eum, dixit: Num ego sum, Radbi? Ait illi Tu dixisti. » Manifeste proditorem reprehendit: quoniam cum clam reprehenderetur, non emenda-

λέγω, τῇ πέμπτῃ ἑσπέρας ἔμελλον ἐκεῖνοι φαγεῖν τὸ πάσχα, μεθ' ἣν ἐπιφώσκει ἡ Παρασκευή. Πρώτη τῶν Ἀζύμων ἐκαλεῖτο παρὰ τῷ νόμῳ, οἷα δὴ τῆς ἑορτῆς ἀρχομένης ἀπὸ τῆς ἑσπέρας καθ' ἣν ἐσθίονται τὰ ἄζυμα. Ὁ γοῦν Κύριος πέμπει τοὺς μαθητὰς τῇ πέμπτῃ, ἣν ὀνομάζει ὁ εὐαγγελιστὴς πρώτην τῶν Ἀζύμων, ὡς πρὸ τῆς ἑσπέρας οὖσαν, καθ' ἣν ἑσπέραν ἤσθιον τὰ ἄζυμα. « Primam azymorum diem vocat, quæ diem azymorum præcedit; ut sic dicam, quinta feria manducaturi erant pacha, post quam successit Parasceve. Prima azymorum vocabatur in lege, eo quod festum incipiebat a vespera qua vescebantur azymis. Dominus igitur mittit discipulos quinta, quam nominat Evangelista primam azymorum, quia prima vespera erat, qua comdebant azyma. » Lectionem hanc codices alii confirmant: ille, quo usus est Œcolampadius in sua versione: Parisienses plures apud Lequienum Dissert. VI Damascenica num. XLIV, et Venetæ Marcianæ bibliothecæ duo 29 et 30. Præviam dissertionem consule capite XVII, num 66.

batur. Propterea manifestat illum, dicens: Qui intinxit mecum : ut vel sic corrigatur. Vernm Judas impudens intingebat in eodem catino, seu scutella. Deinde dicit, Filius quidem hominis vadit sicut scriptum est de illo, hoc est, etiamsi prædefinitum sit Christum pati ad salutem mundi, non tamen propter hoc colendus Judas, sed væ illi. Non enim ut cooperans divinæ voluntati hoc fecit, sed suam malitiam perficiens. Nam si diligenter consideraveris, noluit Christus præcedenter crucifigi. Insinuat autem illud per hoc quod deprecatur poculum. Quoniam autem sciebat ante omnia sæcula quod aliter non esset possibile salvari homines, propter malitiam inimici voluntarium fit ipsi, quod præcedenter non erat volitum. Dicens autem, bonum esse hominem illum non esse natum, ostendit quod natura non subsistere melius sit, quam subsistere in peccatis. Observa autem verbum, Vadit : significat enim peregrinationem magis quam mortem esse suam occisionem.

VERS. 26. « Vescentibus autem eis, accepit Jesus panem, et cum egisset gratias, fregit deditque discipulis, et dixit : Accipite, comedite : hoc est corpus meum. » Apposuit autem vescentibus, ut ostenderet crudelitatem Judæ, quia in mensa et communione ciborum illius, quando si et fera fuisset, mansuetiorem se exhibuisset: tunc neque cum argueretur, intellexit, sed et corpus illius gustans non pœnituit. Quidam autem dicunt quod egresso Juda tradidit sacramentum aliis discipulis. Proinde et nos sic facere debemus, et malos a sacramentis abarcere. Gratias quoque agit fracturus panem, ut nos erudiat cum gratiarum actione panem offerendum, et ut ostendat se cum gratitudine fractionem sui corporis, hoc est occisionem, suscipere, neque ægre ferre, ceu in re quæ displiceat sibi, et nos cum gratitudine martyrium aggrediamur. Porro dicens : « Hoc est corpus meum, » ostendit quod ipsum corpus Domini est panis qui sanctificatur in altario, et non respondens figura. Non enim dixit, Hoc est figura. sed, Hoc est corpus meum. Ineffabili enim operatione transformatur, etiamsi nobis videatur panis : quoniam infirmi sumus, et abhorremus crudas carnes comedere, maxime hominis carnem : et ideo panis 147 quidem nobis apparet, sed revera caro est.

VERS. 27, 28. « Et accepto poculo, gratiis actis, dedit illis dicens, Bibite ex hoc omnes : hic est enim sanguis meus, qui est novi Testamenti, qui pro multis effunditur in remissionem peccatorum. » Sicut vetus Testamentum immolationem habebat et sanguinem, ita et novum Testamentum sanguinem habet ac hostiam 29. Pro multis autem dicit effundi, hoc est, pro omnibus. Sunt enim iu omnes multi. Quare autem supra quidem non dixit : Accipite,

29 Hebr. v, 5.

A διωρθοῦτο· διὰ τοῦτο οὖν φανεροῖ αὐτὸν, λέγων· Ὁ ἐμβάψας μετ' ἐμοῦ, ὡς ἂν κἂν οὕτω διορθωθῇ· Ἀναιδὴς δὲ ὢν ὁ Ἰούδας, ἐνέβαπτεν ἐν τῷ αὐτοῦ τρυβλίῳ, ἤτοι πινακίῳ. Εἶτά φησιν. Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ, τουτέστιν, εἰ καὶ προώριστο παθεῖν ἐπὶ σωτηρίᾳ τοῦ κόσμου ὁ Χριστὸς, ἀλλ' οὐ δήπου διὰ τοῦτο τιμητέος ὁ Ἰούδας, ἀλλ' οὐαὶ αὐτῷ· οὐ γὰρ ὡς συνεργῶν τῇ τοῦ Θεοῦ βουλῇ τοῦτο ἔπραξεν, ἀλλὰ τὴν οἰκείαν κακίαν ἐκθεραπεύων. Καὶ γὰρ εἰ ἀκριβῶς σκοπήσεις, οὐδὲ ἤθελεν ὁ Χριστὸς προηγουμένως σταυρωθῆναι. Ἐμφαίνει δὲ τοῦτο καὶ διὰ τοῦ ἀπεύχεσθαι τὸ ποτήριον· ἐπεὶ δὲ ᾔδει πρὸ πάντων τῶν αἰώνων ὡς ἄλλως οὐ δυνατὸν σωθῆναι τοὺς ἀνθρώπους, διὰ B τὴν κακίαν τοῦ ἐχθροῦ, θελητὸν γίνεται αὐτῷ τὸ προηγουμένως ἀθέλητον. Λέγων δὲ ὅτι καλὸν ἦν εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος, δείκνυσιν ὅτι ἡ ἀνυπαρξία κρείττων τῆς ἐν ἁμαρτίαις ὑπάρξεως. Ὅρα δὲ καὶ τὴν λέξιν τοῦ Ὑπάγει. Ἐμφαίνει γὰρ ὡς ἀποδημία μᾶλλον, οὐ θάνατος ἔσται ἡ νέκρωσις αὐτοῦ.

« Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον καὶ εὐχαριστήσας, ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. » Διὰ τοῦτο προσέθηκε τὸ, ἐσθιόντων, ἵνα παραστήσῃ τὴν ἀπανθρωπίαν τοῦ Ἰούδα, ὅτι ἐν τραπέζῃ καὶ τῶν αὐτῶν βρωμάτων κοινωνίᾳ, ὅτε εἰ καὶ θηρίον ἦν, πρᾳότερος ἂν ἐγεγόνει, τότε οὐδὲ ἐλεγ- C χόμενος συνῆκεν, ἀλλὰ καὶ τοῦ σώματος αὐτοῦ γευόμενος, οὐ μεταμελεῖται. Τινὲς δέ φασιν ὅτι ἐξελθόντος τοῦ Ἰούδα, μετέδωκε τῶν μυστηρίων τοῖς ἄλλοις μαθηταῖς. Οὐκοῦν καὶ ἡμεῖς οὕτω ποιεῖν ὀφείλομεν, καὶ τοὺς πονηροὺς ἀπείργειν τῶν μυστηρίων. Εὐχαριστεῖ δὲ μέλλων κλάσαι τὸν ἄρτον, ἅμα μὲν ἵνα καὶ ἡμᾶς παιδεύσῃ μετ' εὐχαριστίας τὸν ἄρτον προσφέρεσθαι, ἅμα δὲ καὶ ἵνα δείξῃ ὅτι εὐχαρίστως τὴν κλάσιν τοῦ οἰκείου σώματος, ἤτοι τὴν νέκρωσιν δέχεται, καὶ οὐ δυσχεραίνει ὡς ἐπὶ ἀκουσίῳ τινὶ, καὶ ἵνα καὶ ἡμεῖς οὕτω δεχώμεθα εὐχαρίστως τὸ μαρτύριον. Εἰπὼν δὲ, « Τοῦτό ἐστιν τὸ σῶμά μου, » δεικνύει ὅτι αὐτὸ τὸ σῶμα τοῦ Κυρίου ἐστὶν ὁ ἄρτος ὁ ἁγιαζόμενος ἐν τῷ θυσιαστηρίῳ, καὶ οὐχὶ ἀντίτυπον. Οὐ γὰρ εἶπε, Τοῦτό ἐστι ἀντίτυπον, ἀλλὰ, D Τοῦτό ἐστι τὸ σῶμά μου· ἀῤῥήτῳ γὰρ ἐνεργείᾳ μεταποιεῖται, κἂν φαίνηται ἡμῖν ἄρτος· ἐπεὶ γὰρ ἀσθενεῖς ἐσμεν, καὶ οὐκ ἂν ἐδεξάμεθα κρέας ἐσθίειν ὠμὸν, καὶ ἀνθρώπου σάρκα, διὰ τοῦτο ἄρτος μὲν ἡμῖν φαίνεται, σάρξ δὲ τῷ ὄντι ἐστί.

« Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς, λέγων· Πίετε ἐξ αὐτοῦ πάντες· Τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς Διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. » Ὥσπερ ἡ παλαιὰ Διαθήκη σφάγιον εἶχε καὶ αἷμα, οὕτω καὶ ἡ καινὴ αἷμα ἔχει καὶ σφαγήν. Περὶ πολλῶν δὲ εἶπεν ἐκχύνεσθαι, ἀντὶ τοῦ, περὶ πάντων. Καὶ οἱ πάντες γὰρ πολλοί εἰσι. Τίνος δὲ ἕνεκεν ἄνω μὲν οὐκ εἶπε· Λάβετε· φάγετε πάντες, ἐνταῦθα δέ·

Πίετε ἐξ αὐτοῦ πάντες; Οἱ μέν φασιν ὅτι διὰ τὸν A Ἰούδαν τοῦτο εἶπεν· ὁ γὰρ Ἰούδας τὸν μὲν ἄρτον ἔλαβεν, οὐκ ἔφαγε δὲ, ἀλλ' ἔκρυψε, πρὸς τὸ δεῖξαι τοῖς Ἰουδαίοις ὅτι τὸν ἄρτον σῶμα ἑαυτοῦ καλεῖ ὁ Ἰησοῦς· τὸ δὲ πόμα καὶ ἄκων ἔπιε, μὴ δυνάμενος πάντως κρύψαι αὐτό. Διὰ τοῦτο οὖν εἶπε· Πίετε πάντες. Οἱ δὲ ἀναγωγικώτερόν φασιν ὅτι τὸ μὲν τὴν στερεὰν τροφὴν προσίεσθαι οὐ πάντων ἐστὶν, ἀλλὰ τῶν τελειοτέρων· τὸ δὲ ποτίζεσθαι, πάντων· διὰ τοῦτο οὖν ἐνταῦθα ἔφη· Πίετε πάντες. Τὸ γὰρ τὰ ἁπλούστερα τῶν δογμάτων παραδέχεσθαι, πάντων.

« Λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου. » Γευσάμενος τοῦ ποτηρίου, B ἀποτάττεται λοιπὸν τῷ σωματικῷ πόματι· καινὸν δέ τινα τρόπον γεύσεως ἐπαγγέλλεται ἐν τῇ βασιλείᾳ, τουτέστιν, ἐν τῇ ἀναστάσει. Ἀναστὰς γὰρ, ἔφαγε καὶ ἔπιε καινόν τινα τρόπον· οὐ γὰρ ὡς χρῄζων τροφῆς σωματικῆς γεύσεως νόμοις, ἀλλὰ πιστούμενος τὴν ἀληθῆ τοῦ σώματος φύσιν· βασιλείαν δὲ εἰκότως τὴν ἑαυτοῦ ἀνάστασιν ὀνομάζει. Τότε γὰρ κατήργησε τὸν θάνατον, βασιλεὺς τῷ ὄντι φανείς· ἢ καὶ οὕτω νοήσαις· Καινὸν πόμα, ἡ ἀποκάλυψις τῶν μυστηρίων τοῦ Θεοῦ, ἃ τότε ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, τουτέστιν ἐν τῇ δευτέρᾳ παρουσίᾳ, ἀποκαλυφθήσεται, καινὰ ὄντα, τουτέστιν, οἷα οὐκ ἠκούσαμεν ἄλλοτε· πίνειν δὲ ἐκεῖνα λέγεται ὁ Χριστὸς μεθ' ἡμῶν, διότι τὴν ἡμετέραν ὠφέλειαν τροφὴν καὶ πόσιν οἰκείαν ἡγεῖται. C

« Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. » Μεθ' ὃ ἐδείπνησαν, ὕμνησαν, ἵνα μάθωμεν ὅτι καὶ ἡμᾶς οὕτω δεῖ ποιεῖν. Εἰς δὲ τὸ ὄρος τῶν Ἐλαιῶν ἔρχεται, καὶ οὐκ εἰς ἄλλον τόπον, ἵνα μὴ δόξῃ φεύγειν· οὐ γὰρ εἰς ἄγνωστον τόπον ἀναχωρεῖ, ἀλλ' εἰς γνώριμον τοῖς Ἰουδαίοις· ἅμα δὲ καὶ ὑποχωρεῖ τῆς μιαιφόνου πόλεως, ἐγκαταλείψας αὐτὴν, ἵνα ἐπιδιωχθῇ, καὶ ἐλέγχῃ αὐτοὺς ὕστερον, ὅτι καὶ ὑποχωροῦντα ἐπεδίωκον.

« Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· Γέγραπται γάρ· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης. Μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. » Ὡς Θεὸς προλέγει τὰ ἐσόμενα· ἵνα δὲ μὴ σκανδαλισθῶσιν ὡς κατηγορούμενοι ὑπ' αὐτοῦ, εἶπεν ὅτι D γέγραπται· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα, τοῦτο αἰνιττόμενος, ὅτι Ἐγὼ συνεῖχον ὑμᾶς, τὸ δὲ ἐμὲ ἀπελθεῖν ὑμᾶς σκορπίσει· πατάξαι δὲ λέγεται ὁ Πατὴρ τὸν Υἱὸν, διότι γνώμῃ αὐτοῦ, ἤτοι παραχωρήσει, ἐσταύρωσαν οἱ Ἰουδαῖοι τὸν Κύριον· δυνάμενος γὰρ κωλῦσαι, εἶτα μὴ κωλύσας, λέγεται πατάξαι διὰ τὴν παραχώρησιν. Εἶτα λύων αὐτῶν τὴν λύπην, εὐαγγελίζεται αὐτοῖς, ὅτι ἐγερθήσομαι, καὶ προάξω, τουτέστι, προφθάσω εἰς τὴν Γαλιλαίαν ὑμᾶς, δεικνὺων ἐντεῦθεν ὅτι τὴν μὲν Ἱερουσαλὴμ ἐγκαταλείψει, εἰς δὲ τὰ ἔθνη ἀπελεύσεται· τὴν γὰρ Γαλιλαίαν ἐθνικοὶ κατῴκουν.

« Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Εἰ καὶ

A comedite omnes, hoc autem loco: Bibite ex eo omnes? Sunt qui dicant propter Judam hoc dictum. Judas enim panem accepit, et non comedit, sed occultavit, ut monstraret Judæis quod panem corpus suum vocasset Jesus: poculum autem invitus bibit, cum non posset occultare. Propterea hoc loco dicebat: Bibite omnes. Juxta anagogen autem dicunt, quod non sit omnium accedere ad solidum cibum, sed perfectiorum: bibere autem omnium sit. Idcirco hoc loco dicebat: Bibite omnes. Simpliciora enim dogmata recipere omnium est.

VERS. 29. « Dico autem vobis, quod non bibam posthæc ex hoc fructu vitis, usque in diem illum; cum illud bibam vobiscum novum in regno Patris B mei. » Sumpto poculo renuntiat deinceps corporali potioni. Novum autem promittit, id est, novum quemdam modum sumptionis in regno, hoc est in resurrectione. Cum resurrexisset enim, comedit ac bibit novo quodam modo: non enim quasi indigeret cibo, corporalem sumpsit cibum: sed ut crederetur vera corporis natura. Regnum autem merito suam resurrectionem nominat: tunc enim abolevit mortem, et re ipsa regem se comprobavit. Vel etiam sic intelligas: Novum poculum revelatio est sacramentorum Dei, quæ tunc in regno Dei, hoc est in secundo adventu, revelabuntur, quæ vere sunt nova, qualia non audivimus uspiam. Cæterum ea bibere dicitur Christus nobiscum, eo quod nostram utilitatem cibum et potum suum existimat.

C VERS. 30. « Et cum hymnum dixissent, exierunt in montem Olivarum » Postquam cœnaverunt, hymnum dixerunt: ut discamus et nos sic facere. In montem Olivarum venit, et non in alium locum, ne putaretur fugere: non enim in ignotum locum secedit, sed in eum qui Judæis notus erat. Secedit autem a sanguinaria civitate, quam reliquit ut persecutionem patiatur, et arguat illos postea qui et cedentem insectati fuerint.

VERS. 21, 32. « Tunc dicit illis Jesus: Omnes vos scandalum patiemini per me in ista nocte. Scriptum est enim, Percutiam pastorem, et dispergentur oves gregis. Postquam autem resurrexero, præcedam vos in Galilæam. » Futura tanD quam Deus prædicit. Et ut non offendatur quasi ab ipso acrius accusati, dixit scriptum esse: 148 Percutiam pastorem, et dispergentur oves gregis, hoc insinuans: Ego contineo vos, meus autem discessus vos disperget. Percutere autem dicitur Pater Filium, eo quod voluntate, hoc est permissione ejus, crucifixerunt Judæi Dominum: quia cum ipse possit eos prohibere et non prohibet, dicitur percutere propter permissionem. Deinde solvens eorum tristitiam, exangelizat eis: Resurgam et præibo, hoc est, præveniam vos in Galilæam, indicans hoc loco relicturum se Jerusalem, et ad gentes concessurum. Galilæam enim gentiles inhabitant.

VERS. 33, 34. « Respondens autem Petrus dixit

illi : Etsi omnes scandalizati fuerint in te, ego tamen nunquam scandalum patiar. Dicit illi Jesus : Amen dico tibi quod in hac nocte, priusquam gallus cantet, ter me negabis. » Ob multam mentis confidentiam Petrus solus pollicebatur se non scandalizatum iri, et idcirco permisit illum Christus cadere, ut doceat ne quis in seipso confidat, sed in Deo : et fide digniora existimanda verba Christi, quam nostram conscientiam : quoniam et superbia plenum erat dicere : « Si omnes scandalizati fuerint. » Ostenditur enim esse arrogans et ignorans suam infirmitatem. Prædicit igitur Dominus illi et horam, quod in illa nocte, et priusquam gallus cantet, et numerum negationum, nempe quod ter negaturus sit.

B

VERS. 35-36. « Dicit illi Petrus: Etiamsi oportuerit me mori tecum, neutiquam te negabo. Similiter autem et omnes discipuli dicebant. Tunc venit Jesus cum illis in villam quæ dicitur Gethsemane, et dixit discipulis: Sedete hic donec vadam et orem illic. » Petrus germanam suam affectionem declarare volens, contradicit Salvatori : liberatus enim a proditionis metu, ex magno amore et ambitione cœpit et contra illos insurgere, et Christo reluctari: sed et alii discipuli nondum experti tentationes, ex ignorantia polliciti sunt quæ præstare non potuerunt. Transivit autem Christus in locum seorsum oraturus. Otio enim et sequestratione opus habent preces.

C

VERS. 37-39. « Et assumpto Petro et duobus filiis Zebedæi, cœpit affligi dolore ac mœstitudine. Tunc dicit illis Jesus, Tristis est anima mea usque ad mortem. Manete hic, et vigilate mecum. Et progressus pusillum, procidit in faciem suam, orans et dicens : Pater mi, si possibile est, transeat a me calix iste. Veruntamen non sicut ego volo, sed sicut tu. » Non omnes assumit discipulos, sed tres tantum, quibus ostenderat gloriam in monte Thabor : ne cum vidissent eum orantem et laborantem, scandalizarentur. Cæterum et illos relinquit, et abit in secretissimum locum, ac orat. Porro quod mœstus est et dolore afficitur, per dispensationem fiebat, ut credatur verus esse homo. Humanæ enim naturæ est timere mortem, eo quod

D

449 præter naturam ingressa est mors, et propterea illam fugit natura, item ut ignoret diabolus, et invadat eum ut purum hominem, quo morte ipsum conficiat, et sic conteratur. Vel aliter, Si Dominus in mortem insiliisset, dedisset Judæis excusationem quod non peccassent, quod ita citra metum ad mortem prosiliisset. Ex hoc item discimus ne nos ipsi in tentationem injiciamus, sed precemur ut liberemur ab eis. Et propterea non longa distantia a discipulis progreditur, sed prope tres discipulos manet; ut audientes eum memores sint ut et ipsi in tentationibus delapsi precentur similiter. Calicem vero passionem nominat, vel propter somnum quem facit, vel quod lætitiæ causa sit ac nostræ salutis. Vult autem transferri calicem, vel ut mon-

A πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτὶ, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. » Ὑπὸ πολλῆς εὐθαρσείας ὁ Πέτρος μόνος ὑπισχνεῖται μὴ σκανδαλισθῆναι· διὸ εἴασεν αὐτὸν ὁ Χριστὸς πεσεῖν, ἵνα πείσῃ μὴ ἑαυτῷ θαῤῥεῖν, ἀλλὰ τῷ Θεῷ, καὶ πιστοτέρους ἡγεῖσθαι τοὺς τοῦ Χριστοῦ λόγους τῆς οἰκείας συνειδήσεως· ἐπεὶ καὶ ὑπεροψίας γέμει τὸ εἰπεῖν· « Εἰ πάντες σκανδαλισθήσονται. » δείκνυσι γὰρ αὐτὸν ἀλαζόνα, καὶ μὴ ἐπιγινώσκοντα τὴν οἰκείαν ἀσθένειαν. Προλέγει οὖν αὐτῷ ὁ Κύριος καὶ τὴν ὥραν, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ, καὶ πρὶν ἢ ἀλέκτορα φωνῆσαι, καὶ τὸν ἀριθμὸν τῶν ἀρνήσεων, ὅτι ἐκ τρίτου ἀρνήσεται.

B

« Λέγει αὐτῷ ὁ Πέτρος· Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσωμαι. Ὁμοίως δὲ καὶ πάντες οἱ μαθηταὶ εἶπον. Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς· Καθίσατε αὐτοῦ, ἕως οὗ ἀπελθὼν προσεύξομαι ἐκεῖ. » Ὁ Πέτρος θέλων ἐνδείξασθαι ὅτι γνησίαν ἔχει διάθεσιν, ἀντιλέγει τῷ Σωτῆρι· ἀπαλλαγεὶς γὰρ τοῦ διὰ τὴν προδοσίαν φόβου, ἐκ πολλῆς ἀγάπης καὶ φιλοτιμίας ἤρξατο καὶ τῶν ἄλλων κατεξανίστασθαι, καὶ τῷ Χριστῷ ἀνθίστασθαι· ἀλλὰ καὶ οἱ λοιποὶ μαθηταὶ ἀπὸ ἀγνοίας ὑπισχνοῦντο πρὸ τῆς τῶν πειρασμῶν πείρας, ἃ οὐκ ἔμελλον τελειῶσαι. Ἀπέρχεται δὲ ἰδίᾳ προσευξόμενος. Σχολῆς γὰρ καὶ ἰδιασμοῦ δεῖται ἡ προσευχή.

C

« Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν· τότε λέγει αὐτοῖς· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ· καὶ προσελθὼν μικρὸν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, προσευχόμενος καὶ λέγων· Πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. » Οὐ πάντας παραλαμβάνει τοὺς μαθητὰς, ἀλλὰ τοὺς τρεῖς οἷς ἔδειξε τὴν δόξαν ἐν τῷ Θαβὼρ, ἵνα μὴ ἰδόντες αὐτὸν προσευχόμενον καὶ ἀδημονοῦντα, σκανδαλισθῶσιν· ὅμως δὲ καὶ τούτους ἀφίησι, καὶ ἀπελθὼν ἰδιαίτατα προσεύχεται· οἰκονομικῶς δὲ λυπεῖται καὶ ἀδημονεῖ, ὅπως πιστώσηται ὅτι ἀληθῶς ἄνθρωπος ἦν. Τῆς γὰρ ἀνθρωπίνης

D

φύσεως τὸ δειλιᾶν θάνατον· διότι καὶ παρὰ φύσιν εἰσῆλθεν ὁ θάνατος, καὶ διὰ τοῦτο ἡ φύσις φεύγει τοῦτον. Ἅμα δὲ ἵνα καὶ λάθῃ τὸν διάβολον, καὶ ἐπιπηδήσῃ αὐτῷ ὡς ψιλῷ ἀνθρώπῳ, ὥστε θανατῶσαι αὐτὸν, καὶ οὕτω συντριβῇ. Ἄλλως τε, Εἰ ἐπεπήδησε τῷ θανάτῳ ὁ Κύριος, ἔδωκεν ἂν τοῖς Ἰουδαίοις ἀπολογίαν, ὡς οὐχ ἥμαρτον ἀποκτείναντες τὸν ἐπιπηδήσαντα τῷ πάθει. Ἐκ τούτου δὲ μανθάνομεν καὶ αὐτοὶ μὴ ἐπιῤῥίπτειν ἑαυτοὺς εἰς πειρασμοὺς, ἀλλ' [illegible]θαι ῥυσθῆναι ἐκ τούτων· διὰ τοῦτο γὰρ καὶ οὐ πολὺ παρεξέρχεται διάστημα, ἀλλὰ πλησίον τῶν τριῶν μαθητῶν, ἵνα ἀκούοντες αὐτοῦ, μνήσωνται καὶ αὐτοὶ πειρασμοῖς περιπεσόντες, καὶ τὰ ὅμοια εὔξονται· ποτήριον δὲ ὀνομάζει τὸ πάθος, ἢ διὰ τὸν ἐκ τούτου ὕπνον, ἢ διότι εὐφροσύνης αἴτιον καὶ σωτηρίας ἡμῖν ἐγένετο· θέλει δὲ παραβιβασθῆναι τὸ

ποτήριον, ἢ ἵνα δείξῃ, ὅτι ὡς ἄνθρωπος φυσικοῖς A νομοῖς παραιτεῖται τὸν θάνατον, καθὰ προείρηται, ἢ διότι οὐκ ἤθελε τηλικοῦτον ἁμάρτημα ἁμαρτεῖν τοὺς Ἑβραίους, ὥστε δι' αὐτὸ καθαίρεσιν γενέσθαι τοῦ ναοῦ καὶ ἀπώλειαν τοῦ λαοῦ. Πλὴν τὸ πατρικὸν θέλημα βούλεται γενέσθαι, ἵνα καὶ ἡμεῖς μάθωμεν, ὅτι εἰ καὶ ἡ φύσις ἀνθέλκει ἡμᾶς, δεῖ πείθεσθαι τῷ Θεῷ μᾶλλον, ἢ τὸ ἐκείνου (34) θέλημα πληροῦν.

« Καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. » Ἐπειδὴ θρασὺς ἦν ὁ Πέτρος καὶ οἱ ἄλλοι μαθηταὶ, ἐλέγχει αὐτῶν τὴν ἀσθένειαν, ὡς προπετέστερα B φθεγξαμένων, καὶ μάλιστα τῷ Πέτρῳ διαλέγεται. Οὕτω μίαν ὥραν οὐκ ἰσχύσατε ἀγρυπνῆσαι μετ' ἐμοῦ; καὶ πῶς τὰς ψυχὰς ὑμῶν ὑπὲρ ἐμοῦ θήσετε; Ἀλλὰ πάλιν ἐπειδὴ διὰ τοῦ ἐλέγχου ἔπληξε, θεραπεύει ἐν τῷ εἰπεῖν, ὅτι τὸ μὲν πνεῦμα πρόθυμον, ἀλλ' ἡ τῆς σαρκὸς ἀντιπίπτει ἀσθένεια, τουτέστι, συγγνώμης ἀξιῶ ὑμᾶς, ὅτι οὐ διὰ καταφρόνησιν ἀπενυστάξατε, ἀλλὰ δι' ἀσθένειαν· ὥστε λοιπὸν ἐπεὶ ἀσθενεῖς ἐστε, μὴ θρασύνεσθε, ἀλλὰ προσεύχεσθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμὸν μηδόλως· ἄλλοι δὲ τὸ, Μὴ εἰσέλθητε εἰς πειρασμὸν, νοοῦσιν ἀντὶ τοῦ, Μὴ νικηθῆτε ὑπὸ τοῦ πειρασμοῦ. Οὐ γὰρ δὴ, φασὶ, κελεύει ἡμᾶς ἀπειράστους εἶναι. Οἱ πειρασμοὶ γάρ εἰσιν οἱ στεφανοῦντες, ἀλλὰ τὸ μὴ C καταποθῆναι ὑπὸ τοῦ πειρασμοῦ, καὶ εἰσελθεῖν εἰς τὴν κοιλίαν αὐτοῦ ὡς θηρίου τινὸς, τοῦτο κελεύει εὔχεσθαι· ὁ γὰρ ἡττηθεὶς ὑπὸ τοῦ πειρασμοῦ, εἰσῆλθεν εἰς αὐτὸν, τουτέστι, κατεπόθη ὑπ' αὐτοῦ.

« Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο, λέγων· Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου· καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. Καὶ ἀφεὶς αὐτοὺς, ἀπελθὼν πάλιν προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών. » Μάνθανε, ὦ ἄνθρωπε, συνεχῶς προσεύχεσθαι ἐν τοῖς πειρασμοῖς, ἀκούων, ὅτι καὶ ὁ Κύριος πολλάκις ηὔχετο. Εὑρὼν δὲ αὐτοὺς πάλιν καθεύδοντας, οὐ διήλεγξεν, ἵνα μὴ λυπήσῃ, ἀλλ' ἀφίησι. Καὶ ἀπελθὼν προσηύξατο ἐκ τρίτου, βεβαιῶν D τὸ ἀνθρώπινον· ἀληθείας γὰρ ἐνδεικτικὸς ὁ τρία ἀριθμὸς καὶ βεβαιώσεως.

« Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ, καὶ λέγει αὐτοῖς· Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε. Ἰδοὺ ἤγγικεν ἡ ὥρα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. Ἐγείρεσθε, ἄγω-

stret se ut hominem naturaliter deprecari mortem, sicut prædictum est: vel quod noluit Judæos tam grave peccatum peccare, propter quod destrueretur templum periretque populus. Verumtamen paternam voluntatem fieri vult: ut et nos discamus quod licet natura reluctetur, Deo tamen magis obtemperare quam nostram voluntatem implere debeamus.

VERS. 40, 41. « Et venit ad discipulos, et invenit eos dormientes, et dicit Petro: Adeo non potuistis una hora vigilare mecum? Vigilate et orate, ne intretis in tentationem. Spiritus quidem promptus est, at caro infirma. » Quoniam audax erat Petrus, et alii discipuli, arguit illorum infirmitatem, quod temeraria fuerint locuti: et Petro præsertim loquitur Adeo una hora non potuistis vigilare mecum? et quomodo animas vestras pro me ponetis? Sed iterum postquam reprehensione eos præstrinxit, curat dicendo: Spiritus quidem promptus est, at carnis obluctatur imbecillitas. Hoc est, Venia vos dignor, quod non propter contemptum obdormiveritis, sed propter infirmitatem. Unde posthac, quia infirmi estis, non sitis tam audaces: sed orate ut in nullam intretis tentationem. Alii autem, Ne intretis in tentationem, intelligunt, ne vincamini a tentatione. Non enim jubet nos sine tentatione esse, nam tentationes nos coronant, sed ne a tentatione absorbeamur, et intremus in ventrem ejus quasi bestiæ cujusdam, hoc jubet orare. Nam victus a tentatione, ingreditur in eam, hoc est, absorbetur ab ea.

VERS. 42-44. « Rursus altera vice abiit et oravit dicens: Pater mi, si non potest hoc poculum transire a me nisi bibam illud, fiat voluntas tua. Et venit et reperit eos iterum dormientes. Erant enim oculi eorum gravati. Et relictis illis, iterum abiit, ac oravit tertio eumdem sermonem dicens. » Disce, homo, continuo precari in tentationibus, audiens et Dominum sæpe orasse. Cum autem invenisset iterum dormientes, non reprehendit, ne tristitia 150 afficeret, sed reliquit et abiit, ac oravit tertio, confirmans se hominem esse. Ternarius enim numerus veritatis demonstrativus et confirmativus est.

VERS. 45, 46. « Tunc venit ad discipulos suos, et dicit illis: Dormite jam et requiescite: ecce appropinquavit hora, et Filius hominis traditur in manus peccatorum. Surgite, eamus, ecce appropinquavit

Ex collatione codd. Venet. S. Marci.

(34) Interpres pro ἐκείνου legisse debet ἡμῶν· quæ lectio cum sensu optime congruit. Cod. Palatinus habet, καὶ τὸ ἐκείνου, *et ejus*, quod rectius videtur, quam ἢ τὸ editi textus. — Mox post verba, θέλημα πληροῦν, cod. 32 addit: Ἢ διὰ τοῦτο ηὔχετο παρελθεῖν ἀπ' αὐτοῦ τὸ ποτήριον, ἵνα μὴ λογισθῇ τοῖς Ἰουδαίοις ἡ ἁμαρτία, ὥσπερ ὁ Στέφανος λιθοβαλούμενος ηὔχετο, μὴ στῆσαι τοῖς λιθοβολοῦσιν αὐτὸν τὴν ἐπ' αὐτῷ γινομένην ἁμαρτίαν. Καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς, κ. τ. λ. « Vel idcirco rogabat, ut transiret ab eo calix, ne Judæis peccatum imputaretur: qua ratione Stephanus, dum lapidaretur, rogabat, ne statueretur iis, qui ipsum lapidabant, peccatum quod tunc perpetrabant. Et venit ad discipulos, » etc.

qui me tradet. » Ostendens quod non opus habeat illorum subsidio quando sit tradendus, dicit illis: Dormite nunc. Vel per ironiam hoc dixit, quasi ita diceret: Ecce appropinquavit proditor, et si placet vobis, et permittit tempus, dormite. Excitat igitur illos a loco illo ubi orabat, et accedit ad eos qui ipsum comprehensuri erant, et occurrit eis quasi lætum quidpiam sibi oblaturi venirent. Sic et illa quæ precatus est, precatus est ut credibilior esset dispensatio, et quod voluisset non pati, ut servarentur Hebræi a perditione, quæ eis imminebat propter peccatum quod in ipsum erant perpetraturi.

VERS. 47-50. « Et illo adhuc loquente, ecce Judas unus ex duodecim venit, et cum eo turba multa cum gladiis et fustibus, missi a principibus sacerdotum et senioribus populi. Is vero qui tradebat eum, dedit illis signum, dicens: Quemcunque osculatus fuero, ipse est, tenete eum. Et confestim accedens ad Jesum, dixit: Ave, Rabbi, et osculatus est eum. Dixitque illi Jesus: Amice, ad quid ades? Tunc accesserunt, et manus injecerunt in Jesum, et ceperunt eum. » Vides arma pontificum qualia sint? Ligna et gladii. Ita erant pacifici, et spiritum mansuetudinis habentes. Unus autem ex duodecim, dixit Evangelista, admirans quod licet ex primis et electis esset, diabolo se tradidit. Unde, homo, et tu time, licet ex familiarissimis sis, ne unquam desidiæ vaces et excidas. Signum autem dedit Judas, eo quod nox erat, et non poterant internoscere. Et aliter, Qui venerant ad comprehendendum, non erant ex turba tot, quot ex servis pontificum, qui omnino forte non cognoverant Jesum, sed Judas notum facit eis Magistrum osculo. Nam cum sciret bonitatem Domini, audebat illum osculari. Ille autem fert usque ad novissimam horam studens sua longanimitate illum lucrari. Cum autem neque sic emendatus est, tunc fecit illos cadere, quemadmodum dicit Joannes, ut vel cadendo agnoscant ipsius virtutem. Unde cum neque sic destiterint a sua temeritate, tunc semetipsum eis exposuit. Judam autem amicum vocat, incessens eum, et carpens tanquam videlicet amici osculum præbentem. Quod vero dicit, Ad quid ades, hoc est, qua intentione hic ades? Nunquid ut amicus? sed non oportebat cum gladiis advenire. Nunquid ut inimicus? et quomodo oscularis? Arguit igitur eum ut dolosum.

VERS. 51-54. « Et ecce unus ex his qui erant cum Jesu, extendens manum, 131 exemit gladium suum et percutiens servum principis sacerdotum, amputavit auriculam ejus. Tunc dicit illi Jesus: Converte gladium tuum in locum suum. Omnes enim qui acceperint gladium, gladio peribunt. An putas quod non possim nunc rogare Patrem meum, et exhibebit mihi plures quam duodecim legiones angelorum? Quo pacto igitur implebuntur Scripturæ, quia sic

A μεν, ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με. » Δεικνύων, ὅτι οὐ χρείαν ἔχει τῆς παρ' αὐτῶν ἐπικουρίας, ὅτε μέλλει παραδοθῆναι, φησὶν αὐτοῖς· Καθεύδετε τὸ λοιπόν· ἢ κατ' εἰρωνείαν τοῦτό φησιν, ὡσανεὶ τοῦτο λέγων· Ἰδοὺ ἤγγικεν ὁ προδότης, καὶ εἰ ἀρέσκει ὑμῖν, καὶ παρέχει ὁ καιρός, καθεύδετε. Ἐγείρει οὖν αὐτοὺς ἀπὸ τοῦ τόπου ἐκείνου ἔνθα προσηύχετο, καὶ προσέρχεται τοῖς μέλλουσιν αὐτὸν συλλαβεῖν, καὶ προσυπαντᾷ αὐτοῖς, ὥς τι εὔφρόσυνον μέλλουσι δοῦναι αὐτῷ. Οὕτω καὶ ἐκεῖνα ἃ ηὔχετο, διὰ τὸ πιστώσασθαι τὴν οἰκονομίαν ηὔχετο, καὶ θέλων μὴ παθεῖν, ἵνα συντηρηθῶσιν οἱ Ἑβραῖοι ἐκ τῆς ἀπωλείας, ἣ ἔμελλε καταλήψεσθαι αὐτοὺς διὰ την εἰς αὐτὸν ἁμαρτίαν.

« Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ Ἰούδας εἷς τῶν B δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. Ὁ δὲ παραδιδοὺς αὐτὸν, ἔδωκεν αὐτοῖς σημεῖον, λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν. Καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ, εἶπε· Χαῖρε, Ῥαββί· καὶ κατεφίλησεν αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἑταῖρε, ἐφ' ᾧ πάρει; Τότε προσελθόντες, ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν. » Ὁρᾷς τὰ τῶν ἀρχιερέων σκεύη; Ξύλα καὶ μάχαιραι. Οὕτως ἦσαν εἰρηνικοὶ, καὶ τὸ πνεῦμα τῆς πραότητος ἔχοντες· τὸ δὲ, εἷς τῶν δώδεκα, εἶπεν ὁ εὐαγγελιστής, θαυμάζων, ὅτι καίτοι ἐξειλεγμένος ὢν, καὶ μετὰ τῶν πρώτων ταττόμενος, ὅμως τῷ διαβόλῳ δέδωκεν ἑαυτόν. Ὥστε καὶ σὺ φοβοῦ, ἄνθρωπε, κἂν τῶν οἰκειοτάτων εἴης, μήποτε ἀπορρᾳθυμήσας ἐκπέσῃς. Σύσσημον δὲ δίδωσιν ὁ C Ἰούδας, διότι καὶ νὺξ ἦν, καὶ οὐκ ἠδύναντο διαγνῶναι· ἄλλως τε καὶ οἱ ἐλθόντες συλλαβεῖν, οὐκ ἦσαν ἐκ τοῦ ὄχλου τοσοῦτοι, ὅσοι ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, οἳ οὐδ' ὅλως τάχα ἐγνώριζον τὸν Ἰησοῦν. Ἀλλ' ὁ μαθητὴς γνωρίζει αὐτοῖς τὸν διδάσκαλον, ἐκ τοῦ καταφιλεῖν· εἰδὼν γὰρ τὴν φιλανθρωπίαν τοῦ Κυρίου, θρασύνεται καὶ φιλῆσαι. Ὁ δὲ ἀνέχεται ἄχρι καὶ τῆς τελευταίας ὥρας, σπουδάζων διὰ τῆς μακροθυμίας αὐτὸν κερδῆσαι. Ὅτε δὲ οὐδὲ οὕτως ἐσωφρονίσθη, τότε ποιεῖ αὐτοὺς πεσεῖν, ὡς ὁ Ἰωάννης φησὶν, ἵνα κἂν διὰ τοῦ πεσεῖν, ἐπιγνῶσι τὴν αὐτοῦ δύναμιν· ὡς δὲ οὐδ' οὕτως ἀπέστησαν τῆς θρασύτητος, τότε ἐκδίδωσιν ἑαυτόν· ἑταῖρον δὲ τὸν Ἰούδαν καλεῖ, κωμῳδῶν αὐτὸν καὶ διασύρων, ὡς δῆθεν ἑταίρου φίλημα δόντα· τὸ δὲ, Ἐφ' ᾧ πάρει, ἀντὶ τοῦ, ἐπὶ ποίῳ σκοπῷ πάρει ἐνταῦθα; Ἆρα ὡς φίλος; D καὶ μὴν οὐκ ἔδει μετὰ μαχαιρῶν παρεῖναι. Ἀλλ' ὡς ἐχθρός; καὶ πῶς καταφιλεῖς; Ἐλέγχει τοίνυν αὐτὸν ὡς δόλιον.

« Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς. Πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανοῦνται· ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν Πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; Πῶς οὖν πληρωθῶσιν αἱ Γραφαὶ, ὅτι

οὕτω δεῖ γενέσθαι; » Πέτρος ἦν ὁ τὴν μάχαιραν A σπασάμενος, καθὰ Ἰωάννης φησίν· εἶχε δὲ μάχαιραν, ὡς ἄρτι τὸ ἀρνίον θύσας, ὃ ἔφαγον. Μὴ ἐγκαλῶμεν δὲ τῷ Πέτρῳ. Οὐ γὰρ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ διδασκάλου ζηλώσας, τοῦτο ἐποίησεν· ὁ δὲ Κύριος μεταρρυθμίζων αὐτὸν εἰς εὐαγγελικὴν πολιτείαν, διδάσκει μὴ χρῆσθαι μαχαίρᾳ, κἂν τὸν Θεὸν δοκῇ τις ἐκδικεῖν. Τεμὼν δὲ τὸ ὠτίον ὁ Πέτρος, δείκνυσιν ὅτι ἀνηκοΐαν ἐνόσουν οἱ Ἰουδαῖοι· εἶτα καὶ τὸ τοῦ νόμου ῥητὸν τίθησιν, ὅτι ὁ φονεὺς ἀντιφονεύεται· ὁ γὰρ νόμος τοῦτό φησιν, ὅτι οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ ἀποθανοῦνται. Αἰνίττεται δὲ ὅτι ὑπὸ τῆς τῶν Ῥωμαίων μαχαίρας ἀναιρεθήσονται οἱ κατ' αὐτοῦ λαβόντες τὴν μάχαιραν Ἰουδαῖοι· οὐκ εἶπε δὲ, ὅτι Δύναμαι παραστῆσαι δώδεκα B λεγεῶνας ἀγγέλων, ἀλλὰ, παρακαλέσαι τὸν Πατέρα μου, οἰκονομικῶς τοῦτο λέγων ὡς ἄνθρωπος, διὰ τὴν αὐτῶν ἀσθένειαν. Πολλὰ γὰρ ἦν τότε ἐπιδείξας ἀνθρώπινα, τὸν ἱδρῶτα, τὴν δειλίαν, καὶ οὐκ ἂν ἔδοξε πιθανὰ λέγειν, ἂν ἔλεγεν ὅτι Δύναμαι αὐτὸς ἐγὼ παραστῆσαι ἀγγέλους. Ἀντὶ τῶν δώδεκα οὖν, φησὶ, μαθητῶν, παρέστησαν ἄν μοι δώδεκα τάγματα ἀγγέλων, εἰ ἤθελον. Λεγεὼν γάρ ἐστι τὸ μέγιστον τάγμα, ἑξακισχίλιοι ἱππεῖς. Δεῖ οὖν, φησὶ, ταῦτα πάντα γενέσθαι, ὅπως πληρωθῶσιν αἱ Γραφαὶ αἱ ταῦτα προαναφωνήσασαι. Οὐχ ὅτι δὲ προανεφώνησαν αἱ Γραφαὶ, διὰ τοῦτο οἱ Ἰουδαῖοι κακοὶ, ἀλλὰ διότι ἔμελλον ἀπὸ πονηρᾶς προαιρέσεως ταῦτα ποιῆσαι οἱ Ἰουδαῖοι, διὰ τοῦτο ἐν ταῖς Γραφαῖς ταῦτα ἐτέθησαν ὑπὸ τοῦ Πνεύματος. C

« Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με· τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ Γραφαὶ τῶν προφητῶν. » Δείκνυσι τὴν ἄλογον αὐτῶν ἐπιχείρησιν, καὶ ὅτι οὐ τῆς αὐτῶν ἰσχύος γέγονε τὸ συλλαβεῖν αὐτόν. Ὅτε γὰρ ἤμην, φησὶν, ἐν τῷ ἱερῷ, ἠθέλετέ με συσχεῖν, καὶ διότι οὐ συνεχώρουν ὑμῖν, οὐκ ἠδυνήθητε, νῦν δὲ ἑκὼν προδίδωμι ἐμαυτόν· οἶδα γὰρ ὅτι ἀδύνατόν ἐστι διαψευσθῆναι τὰς Γραφὰς, αἳ προεῖπον τὴν ὑμετέραν κακίαν.

« Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν, ἔφυγον. Οἱ δὲ, κρατήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον πρὸς D Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ Γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν· ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως· καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος. » Οἱ μὲν ἄλλοι μαθηταὶ ἔφυγον· ὁ δὲ Πέτρος θερμότερον διακείμενος περὶ τὸν διδάσκαλον, ἠκολούθει μακρόθεν. Εἰ δὲ καὶ ὁ Ἰωάννης ἠκολούθει, ἀλλ' οὐχ ὡς μαθητὴς, ἀλλ' ὡς γνώριμος τοῦ ἀρχιερέως.

« Οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσι, καὶ οὐχ εὗρον. Καὶ

oportet fieri? » Petrus erat qui gladium exemerat, ut Joannes dicit [60]. Habebat autem gladium, quo agnum Paschalem mactarat Non arguimus autem Petrum, quoniam non pro se, sed pro Magistro zelo ardens hoc fecit Dominus vero adaptans eum ad evangelicam vitam, docet non utendum gladio, etiamsi quis Deum ulcisci videatur. Porro Petrus amputans auriculam, ostendit Judæos inobedientia laborare. Deinde et dictum legis ponit, quod homicida et ipse occiditur. Lex enim hoc dicit, quod qui acceperint gladium, moriantur gladio. Insinuat autem quod Romanorum gladio perituri essent Judæi, contra se gladium accipientes. Jam non dixit, Possum exhibere duodecim legiones angelorum; sed, orare Patrem meum, dispensative dicit sicut homo, propter eorum infirmitatem. Multa enim tunc erant quibus humana veritas ostendebatur, ut sudor et timor: et non visus fuisset verisimilia dicere, si dixisset, Possum ipse adducere angelos. Pro duodecim igitur, inquit, apostolis, astitissent mihi duodecim exercitus angelorum, si quidem voluissem. Legio enim est magnum agmen, nempe sex millia equitum. Oportet igitur, inquit, hæc omnia fieri, ut impleantur Scripturæ quæ hæc prædixerunt. Non quod ideo Judæi mali, quia prædixerunt Scripturæ: sed quia Judæi hæc mala voluntate facturi erant, ideo Spiritus sanctus ea Scripturis prodidit.

VERS. 55, 56. « In illa hora dixit Jesus turbis: Tanquam ad latronem existis cum gladiis et fustibus ut comprehendatis me: quotidie apud vos sedebam docens in templo, et non me cepistis. Hoc autem totum factum est ut complerentur Scripturæ prophetarum. » Ostendit stultum illorum conatum, et quod non fortitudinis illorum fuerit, ipsum comprehendi. Quando enim, inquit, eram in templo, volebatis me comprehendere, et quia non concedebam vobis, tunc non poteratis; nunc autem sponte meipsum offero: nam scio impossibile Scripturas, quæ vestram prædixerunt malitiam, mendaces esse.

VERS 56-58. « Tunc discipuli omnes, relicto eo, fugerunt. At illi comprehensum Jesum duxerunt ad Caipham principem sacerdotum, ubi Scribæ et seniores convenerant. Petrus autem sequebatur eum procul, usque ad atrium principis sacerdotum. Et ingressus intro, sedebat cum ministris, ut videret finem. » Alii quidem discipuli fugerunt: Petrus vero ferventiori **852** erga Magistrum affectu, sequebatur procul. Quamvis autem et Joannes sequeretur, non tamen ut discipulus, sed ut notus pontifici.

VERS. 59, 60. « Principes autem sacerdotum et seniores et totum consilium quærebant falsum testimonium contra Jesum, ut morti eum traderent,

60 Joan. XVIII, 10.

et non invenerunt. Et cum multi falsi testes accessissent, non invenerunt. » Ad Caipham ducunt Jesum, nam ille erat pontifex anni illius, ubi et reliqui pernoctabant, non comedentes tunc Pascha, sed exspectantes ut occiderent Dominum, prævaricabantur legem. Dominus ipse legitimo tempore comederat, illi vero contemnunt legem, modo occidant Christum.

VERS. 61-63. « Novissime autem venerunt duo falsi testes, et dixerunt : Hic dixit, Possum destruere templum Dei, et in triduo ædificare illud. Et surgens princeps sacerdotum dixit illi : Nihil respondes? cur isti adversum te testimonium dicunt? Jesus autem tacebat. Et respondens princeps sacerdotum ait illi : Adjuro te per Deum vivum, ut dicas nobis an sis Christus Filius Dei. Dicit illi Jesus : Tu dixisti. » Vere illi erant falsi testes. Christus enim non dixerat, Possum destruere, sed, solvite [61] : et non dixit templum Dei, id est corpus meum. Et iterum non dixit, Ædificabo, sed excitabo : erantque illi manifeste falsi testes, qui dicebant Christum alia dixisse quam dixerat. Jesus igitur cum sciret judicium eorum injustum, tacebat : quibus enim signa nihil persuaserant, quomodo persuasissent responsa? Porro pontifex cupiens illum blasphemum declarare, rogat, ut si dixerit, Ego sum Filius Dei, tanquam blasphemus condemnetur. Si autem negaverit, testificatus sit contra semetipsum. At Dominus, qui comprehendit sapientes in versutia sua, respondit : Tu dixisti, hoc est, tuum os confessum est quod ego sum Filius Dei.

VERS. 64. « Verumtamen dico vobis, amodo videbitis Filium hominis sedentem a dextris virtutis, et venientem in nubibus cœli. » Ex Daniele propheta his loquitur. Ille enim inquit : Videbam sicut Filium hominis venientem in nubibus. Nam quia putabant impostorem esse, eo quod in humili vestitu apparebat, Videbitis, inquit, me tunc cum virtute venientem, et assidentem Patri. Virtutem enim hic Patris dicit : et non a terra, sed a cœlo venientem.

VERS. 65, 66. « Tunc princeps sacerdotum discidit vestimenta sua, dicens : Blasphemavit : quid insuper egemus testibus? Ecce nunc audistis blasphemiam ejus : quid vobis videtur? At illi respondentes dixerunt : Reus est mortis. » Mos erat Judæis, quando quid intolerabile accidebat, dirumpere vestes. Sic et Caiphas, quasi manifestius ille blasphemus esset, decepturus populum hoc faciebat, quasi hac ratione cogens alios 153 dicere hunc reum esse mortis. Verumtamen discite, quod Caiphas rupit vestimenta sua, sacerdotium veteris legis esse disruptum et ablatum significare.

[61] Joan. II, 19.

A πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον. »
Εἰς τὸν Καϊάφαν ἀπάγουσι τὸν Ἰησοῦν· ἐκεῖνος γὰρ
ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου· ἔνθα καὶ οἱ
λοιποὶ διενυκτέρευον, μὴ φαγόντες τότε τὸ Πάσχα,
ἀλλ' ἀναμείναντες, ἵνα ἀποκτείνωσι τὸν Κύριον,
καὶ παραβάντες τὸν νόμον· ὁ μὲν γὰρ Κύριος κατὰ
τὸν νενομισμένον καιρὸν ἔφαγεν, ἐκεῖνοι δὲ, ἵνα
μόνον ἀποκτείνωσι τὸν Κύριον, καταφρονοῦσι καὶ
τοῦ νόμου.

« Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες,
εἶπον· Οὗτος ἔφη· Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ
Θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν.
Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Οὐδὲν ἀπο-
κρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ Ἰησοῦς
ἐσιώπα. Καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς, εἶπεν αὐτῷ·
B Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν
εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, Λέγει
αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας. » Ψευδομάρτυρες ὄντως
ἦσαν οὗτοι· ὁ γὰρ Χριστὸς οὐκ εἶπεν, ὅτι Δύναμαι
καταλῦσαι, ἀλλὰ, Λύσατε. Καὶ οὐκ εἶπε, τὸν ναὸν τοῦ
Θεοῦ, ἀλλὰ, τὸν ναὸν τοῦτον, τουτέστι τὸ σῶμά μου·
καὶ πάλιν οὐκ εἶπεν· Οἰκοδομήσω, ἀλλ', Ἐγερῶ·
ὥστε φανερῶς ψευδομάρτυρες οὗτοι, ἄλλα εἰπόντα
τὸν Χριστὸν, ἄλλα λέγοντες εἰπεῖν. Ὁ οὖν Ἰησοῦς
παράνομον εἰδὼς τὸ κριτήριον αὐτῶν, ἐσιώπα· οὓς
γὰρ σημεῖα οὐκ ἔπειθον, πῶς ἂν ἀπολογίαι ἔπει-
σαν; Ὁ δὲ ἀρχιερεὺς, βουλόμενος ῥίψαι αὐτὸν εἰς
βλασφημίαν, ἐρωτᾷ· ἵνα ἐὰν μὲν εἴπῃ, ὅτι Ἐγώ
εἰμι ὁ Υἱὸς τοῦ Θεοῦ, ὡς βλάσφημος κατακριθῇ,
C ἐὰν δὲ ἀρνήσηται, ἔχῃ αὐτὸν καθ' ἑαυτοῦ μαρτυ-
ρήσαντα. Ἀλλ' ὁ Κύριος ὁ δρασσόμενος τοὺς σοφοὺς
ἐν τῇ πανουργίᾳ αὐτῶν, ἀποκρίνεται· Σὺ εἶπας,
ἀντὶ τοῦ, Τὸ σὸν ὡμολόγησε στόμα, ὅτι ἐγώ εἰμι ὁ
Υἱὸς τοῦ Θεοῦ.

« Πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν Υἱὸν
τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνά-
μεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐ-
ρανοῦ. » Ἐκ τῆς τοῦ Δανιὴλ προφητείας αὐτοῖς
διαλέγεται. Ἐκεῖνος γάρ φησιν, ὅτι Εἶδον ὡς Υἱὸν
ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν. Ἐπεὶ γὰρ
ἐνόμιζον αὐτὸν πλάνον εἶναι, ἐν ταπεινῷ φαινόμενον
σχήματι, φησὶν, ὅτι Ὄψεσθέ με τότε μετὰ δυνάμεως
ἐρχόμενον, καὶ συγκαθήμενον τῷ Πατρί· δύναμιν
γὰρ ἐνταῦθα τὴν τοῦ Πατρὸς λέγει· καὶ οὐκ ἀπὸ
D γῆς, ἀλλ' ἀπ' οὐρανοῦ ἐρχόμενον.

« Τότε ὁ ἀρχιερεὺς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, λέγων
ὅτι Ἐβλασφήμησε, τί ἔτι χρείαν ἔχομεν μαρτύρων;
ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ· τί ὑμῖν
δοκεῖ; Οἱ δὲ ἀποκριθέντες εἶπον· Ἔνοχος θανάτου
ἐστίν. » Ἔθος ἦν τοῖς Ἰουδαίοις, ὅταν τι ἀκαρτέρητον
ἐπέλθοι, διαῤῥήσσειν τοὺς χιτῶνας· οὕτως οὖν καὶ ὁ
Καϊάφας, ὡς ἐπὶ βλασφημίᾳ δήλῃ πρὸς ἀπάτην τοῦ
ὄχλου τοῦτο ἐποίησεν, ἵνα δείξῃ αὐτοῖς ὅτι μεγάλως
ἐβλασφήμησεν, εἶθ' οὕτως ἀναγκάσῃ αὐτοὺς εἰπεῖν,
ὅτι ἔνοχος θανάτου ἐστί. Πλὴν κατάμαθε, ὅτι τὸ τὸν
Καϊάφαν διαῤῥῆξαι τὰ ἱμάτια, σύμβολον ἦν τοῦ τὴν
ἀρχιερωσύνην τῆς παλαιᾶς διαῤῥαγῆναι.

« Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν. Οἱ δὲ ἐῤῥάπισαν, λέγοντες· Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε ; » Ὅτε κατεκρίθη, τότε ἐνεδείξαντο εἰς αὐτὸν τὰ ἐπονείδιστα, καὶ ἐνέπαιζον αὐτῷ, περιβάλλοντες, ὡς ἕτερος εὐαγγελιστὴς φησιν, ἱματίῳ τὸ πρόσωπον αὐτοῦ· ἐπεὶ γὰρ ὡς προφήτην αὐτὸν εἶχον, διὰ τοῦτο ἐμπαίζουσιν οὕτως αὐτῷ· κολαφίζειν δέ ἐστι τὸ διὰ τῶν χειρῶν πλήττειν, συγκαμπτομένων τῶν δακτύλων, καὶ ἵνα ἀφελέστερον εἴπω, διὰ τοῦ γρόνθου κονδυλίζειν.

« Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ, καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη, λέγουσα· Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου ; Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων, λέγων· Οὐκ οἶδα τί λέγεις. Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη, καὶ λέγει τοῖς ἐκεῖ· Καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου· καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου, ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον· μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες, εἶπον τῷ Πέτρῳ· Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν, ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον. Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε· καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ, εἰρηκότος αὐτῷ ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς. » Ἀπείρῳ φόβῳ καταγωνισθεὶς ὁ Πέτρος, ἐπελάθετο τῶν ὑποσχέσεων, καὶ τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ δουλεύει, οἷον ἀποτεθνηκὼς τῷ φόβῳ, καὶ μηδὲ εἰδὼς ὃ λέγει. Νόει δέ μοι καὶ κατὰ ἀναγωγὴν, ὅτι ἐλέγχεται ὑπὸ τῆς παιδίσκης ὁ Πέτρος, τουτέστι, τῆς ἀνθρωπίνης ἀσθενείας, τῆς μικρᾶς καὶ δουλοπρεποῦς, ἄχρις οὗ ὁ ἀλέκτωρ φωνήσας, εἰς αἴσθησιν αὐτὸν ἤγαγεν· ἀλέκτωρ δέ ἐστιν ὁ λόγος, ὁ μὴ ἐῶν ἡμᾶς ῥαθυμεῖν καὶ καθεύδειν, ἀλλὰ λέγων, Γρηγορεῖτε, καὶ, Ἔγειραι, ὁ καθεύδων. Ὑπὸ τοῦ λόγου τοίνυν ὥσπερ ὑπό τινος ἀλέκτορος διυπνισθεὶς ὁ Πέτρος, ἐξελθὼν ἔξω τῆς αὐλῆς τοῦ ἀρχιερέως, τουτέστι, τῆς περιοχῆς τοῦ πεπωρωμένου νοῦ, καὶ ἐκβὰς ἀπὸ τῆς ἀναισθησίας, ἔκλαυσε πικρῶς. Ἕως μὲν γὰρ ἦν ἐν τῇ αὐλῇ τοῦ πεπωρωμένου νοὸς, οὐκ ἔκλαιεν· οὐ γὰρ ᾐσθάνετο· ὁπηνίκα δὲ ἐξῆλθεν, εἰς αἴσθησιν ἦλθεν.

### ΚΕΦΑΛ. ΚΖ'.

Περὶ τοῦ ἡγεμόνος Πιλάτου. Περὶ τῆς Ἰούδα μεταμελείας. Περὶ τοῦ αἰκισμοῦ καὶ τιμωριῶν τοῦ Χριστοῦ, καὶ σταυρώσεως. Περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ Κυρίου, καὶ τῶν φυλάκων τοῦ τάφου.

« Πρωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν· καὶ δήσαντες αὐτὸν ἀπήγαγον, καὶ παρέδωκαν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. » Ἴδε τὸν διάβολον πῶς ὅλους αὐτοὺς κατεῖχεν ἐν τοιαύταις ἡμέραις πείσας φονεύειν, ἐν αἷς πολλῶν ἔδει θυσιῶν καὶ προσφορῶν, ὑπὲρ τῶν ἄλλων ἁμαρτιῶν, καὶ ἁγνείας καὶ καθάρσεως· οἱ δὲ καὶ

VERS. 67, 68. «Tunc expuerunt in faciem ejus, et colaphis eum ceciderunt. Alii autem palmas in faciem ejus dederunt, dicentes : Vaticinare nobis, Christe, quis est qui te percussit? » Quando condemnatus est, tunc ignominiosa multa contra eum fecerunt, et illudebant ei, obtegentes veste (ut alius evangelista inquit [62]) faciem ejus. Nam quia ut prophetam eum habebant, ideo ita illudebant ei. Colaphizare autem est manibus purcutere, et simul incurvatis digitis, et, ut simplicius dicam (a), nodoso pugno cædere.

VERS. 69-75. « Petrus vero sedebat foris in atrio, et accessit ad eum una ancilla, dicens : Et tu cum Jesu Galilæo eras? At ille negavit coram omnibus, dicens : Nescio quid dicas. Cum autem exisset in vestibulum, vidit eum altera ancilla, et ait his qui erant ibi : Et hic erat cum Jesu Nazareno. Et iterum negavit cum jurejurando : Non novi hominem. Et post pusillum accesserunt qui stabant, et dixerunt Petro : Vere et tu ex illis es : nam et loquela tua te manifestum facit. Tunc cœpit detestari et jurare quod non nosset hominem. Et continuo gallus cantavit. Et recordatus est Petrus verbi Jesu, qui dixerat ei, Priusquam gallus cantet, ter me negabis, et egressus foras flevit amare.» Immenso timore laborans Petrus, oblitus est promissionum, et humanæ servit imbecillitati, quasi metu exanimatus et nescius quid dicat. Intellige autem per anagogen, quod ab ancilla Petrus reprehenditur, hoc esse humanæ infirmitatis et servilis affectionis indicium, donec gallus cantans illum recordari fecit. Gallus autem est sermo, qui non sinit nos torpere et dormire, sed dicit, Vigilate, et, Surge qui dormis. A sermone tanquam a gallo quopiam excitatus Petrus, egressus est foras atrium principis sacerdotum, hoc est ambitum excæcatæ mentis, et egressus ab insensibilitate, flevit amare. Quandiu enim erat in atrio excæcatæ mentis, non flevit, neque enim sentiebat ? postquam autem exivit, sentire cœpit. »

### CAPUT XXVII.

*De Pontio Pilato præside. De resipiscentia Judæ. De flagellatione, pœnis et crucifixione Christi. Quomodo petitum fuerit corpus Domini ut sepeliretur, et de custodia ejus sepulcro constituta.*

VERS. 1, 2. Mane autem facto consilium inierunt omnes principes sacerdotum et seniores populi adversus Jesum, ut eum morti traderent. Et vinctum eum adduxerunt, et tradiderunt Pontio Pilato præsidi. » Vide diabolum quomodo omnes 154 illos comprehendat in diebus illis, persuadens eis ut occidant, cum sacrificare et offerre debeant pro aliorum peccatis, sanctimonia, et purgatione. Illi

[62] Luc. XXII, 63, 64.

(a) Edit. Lat. omisit, *ut simplicius dicam*.

autem Jesum et ligant, et adducunt ad Pilatum præsidem, qui a Ponto erat, Romanis autem tributarius, et ab eis Judæam præses missus. Tradiderunt itaque Dominum Pilato, ut seditiosum, certe et virum qui tyrannidem meditatus esset.

VERS. 3-5. « Tunc videns Judas qui eum tradiderat, quod damnatus esset, pœnitudine ductus retulit triginta argenteos principibus sacerdotum et senioribus, dicens : Peccavi, tradens sanguinem innoxium. Illi autem dixerunt : Quid ad nos? tu videbis. Et projectis argenteis in templo, recessit, et abiens laqueo se suspendit. » Tarde sapere incipit, et pœnitet quidem, non autem recte. Nam suum pœnitere bonum erat, suffocari autem diabolicum. Proinde non ferens ignominias subsecuturas, seipsum e vita subduxit. Oportebat lacrymari, et sibi reconciliare eum qui proditus fuerat. Quidam autem dicunt quod Judas cum avarus esset, sperabat ex proditione Christi multum lucri, et Christum non occisum iri, sed evasurum, sicut sæpius et antea : cum autem tunc vidisset condemnatum ut moreretur, pœnitentia rei ductus est, quod alium quam opinabatur exitum res sortiretur. Idcirco et se strangulavit, ut præveniat Jesum in inferno, et ibi orando salutem assequatur. Verum scias quod posuit quidem collum suum in laqueum, se ab arbore suspendens, arbore autem inclinata supervixit, Deo volente ipsum vel in pœnitentiam conservare, vel in traductionem et confusionem. Dicunt enim quod morbo hydropico laboravit, ita ut transire non potuerit qua facile plaustrum transibat, et deinde cecidisse pronum, et *crepuisse* medium, hoc est, disruptum esse, ut dicit Lucas in Actis [63].

VERS. 6-10. « Principes autem sacerdotum acceptis argenteis dixerunt: Non licet eos mittere in corbonam, quia pretium sanguinis est. Consilio autem inito emerunt ex illis agrum figuli in sepulturam peregrinorum : quapropter vocatus est ager ille, Ager sanguinis, usque in hodiernum diem. Tunc

A δεσμοῦσι καὶ ἀπάγουσι πρὸς τὸν ἡγεμόνα Πιλάτον, ὃς ἀπὸ Πόντου μὲν ἦν, Ῥωμαίοις δὲ ὑποτελῶν, ἀπεστάλη ἡγεμὼν τῆς Ἰουδαίας. Παρέδωκαν δὲ τὸν Κύριον τῷ Πιλάτῳ, ὡς δῆθεν στασιώδη, καὶ κατὰ τοῦ βασιλέως μελετήσαντα.

« Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, λέγων· Ἥμαρτον παραδοὺς αἷμα ἀθῶον· οἱ δὲ εἶπον. Τί πρὸς ἡμᾶς ; σὺ ὄψει· καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο. » Ἐν ὑστεροβουλίᾳ γίνεται ὁ Ἰούδας, καὶ μεταμέλεται μὲν, οὐ καλῶς δέ· τὸ μὲν γὰρ ἑαυτοῦ καταγνῶναι, καλὸν, τὸ δὲ ἀπάγξασθαι, δαιμονιῶδες· οὐ φέρων B γὰρ τοὺς ἐς ὕστερον ὀνειδισμοὺς, ὑπεξάγει ἑαυτὸν τοῦ βίου, δέον δακρῦσαι καὶ ἐξιλεώσασθαι τὸν προδοθέντα. Τινὲς δὲ λέγουσιν ὅτι ὁ Ἰούδας φιλάργυρος ὢν, ὑπελάμβανεν, ὅτι αὐτός τε κερδήσει τὰ ἀργύρια προδοὺς Χριστὸν, καὶ ὁ Χριστὸς οὐκ ἀποκτανθήσεται, ἀλλὰ διαφύγῃ τοὺς Ἰουδαίους, ὡς πολλάκις διέφυγε· τότε δὲ ἰδὼν αὐτὸν κατακριθέντα, καὶ ἤδη καταδικασθέντα ἀποθανεῖν, μετεμελήθη, ὡς τοῦ πράγματος ἀποβάντος παρ' ὅπερ ὑπελάμβανε. Διὸ καὶ ἀπήγξατο, ἵνα προλάβῃ τὸν Ἰησοῦν ἐν τῷ ᾅδῃ, καὶ ἱκετεύσας σωτηρίας τεύξηται. Πλὴν γίνωσκε ὅτι ἔθηκε μὲν τὸν τράχηλον αὐτοῦ εἰς τὴν ἀγχόνην, ἀπὸ δένδρου τινὸς κρεμάσας ἑαυτόν· τοῦ δὲ δένδρου κλιθέντος, ἐπέζησε, τοῦ Θεοῦ θέλοντος αὐτὸν ἢ εἰς μετάνοιαν συντηρῆσαι, ἢ εἰς παραδειγματισμὸν καὶ C αἰσχύνην. Φασὶ γὰρ ὅτι νόσῳ ὑδερικῇ περιπέπτωκεν, ὥστε ἔνθα ἅμαξα ῥᾳδίως διέρχεται, αὐτὸν μὴ δύνασθαι διελθεῖν (35). Εἶτα πρηνὴς πεσὼν ἐλάκησεν, ἀντὶ τοῦ, διεῤῥάγη, ὡς ὁ Λουκᾶς φησιν ἐν ταῖς Πράξεσιν.

« Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον. Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις· διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, Ἀγρὸς αἵματος, ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερε-

[63] Act. I, 18.

## Ex collatione codd. Venet. S. Marci.

(35) Cod. 32 Ἔνθα ἅμαξα ῥᾳδίως διέρχεται, ἐκεῖνον μὴ δύνασθαι διελθεῖν. Ἀλλὰ μηδὲ αὐτὸν μόνον τὸν τῆς κεφαλῆς ὄγκον αὐτοῦ· τὰ μὲν γὰρ βλέφαρα τῶν ὀφθαλμῶν αὐτοῦ, φασὶ, τοσοῦτον ἐξῳδηκέναι, ὡς αὐτὸν μὲν τὸ φῶς καθόλου βλέπειν, τοὺς ὀφθαλμοὺς δὲ αὐτοῦ οὐδὲ ὑπὸ ἰατροῦ διόπτρας ὀφθῆναι δύνασθαι, τοσοῦτον εἶχον τὸ βάθος ἀπὸ τῆς ἔξωθεν ἐπιφανείας· τὸ δὲ αἰδοῖον αὐτοῦ πάσης μὲν ἀσχημοσύνης ἀειδέστερον καὶ μεῖζον φαίνεσθαι αὐτοῦ, τοὺς ἐκ παντὸς τοῦ σώματος συῤῥέοντας ἰχῶράς τε καὶ σκώληκας· μετὰ πολλὰς δὲ βασάνους καὶ τιμωρίας ἐλάκησε μέσος, ἀντὶ τοῦ διεῤῥάγη, ὡς ὁ Λουκᾶς φησιν ἐν ταῖς Πράξεσιν. Ἀπὸ δὲ τῆς δυσωδίας ἐκείνου μέχρι τοῦ νῦν, ἔρημον καὶ ἀοίκητόν φασι, τὸ χωρίον γενέσθαι ἐκεῖνο, ἐν ᾧ τὴν μιαρὰν ἐκεῖνος ψυχὴν ἀπέῤῥιψεν, ἀλλ' οὐδὲ μέχρι τῆς σήμερον δύνασθαί τινα τὸν τόπον ἐκεῖνον διελθεῖν, ἐὰν μὴ τὰς ῥῖνας ταῖς χερσὶν ἐπιφράξῃ, τοσαύτη διὰ τῆς σαρκὸς αὐτοῦ καὶ ἐπὶ γῆς κρίσεως ἐχώρησεν. Οἱ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, κ. τ. λ. « Qua D facile plaustrum transibat, transire non potuerit : imo neque ipse solus capitis ejus tumor. Aiunt enim palpebras, genasque ejus adeo intumuisse, ut tametsi lumen ipse videret, ejus tamen oculi, ne quidem adhibitis medicorum dioptris, videri possent : adeo scilicet profunde ab exteriore prospectu recesserant. Ferunt etiam, verenda ipsius fuisse omni turpitudine deformiora; ac sanie ex toto corpore manante, vermibusque contecta. Deinde post multos dolores, atque tormenta *crepuit medius*, hoc est, disruptus est, ut Lucas scribit in Actibus (I, 18). Aiunt vero, ob ipsius fetorem agrum illum, in quo exsecrandam animam ille evomuit, usque in hodiernum diem, desertum et inhabitabilem evasisse : imo neque hodie posse quemquam per illum transire, nisi nares manibus premat. Tale scilicet judicium ille, quoad carnem suam, etiam supra terram recepit. Principes autem sacerdotum acceptis, etc. »

μίου τοῦ προφήτου, λέγοντος· Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως καθὰ συνέταξέ μοι Κύριος. » Κορβανᾶν ἔλεγον τὸν ἐν τῷ ἱερῷ θησαυρὸν, εἰς ὃν ἔβαλλον τὰ προσφερόμενα τῷ Θεῷ δῶρα. Ὅρα δὲ πῶς ὁ Θεὸς ματαιοῖ αὐτοὺς, ὥστε φημίζεσθαι τὴν μιαιφόνον αὐτῶν γνώμην· Ἕως γὰρ τῆς σήμερον, φησὶν, Ἀγρὸς αἵματος καλεῖται ὁ ἀγρὸς ἐκεῖνος, ὥστε πάντας ἀναμιμνήσκεσθαι ὅτι τὸν Κύριον ἐφόνευσαν. Μάνθανε δὲ καὶ τοῦτο, ὅτι καὶ παρὰ τοῖς Ἰουδαίοις τοσοῦτον ἡ φιλοξενία ἐσπουδάζετο, ὥστε καὶ τοῖς ξένοις εἰς ταφὴν χωρίον τι ἀγορασθῆναι. Αἰσχυνώμεθα οὖν ἡμεῖς, οἱ τελειοτέρου μὲν βίου δοκοῦντες εἶναι, τοὺς δὲ ξένους παραβλεπόμενοι. Τὴν τιμὴν δὲ τοῦ τετιμημένου, φησὶν, δηλονότι τοῦ Χριστοῦ. ἀτίμητος μὲν γὰρ ἦν, ἐτιμήθη δὲ ἀπὸ υἱῶν Ἰσραὴλ, τουτέστι τὴν τιμὴν αὐτοῦ ἔστησαν οἱ υἱοὶ Ἰσραὴλ, συμφωνήσαντες τῷ Ἰούδᾳ δοῦναι τριάκοντα ἀργύρια.

« Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος, καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν, λέγων, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα· ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. » Ὡς ἐπὶ δημοσίοις ἐγκλήμασι κατηγορούμενος ἀπάγεται πρὸς Πιλάτον, ὅθεν καὶ ἐρωτᾷ αὐτὸν εἰ ἐπεβάλετο ἀνταρσίᾳ, καὶ ἐπεχείρησε βασιλεῦσαι τῶν Ἰουδαίων. Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις· ἀπόκρισιν δοὺς αὐτῷ σοφωτάτην· οὔτε γὰρ εἶπεν, ὅτι Οὐκ εἰμὶ, οὔτε πάλιν, ὅτι Εἰμί. Ἀλλὰ μέσως πως ἔφη· Σὺ λέγεις. Τοῦτο γὰρ δύναται καὶ οὕτω νοηθῆναι, ὅτι Εἰμὶ καθὼς λέγεις· καὶ οὕτως, ὅτι Ἐγὼ μὲν τοῦτο οὐ λέγω, σὺ δὲ λέγεις· ἄλλο μέντοι οὐδὲν ἀπεκρίνατο· ᾔδει γὰρ τὸ κριτήριον μὴ κατὰ λόγον προβαῖνον. Ἐθαύμαζεν οὖν ὁ Πιλάτος τὸν Κύριον, ἅμα μὲν ὡς καταφρονοῦντα θανάτου, ἅμα δὲ πῶς λόγιος ὢν καὶ μυρία ἔχων προβαλέσθαι εἰς ἀπολογίαν, οὐδὲν ἀπεκρίνατο, ἀλλὰ τῶν ἐγκαλούντων ὑπερεώρα. Διδασκώμεθα δὲ καὶ ἡμεῖς ἐντεῦθεν ὅταν πρὸς δικαστήριον ἔχωμεν διεφθαρμένον, μηδὲν λέγειν, ἵνα μήτε θόρυβον πλείονα ἐγείρωμεν, μήτε κατακρίσεως πλείονος ὦμεν αἴτιοι τοῖς μὴ τῶν ἀπολογιῶν ἡμῶν ἀκούουσι.

« Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον· εἶχον δὲ τότε δέσμιον ἐπίσημον, λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν, Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. » Ὁ Πιλάτος ἐσπούδαζεν ἀπολῦσαι τὸν Χριστὸν, εἰ καὶ μαλακώτερον τοῦ δέοντος· ἔδει γὰρ ἐνστῆναι αὐτὸν ὑπὲρ τοῦ ἀληθοῦς. Πρῶτον μὲν οὖν ἠρώτησε τὸν Κύριον. Οὐκ ἀκούεις τί οὗτοί σου καταμαρτυροῦσιν; Ἠρώτησε δὲ ἵνα, ἀπολογησαμένου τοῦ Χριστοῦ, σχοίη ἀφορμὴν πρὸς τὸ ἀπολῦσαι αὐτόν· ἐπεὶ δὲ οὐκ ἀπελογεῖτο ὁ Κύριος, γινώσκων πάντως, ὅτι κἂν ἀπολο-

A impletum est quod dictum est per Jeremiam prophetam dicentem: Et acceperunt triginta argenteos pretium æstimati, quem æstimatum emerunt a filiis Israel, et dederunt eos in agrum figuli, sicut constituit mihi Dominus. » Corbonam dicebant thesaurum in templo, in quem mittebant dona quæ Deo offerebantur. Vide autem quomodo Deus infatuet illos, ut traducatur mens illorum sanguinaria. Usque in hunc enim diem, ait, ager ille dicitur Ager sanguinis, ut omnes sint memores quod Dominum occiderint. Disce autem et hoc, quod et apud Judæos fuerit in pretio hospitalitas : unde in sepulturam peregrinorum **188** agrum illum emerunt. Confundamur igitur nos, qui vitæ perfectioris videmur esse, et peregrinos despicimus. B Pretium, inquit, æstimati, hoc est Christi : inæstimabilis enim fuit, et æstimatus est a filiis Israel, hoc est, pretium ejus constituerunt filii Israel, pacti cum Juda ut darent illi triginta argenteos.

VERS. 11-14. « Jesus autem stetit ante præsidem et interrogavit eum præses dicens : Tu es rex Judæorum? Dicit illi Jesus : Tu dicis. Et cum accusaretur a principibus sacerdotum, et senioribus, nihil respondit. Tunc dicit illi Pilatus : Non audis quam multa adversus te dicant testimonia? Et non respondit ei ad ullum verbum, ita ut miraretur præses vehementer. » Quasi capitalium criminum reus sistitur Pilato, et interrogatur num invaserit, et conjuraverit, et attentarit regnare Judæis. C Jesus autem dixit illi : Tu dicis : sapientissimo responso dato. Neque enim dixit: Non sum : nec contra, Ego sum : sed medio quodam modo dixit : Tu dicis. Hoc enim potest et sic intelligi : Sum sicut dicis; et sic : Ego quidem hoc non dico, tu autem dicis. Aliud vero responsum non dedit. Sciebat enim injustum fore judicium. Proinde admiratus est Pilatus Dominum, et quod contemneret mortem, et quod tam eloquens et multa habens quæ responderet, nihil responderet, sed accusatores contemneret. Discamus et nos hoc loco quomodo gerere nos debeamus in judicio injusto, ne quid dicamus, ne tumultus major oboriatur, neve majoris condemnationis occcasionem præ- D beamus his qui defensiones nostras audire nolunt.

VERS. 15-18. « In festo autem consueverat præses turbæ dimittere unum vinctum quem voluissent. Habebat autem tunc vinctum insignem, qui dicebatur Barabbas. Congregatis ergo illis, dixit Pilatus : Quem vultis dimittam vobis, Barabbam, an Jesum qui dicitur Christus? Sciebat enim quod propter invidiam tradidissent eum. » Pilatus studebat Christum absolvere, tametsi lentius quam oportebat, debebat enim se pro veritate objicere. Primum quidem interrogabat Dominum: Non audis quid illi contra te testificentur? Interrogavit autem, ut si Christus se excusaret, haberet occasionem absolvendi eum. At cum non defenderet se Christus,

sciens se non dimissum iri quatumvis se excusaret, aliam viam invenit Pilatus, et confugit jam ad consuetudinem, quasi sic diceret : Si non ut innocentem dimittitis Jesum, saltem tanquam damnatum condonate ipsum huic festo. Quomodo enim suspicari potuisset Pilatus quod innocentem Jesum ad crucifigendum peterent, et reum latronem dimitterent? Sciens igitur non esse reum, sed invidia traditum, ideo interrogat eos. Unde ostendit se plusquam æquum erat molliorem: 156 Oportebat enim pro veritate periclitari. Itaque dignus est condemnatione, tanquam veritatis suppressor. Barabbas autem interpretari qui potest *filium patris*. Bar enim *filius*, Abbas autem *pater*. Judæi igitur filium patris sui diaboli postularunt, Jesum autem crucifixerunt: et usque in hunc diem filio patris sui Antichristo adhærent, Christum autem abnegant.

VERS. 19-26. «Sedente autem illo pro tribunali, misit ad eum uxor ejus, dicens : Nihil tibi et justo illi. Multa enim passa sum hodie in somnis propter eum. Principes autem sacerdotum et seniores persuaserunt turbis ut peterent Barabbam, Jesum vero perderent. Respondens autem præses ait illis : Utrum vultis vobis e duobus dimittam? At illi dixerunt : Barabbam. Dicit illis Pilatus : Quid igitur faciam de Jesu, qui dicitur Christus? Dicunt ei omnes: Crucifigatur. Præses autem ait : Quid enim mali fecit? At illi magis clamabant, dicentes: Crucifigatur. Videns autem Pilatus quod nihil proficeret, sed magis tumultus fieret, accepta aqua manus abluit coram populo, dicens : Innocens ego sum a sanguine justi hujus, vos videbitis. Et respondens universus populus dixit: Sanguis ejus super nos et super filios nostros. Tunc dimisit illis Barabbam, Jesum autem flagellatum tradidit ut crucifigeretur.» O miraculum! qui judicatur a Pilato, uxorem ejus terret. Ipse autem non videt somnium, sed uxor, vel quod ipse indignus erat, vel quod fides ei non fuisset habita, sed visus esset ad gratiam loqui: fortassis etiam tacuisset talia, si vidisset, cum esset judex. Providentiæ autem opus somnium factum, non ut absolvatur Christus, sed ut servetur uxor. Quomodo igitur non absolvit illum? Quia non erat integrum dimittere illum, qui de tyrannide accusabatur. Verum oportebat causas inquirere illum, num milites conscriberet, num arma fabricaret : nunc autem quasi mollis et mutus cedit, et idcirco non caret reprehensione. Nam cum peterent illi insignem illum malefactorem, dedit : de Christo autem interrogat : Quid igitur faciam de Jesu? illis judicandi potestatem largiens. Atqui cum judex esset, poterat ipsum vi eripere, sicut et Paulum tribunus militum[64]. Illi autem dicebant: Crucifigatur. Non solum occidere volentes illum, sed et malam causam impingebant. Crux enim pessimorum supplicium erat. Porro lavatur, ut purum se ostendat ab odio, male sentiens. Justum enim nominans Jesum, homicidis

64 Act. XXI, 32.

A γήσηται, οὐκ ἀφεθήσεται, ἑτέραν ὁδὸν τρέπεται ὁ Πιλᾶτος, καὶ καταφεύγει λοιπὸν ἐπὶ τὸ ἔθος, μονονουχὶ τοῦτο λέγων· Εἰ μὴ ὡς ἀθῷον ἀφίετε τὸν Ἰησοῦν, κἂν ὡς κατάκριτον χαρίσασθε τοῦτον τῇ ἑορτῇ. Ποῦ γὰρ ἂν ὑπέλαβεν ὁ Πιλᾶτος ὅτι ἀθῷον ὄντα τὸν Ἰησοῦν αἰτήσονται σταυρωθῆναι, καὶ τὸν ὑπαίτιον λῃστὴν ἀπολύσουσιν; Εἰδὼς οὖν ὅτι ὑπαίτιος οὐκ ἔστι, φθονεῖται δὲ, τούτου ἕνεκεν ἐρωτᾷ αὐτούς· ὅθεν δείκνυται ὅτι μαλακώτερος ἦν· ἔδει γὰρ αὐτὸν προκινδυνεῦσαι τοῦ ἀγαθοῦ. Διὰ τοῦτο οὖν καὶ ἄξιος καταχρίσεως, ὡς τὴν ἀλήθειαν συγκαλύψας· Βαραββᾶς δὲ ἑρμηνεύεται, υἱὸς τοῦ πατρός· βὰρ γὰρ ὁ υἱὸς, ἀββᾶς δὲ ὁ πατήρ. Οἱ τοίνυν Ἰουδαῖοι, τὸν υἱὸν τοῦ πατρὸς αὐτῶν, τοῦ διαβόλου, ἐξῃτήσαντο, τὸν δὲ Ἰησοῦν ἐσταύρωσαν· καὶ μέχρι δὲ τοῦ νῦν, τῷ μὲν
B υἱῷ τοῦ πατρὸς αὐτῶν, τῷ Ἀντιχρίστῳ, προστίθενται, τὸν δὲ Χριστὸν παραιτοῦνται.

« Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα· Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ. Πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀποκριθεὶς ὁ ἡγεμὼν, εἶπε αὐτοῖς· Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον· Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος· Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες· Σταυρωθήτω. Ὁ δὲ ἡγεμὼν ἔφη· Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες· Σταυρωθήτω. Ἰδὼν δὲ ὁ Πιλᾶτος, ὅτι οὐδὲν ὠφελεῖ,
C ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου, ὑμεῖς ὄψεσθε· Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς, εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγγελώσας παρέδωκεν ἵνα σταυρωθῇ. » Ὢ τοῦ θαύματος! κρινόμενος ὑπὸ Πιλάτου, ἐξεφόβει τὴν τούτου γυναῖκα· οὐκ αὐτὸς δὲ ὁρᾷ τὸ ὄναρ, ἀλλ' ἡ γυνὴ, ἢ διότι ἀνάξιος ἦν αὐτὸς, ἢ ὅτι οὐκ ἂν ἐπιστεύθη, ἀλλ' ἔδοξε πρὸς χάριν λέγειν· τυχὸν δὲ καὶ ἐσιώπησεν ἂν, εἰ εἶδε τοῦτο, οἷα κριτὴς ὤν. Προνοίας δὲ ἔργον τὸ ὄναρ, οὐχ ἵνα ἀπολυθῇ ὁ Χριστὸς διὰ τοῦτο γενόμενον, ἀλλ' ἵνα σωθῇ ἡ γυνή. Πῶς οὖν οὐκ ἀπέλυσεν; Ὅτι οὐκ
D ἦν ἀσφαλὲς αὐτῷ ἀφεῖναι αὐτὸν, οἷα ἐπὶ τυραννίδι κατηγορούμενον· ἀλλ' ἐχρῆν ἀποδείξεις ζητῆσαι, εἰ στρατιώτας κατέλεγεν, εἰ ὅπλα ἐχάλκευε· νῦν δὲ ὡς κοῦφος καὶ μαλακὸς, παρασύρεται. Διόπερ οὐδὲ ἀνέγκλητος· αἰτησαμένων γὰρ ἐκείνων τὸν ἐν κακίᾳ περιβόητον, δέδωκε· περὶ δὲ Χριστοῦ ἠρώτα· Τί οὖν ποιήσω Ἰησοῦν; κυρίους ποιῶν τῆς κρίσεως ἐκείνους· καίτοι ἡγεμὼν ὤν, ἠδύνατο αὐτὸν ἁρπάσαι, ὥσπερ τὸν Παῦλον ὁ χιλίαρχος. Οἱ δὲ, Σταυρωθήτω, ἔλεγον, οὐ μόνον ἀποκτεῖναι αὐτὸν βουλόμενοι, ἀλλὰ καὶ πονηρᾷ αἰτίᾳ περιβαλεῖν· ὁ γὰρ σταυρὸς τοῖς πονηροῖς ἀπέκειτο τιμωρία. Νίπτεται δὲ, καθαρὸν δῆθεν ἑαυτὸν ἀποδεικνύων τοῦ μύσους, κακῶς φρονῶν· δίκαιον γὰρ ὀνομάζων τὸν Ἰησοῦν, ὅμως προ-

δέδωκε τοῖς φονευταῖς· οἱ δὲ, ἐφ' ἑαυτοὺς ἀναδέχονται A τὴν ἐπὶ τῷ φόνῳ αὐτοῦ τιμωρίαν, ἣ καὶ κατέλαβεν αὐτοὺς, τῶν Ῥωμαίων ἀφανισάντων αὐτοὺς καὶ τὰ τέκνα αὐτῶν· ἀλλὰ καὶ οἱ μέχρι τοῦ νῦν Ἑβραῖοι, τέκνα ὄντες ἐκείνων τῶν φονευσάντων τὸν Κύριον, τὸ αἷμα αὐτοῦ ἔχουσιν ἐφ' ἑαυτούς· διὰ γὰρ τὴν εἰς τὸν Κύριον ἀπιστίαν διώκονται παρὰ πάντων, καὶ οὐδεμία παῤῥησία τούτοις διωκομένοις δι' αὐτὸ τοῦτο. Ἐφραγγέλλωσε δὲ τὸν Ἰησοῦν, τουτέστιν, ἐμάστιξεν, ἢ αὐτοῖς χαριζόμενος, ἢ δεικνὺων ὅτι κατεδίκασε καὶ αὐτὸς αὐτὸν, καὶ οὐχὶ ἀθῷον ἄνθρωπον μέλλουσι σταυρῶσαι, ἀλλ' ἠτιμωμένον. Ἐπληρώθη οὖν καὶ τὸ, « Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας. »

« Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν, καὶ ἐκδύσαντες αὐτὸν, περιέθηκαν B αὐτῷ χλαμύδα κοκκίνην, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ. Καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ, λέγοντες· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. Ἐνταῦθα ἐπληροῦτο τὸ τοῦ Δαυΐδ· « Ὄνειδος ἄφρονι ἔδωκάς με. Οἱ γὰρ στρατιῶται ἀνόητοι ὄντες, ἄξια ἑαυτῶν ἐποίουν· τὴν μὲν γὰρ χλαμύδα ἀντὶ πορφύρας ὡς βασιλέα ἐνέδυσαν· τὸν δὲ κάλαμον ἔδωκαν ἀντὶ σκήπτρου, τὸν δὲ στέφανον, ἀντὶ διαδήματος. Προσεκύνουν δὲ παίζοντες· τοῦτο γὰρ δηλοῖ τὸ γονυπετεῖν, τὸ προσκυνεῖν. Ὅρα δὲ πῶς πᾶσαν ἰδέαν ὕβρεως διεξῆλθον τὸ μὲν πρόσωπον διὰ C τῶν ἐμπτυσμάτων, τὴν δὲ κεφαλὴν διὰ τοῦ στεφάνου, τὴν δὲ χεῖρα διὰ τοῦ καλάμου, τὸ δὲ λοιπὸν σῶμα διὰ τῆς χλαμύδος, τὰ ὦτα διὰ τῶν χλευαστικῶν λόγων ὑβρίζοντες. Πλὴν εἰ καὶ ἐκεῖνοι παικτικῶς ἐποίουν ἃ ἐποίουν, ὅμως σὺ νόει ταῦτα καὶ μυστικώτερον ὑπὸ τοῦ Ἰησοῦ τελεσθῆναι. Ἡ μὲν γὰρ χλαμὺς ἡ κοκκίνη, τὴν ἡμετέραν φύσιν ἐδήλου, ἣν αἱματώδη οὖσαν καὶ φονικὴν, ἀνελάβετο, καὶ ἐνδυσάμενος ἡγίασεν. Ὁ δὲ στέφανος ὁ ἐξ ἀκανθῶν, αἱ ὑπὸ μεριμνῶν τοῦ βίου συμβᾶσαι ἁμαρτίαι, ἃς ἀναλίσκει τῇ οἰκείᾳ θεότητι ὁ Χριστός· τοῦτο γὰρ αἰνίττεται ἡ κεφαλὴ αὐτοῦ. Ὁ δὲ κάλαμος τῆς ἡμετέρας σαρκὸς τῆς σαθρᾶς καὶ ἀσθενοῦς ἐστι σύμβολον, ἣν ἀνέλαβεν ὁ Κύριος, καθὰ καὶ ὁ Δαυΐδ λέγει· « Δεξιὰ Κυρίου ὕψωσέ με. » Διὰ δὲ τῶν ὤτων δεξάμενος τὰς δυσφημίας, ἰάσατο τὸν διὰ τῶν ὤτων τῆς Εὔας ἐπεισελθόντα τοῦ ὄφεως ψιθυρισμόν.

A illum tradidit. At illi in se suscipiunt ultionem hoc homicidio dignam, qua et gravati sunt, Romanis ipsos et ipsorum pueros perdentibus : et usque in hunc diem Judæi, qui illorum sunt filii qui Dominum interfecerunt, experiuntur a se sanguinem illius requiri : nam ob suam incredulitatem persecutionem patiuntur ab omnibus (a) 137 et nulla his hac de causa libertas est. Flagellavit autem Jesum, hoc est verberavit, vel illis gratificans, vel ostendens quod et ipse illum condemnet, et non innocentem hominem crucifixuri sint, sed ignominia notatum. Impletum igitur est et illud : « Dorsum meum dedi ad flagella 65. »

VERS. 27-30. « Tunc milites præsidis suscipientes Jesum in prætorio, congregaverunt ad eum universam B cohortem, et cum exuissent eum, circumdederunt ei chlamydem coccineam, et coronam de spinis contextam imposuerunt super caput ejus et arundinem in dexteram ejus et genu flexo ante eum, illudebant ei, dicentes : Ave, rex Judæorum. Et cum expuissent in eum, acceperunt arundinem, et percutiebant caput ejus. » Hoc loco impletur dictum David : « Opprobrium insipienti dedisti me. » Milites enim cum insipientes essent, se digna faciebant. Chlamyde pro purpura ut regem induerunt, calamum pro sceptro dederunt, coronam pro diademate Adorabant autem illudentes: hoc enim significat genuflectere, hoc est adorare. Vide quomodo quamlibet contumeliæ speciem exercuerint, injuria afficientes, faciem sputis, caput corona, manum C calamo, reliquum corpus chlamyde, aures verbis irrisoriis. Verumtamen omnia quæ illi faciebant, per irrisionem faciebant. Tu tamen intellige ea, quæ majoris sunt mysterii ab Jesu impleta fuisse. Chlamys enim coccinea naturam nostram significat, quam cum sanguinaria esset, et cædis rea, suscepit, et induens sanctificavit. Corona autem ex spinis, peccata sunt ex curis hujus vitæ provenientia, quæ consumit sua deitate Christus; prosignatur enim per caput deitas; calamus nostræ fragilis et infirmæ carnis symbolum est, quam suscepit Dominus, sicut et David dixit: « Dextera Domini exaltavit me. 66. » Auribus autem suscipiendo ignominias, sanavit serpentis sibilum per aures Evæ ingressum.

« Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. » Οἱ μὲν τρεῖς φασιν, ὅτι Σίμων ἐβάστασε τὸν σταυρὸν τοῦ Ἰησοῦ· ὁ δὲ Ἰωάννης, αὐτὸν τὸν Κυριόν φησι βαστάσαι. Εἰκὸς οὖν ἀμφότερα γενέσθαι. Ἐξ ἀρχῆς μὲν γὰρ ὁ Ἰησοῦς ἐβάστασε τὸν σταυρὸν, μηδενὸς θελήσαντος βαστάσαι, Ἐν δὲ τῇ ὁδῷ εὑρόντες Σίμωνα, ἐπέθηκαν

D VERS 31, 32. « Et postquam illusissent ei, exuerunt eum chlamyde, et induerunt eum vestimentis suis, et duxerunt eum ut crucifigerent. Exeuntes autem invenerunt hominem Cyrenæum, nomine Simonem; hunc adegerunt ut tolleret crucem ejus. » Tres dicunt Simonem portasse crucem Jesu, Joannes autem dicit ipsum Dominum portasse : verisimile est autem utrumque factum. Primum enim portavit Jesus crucem, cum nullus portare vellet. In via autem invento Simone, imposuerunt ei crucem. Tu

65 Isa. 30, 6. 66 Psal. CXVII, 16.

(a) In edit. Lut. deficiens est Latina versio, ubi nihil de erepta Judæis libertate.

autem et hoc disce, quod Simon interpretari quis potest *obedientiam*. Qui igitur obedientiam habet, ille crucem Christi fert. Sed et Cyrene, quæ una Pentapoleos est, significat quinque sensus cogendos ad ferendam crucem.

Vers. 33-37. «Et venerunt in locum qui dicitur Golgotha, quod est Calvariæ locus. Et dederunt ei acetum libere 158 cum felle mistum : et cum gustasset, noluit bibere. Postquam autem crucifixerunt eum, diviserunt vestimenta ejus, sortem mittentes, ut impleretur quod dictum est per prophetam: Diviserunt sibi vestimenta mea, et super vestem meam miserunt sortem. Et sedentes observabant eum illic, et imposuerunt super caput ejus causam iprius scriptam: Hic est Jesus rex Judæorum.» Cranii locus dictus est, eo quod dicunt qui traditiones Patrum tenent, quod Adam illic sepultus sit Sicut enim in Adam omnes morimur, ita et in Christo omnes nos vivificari oportebat[67]. Ne turberis autem quod evangelistæ dicant, iste quidem acetum cum felle allatum esse Domino, et Marcus vinum myrrhatum[68], Joannes vero acetum, et fel cum hyssopo[69]. Multa enim a multis fiebant, ut in incomposita multitudine aliud alio faciente. Verisimile est igitur, alium quidem vinum protulisse: alium vero acetum cum felle. Multi autem mortis modi fuerunt, attamen in cruce moritur Christus, ut et lignum sanctificet, per quod maledicti fuimus, et omnia benedicat : et cœlestia, quæ per supremam partem crucis, et terrena, quæ per suppedaneum, et fines terræ, Orientem et Occidentem, qui transversas partes crucis signantur. Sed et extendit manus, ut in ulnas suscipiat et congreget filios Dei dispersos. Dividunt autem vestimenta ejus milites, ut frugalis, et nihil aliud habentis. *Titulum* autem quem dixit alius evangelista, Matthæus dicit *causam*. Ascripserunt enim cujus gratia crucifixus esset, nempe ut rex Judæorum, et rerum novator. Illi igitur regem ascripserunt pro accusatione. Verumtamen testimonium illud fidele etiam ab inimicis adductum Rex quidem est Dominus, qui ad hoc venit, ut salvet Judæos. Quia autem carnales Judæi noluerunt illum super se regnare, rex fit spiritalium Judæorum, hoc est confitentium. Judæus enim *confitens* dicitur.

τούτῳ τὸν σταυρόν. Σὺ δὲ καὶ τοῦτο μάνθανε, ὅτι Σίμων ἑρμηνεύεται ὑπακοή· ὁ οὖν ἔχων ὑπακοὴν, ἐκεῖνος αἴρει τὸν σταυρὸν τοῦ Χριστοῦ· ἀλλὰ καὶ ἡ Κυρήνη τῆς Πενταπόλεως οὖσα, δηλοῖ τὰς πέντε αἰσθήσεις, ἀναγκαζομένας αἴρειν τὸν σταυρόν.

« Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅς ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον, καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν· σταυρώσαντες δὲ αὐτὸν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ, καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων. » Κρανίου τόπος ἐλέγετο, διότι φασὶν οἱ ἐκ παραδόσεως Πατέρων παραλαβόντες, ὅτι ὁ Ἀδὰμ ἐκεῖ τέθαπται· ὥσπερ γὰρ πάντες ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ ζωοποιηθῆναι ἡμᾶς ἔδει. Μὴ ταραχθῇς δὲ ἀκούων τῶν εὐαγγελιστῶν, τούτου μὲν λέγοντος ὄξος μετὰ χολῆς προσενεχθῆναι τῷ Κυρίῳ, τοῦ δὲ Μάρκου, ἐσμυρνισμένον οἶνον, τοῦ δὲ Ἰωάννου, ὄξος καὶ χολὴν μετὰ ὑσσώπου· πολλὰ γὰρ ἐγίνοντο παρὰ πολλῶν, οἷα ἀτάκτου πλήθους ὄντος, καὶ ἄλλου ἄλλο ποιοῦντος. Εἰκὸς οὖν τὸν μὲν, οἶνον προσφέρειν· τὸν δὲ ὄξος μετὰ χολῆς. Πολλοὶ δὲ θανάτου ἦσαν τρόποι, ἀλλ' ὅμως σταυρῷ θανατοῦται ὁ Χριστὸς, ἵνα καὶ τὸ ξύλον ἁγιάσῃ, δι' οὗ κατηράθημεν, καὶ τὰ σύμπαντα εὐλογήσῃ· τά τε οὐράνια, ἃ δηλοῦται διὰ τοῦ ἀνωτάτου μέρους τοῦ σταυροῦ, καὶ τὰ ὑποχθόνια, ἃ δηλοῦται διὰ τοῦ ὑποποδίου, καὶ τὰ πέρατα τῆς γῆς, τό τε Ἀνατολικὸν καὶ τὸ Δυτικὸν, ἃ δηλοῦται διὰ τῶν ἐκ πλαγίου μερῶν τοῦ σταυροῦ· ἀλλὰ καὶ ἵνα ἐκτείνας τὰς χεῖρας ἐναγκαλίσηται καὶ συνάξῃ τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα. Διαμερίζονται καὶ τὰ ἱμάτια αὐτοῦ οἱ στρατιῶται, ὡς εὐτελοῦς, καὶ μηδὲν ἄλλο ἔχοντος. Ὃν δὲ εἶπεν ἄλλος εὐαγγελιστὴς τίτλον, τοῦτον ὁ Ματθαῖός φησιν αἰτίαν· ἐπέγραψαν γὰρ τίνος ἕνεκεν ἐσταυρώθη, ὅτι ὡς βασιλεὺς τῶν Ἰουδαίων, καὶ ὡς νεωτεριστής. Ἐκεῖνοι μὲν οὖν τὸ, Βασιλεὺς, ἐπέγραψαν ἐπὶ διαβολῇ. Πλὴν ἡ μαρτυρία αὕτη πιστὴ, ὡς παρὰ τῶν ἐχθρῶν εἰσαχθεῖσα. Βασιλεὺς γάρ ἐστιν ὁ Κύριος ἐπ' αὐτὸ τοῦτο ἐλθὼν, ἵνα σώσῃ τοὺς Ἰουδαίους· ἐπεὶ δὲ οἱ σαρκικοὶ Ἰουδαῖοι οὐκ ἠθέλησαν βασιλεῦσαι αὐτὸν ἐπ' αὐτοὺς, βασιλεὺς γίνεται τῶν πνευματικῶν Ἰουδαίων, τουτέστι, τῶν ἐξομολογουμένων· Ἰουδαῖος γὰρ ἐξομολογούμενος λέγεται.

Vers. 38-44. « Tunc crucifiguntur cum eo duo latrones, unus a dextris, et alter a sinistris. Prætereuntes autem convicia jaciebant in eum, moventes capita sua et dicentes : Tu qui destruebas templum, et in triduo ædificabas, serva temetipsum; si Filius Dei es, descende de cruce. Similiter et principes sacerdotum illudentes cum Scribis et senioribus et Pharisæis dicebant : Alios servavit, semetipsum non potest servare? Si rex Israel est, descendat nunc de cruce, et credemus

« Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταὶ, εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων· οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων καὶ Φαρισαίων ἔλεγον· Ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύναται σῶσαι· Εἰ βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν

[67] I Cor. xv, 22. [68] Marc. xv. [69] Joan. xix.

ἐπ' αὐτῷ. Πέποιθεν ἐπὶ τὸν Θεόν, ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γὰρ ὅτι, Θεοῦ εἰμι Υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτῷ. » Πρὸς διαβολὴν τοῦ Χριστοῦ συσταυροῦσιν αὐτῷ δύο λῃστάς, ἵνα καὶ αὐτὸς τοιοῦτος νομισθῇ παράνομος ὡς ἐκεῖνοι. Τύπος δὲ ἦσαν οὗτοι τῶν δύο λαῶν, τοῦ τε Ἰουδαϊκοῦ καὶ τοῦ ἐθνικοῦ· ἀμφότεροι γὰρ παράνομοι, καὶ ὀνειδίζοντες τὸν Χριστόν· ὥσπερ καὶ οὗτοι πρότερον οἱ λῃσταὶ ὠνείδιζον ἀμφότεροι· ὕστερον δὲ ὁ εἷς ἐπιγνοὺς αὐτόν, ὡμολόγησε βασιλέα· διὸ καὶ ἔλεγε· Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου· οὕτως οὖν καὶ ὁ ἐθνικὸς λαὸς ὡμολόγησε τὸν Χριστόν. Ὁ δὲ ἕτερος λῃστής, ὁ Ἰουδαϊκὸς λαός, ἐβλασφήμει· ὁ διάβολος δὲ ὑπέβαλε τοὺς λέγοντας· » Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. » ἵνα ἐρεθισθεὶς καταβῇ, καὶ ἀνατραπῇ ἡ πάντων διὰ τοῦ σταυροῦ σωτηρία. Διὸ ὁ Χριστός, καὶ Υἱὸς ἐστι τοῦ Θεοῦ καὶ οὐκ ἐπείσθη τῷ ἐχθρῷ, ἵνα καὶ σὺ μανθάνῃς ὅτι οὐ δεῖ πείθεσθαι τοῖς τοῦ διαβόλου τεχνάσμασιν, ἀλλὰ τὸ καλὸν πράττειν, κἂν οἱ ἄνθρωποι πονηρὰν ὑπόληψιν μέλλωσιν ἔχειν.

« Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐννάτης· περὶ δὲ τὴν ἐννάτην ὥραν, ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· Ἠλί, Ἠλί, λαμὰ σαβαχθανί, τουτέστι· Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες, ἔλεγον, ὅτι Ἠλίαν φωνεῖ οὗτος· καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες, ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. » Τὸ γενόμενον σκότος, οὐκ ἦν κατὰ φυσικὴν ἀκολουθίαν, οἷον ἀπὸ ἐκλείψεως ἡλίου φυσικῶς γενομένης· οὐδέποτε γὰρ τεσσαρεσκαιδεκαταίας οὔσης τῆς σελήνης, ἔκλειψις γίνεται ἡλίου, ἀλλ' ὅταν ἡ λεγομένη γέννα εἴη, τότε αἱ φυσικαὶ τοῦ ἡλίου ἐκλείψεις γίνονται (*a*). Ἐν δὲ τῇ σταυρώσει, τεσσαρεσκαιδεκαταία ἦν ἡ σελήνη πάντως· τὸ γὰρ Πάσχα τῶν Ἑβραίων τότε ἐτελεῖτο· ὥστε ὑπὲρ φύσιν τὸ πάθος· κοσμικὸν δὲ ἦν τὸ σκότος, οὐ μερικόν, ὥσπερ ἐν Αἰγύπτῳ, ἵνα δειχθῇ ὅτι πενθεῖ ἡ κτίσις ἐπὶ τῷ πάθει τοῦ Κτίστου, καὶ ὅτι ἀπὸ τῶν Ἰουδαίων ἀπέστη τὸ φῶς. Οἱ αἰτοῦντες δὲ ἐξ οὐρανοῦ σημεῖον ἰδεῖν Ἰουδαῖοι, νῦν βλεπέτωσαν τὸν ἥλιον σκοτιζόμενον. Ἕκτῃ δὲ ἡμέρᾳ τοῦ ἀνθρώπου πλασθέντος, καὶ ἕκτῃ ὥρᾳ φαγόντος ἀπὸ τοῦ ξύλου (αὕτη γὰρ τῆς βρώσεως ἡ ὥρα) ὁ Κύριος ἀναπλάττων τὸν ἄνθρωπον, καὶ τὸ σφάλμα ἰώμενος, ἕκτῃ ἡμέρᾳ καὶ ἕκτῃ ὥρᾳ τῷ ξύλῳ προσπήγνυται. Ἑβραΐδι δὲ διαλέκτῳ λέγει τὸ προφητικόν, ἵνα δείξῃ ὅτι οὐ μάχεται τῇ Παλαιᾷ Γραφῇ. Τὸ δέ, « Ἵνα τί με ἐγκατέλιπες; » εἶπεν, ὡς ἂν δείξῃ ὅτι ἄνθρωπος ἀληθῶς ἐγένετο, καὶ οὐ κατὰ φαντασίαν· καὶ γὰρ ὁ ἄνθρωπος φυσικὴν ὄρεξιν ἔχει τῆς ζωῆς, φιλόζωος ὤν. Ὥσπερ οὖν ἠγωνίασε καὶ ἠδημόνησε πρὸ τοῦ σταυροῦ, δεικνύων τὴν ἐκ φύσεως προσοῦσαν ἡμῖν

A ei. Confidit in Deo, liberet eum nunc, si vult eum: dixit enim, Filius Dei sum. Idipsum autem et latrones qui crucifixi erant cum eo exprobrabant ei. » In contumeliam Christi crucifixerunt cum eo duos latrones, ut ipse iniquus existimetur cum illis. **150** Figura autem erant hi duorum populorum, Judaici et gentilis, qui uterque prævaricatores erant et flagitiosi, ac exprobantes Christo, sicut et primum ambo latrones improperabant. Alter autem et posterior resipiscens, confessus est regem : ideo et dicebat : Memor esto mei, Domine, in regno tuo. Sic et gentilis quoque populus confessus est Christum. Alter autem latro, Judaicus populus, blasphemabat. Diabolus autem submittebat dicentes : Si Filius es Dei, descende de

B cruce, ut incitatus descendat de cruce, et intereat salus omniums quæ est per crucem. At Christus, quia Filius est Dei, non obedivit inimico : ut et tu discas quod non sit diaboli technis cedendum, sed bene operandum, etiam si homines male de nobis sentiant.

Vers. 45-49. « A sexta autem hora tenebræ factæ sunt super universam terram usque ad horam nonam. Et circa nonam clamavit Jesus voce magna, dicens : Heli, heli, lamazabachthani, hoc est : Deus meus, Deus meus, cur dereliquisti me? Quidam autem illic stantium cum audissent, dicebant; Eliam vocat iste. Et continuo currens unus ex eis, cum acceptam spongiam implesset aceto, imposuit arundini, dabatque ei ut biberet. Cæteri vero

C dicebant : Sine, videamus aut veniat Elias liberaturus eum. » Tenebræ factæ non erant juxta naturæ ordinem, ut ex eclipsi solis naturaliter facta : neque enim quando est decimaquarta luna, fit solis deliquium, sed cum est ea quæ γέννα dicitur (hoc est novilunium), tunc naturales solis defectus contingunt; cum autem crucifigeretur, omnino decimaquarta luna erat. Pascha enim Hebræorum tunc fiebat, unde super naturam erant tenebræ. Erant autem in toto mundo, non in parte mundi, sicut in Ægypto: ut monstretur quod lugeat in passione Conditoris creatura, et quod a Judæa lux recesserit: Judæi quoque petentes signum e cœlo, nunc videant solem obtenebrari. Sexta autem die homo est conditus, qui et sexta de ligno comedit : hoc enim est

D comestionis tempus. Qua igitur hora Dominus hominem condidit, eadem et lapsum curavit. Sexta die et sexta hora cruci affixus est. Hebraico autem idiomate dicit propheticum, ut monstret quod non pugnet cum veteri Scriptura. Quod autem dicit : Ut quid me dereliquisti? ostendit se hominem verum, et non juxta apparentiam. Siquidem homo cum vitæ sit cupidus, naturalem vivendi habet appetitum. Sicut enim in mœstitudine fuit ante crucem, ostendens timorem naturæ nostræ congruen-

(*a*) Verba, ἀλλ' ὅταν — γίνονται, in editione Veneta inter varias lectiones ad calcem voluminis amandata, quod nihil iis in versione Latina responderet, textui restituimus et in versione supplevimus, tum quod ea præter Romanum habeat codex Patavinus, tum quod illa ut Theophylacti verba, ex alio forsan codice, citat Du Cangius in Glossario med. et inf. Græcitatis, verbo Γέννα, tum demum quia sensus ipse postulat. Edit.

tem, sic et nunc inquit, Ut quid me dereliquisti? insinuans naturalem vivendi cupiditatem. Etenim vere homo erat, nobisque per omnia similis, absque peccato. Quidam autem hoc intellexerunt, quod Salvator in se personam gerat Judæorum, et dicat, Utquid dereliquisti Judaicum populum, o Pater, ut tantum admittat peccatum, 160 et perditioni tradatur? Christus enim tanquam ex Judæis natus, Dereliquisti me, dicit, hoc est, Meam cognationem, meumque populum ut quid dereliquisti, ita ut contra seipsum tale malum faciat? Turbæ autem cum non intellexissent vocem illam, nempe agrestes, et imperitæ propheticorum dictorum putabant quod Eliam vocaret: non enim omnes Judæi prophetica sciebant, sicut neque nunc Christiani omnes forte ea quæ in Evangeliis. Cæterum acetum ei in potum dabant, ut moreretur priusquam veniret Elias adjuturus eum. Unde alii dicunt: Sine, videamus num veniat Elias, liberaturus eum, hoc est, Sine eum, ne facias mori, ut sciamus an juvetur ab Elia.

VERS. 50-53. « Jesus autem cum iterum clamasset voce magna, emisit spiritum. Et ecce velum templi scissum est in duas partes a summo usque ad imum, et terra mota est, et petræ scissæ sunt, et monumenta aperta sunt, et multa corpora sanctorum qui dormierant, surrexerunt. Et egressi e monumentis post resurrectionem ejus, venerunt in sanctam civitatem, et apparuerunt multis. » Clamat voce magna Jesus, ut sciamus verum esse quod dixit: « Ego potestatem habeo ut ponam animam meam. » Animam enim suam ponit sua potestate. Quæ autem erat vox? « Pater in manus tuas commendo spiritum meum. » Non enim coactus, sed voluntarius emisit spiritum. Hoc enim significat, Commendo. Insinuat autem se illam iterum recepturum: depositum enim et commodatum iterum assumitur. Gratia autem Domino, quod illo et moriente et spiritum suum in manus Patris commendante, ex eo tempore et sanctorum animæ in manu Dei ponuntur, et non, ut prius, in inferni penetralibus: atque ita mors Christi facta est sanctificatio nostra. Idcirco et magna voce inclamat mortem, non audentem accedere nisi vocaretur. Velum autem templi erat linteum quoddam in medio templi pendens, discernensque ab his quæ intra, ea quæ extra, ut interstitium Scinditur hoc, demonstrante Deo quod templum inaccessum et nunquam visum, cujus intima velamen secludebat, solvatur et profanetur, ita ut omnibus sit accessibile et spectabile. Nonnulli alias causas afferunt, et quod revelentur omnia legalia, quæ prius littera ut velamento quodam erant cooperta: et quæ prius obscura erant ac plena ænigmatibus, manifestantur nunc in Christo impleta. Licet et istud dicere, sicut erat mos Judæis in blasphemiis contra Deum scindere vestes, ita nunc quoque divinum templum quasi ægre ferens Christi mortem, disrupit vestem suam, hoc est, velum. Posset quis et alia dicere: sed hæc sufficiant.

A δειλίαν, οὕτω καὶ νῦν φησιν· « Ἵνα τί με ἐγκατέλιπες; » ἐμφαίνων τὴν φυσικὴν φιλοζωΐαν ἡμῶν. Καὶ γὰρ ὄντως ἄνθρωπος ἦν, καὶ ἡμῖν τὰ πάντα ὅμοιος, χωρὶς ἁμαρτίας. Τινὲς δὲ οὕτω τοῦτο ἐνόησαν, ὅτι τὸ τῶν Ἰουδαίων πρόσωπον ἀναλαμβάνων ὁ Σωτὴρ, φησίν· Ἵνα τί ἐγκατέλιπες τὸν Ἰουδαϊκὸν λαὸν, ὦ Πάτερ, ἵνα τηλικαύτην ἁμαρτίαν ποιήσῃ, καὶ ἀπωλείᾳ παραδοθῇ; Ὡς γὰρ ἐξ Ἰουδαίων γενόμενος ὁ Χριστὸς, τὸ « Ἐγκατέλιπές με, » φησὶν, ἀντὶ τοῦ, Τὴν ἐμὴν συγγένειαν, τὸν ἐμὸν λαὸν, ἵνα τί ἀφῆκας, ὥστε τοιοῦτον κακὸν καθ' ἑαυτοῦ ποιῆσαι; Μὴ νοήσαντες δὲ τὴν φωνὴν οἱ τοῦ ὄχλου ἄγροικοι ὄντες καὶ ἀμαθεῖς τῶν προφητικῶν, ἐνόμιζον ὅτι Ἠλίαν φωνεῖ· οὐ γὰρ πάντες οἱ Ἰουδαῖοι τὰ προφητικὰ ἐγίνωσκον, ὥσπερ ἴσως οὐδὲ νῦν οἱ Χριστιανοὶ πάντες B τὰ τῶν Εὐαγγελίων. Ὄξος δὲ ἐπότιζον αὐτὸν, ἵνα ἀποθάνῃ τάχιον πρὶν ἐλθεῖν τὸν Ἠλίαν βοηθήσοντα αὐτῷ. Ὅθεν οἱ λοιποὶ λέγουσιν· « Ἄφες, ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτὸν, » τουτέστι, Μὴ ποιήσῃς αὐτὸν ἀποθανεῖν, ὡς ἂν γνῶμεν εἰ βοηθήσει αὐτῷ Ἠλίας.

« Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα· καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς. » Κράζει μεγάλῃ φωνῇ ὁ Ἰησοῦς, ἵνα γνῶμεν ὅτι ὅπερ ἔλεγεν, C ὅτι « Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, » ἀληθὲς ἦν. Κατ' ἐξουσίαν γὰρ ἀφίησι τὴν ψυχήν. Τίς δὲ ἦν ἡ φωνή; « Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. » Οὐ γὰρ βεβιασμένως, ἀλλ' ἑκοντὶ ἀφῆκε τὸ πνεῦμα. Τοῦτο γὰρ σημαίνει τὸ, Παρατίθημι· ἐμφαίνει δὲ καὶ τὸ μέλλειν αὐτὴν πάλιν ἀπολήψεσθαι· τοιοῦτον γὰρ ἡ παραθήκη, πάλιν ἀποδιδομένη. Χάρις δὲ τῷ Κυρίῳ, ὅτι ἐκείνου ἀποθανόντος, καὶ τοῦ πνεύματος αὐτοῦ εἰς χεῖρας τοῦ Πατρὸς παρατεθέντος, ἔκτοτε καὶ αἱ τῶν ἁγίων ψυχαὶ εἰς χεῖρας τοῦ Θεοῦ τίθενται, ἀλλ' οὐχ ὡς πρότερον ἐν τοῖς τοῦ ᾅδου μυχοῖς. Ὥστε ἁγιασμὸς ἡμῶν γέγονεν ὁ θάνατος τοῦ Χριστοῦ· διὸ καὶ μεγάλῃ φωνῇ προσκαλεῖται τὸν θάνατον, μὴ τολμῶντα προσελθεῖν, εἰ μὴ κληθείη. Τὸ δὲ καταπέτασμα τοῦ D ναοῦ, ὀθόνη τις ἦν, μέσον κρεμαμένη τοῦ ναοῦ, καὶ ἀποτειχίζουσα τὰ ἔσω πρὸς τὰ ἔξω, οἷόν τι μεσότοιχον. Σχίζεται τοίνυν τοῦτο, δεικνύντος τοῦ Θεοῦ, ὅτι ὁ ναὸς ὁ ἄβατος, ὁ ἀθέατος, οὗ τὰ ἐσώτατα ἀπετείχιζε τὸ καταπέτασμα, οὕτω χυδαιωθήσεται καὶ βεβηλωθήσεται, ὥστε πᾶσιν εἶναι βατὸς καὶ θεατός. Τινὲς δὲ καὶ ἄλλας αἰτίας λέγουσιν· Ἐσήμαινε γὰρ, φασὶ τὸ καταπέτασμα σχιζόμενον, τὴν τοῦ γράμματος τοῦ νομικοῦ περιαίρεσιν, καὶ ὅτι ἀποκαλυφθήσεται πάντα τὰ νομικὰ, ἃ πρότερον τῷ γράμματι οἱονεί τινι καταπετάσματι συνεκρύπτοντο, καὶ τὰ πρὶν ἀσαφῆ καὶ αἰνιγματώδη, φανερωθήσεται νῦν εἰς τὸν Χριστὸν ἐκβάντα. Ἔστι δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι ἔθος ἦν τοῖς Ἰουδαίοις ἐπὶ ταῖς κατὰ Θεοῦ βλασφη-

μίαις, περιῤῥήγνυσθαι τοὺς χιτῶνας. Καὶ νῦν οὖν ὁ θεῖος ναὸς ὥσπερ δυσχεραίνων ἐπὶ τὸ τοῦ Θεοῦ θανάτῳ, περιεῤῥήξατο τὴν ἑαυτοῦ ἐσθῆτα, τὸ καταπέτασμα. Καὶ ἄλλα δ' ἂν ἔχοι τις εἰπεῖν, ἀλλ' αὐτάρκη ταῦτα. Τὰ δὲ στοιχεῖα ἐσείσθησαν, ἅμα μὲν καὶ Δημιουργὸν ἐμφαίνοντα εἶναι τὸν πάσχοντα, ἅμα δὲ καὶ δηλοῦντα ὡς μετακινηθήσεται τὰ πράγματα· τὸν γὰρ σεισμὸν ἡ Γραφὴ ἐπὶ τῆς τῶν πραγμάτων μεταθέσεως τάττει. Ἐγένετο οὖν ἡ μετάθεσις τῆς τοῦ Θεοῦ ἐπισκοπῆς, ἀπὸ τῶν Ἰουδαίων ἐπὶ τὰ ἔθνη· καὶ αἱ πέτραι, ἤτοι αἱ λίθιναι καρδίαι τῶν ἐθνικῶν, εὐχίσθησαν, καὶ ὑπεδέξαντο τὸν τῆς ἀληθείας σπόρον, καὶ οἱ νενεκρωμένοι ταῖς ἁμαρτίαις ἐξανέστησαν, καὶ ἦλθον εἰς τὴν ἁγίαν πόλιν, τὴν ἄνω Ἱερουσαλὴμ, καὶ ἐνεφανίσθησαν τοῖς πολλοῖς, τοῖς διὰ τῆς πλατείας ὁδοῦ ὁδεύουσιν· ἐμφανισθέντες δὲ αὐτοῖς, ἀρχέτυπον αὐτοῖς ἐγένοντο ἀγαθοῦ βίου καὶ ἐπιστροφῆς. Ὁ γὰρ ἰδὼν τὸν πρώην νενεκρωμένον ὑπὸ τῶν παθῶν ἐπιστραφέντα καὶ ἀνελθόντα εἰς τὴν ἁγίαν ἐν οὐρανοῖς πόλιν, μιμεῖται αὐτὸν πάντως, καὶ ἐπιστρέφει καὶ αὐτός. Ταῦτα μὲν οὖν περιεργότερον ἐνοήθη· σὺ δὲ γίνωσκε ὅτι ἡ τῶν νεκρῶν ἔγερσις, ἡ ἐν τῷ σταυρῷ τοῦ Κυρίου γενομένη, ἐδήλου καὶ τῶν ἐν τῷ ᾅδῃ ψυχῶν τὴν ἐλευθερίαν. Ὤφθησαν δὲ πολλοῖς οἱ ἀναστάντες τότε, ἵνα μὴ δόξῃ φάντασμα εἶναι τὸ γενόμενον· ἀνέστησαν δὲ οὗτοι, χάριν τοῦ σημείου· πρόδηλον δὲ ὅτι πάλιν τεθνήκασι. Τινὲς δὲ λέγουσιν ὅτι μετὰ τὸ ἀναστῆναι τὸν Χριστὸν, ἀνέστησαν καὶ οὗτοι, καὶ οὐκ ἔτι ἀπέθανον, τοῦτο δὲ οὐκ οἶδα εἰ δεῖ παραδέχεσθαι.

Elementa vero commota declarant eum qui patiebatur, Opificem suum esse, et futuram **161** rerum transmutationem. Scriptura enim terræ motum in rerum alteratione ponit. Facta igitur est mutatio visitationis Dei a Judæis in gentes. Et petræ, hoc est, lapidea gentilium corda, divisa sunt, et susceperunt semen veritatis. Et mortui peccatis surrexerunt, et venerunt in civitatem sanctam, supernam illam Jerusalem, apparueruntque multis per latam viam incedentibus, et apparentes exemplar illis facti sunt vitæ bonæ et conversionis. Nam qui viderit quempiam prius ab affectionibus suis mortuum, conversumque et ingressum in sanctam illam quæ in cœlis est civitatem, imitatur illum per omnia, convertiturque et ipse. Verum hæc ita intellexisse curiosius fuerit. Tu autem cognosce quod mortuorum resurrectio, quæ facta est in cruce Domini, significarit et eorum, qui, in inferno fuerint, liberationem. Apparuent autem multis qui tunc resurrexerunt, ut ne phanstama esse videretur quod fiebat. Resurrexerunt autem illi tantum signi gratia, manifestumque est illud, quod iterum mortui. Quidam autem dicunt quod postquam Christus resurrexit, resurrexerint et illi, nec postea mortui sint : sed nescio an hoc sit recipiendum.

« Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος. Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ, ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ, ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου. » Ὁ μὲν ἐθνικὸς ἑκατόνταρχος, ἀπὸ τῶν σημείων πιστεύει σὺν τοῖς περὶ αὐτόν· οἱ δὲ προφητῶν κατακούσαντες καὶ νόμου Ἰουδαῖοι, ἄπιστοι μένουσι· τοσοῦτόν ἐστιν ἡ πονηρία κακόν· καὶ ἐμαρτύρησε δὲ ὁ ἑκατόνταρχος οὗτος ὑπὲρ Χριστοῦ ὕστερον. Γυναῖκες δὲ θεωροῦσαι τὰ γενόμενα, αἱ μάλιστα πάντων συμπαθέστεραι, καὶ τὸ γένος τὸ κατακριθὲν, ἀπολαύει πρῶτον τῆς τῶν ἀγαθῶν θεωρίας· καὶ οἱ μὲν μαθηταὶ φεύγουσιν, αἱ δὲ γυναῖκες καρτεροῦσι. Μαρίαν δὲ Ἰακώβου καὶ Ἰωσῆ μητέρα, τὴν Θεοτόκον λέγει· ὁ γὰρ Ἰάκωβος καὶ Ἰωσῆς τοῦ Ἰωσὴφ ἦσαν παῖδες ἀπὸ τῆς προτέρας αὐτοῦ γυναικός. Ἐπεὶ οὖν ἡ Θεοτόκος γυνὴ ἐλέγετο τοῦ Ἰωσὴφ, εἰκότως καὶ τῶν παίδων αὐτοῦ μήτηρ ἤτοι μητρυιὰ ἐλέγετο· ἡ δὲ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, Σαλώμη ἐκαλεῖτο· φασὶ δὲ καὶ ταύτην θυγατέρα εἶναι τοῦ Ἰωσήφ.

VERS. 54-56. « Centurio vero, et qui cum eo erant custodientes Jesum, viso terræ motu, et his quæ facta fuerant, timuerunt valde, dicentes : Vere Filius Dei erat iste. Erant autem ibi mulieres multæ e longinquo spectantes, quæ secutæ fuerant Jesum a Galilæa, ministrantes ei, inter quas erat Maria Magdalene, et Maria Jacobi, et Jose mater, et mater filiorum Zebedæi. » Centurio homo ethnicus a signis credit cum his qui secum erant : Judæi autem qui legem et prophetas audierant, increduli manent. Tantum malum est malignitas. Et postea martyrium pertulit hic centurio propter Christum. Mulieres vero spectantes ea quæ fiebant, ut sunt compatientissimæ, et sexus condemnatus, primæ fruuntur bonorum contemplatione. Et discipuli quidem fugiunt, mulieres autem fortes sunt. Mariam autem matrem Jacobi et Jose, Deiparam dicit. Jacobus enim et Joses filii erant Joseph e priore ejus uxore. Verum quia Deipara uxor Joseph dicebatur, merito et filiorum ejus dicebatur mater, hoc est noverca. Mater autem filiorum Zebedæi Salome dicebatur, quam et ipsam Joseph filiam aiunt.

Ὀψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσὴφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ. Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα· καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ, καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατό-

VERS. 57-61. « Vespere autem facto venit homo dives ab Arimathæa, nomine Joseph, et ipse discipulus fuerat Jesu. Hic accessit ad Pilatum, ac postulavit corpus Jesu. Tunc Pilatus jussit reddi corpus. Et cum accepisset corpus Joseph, involvit illud in sindone munda, posuitque illud in monumento suo novo, quod exciderat in petra, et advo-

luto saxo ingenti ad ostium monumenti, abiit. Erat autem ibi Maria Magdalene, et altera 1C Maria sedentes contra sepulcrum » Delitescebat quidem olim Joseph, nunc autem magnam rem audet, ponens animam suam pro corpore magistri, tantasque inimicitias Judæorum suscipiens. Porro pro magno dono donatum est illi corpus Jesu : nam cum ut seditiosus esset occisus Christus, reliquum erat ut insepultus merito abjiceretur. Verum cum Joseph dives esset, verisimile est quod Pilato aurum dederit. Proinde corpus quod acceperat, honorifice tractans in sepulcro novo recondidit, in quo nullus unquam positus erat : id quo divina dispensatione factum, ne cum resurrexisset Dominus, posset quis dicere quod alius ante eum sepultus illic mortuus resurrexisset: et idcirco fuit monumentum novum. Maria autem Magdalene, et altera Maria, hoc est Deipara quam supra dixerat Jose et Jacobi matrem, ambæ assederunt ad sepulturam : ita ut cum furor Judæorum cessaret, abirent et amplecterentur corpus, ac inungerent. De his mulieribus dicebat Isaias : Mulieres venientes a spectaculo, non, venite, non enim populus est habens intellectum. Manifeste loquitur de Judaico populo, qui crucifixerat Dominum, quod non habent intellectum. Advocat igitur mulieres, ut populum quidem intellectu carentem derelinquerent, ad apostolos autem accederent, et iliis resurrectionis evangelium prædicarent.

VERS. 62-66. «Postera autem die quæ sequitur Parasceven, convenerunt principes sacerdotum et Pharisæi ad Pilatum, dicentes : Domine, recordati sumus quod impostor ille dixit adhuc vivens, Post tres dies resurgam. Jube ergo muniri sepulcrum usque in diem tertium, ne quando veniant discipuli ejus noctu, et furentur eum, dicantque plebi, Surrexit a mortuis : et erit novissimus error pejor priore. Ait illis Pilatus : Habetis custodiam, ite, munite sicut scitis. Illi autem abeuntes munierunt sepulcrum, obsignato lapide, adhibitis custodibus.» Non nominat Sabbatum, Sabbatum : eo quod non erat Sabbatum quantum ad Judæorum insaniam attinebat. Cum enim lex principiat ne quis se moveat die Sabbati a loco suo, prævaricatores Judæi vadunt ad alienigenam Pilatum, et non ad congregationem quam lex permittebat. Et ipsi quidem sua malitia instigantur ut vadant ad Pilatum, et muniant sepulcrum: Dei autem dispensatione hoc factum, ut resurrectio inimicis testibus comprobetur, dum sepulcrum munitur et custoditur. Interrogatione autem dignum, unde Judæi sciebant Christum tertio die resurrecturum? Nondum enim Dominus nude et manifeste eis hoc dixerat. Dici potest quod a figura Jonæ cognoverint, præsertim cum Christus dixerit : « Sicut Jonas fuit tribus diebus in ventre ceti, ita et ego in ventre terræ 69* ; »
163 vel ex illo quod dixit : « Solvite templum

A μησεν ἐν τῇ πέτρᾳ. Καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν· ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου. » Ἐκρύπτετο μὲν πάλαι ὁ Ἰωσὴφ, νῦν δὲ μέγα πρᾶγμα τολμᾷ, τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τοῦ διδασκαλικοῦ σώματος, καὶ τοσαύτην ἔχθραν πρὸς πάντας Ἰουδαίους ἀναδεξάμενος. Ὡς μεγάλην δὲ δωρεὰν, δίδωσιν αὐτῷ τὸ σῶμα ὁ Πιλᾶτος. Ὡς γὰρ στασιαστοῦ θανατωθέντος τοῦ Χριστοῦ, εἰκότως τὸ σῶμα αὐτοῦ ἔμελλεν ἄταφον ῥιφῆναι· ἀλλ' ὁ Ἰωσὴφ πλούσιος ὢν, εἰκὸς ὅτι καὶ ἔδωκεν ἂν τῷ Πιλάτῳ χρυσίον. Καὶ λαβὼν τιμᾷ αὐτὸ, κατεθεὶς ἐν μνημείῳ καινῷ, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη· τοῦτο δὲ οἰκονομίας Θεοῦ ἦν, ἵνα μὴ, ἀναστάν-
B τος τοῦ Κυρίου, ἔχοι τις εἰπεῖν ὅτι ἄλλος πρότερον ταφεὶς ἐκεῖ νεκρὸς ἀνέστη. Διὰ τοῦτο οὖν καινὸν τὸ μνημεῖον. Ἡ Μαρία δὲ ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, τουτέστιν, ἡ Θεοτόκος, ἣν ἀνωτέρω ἐκάλεσεν Ἰωσῆ καὶ Ἰακώβου μητέρα, αὗται αἱ δύο κάθηνται ἀπέναντι τοῦ τάφου προσεδρεύουσαι, ὥστε, εἰ παύσαιτο ἡ μανία, ἀπελθεῖν καὶ περιχυθῆναι τῷ σώματι, καὶ μυρίσαι αὐτό. Περὶ τῶν τοιούτων γυναικῶν ἔλεγεν Ἡσαΐας· Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν. Φανερῶς γὰρ περὶ τοῦ Ἰουδαϊκοῦ λαοῦ τοῦ σταυρώσαντος τὸν Κύριον, λέγει ὅτι οὐκ ἔχουσι σύνεσιν. Προσκαλεῖται οὖν ταύτας καταλεῖψαι μὲν τὸν ἀσύνετον λαὸν, προσελθεῖν δὲ τοῖς ἀποστόλοις, καὶ εὐαγγελίσασθαι αὐτοῖς τὴν ἀνάστασιν.

C « Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν Παρασκευὴν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλᾶτον, λέγοντες· Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν αὐτὸν, καὶ εἴπωσι τῷ λαῷ, Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ἔφη αὐτοῖς ὁ Πιλᾶτος· Ἔχετε κουστωδίαν, ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε. Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας. » Οὐκ ὀνομάζει τὸ Σάββατον, Σάββατον, διότι οὐδὲ Σάββατον ἦν, ὅσον ἐπὶ τῇ κακίᾳ τῶν Ἰουδαίων· τοῦ γὰρ νόμου διαγορεύοντος τῇ ἡμέρᾳ τοῦ Σαββάτου μηδένα κι-
D νεῖσθαι ἐκ τοῦ τόπου αὐτοῦ, οἱ παράνομοι Ἰουδαῖοι πρὸς τὸν ἀλλόφυλον Πιλᾶτον συνάγονται, ἀντὶ τῆς νενομισμένης συνάξεως. Ἀλλ' ἐκεῖνοι μὲν ὑπὸ τῆς ἑαυτῶν κινοῦνται πονηρίας εἰς τὸ προσελθεῖν τῷ Πιλάτῳ, καὶ ἀσφαλίσασθαι τὸν τάφον· Θεοῦ δὲ οἰκονομία τοῦτο, ἵνα ἡ ἀνάστασις γένοιτο ὑπὸ μάρτυσι τοῖς ἐχθροῖς, καὶ ἐσφραγισμένου τοῦ τάφου καὶ φυλαττομένου· ἄξιον δὲ ζητῆσαι πόθεν οἱ Ἰουδαῖοι μαθόντες εἶπον ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται· οὐ γὰρ δήπου ὁ Κύριος εἶπε τοῦτο σαφῶς καὶ γυμνῶς. Ἔστιν οὖν εἰπεῖν ὅτι ἀπὸ τοῦ παραδείγματος τοῦ Ἰωνᾶ τοῦτο ἔγνωσαν· εἶπε γὰρ ὁ Χριστὸς, ὅτι « Ὥσπερ Ἰωνᾶς ἦν τρεῖς ἡμέρας ἐν τῇ κοιλίᾳ τοῦ

69* Matth. XII, 40.

κήτους, οὕτω καὶ ἐγὼ ἐν τῇ κοιλίᾳ τῆς γῆς.» Ἢ καὶ ἀπὸ τοῦ· «Δύσατε τὸν ναὸν τοῦτον·» πρότερον μὲν γὰρ μὴ νοήσαντες τοῦτο, ἀλλὰ νομίσαντες, ὅτι περὶ τοῦ ναοῦ λέγει τοῦ Ἰουδαϊκοῦ, κατεμαρτύρησαν αὐτοῦ· νῦν δὲ γνόντες, ὅτι ναὸν ἔλεγε τὸ σῶμα τὸ ἴδιον, φοβοῦνται, καὶ πλάνον αὐτὸν ἀποκαλοῦσι, μηδὲ μετὰ θάνατον τὴν κακίαν λύσαντες. Κουστωδία δὲ λέγεται παρὰ Ῥωμαίοις ἡ φυλακή· τοὺς οὖν ἐπὶ τῷ φυλάττειν τεταγμένους στρατιώτας, κουστωδίαν ὀνομάζει.

## ΚΕΦΑΛ. ΚΗ'.

Περὶ τῆς τοῦ Κυρίου ἀναστάσεως. Περὶ τῶν φυλάκων τοῦ τάφου, μαρτύρων τῆς ἀναστάσεως. Περὶ τῆς ἐμφανίσεως τοῦ Χριστοῦ τοῖς ἀποστόλοις καὶ γυναιξὶν ἐν Γαλιλαίᾳ.

«Ὀψὲ δὲ Σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον. Καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ· ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡς χιών. Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί. Ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπε ταῖς γυναιξί· Μὴ φοβεῖσθε ὑμεῖς. Οἶδα γάρ, ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ, καθὼς εἶπε. Δεῦτε, εἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ Κύριος· καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδοὺ εἶπον ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ.» Τὸ ὀψὲ Σαββάτων, ἴσον ἐστὶ τῷ παρὰ τῷ Λουκᾷ εἰρημένῳ, ὄρθρου βαθέος, καὶ τῷ παρὰ τῷ Μάρκῳ, λίαν πρωῒ ἀνατείλαντος τοῦ ἡλίου. Ἥλιον γὰρ ἐνταῦθα νοεῖν ὀφείλομεν τὰς ὀρθρινὰς τοῦ ἡλίου αὐγάς· ἀφ' οὗ γὰρ ἡ ὀγδόη ὥρα τῆς νυκτὸς ἐπιλάβηται, ἔκτοτε ἡ ἀρχὴ τῆς μελλούσης ἡμέρας, καὶ ἡ πρωΐα δοκεῖ ἐπιλαβέσθαι. Τότε τοίνυν, ὀψὲ μὲν ἦν Σαββάτου, ἀρχὴ δὲ τῆς Κυριακῆς, ἣν μίαν τῶν Σαββάτων ὀνομάζει. Σάββατα μὲν γὰρ ἔλεγον τὰς ἡμέρας τῆς ἑβδομάδος. Μίαν δὲ, τὴν πρώτην, ὥστε εἶναι τὴν Κυριακὴν, μίαν τῶν Σαββάτων, τουτέστι, πρώτην τῶν ἡμερῶν τῆς ἑβδομάδος· πρὸς γὰρ τὴν πρώτην εὐθὺς καὶ ἡ δευτέρα λέγεται, εἶτα ἡ τρίτη, καὶ ἑξῆς αἱ λοιπαί. Ἀνέστη τοίνυν ὁ Κύριος, ἔτι τοῦ λίθου ἐπικειμένου τῷ τάφῳ· μετὰ δὲ τὸ ἀναστῆναι τὸν Κύριον, καὶ ὁ ἄγγελος ἔρχεται, ἵνα ἀποκυλίσας τὸν λίθον, δώῃ πάροδον ταῖς γυναιξὶν εἰς τὸν τάφον. Σεισμὸς δὲ γίνεται, ἵνα ἀφυπνισθῶσιν οἱ φύλακες, καὶ μάθωσι τὸ καινὸν τοῦ γενομένου. Ἀνέστη οὖν τριήμερος ὁ Κύριος. Πῶς δὲ ἀριθμοῦνται αἱ τρεῖς ἡμέραι; Ἕκτῃ ὥρᾳ τῆς Παρασκευῆς ἐσταυρώθη· ἀπὸ ταύτης ἕως ἐννάτης, σκότος· τοῦτο νύκτα μοι νόησον. Πάλιν ἀπὸ τῆς ἐννάτης, φῶς, τοῦτο ἡμέρα· ἰδοὺ ἡμερονύκτιον. Πάλιν ἡ νὺξ τῆς Παρασκευῆς καὶ τοῦ Σαββάτου ἡ ἡμέρα, δεύτερον ἡμερονύκτιον· ἡ νὺξ πάλιν τοῦ Σαββάτου καὶ ὁ τῆς Κυριακῆς ὄρθρος, κατὰ τὸν Ματθαῖον, λέγοντα· «Τῇ

A hoc, » quod prius non intellexerunt, sed putabant quod de templo Judaico sentiret, et ideo testimonium hoc contra eum protulerunt : nunc autem ubi cognoverunt, quod templum dixerat corpus proprium, timent, et impostorem eum cognominant, neque post mortem a malitia cessant. Cæterum custodia Romanum nomen est : milites itaque ad custodiendum ordinatos custodiam evangelista nominat.

## CAPUT XXVIII.

*De resurrectione Domini. De custodibus sepulcri, iisdemque resurrectionis testibus. De apparitione Christi facta apostolis et mulieribus in Galilæa.*

B VERS. 1-8. Vespera autem Sabbatorum, quæ lucescit in unam Sabbatorum, venit Maria Magdalene et altera Maria ut viderent sepulcrum. Et ecce terræ motus factus est magnus. Angelus enim Domini descendit de cœlo, et accedens revolvit lapidem ab ostio, sedebatque super eum. Erat autem aspectus ejus sicut fulgur, et vestimentum ejus candidum sicut nix. Præ timore autem ejus concussi sunt custodes, et facti sunt veluti mortui. Respondens autem angelus dixit mulieribus : Nolite timere vos : scio enim quod Jesum qui crucifixus est, quæritis; non est hic; surrexit enim, sicut dixit. Venite, videte locum ubi positus erat Dominus. Et cito euntes, dicite discipulis ejus quod surrexit a mortuis, et ecce præcedit vos in Galilæam, ibi eum C videbitis : ecce dixi vobis. Et digressæ celeriter a monumento cum timore et gaudio magno currebant ut renuntiarent discipulis ejus. » Vespera Sabbatorum eadem est cum profundo crepusculo diluculi apud Lucam, et valde mane sole oriente apud Marcum. Solem enim eo loco intelligere debemus matutinos solis radios. Ab octava enim hora noctis principium est futuri diei, et matutinum videtur appetere. Tunc igitur vesperum erat Sabbati, principium autem Dominici diei, quam unam Sabbatorum nominat. Sabbata enim dicebant dies hebdomadæ. Unam autem, hoc est primam, ita ut Dominicus dies una sit Sabbatorum, hoc est, prima dierum hebdomadis. Ad primam enim statim et D secunda dicitur, deinde tertia, et deinceps reliquæ. Resurrexit igitur Dominus lapide adhuc super sepulcrum posito. Postquam autem resurrexit Dominus, et angelus venit, ut devoluto lapide accessum habeant mulieres ad sepulcrum. Fit autem terræ motus, ut excitentur custodes, et discant novum quod fiebat. Surrexit igitur Dominus triduanus. Quomodo autem tres dies ? Sexta hora Parasceves crucifixus est ab illa usque **164** ad nonam fuerunt tenebræ, per has utique noctem intelligas. Iterum a nona lux, hoc est, dies : ecce diem et noctem. Iterum nox Parasceves, et dies Sabbatis, ecce secundo diem et noctem. Nox quoque Sabbati, et diliculum Dominicæ, juxta Matthæum, dicentem: « Quæ illucescebat in unam Sabbatorum ; » a dilu-

culo enim et dies totus numeratur : ecce tertio diem et noctem. Potes et aliter tres dies numerare : In Parasceve tradidit spiritum. ecce unum diem. Sabbato in sepulcro fuit, ecce secundus dies. Nocte Dominicæ resurrexit ; a parte igitur numeratur et Dominica in alium diem, et ita tres dies : nam et de defunctis dicimus, si unus moriatur circa decimam horam d ei, et alter circa primam ejus diei, quod uterque eodem die sit mortuus. Possum tibi et aliam causam dicere quomodo tres dies et tres noctes numerentur. Attende igitur : Quinta vespera fecit Dominus cœnam, et discipulis dixit : « Accipite, et comedite corpus meum : » et ita quia potestatem habebat ponere animam suam, manifestum quod tunc immolaverit seipsum, ex quo tradidit discipulis corpus suum : nemo enim quidquam edit nisi prius mactatum fuerit Numera igitur : vesperi tradidit corpus suum. Nox illa et dies Parasceve usque ad sextam horam, ecce unum diem et noctem. Iterum a sexta hora tenebræ usque ad nonam, et a nona lux usque ad vesperam, ecce secundum diem et noctem. Iterum nox post Parascevem et dies Sabbati, ecce tertium diem et noctem. Sabbato autem vesperi resurrexit : ecce tres integri dies et noctes. Jam quod angelum Matthæus dixit sedere super lapide, Marcus autem revoluto lapide sedere in dextris intra sepulcrum, nunquid inter se dissident? Minime : sed versimile est apparuisse primum angelum sedentem super lapide : deinde ingredientibus mulieribus præire angelum, et iterum apparuisse sedentem in sepulcro (*a*) a dextris. Dixit autem ad mulieres : Ne terreamini vos ; hoc est. Custodes quidem digni sunt qui terreantur, vos autem discipulæ Domini. ne terreamini. Et postquam liberavit eas a metu, evangelizat eis resurrectionem. Primum enim timorem ejicere oportebat, et deinde evangelizare. Non erubescit autem nominare Dominum crucifixum. Gloriatur enim cruce tanquam tropæo, quo nobis omnia bona conciliata sunt.

A ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων· » ἀπὸ γὰρ τοῦ ὄρθρου καὶ ἡ ἡμέρα ὅλη ἀριθμεῖται· ἰδοὺ τρίτον ἡμερονύκτιον. Καὶ ἄλλως δὲ δύνασαι ἀριθμῆσαι τὰς τρεῖς ἡμέρας· Τῇ παρασκευῇ παρέδωκε τὸ πνεῦμα, μία αὕτη ἡμέρα· τῷ Σαββάτῳ ἦν ἐν τῷ τάφῳ, δευτέρα αὕτη ἡμέρα· τῇ δὲ νυκτὶ τῆς Κυριακῆς ἀνέστη, ἀπὸ μέρους οὖν ἀριθμεῖται καὶ ἡ Κυριακὴ εἰς ἄλλην ἡμέραν· ὥστε ἰδοὺ τρεῖς ἡμέραι· καὶ γὰρ καὶ ἐπὶ τῶν κεκοιμημένων, ἐὰν ἀποθάνῃ τις περὶ δεκάτην ὥραν τῆς ἡμέρας, καὶ ἕτερος περὶ πρώτην ὥραν τῆς αὐτῆς ἡμέρας, ἀμφότεροι ἐν τῇ αὐτῇ ἡμέρᾳ λέγονται τεθνάναι. Ἔχω σοι καὶ ἄλλην αἰτίαν εἰπεῖν εἰς τοῦτο, πῶς τρεῖς ἡμέραι καὶ τρεῖς νύκτες ἀριθμηθήσονται. Πρόσεχε οὖν· Τῇ πέμπτῃ ἑσπέρας ἐποίησε τὸ δεῖπνον ὁ Κύριος, καὶ τοῖς μαθηταῖς ἔλεγε· « Λάβετε, φάγετε τὸ σῶμά μου· » ὥστε ἐπεὶ ἐξουσίαν εἶχεν ἀφ' ἑαυτοῦ θεῖναι τὴν ψυχὴν αὐτοῦ, δῆλον ὅτι ἔκτοτε ἀπέσφαξεν ἑαυτὸν, ἀφ' οὗ διεδίδου τοῖς οἰκείοις μαθηταῖς τὸ σῶμα· οὐδεὶς γὰρ ἐσθίει τι, ἐὰν μὴ πρότερον ἐσφαγμένον εἴη. Ἀρίθμησον οὖν· Τῇ ἑσπέρᾳ (3b) διεδίδου τὸ οἰκεῖον σῶμα· ἡ νὺξ ἐκείνη, καὶ ἡ ἡμέρα τῆς Παρασκευῆς ἄχρι τῆς ἕκτης ὥρας, ἰδοὺ ἓν ἡμερονύκτιον· πάλιν τὸ ἀπὸ τῆς ἕκτης ὥρας σκότος ἕως τῆς ἐννάτης, καὶ τὸ ἀπὸ τῆς ἐννάτης φῶς ἕως τῆς ἑσπέρας, ἰδοὺ δεύτερον ἡμερονύκτιον· ἡ νὺξ πάλιν ἡ μετὰ τὴν Παρασκευὴν, καὶ ἡ ἡμέρα τοῦ Σαββάτου, ἰδοὺ τρίτον ἡμερονύκτιον. Σαββάτῳ δὲ ὀψὲ ἀνέστη· τρία ταῦτα ὁλόκληρα ἡμερονύκτια. Τὸν δὲ ἄγγελον ὁ μὲν Ματθαῖος ἔφη καθῆσθαι ἐν τῷ λίθῳ· ὁ δὲ Μάρκος ἀποκυλίσαντα τὸν λίθον, ἔνδον τοῦ μνημείου καθῆσθαι, ἐν τοῖς δεξιοῖς· ἆρ' οὖν ἐναντιοφωνοῦσιν; Οὐχί· ἀλλ' εἰκός ἐστι φανῆναι πρῶτον τὸν ἄγγελον καθήμενον ἐν τῷ λίθῳ, εἶτα εἰσελθουσῶν τῶν γυναικῶν, προάγειν τὸν ἄγγελον, καὶ πάλιν φανῆναι ἐντὸς τοῦ μνημείου καθήμενον ἐν τοῖς δεξιοῖς. Εἶπε δὲ πρὸς τὰς γυναῖκας· Μὴ φοβεῖσθε ὑμεῖς, τουτέστιν, Οἱ μὲν φύλακες ἄξιοί εἰσι φοβεῖσθαι· ὑμεῖς δὲ αἱ τοῦ Κυρίου μαθήτριαι, μὴ φοβεῖσθε. Μεθ' ὃ δὲ ἀπαλλάττει αὐτὰς τοῦ δέους, εὐαγγελίζεται αὐταῖς τὴν ἀνάστασιν. Ἔδει γὰρ πρότερον ἐκβαλεῖν τὸ δέος, εἶτα εὐαγγελίσασθαι. Οὐκ αἰσχύνεται δὲ ἐσταυρωμένον ὀνομάζων τὸν Κύριον. Τῷ γὰρ σταυρῷ ὥσπερ τροπαίῳ τινὶ ἐγκαυχᾶται, πάντα τὰ ἀγαθὰ προξενήσαντι ἡμῖν.

VERS. 9, 10. « Cum autem issent at renuntiandum discipulis ejus, ecce Jesus occurrit illis dicens : Avete. Illæ autem accesserunt, et tenuerunt pedes ejus, et adoraverunt eum. Tunc ait illis Jesus : Nolite timere : ite, renuntiate fratribus meis, ut eant in Galilæam, et ibi me videbunt. » 165 Dicit mulieribus : Avete. Quoniam enim mutiebre genus ad tristitiam condemnatum fuit, Dominus per resurrectionem suam gaudium attulit femineo sexui, et benedixit eis. At illæ præ multa reverentia et honore et propter pietatem pedes ejus tenent, non andantes aliam corporis partem contingere, quam extremas illas. Quidam autem dicunt dedita opera

D « Ὡς δὲ ἐκπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ ὁ Ἰησοῦς, ἀπήντησεν αὐταῖς, λέγων· Χαίρετε. Αἱ δὲ, προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ. Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· Μὴ φοβεῖσθε. Ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. » Προσφωνεῖ ταῖς γυναιξὶ τὸ, Χαίρετε. Ἐπεὶ γὰρ τὸ γυναικεῖον γένος λυπεῖσθαι κατεκρίθη, ὁ Κύριος διὰ τῆς ἀναστάσεως αὐτοῦ τὴν χαρὰν προεξένησε τῷ γυναικείῳ γένει, καὶ εὐλόγησεν αὐτάς. Διὸ ἐκεῖναι ἀπὸ τῆς πολλῆς περὶ αὐτὸν αἰδοῦς καὶ τιμῆς, τοὺς πόδας αὐτοῦ κρατοῦσι, δι' εὐλάβειαν μὴ τολμῶσαι ἄλλου μέρους τοῦ σώματος ἅψασθαι, εἰ μὴ

**Ex collatione codd. Venet. S. Marci.**

(3b) Cod 30 τῇ πέμπτῃ, ἑσπέρας.

(*a*) Edit. Lut. vertit, *ingredientibus mulieribus præire mulieres, et iterum apparuisse in sepulcro*.

τῶν ἐσχάτων μερῶν τοῦ σώματος αὐτοῦ. Τινὲς δέ φασιν ὅτι ἐξεπίτηδες ἐδράξαντο τῶν ποδῶν αὐτοῦ, ὡς ἂν μάθωσιν εἰ ἀληθῶς ἀνέστη καὶ μὴ κατὰ φαντασίαν, μηδὲ πνεῦμά ἐστιν. Ὑπενόουν γὰρ ὅτι πνεῦμά ἐστι. Τότε μὲν οὖν αἱ δύο αὗται Μαρίαι ἥψαντο τῶν ποδῶν αὐτοῦ. Κατὰ δὲ τὸν Ἰωάννην, ἡ Μαγδαληνὴ Μαρία ἐπιχειρεῖ μὲν ἅψασθαι, οὐ συγχωρεῖται δὲ, διότι ἤθελεν ἀεὶ συνεῖναι αὐτῷ ὥσπερ καὶ πρότερον. Ἢ μᾶλλον διὰ τοῦτο οὐ συγχωρεῖται ἅψασθαι τοῦ Ἰησοῦ κατὰ τὸν Ἰωάννην, ὡς περίεργος. Ἐπεὶ γὰρ, ὥς φησιν ὁ Ματθαῖος, ἥψατο αὐτοῦ τῶν ποδῶν, τίς ἦν ἔτι χρεία πάλιν ἅψασθαι; Ὥστε ὡς περιττὴν οὖσαν λοιπὸν αὐτὴν ἀπωθεῖται.

« Πορευομένων δὲ αὐτῶν, ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα· καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες· Εἴπατε ὅτι, οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων· καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. Οἱ δὲ, λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς ἐδιδάχθησαν· καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον. » Οἱ μὲν ἀπὸ τῆς κουστωδίας ἀπήγγειλαν πάντα· ὅτι σεισμὸς ἐγένετο, ὅτι ὁ λίθος ἤρθη αὐτομάτως, ὅτι αὐτοὶ φοβηθέντες ἐγένοντο ὡσεὶ νεκροί. Οἱ δὲ Ἰουδαῖοι οὔτε τὰ ἐπὶ τῷ πάθει γενόμενα θαύματα, οὔτε τὰ ἐπὶ τῷ τάφῳ μαρτυρούμενα παρὰ τῶν στρατιωτῶν δυσωπηθέντες, τῷ ἰδίῳ πάθει τῇ φιλαργυρίᾳ ὑπονοθεύουσι τοὺς στρατιώτας, παραπείθοντες αὐτοὺς τὸ πάντων ἀσεβέστερον φθέγξασθαι καὶ ἀνοητότερον, ὅτι ἐκλάπη. Πῶς γὰρ ἂν ἔκλεψαν, ὦ ἀνόητοι, οἱ μαθηταὶ, οἱ διὰ τὸν φόβον ἀποκλεισθέντες καὶ μὴ τολμῶντες ὅλως ἐξελθεῖν; Πῶς δ' ἂν εἰ ἔκλεψαν, ἀπέθνησκον ὕστερον δι' αὐτὸν, κηρύττοντες ὅτι ἀνέστη, καὶ ὑπὲρ τοῦ ψεύδους κατακοπτόμενοι;

« Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς· καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν, καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Κατὰ τὸν Ἰωάννην πρῶτον ὤφθη τοῖς μαθηταῖς ὁ Ἰησοῦς κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἀναστάσεως, τῶν θυρῶν κεκλεισμένων· εἶτα μεθ' ἡμέρας ὀκτὼ, ὅτε καὶ ὁ Θωμᾶς ἐπίστευσεν· εἶτα ἐπειδὴ ἔμελλον εἰς Γαλιλαίαν ἀπαντῆσαι, οὔπω δὲ πάντες ὁμοῦ συνήχθησαν, ἀλλά τινες αὐτῶν ἡλίευον ἐπὶ τῆς Τιβεριάδος, ἐφάνη τότε τοῖς ἁλιεύουσι μόνοις, ἑπτὰ οὖσι. Νῦν οὖν ὅ φησιν ὁ Ματθαῖος, ὕστερον ἐγένετο, τῶν παρὰ τῷ Ἰωάννῃ πρότερον γενομέ-

70 Joan. xx. 17.

A illas fecisse, ut periculum facerent num vere surrexisset, et num spiritus sit vel phantasma. Existimabant enim spiritum esse. Itaque tunc duæ illæ Mariæ tangebant pedes ejus. Verum juxta Joannem Maria Magdalene attentat quidem tangere pedes [70], non conceditur autem ei, eo quod volebat semper manere cum eo sicut prius: vel potius ideo non conceditur ei tangere Jesum juxta Joannem, quod curiosula erat. Quia enim, sicut dixit Matthæus, tetigerat pedes ejus, quid adhuc opus erat iterum tangere? et ita repellitur uti curiosa.

VERS. 11-15. « Quæ cum abiissent, ecce quidam
B e custodibus venerunt in civitatem, ac renuntiaverunt principibus sacerdotum omnia quæ acciderant. Et congregati cum senioribus, consilio habito pecuniam copiosam dederunt militibus, dicentes: Dicite quod Discipuli ejus nocte venerunt, et furati sunt eum nobis dormientibus. Et si hoc auditum fuerit a præside, nos persuadebimus ei, et securos vos faciemus. At illi accepta pecunia fecerunt sicut erant edocti: et divulgatus est hic sermo apud Judæos usque in hodiernum diem. » Custodes annuntiaverunt omnia, quod terræ motus factus sit, quod lapis per se sublatus sit, quod ipsi territi facti fuerint quasi mortui. At Judæi tanto miraculo moti non sunt, neque demulsi miraculis quæ in
C passione contigerant, neque placati illis quæ testificabantur custodes, suo malo, hoc est avaritia, milites corrumpunt. Persuadere autem conantur, quod omnium maxime impium et stultissimum fuerit dicere quod furto sublatus esset. Quo pacto enim, o stulti, furati essent discipuli, qui præ metu inclusi erant, et omnino exire non audebant? Quomodo autem si furto abstulissent, postea propter illum mori voluissent, prædicantes illum resurrexisse, et pro mendacio male affecti?

VERS. 16-20. « Undecim autem discipuli abierunt in Galilæam in montem ubi constituerant illis Jesus. Et cum vidissent illum, adoraverunt eum, hi autem dubitaverunt. Et accedens Jesus locutus est eis dicens: Data est mihi omnis potestas in cœlo et in
D terra; euntes ergo docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti, docentes eos servare omnia quæcunque præcepi vobis. Et ecce ego vobiscum sum omnibus diebus usque ad consummationem sæculi. » Secundum Joannem, primum discipulis visus est Jesus in ipso die resurrectionis, clausis januis: deinde post dies octo, quando et Thomas credidit: postremo, quia in Galilæam occursuri erant, nondum autem omnes congregati erant, sed quidam piscabantur apud Tiberiadem, apparuit tunc piscatoribus solis, qui septem erant. Nunc igitur quod dixit Matthæus, posterius factum est quam illa quæ a Joanne dicta sunt. Sæpe enim apparuit eis per

dies quadraginta, accedens et abscedens, non semper et ubique eis præsens. Undecim igitur discipuli illi præcipui cum reliquis omnibus qui sequebantur Christum, adorabant eum. Ili autem dubitarunt, hoc est quidam. dubitarunt. Probabile est quod sic sit intelligendum. Undecim abierunt in Galilæam, et undecim adoraverunt Illum. Hi autem, id est, aliqui, forte ex his qui ex septuaginta erant, de Christo dubitarunt: postea autem et confirmati fuerunt. Nonnulli sic intelligunt quod Matthæus quidem non expresserit quinam dubitassent: quod autem iste omisit, Joannes dixit, nempe quod Thomas esset is qui dubitarat. Forte autem et omnes dubitarunt, id quod Lucas dicit. Debes igitur sic intelligere, quod cum venissent in Galilæam, adoraverunt eum. Illi autem qui adorarunt in Galilæa, primum dubitarunt in Jerusalem, sicut Lucas dicit. Locutus est itaque illis Jesus: « Data est mihi omnis potestas in cœlo et in terra. » Hoc quidem hunc sensum habet: Habui quidem sicut Deus et Opifex potestatem omnium: « Omnia enim serviunt tibi [71], » dixit ad Deum David: sed voluntariam subjectionem non habui, quam nunc habiturus sum. Subjecta enim erunt mihi omnia: quando quidem per crucem vici eum qui potestatem habebat mortis. Duplex enim est obedientia et subjectio: involuntaria scilicet, secundum quam omnes sumus servi Dei, etiam inviti, quemadmodum et dæmones ipsi: et voluntaria, quomodo Paulus erat servus Christi. Cum prius omnia solam obedientiam involuntariam exhiberent, et Salvator omnium potestatem quasi dimidiatam haberet: post crucem, cum Dei cognitio innotesceret omnibus, habuit etiam voluntarie obedientes omnes qui subjecti fuerunt. Merito igitur dicit Christus: Nunc accepi potestatem omnem: prius enim partiaria potestas mihi erat, eo quod præter voluntatem mihi veluti factori serviebant: nunc autem cum homines sponte et scientes mihi serviant, omnis et integra potestas mihi data est. A quo autem data est illi? Omnino a semetipso habuit, et sua humilitate. Nisi enim humiliatus fuisset, et congressus cum adversario per crucem, non salvasset nos. Et sic intellige. « Data est mihi omnis potestas, » Propriis meis certaminibus et laboribus servavi **167** homines, et facti sunt mihi in sortem et peculiarem populum. Dominus itaque super terram potestatem habet, eo quod omnis terra agnovit illum: in cœlo autem, eo quod merces ac municipatus illorum qui credunt in cœlo est. Vel etiam aliter, quia humana natura prius condemnata, nunc unita Dei Verbo personaliter in cœlo sedet, et ab angelis adoratur, merito dicit: « Data est mihi omnis potestas in cœlo. » Etenim humana natura prius serviebat, nunc in Christo imperat omnibus. Breviter igitur sic intellige: « Data est mihi omnis potestas. » Nempe si tanquam a Dei Verbo dictum accipias, sic intellige: « Data est mihi omnis potestas, » eo quod volentes et

[71] Psal. CXVIII, 91.

νων· πολλάκις γὰρ ἐφάνη αὐτοῖς, δι' ἡμερῶν τεσσαράκοντα ἐφιστάμενος καὶ πάλιν ἀφιστάμενος, οὐ πάντοτε καὶ διόλου αὐτοῖς συμπαρών. Οἱ οὖν ἕνδεκα μαθηταὶ οἱ κορυφαῖοι, σὺν τοῖς λοιποῖς πάντως ἅπασι τοῖς ἀκολουθοῦσι, τῷ Χριστῷ προσεκύνησαν· οἱ δὲ ἐδίστασαν· ἀντὶ τοῦ, τινὲς δὲ ἐδίστασαν. Εἰκὸς οὖν οὕτω νοηθῆναι· Οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, καὶ προσεκύνησαν αὐτῷ οἱ ἕνδεκα. Οἱ δὲ, ἀντὶ τοῦ, τινὲς δὲ, τυχὸν ἐκ τῶν ἑβδομήκοντα, ἐδίστασαν περὶ τοῦ Χριστοῦ. Ὕστερον μέντοι ἐβεβαιώθησαν καὶ αὐτοί. Τινὲς δὲ οὕτω νοοῦσιν, ὅτι ὁ μὲν Ματθαῖος παρῆκεν εἰπεῖν τίνες ἦσαν οἱ διστάσαντες· ὃ δὲ παρῆκεν οὗτος, εἶπεν ὁ Ἰωάννης, ὅτι Θωμᾶς ἦν ὁ διστάσας· τυχὸν δὲ καὶ πάντες ἐδίστασαν· ὅπερ ὁ Λουκᾶς λέγει. Ὀφείλεις οὖν οὕτω νοῆσαι, ὅτι εἰς μὲν τὴν Γαλιλαίαν ἐλθόντες, προσεκύνησαν αὐτῷ· οὗτοι δὲ οἱ προσκυνήσαντες ἐν τῇ Γαλιλαίᾳ, ἐδίστασαν πρότερον ἐν τῇ Ἱερουσαλὴμ, ὡς ὁ Λουκᾶς φησιν. Ἐλάλησεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, ὅτι « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. » Τοῦτο δὲ τοιοῦτον ἐστιν· Εἶχον μὲν ὡς Θεὸς καὶ Δημιουργὸς τὴν ἐξουσίαν πάντων, « Τὰ σύμπαντα γὰρ δοῦλα σὰ, » πρὸς τὸν Θεὸν φησιν ὁ Δαυῒδ· ἀλλὰ τὴν ἑκούσιον ὑποταγὴν οὐκ εἶχον. Νῦν οὖν μέλλω καὶ ταύτην ἕξειν· ὑποταγήσονται γάρ μοι τὰ πάντα· ἐπεὶ διὰ τοῦ σταυροῦ ἐνίκησα τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου. Διττὴ γὰρ ἐστιν ἡ ὑποταγή· ἡ μὲν ἀκούσιος, καθὸ πάντες δοῦλοι τοῦ Θεοῦ ἐσμεν καὶ ἄκοντες, ὥσπερ καὶ οἱ δαίμονες· ἡ δὲ ἑκούσιος, καθὸ Παῦλος δοῦλος ἦν Χριστοῦ. Πρότερον μὲν οὖν τὴν ἀκούσιον μόνην ὑποταγὴν ἐχόντων πάντων, ἐξ ἡμισείας, ὥσπερ εἶχεν ὁ Σωτὴρ τὴν πάντων ἐξουσίαν· μετὰ δὲ τὸν σταυρὸν, τῆς θεογνωσίας ἐφαπλωθείσης πᾶσι, καὶ τὴν ἑκούσιον ὑποταγὴν ὑποταγέντων πάντων, εἰκότως φησὶν ὁ Χριστὸς, ὅτι Νῦν ἔλαβον πᾶσαν τὴν ἐξουσίαν· πρότερον μὲν γὰρ μερικῶς προσῆν μοι ἡ ἐξουσία, ὡς ἀκουσίως μόνον δουλευόντων μοι, καθὸ ποιητής εἰμι· νῦν δὲ καὶ μετὰ ἐπιγνώσεως δουλευόντων μοι τῶν ἀνθρώπων, πᾶσα καὶ ὁλόκληρος ἡ ἐξουσία ἐδόθη μοι. Παρὰ τίνος δὲ ἐδόθη αὐτῷ; Ἢ πάντως παρ' ἑαυτοῦ καὶ τῆς οἰκείας ταπεινώσεως· εἰ μὴ γὰρ ἐταπεινώθη καὶ συνεπλάκη τῷ ἀντιπάλῳ διὰ τοῦ σταυροῦ, οὐκ ἂν ἔσωσεν ἡμᾶς. ὥστε τὸ « Ἐδόθη μοι ἐξουσία, » οὕτω νόει· Ἐκ τῶν οἰκείων μου ἀγώνων καὶ παλαισμάτων ἔσωσα τοὺς ἀνθρώπους, καὶ περιεγένοντό μοι λοιπὸν κλῆρος καὶ περιούσιος λαός. Ἐπὶ γῆς μὲν οὖν ἔχει τὴν ἐξουσίαν ὁ Κύριος, καθὸ πᾶσα ἡ γῆ ἐπέγνω αὐτόν· ἐν οὐρανῷ δὲ, διότι ὁ μισθὸς τῶν πιστευόντων αὐτῷ καὶ τὸ πολίτευμα, ἐν οὐρανοῖς ὑπάρχει· καὶ γὰρ καὶ ἄλλως, ἐπεὶ ἡ ἀνθρωπίνη φύσις ἡ πρώην κατάκριτος, συνημμένη τῷ Θεῷ Λόγῳ καθ' ὑπόστασιν, ἐν οὐρανῷ κάθηται ὑπ' ἀγγέλων προσκυνουμένη· εἰκότως φησὶν, ὅτι « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ· » καὶ γὰρ ἡ ἀνθρωπίνη φύσις ἡ πρώην δουλεύουσα, νῦν ἐν Χριστῷ ἄρχει πάντων. Συνελόντι οὖν φάναι, οὕτω νόει τὸ, « Ἐδόθη μοι πᾶσα ἐξουσία· » εἰ μὲν ὡς

ἀπὸ τοῦ Θεοῦ Λόγου λεγόμενον ἐκλάβοις, ὅτι « Ἐδόθη μοι ἡ πᾶσα ἐξουσία, » καθὸ καὶ ἄκοντες καὶ ἑκόντες νῦν ἐπιγινώσκουσί με Θεὸν, οἱ πρώην κατὰ τὸν τῆς ἀκουσίου ὑποταγῆς τρόπον δουλεύοντές μοι· εἰ δὲ ὡς ἀπὸ τῆς ἀνθρωπίνης φύσεως λεγόμενον, οὕτω νόει, ὅτι Ἐγὼ ἡ πρώην κατάκριτος φύσις, κατὰ δὲ τὴν πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ ἀσύγχυτον ἕνωσιν Θεὸς οὖσα, ἔλαβον τὴν ἐξουσίαν κατὰ πάντων, ὥστε προσκυνεῖσθαι ὑπ' ἀγγέλων ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς δοξάζεσθαι ὑπὸ τῶν περάτων πάντων. Ἀποστέλλει οὖν τοὺς μαθητὰς οὐκ ἔτι πρὸς τοὺς Ἰουδαίους μόνους, ἀλλ' ἐπεὶ πάντων ἔλαβε τὴν ἐξουσίαν, πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ἁγιάσας ἐν ἑαυτῷ, εἰκότως πρὸς πάντα τὰ ἔθνη πέμπει, ἐντειλάμενος βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ B ἁγίου Πνεύματος. Αἰσχυνέσθωσαν οὖν Ἄρειος καὶ Σαβέλλιος· Ἄρειος μὲν, καθ' ὃ οὐκ εἶπεν ὁ Χριστὸς εἰς τὰ ὀνόματα βαπτίζειν, ἀλλ' εἰς τὸ ὄνομα· ὄνομα δὲ τῶν τριῶν ἕν, ὁ θεότης· εἷς οὖν Θεὸς τὰ τρία. Σαβέλλιος δὲ, καθ' ὃ καὶ τῶν τριῶν προσώπων ἐμνήσθη ὁ Κύριος, οὐχ ἑνὸς προσώπου, ὡς ἐκεῖνος ἐμφλυάρει, τὰ τρία ὀνόματα ἔχοντος, καὶ ποτὲ μὲν καλουμένου Πατρὸς, ποτὲ δὲ Υἱοῦ, ποτὲ δὲ Πνεύματος· ἀλλὰ τριῶν μᾶλλον προσώπων ἓν ὄνομα ἐχόντων, τὸ Θεός. Εἶτα ἐπεὶ οὐκ ἀρκεῖ τὸ βαπτισθῆναι μόνον, ἀλλὰ δεῖ καὶ ἐργάζεσθαι τὸ ἀγαθὸν μετὰ τὸ βάπτισμα, φησί· Διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν, οὐκ ἓν ἢ δύο, ἀλλὰ πάντα τὰ ἐντάλματά μου. Φρίξωμεν οὖν, ἀδελφοὶ, ἐννοοῦντες ὅτι ἐὰν ἓν λείπῃ ἡμῖν, οὐκ ἐσμὲν τέλειοι δοῦλοι τοῦ Χριστοῦ. Πάντα γὰρ ἀπαιτούμεθα φυ- C λάττειν. Ὅρα δὲ τὴν τοῦ Κυρίου διάλεξιν, πῶς ἀμφότερα τὰ κεφάλαια τοῦ Χριστιανισμοῦ περιέχει, θεολογίαν καὶ πρακτικὴν ἀρετήν· εἰπὼν μὲν γὰρ, ὅτι δεῖ βαπτίζειν εἰς τὸ ὄνομα τῆς Τριάδος, τὴν θεολογίαν ἡμῖν παρέδωκεν· εἰπὼν δὲ διδάσκειν καὶ τὸ τὰς ἐντολὰς τηρεῖν, τὴν πρακτικὴν ἀρετὴν ἡμῖν εἰσηγήσατο. Παραθαῤῥύνων δὲ αὐτοὺς, ἐπειδὴ ἀπέστελλεν εἰς ἔθνη καὶ εἰς σφαγὰς καὶ κινδύνους, φησὶν ὅτι, Μὴ φοβεῖσθε· ἐγὼ γὰρ ἔσομαι μεθ' ὑμῶν ἄχρι τῆς συντελείας τοῦ αἰῶνος. Ὅρα δὲ καὶ τοῦτο, πῶς ἐμνήσθη τῆς συντελείας, ἵνα διαναστήσῃ αὐτοὺς μᾶλλον καταφρονεῖν τῶν δεινῶν. Μὴ δυσχεράνητε γὰρ, φησί· συντέλειαν ἔξουσι πάντα, εἴτε ἀλγεινὰ εἶεν κοσμικὰ, εἴτε ἀγαθὰ, ὥστε μήτε τοῖς ἀλγεινοῖς D ὑποπέσητε· παρέρχονται γάρ· μήτε τοῖς ἀγαθοῖς ἀπατηθῆτε, συντελοῦνται γάρ. Οὐ μόνοις δὲ τοῖς ἀποστόλοις τοῦτο ὑπέσχετο, τὸ συνεῖναι αὐτοῖς, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς τοῖς αὐτοῦ μαθηταῖς. Οὐ γὰρ δήπου οἱ ἀπόστολοι ἄχρι τῆς συντελείας ἔμελλον ζῆν. Καὶ ἡμῖν οὖν καὶ τοῖς μεθ' ἡμᾶς ὑπισχνεῖται τοῦτο, οὐκ ἄχρι δὲ τῆς συντελείας παρών, μετὰ τὴν συντέλειαν ἀπέσται, ἄπαγε. Ἔκτοτε γὰρ μᾶλλον συνέσται καθαρώτερον καὶ τρανότερον· τὸ γὰρ, Ἕως, οὐ τὸ μετὰ ταῦτα ἀναιρεῖ, ἔνθα ἂν εὑρεθῇ κείμενον ἐν τῇ Γραφῇ. Εὐχαριστήσαντες οὖν τῷ Κυρίῳ τῷ ἐνταῦθα συνόντι ἡμῖν, καὶ πᾶν ἀγαθὸν χορηγοῦντι, καὶ πάλιν συνεσομένῳ τελεώτερον

A nolentes me Deum nunc agnoscunt, qui prius mihi serviebant involuntariæ obedientiæ modo. Si autem de humana natura dicitur, sic intellige: Ego prius condemnata natura, ex sistens autem Deus secundum unionem ad Filium Dei absque naturarum confusione accepi potestatem super omnia, ita ut et ab angelis in cœlo adorer, et super terram ab omnibus finibus terræ glorificer. Cæterum apostolos non jam ad solos Judæos mittit: sed quia omnem potestatem accepit, omnemque humanam naturam sanctificavit in seipso, merito ad omnes gentes mittit, præcipiens baptizare in nomine Patris, et Filii, et Spiritus sancti. Confundantur Arius et Sabellius: Arius quidem, eo quod Christus non jussit B in nominibus baptizare, sed in nomine. Nomen autem trium unum, nempe deitas. Unus igitur Deus, tres. Sabellius vero, eo quod trium personarum meminit Dominus, non unius personæ, sicut ille nugatur tria nomina habere eumdem, et nunc vocari Patrem, nunc Filium, nunc Spiritum sanctum sed: tres personæ unum potius habent nomen. Dei scilicet. Deinde quia non sufficit baptizari tantum, sed etiam bene operandum est post baptisma, dicit: « Docentes eos servare omnia quæcunque præcepi vobis, » non unum vel duo, sed omnia mandata mea. Horrescamus et timeamus, fratres, quia si unum nobis defecerit, non sumus perfecti servi Christi. Omnia enim exiguntur ut serventur. Vide autem Domini sermonem, quomodo utrumque Christianismi caput complectatur: contemplativam et prac- C ticam virtutem. Dicendo quidem quod oporteat baptizari in nomine Trinitatis contemplativam nobis tradidit: dicendo autem quod oporteat docere et mandata tenere, practicam introduxit. Confirmat quoque et animat illos, eo quod mittat ad gentes, et in mortem ac pericula, dicens: Nolite timere; ego enim vobiscum erousque ad consummationem sæculi. Vide et istud, quomodo memor fuerit consummationis, ut magis illos excitet, ad contemnendum [illegible] gravia. Ne gravatim feratis: finem enim habitura sunt omnia mundana, sive aspera sint, sive prospera: atque ideo ne succumbatis in adversis: prætereunt enim: neque prosperis decipiamini: finem enim habitura sunt. Non solum autem hoc D apostolis est pollicitus, quod cum ipsis sit, sed simpliciter discipulis suis omnibus. Neque enim apostoli usque ad finem mundi victuri erant: unde et nobis, et his qui post nos erunt, promisit hoc: non quod usque ad consummationem præsens, post consummationem mundi abfuturus sit, absit. Tunc enim magis nobis aderit, et clarius, et mundius. Nam ubi Donec vel Usque in Scriptura invenitur, non adimit quod posterius. Quocirca gratias agamus Domino, qui et nunc nobiscum est, et omne bonum suppeditat, et iterum nobiscum erit perfectius post consummationem. Itaque nos quoque hoc loco enarrationem absolvamus. Ipsum enim omnis gratiarum actio, gloria et honor decet in sæcula sæculorum. Amen.

μετὰ τὴν συντέλειαν, συντελέσωμεν ἐνταῦθα τὴν ἐξήγησιν· αὐτῷ γὰρ πρέπει πᾶσα εὐχαριστία, καὶ δόξα, καὶ τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Commentariorum Theophylacti in Evangelium Matthæi finis.*

A Τέλος τῆς εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἑρμηνείας Θεοφυλάκτου.

# ΘΕΟΦΥΛΑΚΤΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

## ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ ΕΥΑΓΓΕΛΙΟΝ.

—

# THEOPHYLACTI

## ARCHIEPISCOPI BULGARIÆ

## ENARRATIO IN EVANGELIUM MARCI

—

### 168 VITA B. MARCI

*Secundum Sophronium.*

Marcus, Petri discipulus et interpres, postquam ejusdem Petri auditor fuisset, a fratribus, qui Romæ erant, accersitus, brevi Evangelium composuit, quod nactus Petrus approbavit, atque Ecclesiæ legendum sua auctoritate dedit (*a*), quemadmodum scripsit Clemens libro sexto Informationum. Papias item Hierapolitanus episcopus ejusdem Marci mentionem fecit. Demum Petrus in Epistola prima, sub nomine Babylonis metaphorice Romam significans: Salutat vos, inquit, Ecclesia in Babylone collecta, et Marcus filius meus. Accepto igitur quod scripserat Evangelio, Ægyptum aggreditur, et primus Alexandriæ Jesum Christum prædicans, C Ecclesiam instituit. Ubi tanta doctrina vitæque tolerantia excelluit, ut quotquot eum frequentes audierint, illo duce Christum secuti sint. Unde Philo ipse Judæorum eloquentissimus, cum Alexandriæ primam Ecclesiam adhuc Judaizantem vidisset, velut in laudem propriæ gentis librum conscripsit de ejus vitæ institutis. Et quemadmodum Lucas narrat primos Hierosolymæ fideles omnia habuisse communia, ita et ipse memoriæ mandavit quæ Alexandriæ a Marco doctore facta viderat. Obiit octavo imperii Neronis anno, et Alexandriæ sepultus est cui successit Ananias.

B

### ΒΙΟΣ ΤΟΥ ΜΑΡΚΟΥ

Κατὰ Σωφρόνιον.

Μάρκος, μαθητὴς καὶ ἑρμηνευτὴς Πέτρου, καθὼς τοῦ Πέτρου ἐξηγουμένου, ἀκήκοε, παρακληθεὶς ἐν τῇ Ῥώμῃ παρὰ τῶν ἀδελφῶν, βραχὺ συνέταξεν Εὐαγγέλιον, ὅπερ ἐντυχὼν Πέτρος ἐδοκίμασε, καὶ τῇ Ἐκκλησίᾳ ἀναγνωσθησόμενον αὐθεντίσας ἐξέδωκε, καθὰ συνεγράψατο Κλήμης ἐν τῷ ἕκτῳ τῶν Ὑποτυπώσεων λόγῳ, καὶ Παπίας Ἱεραπολίτης ἐπίσκοπος μέμνηται τούτου τοῦ Μάρκου. Καὶ Πέτρος ἐν τῇ πρώτῃ Ἐπιστολῇ, ἐπ' ὀνόματι Βαβυλῶνος, εἰκονικῶς Ῥώμην σημαίνων, Ἀσπάζεται ὑμᾶς, φησὶν, ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ Μάρκος ὁ ἐμὸς υἱός. Παραλαβὼν τοιγαροῦν τὸ Εὐαγγέλιον, ὅπερ αὐτὸς συνέταξε, καταλαμβάνει τὴν Αἴγυπτον, καὶ πρῶτος ἐν Ἀλεξανδρείᾳ Ἰησοῦν Χριστὸν κηρύττων, κατεστήσατο Ἐκκλησίαν. Τοσαύτῃ παιδεύσει καὶ βίου καρτερίᾳ διέπρεψεν, ὥστε πάντας τοὺς ἀκολουθοῦντας τῷ Χριστῷ ἕπεσθαι τῇ τούτου διαγωγῇ· ὅθεν καὶ Φίλων, ὁ τῶν Ἰουδαίων ἐλλογιμώτατος, ὁρῶν ἐν Ἀλεξανδρείᾳ πρώτην Ἐκκλησίαν ἔτι Ἰουδαΐζουσαν, ὡσανεὶ εἰς ἔπαινον τοῦ οἰκείου ἔθνους, βίβλον περὶ τῆς τούτων διαγωγῆς συνεγράψατο. Καὶ ὥσπερ Λουκᾶς διηγεῖται τοὺς ἐν Ἱεροσολύμοις πιστεύσαντας πάντα ἐσχηκέναι κοινὰ, οὕτω κἀκεῖνος ὅπερ ἐν Ἀλεξανδρείᾳ ἐπὶ Μάρκου τοῦ διδασκάλου ἑώρα γινόμενον, τῇ μνήμῃ παρέδωκε. Τελευτήσας δὲ τῷ ὀγδόῳ τοῦ Νέρωνος ἔτει, ἀπετέθη ἐν Ἀλεξανδρείᾳ, διαδεξαμένου αὐτὸν Ἀνανίου.

(*a*) Edit. Lut. *Quem nactus Petrus approbavit, atque Ecclesiæ cum lectoris dignitate præfecit*: nempe contra fidem textus Græci, et contra Latinum S. Hieronymi textum in libro *De viris illustribus*, quem Græce vertit Sophronius. Vide præviam Dissertationem capite IX, num. 36.

### ΒΙΟΣ ΤΟΥ ΜΑΡΚΟΥ A

*Ἐκ τῆς τοῦ Δωροθέου μάρτυρος καὶ Τυρίων ἐπισκόπου Συνόψεως.*

Μάρκος ὁ εὐαγγελιστὴς, καὶ πρῶτος Ἀλεξανδρείας ἐπίσκοπος, Ἀλεξανδρεῦσι καὶ πάσῃ τῇ περιχώρῳ αὐτῆς ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου, ἀπὸ Αἰγύπτου καὶ μέχρι Πενταπόλεως, ἐπὶ τῆς βασιλείας Τραϊανοῦ, ἐν Ἀλεξανδρείᾳ κάλων λαβὼν κατὰ τοῦ τραχήλου καὶ συρεὶς ἀπὸ τῶν καλουμένων Βουκόλου τόπων, ἕως τῶν καλουμένων Ἀγγέλων, ἐκεῖ ἐκάη πυρὶ ὑπὸ τῶν εἰδωλομανῶν, μηνὶ Φαρμουθὶ, καὶ ἐκεῖ ἐτάφη ἐν τοῖς Βουκόλου.

### ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΚΑΤΑ ΜΑΡΚΟΝ ΕΥΑΓΓΕΛΙΟΥ.

αʹ. Περὶ Ἰωάννου τοῦ βαπτίσαντος τὸν Κύριον ἐν τῷ Ἰορδάνῃ. Περὶ τῆς τοῦ Πέτρου καὶ Ἀνδρέου καὶ τῶν υἱῶν Ζεβεδαίου κλήσεως. Περὶ B τοῦ δαιμονιζομένου. Περὶ τῆς πενθερᾶς τοῦ Πέτρου. Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων. Περὶ τοῦ λεπροῦ.

βʹ. Περὶ τοῦ παραλυτικοῦ. Περὶ τοῦ Ἰησοῦ συνεσθίοντος τοῖς τελώναις. Περὶ τῶν μαθητῶν τιλλόντων τοὺς στάχυας ἐν Σαββάτῳ.

γʹ. Περὶ τοῦ ξηρὰν ἔχοντος χεῖρα. Περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς. Περὶ μητρὸς καὶ ἀδελφῶν.

δʹ. Περὶ τοῦ σπόρου παραβολή. Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.

εʹ. Περὶ τοῦ λεγεῶνος. Περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου. Περὶ τῆς αἱμοῤῥοούσης.

ϛʹ. Περὶ τῆς τῶν ἀποστόλων διαταγῆς. Περὶ C Ἰωάννου καὶ Ἡρώδου. Περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων. Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

ζʹ. Περὶ τῶν μαθητῶν ἀνίπτοις χερσὶν ἐσθιόντων. Περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ Θεοῦ. Περὶ τῆς Συροφοινικίσσης. Περὶ τοῦ Σαββάτου.

ηʹ. Περὶ τῶν ἑπτὰ ἄρτων. Περὶ τῶν ζητούντων σημεῖον. Περὶ τῆς ζύμης τῶν Φαρισαίων. Περὶ τοῦ τυφλοῦ. Περὶ τῆς ἐν Καισαρείᾳ ἐπερωτήσεως, Περὶ τῆς ἐπιτιμήσεως Πέτρου.

θʹ. Περὶ τῆς μεταμορφώσεως τοῦ Ἰησοῦ. Περὶ τοῦ σεληνιαζομένου. Περὶ τῶν διαλογιζομένων, τίς μείζων. Περὶ τοῦ ἀφελεῖν τὸ σκάνδαλον.

ιʹ. Περὶ τῶν ἐπηρωτησάντων, εἰ ἔξεστιν ἀπολύειν D τὴν γυναῖκα. Περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰησοῦν. Περὶ τῶν υἱῶν Ζεβεδαίου. Περὶ τοῦ Βαρτιμαίου.

ιαʹ. Περὶ τοῦ πώλου. Περὶ τῆς ξηρανθείσης συκῆς. Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ τραπεζιτῶν. Περὶ τοῦ θάρσους πρὸς τὸν Θεόν. Περὶ τῆς ἀμνησικακίας. Περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον ἀρχιερέων καὶ πρεσβυτέρων.

ιβʹ. Περὶ τοῦ ἀμπελῶνος. Περὶ τῶν ἐπερωτησάντων Κύριον διὰ τὸν κῆνσον. Περὶ τῶν Σαδδου-

### 170 VITA B. MARCI

*Ex Synopsi Dorothei martyris et Tyriorum episcopi.*

Marcus evangelista, et primus Alexandriæ episcopus, Alexandrinis et omni circa regioni Evangelium Domini prædicavit, ab Ægypto usque Pentapolim. Sub imperio Trajani, Alexandriæ injecto per collum fune ab insanis idolorum cultoribus raptatus est a loco Bubulci dicto usque ad eum qui dicitur Angelorum, ubi igne crematus est, mense Pharmuthi, et ibidem sepultus.

### 171 *SUMMA CAPITUM EVANGELII SECUNDUM MARCUM.*

1. *De Joanne Christum baptizante in Jordane. De vocatione Petri, Andreæ et filiorum Zebedæi. De dæmoniaco. De socru Petri. De curatione multorum a variis morbis. De leproso.*

2. *De paralytico. De Jesu cum publicanis comedente. De discipulis vellentibus spicas in Sabbato.*

3. *De eo cui arida erat manus. De electione apostolorum. De matre et fratribus.*

4. *Parabola de semine. De increpatione aquarum.*

5. *De legione dæmonum. De filia principis Synagogæ. De hæmorrhousa.*

6. *De ordine apostolorum. De Joanne et Herode. De quinque panibus et duobus piscibus. De ambulatione supra mare.*

7. *De discipulis illotis manibus comedentibus. De transgressione mandatorum Dei. De syrophœnissa. De Sabbato.*

8. *De septem panibus. De quærentibus signum. De fermento Pharisæorum. De cæco. De interrogatione Cæsareæ facta. De increpatione Petri.*

9. *De transfiguratione Jesu. De lunatico. De sermocinantibus, quis major. De vitando scandalo.*

10. *De interrogantibus, num liceret dimittere uxorem. De divite Jesum interrogante. De filiis Zebedæi. De Bartimæo.*

11. *De pullo. De arefacta ficu. De fugatis e templo mensariis. De fiducia in Deum. De injuriarum oblivione. De principibus sacerdotum et presbyteris Dominum interrogantibus.*

12. *Parabola de vinea. De interrogantibus Dominum propter censum. De Sadducæis. De Scriba.*

*De interrogatione Domini. Quod cavendum sit ab hypocritis. De muliere cum duobus minutis.*

13. *De consummatione. De die et hora.*

172 14. *De muliere Domini pedes ungente. De Paschate. De traditione Christi. De negatione Petri. De impositis Christo coram principe sacerdotum calumniis.*

15. *De tormentis quæ sub Pilato perpessus est. De consuetudine. De petitione corporis Domini. De sepultura.*

16. *De resurrectione Christi. Quibus post surrectionem Dominus apparuit. Quomodo apostolis Evangelii prædicationem demandavit.*

καίων. Περὶ τοῦ Γραμματέως. Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως. Περὶ τοῦ τοὺς ὑποκριτὰς εὐλαβεῖσθαι Περὶ τῆς τὰ δύο λεπτὰ λαβούσης χήρας.

ιγ'. Περὶ τῆς συντελείας. Περὶ τῆς ἡμέρας καὶ ὥρας.

ιδ'. Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ. Περὶ τοῦ Πάσχα. Περὶ τῆς τοῦ Χριστοῦ παραδόσεως. Περὶ τῆς ἀρνήσεως Πέτρου. Περὶ τῶν τῷ Κυρίῳ παρὰ τῷ ἀρχιερεῖ ἐπιτεθεισῶν αἰτιῶν.

ιε'. Περὶ ἐκείνων ἃ ἐπὶ τοῦ Πιλάτου ἔπαθεν. Περὶ ἔθους. Περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ Κυρίου. Περὶ τῆς ταφῆς.

ιϛ'. Περὶ τῆς τοῦ Χριστοῦ ἀναστάσεως. Τίσι μετὰ τὴν ἔγερσιν ὁ Κύριος ὤφθη. Πῶς τοῖς ἀποστόλοις τὴν τοῦ Εὐαγγελίου κήρυξιν διέταξεν.

---

# ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ ΕΥΑΓΓΕΛΙΟΝ.

# ENARRATIO IN EVANGELIUM MARCI.

## 173 PRÆFATIO.

Evangelium secundum Marcum, post decem annos assumpti Christi, Romæ conscriptum est. Erat autem hic Marcus Petri discipulus, quem etiam Petrus semper filium suum spiritualem nominat. Vocabatur et Joannes. Patruelis vero erat Barnabæ, fuit item et in Pauli comitatu. Quoniam igitur plurimum versabatur cum Petro, idque Romæ : rogatus est a fidelibus qui Romæ erant, ne tantum prædicaret absque Scripturis, sed et res Christi litteris proderet. Itaque vix persuasus, conscripsit. Porro a Deo revelatum fuit Petro quod Marcus conscripsisset Evangelium. Proinde cum vidisset, et verum esse confirmasset, deinde in Ægyptum misit illum, ut episcopatu fungeretur. Ubi cum prædicasset, et Ecclesiam Alexandrinam constituisset, omnes qui meridianam mundi partem habitabant, fide illustravit. Est autem character Evangelii manifestus, nihilque habet quo mens

## ΠΡΟΟΙΜΙΟΝ.

Τὸ κατὰ Μάρκον Εὐαγγέλιον, μετὰ δέκα ἔτη τῆς τοῦ Χριστοῦ ἀναλήψεως συνεγράφη ἐν Ῥώμῃ (37)· ἦν μὲν γὰρ οὗτος ὁ Μάρκος Πέτρου μαθητὴς, ὃν καὶ υἱὸν αὐτοῦ ὁ Πέτρος ὀνομάζει, πνευματικὸν πάντως. Ἐκαλεῖτο δὲ καὶ Ἰωάννης· ἀνεψιὸς δὲ Βαρνάβα, ἀλλὰ καὶ Παύλου συνέκδημος· (38) τέως μέντοι Πέτρῳ συνὼν τὰ πλεῖστα, καὶ ἐν Ῥώμῃ· ἠτήσαντο οὖν αὐτὸν οἱ ἐν Ῥώμῃ πιστοὶ, μὴ μόνον ἀγράφως κηρύσσειν, ἀλλὰ καὶ ἐγγράφως αὐτοῖς ἐκθέσθαι τὴν κατὰ Χριστὸν πολιτείαν. Μόλις οὖν πεισθεὶς συνεγράψατο· τῷ δὲ Πέτρῳ ἀπεκαλύφθη παρὰ Θεοῦ, ὅτι Μάρκος συνέγραψεν Εὐαγγέλιον. Ἰδὼν οὖν, καὶ ἐπιβεβαιώσας ὡς ἀληθὲς, εἶτα ἐπίσκοπον αὐτὸν ἐξαπέστειλεν εἰς Αἴγυπτον· ἔνθα δὴ καὶ κηρύξας, ἐν Ἀλεξανδρείᾳ τε Ἐκκλησίαν συστησάμενος, τοὺς πρὸς τῷ μεσημβρινῷ κλίματι πάντας ἐφώτισεν. Ἔστιν οὖν ὁ χαρακτὴρ τοῦ Εὐαγγελίου σαφὴς, καὶ οὐδὲν ἔχων περινενοημένον· σχεδὸν δὲ καὶ κατὰ πάν-

Ex collatione codd. Venet. S. Marci.

(37) Cod. 26 ἐν Ῥώμῃ, ὡς ἱστορεῖ Κλήμης ὁ Στρωματεὺς, κατὰ δὲ Χρυσόστομον ἐν Αἰγύπτῳ. Ἦν μὲν γὰρ, κ. τ. λ. « Ut narrat Clemens Stromatum auctor : juxta autem Chrysostomum, in Ægypto. Erat autem, » etc.

(38) Cod. 26 addit Υἱὸς δὲ γέγονε Μαρίας τῆς δεξιωσαμένης ἐν τῇ αὐτῆς οἰκίᾳ τοὺς ἀποστόλους, ὡς ἐν ταῖς Πράξεσι γέγραπται, Συνιδὼν γὰρ, φησὶ, Πέτρος ἦλθεν ἐπὶ τὴν οἰκίαν τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου. Τέως μέντοι, κ. τ. λ. « Erat autem filius Mariæ, quæ apostolos in domo sua excepit, ut in Actibus apostolorum (XII, 12) scribitur : *Consideransque*, ait, *venit* Petrus *ad domum Mariæ matris Joannis, qui cognominatus est Marcus*. Quoniam igitur, » etc.

τὰ τῷ Ματθαίῳ συντρέχει ὁ παρὼν εὐαγγελιστής, πλὴν ὅσον ὁ Ματθαῖος πλατύτερος, καὶ ὅτι ὁ μὲν Ματθαῖος, τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου ἐν ἀρχῇ μνημονεύει· οὗτος δὲ ἀπὸ τοῦ προφήτου Ἰωάννου ἤρξατο· ὅθεν τινὲς (εἰ καὶ περιεργότερον δοκεῖ) τοιοῦτόν τι νόημα εἶπον ἐπὶ τοῖς εὐαγγελισταῖς· Ὁ ἐπὶ τῶν Χερουβὶμ καθήμενος Θεὸς, ἃ τετραπρόσωπα ἡ Γραφὴ λέγει, παρέδωκεν ἡμῖν τετράμορφον καὶ τὸ Εὐαγγέλιον, ἑνὶ πνεύματι συνεχόμενον. Ὥσπερ οὖν τῶν Χερουβὶμ ἕκαστον, ἓν μὲν πρόσωπον εἶχεν ὅμοιον λέοντι, ἕτερον δὲ ἀνθρώπῳ, καὶ ἕτερον ἀετῷ, καὶ ἕτερον μόσχῳ· οὕτω καὶ ἡ τοῦ εὐαγγελικοῦ κηρύγματος πραγματεία. Τὸ μὲν γὰρ κατὰ Ἰωάννην Εὐαγγέλιον ἔχει λέοντος πρόσωπον· βασιλικὸν γὰρ ὁ λέων καὶ ἡγεμονικόν· ὁμοίως οὖν καὶ ὁ Ἰωάννης ἀπὸ τοῦ βασιλικοῦ καὶ δεσποτικοῦ ἀξιώματος τῆς θεότητος τοῦ Λόγου ἤρξατο, εἰπών· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ Θεὸς ἦν ὁ Λόγος. » Τὸ δὲ κατὰ Ματθαῖον ἀνθρωπόμορφον· ἀπὸ γὰρ τῆς κατὰ σάρκα γεννήσεως καὶ ἐνανθρωπήσεως τοῦ Λόγου ἤρξατο. Τὸ δὲ κατὰ Μάρκον, ἀετῷ παρεικαζόμενον· ἀπὸ γὰρ προφήτου ἤρξατο τοῦ Ἰωάννου· ἡ δὲ προφητικὴ χάρις, προορατικὴ οὖσα, καὶ ὀξέως τὰ πόῤῥω βλέπουσα, ὡς ἀετός ἐστι. Φασὶ γὰρ τὸν ἀετὸν ὀξυδερκέστατον εἶναι, ὥστε καὶ μόνον τῶν ἄλλων ζώων, πρὸς τὸν ἥλιον δύνασθαι ἀτενίζειν μὴ καμμύοντα. Μόσχῳ δὲ ὅμοιον τὸ κατὰ Λουκᾶν, διότι ἀπὸ τῆς ἱερατείας τοῦ Ζαχαρίου ἤρξατο, ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ θυμιῶντος· καὶ μόσχος δὲ ἦν ὁ θυόμενος τότε. Ἄρχεται οὖν ὁ Μάρκος τοῦ Εὐαγγελίου ἀπὸ τῆς τοῦ Προδρόμου διαγωγῆς καὶ ἐνδείξεως. Ἄκουε οὖν τί φησί.

KEΦΑΛ. Α'.

Περὶ Ἰωάννου τοῦ βαπτίσαντος τὸν Κύριον ἐν τῷ Ἰορδάνῃ. Περὶ τῆς τοῦ Πέτρου καὶ Ἀνδρέου, καὶ τῶν υἱῶν Ζεβεδαίου κλήσεως. Περὶ τοῦ δαιμονιζομένου. Περὶ τῆς πενθερᾶς τοῦ Πέτρου. Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων. Περὶ τοῦ λεπροῦ.

« Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ, ὡς γέγραπται ἐν τοῖς προφήταις· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Ἰωάννην τὸν τελευταῖον τῶν προφητῶν, ἀρχὴν εἶναι τοῦ Εὐαγγελίου τοῦ Υἱοῦ τοῦ Θεοῦ φησι. Τὸ γὰρ τέλος τῆς Παλαιᾶς, ἀρχὴ τῆς Νέας Διαθήκης· ἡ δὲ μαρτυρία ἡ περὶ τοῦ Προδρόμου ἀπὸ δύο προφητῶν ἐλήφθη. Τοῦ μὲν γὰρ Μαλαχίου ἐστὶ τὸ, Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου· τοῦ δὲ Ἡσαΐου, τὸ, Φωνὴ βοῶντος, καὶ τὰ ἑξῆς. Ἀπὸ δὲ τοῦ Θεοῦ καὶ Πατρὸς πρὸς τὸν Υἱόν ἐστιν ὁ λόγος, λέγοντος ἄγγελον εἶναι τὸν Πρόδρομον, διὰ τὸ ἀγγελικὴν καὶ σχεδὸν ἄϋλον ἔχειν ζωὴν, καὶ τὸ ἀγγέλλειν καὶ μηνύειν τὸν Χριστὸν ἐρχόμενον· κατασκευάσαι δὲ τὴν ὁδὸν τοῦ Κυρίου, τὰς ψυχὰς τῶν Ἰουδαίων διὰ τοῦ βαπτίζειν παρασκευάζων δέξασθαι τὸν Χριστόν· τὸ δὲ, πρὸ προσώπου σου, τοῦτο σημαίνει, ὅτι Ἐγγύς σου ἔσται

A hæreat. Et ferme per omnia cum Matthæo eumdem habet processum hic evangelista, nisi quod Matthæus diffusior, et quod nativitatis Christi secundum carnem, ab initio est memor : hic autem a propheta Joanne cœpit. Unde quidam, tametsi curiosius id videatur, talem sententiam super evangelistis dederunt, quod Deus sedens super Cherubim, quæ Scriptura quatuor faciebus delineat, tradiderit nobis quadriforme Evangelium, uno tamen spiritu comprehensum. Igitur sicut ex Cherubim unum, faciem habuit leoni similem, aliud autem homini, et aliud aquilæ, et aliud vitulo: ita est et Evangelicæ prædicationis negotium. Evangelium enim Joannis **174** leonina facie est. B Ut enim leo regium et principale animal est, sic et Joannes a regia et principali dignitate Verbi divini exorsus est, dicens : « In principio erat Verbum, et Deus erat Verbum. » Evangelium autem Matthæi faciem gerit hominis, eo quod evangelista ille ab incarnatione Verbi et nativitate carnis cœpit. Porro Marcum aquilæ assimilamus, a propheta enim Joanne incœpit. Et prophetica gratia, quia videt procul sita acute, aquila est. Aiunt enim aquilam perspicassimis oculis esse, ita ut sola ex aliis avibus solem intuens, non caliget. Denique Evangelium Lucæ vitulo simile fuerit, quoniam ille a sacerdotio Zachariæ auspicatus est, pro peccatis populi incensum facientis et sacrificantis. Vitulus autem tunc sacrificabatur. Exorditur C itaque Marcus Evangelium suum a Præcursoris vita et revelatione. Audi igitur quid dicat.

CAPUT I.

*De Joanne Christum baptizante in Jordane. De vocatione Petri, Andreæ, et filiorum Zebedæi. De dæmoniaco. De socru Petri. De curatione multorum a variis morbis. De leproso.*

VERS. 1-3. « Initium Evangelii Jesu Christi Filii Dei, sicut scriptum est in prophetis : Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te. Vox clamantis in deserto: Parate viam Domini, rectas facite semitas ejus. » Joannem ultimum prophetarum, initium Evangelii D Filii Dei esse dicit. Finis enim Veteris, initium est Novi Testamenti. Testimonium autem de Præcursore ex duobus prophetis est sumptum. Malachiæ enim est : Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te. Isaiæ autem : Vox clamantis in deserto, etc. Sermo est Dei Patris ad Filium, dicentis angelum esse præcursorem, eo quod angelicam et materiæ expertem vitam egerit, annuntiaveritque et ostenderit Christum venientem. Præparavit viam Domini, animas Judæorum per baptismum disponens ut susciperent Christum. Cæterum, ante faciem tuam, significat, prope te fore angelum tuum. Unde ostenditur familiaritas Præcursoris erga Christum. Nam proxime reges incedunt, qui familiarissimis illis sunt

Vox autem clamantis in deserto, forte in deserto Jordanis, vel forte in Synagoga Judæorum, quæ destituta erat omni bono. Via autem Novum est Testamentum : semitæ vero Vetus, ut detritæ. Itaque ad 175 viam debebant præparari, hoc est, ad Novum Testamentum. Semitas autem Veteris rectas facere, quas olim quidem susceperant, deinde perversi et claudicantes a semitis suis inventi.

ὁ ἄγγελος σου · ὅθεν δείκνυται ἡ οἰκειότης τοῦ Προδρόμου πρὸς τὸν Χριστόν · καὶ γὰρ καὶ τῶν βασιλέων ἐγγὺς προπορεύονται οἱ μάλιστα οἰκεῖοι. Φωνὴ δὲ βοῶντος ἐν τῇ ἐρήμῳ, τάχα μὲν καὶ ἐν τῇ ἐρήμῳ τοῦ Ἰορδάνου, τάχα δὲ καὶ ἐν τῇ συναγωγῇ τῶν Ἰουδαίων, ἥτις ἔρημος ἦν παντὸς ἀγαθοῦ. Ὁδὸς δὲ ἡ Νέα Διαθήκη · τρίβοι δὲ ἡ Παλαιὰ, ὡς κατατετριμμένη · πρὸς μὲν οὖν τὴν ὁδὸν ὤφελον ἑτοιμασθῆναι, τουτέστι, πρὸς τὴν Νέαν Διαθήκην, τῆς δὲ Παλαιᾶς τὰς τρίβους εὐθείας ποιῆσαι, πάλαι μὲν δεξάμενοι ταύτας, εἶτα σκολιοὶ φανέντες καὶ χωλάναντες ἀπὸ τῶν τρίβων αὐτῶν.

VERS. 4-5. « Erat Joannes baptizans in deserto, et prædicans baptisma pœnitentiæ in remissionem peccatorum. Et egrediebatur ad eum tota regio Judæa ac Hierosolymitæ, et baptizabantur omnes ab illo in Jordane flumine, confitentes peccata sua. » Baptisma Joannis non habebat remissionem peccatorum, sed pœnitentiam solam afferebat hominibus. Quo pacto igitur inquit hoc loco Marcus, in remissionem peccatorum? Dicimus quod prædicavit baptismum pœnitentiæ. Hæc autem prædicatio pœnitentiæ quodammodo (a) ferebat in remissionem peccatorum? videlicet, in Christi baptisma, quod habebat remissionem peccatorum. Ut quando dicimus, Venit quidam satelles regis prædicans ciborum præparationem, ut bene fiat his qui præparant cibos regios, non dicimus hoc, quod satelles benefacturus sit his qui præparant regios cibos, sed quod ipse prædicarit præparationem ciborum, ut hi qui illos præpararint, regemque susceperent, beneficia consequantur ab ipso. Sic igitur et hoc loco Præcursor prædicavit baptisma pœnitentiæ, ut hi qui pœnitentiam egerint, suscepto Christo remissionem peccatorum consequantur.

« Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν · καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. » Τὸ βάπτισμα Ἰωάννου οὐκ εἶχεν ἄφεσιν ἁμαρτιῶν, ἀλλὰ μετάνοιαν μόνην εἰσῆγε τοῖς ἀνθρώποις · πῶς οὖν φησιν ἐνταῦθα ὁ Μάρκος, ὅτι εἰς ἄφεσιν ἁμαρτιῶν ; Λέγομεν οὖν ὅτι ἐκήρυσσε βάπτισμα μετανοίας · τοῦτο δὲ τὸ κήρυγμα τῆς μετανοίας ποῦ ἔφερεν ; Εἰς ἄφεσιν ἁμαρτιῶν, τουτέστιν, εἰς τὸ τοῦ Χριστοῦ βάπτισμα, ὃ εἶχεν ἄφεσιν τῶν ἁμαρτιῶν · (39) ὥσπερ ὅταν λέγωμεν, Ἦλθεν ὁ δεῖνα δορυφόρος τοῦ βασιλέως κηρύσσων βρωμάτων παρασκευὴν εἰς εὐεργεσίαν τῶν παρασκευαζόντων, οὐ τοῦτο λέγομεν, ὅτι ὁ δορυφόρος εὐεργετῆσαι μέλλει τοὺς παρασκευάζοντας τὰ βασιλικὰ βρώματα, ἀλλ' ὅτι αὐτὸς ἐκήρυσσε τὴν παρασκευὴν τῶν βρωμάτων, ἵνα οἱ ταύτην ἑτοιμάσαντες, ὑποδεξάμενοι τὸν βασιλέα, εὐεργετηθῶσιν ὑπ' αὐτοῦ · οὕτως οὖν κἀνταῦθα ὁ Πρόδρομος ἐκήρυσσε βάπτισμα μετανοίας, ὡς ἂν οἱ μετανοήσαντες δεξάμενοι τὸν Χριστὸν ἄφεσιν ἁμαρτιῶν λάβωσιν.

VERS. 6. « Erat autem Joannes vestitus pilis cameli, et zona pellicea circa lumbos suos, vescebaturque locustis ac melle silvestri. » Diximus de his apud Matthæum, et nunc quoque dicemus quæ illic prætermissa sunt, quia luctus symbolum erat indumentum, monstrante Propheta quod oporteat lugere pœnitentem. Saccus enim ad luctum pertinet. Pellicea vero zona mortificationem declarat Judaici populi. Quod autem luctum indicet stola, inquit Dominus, Lugubria cecinimus vobis, et non planxistis : per lamentum, Præcursoris vitam significans; dicit enim, Venit Joannes neque comedens neque bibens, et dixistis, Dæmonium habet. Sed omnino quidem et hic cibus Joannis continentiam manifestat : fortassis autem et indicium erat spiritualis alimoniæ populi qui tunc erat, qui non comedebat puras quasdam cœli volucres, neque

« Ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον. » Εἴπομεν περὶ τούτων ἐν τῷ κατὰ Ματθαῖον, καὶ νῦν δὲ ἐροῦμεν, ὅσα ἐκεῖ παραλέλειπται, ὅτι πένθους σύμβολον ἦν τὸ ἔνδυμα, δεικνύντος τοῦ προφήτου ὅτι δεῖ πενθεῖν τὸν μετανοοῦντα. Πένθους γὰρ ὁ σάκκος · ἡ δὲ δερματίνη ζώνη, τὴν νέκρωσιν δηλοῖ τοῦ Ἰουδαϊκοῦ λαοῦ. Ὅτι δὲ πένθος ἐδήλου ἡ στολὴ, φησὶ καὶ ὁ Κύριος, Ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε, θρήνων λέγων τὴν τοῦ Προδρόμου πολιτείαν. Φησὶ γὰρ, Ἦλθεν Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων, καὶ εἴπατε · Δαιμόνιον ἔχει · ἀλλὰ καὶ ἡ τροφὴ τοῦ Ἰωάννου, πάντως μὲν καὶ τὴν ἐγκράτειαν αὐτόθεν δηλοῖ. Τάχα δὲ καὶ τῆς τότε τοῦ λαοῦ λογικῆς τροφῆς σύμβολον ἦν, οὐκ ἐσθίοντός τι τῶν καθαρῶν πετεινῶν τοῦ οὐρανοῦ, οὐδὲ νοοῦντός τι ὑψηλὸν, ἀλλὰ τρεφο-

Ex collatione codd. Venet. S. Marci.

(39) Cod. 26 addit : Πρὸ γὰρ τοῦ Σωτῆρος οὐδαμοῦ φαίνεται δοθεῖσα ἄφεσις ἁμαρτιῶν, ἀλλ' αὐτὸς πρῶτος ὁ Χριστὸς τοῦτο τὸ δῶρον ἐχαρίσατο διά τε ἑαυτοῦ καὶ διὰ τοῦ ἰδίου βαπτίσματος. Δῆλον οὖν ὅτι τὸ βάπτισμα Ἰωάννου προπαρασκευὴ ἦν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν. Ὥσπερ ὅταν λέγωμεν, κ. τ. λ. « Etenim ante Salvatoris adventum nullibi apparet data remissio peccatorum : sed primus hocce donum largitus est Christus cum per sese, tum per baptisma suum. Unde manifestum est, baptismum Joannis preparationem quamdam fuisse ad remissionem peccatorum. Ut quando dicimus, » etc.

(a) In Græco textu, ποῦ. Fotasse, ποῖ Edit. Lut. *Hoc est, prædicavit quo ferret baptismus pœnitentiæ, nempe in remissionem peccatorum, etc.*

μένου λόγῳ μετεωροπόρῳ μὲν δοκοῦντι καὶ ἀναπηδῶντι, καταπίπτοντι δὲ πάλιν. τοιοῦτον γὰρ ἡ ἀκρὶς, πηδῶσα ὡς ἐπὶ τὸ ὕψος, εἶτα πάλιν καταπίπτουσα. Ὥσπερ οὖν καὶ μέλι μὲν ἥσθιεν ὁ λαὸς τὸ ὑπὸ τῶν μελισσῶν γεννώμενον, τῶν προφητῶν, μὴ γεωργούμενον δὲ καὶ ἡμερούμενον διὰ τοῦ καλῶς νοεῖσθαι καὶ ζητεῖσθαι καὶ καταλαμβάνεσθαι. Εἶχον μὲν γὰρ τὰς Γραφὰς οἱ Ἑβραῖοι οἷόν τι μέλι· ἀλλ' οὐκ ἐγεώργουν αὐτὰς, οὐδὲ ἠρεύνων.

« Καὶ ἐκήρυσσε, λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ. » Οὐδὲ ἔσχατος, φησὶ, δοῦλος αὐτοῦ ἄξιός εἰμι εἶναι, ὥστε λῦσαι τὸν ἱμάντα, τουτέστι, τὸν δεσμὸν τὸν ἀπὸ λώρου τῶν ὑποδημάτων. Νοεῖται δὲ καὶ οὕτω· Πάντες οἱ ἐρχόμενοι καὶ βαπτιζόμενοι ὑπὸ Ἰωάννου, ἐλύοντο διὰ τῆς μετανοίας ἀπὸ τοῦ δεσμοῦ τῶν ἁμαρτιῶν αὐτῶν, ἐν τῷ πιστεύειν εἰς τὸν Χριστόν. Πάντων μὲν οὖν τῶν ἄλλων ἔλυεν ὁ Ἰωάννης τοὺς ἱμάντας καὶ τοὺς δεσμοὺς τῶν ἁμαρτιῶν. Τοῦ δὲ Ἰησοῦ τὸν ἱμάντα οὐκ ἴσχυσε λῦσαι, διότι οὐδὲ εὗρεν ἱμάντα, τουτέστιν, ἁμαρτίαν ἐν αὐτῷ.

« Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην· καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτὸν, καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν· Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. » (40) Οὔτε διὰ τὸ ἀφεθῆναι τῶν ἁμαρτιῶν, ἔρχεται ὁ Ἰησοῦς ἐπὶ τὸ βάπτισμα, ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν· οὔτε ὡς Πνεύματος μεταληψόμενος· τὸ γὰρ βάπτισμα Ἰωάννου, ὡς εἶπον, ἁμαρτίας μὴ καθαῖρον, πῶς ἂν Πνεῦμα ἔδωκεν; Ἀλλὰ μὴν οὐδὲ διὰ τὸ μετανοῆσαι ἔρχεται βαπτισθησόμενος· πολλῷ γὰρ ἦν κρείττων καὶ τοῦ Βαπτιστοῦ. Διατί οὖν ἔρχεται; Ἢ πάντως ἵνα φανερωθῇ ὑπὸ Ἰωάννου τῷ λαῷ. Ἐπεὶ γὰρ πολλοὶ συνέῤῥεον, εὐδόκησεν ἐλθεῖν ὡς ἂν μαρτυρηθῇ ἐνώπιον τῶν πολλῶν τούτων, τίς ἐστι· καὶ ἅμα ἵνα πληρώσῃ πᾶσαν δικαιοσύνην, τουτέστι, πάσας τὰς ἐντολὰς τοῦ νόμου· ἐπεὶ γὰρ ἐντολὴ καὶ τοῦτο δοκεῖ, τὸ πεισθῆναι τῷ προφήτῃ βαπτίζοντι ὡς ὑπὸ Θεοῦ πεμφθέντι, πληροῖ καὶ ταύτην. Τὸ δὲ Πνεῦμα κάτεισιν, οὐχ ὅτι ἐδέετο τούτου ὁ Χριστὸς, πῶς γὰρ ὃ ἦν ἐν αὐτῷ οὐσιωδῶς μένον; ἀλλ' ἵνα μάθῃς σὺ ὅτι ὅταν βαπτίζῃ, καὶ εἰς σὲ Πνεῦμα ἅγιον ἐλεύσεται· ἅμα δὲ καὶ τοῦτο ἐνήργει ἡ τοῦ Πνεύματος κάθοδος· ἐπεὶ γὰρ εἶπεν ὁ Πατὴρ ἄνωθεν, Οὗτός ἐστιν ὁ Υἱός μου, ἵνα μὴ νομίσωσιν οἱ ἀκούοντες ὅτι περὶ τοῦ Ἰωάννου λέγει, κάτεισι τὸ Πνεῦμα ἐπὶ τὸν Ἰησουν.

sublime quiddam intelligebat, sed sermone quidem pascebatur, qui visus est in sublime saltitare, sed rursus statim decidit. Locustarum enim natura est subsaltare, iterumque decidere. Quodammodo igitur et mel quidem edebat populus, quod ab apibus, prophetis confectum, non autem agricultura partum, neque domesticum, quod bene intelligeretur, inquireretur, et comprehenderetur. Habebant quidam Scripturas Hebræi quasi mel quoddam, sed ipsi non excolebant eas neque scrutabantur.

VERS. 7-8. « Et prædicavit dicens: Venit is qui fortior me est post me, cujus calceamentorum corrigiam ut procumbens 178 solvam, non sum idoneus. Ego quidem baptizavi vos aqua, ille vero baptizabit vos Spiritu sancto. » Neque novissimus servorum ejus esse dignus sum, inquit, ita ut solvam corrigiam, hoc est, vinculum quod ex loris est calceamenti ejus. Intelligitur autem et hoc modo: Omnes qui veniebant et baptizabantur a Joanne, solvebantur per pœnitentiam a vinculo peccatorum suorum, dum credebant in Christum. Omnium igitur aliorum solvebat Joannes corrigias et vincula peccatorum: Jesu autem corrigiam solvere non potuit, eo quod non invenit corigiam, hoc est, peccatum in ipso.

VERS. 9-11. « Et factum est in diebus illis, venit Jesus a Nazareth Galilææ, et baptizatus est a Joanne in Jordane. Et statim cum ascenderet ex aqua, vidit diffindi cœlos, et Spiritum quasi columbam descendentem super illum: et vox facta est de cœlis: Tu es ille Filius meus dilectus, in quo mihi bene complacitum est. » Neque ut remitterentur sibi peccata venit Jesus ad baptisma: peccatum enim non fecit; neque ut Spiritus particeps fieret: cum enim baptisma Joannis, sicut dixi, peccata non purgaret, quomodo Spiritum dedisset? Sed neque propter pœnitentiam venit ut baptizaretur: multo enim præstantior erat Baptista. Quare igitur venit? Vel omnino ut manifestaretur a Joanne populo. Nam quia multi confluebant, apparet, quod ideo venerit, ut testimonium acciperet coram multis quis esset. Vel ut impleret omnem justitiam, hoc est, omnia mandata legis. Quoniam enim et hoc mandatum videtur, ut credatur prophetæ baptizanti, quod a Deo missus sit, implet et ipsum. Spiritus vero descendit non quod opus illo habeat Christus: quomodo enim hoc possibile, cum in eo substantialiter manet? Sed ut tu discas quod quando baptizaris, etiam in te Spiritus sanctus veniat. Interea et hoc operatur Spiritus sancti descensus: ne cum Pater superne diceret, Hic est ille Filius meus, putarent, qu audierant, quod de Joanne dixisset, descendit Spi

Ex collatione codd. Venet. S. Marci.

(40) Cod. 26 addit: Ματθαῖος μὲν ἁπλῶς ἀπὸ τῆς Γαλιλαίας εἶπε, Μάρκος δὲ ἰδικώτερον καὶ τὴν πόλιν ἐν ᾗ διέτριβε προσέθηκε. Οὔτε δὲ διὰ τὸ ἀφεθῆναι τῶν ἁμαρτιῶν, κ. τ. λ. « Matthæus quidem simpliciter dixit, *ex Galilæa*: at Marcus magis particulariter civitatem etiam in qua morabatur adjecit. At vero neque ut remitterentur sibi peccata, » etc.

ritus super Jesum, ostendens quod de hoc dictum sit. Porro cœli diffinduntur, ut discamus quod quando baptizamur, aperiantur et nobis.

VERS. 12-13. « Et continuo Spiritus illum expulit in desertum, et erat illic in deserto dies quadraginta, et tentabatur a Satana, eratque cum feris, et angeli ministrabant illi. » Docens nos Dominus non gravatim ferre, si post baptismum in tentationes inciderimus, ejus gratia ascendit in montem tentandus. Imo non ascendit, sed sursum ducitur a Spiritu sancto, demonstrans nobis, non temere nos in tentationes projicere debere, sed ferre, si impetamur. Propterea autem ascendit in montem, ut solitudine loci diabolus animosior fiat et accedat. Solet enim cum nos viderit solitarios, statim insidiari. Jam adeo invius erat locus, ut et multæ 177 feræ illic essent. Cæterum angeli ministrabant ei, cum tentatorem vicisset, quæ disces in Matthæo 72 latius.

VERS. 14-15. « Postquam autem traditus esset Joannes, venit Jesus in Galilæam, prædicans Evangelium regni Dei, et dicens : Impletum est tempus, instatque regnum Dei : resipiscite, et credite Evangelio. » Secedit in Galilæam postquam audivit Joannem comprehensum, et in carcerem conjectum, quo monstraret etiam nobis ut subducamus nos a tentationibus, et non temere nos ingeramus : ubi autem inciderimus, feramus. Apparet autem Dominus eadem prædicans quæ

δεικνύον ὅτι περὶ τούτου ἐλέχθη. Σχίζονται δὲ οἱ οὐρανοὶ, ἵνα μάθωμεν, ὅτι ὅταν βαπτισθῶμεν, ἀνοίγονται καὶ ἡμῖν (41).

« Καὶ εὐθὺς τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον, καὶ ἦν ἐκεῖ ἐν τῷ ἐρήμῳ ἡμέρας τεσσαράκοντα, πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων, καὶ ἄγγελοι διηκόνουν αὐτῷ. » Διδάσκων ἡμᾶς ὁ Κύριος μὴ δυσχεραίνειν, ἐὰν μετὰ τὸ βάπτισμα πειρασμοῖς περιπέσωμεν, τούτου ἕνεκεν ἄνεισιν εἰς τὸ ὄρος πειρασθησόμενος. Μᾶλλον δὲ οὐκ ἄνεισιν, ἀλλ' ἀνάγεται ὑπὸ τοῦ ἁγίου Πνεύματος, δεικνύων καὶ ἡμῖν, ὅτι οὐκ ἐπιπηδᾷν δεῖ τοῖς πειρασμοῖς, ἀλλ' ἐπιόντας ὑποδέχεσθαι. Διὰ τοῦτο δὲ ἀναβαίνει εἰς τὸ ὄρος, ἵνα τῇ ἐρημίᾳ τοῦ τόπου θαῤῥήσῃ ὁ διάβολος, καὶ προσέλθῃ. Εἴωθε γὰρ ὅταν ἴδῃ ἡμᾶς μεμονωμένους, τηνικαῦτα ἐπιτίθεσθαι. Ἄβατος δὲ ἦν ὁ τόπος τοσοῦτον, ὥστε καὶ θηρίων γέμειν (42)· οἱ δὲ ἄγγελοι διηκόνουν αὐτῷ μετὰ τὸ νικῆσαι τὸν πειραστὴν, καὶ ταῦτα ἐν τῷ κατὰ Ματθαῖον κεῖται πλατύτερον.

« Μετὰ δὲ τὸ παραδοθῆναι τὸν Ἰωάννην, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας τοῦ Θεοῦ, καὶ λέγων, ὅτι Πεπλήρωται ὁ καιρὸς, καὶ ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ, μετανοεῖτε, καὶ πιστεύετε ἐν τῷ Εὐαγγελίῳ. » Ἀναχωρεῖ εἰς τὴν Γαλιλαίαν ἀκούσας ὅτι Ἰωάννης παρεδόθη τῇ φυλακῇ, ἵνα δείξῃ καὶ ἡμῖν ὅτι δεῖ μὴ ὁμόσε χωρεῖν τοῖς πειρασμοῖς, ἀλλ' ὑποφεύγειν· ἐπὰν δὲ ἐμπέσωμεν, φέρειν. Φαίνεται δὲ τὰ αὐτὰ τῷ Ἰωάννῃ κηρύσσων ὁ Κύριος, οἷον τὸ, Μετανοεῖτε,

72 Matth. IV, 10.

Ex collatione codd. Venet. S. Marci.

(41) Cod. 32 hæc interserit : Περιστερᾷ ὡμοιώθη τὸ Πνεῦμα τὸ ἅγιον διὰ τὸ φιλόστοργον, ὃ ἔχει περὶ ἡμᾶς, καὶ ὅτι ἀθετούμενος παρὰ ἀνθρώπων ὁ Θεὸς, οὐδὲν ἧττον πάλιν διὰ τὴν οἰκείαν αὐτοῦ ἀγαθότητα πλησιάζει τοῖς ἀνθρώποις. Οὕτω γὰρ ἡ περιστερὰ οὐκ ἀφίσταται τῶν συνήθων, κἂν ἀδικῶσιν αὐτὴν ἐκεῖνοι τὰ ἔγγονα ἐξ αὐτῆς ἀποσπῶντες. Ἢ διὰ τοῦτο περιστερᾷ ὡμοιώθη τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα δειχθῇ, ὅτι εἷς ἐστιν ὁ τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης Θεὸς, καὶ εἰς ὑπόμνησιν ἀγάγῃ τοῦ ἐπὶ τοῦ Νῶε κατακλυσμοῦ. Τότε γὰρ τὴν τοῦ κατακλυσμοῦ λύσιν περιστερὰ ἤγγειλε, κάρφος ἐλαίας ἐπὶ στόματος φέρουσα· καὶ ἐνταῦθα πάλιν ἐν εἴδει περιστερᾶς φανὲν τὸ Πνεῦμα τὸ ἅγιον, λύσιν δηλοῖ τῶν ἁμαρτιῶν. Ἢ διὰ τὸ ἄκακον καὶ πρᾶον, καὶ ὅτι καθαρωτάτη ἐστὶν ἡ περιστερὰ, καὶ ἔνθα δυσωδία ἐστὶν οὐ παραμένει. Πνεῦμα δὲ φησιν, οὐχ ἓν τῶν λειτουργικῶν πνευμάτων, ἀλλ' αὐτὸ τοῦ Θεοῦ τὸ ὁμοούσιον· διὰ δὲ τῆς τοῦ Πατρὸς μαρτυρίας καὶ τῆς τοῦ Πνεύματος καθόδου δείκνυνται τῆς ἁγίας Τριάδος αἱ ὑποστάσεις. Ἐμαρτύρησε γὰρ ἄνωθεν ὁ Πατὴρ, ὅτι ὁ μὲν βαπτιζόμενος Θεὸς ἦν, ὁ δὲ βαπτίζων ἅγιος, τοῦτο, δὲ ἵνα μή τις ὑποπτεύσῃ, ὅτι Ἰωάννης μείζων ἦν τοῦ Χριστοῦ, ὡς βαπτίζων αὐτόν· μέγαν γὰρ εἶχον τὸν Ἰωάννην οἱ Ἰουδαῖοι, τοῦ δὲ Χριστοῦ οὐ τοσοῦτον ἐφρόντιζον. Ἦν οὖν ὁ μὲν μαρτυρῶν ὁ Πατὴρ, ὁ δὲ μαρτυρούμενος ὁ Υἱὸς, τὸ δὲ Πνεῦμα τὸ ἅγιον, τὸ ὑποδεικνύον τὸν μαρτυρούμενον. Τὸ δὲ, ἐν ᾧ εὐδόκησα, ἐν ᾧ ἐπαναπαύομαι, ἐν ᾧ ἀρέσκομαι λέγει. Καὶ εὐθὺς, κ. τ. λ. « Columbæ similis apparuit Spiritus sanctus, propter amorem quo nos prosequitur ; et quoniam Deus ab hominibus offensus, nihilominus propter benignitatem suam cum iis familiariter versatur. Sic enim columba a domesticis suis non recedit, quanquam hi illam, pullos ejus abripiendo, injuria afficiant. Vel idcirco columbæ speciem assumpsit Spiritus sanctus, ut ostenderet, eumdem esse Veteris et Novi Fœderis Deum : atque ut in memoriam revocaret diluvium Noachi. Tunc enim diluvii cessationem columba annuntiavit, ramum olivæ ore ferens : nunc vero in columbæ specie apparens Spiritus sanctus, peccatorum solutionem significat. Vel ob simplicitatem et mansuetudinem, et quia purissima est columba, neque in locis pravi odoris moratur Spiritum autem hic appellat, non ex administratoriis spiritibus aliquem, sed illum qui Deo est consubstantialis. Per Patris vero testimonium, ac descensum Spiritus sanctæ Trinitatis personæ declarantur. Testificatus enim est desuper Pater, eum, qui baptizabatur, Deum esse . eum autem qui baptizabat, esse sanctum . et hoc ideo, ne quis suspicaretur, Joannem utpote baptizantem esse Christo majorem : siquidem Judæi magni Joannem, parvi Christum faciebant. Erat igitur qui testificabatur *Pater* : cui autem ipse testimonium præbebat, erat *Filius* : *Spiritus* autem *sanctus* is qui indicabat eum de quo testimonium ferebatur. Illud autem, *in quo mihi bene complacui*, perinde est ac, in quo conquiesco et acquiesco. Et continuo, » etc.

(42) Cod. 26 addit : Καὶ ἦν μετ' αὐτῶν, ἵνα μάθῃς, ὅτι ὁ φυλάττων τὸ ἀξίωμα τῆς ψυχῆς φοβερὸς μᾶλλον τοῖς θηρίοις ἐστίν· ἄρχειν γὰρ πάντων πρὸ τῆς παρακοῆς ὁ ἄνθρωπος κεκέλευσται. Οἱ δὲ ἄγγελοι, κ. τ. λ. « *Et erat cum ipsis* : ut discas, eum, qui animæ dignitatem servat, feris terribilem esse : quandoquidem in eas omnes imperium exercere jussus est homo ante prævaricationem. Cæterum angeli, » etc.

καὶ τὸ, Ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ. Οὐκ ἔστι δέ· ὁ μὲν γὰρ Ἰωάννης τὸ, Μετανοεῖτε, ἔλεγεν, ὥστε ὑποχωρῆσαι ἀπὸ τῶν ἁμαρτιῶν· ὁ δὲ Χριστὸς τὸ, Μετανοεῖτε, λέγει, ὥστε ἀπὸ τοῦ νομικοῦ γράμματος φυγεῖν. Διὸ καὶ προσέθηκε τὸ, Πιστεύετε ἐν τῷ Εὐαγγελίῳ· ὁ γὰρ μέλλων πιστεῦσαι διὰ τοῦ Εὐαγγελίου, κατήργηκε τὸν νόμον λοιπόν. Πεπληρῶσθαι γάρ φησιν ὁ Κύριος καὶ τὸν καιρὸν τοῦ νόμου (43)· ἄχρι γὰρ, φησί, τοῦ νῦν ἐνήργει ὁ νόμος, ἀπὸ τοῦ νῦν δὲ δὲ ἡ βασιλεία τοῦ Θεοῦ, ἡ κατὰ τὸ Εὐαγγέλιον πολιτεία πάρεστιν, ἥτις εἰκότως παρεικάζεται τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὅταν γὰρ ἴδῃς ὡς ἄσαρκον μικροῦ πολιτευόμενον τὸν κατὰ τὸ Εὐαγγέλιον βιοῦντα, ἆρα οὐκ ἂν εἴποις ὅτι οὗτος τὴν βασιλείαν τῶν οὐρανῶν (ὅτε οὐκ ἔστι βρῶσις ἢ πόσις) ἤδη ἔχει, κἂν μακρὰν εἶναι δοκῇ;

principe sacerdotum, et panes propositionis comederit, quos non licet edere nisi sacerdotibus, et dederit etiam iis qui secum erant? Et dicebat illis: Sabbatum propter hominem factum est, non homo propter Sabbatum. Itaque Filius hominis Dominus est etiam Sabbati. » Discipuli Domini spicas vellunt, jam non ultra **185** soliti juxta legem vivere. Pharisæi autem indignantes, a Christo confutabantur in medium afferente exemplum David, qui propter necessitatem solverat legem sub Abiathar pontifice. Fugiens enim David propheta a facie Saulis, venit ad pontificem illum, et fefellit eum quasi a rege missus rei militaris gratia, et tunc panes propositionis comedit, gladiumque Goliath Domino oblatum abstulit. Duodecim autem erant panes, qui quotidie proponebantur super mensam, sex a dextris, et sex a sinistris 75. Quærunt autem quidam, quomodo evangelista nunc ipsum pontificem Abiathar nominavit, liber autem Regum Abimelech illum nominat? Dicendum igitur quod fortassis duo nomina habuerit, idemque sit Abiathar et Abimelech. Vel etam aliter, liber regum sacerdotem tunc dicit esse Abimelech, evangelista autem pontificem Abiathar: unde hæc inter se non sunt diversa. Erat enim sacerdos Abimelech, pontifex auutem Abiathar. Disce atem juxta anagogen, quod discipuli Christi, in Sabbato, hoc est in animarum quiete (Sabbatum enim quietem interpretantur): quando igitur quietem babent ab omnibus affectionibus, et a dæmonibus non infestantur, tunc iter faciunt, hoc est et aliis ad virtutem duces fiunt, vellicantes et eradicantes omnia quæ a terra et humili fantasia germinant. Nisi enim primum quiescat aliquis ab affectionibus, et seipsum in quietem conferat, neutiquam aliis ad bonum dux erit.

A θεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι; Καὶ ἔλεγεν αὐτοῖς· Τὸ Σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ Σάββατον· ὥστε Κύριός ἐστιν ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου. » Οἱ μαθηταὶ τοῦ Κυρίου τοὺς στάχυας ἐκτίλλουσιν, οἷα μηκέτι κατὰ νόμον ἐθισθέντες ζῆν· οἱ δὲ Φαρισαῖοι ἀγανακτοῦντες, ἐπιστομίζονται ὑπὸ τοῦ Χριστοῦ, παράγοντος τὸν Δαβὶδ δι' ἀνάγκην παραλύσαντα τὸν νόμον ἐπὶ Ἀβιάθαρ ἀρχιερέως. Φεύγων γὰρ ὁ προφήτης Δαβὶδ ἀπὸ προσώπου Σαοὺλ, ἦλθεν εἰς τὸν ἀρχιερέα τοῦτον, καὶ ἠπάτησεν αὐτὸν ὡς παρὰ τοῦ βασιλέως B ἀποσταλεὶς εἰς ἀναγκαίαν χρείαν στρατιωτικήν. Ὅτε καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγε, καὶ τὴν τοῦ Γολιὰθ ῥομφαίαν ἀφείλετο ἀνατεθειμένην τῷ Κυρίῳ. Δώδεκα δὲ ἦσαν οἱ ἄρτοι καθ' ἑκάστην ἡμέραν προτιθέμενοι ἐπὶ τῆς τραπέζης, ἓξ ἐκ δεξιῶν καὶ ἓξ ἐξ εὐωνύμων. Ζητοῦσι δέ τινες πῶς ὁ μὲν εὐαγγελιστὴς νῦν τὸν ἀρχιερέα Ἀβιάθαρ ὠνόμασεν, ἡ δὲ βίβλος τῶν Βασιλειῶν, Ἀβιμέλεχ τοῦτον ὀνομάζει. Ἔστιν οὖν εἰπεῖν ὅτι διώνυμος ἦν ἴσως ὁ Ἀβιάθαρ, ὁ αὐτὸς καὶ Ἀβιμέλεχ καλούμενος. Ἢ καὶ ἄλλως, ἡ μὲν τῶν Βασιλειῶν βίβλος, ἱερέα λέγει εἶναι τότε Ἀβιμέλεχ· ὁ δὲ εὐαγγελιστὴς, ἀρχιερέα εἶναι τὸν Ἀβιάθαρ. Ὥστε οὐκ ἐναντία ταῦτα· ἦν γὰρ ἱερεὺς μὲν Ἀβιμέλεχ, ἀρχιερεὺς δὲ Ἀβιάθαρ. Νόει δὲ καὶ κατὰ ἀναγωγὴν, ὅτι οἱ τοῦ Χριστοῦ μαθηταὶ ἐν τῷ Σαββάτῳ, τουτέστιν ἐν τῇ τῶν ψυ- C χῶν ἀναπαύσει (Σάββατον γὰρ κατάπαυσις ἑρμηνεύεται). Ὅταν οὖν ἔχωσιν ἀνάπαυσιν ἀπὸ τῶν παθῶν, μὴ πολεμούμενοι ὑπὸ τῶν δαιμόνων, τότε ὁδοποιοῦσι, τουτέστι καὶ ἑτέροις πρὸς τὴν ἀρετὴν, ὁδηγοὶ γίνονται, τίλλοντες καὶ ἐκριζοῦντες πάντα τὰ ἀπὸ τῆς γῆς καὶ τῆς κάτω φαντασίας βλαστάνοντα. Ἐὰν γὰρ μὴ πρότερον καταπαύσῃ τις ἀπὸ τῶν παθῶν, καὶ ἐν ἠρεμίᾳ καταστήσῃ ἑαυτὸν, οὐκ ἂν ὁδοποιήσῃ ἑτέρους, καὶ ὁδηγὸς ἐπὶ τὸ ἀγαθὸν γένηται.

## CAPUT III.

*De eo cui arida erat manus. De electione apostotolorum. De matre et fratribus.*

VERS. 1-5. « Et introvit in Synagogam, et erat ibi homo manum habens arefactam, et observabant eum an Sabbatis sanaturus esset illum, ut accusarent eum. Et ait homini manum habenti arefactam, Excitare in medium. Et dicit illis: Utrum licet Sabbatis benefacere, an malefacere? animam servare, an occidere? At illi tacebant: et cum circumspexisset eos cum iracundia, indolescens super cæcitate cordis eorum, dicit homini: Extende manum tuam; et extendit, et restituta est manus illius sana, ut altera. » Cum discipuli accusati essent a Judæis eo quod per Sabbata spicas evulsissent, Dominis accusantes confutavit, idque exemplo David: magis autem illos nunc confutat miraculum faciendo, ostendens quod adeo non peccent disci-

## ΚΕΦΑΛ. Γ'.

Περὶ τοῦ ξηρὰν ἔχοντος χεῖρα. Περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς. Περὶ μητρὸς καὶ ἀδελφῶν.

« Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγὴν, καὶ ἦν D ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα, καὶ παρετήρουν αὐτὸν, εἰ τοῖς Σάββασι θεραπεύσει αὐτὸν, ἵνα κατηγορήσωσιν αὐτοῦ. Καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα· Ἔγειραι εἰς τὸ μέσον. Καὶ λέγει αὐτοῖς· Ἔξεστι τοῖς Σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι; Οἱ δὲ ἐσιώπων. Καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου. Καὶ ἐξέτεινε, καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς, ὡς ἡ ἄλλη. » Τῶν μαθητῶν κατηγορηθέντων ὑπὸ τῶν Ἰουδαίων, διότι τῷ Σαββάτῳ τοὺς στάχυας ἔτιλλον, ὁ Κύριος ἐπεστόμισε μὲν τοὺς κατηγόρους, καὶ διὰ τοῦ κατὰ τὸν Δαβὶδ ὑποδεί-

75 Levit. XVI, 8.

γματος, Ἐπιπλέον δὲ αὐτοὺς καὶ νῦν ἐντρέπων, θαυματουργεῖ, δεικνύων ὅτι, Τοσοῦτον οὐχ ἁμαρτάνουσιν οἱ μαθηταί μου, ὥστε καὶ αὐτὸς ἐγὼ ἐργάζομαι ἐν τῇ ἡμέρᾳ τοῦ Σαββάτου, θαῦμα ἐπιδεικνύμενος· ὥστε εἰ κακόν ἐστι τὸ θαυματουργεῖν, ἔστι καλὸν ἁπλῶς καὶ τὸ ἐργάζεσθαι τὰ ἀναγκαῖα ἐν τῷ Σαββάτῳ· ἀλλὰ μὴν τὸ θαυματουργεῖν, ἐπὶ σωτηρίᾳ ἀνθρώπου, θεῖόν ἐστιν, οὐκ ἄρα παρανομεῖ ὁ ἐν τῷ Σαββάτῳ μὴ κακόν τι ἐργαζόμενος. Διὰ τοῦτο οὖν καὶ ἐρωτᾷ αὐτοὺς εἰ ἔξεστιν ἀγαθοποιῆσαι, ἐντρέπων αὐτοὺς ὡς κωλύοντας αὐτὸν ἀπὸ τοῦ ἀγαθοποιεῖν· ξηρὰ δὲ ἔχει τὴν χεῖρα τὴν δεξιὰν πᾶς ὁ μὴ πράττων τὰ τῆς δεξιᾶς μερίδος ἔργα. Πρὸς ὃν λέγει ὁ Χριστός· Ἔγειραι, τουτέστιν, Ἀνάστα ἀπὸ τῆς ἁμαρτίας, καὶ στῆθι εἰς τὸ μέσον, τουτέστιν, εἰς τὴν μεσότητα τῶν ἀρετῶν. Πᾶσα γὰρ ἀρετὴ, μεσότης ἐστὶν, οὔτε εἰς τὴν ἔλλειψιν, οὔτε εἰς τὴν ὑπερβολὴν ἐπινεύουσα· τότε τοίνυν ὅταν σταθῇ εἰς τὴν μεσότητα, ἀποκατασταθήσεται ἡ χεὶρ αὐτοῦ ὑγιής. Ὅρα δὲ καὶ τὸ Ἀποκατεστάθη. Καὶ γὰρ ἦν ὅτε εἴχομεν ὑγιεῖς τὰς χεῖρας, τουτέστι, τὴν πρακτικὴν ἐνέργειαν, ὅτε οὔπω παράβασις· ἀφ' οὗ δὲ ἐξετάσθη ἡ χεὶρ ἡμῶν ἐπὶ τὸν ἀπηγορευμένον καρπὸν, ἔκτοτε ἐξηράνθη πρὸς τὴν τοῦ καλοῦ ἐργασίαν. Πάλιν οὖν ἀποκατασταθήσεται εἰς τὴν προτέραν ὑγείαν, ὅταν ἐν τῷ μέσῳ σταθῶμεν τῶν ἀρετῶν.

« Καὶ ἐξελθόντες οἱ Φαρισαῖοι, εὐθέως μετὰ τῶν Ἡρωδιανῶν συμβούλιον ἐποίουν κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. Καὶ ὁ Ἰησοῦς ἀνεχώρησε μετὰ τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασσαν, καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησεν αὐτῷ, καὶ ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ Ἱεροσολύμων, καὶ ἀπὸ τῆς Ἰδουμαίας, καὶ πέρα τοῦ Ἰορδάνου, καὶ οἱ περὶ Τύρον καὶ Σιδῶνα, πλῆθος πολὺ, ἀκούσαντες ὅσα ἐποίει, ἦλθον πρὸς αὐτόν. Καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν· πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ ἅψωνται, ὅσον εἶχον μάστιγας, καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα ὅταν αὐτὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ, καὶ ἔκραζε λέγοντα ὅτι, Σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ. Καὶ πολλὰ ἐπετίμα αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν. » Τίνες ἦσαν οἱ Ἡρωδιανοί; Ἤτοι οἱ στρατιῶται τοῦ Ἡρώδου, ἢ αἵρεσις τις νεοφανὴς, δογματίζουσα τὸν Ἡρώδην αὐτὸν εἶναι τὸν Χριστὸν, διὰ τὸ ἐπ' αὐτοῦ πέρας δέξασθαι τὴν τῶν Ἰουδαϊκῶν βασιλέων διαδοχήν. Ἡ γὰρ προφητεία τοῦ Ἰακὼβ διελάμβανεν, ὅτε ἐκλείψουσιν οἱ ἐξ Ἰούδα ἄρχοντες, τότε τὸν Χριστὸν ἐλθεῖν. Ἐπεὶ οὖν ἐπὶ τῶν Ἡρώδου χρόνων οὐδεὶς ἦν Ἰουδαϊκὸς ἄρχων, ἀλλ' αὐτὸς ἦρχεν ἀλλόφυλος ὢν, Ἰδουμαῖος γὰρ ἦν, ἐνόμισαν τινες αὐτὸν εἶναι τὸν Χριστὸν, καὶ αἵρεσιν συνεστήσαντο, οὗτοι τοίνυν ἐπεχείρουν ἀπολέσαι τὸν Κύριον. Ὁ δὲ ἀναχωρεῖ· οὔπω γὰρ ἦν ὁ τοῦ πάθους καιρός. Ἅμα δὲ καὶ ἵνα πλείονας εὐεργετήσῃ, διὰ τοῦτο ἀναχωρεῖ ἀπὸ τῶν ἀγνωμόνων· καὶ γὰρ ἠκολούθησαν αὐτῷ πολλοὶ, καὶ ἰάσατο αὐτοὺς, ἀλλὰ καὶ οἱ Τύριοι καὶ οἱ Σιδώνιοι, ἀλλόφυλοι ὄντες, ὠφελοῦντο. Οἱ δὲ

A puli ejus, ut et ipse operetur in die Sabbati miraculum faciens: ita ut si malum sit operari miraculum, simpliciter malum futurum sit operari 186 necessaria in Sabbato; sed miraculum facere in salutem hominis, divinum est: non igitur prævaricatur qui in Sabbato quod malum non est, operatur. Propterea etiam interrogat illos num liceat benefacere, notans eos ut benefacere eum prohibentes. Aridam autem dexteram omnis habet qui opera eorum non facit qui ad dexteram partem pertinent. Ad quem Christus dicit, Excitare, hoc est, Surge a peccato, et sta in medio, hoc est in mediocritate virtutum. Omnis enim virtus mediocritas est, eo quod neque in defectum, neque in excessum declinat. Tunc igitur quando se statuit in mediocritatem restituitur dextera ei sana. Vide autem quod dicit, Et

B restituta est. Erant enim olim nobis sanæ manus, hoc est efficax virtus operativa, quando nondum fuit transgressio. Ubi autem extenta est dextera nostra ad fructum prohibitum, tunc arescere cœpit ad operationem boni. Restituetur igitur iterum in pristinam sanitatem, cum in medio steterimus virtutum.

VERS. 6-12. « Egressi vero Pharisæi statim una cum Herodianis consilium inibant adversus illum ut eum perderent. Jesus autem cum discipulis suis secesssit ad mare, et ingens multitudo secuta est

C eum a Galilæa, et a Judæa, et ab Hierosolymis, et ab Idumea, et trans Jordanem, et qui circa Tyrum habitabant, ac Sidonem, homiuum multitudo magna: qui cum audissent quæ faciebat, venerunt ad eum. Et dixit discipulis suis ut naviculam appellerent sibi propter turbam, ne ipsum premeret. Multos enim sanaverat, ita ut irruerent in eum, quo illum tangerent quotquot habebant flagella. Et spiritus immundi cum illum vidissent, procidebant ei, et clamabant dicentes, Tu es Filius Dei. Et vehementer interminabatur eis ne se manifestum facerent. » Quinam erant Herodiani? Vel milites Herodis, vel hæresis quædam nuper admodum orta, quæ docebat Herodem ipsum esse Christum, eo

D quod sub illo Judaicorum regum successio finem habuisset, ita enim exponebant prophetiam Jacob, quando defecturi essent ex Juda principes, tunc venturum Christum [76]. Cum igitur Herodis temporibus nullus usquam esset Judaicus princeps, sed regnaret Herodes alienigena, Idumæus enim erat, opinati sunt quidam ipsum esse Christum, et constituta quadam factione attentaverunt perdere Dominum. Ipse autem secedit, nondum enim erat patiendi tempus. Interim pluribus benefaciebat, ab ingratis secedendo. Etenim secuti sunt eum multi, et sanavit illos: quin etiam Tyriis et Sidoniis, tametsi essent allophyli, proderat. Cognati autem ejus eum persequebantur. Adeo

[76] Gen. XLIX, 10.

nulla a genere provenit utilitas, nisi etiam boni mores adsint. 187 Et alienigenæ quidem a remotis locis ad eum veniunt, Judæi vero, cum ad ipsos venisset, insectantur. Vide autem quam alienus sit a fastu: enimvero ne turbæ obstrepentes ei negotium facerent, naviculam quærit, qua conscensa, nulla ei molestia exhiberetur. Flagella vero dicit morbos: nam ad emendationem nobis morbi multum conducunt, flagellante nos Deo quasi filios patre. Intellige, autem per Herodianos, carnales et pelliceos, et eos qui occidere volunt Jesum. Herodes enim, si quis interpretetur, *pelliceus* sonat. Qui egrediuntur a domibus suis et patria sua, hoc est consuetudinibus carnis, illum sequuntur: unde et flagella eorum sanantur peccata dico, quæ conscientiam flagellant, et imundi spiritus ejiciuntur. Attende hic quod discipulis suis præcepit Jesus, ut appelleretur sibi navis propter turbas, ne ipsum premerent. Jesus enim est ratio quæ in nobis imperat, ut navis nostra, hoc est corpus, appellatur sibi, et ne projiciatur in procellam sæcularium negotiorum, et ne premant turbæ negotiorumque turbulentiæ Christum qui in nobis est.

A συγγενεῖς αὐτοῦ ἐδίωκον αὐτόν. Οὕτως οὐδὲν ὄφελος συγγενείας, εἰ μὴ τρόπος ἀγαθὸς εἴη. Καὶ οἱ μὲν ἀλλογενεῖς ἤρχοντο πρὸς αὐτὸν μακρόθεν, οἱ δὲ Ἰουδαῖοι, πρὸς αὐτοὺς ἐρχόμενον ἐδίωκον. Ὅρα δὲ καὶ τὸ ἀφιλόδοξον αὐτοῦ· καὶ γὰρ ἵνα μὴ ἐνοχλῶσιν αὐτὸν οἱ ὄχλοι, πλοιάριον ἐπιζητεῖ, ὡσὰν ἐμβὰς αὐτῷ, ἀνενόχλητος τηροῖτο. Μάστιγας δὲ λέγει τὰς νόσους· καὶ γὰρ ὄντως αἱ νόσοι πολλὰ ἡμῖν εἰς παιδείαν συμβάλλονται, μαστιγοῦντος ἡμᾶς, ὡς πατὴρ παῖδας, τοῦ Θεοῦ. Νόησον δὲ καὶ ὅτι οἱ μὲν Ἡρωδιανοί, οἱ σάρκινοι καὶ δερμάτινοι, ἀποκτεῖναι βούλονται τὸν Ἰησοῦν, Ἡρώδης γάρ, δερμάτινος ἑρμηνεύεται. Οἱ δὲ ἐξελθόντες ἀπὸ τῶν οἴκων αὐτῶν καὶ ἀπὸ τῶν πατρίδων αὐτῶν, τουτέστι τῶν πρὸς τὴν σάρκα σχέσεων, ἐκεῖνοι ἀκολουθοῦσιν αὐτῷ· B ὅθεν καὶ αἱ μάστιγες αὐτῶν θεραπεύονται, αἱ ἁμαρτίαι λέγω, αἱ τὸ συνειδὸς μαστίζουσαι, καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα ἐκδιώκονται. Πρόσχες δὲ ὅτι τοῖς μαθηταῖς αὐτοῦ προστάττει ὁ Ἰησοῦς, ἵνα προσκαρτερῇ αὐτῷ πλοιάριον διὰ τοὺς ὄχλους, ὅπως μὴ θλίβωσιν αὐτόν. Ἰησοῦς γὰρ ἐστιν ὁ ἐν ἡμῖν λόγος, ὃς προστάττει, ἵνα τὸ πλοιάριον ἡμῶν, τουτέστι τὸ σῶμα, προσκαρτερῇ αὐτῷ, καὶ μὴ ἐμβάλληται εἰς τὸν κλύδωνα τῶν τοῦ βίου πραγμάτων, ἵνα μὴ θλίβωσιν οἱ ὄχλοι, αἱ τῶν πραγμάτων ταραχαί, τὸν ἐν ἡμῖν Χριστόν.

VERS. 13-19. « Et ascendit in montem, ac vocat ad se quos voluit ipse, veneruntque ad eum. Et fecit duodecim ut essent secum, et ut mitteret eos ad ad prædicandum, atque haberent potestatem sanandi morbos, ejiciendique dæmonia. Et imposuit Simoni nomen Petrus, et Jacobum filium Zebedæi, et Joannem fratrem Jacobi, et imposuit eis nomina Boanerges, quod est, Filii tonitrui, et Andream, et Philippum, et Bartholomæum, et Matthæum, et Thomam, et Jacobum Alphæi filium et Thaddæum, et Simonem Chananæum, et Judam Iscariotem, qui et prodidit illum » Ascendit in montem ad orandum. Quoniam enim miracula fecerat, factis miraculis orat, docens omnes nos gratias agere Deo, et sicubi boni quippiam perfecerimus, id divinæ virtuti offerre debere. Vel quia ordinaturus erat apostolos, ejus gratia ascendit oraturus, ut discamus quod nos quoque quando aliquos sumus ordinaturi, prius orare debeamus ut reveletur nobis qui dignus sit, et ne communicemus peccatis alienis. Assumitur et Judas in apostolum, ut discamus quod non propter futuram malitiam alicujus aspernetur Deus quempiam mala operaturum, sed propter præsentem virtutem honore eum dignum censet, etiamsi postea malus sit futurus. Porro apostolorum nomina propter falsos apostolos recensentur, ut sint noti veri. Filios autem tonitrui nominat filios Zebedæi, ut præcipuos prædicatores, et maxime theologos.

« Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός, καὶ ἀπῆλθον πρὸς αὐτόν. Καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν, καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους, καὶ ἐκβάλλειν τὰ δαιμόνια. C Καὶ ἐπέθηκε τῷ Σίμωνι ὄνομα Πέτρον, καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου· καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα, Βοανεργές, ὅ ἐστιν, Υἱοὶ βροντῆς, καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν. » Ἀναβαίνει εἰς τὸ ὄρος ὥστε προσεύξασθαι. Ἐπεὶ γὰρ θαύματα ἐποίησε, μετὰ τὴν τῶν θαυμάτων ἐπίδειξιν προσεύχεται, διδάσκων πάντας ἡμᾶς ὅτι δεῖ εὐχαριστεῖν τῷ Θεῷ ὅταν τι φθάσωμεν καλὸν ἐργασάμενοι, καὶ τῇ τοῦ Θεοῦ δυνάμει ἐπανατιθέναι τοῦτο· ἢ ἐπειδὴ ἔμελλε χειροτονῆσαι τοὺς ἀποστόλους, τούτου ἕνεκεν ἄνεισι προσευξόμενος, ἵνα μάθωμεν ὅτι καὶ ἡμᾶς δεῖ ὅταν D τινὰς χειροτονῆσαι μέλλωμεν, πρότερον εὔχεσθαι ἵνα ἀποκαλυφθῇ ἡμῖν ὁ ἄξιος, καὶ μὴ κοινωνήσωμεν ἀνομίαις ἀλλοτρίαις. Καὶ τὸν Ἰούδαν δὲ προβάλλεται ἀπόστολον, ἵνα μάθωμεν ὅτι οὐ διὰ τὴν μέλλουσαν κακίαν τινός, ὁ Θεὸς ἀποστρέφεται ἐκεῖνον τὸν μέλλοντα ἐργάσασθαι τὸ κακόν, ἀλλὰ διὰ τὴν ἀρετὴν αὐτοῦ ἣ νῦν πρόσεστιν αὐτῷ, τιμῆς ἀξιοῖ αὐτόν, κἂν ἐς ὕστερον μέλλῃ κακὸς ἀποβῆναι. Ἀπαριθμεῖται δὲ τὰ τῶν ἀποστόλων ὀνόματα, διὰ τοὺς ψευδαποστόλους, ἵνα ὦσι γνώριμοι οἱ ἀληθεῖς. Υἱοὺς δὲ βροντῆς ὀνομάζει τοὺς τοῦ Ζεβεδαίου, ὡς μεγαλοκήρυκας καὶ θεολογικωτάτους.

VERS. 20, 22. « Et veniunt in domum: et convenit iterum turba, sic ut non liceret illis vel panes edere: et cum audissent qui ad illum attinebant, exierunt ut manus injicerent in eum. Dice-

« Καὶ ἔρχονται εἰς οἶκον, καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτούς, μήτε ἄρτον φαγεῖν. Καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν. Ἔλεγον γὰρ ὅτι Ἐξέστη. Καὶ οἱ Γραμματεῖς

οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες, ἔλεγον ὅτι Βεελ- A ζεβοὺλ ἔχει, καὶ ὅτι καὶ ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. » Ἀκούσαντες, φησὶν, αἱ παρ' αὐτοῦ, τουτέστιν οἱ οἰκεῖοι αὐτοῦ, τυχὸν οἱ ἀπὸ τῆς αὐτῆς πατρίδος, ἢ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν. Ἔλεγον γὰρ, ὅτι Ἐξέστη· τουτέστιν, ὅτι Δαίμονα ἔχει. Ἀκούοντες γὰρ ὅτι δαιμόνια ἐκβάλλει, καὶ νόσους ἰᾶται, ἀπὸ φθόνου ἐνόμιζον ὅτι δαίμονα ἔχει, καὶ ἐξέσθη· ὅθεν ἤθελον κρατῆσαι αὐτὸν, ὡς ἂν δεσμήσωσιν ὡς δαιμονῶντα. Καὶ οἱ μὲν παρ' αὐτοῦ, τουτέστιν, οἱ οἰκεῖοι αὐτοῦ, οὕτως· ὁμοίως δὲ καὶ οἱ ἀπὸ Ἱεροσολύμων Γραμματεῖς, δαιμόνιον ἔχειν αὐτὸν ἔλεγον. Ἐπειδὴ γὰρ ἀντιλέγειν οὐκ εἶχον τοῖς γινομένοις, ἑτέρῳ τρόπῳ διαβάλλουσιν αὐτὰ, ὅτι ἀπὸ δαιμόνων γίνονται.

bant enim, **188** In furorem versus est. Et Scribæ qui ab Hierosolymis descenderant, dicebant: Beelzebul habet, et per principem dæmoniorum ejicit dæmonia. » Cum audissent, inquit, qui ad illum attinebant, hoc est necessarii ejus, forte qui ejusdem erant patriæ, vel etiam fratres ejus, exierunt ut comprehenderent eum. Dicebant enim, quia In furorem versus est, hoc est, Dæmonem habet. Audientes enim quod dæmonia ejiceret, et morbos sanaret, præ invidia opinabantur quod dæmonium haberet et furiosus esset: unde volebant comprehendere illum, ut eum tanquam dæmoniacum ligarent. Et familiares ejus sic quidam agebant, similiter autem et Scribæ faciebant, qui ab Hierosolymis descenderant, dæmonium ipsum habere dicentes. Cum enim non possent contradicere his quæ fiebant, alio modo arguebant ea, nempe quod a dæmoniis fierent.

« Καὶ προσκαλεσάμενος αὐτοὺς, ἐν παραβολαῖς B ἔλεγεν αὐτοῖς· Πῶς δύναται Σατανᾶς Σατανᾶν ἐκβάλλειν; Καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη. Καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη. Καὶ εἰ ὁ Σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν, καὶ μεμέρισται, οὐ δύναται σταθῆναι, ἀλλὰ τέλος ἔχει. Οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει. » Ἀπὸ παραδειγμάτων ἀναντιῤῥήτων ἀνατρέπει τοὺς βασκάνους Ἰουδαίους. Πῶς γὰρ, φησὶ, δυνατὸν δαίμονα δαίμονας ἐκβάλλειν; ὥσπερ καὶ ἐν ταῖς οἰκίαις ὁρῶμεν, ἕως μὲν εἰρηνεύωσιν οἱ ἐν ταύταις, συνίστανται· ἐπ' ἂν δὲ μερισθῶσι, καταλύονται. C Πῶς δὲ, φησὶ, δύναταί τις τὰ σκεύη τοῦ ἰσχυροῦ διαρπάσαι, ἐὰν μὴ πρότερον αὐτὸν δήσῃ; Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἰσχυρὸς, ὁ δαίμων· σκευὴ δὲ αὐτοῦ, οἱ ἄνθρωποι οἱ χωροῦντες αὐτόν. Ἐὰν οὖν μὴ πρότερον δήσῃ τις τὸν δαίμονα, καὶ καταλύσῃ, πῶς τὰ σκευὴ αὐτοῦ, τοὺς δαιμονῶντας λέγω, διαρπάσει ἐξ αὐτοῦ; Ὥστε ἐπεὶ ἐγὼ διαρπάζω τὰ σκεύη αὐτοῦ, τουτέστιν, ἐλευθερῶν τοὺς ἀνθρώπους ἀπὸ τοῦ δαιμονικοῦ πάθους, πρότερον λοιπὸν ἔδησα καὶ κατέλυσα τοὺς δαίμονας, καὶ ἐχθρὸς αὐτῶν εἰμι. Πῶς οὖν ὑμεῖς λέγετε ὅτι Βεελζεβοὺλ ἔχω, τουτέστι, δαιμόνων φίλος ὢν καὶ μάγος, ἐκβάλλω τοὺς δαίμονας;

Vers. 23-27. « Et ad se vocatis illis, in parabolis dicebat illis: Quomodo potest Satanas Satanam ejicere? Et si regnum adversus sese divisum fuerit, non potest stare regnum illud; et si domus contra seipsam divisa fuerit, non potest stare domus illa; et si Satanas insurrexerit adversus semetipsum, ac divisus est, non potest stare, sed habet finem. Non potest quisquam vasa fortis, ingressus in domum illius, diripere, nisi prius fortem alligarit, et tunc domum illius diripiet. » Exemplis quibus contradici non poterat, vincit invidos Judæos. Qomodo enim, inquit, possibile est dæmonem dæmones ejicere? sicut in domibus videmus, quandiu pacifici sint, bene habent hi qui in illis sunt: quando autem divisi fuerint, destruuntur. Quomodo autem, inquit potest quis diripere vasa fortis, nisi prius illum vinxerit? Cæterum quod dicit, hoc sibi vult: Fortis est dæmon: vasa autem ejus, homines sunt qui ab illo tenentur. Itaque nisi quis prius alliget dæmonem et destruat, quomodo vasa ejus ab eo auferet? dæmoniacos, inquam. Proinde quia ego vasa ejus diripio, hoc est libero homines ab affectione dæmoniaca, consentaneum est quod primum ligaverim et destruxerim dæmones, et inimicus illorum sim. Quomodo igitur vos dicitis quod Beelzebul habeam, hoc est, cum amicus sim dæmonum et magus, ejiciam dæmones?

« Ἀμὴν λέγω ὑμῖν ὅτι πάντα ἀφεθήσεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ βλασφημίαι ὅσας ἂν βλασφημήσωσιν. Ὃς δ' ἂν βλασφημήσῃ D εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου κρίσεως· ὅτι ἔλεγον Πνεῦμα ἀκάθαρτον ἔχει. » Τοιοῦτόν τί φησιν ἐνταῦθα· Ὅσα μὲν ἄλλα ἁμαρτάνουσιν οἱ ἄνθρωποι, τυχὸν ἔχοιεν ἂν καὶ προφασίσασθαί τι, καὶ συγγνώμης τυχεῖν, τοῦ Θεοῦ τῇ τῶν ἀνθρώπων ἀσθενείᾳ συγκαταβαίνοντος, οἷον· Ἔλεγον τὸν Κύριον φάγον καὶ οἰνοπότην, φίλον τελωνῶν καὶ ἁμαρτωλῶν, συγγνώμης ἀξιωθήσονται ἐπὶ τούτῳ· ὅταν δὲ βλέποντες αὐτὸν θαύματα ἐξαίσια ἐργαζόμενον, βλασφημῶσι τὸ Πνεῦμα, τουτέστι, τὰς διὰ τοῦ ἁγίου Πνεύ-

Vers. 28-30. « Amen dico vobis, omnia remittentur filiis hominum peccata et convitia quibuscunque convitiati fuerint: at qui convitium dixerit in Spiritum sanctum, non habet remissionem in æternum, sed obnoxius est æterno judicio: quia dicebant, Spiritum immundum habet. » Tale quiddam hoc loco dicit: Quæcunque alia peccaverint homines, habent forte quod prætexant et veniam consequantur, Deo id condonante humanæ infirmitati: ut exempli gratia, dicebant **189** Christum helluonem et bibonem, amicum publicanorum et peccatorum, in illo veniam assequantur: quando autem videntes eum operari miracula indubitata, blasphemarint Spiritum, hoc est mira opera per Spiritum sanctum

facta, quomodo tunc veniam assequentur, nisi pœnitentiam egerint? Quando enim offenduntur in carne Christi etiamsi pro illo non egerint pœnitentiam, veniam obtinent tanquam offensi homines. Verum cum vident eum opera Dei facere, et blasphemare pergunt, quo pacto dimittetur eis, si alieni a pœnitentia manserint?

VERS. 31-35. «Et veniunt mater ejus et fratres, et foris stantes miserunt ad eum qui evocarent eum: et sedebat turba circa eum, dicuntque ei: Ecce mater tua et fratres tui foris quærunt te. Et respondit eis, dicens: Quæ est mater mea, et fratres mei? Et cum circumspexisset in circuitu circum se discipulos sedentes, ait: Ecce mater mea et fratres mei. Qui enim fecerit voluntatem Dei, hic frater meus, et soror mea, et mater est.» Fratres Domini, invidentes accesserunt ad eum ut caperent eum tanquam in furorem versum et dæmoniacum. Mater autem fortassis inani gloriola mota venit ut illum a doctrina ad se attraheret, et ostenderet turbis quod ipsa illum qui tantis miraculis conspicuus erat, gubernaret, atque ita a doctrina avelleret. Dominus igitur respondet quod nihil profuturum sit matri suæ esse matrem suam, nisi etiam alias virtutes possederit; similiter neque fratribus esse consanguineos: illi enim sunt veri cognati Christi, qui voluntatem Dei faciunt. Itaque non negando matrem hæc dixit, sed ostendens quod non propter nativitatem solam digna fuerit hoc honore, sed propter omnes alias virtutes quibus prædita fuit: ita ut si illis caruisset, alii ei fuissent prælati.

## CAPUT IV.

*Parabola de semine. De increpatione aquarum.*

VERS. 1, 2. «Et iterum cœpit docere juxta mare: et confluxit ad eum turba multa, ita ut navim ingressus sederet in mari, et tota turba juxta mare in terrra erat, et docebat eos per parabolas multa» Quamvis videatur dimisisse matrem, iterum obedit ei, propter illam enim egreditur ad mare. Cæterum in navi sedet, ut in conspectu habeat auditores omnes, magisque audiatur, et nullus sit a tergo.

VERS. 3-12. «Et dicebat illis in doctrina sua: Audite: ecce exiit seminator ad seminandum, et accidit inter seminandum, quod aliud quidem cecidit secus viam, veneruntque volucres cœli, et comederunt illud. Aliud vero cecidit super **509** petrosa, ubi non habuit terram multam, et statim exortum est quod non haberet altitudinem terræ: sole autem exorto, æstu affectum est, eoque quod non haberet radicem, exaruit. Et aliud cecidit in spinas, et succreverunt spinæ ac suffocaverunt illud, et

A μάτος γινομένης θαυματουργίας, τότε πῶς ἀφέσεως τεύξονται, ἐὰν μὴ μετανοήσωσιν; Ὅταν μὲν γὰρ ἐσκανδαλίζοντο ἐπὶ τῇ σαρκὶ τοῦ Χριστοῦ, ὑπὲρ τούτου κἂν μὴ μετενόησαν συνεχωρήθησαν ἄν, ὡς ἄνθρωποι σκανδαλισθέντες. Ὅταν δὲ ὁρῶντες αὐτὸν Θεοῦ ἔργα ποιοῦντα, ἔτι ἐβλασφήμουν, πῶς ἀμετανόητοι μείναντες ἀφεθήσονται.

«Ἔρχονται οὖν οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτοῦ. Καὶ ἔξω ἑστῶτες ἀπέστειλαν πρὸς αὐτὸν φωνοῦντες αὐτόν, καὶ ἐκάθητο ὁ ὄχλος περὶ αὐτόν· εἶπον δὲ αὐτῷ· Ἰδοὺ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε. Καὶ ἀπεκρίθη αὐτοῖς, λέγων· Τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου; Καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν καθημένους, λέγει· Ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου· B ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Θεοῦ, οὗτος ἀδελφός μου καὶ ἀδελφή μου καὶ μήτηρ ἐστί.» Οἱ ἀδελφοὶ τοῦ Κυρίου, φθονοῦντες προσῆλθον κρατῆσαι αὐτὸν ὡς ἐξεστηκότα καὶ δαιμονῶντα. Ἡ δὲ μήτηρ, φιλοδοξίας πάθει τάχα κρατηθεῖσα, ἦλθεν ἀπὸ τῆς διδασκαλίας αὐτὸν περισπῶσα, καὶ δεικνύουσα τοῖς ὄχλοις ὅτι τὸν ὑπ' αὐτῶν θαυμαζόμενον οὕτως αὐτὴ περιάγει, ὥστε καὶ ἀποσπᾷν τῆς διδασκαλίας. Ὁ γοῦν Κύριος ἀποκρίνεται ὅτι, Οὐδὲν ὠφελήσει τὴν μητέρα μου τὸ γενέσθαι μου μητέρα, ἐὰν μὴ καὶ τὴν ἄλλην ἀρετὴν ἔχῃ· ὁμοίως οὐδὲ τοὺς ἀδελφούς μου ἡ συγγένεια· ἐκεῖνοι γάρ εἰσιν ἀληθῶς Χριστοῦ συγγενεῖς, οἱ τὸ θέλημα τοῦ Θεοῦ ποιοῦντες. Οὐκοῦν ἀρνούμενος τὴν μητέρα ταῦτα λέγει, ἀλλὰ δεικνύων ὅτι οὐ διὰ τὸ γεννῆσαι μόνον ἔσται ἀξία τιμῆς, ἀλλὰ καὶ διὰ τὴν ἄλλην πᾶσαν ἀρετήν· ὡς ἥν γε ἐκείνην οὐκ C ἔχῃ, ἄλλοι προτιμηθήσονται εἰς τὴν συγγένειαν.

## ΚΕΦΑΛ. Δ'.

Περὶ τοῦ σπόρου παραβολή. Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων

«Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν, καὶ συνήχθη πρὸς αὐτὸν ὄχλος πολύς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον, καθῆσθαι ἐν τῇ θαλάσσῃ· καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦν, καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλά.» Εἰ καὶ ἔδοξεν ἀποπέμψασθαι τὴν μητέρα, ὅμως πάλιν ὑπακούει αὐτῆς. Δι' ἐκείνην γὰρ ἐξέρχεται παρὰ τὴν θάλασσαν. Κάθηται δὲ ἐν τῷ πλοίῳ, ἵνα κατὰ πρόσωπον ἔχων πάντας, ἐν ἐπηκόῳ πάντων λέγῃ, καὶ μηδένα ἔχοι κατὰ νώτου (52).

D «Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· Ἀκούετε· ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, καὶ ἐγένετο ἐν τῷ σπείρειν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτό. Ἄλλο δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ εἶχε γῆν πολλήν, καὶ εὐθέως ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς· ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη. Καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ συνέπνιξαν αὐτό, καὶ καρπὸν οὐκ ἔδωκε. Καὶ ἄλλο ἔπεσεν

Ex collatione codd. Venet. S. Marci.

(52) Cod. 26 addit: Καὶ ἀπὸ τῆς θαλάσσης ἡλίευε τοὺς ἐν τῇ γῇ. «Et ex mari piscabatur eos, qui erant in terra.»

εἰς τὴν γῆν τὴν καλήν, καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα, καὶ ἔφερεν ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν. Καὶ ἔλεγεν αὐτοῖς· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Ὅτε δὲ ἐγένετο καταμόνας, ἠρώτησαν αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβολήν, καὶ ἔλεγεν αὐτοῖς· Ὑμῖν δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ Θεοῦ, ἐκείνοις δὲ τοῖς ἔξω, ἐν παραβολαῖς τὰ πάντα γίνεται, ἵνα βλέποντες, βλέπωσι, καὶ μὴ ἴδωσι, καὶ ἀκούοντες, ἀκούωσι, καὶ μὴ συνῶσι, μήποτε ἐπιστρέψωσι, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρτήματα. » Πρώτην ταύτην τὴν παραβολὴν τίθησι τὴν περὶ τοῦ σπόρου, ἵνα ποιήσῃ προσεκτικωτέρους τοὺς ἀκροατάς. Ἐπεὶ γὰρ μέλλει εἰπεῖν ὅτι ὁ σπόρος ἐστὶν ὁ λόγος, ἐμπεσὼν δὲ εἰς ἀπροσέκτους, φθείρεται, τούτου ἕνεκεν B πρὸ τῶν ἄλλων τὰ τοιαῦτα λέγει, ὡς ἂν σπουδάσωσιν οἱ ἀκροαταὶ μὴ ἐκείνῃ τῇ γῇ ὁμοιωθῆναι τῇ τὸν σπόρον διαφθειρούσῃ. Τίς οὖν ἐστιν ὁ σπείρων; αὐτὸς ὁ Χριστός, ὃς ἐξῆλθεν ἐκ τῶν κόλπων τῶν Πατρικῶν φιλανθρωπίᾳ καὶ συγκαταβάσει ἀνεκφοιτήτως. Ἐξῆλθε δὲ οὐχ ἵνα ἐμπρήσῃ τὴν κατηραμένην γῆν, καὶ τὰς πονηρὰς καρδίας· οὐδὲ ἵνα ἐκτέμῃ τὰς ἀκάνθας, ἀλλ' ἵνα σπείρῃ τὸν σπόρον. Ποῖον δὲ σπόρον; Ἆρα τὸν τοῦ Μωσέως; ἆρα τὸν τῶν προφητῶν; Οὐχί, ἀλλὰ τὸν αὐτοῦ, τουτέστιν, ἵνα τὸ Εὐαγγέλιον αὐτοῦ κηρύξῃ. Ἐκεῖνος μὲν οὖν ἔσπειρε. Τῶν δὲ σπερμάτων ὃ μέν, ἔπεσεν εἰς ψυχὴν καταπεπατημένην ὑπὸ πολλῶν· καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, οἱ δαίμονες λέγω οἱ τὸν ἀέρα κατέχοντες, κατέφαγον τὸν σπόρον. Τοιοῦτοι γάρ εἰσιν οἱ ἀνθρωπ- C άρεσκοι, ὁδὸς καταπεπατημένη ὑπὸ πολλῶν· ὅταν γάρ τις πάντα πράττῃ πρὸς τὸ ἀρέσαι τούτῳ, κἀκείνῳ, οὗτος καταπατεῖται ὑπὸ πολλῶν. Ὅρα δέ· οὐκ εἶπεν ὅτι Ἔρριψεν αὐτὸ ἐπὶ τὴν ὁδόν, ἀλλ' Ἔπεσεν. Ὁ μὲν γὰρ σπείρων, ὡς εἰς ἀγαθὴν γῆν ῥίπτει, ἐκείνη δὲ πονηρὰ εὑρισκομένη, φθείρει τὸν σπόρον, ἤτοι τὸν λόγον. Τινὲς δὲ τὸ Παρὰ τὴν ὁδὸν ἔπεσε, χαριέντως ἐνόησαν, ὅτι ἔπεσεν εἰς ἄπιστον καρδίαν· ὁδὸς μὲν γὰρ ὁ Χριστός· παρὰ τὴν ὁδὸν δέ εἰσιν οἱ ἄπιστοι, οἱ ἔξω τῆς ὁδοῦ, τουτέστι τοῦ Χριστοῦ. Ἄλλο δὲ πίπτει ἐπὶ ψυχὴν πετρώδη· τοὺς εὐκόλως λέγω δεχομένους, εἶτα ἀποβάλλοντας· οἳ πετρώδεις εἰσί, κατά τι μικρὸν ἐοικότες τῇ πέτρᾳ, τῷ Χριστῷ φημι, καθὸ ἐδέξαντο τὸν λόγον· καθὸ δὲ πρὸς καιρὸν δέχονται, εἶτα ἀποβάλλουσιν, ἀπεοικότες. Καὶ ἄλλο D εἰς ψυχὴν πολύφροντιν· ἄκανθαι γὰρ αἱ φροντίδες. Τὸ δὲ τέταρτον, εἰς γῆν ἀγαθήν. Ὅρα γοῦν πῶς σπάνια τὰ καλά, καὶ ὀλίγοι οἱ σωζόμενοι· τὸ τέταρτον γὰρ μόνον τοῦ σπόρου εὑρίσκεται διασωθέν. Τοῖς οὖν μαθηταῖς ἐρωτήσασιν αὐτὸν ἰδίᾳ, φησὶν ὅτι Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια. Ἆρ' οὖν κατὰ ἀποκλήρωσιν καὶ εἱμαρμένην ἐκ φύσεως τοῖς μὲν δέδοται, τοῖς δὲ οὔ; Μὴ γένοιτο! ἀλλ' ἐκείνοις δέδοται, τοῖς ζητοῦσι. « Ζητεῖτε γάρ, φησί, καὶ δοθήσεται ὑμῖν. » Τοὺς δὲ λοιποὺς ἐτύφλωσεν ὁ Θεός, ἵνα μὴ πρὸς πλείονα κατάκρισιν αὐτῶν εἴη τὸ νοεῖν τὸ δέον, μὴ πραττόντων αὐτό. Ἄλλως· Θέλεις γνῶναι ὅτι ὁ

77-78 Luc. viii, 10.

A fructum non dedit. Et aliud cecidit in terram bonam, et dabat fructum emergentem et crescentem, et afferebat unum triginta, et unum sexaginta, et unum centum. Ac dicebat illis: Qui habet aures ad audiendum, audiat Cum autem cœpisset esse solus, interrogaverunt eum hi qui circa ipsum erant cum duodecim de parabola, et dicebat eis: Vobis datum est nosse mysterium regni Dei; illis autem qui foris sunt, per parabolas omnia fiunt: ut videntes videant et non cernant; et audientes audiant et non intelligant, nequando convertantur et remittantur eis peccata. » Primam hanc parabolam ponit, quæ est de semine, quo reddantur auditores attentiores. Quo enim dicturus erat verbum esse semen, quod ubi ceciderit in parum attentos, corrumpitur: propterea ante alia hæc dicit, ut auditores studeant non illi terræ similes fieri, quæ semen disperdit. Quis igitur est qui seminat? ipse Christus qui exivit e Paternis sinibus ineffabili misericordia se nobis attemperans. Exivit autem non ut incendat maledictam terram et mala corda, neque ut exsecet spinas, sed ut seminet semen. Quale autem semen? Nunquid Mosis? nunquid prophetarum? Non, sed suum, hoc est ut Evangelium suum prædicet. Ille igitur seminavit. Jam semen aliud in animam a multis conculcatam cecidit: et volatilia cœli, dæmones dico, qui aerem inhabitant, comederunt semen. Tales enim sunt qui hominibus placere volunt, via scilicet conculcata a multis: quando enim quis omnia facit ut huic et illi placeat et iste a multis conculcatur. Vide autem quod non dixerit se projecisse illud in viam, sed cecidisse. Nam qui seminat, ceu in terram bonam projicit: illa autem si inventa fuerit mala, semen, seu verbum corrumpit. Quidam autem per semen quod secus viam cecidit, pulchre intellexerunt quod ceciderit in cor infidele. Via enim est Christus, cæterum secus viam, sunt infideles qui extra viam sunt, hoc est Christum. Aliud autem cadit in animam petrosam: eos dico, qui facile suscipiunt, et deinde abjiciunt. Qui petrosi sunt, ad parvum tempus similes facti petræ Christo, in hoc quod sermonem susceperunt: dissimiles autem facti, eo quod ad tempus breve susceperunt, et deinde abjecerunt. Et aliud in animam cecidit multis curis obnoxiam, spinæ enim curæ sunt. Denique quartum in terram bonam cecidit. Proinde vide quomodo rara sint bona, et pauci qui serventur: nam quartum **191** tantum semen invenitur servatum. Porro discipulis seorsim interrogantibus inquit, « Vobis datum est nosse mysteria [77-78]. » Nunquid igitur per segregationem et naturale fatum aliis quidem datum est, aliis vero non? Absit! sed illis datum est qui inquirunt. « Quærite enim, inquit, et dabitur vobis. » Cæteros autem excœcavit Deus, ne sit illis in majorem condemnationem si intelligant et non faciant Et aliter: Vis scire quia Deus

facit omnes videre? audi. *Ut videntes*, hoc est Dei: *non videant*, istud est malitiæ illorum. Deus enim formavit eos videntes, hoc est bonum intelligentes: ipsi autem non vident, sua sponte oculos claudentes, ne convertantur et emendentur, quasi suæ ipsorum saluti et emendationi invideant. Potest etiam et sic intelligi: Aliis in parabolis loquor, ut videntes non videant, et audientes non intelligant, nequando ex hoc convertantur et emendentur.

A Θεὸς πάντας ἐποίησε βλέπειν τὸ δέον; ἄκουε. Ἵνα βλέποντες· τοῦτο τοῦ Θεοῦ· μὴ βλέπωσι, τοῦτο τῆς κακίας αὐτῶν. Ὁ μὲν γὰρ Θεὸς βλέποντας αὐτοὺς ἔπλασε, τουτέστι, νοοῦντας τὸ καλὸν, αὐτοὶ δὲ οὐ βλέπουσιν, ἑκουσίως καμμύοντες, ἵνα μὴ ἐπιστραφῶσι καὶ διορθωθῶσιν· ὥσπερεὶ γὰρ τῇ ἑαυτῶν σωτηρίᾳ καὶ βελτιώσει φθονοῦσιν. Ἔστι δὲ καὶ οὕτω νοῆσαι, ὅτι, Τοῖς λοιποῖς ἐν παραβολαῖς λέγω, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσι, μήποτε κἂν ἐκ τούτου ἐπιστρέψωσι καὶ διορθωθῶσιν.

VERS. 13-20. « Et ait illis: Nescitis parabolam hanc? et quomodo omnes parabolas cognoscetis? Seminator ille sermonem seminat. Isti vero sunt qui juxta viam dicuntur, ubi seminatur sermo, et cum audierint, confestim venit Satanas, et aufert sermonem qui seminatus est in cordibus eorum. Et alii sunt similiter qui in petrosa semen accipiunt, qui cum audierint sermonem, statim cum gaudio accipiunt illum, et non habent radicem in se, sed temporarii sunt: deinde coorta afflictione aut persecutione propter sermonem, confestim offenduntur. Et alii sunt qui in spinas semen accipiunt. Ii sunt qui sermonem audiunt: at sollicitudines sæculi hujus, deceptioque divitiarum, cæterarumque rerum cupiditates introeuntes, suffocant sermonem, ac redditur infructifer. Et alii sunt qui in terram bonam semen exceperunt, qui audiunt verbum. et suscipiunt, et fructificant, ita ut aliud granum afferat triginta, aliud sexaginta, aliud centum. » Tres ordines sunt hoc loco eorum in quibus verbum perditur. Nam hi qui sunt secus viam, parum attenti sunt; hi autem qui comparantur petræ, pusillanimes; illi vero qui comparantur spinis, delicati. Eorum quoque qui suscipiunt et conservant semen, similiter tres sunt ordines. Nam qui fructum afferunt centuplum, sunt qui perfectam et summam vitam agunt; qui autem sexagecuplum, hi mediocrem; hi vero qui trigecuplum, sunt qui parva quidem, afferunt tamen et ipsi pro suis viribus, ut exempli gratia, virgines et solitarii: item alii qui in cœnobiis et congregationibus vivunt: alii quoque laici et conjugati. Verumtamen Dominus omnes tanquam fructum afferentes suscipit. Gratia sit ejus misericordiæ

« Καὶ λέγει αὐτοῖς· Οὐκ οἴδατε τὴν παραβολὴν ταύτην; καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε; Ὁ σπείρων, τὸν λόγον σπείρει. Οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν· ὅπου σπείρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, B εὐθέως ἔρχεται ὁ Σατανᾶς, καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν. Καὶ οὗτοί εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι, οἳ ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτὸν, καὶ οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν· εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως σκανδαλίζονται. Καὶ οὗτοί εἰσιν, οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οἱ τὸν λόγον ἀκούοντες, καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι, εἰσπορευόμεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται. Καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον καὶ παραδέχονται, καὶ καρποφοροῦσιν ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν. » Τρεῖς C τάξεις εἰσὶν ἐνταῦθα τῆς ἀπωλείας τοῦ λόγου. Οἱ μὲν γὰρ παρὰ τὴν ὁδὸν, ἀπρόσεκτοι, οἱ δὲ παρὰ τὴν πέτραν, μικρόψυχοι, οἱ δὲ παρὰ τὰς ἀκάνθας, οἱ τρυφηταί. Τῶν μέντοι παραδεξαμένων καὶ διασωσάντων τὸν σπορον, πάλιν τρεῖς τάξεις· οἱ μὲν καρποφοροῦντες ἐν ἑκατὸν, οἱ τέλειον βίον καὶ ἀκρότατον ἔχοντες· οἱ δὲ ἐν ἑξήκοντα, οἱ μέσως ἔχοντες, οἱ δὲ ἐν τριάκοντα, ὅσοι μικρὰ μὲν, πλὴν καὶ αὐτοὶ κατὰ δύναμιν εἰσφέροντες· οἷον, οἱ μέν εἰσι παρθένοι καὶ ἐρημικοὶ, ἄλλοι μιγάδες καὶ ἐν κοινοβίῳ, ἕτεροι λαϊκοὶ καὶ ἐν γάμῳ. Πλὴν πάντας ὁ Κύριος ὡς καρποφοροῦντας δέχεται· καὶ χάρις τῇ αὐτοῦ φιλανθρωπίᾳ.

VERS. 21-23. « Et dicebat illis: Num lucerna venit ut subter modium ponatur. aut super lectum? Nonne ut super candelabrum ponatur? Non est enim 92 quidquam occultum quod non manifestetur: neque fuit secretum, nisi ut in propatulum veniat. Si quis habet aures ad audiendum, audiat. » Hoc loco admonet apostolos ut sint claræ et honestæ vitæ; dicit enim: Sicut lucerna ponitur ut luceat, ita et vita vestra omnibus conspicua erit, et omnes ad ipsum respicient: idcirco date operam ut vita vestra bona sit. Neque enim in angulo sedetis, sed lucerna estis. Lucerna autem non sub lecto occultatur, sed sd super candelabrum posita, lucet. Est autem et unusquisque nostrum, lucerna,

D « Καὶ ἔλεγεν αὐτοῖς· Μή τι ὁ λύχνος ἔρχεται ἵνα ὑπὸ τὸν μόδιον τεθῇ, ἢ ὑπὸ τὴν κλίνην; Οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ; Οὐ γάρ ἐστί τι κρυπτὸν, ὃ ἐὰν μὴ φανερωθῇ, οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ' ἵνα εἰς φανερὸν ἔλθῃ. Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. » Ἐνταῦθα παραινεῖ τοῖς ἀποστόλοις, λαμπροὺς εἶναι κατὰ τὸν βίον καὶ τὴν πολιτείαν· Ὥσπερ γὰρ ὁ λύχνος, φησὶν, εἰς τὸ λάμπειν τίθεται, οὕτω καὶ ὁ ὑμέτερος βίος πᾶσι περίβλεπτος ἔσται, καὶ πάντες πρὸς αὐτὸν βλέψουσιν· ὥστε σπουδάσατε ἀγαθὸν βίον ἔχειν. Οὐ γὰρ ἐν γωνίᾳ κάθησθε, ἀλλὰ λύχνος ἐστέ. Ὁ δὲ λύχνος οὐχ ὑπὸ κλίνην κρύπτεται ἀλλ' ἐν τῇ λυχνίᾳ τεθεὶς φαίνει. Ἔστι δὲ καὶ ἡμῶν ἕκαστος, λύχνος, ὃς ὀφείλει τίθεσθαι ἐπὶ τὴν λυ-

χνίαν, τουτέστιν ἐπὶ τὸ ὕψος τῆς κατὰ Θεὸν πολιτείας, ἵνα καὶ ἑτέροις δύνηται λάμπειν, ἀλλ' οὐχ ὑπὸ τὸν μόδιον, τουτέστιν ὑπὸ τὴν γαστριμαργίαν, καί τὴν περὶ τὰ σιτα σπουδὴν, οὐδ' ὑπὸ τὴν κλίνην, τουτέστι τὴν ἀνάπαυσιν. Οὐδεὶς γὰρ περὶ τὰ σῖτα σπουδάζων, καὶ ἄνεσιν ποθῶν, δύναται λύχνος εἶναι πᾶσι φαίνων διὰ τοῦ οἰκείου βίου. Οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ μὴ φανερωθῇ. Εἴτε ἀγαθόν τι, εἴτε πονηρὸν ἐν τῷ λεληθότι ποιεῖ, φανερωθήσεται καὶ ἐνταυθα, καὶ πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι. Τί γὰρ ἦν κρυφιώτερον Θεοῦ; ἀλλ' ὅμως καὶ οὗτος ἐφανερώθη ἐν σαρκί.

« Καὶ ἔλεγεν αὐτοῖς· Βλέπετε τί ἀκούετε. Ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, καὶ προστεθήσεται ὑμῖν τοῖς ἀκούουσιν. Ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ, καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. » Πρὸς νηφαλιότητα διεγείρει τοὺς μαθητάς. Βλέπετε γάρ, φησί, τί ἀκούετε, μηδὲν ὑμᾶς τῶν λεγομένων παρ' ἐμοῦ διαφευγέτω. Ἐν ᾧ γὰρ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, τουτέστιν, ἡλίκον μέτρον προσοχῆς εἰσφέρετε, τηλικαύτη καὶ ὠφέλεια δοθήσεται ὑμῖν (53). Ὁ γὰρ ἀκροατὴς ἐὰν μὲν πάνυ προσέχῃ καὶ εἰς ἄκρον, ἀντιδίδωσιν αὐτῷ ὁ Θεὸς καὶ τὴν ὠφέλειαν πολλήν· ἐὰν δὲ χαῦνος ᾖ, κατὰ ἀναλογίαν καὶ τὸ κέρδος τῆς ὠφελείας. Ὃς γὰρ ἂν ἔχῃ προθυμίαν καὶ σπουδὴν, δοθήσεται αὐτῷ καὶ ὠφέλεια· ὃς δ' οὐκ ἔχει προθυμίαν καὶ σπουδὴν, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ (54). Διὰ γὰρ τῆς ῥαθυμίας κατασβέννυται καὶ ὁ μικρὸς σπινθὴρ ὃν πρότερον εἶχεν, ὥσπερ ὑπὸ τῆς ἐπιμελείας ἀνάπτεται.

« Καὶ ἔλεγεν· Οὕτως ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς, καὶ καθεύδῃ καὶ ἐγείρηται, νύκτα καὶ ἡμέραν, καὶ ὁ σπόρος βλαστάνῃ καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός. Αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ. Ὅταν δὲ παραδῷ ὁ καρπὸς, εὐθέως ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός. » Βασιλείαν τοῦ Θεοῦ, τὴν περὶ ἡμᾶς οἰκονομίαν τοῦ Θεοῦ νόει. Ἄνθρωπος μὲν γάρ ἐστιν αὐτὸς ὁ Θεὸς, ὁ γενόμενος δι' ἡμᾶς ἄνθρωπος. Σπόρον δὲ ἔβαλεν ἐπὶ τῆς γῆς, τοῦ Εὐαγγελίου τὸ κήρυγμα· βαλὼν δὲ τοῦτον, καθεύδει, τουτέστιν, ἀνῆλθεν εἰς οὐρανούς· ἀλλ' ὅμως ἐγείρεται νύκτα καὶ ἡμέραν. Εἰ γὰρ καὶ καθεύδειν δοκεῖ ὁ Θεὸς, ἀλλ' ἐγείρεται· νύκτα μὲν, ὅταν διὰ τῶν πειρασμῶν εἰς τὴν αὐτοῦ ἐπίγνωσιν ἡμᾶς ἀνιστᾷ· ἡμέραν δὲ, ὅταν διὰ τῶν ἡδέων καὶ εὐφροσύνων οἰκονομῇ τὴν ἡμετέραν ζωήν. Μηκύνεται δὲ ὁ σπόρος ὡς οὐκ οἶδεν αὐτός· αὐτεξούσιοι γὰρ ἐσμεν, καὶ ἐν τῇ ἡμετέρᾳ προαιρέσει κεῖται τὸ τὸν σπόρον ἢ αὐξάνεσθαι ἢ μή. Ἐπεὶ μηδὲ ἀνάγκῃ καρποφοροῦμεν, ἀλλ' αὐτομάτως, τουτέστιν, ἀφ' ἑαυτῶν καρποφοροῦ-

A qui debet poni super candelabrum, hoc est super summitatem divinæ vitæ, ut aliis possit lucere : sed non sub modio, hoc est sub gastrimargia, et ciborum cura : neque sub lecto, hoc est quiete. Nullus enim cui sibi curæ sunt, et qui requiem desiderat, potest lucerna esse omnibus lucens etiam per suam vitam. Non enim est occultum, quod non manifestetur. Unusquisque vestrum, sive bonum quid fecerit, sive malum in occulto, manifestabitur etiam hic, et multo magis in futuro sæculo. Quid enim absconditius Deo? attamen et ipse manifestatus est in carne.

VERS. 24, 25. « Et dicebat illis : Videte quid audiatis. Qua mensura metiemini, alii metientur vobis : et adjicietur vobis qui auditis. Qui enim habet, dabitur illi : et qui non habet, etiam quod habet. B auferetur ab eo. » Ad vigilantiam hortatur discipulos. Videte enim, inquit, quid audiatis, nullum ex dictis meis vos fugiat. In qua mensura mensi fueritis, remetientur alii vobis, hoc est qualem mensuram attentionis attuleritis, talis etiam utilitas vobis dabitur. Auditor enim si attenderit quantum potest, magnum illi commodum Deus dabit : sin remissus fuerit, juxta ejus remissionem et lucrum imminuetur. Illi enim dabitur qui alacer est et diligens : ab eo autem qui segnis fuerit ac ignavus, tol etur etiam quod videtur habere. Propter ignaviam enim exstinguitur etiam parva scintilla quam habet, per alacritatem redaccenditur.

C

VERS. 26-29. « Et dicebat : Sic est regnum Dei, quemadmodum si homo jaciat sementem in terram ac dormiat atque exsurgat die ac nocte, segesque germinat, ac surgat in altum dum nescit ille. Ultro enim terra fructificat, primum herbam, deinde spicam, postremo plenum frumentum in spica. Cum autem productus fuerit fructus, statim mittit falcem, quoniam adest messis. » Regnum Dei intellige Dei propter nos incarnationem. Homo enim est ipse Deus, qui propter nos factus est homo Semen autem misit super terram, Evangelii prædicationem, illoque projecto dormit, hoc est ascendit in cœlos : attamen surgit nocte et die. Nam quamvis Deus dormire videatur, surgit tamen : et D nocte quidem, quando per tentationes in 193 sui cognitionem nos suscitat : die vero, quando per suavia et jucunda nostram vitam moderetur. Crescit autem semen ipso nescio, liberi enim arbitrii sumus, et in nostra electione oportebit semen vel crescere, vel non. Neque enim coacti et necessario fructum afferimus, sed sponte, hoc est a nobisipsis : primum quidem herbam florentem ac

**Ex collatione codd. Venet. S. Marci.**

(53) Cod. 26 addit : Καὶ οὐ μόνον ἐν τῷ αὐτῷ μέτρῳ, ἀλλὰ καὶ προστεθήσεται πλέον, « Et non solum in eadem mensura; sed plus etiam adjicietur. »

(54) Idem cod., ἀπ' αὐτοῦ, τοῦτ' ἔστι, καὶ ὃ ἔχει σπέρμα γνώσεως ἀρθήσεται ἀπ' αὐτοῦ. Διὰ γάρ, κ. τ. λ. « Hoc est, et illud quod habet semen cognitionis, tolletur ab eo. »

primitias boni demonstrantes, quando parvuli sumus, et nondum ad mensuram Jesu Christi pervenimus; deinde spicam proferimus, quando et contra tentationes consistere valemus. Spica enim et geniculis cingitur, et recte stat, et perfectior est. Postea plenum etiam frumentum in spica, cum perfectum quis fructum attulerit. Quando autem adfuerit messis, tunc falx, hoc est verbum Dei, congregat fructum. Per messem intellige consummationem sæculi.

A μεν, πρῶτον χόρτον ἀνθοῦντες καὶ ἀρχὴν τοῦ ἀγαθοῦ ἐπιδεικνύντες, ὅτε νήπιοί ἐσμεν, καὶ οὔπω εἰς τὸ μέτρον τῆς κατὰ Χριστὸν ἡλικίας ἐφθάσαμεν· εἶτα στάχυν, ὅταν καὶ πρὸς πειρασμοὺς δυνώμεθα ἵστασθαι. Ὁ γὰρ στάχυς ἤδη καὶ γόνασιν διαζώννυται, καὶ ὄρθιος ἵσταται, καὶ τελειότερός ἐστιν. Εἶτα καὶ πλήρη σῖτον ἐν τῷ στάχυϊ, ὅταν τὸ τέλειον καρποφορῇ τις. Ὅταν δὲ παραδῷ τὸ θέρος (55), τότε τὸ δρέπανον συνάγει τὸν καρπόν. Δρέπανον δὲ νόει τὸν τοῦ Θεοῦ λόγον· θερισμὸν δὲ, τὸν τῆς συντελείας καιρόν.

VERS. 30-34. « Et dicebat: Cui assimilabimus regnum cœlorum? aut qua collatione conferemus illud? Est sicut granum sinapis, quod cum seminatum fuerit in terra, minus est omnibus seminibus quæ sunt in terra, et cum seminatum fuerit, exsurgit, et fit majus omnibus oleribus, et facit ramos magnos, ita ut possint sub umbra ejus aves cœli nidificare. Et talibus multis parabolis loquebatur eis sermonem, prout poterant audire. Sine parabola non loquebatur eis: seorsum autem discipulis suis exponebat omnia. Parvus quidem sermo fidei. Nam si credideris in Christum, salvaberis. » Vide, quantus sermo, tantum est et granum sinapis. Nam prædicatio missa super terram, dilatata est et crevit, ita ut volatilia cœli, hoc est, omnes sublimes scientia et sensu, in ipso habitent. Quot enim sapientes, relicta sapientia gentilium, in prædicatione requieverunt? Maxima igitur fuit prædicatio, et magnos ramos fecit. Unus enim apostolorum ad Indiam, alius Romam, alius Achaiam, et alius in aliam partem terræ, divisi sunt ut rami. Dicebat autem ad turbas in parabolis multis juxta habitudinem audientium compositis parabolis. Quoniam enim turba erat imperita et indocta, ideo mentionem facit grani sinapis, et herbæ, et seminis, ut cognatis et consuetis nominibus doceat eos utile quiddam, vel excitet ut accedant et interrogent, et interrogando quæ ignorant discant. Discipulis enim exponebat omnia, quoniam seorsum accedebant eum, et interrogabant. Omnia autem solvebat quæcunque ignorantes rogabant; non enim simpliciter omnia, et quæ manifesta. Nam ex his quæ interrogantes didicerant, cætera etiam illis manifesta erant, et ita omnia exponebat eis.

« Καὶ ἔλεγε· Τίνι ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ Θεοῦ; ἢ ἐν ποίᾳ παραβολῇ παραβάλωμεν αὐτήν; Ὡς κόκκον σινάπεως, ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερος πάντων τῶν σπερμάτων ἐστὶ τῶν ἐπὶ B τῆς γῆς, καὶ ὅταν σπαρῇ, ἀναβαίνει καὶ γίνεται πάντων τῶν λαχάνων μείζων, καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν. Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν. Χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς· κατ' ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ ἐπέλυε πάντα. Σμικρὸς μὲν ὁ λόγος τῆς πίστεως. Πίστευσον γὰρ εἰς Χριστὸν, καὶ σωθήσῃ. » Ὁρᾷς, πηλίκος ὁ λόγος, ἡλίκος καὶ ὁ τοῦ σινάπεως κόκκος. Ἀλλὰ σπαρὲν ἐπὶ τῆς γῆς τὸ κήρυγμα, ἐπλατύνθη καὶ ηὐξήθη, ὥστε τὰ πετεινὰ τοῦ οὐρανοῦ, τουτέστι, πάντας τοὺς μετεώρους καὶ ὑψηλοὺς τῷ φρονήματι καὶ τῇ γνώσει, ἐπ' αὐτῷ κατασκηνοῦν. Πόσοι γὰρ σοφοὶ, τὴν Ἑλληνικὴν ἀφέντες σοφίαν, ἐπὸ τῷ κηρύγματι ἀνεπαύθησαν; Πάντων οὖν μεῖζον ἐγένετο τὸ C κήρυγμα, καὶ κλάδους μεγάλους ἐποίησεν. Ὁ μὲν γὰρ τῶν ἀποστόλων εἰς Ῥώμην, ὁ δὲ εἰς Ἰνδίαν, ὁ δὲ εἰς Ἀχαΐαν, ἄλλος εἰς ἄλλο μέρος τῆς γῆς διεσχίσθησαν ὥσπερ κλάδοι. Ἔλεγε δὲ τοῖς ὄχλοις ἐν παραβολαῖς πολλαῖς, πρὸς τὴν ἕξιν τῶν ἀκουόντων παρατιθεὶς τὰς παραβολάς. Ἐπειδὴ γὰρ ὄχλος ἦσαν ἰδιώτης καὶ ἀμαθὴς, τούτου ἕνεκεν μέμνηται κόκκου σινάπεως, καὶ χόρτου, καὶ σπόρου, ἵνα ἀπὸ τῶν συντρόφων καὶ συνήθων αὐτοῖς ὀνομάτων διδάξῃ αὐτοὺς ὠφέλιμόν τι, ἢ παρακινήσῃ γοῦν εἰς τὸ προσελθεῖν καὶ ἐρωτῆσαι, καὶ διὰ τῆς ἐρωτήσεως τὰ ἀγνοούμενα μαθεῖν. Τοῖς γάρ τοι μαθηταῖς ἐπέλυε πάντα κατ' ἰδίαν, προσερχομένοις δηλαδὴ καὶ ἐρωτῶσι. Πάντα δὲ ἔλυεν, ὅσα ἠρώτων ὡς ἀγνοοῦντες. Οὐ γὰρ ἁπλῶς πάντα, καὶ τὰ σαφῆ. Ἀπὸ γὰρ τούτων ὧν ἐρωτῶντες ἐμάνθανον, σαφῆ ἦσαν αὐτοῖς καὶ τἄλλα· ὥστε πάντα ἐπελύοντο αὐτοῖς.

VERS. 35-40. « Et dicit illis in die illo, cum facta esset vespera: Transeamus in ulteriorem ripam. Et dimissa turba assumunt eum ita ut erat in navi,
194 sed et aliæ naviculæ erant cum eo, et oritur

« Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ (56), ὀψίας γενομένης· Διέλθωμεν εἰς τὸ πέραν. Καὶ ἀφέντες τὸν ὄχλον, παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ. Καὶ ἄλλα δὲ πλοιάρια ἦν μετ' αὐτοῦ. Καὶ

Ex collatione codd. Venet. S. Marci.

(55) Cod. 26. Ὅταν δὲ παραδῷ τὸ θέρος, ἀντὶ τοῦ, ὥριμος γένηται, τοῦτ' ἔστιν, ὅταν πάντες οἱ καρποφορεῖσθαι μέλλοντες καρποφορήσωσι, τότε τὸ δρέπανον, κ. τ. λ. « Quando autem adfuerit messis, hoc est, cum ad maturitatem pervenerit: seu quando omnes, qui fructus facturi sunt, fecerint, tunc falx congregat fructum. »

(56) Cod. 26 addit: Τὸ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἴσον ἐστὶ τῷ ἐν μιᾷ ἡμερῶν, ὡς εἶπε Λουκᾶς. Οὐ γὰρ ἐκείνην δηλοῖ, καθ' ἣν εἶπε τὴν παραβολὴν, ἀλλ' ἑτέραν καθ' ἣν τὰ ῥηθησόμενα γέγονεν. Ἄλλως μὲν γὰρ, κ. τ. λ. « Illud *in die illo*, æquivalet ei; quod ait Lucas: *in una dierum*: non enim eam diem designat, in qua parabolam dixit; sed aliam, in qua videlicet, ea, quæ dicturus erat, contigerunt. Aliter autem, » etc.

γίνεται λαῖλαψ ἀνέμου μεγάλη· τὰ δὲ κύματα ἐπ- A έβαλλεν εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι· Καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων, καὶ διεγείρουσιν αὐτὸν, καὶ λέγουσιν αὐτῷ· Διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; Καὶ διεγερθεὶς, ἐπετίμησε τῷ ἀνέμῳ, καὶ εἶπε τῇ θαλάσσῃ· Σιώπα, πεφίμωσο. Καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη, καὶ εἶπεν αὐτοῖς· Τί δειλοί ἐστε οὕτω; Πῶς οὐκ ἔχετε πίστιν; Καὶ ἐφοβήθησαν φόβον μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλους· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ; » Ἄλλως μὲν ταῦτα διηγήσατο ὁ Ματθαῖος, ἄλλως δὲ ὁ Μάρκος· ἃ γὰρ ἐκεῖνος εἶπε πλατύτερον, οὗτος συνέστειλε· καὶ τοὐναντίον, ἃ ἐκεῖνος συνέστειλεν, οὗτος ἐπλάτυνε (57). Παραλαμ- B βάνει οὖν μόνους τοὺς μαθητὰς, θεατὰς τοῦ μέλλοντος ἔσεσθαι θαύματος ποιῶν· ἵνα δὲ μὴ ἐπαρθῶσιν ὅτι τοὺς ἄλλους ἐκπέμψας αὐτοὺς κατέσχεν, ἀφίησι κλυδωνισθῆναι, καὶ ἅμα ἵνα διδάξῃ πειρασμοὺς φέρειν. Καθεύδει δὲ, ἵνα μεῖζον φανῇ αὐτοῖς τὸ θαῦμα, πρότερον θορυβηθεῖσιν· εἰ γὰρ ἐγρηγορότος τοῦ Χριστοῦ ὁ κλύδων ἐγένετο, ἢ οὐκ ἂν ἐφοβήθησαν, ἢ οὐκ ἂν παρεκάλεσαν. Ἀφίησιν οὖν αὐτοὺς φόβῳ κινδύνου περιπεσεῖν, ἵνα εἰς αἴσθησιν τῶς αὐτοῦ δυνάμεως ἔλθωσιν. Ἐπεὶ γὰρ τοὺς μὲν ἄλλους ἔβλεπον εὐεργετουμένους, αὐτοὶ δὲ οὐδενὸς τοιούτου ἀπήλαυσαν, κίνδυνος ἦν ῥαθυμοτέρους αὐτοὺς γενέσθαι. Συγχωρεῖ οὖν ἐπιγενέσθαι τὸν χειμῶνα· καθεύδει δὲ ἐπὶ τὸ προσκεφάλαιον τὸ τοῦ πλοίου, ξύλινον δὲ παντως ἦν τοῦτο. Διυπνι- C σθεὶς δὲ, ἐπιτιμᾷ πρότερον τῷ ἀνέμῳ (οὗτος γὰρ ἐστιν ὁ τὴν θάλασσαν ἀγριαίνειν παρασκευάζων), εἶτα καὶ θαλάσσῃ. Ἐπιτιμᾷ δὲ καὶ τοῖς μαθηταῖς, ὡς μὴ ἔχουσι πίστιν· εἰ γὰρ εἶχον πίστιν, ἐπίστευσαν ἂν ὅτι καὶ κοιμώμενος δύναται ἀβλαβεῖς αὐτοὺς διατηρῆσαι. Ἔλεγον δὲ πρὸς ἀλλήλους· Τίς ἄρα ἐστὶν οὗτος; Ἔτι γὰρ ἀμφιβόλως εἶχον περὶ αὐτοῦ· καθὸ μὲν γὰρ ἐπιτάγματι μόνῳ τὴν θάλασσαν κατεκοίμισε, καὶ οὔτε ῥάβδῳ, ὡς ὁ Μωσῆς, οὔτε ἐπικλήσει ὡς ὁ Ἐλισσαῖος τὸν Ἰορδάνην, οὔτε τῇ κιβωτῷ ὡς Ἰησοῦς ὁ τοῦ Ναυῆ, διὰ τοῦτο ὑπὲρ ἄνθρωπον αὐτοῖς ἐδόκει· καθὸ δὲ ὑπνώττειν, ἄνθρωπος πάλιν αὐτοῖς ἐφαίνετο.

procella venti magna, et fluctus irruebant in navim, ita ut illa jam impleretur. Et erat ipse in puppi super cervical dormiens, et excitant eum, dicuntque illi : Præceptor, non est tibi curæ quod perimus? Et excitatus increpavit ventum, dixitque mari : Tace, obmutesce. Et conquievit ventus, factaque est tranquillitas magna, et ait illis : Quid timidi estis adeo? Qui fit ut non habeatis fiduciam? Et timuerunt timore magno, dicebantque inter sese : Quisnam hic est, quia ventus et mare obediunt ei? » Aliter hæc enarravit Matthæus, aliter Marcus. Nam quæ ille dixit diffusius, hic in compendium contraxit : et e diverso quæ ille contractius, hic diffusius dicit Assumit igitnr solos discipulos, qui futuri miraculi spectatores essent. Porro ne extollerentur quod ipsos dimissis aliis assumpserat, et ut doceat ferendas tentationes, relinquit eos procellis periclitari. Dormit autem, ut majus appareat miraculum, cum prius turbati fuissent. Nam si vigilasset Christus, et facta fuisset tempestas, vel non timuissent, vel non orassent: proinde permisit eos in metum periculi incidere, quo virtutem ipsius sentirent manifestius. Quia enim videbant aliis beneficia dari, sese autem nullo tali frui, periculum erat ne fierent negligentiores. Itaque tempestatem oriri permittit. Porro super cervical dormit, quod in navi erat, nimirum ligneum. Excitatus vero, primum increpavit ventum (hic enim est qui ferox reddiderat mare), deinde et mare. Discipulos autem increpavit, eo quod non habuerant fidem. Nam si fidem habuissent, credidissent utique quod et dormiens posset illos servare illæsos. Dicebant autem inter se : Quisnam est hic? Adhuc enim de eo dubitabant. Cæterum secundum quod solo præcepto mare sedavit, et non virga, ut Moyses mare : neque invocatione, ut Elisæus Jordanem : neque arca, ut Jesus Nave : propterea super hominem illis videbatur. In eo autem quod dormivit, rursum eis homo videbatur.

## ΚΕΦΑΛ. Ε'.

D

Περὶ τοῦ λεγεῶνος. Περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου. Περὶ τῆς αἱμοῤῥοούσης.

« Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης, εἰς τὴν χώραν τῶν Γαδαρηνῶν. Καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου, εὐθέως ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνήμασι, καὶ οὔτε ἁλύσεσιν οὐδεὶς ἐδύνατο αὐτὸν δῆσαι, διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσι δεδέσθαι, καὶ διεσπάσθαι ὑπ' αὐτοῦ τὰς

## CAPUT V.

*De legione dæmonum. De filia principis Synagogæ. De hæmorrhoissa.*

VERS. 1-5. « Et venerunt trajecto mari in regionem Gadarenorum. Egressoque ei de navi statim occurrit e monumentis homo spiritui obnoxius immundo, qui domicilium habebat in monumentis, et neque catenis quisquam poterat eum ligare, propterea quod cum sæpe compedibus et catenis vinctus fuisset, discerptæ essent ab illo catenæ,

**Ex collatione codd. Venet. S. Marci.**

(57) Idem Cod., Οὗτος ἐπλάτυνε. Μετὰ τοῦ πλοίου δηλαδὴ, ἐν ᾧ ἦν ὁ Χριστὸς, καὶ ἄλλα πλοιάρια ἦν· προσέθηκε δὲ περὶ τούτων οὐχ ἁπλῶς, ἀλλὰ δεῖξαι θέλων ὅτι τοῦτο μόνον ἐκλυδωνίσθη κατ' οἰκονομίαν. Παραλαμβάνει οὖν, κ. τ. λ. « Hic diffusius dicit. Cumnavi videlicet. in qua erat Christus, aliæ etiam naviculæ erant. De his vero mentionem facit non inconsulto ; sed ut ostenderet, eam non nisi divina dispensatione fluctibus agitatam fuisse. Assumit igitur, » etc.

et compedes essent comminutæ, neque quisquam 195 valuisset eum domare, et semper die ac nocte in montibus ac monumentis erat clamans, et concidens seipsum lapidibus.» Probatiora exemplaria habent, in regionem Gergesenorum. Porro Matthæus duos dicit dæmonio agitatos : Marcus vero et Lucas unum, atrociorem videlicet in medium proferentes. Venit igitur qui dæmonio agitabatur, confitens illum esse Filium Dei. Quoniam in navi dubitabant discipuli quantus hic esset, majoris fidei fit testimonium ab inimicis : quos per dæmones intelligo. Habitabat autem in sepulcris, volens hominibus malam opinionem inferre, quod morientium animæ dæmones fiant : quod absit ut quis credat.

VERS. 6-10. « Cum vidisset autem Jesum eminus, cucurrit et adoravit eum, et clamans voce magna dixit : Quid mihi tecum est, Jesu, Fili Dei altissimi? adjuro te per Deum, ne me torqueas. Dicebat enim illi : Exi, spiritus immunde, ab homine. Et interrogabat eum : Quod tibi nomen est? Et respondit dicens ei : Legio mihi nomen est, quia multi sumus. Et deprecabatur eum multum, ne se emitteret extra regionem. » Tormentum suum putant dæmones, si cogentur exire ab homine ; ideo dicunt : Ne torqueas, hoc est, ne educas nos ex habitaculo nostro, hoc est homine. Sed et aliter existimabant quod propter gravia quæ attentassent, non ultra passurus esset ipsos, sed mox suppliciis traditurus, idcirco et orant ne se torqueat. Interrogat autem illum Dominus, non ut ipse discat, sed ut alii discant multitudinem dæmoniorum qui in illo erant. Quandoquidem unus apparebat esse, ostendit Jesus cum quot inimicis miserabilis homo ille certaret.

VERS. 11-14. « Erat autem ibi juxta montem grex porcorum magnus pascens, et deprecabantur eum omnes dæmones dicentes : Mitte nos in porcos, ut in eos introeamus. Et permisit eis statim Jesus. Et egressi spiritus immundi ingressi sunt in porcos. Et ferebatur grex per præceps in mare. Erant autem ferme bis mille, et suffocati sunt in mari. Porro qui pascebant porcos, fugerunt et renuntiaverunt in civitatem, et in agros. » Dæmones orant Dominum ne mitteret se extra regionem, sed in gregem porcorum. Ipse autem hoc permisit. Quia enim certamen est vita nostra, noluit Dominus extra hanc vitam dæmones esse, ut certantes nobiscum nos probatiores commonstrarent. Permittit autem illis intrare in porcos: ut discamus, quod sicut non pepercerunt porcis, ita neque homini illi pepercissent, nisi eum divina virtus custodisset; dæmones enim cum inimici nostri sint, protinus nos conciderent, nisi Deus nos conservaret. Disce autem quod neque in porcos habent potestatem dæmones, et multo minus in homines, nisi permittat Deus. Observa 196 autem quod in homines qui porcorum more vivunt, et in luto voluptatis versantur, ingre-

A ἁλύσεις, καὶ τὰς πέδας συντετρῖφθαι· καὶ οὐδεὶς αὐτὸν ἴσχυε δαμάσαι· καὶ διὰ παντὸς, νυκτὸς καὶ ἡμέρας, ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς μνήμασιν ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις. » Τὰ ἀκριβέστερα τῶν ἀντιγράφων, εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ἔχει. Ὁ μὲν οὖν Ματθαῖος δύο εἶναι τοὺς δαιμονιζομένους λέγει· ὁ δὲ Μάρκος καὶ ὁ Λουκᾶς, ἕνα· τὸν γὰρ χαλεπώτερον ἐπιλεξάμενοι, διηγοῦνται περὶ αὐτοῦ. Ἔρχεται τοίνυν ὁ δαιμονιζόμενος, Υἱὸν αὐτὸν ὁμολογῶν εἶναι Θεοῦ. Ἐπεὶ γὰρ οἱ ἐν τῷ πλοίῳ ἀμφέβαλλον, ποταπός ἐστιν οὗτος, ἡ παρὰ τῶν ἐχθρῶν μαρτυρία πιστοτέρα γίνεται· λέγω δὴ τῶν δαιμόνων. Κατῴκει δὲ ἐν τοῖς μνήμασι, πονηρὰν ὑπόληψιν ἐνθεῖναι βουλόμενος τοῖς ἀνθρώποις, B ὅτι τῶν ἀποθνησκόντων αἱ ψυχαὶ δαίμονες γίνονται. Ὃ μὴ γένοιτο τινὰ πιστεῦσαι.

« Ἰδὼν δὲ τὸν Ἰησοῦν ἀπὸ μακρόθεν, ἔδραμε καὶ προσεκύνησεν αὐτῷ, καὶ κράξας φωνῇ μεγάλῃ, εἶπε· Τί ἐμοὶ καὶ σοὶ, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; Ὁρκίζω σε τὸν Θεὸν, μή με βασανίσῃς. Ἔλεγε γὰρ αὐτῷ· Ἔξελθε, τὸ πνεῦμα τὸ ἀκάθαρτον, ἐκ τοῦ ἀνθρώπου. Καὶ ἐπηρώτα αὐτὸν, Τί σοι ὄνομα; Καὶ ἀπεκρίθη, λέγων· Λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν. Καὶ παρεκάλει αὐτὸν πολλὰ, ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας. Βάσανον νομίζουσιν οἱ δαίμονες τὸ ἐξελθεῖν ἐκ τοῦ ἀνθρώπου. Διό φασι, Μὴ βασανίσῃς, τουτέστι, μὴ ἐξαγάγῃς ἡμᾶς ἐκ τοῦ κατοικητηρίου ἡμῶν, ἤτοι τοῦ ἀνθρώπου· καὶ ἄλλως δὲ, ἐνόμιζον ὅτι διὰ τὴν ὑπερβολὴν τῶν ὑπ' αὐτῶν C τολμωμένων, οὐκ ἀνέξεται· ἀλλὰ παραδώσει αὐτοὺς ἐντεῦθεν ἤδη τῇ κολάσει· διὰ τοῦτο καὶ παρακαλοῦσιν ἵα μὴ βασανισῃ αὐτούς. Ἐρωτᾷ δὲ αὐτὸν ὁ Κύριος, οὐχ ἵνα μάθῃ αὐτὸς, ἀλλ' ἵνα οἱ ἄλλοι μάθωσι τὸ πλῆθος τῶν ἐνοικούντων αὐτῷ δαιμόνων. Ἐπειδὴ γὰρ εἷς ἐφαίνετο, δείκνυσιν ὁ Χριστὸς ὅσοις ἐχθροῖς ἐπάλαιεν ὁ ἐλεεινὸς ἐκεῖνος ἄνθρωπος.

« Ἦν δὲ ἐκεῖ πρὸς τῷ ὄρει ἀγέλη χοίρων μεγάλη βοσκομένη. Καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες, λέγοντες· Πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν· καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ἰησοῦς· καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα, εἰσῆλθον εἰς τοὺς χοίρους. Καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν. Ἦσαν δὲ ὡς δισχίλιοι, καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. Οἱ δὲ βόσ- D κοντες τοὺς χοίρους, ἔφυγον, καὶ ἀνήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. » Οἱ μὲν δαίμονες ἀξιοῦσι τὸν Κύριον μὴ ἀποστεῖλαι αὐτοὺς ἔξω τῆς χώρας, ἀλλ' εἰς τὴν ἀγέλην τῶν χοίρων ἀπολῦσαι· ὁ δὲ συγχωρεῖ τοῦτο. Ἐπειδὴ γὰρ παλαίστρα ἐστὶν ὁ βίος ἡμῶν, οὐκ ἠθέλησεν ὁ Κύριος ἔξω τοῦ βίου τούτου ἀπολῦσαι τοὺς δαίμονας, ἵνα παλαίοντες ἡμῖν, δοκιμωτέρους ἡμᾶς ἐργάζωνται. Συνεχώρησε δὲ αὐτοῖς εἰς τοὺς χοίρους εἰσελθεῖν, ὡς ἂν μάθωμεν ὅτι ὥσπερ τῶν χοίρων οὐκ ἐφείσαντο, οὕτως οὐδ' ἂν τοῦ ἀνθρώπου ἐκείνου ἐφείσαντο, εἰ μὴ θεία δύναμις ἦν ἡ συντηροῦσα αὐτόν· οἱ δαίμονες γὰρ ἐχθροὶ ὄντες, κατέκοψαν ἂν ἡμᾶς αὐθωρὸν, εἰ μὴ ὁ Θεὸς συνεργεῖ ἡμᾶς. Μάνθανε δὲ ὅτι οὐδὲ κατὰ χοίρων ἔχωσιν ἐξουσίαν οἱ δαίμονες, καὶ πολλῷ μᾶλλον

κατὰ ἀνθρώπων, εἰ μὴ συγχωρήσει ὁ Θεός· νόει δὲ ὅτι καὶ εἰς τοὺς κατὰ χοίρους ζῶντας ἀνθρώπους, καὶ τῷ βορβόρῳ τῆς ἡδονῆς ἐγκυλιομένους, εἰς τούτους εἰσέρχονται οἱ δαίμονες, καὶ ῥίπτουσιν αὐτοὺς κατὰ τοῦ κρημνοῦ τῆς ἀπωλείας, ἐν τῇ θαλάσσῃ τοῦ βίου τούτου, καὶ ἀποπνίγονται.

« Καὶ ἐξῆλθον ἰδεῖν τί ἐστι τὸ γεγονός. Καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, καὶ θεωροῦσι τὸν δαιμονιζόμενον καθήμενον, καὶ ἱματισμένον καὶ σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν λεγεῶνα, καὶ ἐφοβήθησαν. Διηγήσαντο δὲ αὐτοῖς οἱ ἰδόντες, πῶς ἐγένετο τῷ δαιμονιζομένῳ, καὶ περὶ τῶν χοίρων· καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν· Καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον, παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς, ἵνα ᾖ μετ' αὐτοῦ· ὁ δὲ Ἰησοῦς οὐκ ἀφῆκεν αὐτὸν, ἀλλὰ λέγει αὐτῷ· Ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σοὺς καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι ὁ Κύριος πεποίηκε, καὶ ἠλέησέ σε. Καὶ ἀπῆλθε, καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ πάντες ἐθαύμαζον. » Ἐξῆλθον μὲν οἱ τῆς πόλεως ἐκείνης πρὸς τὸν Ἰησοῦν, ἐκπλαγέντες τὸ θαῦμα· ἀκούσαντες δὲ, ἐφοβήθησαν πλέον· Διὸ καὶ παρακαλοῦσι τὸν Ἰησοῦν ἵνα ἐξέλθῃ ἐκ τῶν ὁρίων αὐτῶν. Ἐδεδοίκεισαν γὰρ μήποτε καὶ μεῖζόν τι πάθωσι. Τοὺς γὰρ χοίρους ἀπολέσαντες, καὶ λυπηθέντες ἐπὶ τῇ ἀπωλείᾳ, παραιτοῦνται καὶ τὴν παρουσίαν τοῦ Κυρίου· ὁ δὲ δαιμονισθεὶς παρεκάλει αὐτὸν, ἵνα ᾖ μετ' αὐτοῦ· ἐφοβεῖτο γὰρ μήποτε μόνον εὑρόντες αὐτὸν οἱ δαίμονες, πάλιν ἐπέλθωσιν αὐτῷ. Ὁ δὲ Κύριος ἀπολύει αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, δεικνύων αὐτῷ ὅτι κἂν μὴ αὐτὸς παρῇ, ἀλλ' ἥγε δύναμις αὐτοῦ καὶ ἡ ἐπισκοπὴ φυλάξει αὐτὸν, ἅμα δέ, ἵνα καὶ ἑτέρους ὁραθεὶς ὠφελήσῃ. Ἰδοὺ γοῦν ἤρξατο κηρύσσειν, καὶ πάντες ἐθαύμαζον. Ὅρα δὲ καὶ τὸ ἄτυφον τοῦ Σωτῆρος. Οὐκ εἶπεν ὅτι, Ἀπάγγειλον ὅσα σοι πεποίηκα, ἀλλ', Ὅσα σοι πεποίηκεν ὁ Κύριος. Οὕτω καὶ σὺ, ὅταν ἀγαθόν τι ποιήσῃς, μὴ σεαυτῷ, ἀλλὰ τῷ Θεῷ ἀνατίθει τὸ πραχθέν.

« Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ, ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν, συνήχθη ὄχλος πολὺς ἐπ' αὐτὸν καὶ ἦν παρὰ τὴν θάλασσαν. Καὶ ἰδοὺ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος. Καὶ ἰδὼν αὐτὸν, πίπτει πρὸς τοὺς πόδας αὐτοῦ, καὶ παρεκάλει αὐτὸν πολλὰ, λέγων ὅτι, Τὸ θυγάτριόν μου ἐσχάτως ἔχει· ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ καὶ ζήσεται. Καὶ ἀπῆλθε μετ' αὐτοῦ· καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ' αὐτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γὰρ ὅτι, Κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι· καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. » Μετὰ τὸ ἐπὶ τῷ δαιμονιζομένῳ θαῦμα, ἕτερον ἐργάζεται ὁ Κύριος, τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου ἀνιστῶν· Λέγει δὲ καὶ τὸ ὄνομα τοῦ ἀρχισυναγώγου, διὰ τοὺς Ἰουδαίους τοὺς εἰδότας τὸ γενόμενον. Ἐξ ἡμισείας δὲ πιστὸς ὁ ἀνήρ· καθὸ μὲν γὰρ πίπτει παρὰ τοὺς πόδας, πι-

A diuntur dæmones, et mittunt illos præcipiti perditione in mare hujus vitæ, ut suffocentur.

VERS. 15-20. « Et egressi sunt ad videndum quid esset quod acciderat : et veniunt ad Jesum, et vident illum qui a dæmonio vexabatur, sedentem ac vestitum et sanæ mentis, qui habuerat legionem, et timuerunt. Et narraverunt illis qui viderant, qualiter accidisset et qui dæmonium habuerat, et de porcis. Et rogare cœperunt eum ut discederet de finibus ipsorum. Et cum ingressus esset navim, rogabat illum qui fuerat a dæmonio correptus, ut esset cum illo : Jesus autem non permisit eum, sed ait illi : Abi in domum tuam ad tuos, et annuntia illis quanta tibi Dominus fecerit, et misertus sit

B tui. Et abiit, et cœpit prædicare in Decapoli quanta sibi fecisset Jesus ; et omnes mirabantur. » Exierunt igitur viri illius civitatis ad Jesum stupefacti miraculo : et cum audissent, timuerunt magis. Idcirco et Jesum rogant ut egrediatur a finibus ipsorum. Timuerunt enim nequando et majus quiddam patiantur. Qui enim perdiderant porcos, in perditione dolentes precantur ut abeat Dominus. Cæterum is qui dæmonio agitatus fuerat, orabat illum ut cum ipso esset : timebat enim, ne si quando dæmones eum invenissent solum, iterum se adirent. At Dominus dimisit eum in domum ejus, ostendens ei quod licet ipse non adsit, nihilominus tamen virtus sua et visitatio custodiet eum : insuper ut et alios lucretur, qui ipsum visuri essent. Et

C ecce prædicare cœpit, et omnes mirabantur. Vide autem quam alienus sit a fastu Servator. Non dixit : Annuntia quæ tibi ego, sed, Quæ tibi fecit Dominus. Sic et tu quando bonum quid feceris, ne tibi ipsi, sed Domino factum tribuas.

VERS. 21-29. « Et cum transisset Jesus navi rursus in ulteriorem ripam, convenit multa turba ad eum, et erat circa mare. Et ecce venit quidam principum Synagogæ nomine Jairus, et cum vidisset eum, procidit ad pedes ejus, et deprecabatur eum multum, dicens : Filiola mea in extremis est : oro ut venias et imponas illi manus, ut salva sit et vivet. Et abiit cum illo, et sequebatur eum turba multa, et comprimebant eum. Et mulier quædam quæ fuerat obnoxia profluvio sanguinis annis duo-

D decim, fueratque multa perpessa a compluribus medicis, et insumpserat omnia sua, neque quidquam adjumenti senserat, sed magis in deterius venerat : cum audisset de Jesu, venit in turba a tergo, et tetigit vestimentum ejus; dicebat enim, Si vel vestimenta ejus tetigero, salva ero: et confestim siccatus est fons sanguinis ejus : et sensit corpore quod sanata esset a flagello. » Post miraculum quod in dæmoniaco actum, aliud operatur 197 Dominus suscitando filiam principis Synagogæ. Nomen autem ipsius exprimit propter Judæos qui sciebant id quod factum fuerat. Dimidiatam autem fidem habebat vir ille ; fidelis enim erat, eo quod procidebat ad

pedes Jesu : sed quia et obsecrabat ut veniat, non tantam oportebat præ se fidem ferebat. Debebat enim dicere. Dic verbo. Obiter autem inter eundum Dominus curat mulierem sanguinis profluvio laborantem. Fidelissima erat mulier hæc, eo quod a vestibus utilitatem se assequi credebat, et idcirco etiam sanatur. Intelligas autem hæc etiam de humana natura, quæ sanguinis profluvio laborabat. Scaturiebat enim in ea peccatum, quod mors est animæ, et sanguinem animæ nostræ effundit. A multis autem medicis, hoc est sapientibus hujus mundi, sed et a lege et a prophetis non potuit curari. Tetigit autem vestem Christi, hoc est carnem ejus, et sanata est. Qui credit enim esse incarnatum Deum, is est qui tangit vestimentum ejus.

VERS. 30-34. « Et statim Jesus in semetipso cognoscens virtutem ex sese prodiisse, conversus in turba aiebat : Quis tetigit vestimenta mea ? Et dicebant ei discipuli ipsius : Vides turbam undique prementem te, et dicis · Quis me tetigit ? Et circumspiciebat, ut videret eam quæ hoc fecerat. Mulier vero timens ac tremens, sciens quod factum esset in se, venit et accidit ei, dixitque ei omnem veritatem. Ille autem dixit ei : Filia, fides tua te servavit : vade cum pace, et esto sana a flagello tuo. » Egreditur virtus a Christo, non a loco in locum transiens, sed manens immota in Christo, communicatur et aliis, quemadmodum et doctrinæ a docentibus sunt, et discentibus traduntur. Vide autem quomodo turbæ quidem comprimant, et ex eis nullus illum tetigerit : contra illa quæ non premebat, illum tetigerit. Mysterium hic quoddam discimus, quod nullus ex his qui turbulento sunt animo, tangit Christum, sed solum premit eum : qui autem non turbulente premit Jesum, neque turbato est animo, ille tangit eum. Sed quamobrem Dominus manifestat mulierem ? Primum quidem, ut fidem mulieris glorificet, deinde ut et archisynagogum animet quod et ejus filiam sit sanaturus : ad hæc, ut mulierem a magno metu liberet. Et enim timebat mulier, utpote quæ sanitatem furtim abstulerat : idcirco et evangelista dicit : Tremens et timens venit. Dominus itaque non dicit : Ego te servavi : sed, Fides tua. Proinde vade in pacem, hoc est in requiem, ut si hæc sententia : Abi, et quiesta esto, quæ hactenus fuisti in mœrore et perturbatione.

VERS. 35-43. « Adhuc eo loquente veniunt a principe Synagogæ qui dicerent : Filia tua mortua est. quid ultra vexas Magistrum? 198 Jesus autem protinus audito sermone qui dicebatur, ait principi Synagogæ : Ne timeas : tantummodo crede. Et non permisit ut quisquam eum sequeretur præter Petrum et Jacobum et Joannem fratrem Jacobi. Et venit in domum principis Synagogæ, videtque tumultum et flentes et ejulantes multum, et ingressus ait illis : Quid tumultuamini et ploratis? puella

A στὸς, καθὸ δὲ παρακαλεῖ ἵνα ἔλθῃ, οὐχ ὅσην δεῖ πίστιν ἐνδείκνυται. Ἔδει γὰρ εἰπεῖν ὅτι, Εἰπὲ λόγῳ. Ὡς ἐν παρέργῳ δὲ ἀπερχομένου τοῦ Κυρίου, θεραπεύεται καὶ ἡ αἱμόῤῥους· πιστοτάτη δὲ ἡ γυνὴ, ὅτι καὶ ἀπὸ τῶν ἱματίων ἐνόμισεν ὠφεληθῆναι· διὸ καὶ τυγχάνει τῆς θεραπείας. Νοήσεις δὲ ταῦτα καὶ εἰς τὴν ἀνθρωπίνην φύσιν, ἥτις αἱμόῤῥους ἦν. Ἐπήγαγε γὰρ τὴν ἁμαρτίαν, ἥτις φόνος ἐστὶ τῆς ψυχῆς, καὶ τὸ αἷμα τῶν ψυχῶν ἡμῶν ἐκχέει. Ὑπὸ πολλῶν δὲ ἰατρῶν, τῶν σοφῶν λέγω τοῦ κόσμου τούτου, καὶ μὴν καὶ τοῦ νόμου καὶ τῶν προφητῶν, οὐκ ἠδυνήθη θεραπευθῆναι. Ἅμα δὲ ἥψατο τῶν ἱματίων τοῦ Χριστοῦ, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἰάθη. Ὁ γὰρ πιστεύων ὅτι ἐσαρκώθη ὁ Χριστὸς, οὗτός ἐστιν ὁ B ἁψάμενος τῶν ἱματίων αὐτοῦ.

« Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· Τί μου ἥψατο τῶν ἱματίων ; Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, Τίς μου ἥψατο ; Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε. Ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου. » Ἐξέρχεται δύναμις ἀπὸ τοῦ Χριστοῦ, οὐ τοπικῶς μεταβαίνουσα, ἀλλὰ πρός τε τοὺς ἄλλους διαδιδομένη, καὶ ἐν τῷ Χριστῷ ἀμείωτος μένουσα· ὥσπερ καὶ μαθήματα, καὶ παρὰ τοῖς C διδάσκουσίν εἰσι, καὶ τοῖς μανθάνουσι παραδίδονται. Ὅρα δὲ πῶς οἱ μὲν ὄχλοι συνέθλιβον, οὐδεὶς δὲ αὐτοῦ ἥψατο. Ἡ δὲ μὴ θλίβουσα αὐτὸν, ἐκείνη ἥψατο αὐτοῦ. Μυστήριον γὰρ ἐντεῦθεν μανθάνομεν, ὅτι οὐδεὶς τῶν ὄχλους καὶ ταραχὰς ἐχόντων ἅπτεται τοῦ Ἰησοῦ, ἀλλὰ μόνον θλίβει αὐτόν. Εἴ τις δὲ μὴ ὀχλοίη τὸν Ἰησοῦν, μηδὲ τὸν ἐν ἑαυτῷ λόγον ταραχαῖς περιβάλλοι, ἐκεῖνος ἅπτεται αὐτοῦ. Τίνος δὲ ἕνεκεν ὁ Κύριος φανεροῖ τὴν γυναῖκα ; Πρῶτον μὲν ἵνα τὴν πίστιν τῆς γυναικὸς δοξάσῃ· ἔπειτα, ἵνα καὶ τὸν ἀρχισυνάγωγον παραθαῤῥύνῃ, ὅτι καὶ τὸ αὐτοῦ θυγάτριον οὕτω σωθήσεται· καὶ ἅμα, ἵνα καὶ τὴν γυναῖκα τοῦ πολλοῦ φόβου ἀπολύσῃ· καὶ γὰρ ἐδεδίει ἡ γυνὴ, ὡς κλέψασα τὴν ἴασιν· διὸ καὶ ὁ εὐαγγελιστὴς λέγει· Φοβηθεῖσα δὲ καὶ τρέμουσα ἦλθεν. Ὁ D οὖν Κύριος οὐ λέγει ὅτι, Ἐγὼ σέσωκά σε, ἀλλ' Ἡ πίστις σου. Πορεύου τοίνυν εἰς εἰρήνην, τουτέστιν, εἰς ἀνάπαυσιν· ὥστε εἶναι τὸ λεγόμενον. τοιοῦτον· Ἄπελθε, ἀναπαύου, ὡς τόγε μέχρι τοῦ νῦν, ἐν λύπαις ὑπῆρχες καὶ ταραχαῖς.

« Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες ὅτι, Ἡ θυγάτηρ σου ἀπέθανε, τί ἔτι σκύλλεις τὸν Διδάσκαλον ; Ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον, λέγει τῷ ἀρχισυναγώγῳ· Μὴ φοβοῦ, μόνον πίστευε. Καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ συνακολουθῆσαι, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου. Καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον, κλαίοντας καὶ ἀλαλάζοντας πολλὰ, καὶ εἰσελθὼν. λέγει αὐτοῖς· Τί θορυβεῖσθε καὶ

κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. A Καὶ κατεγέλων αὐτοῦ. Ὁ δὲ, ἐκβαλὼν πάντας, παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα, καὶ τοὺς μετ' αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον, καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου, λέγει αὐτῇ· Ταλιθὰ κοῦμι, ὅ ἐστι μεθερμηνευόμενον· Τὸ κοράσιον, σοὶ λέγω, ἔγειραι. Καὶ εὐθέως ἀνέστη τὸ κοράσιον, καὶ περιεπάτει (ἦν γὰρ ἐτῶν δώδεκα), καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ, καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα μηδεὶς γνῷ τοῦτο, καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν. » Οἱ τοῦ ἀρχισυναγώγου, νομίζοντες ἕνα τῶν διδασκάλων εἶναι τὸν Χριστὸν, διὰ τοῦτο παρεκάλουν ἵνα ἐλθὼν προσεύξηται ἐπὶ τῷ κορασίῳ· λοιπὸν ἐπειδὴ ἀπέθανεν, ἐνόμισαν μηκέτι αὐτοῦ χρείαν εἶναι διὰ τὸ τεθνηκέναι αὐτήν. B Ἀλλ' ἐκεῖνος θαῤῥύνει τὸν πατέρα, καὶ, Μόνον πίστευε, φησίν. Οὐκ ἀφίησι δὲ οὐδένα ἕτερον συνακολουθῆσαι, εἰ μὴ τοὺς τρεῖς μαθητάς. Οὐ γὰρ δὴ ὁ ταπεινὸς Ἰησοῦς θέλει πρὸς ἐπίδειξίν τι ποιεῖν. Λέγοντος δὲ αὐτοῦ, ὅτι οὐκ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει, καταγελῶσιν, ὡς ἂν μὴ ἔχωσιν ὕστερον λέγειν ὅτι κάτοχος ἐγένετο, καὶ οὐδὲν θαυμαστὸν εἰ ἀνέστησεν αὐτὴν, ἀλλ' αὐτοὶ ἑαυτῶν καταμαρτυροῦντες ἐλέγχωνται, ὡς ἀληθῶς τεθνηκυῖαν ἀνέστησεν, ὅπου γε καὶ κατεγέλων αὐτοῦ λέγοντος, ὅτι οὐκ ἀπέθανε. Κρατεῖ δὲ τῆς χειρὸς, ἵνα ἐνθῇ ταύτῃ δύναμιν. Καὶ δίδωσιν αὐτῇ φαγεῖν, ὡσὰν πιστώσηται τὴν ἀνάστασιν, ὅτι ἀληθῶς καὶ οὐ κατὰ φαντασίαν γέγονεν.

## ΚΕΦΑΛ. ϛ'.

Περὶ τῆς τῶν ἀποστόλων διαταγῆς. Περὶ Ἰωάννου καὶ Ἡρώδου. Περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων. Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ, καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ γενομένου Σαββάτου, ἤρξατο ἐν τῇ Συναγωγῇ διδάσκειν, καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο, λέγοντες· Πόθεν τούτῳ ταῦτα; καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, ὅτι καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται; Οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου, καὶ Ἰωσῆ, καὶ Ἰούδα, καὶ Σίμωνος; Καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. » D Ἐπιβαίνει τῆς πατρίδος, οὐκ ἀγνοῶν ὅτι καταφρονήσουσιν αὐτοῦ, ἀλλ' ἵνα μὴ ἔχωσιν ὕστερον λέγειν ὅτι, Εἰ ἦλθεν, ἐπιστεύσαμεν ἄν· ἅμα δὲ, καὶ τὴν φθονερὰν γνώμην αὐτῶν ἐλέγχων. Δέον γὰρ καυχᾶσθαι μᾶλλον ἐπὶ τῷ Κυρίῳ, ὡς κοσμοῦντι τὴν αὐτῶν πατρίδα διά τε τῆς διδασκαλίας καὶ τῶν θαυμάτων, οἱ δὲ, ἐξευτελίζουσιν αὐτὸν ἐπὶ τῷ ταπεινῷ τοῦ γένους. Τοσοῦτόν ἐστι κακὸν ὁ φθόνος. Ἐπισκοτεῖ γὰρ τοῖς ἀγαθοῖς ἀεὶ, καὶ οὐκ ἐᾷ τοὺς φθονοῦντας ταῦτα ἰδεῖν. Καὶ νῦν οὖν πολλοὶ, ὡς δυσγενεῖς τινας διαβάλλουσιν, ἀξίους ὄντας τἄλλα τιμῆς, κακῶς φρονοῦντες καὶ λίαν ἀγεννῶς.

« Ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς ὅτι, Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις

A non est mortua, sed dormit. Et irridebant eum. Ipse vero ejectis omnibus assumit patrem et matrem puellæ, et eos qui cum ipso erant, et ingreditur eo ubi puella jacebat, et apprehensa manu puellæ, ait illi : Talithacumi, quod est si quis interpretetur : Puella, tibi dico, surge. Et confestim surrexit puella, et ambulabat [erat enim annorum duodecim), et obstupuerunt stupore magno. Et præcepit illis vehementer ne quisquam id sciret, et jussit ut daretur illi quod ederet. » Familiares principis Synagogæ arbitrabantur Christum esse ex doctoribus quemdam, propterea obsecrabant ut veniret et oraret super puellam : et quia jam mortua erat, putaverunt ultra ipso non opus esse, B eo quod mortua esset. Sed ille patrem animat, et inquit : Solum crede. Non permittit autem ullum alium esse comitem, quam tres discipulos. Neque enim Jesus humilis ad ostentationem quidpiam vult facere. Dicente autem eo, Non mortua est puella, sed dormit, derident : ne possint postea dicere quod in exeessu mentis correpta fuerit, et non fuerit miraculum eam suscitare : sed ipsi contra seipsos testari convincantur, quod vere mortuam suscitaverit : quandoquidem deriserint eum quod diceret illam non mortuam, sed dormire. Manum vero apprehendit, ut virtutem ei imponat. Et jubet ut detur ei quod comedat, quo certius credatur resurrectio vere et non apparenter tantum facta.

## CAPUT VI.

*De ordine apostolorum. De Joanne et Herode. De quinque panibus et duobus piscibus. De ambulatione supra mare.*

VERS. 1-3. « Et egressus est illinc, venitque in patriam suam, et sequuntur eum discipuli sui. Cumque adesset Sabbatum, cœpit in Synagoga docere, multique audientes obstupuerunt dicentes: Unde huic hæc ? et quæ est sapientia quæ data est illi, quia et virtutes tales per manus ejus efficiuntur ? Nonne hic est faber ille, filius Mariæ, frater Jacobi, et Jose, et Juda, et Simonis ? Nonne et sorores ejus hic nobiscum sunt ? Et offendebantur per eum. » Ascendit ad patriam, non ignorans D se contemptum iri, sed ne in posterum dicere queant, Si venisset, utique credidissemus ei. Reprehendebat autem et invidam illorum mentem
199 Oportebat sane magis gloriari de Domino, qui ipsorum patriam ita ornaret et doctrina et miraculis : atqui ipsi despexerunt illum ob humilitatem generis : tam atrox malum est invidia. Semper enim obscurat bona, nec illa ab invidis videri sinit. Et nunc multi quosdam quasi ignobiles arguunt, qui tamen omni honore digni sunt, qui sane haud bene sentiunt, et neutiquam generose.

VERS. 4-6. « Dicebat autem illis Jesus : Non est contemptus propheta nisi in patria sua, et inter cognatos, et in familia sua. Et non poterat ibi virtutem ullam edere, nisi quod paucos infirmos

impositis manibus sanavit, ac mirabatur propter incredulitatem illorum. » In genere dicit Dominus omnes prophetas contemptos in patria sua, et in domo sua, et inter cognatos suos. Nam si nobiles habeant cognatos, invident illi eis, et propterea contemnunt : sin autem ignobiles, iterum propter ignobilitatem contemptui habentur. Non potuit igitur illic virtutes facere, non quod ipse infirmus esset, sed quod illi increduli. Parcit igitur eis non faciendo signa, ne signa sint eis ad majorem condemnationem, neque sic credentibus ; et idcirco non facit illic virtutes. Vel aliter : In virtutum operationibus opus est ejus qui facit virtute, et eerum qui suscipiunt fide. Quia autem illic defuit alterum, nempe sanandorum fides, non potuit illic signum facere Jesus. Ita enim intelligere debemus, Non potuit, id est non capaces erant.

Vers. 6-11. « Et obambulabat per vicos undique circumjacentes docens. Et accersit duodecim, cœpitque eos emittere binos, et dabat illis potestatem adversus spiritus immundos. Et præcepit illis ne quid tollerent in viam, nisi virgam tantum, non peram, non panem, non in zona æs. sed calcearentur sandaliis, et ne induerentur binis tunicis. Et dicebat eis : Ubicunque introieritis in domum, illic manete donec exeatis illinc. Et quicunque non receperint vos, neque audierint vos, exeuntes illinc excutite pulverem qui est sub pedibus vestris, in testimonium illis. » — « Amen dico vobis, tolerabilius erit Sodomis aut Gomorrhis in die judicii, quam civitati illi [79]. » Non in solis civitatibus docebat Dominus, sed et in vicis, ut nos discamus parvas non despicere, noque semper magnas quærere civitates, sed et in contemptis oppidulis prædicemus, seminando sermonem. Non solus autem ipse docet, sed et duodecim mittit binos, quo et alacriores sint. Nam si unum misisset, fuisset unicus ille minus alacris : iterum si plures quam duos, non suffecisset apostolorum numerus in plures pagos. Duos igitur mittit : Meliores enim sunt duo quam unus, dicit Ecclesiastes. Prohibet autem eis quidpiam tollere, vel peram, vel æs, 200 vel

A ἀῤῥώστοις ἐπιθεὶς τὰς χεῖρας, ἐθεράπευσε, καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν (58). » Καθολικῶς φησὶν ὁ Κύριος ὅτι πάντες οἱ προφῆται, ἄτιμοι ἐν ταῖς πατρίσιν αὐτῶν. Εἴτε γὰρ λαμπροὺς ἔχοιεν συγγενεῖς, φθονοῦσιν οὗτοι αὐτοῖς, καὶ διὰ τοῦτο ἀτιμάζουσιν· εἴτε δυσγενεῖς εἶεν, πάλιν διὰ τὴν δυσγένειαν ἀτιμάζονται. Οὐκ ἠδύνατο οὖν ἐκεῖ δυνάμεις ποιῆσαι, οὐχ ὅτι αὐτὸς ἀσθενὴς ἦν, ἀλλ' ὅτι ἐκεῖνοι ἄπιστοι ἦσαν. Φειδόμενος γὰρ αὐτῶν, ἵνα μὴ πρὸς πλείονα κατάκρισιν αὐτῶν εἶεν τὰ σημεῖα, μηδὲ οὕτω πιστευόντων, διὰ τοῦτο οὐ ποιεῖ δυνάμεις ἐκεῖ· ἄλλως τε ἐν ταῖς θαυματουργίαις χρεία τῆς τε τοῦ ποιοῦντος δυνάμεως, καὶ τῆς τῶν δεχομένων πίστεως. Ἐκεῖσε τοίνυν τοῦ ἑτέρου λείποντος, ἤτοι B τῆς τῶν θεραπευομένων πίστεως, οὐκ ἐνεδέχετο σημεῖα ποιῆσαι τὸν Ἰησοῦν. Οὕτω γὰρ νοεῖν ὀφείλομεν τὸ, Οὐκ ἠδύνατο, ἀντὶ τοῦ, οὐκ ἐνεδέχετο (59).

« Καὶ περιῆγε τὰς κώμας κύκλῳ διδάσκων. Καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων, καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς τὴν ὁδὸν, εἰ μὴ ῥάβδον μόνον, μὴ πήραν, ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκὸν, ἀλλ' ὑποδεδεμένους σανδάλια, καὶ μὴ ἐνδύσησθαι δύο χιτῶνας. Καὶ ἔλεγεν αὐτοῖς, Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν. Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, εἰς μαρτύριον αὐτοῖς. » C « Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόῤῥοις ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. » Οὐκ ἐν ταῖς πόλεσι μόνον ἐδίδασκεν ὁ Κύριος, ἀλλὰ καὶ ἐν ταῖς κώμαις, ἵν' ἡμεῖς μάθωμεν μηδὲ τῶν μικρῶν καταφρονεῖν, μηδὲ ἀεὶ τὰς μεγάλας πόλεις ἐπιζητεῖν, ἀλλὰ κἂν τοῖς χωριδίοις τοῖς εὐτελέσι σπείρειν τὸν λόγον. Οὐ μόνον δὲ αὐτὸς διδάσκει, ἀλλὰ καὶ τοὺς δώδεκα ἀποστέλλει δύο δύο, ἵνα καὶ προθυμότεροι ὦσιν. Εἰ μὲν γὰρ ἕνα ἀπέστειλεν, ἦν ἂν ὁ εἷς ἐκεῖνος ἀπρόθυμος. Πάλιν εἰ πλείους τῶν δύο, οὐκ εἰς πολλὰς ἂν κώμας ἐξήρκεσεν ὁ ἀριθμὸς τῶν ἀποστόλων. Δύο τοίνυν ἀποστέλλει· Ἀγαθοὶ γὰρ οἱ δύο ὑπὲρ τὸν ἕνα, φησὶν Ἐκκλησιαστής. Παραγγέλλει

79 Matth. x, 15.

Ex collatione codd. Venet. S. Marci.

(58) Cod. 26 addit : Πραγματικῶς ἑαυτὸν διὰ τούτων ἐδήλωσεν ὁ Χριστὸς, καὶ ἐν μὲν τῇ πατρίδι εἴρηκε, διὰ πᾶσαν τὴν Ναζαρέτ· ἐν δὲ τοῖς συγγενέσι, διὰ τοὺς ὁποιουσδήποτε συγγενεῖς αὐτοῦ, ἐν δὲ τῇ οἰκείᾳ, διὰ μόνους τοὺς οἰκείους αὐτοῦ· Πάντες γὰρ αὐτοῦ κατεφρόνουν, οἱ μὲν ὡς συμπατριώτου, οἱ δὲ ὡς συγγενοῦς, οἱ δὲ ὡς, οἰκείου· διὸ καὶ ὑπερφυῶς εὐδοκιμοῦντος, ἐσκανδαλίζοντο ἐπ' αὐτῷ, τοῦτ' ἔστιν οὐκ ἠδύναντο πιστεύειν αὐτὸν διὰ τὸν φθόνον. Μᾶλλον δὲ καθολικῶς φησιν ὁ Κύριος, κ. τ. λ. « Perite se ipsum per hæc declaravit Dominus. Ait autem *in patria*, propter totam Nazaret : *inter cognatos*, propter quomodolibet affines ejus : ac *in domo*, seu *familia sua*, propter solos domesticos ipsius. Omnes enim illum contemnebant : hi quidem ut suum conterraneum, illi ut affinem, cæteri ut familiarem ac domesticum. Cum igitur ille summopere incla- D resceret, scandalizabantur in eo : hoc est, non poterant in eum credere, propter invidiam. Magis autem in genere dicit Dominus, » etc.

(59) Idem cod. addit : Μετὰ γὰρ τῶν ἄλλων σημαινομένων τοῦ μὴ δύνασθαι, εἰώθαμεν ὀνομάζειν ἀδυναμίαν καὶ τὸν ἐμποδισμὸν τῆς οἱασδηποτοῦν αἰτίας, ὥσπερ καὶ νῦν, ἐνεπόδιζε γὰρ αὐτὸν ἡ ἀπιστία τῶν εὐεργετουμένων· Οὐκ ἠδύνατο οὖν, ἀντὶ τοῦ ἐνεποδίζετο, καὶ οὐκ ἔδει βιαίως εὐεργετεῖν αὐτούς. Καὶ περιῆγε τὰς κώμας, κ. τ. λ. « Inter cætera enim, quæ verbum *non posse* significat, solemus etiam impedimentum, a quacunque causa proveniat, impotentiam vocare. Sic et hoc loco : impedimento enim illi erat eorum, qui beneficiis affecti fuerant, incredulitas. *Non poterat* igitur, id perinde valet, ac, impediebatur : neque enim decebat, eum illis per vim benefacere. Et obambulabat per vicos, » etc.

δὲ αὐτοῖς μηδὲν αἴρειν, μήτε πήραν, μήτε χαλκὸν, μήτε ἄρτον, παιδεύων αὐτοὺς τὸ ἀφιλοχρήματον διὰ τούτων, καὶ ὡς ἂν οἱ ὁρῶντες αὐτοὺς, δυσωπῶνται αὐτοὺς, τὴν ἀκτημοσύνην διδάσκοντας ἀφ' ὧν αὐτοὶ μηδὲν ἔχουσι. Τίς γὰρ ἰδὼν τὸν ἀπόστολον μήτε πήραν, μήτε ἄρτον, τὸ ἀναγκαιότατον, αἴροντα, οὐκ ἂν κατεδυσωπήθη, καὶ πρὸς τὴν ἀκτημοσύνην ἀπεδύσατο (60); Ἐν μιᾷ δὲ οἰκίᾳ καταμένειν αὐτοὺς κελεύει, ἵνα μὴ δόξωσι διὰ γαστριμαργίαν ἀκατάστατοι εἶναι, ἄλλους ἐξ ἄλλων ἀμείβοντες. Ἀπὸ δὲ τῶν μὴ δεχομένων αὐτοὺς ἐκτινάσσειν λέγει τὸν χοῦν, δεικνύοντας ὅτι μακρὰν ὁδὸν ἐβάδισαν δι' αὐτοὺς, καὶ οὐδὲν ὠφέλησαν, ἢ ὅτι οὐδὲν ἀπ' αὐτῶν ἔσχον, οὐδὲ κἂν χοῦν, ἀλλὰ καὶ τοῦτον ἐξετίναξαν, ὥστε εἶναι τοῦτο εἰς μαρτύριον αὐτοῖς, τουτέστιν, εἰς ἔλεγχον. Ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόῤῥοις ἐν τῇ κρίσει, ἢ τοῖς μὴ παραδεξαμένοις ὑμᾶς. Οἱ μὲν γὰρ Σοδομῖται κολασθέντες ἐντεῦθεν, φορητότερον ἐκεῖσε κολασθήσονται. Καὶ ἅμα, οὐδὲ ἀπεστάλησαν πρὸς αὐτοὺς ἀπόστολοι· οἱ δὲ μὴ παραδεξάμενοι τοὺς ἀποστόλους, χαλεπώτερα ἐκείνων πείσονται.

« Καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα μετανοήσωσι, καὶ δαιμόνια πολλὰ ἐξέβαλλον, καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους, καὶ ἐθεράπευον. » Ὅτι ἤλειφον ἐλαίῳ οἱ ἀπόστολοι, μόνος ὁ Μάρκος διηγεῖται, ὃ καὶ Ἰάκωβος ὁ ἀδελφόθεος, ἐν τῇ καθολικῇ Ἐπιστολῇ φησιν· Ἀσθενεῖ τις ἐν ὑμῖν, προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ. Ἔστιν οὖν τὸ ἔλαιον καὶ πρὸς κόπους ὠφέλιμον, καὶ φωτὸς αἴτιον, καὶ ἱλαρότητος πρόξενον, καὶ σημαίνει τὸ ἔλεος τοῦ Θεοῦ, καὶ τὴν χάριν τοῦ Πνεύματος, δι' ἧς καὶ κόπων ἀπαλλαττόμεθα, καὶ φῶς καὶ χαρὰν, καὶ ἱλαρότητα πνευματικὴν δεχόμεθα.

« Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης, φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγεν ὅτι Ἰωάννης ὁ βαπτίζων, ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. Ἄλλοι ἔλεγον ὅτι Ἠλίας ἐστὶν, ἄλλοι δὲ ἔλεγον ὅτι Προφήτης ἐστὶν, ὡς εἷς τῶν προφητῶν. Ἀκούσας δὲ ὁ Ἡρώδης, εἶπεν ὅτι, Ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν, αὐτὸς ἠγέρθη ἐκ νεκρῶν. » Οὗτος ὁ Ἡρώδης, υἱὸς ἦν τοῦ τὰ βρέφη ἀποκτείναντος. Τετράρχην δὲ ὄντα, βασιλέα αὐτὸν ὁ Μάρκος λέγει, ἀδιαφόρως χρώμενος τῷ ὀνόματι. Οὗτος οὖν ἀκούων τοῦ Κυρίου τὰ θαύματα, καὶ εἰδὼς ὡς δίκαιον ὄντα

A panem, docens per hæc illos a divitiarum studio esse debere alienos, et quod hi qui ipsos vident, bene afficientur erga eos qui possessionum contemptum doceant, ex eo quod ipsi nihil habeant. Quis enim viso apostolo qui neque peram, neque panem, qui maxime necessarius est, tollat, non bene afficeretur, et se ad divitiarum contemptum pararet? Porro in una domo eos manere jubet, ne videantur propter gastrimargiam inconstantes esse, ab aliis ad alios transeuntes. Apud illos autem qui eos non accipiunt, jubet ut excutiant pulverem, demonstrantes quod longam viam propter illos venerint, et nihil profuerint, vel quod nihil ab eis acceperint, et ne pulverem quidem, quem etiam ipsum excusserint, ita ut hoc sit in testimonium B illis, hoc est in reprehensionem. Amen enim dico vobis quod tolerabilius erit Sodomis aut Gomorrhis in die judicii quam his qui non susceperint vos. Sodomitæ enim puniti in hoc sæculo, levius in alio sæculo punientur. Insuper illis non sunt missi apostoli, hi vero apostolos non susceperunt, merito igitur gravius hi quam illi punientur.

VERS. 12, 13. « Et egressi prædicabant ut resipiscerent, et dæmonia multa ejiciebant, et ungebant oleo multos ægros, et sanabant » Quod unxerint oleo apostoli, solus Marcus narrat, quod et frater Domini Jacobus in catholica Epistola dicit: Infirmatur quis inter vos? advocet presbyteros Ecclesiæ, et orent super illum, ungentes eum oleo [80]. Est igitur oleum et ad labores utile, C et lucis fomentum, et hilaritatis effectivum, significat que misericordiam Dei, et gratiam Spiritus, per quam a labore liberamur, et lucem ac gaudium hilaritatemque spiritualem accipimus.

VERS. 14-16. « Et audivit rex Herodes, innotuerat enim nomen ejus, dicebatque: Joannes ille qui baptizabat, resurrexit a mortuis, et propterea virtutes agunt in illo. Alii dicebant, Elias est; alii vero dicebant. Propheta est, vel tanquam unus ex prophetis. Cum audisset autem Herodes, ait: Cui ego præcidi caput, Joannes iste est, ipse surrexit a mortuis. » Hic Herodes fuit filius ejus qui pueros occiderat: et licet tetrarcha esset Herodes, eum D tamen regem dicit Marcus, simpliciter usus nomine. Igitur ille cum audiret miracula Domini, sciens quod immerito et absque causa justum Joannem

[80] Jac. v, 14.

Ex collatione codd. Venet. S. Marci.

(60) Cod. 26 addit: Πῶς δὲ Ματθαῖος μὲν καὶ Λουκᾶς κελευσθῆναι τούτους μήτε ὑποδήματα μήτε ῥάβδον ἔχειν, ὁ δὲ Μάρκος λέγει, συγχωρηθῆναι ταῦτα μόνα αὐτοῖς; Τί οὖν ἔστιν εἰπεῖν; Πρῶτον μὲν οὖν οὕτω προσέταξεν, ὡς ὁ Ματθαῖος καὶ ὁ Λουκᾶς εἶπον, ὕστερον δὲ παρεχώρησεν αὐτοῖς ὑποδεδύσθαι μόνα σανδάλια, καὶ κατέχειν ῥάβδον, εἰς φυλακήν τε τῶν ποδῶν καὶ ὑποστηριγμὸν τοῦ σώματος, συγκαταβαίνων τῇ ἀσθενείᾳ αὐτῶν, διὰ τὴν ἀπὸ τῆς ὁδοιπορίας ταλαιπωρίαν, ὡς ὁ παρὼν εὐαγγελιστὴς ἔγραψεν. Ἐν μιᾷ δὲ οἰκίᾳ, κ. τ. λ. « Quomodo vero Matthæus, et Lucas referunt jussos esse apostolos, neque calceamenta, neque virgam habere, cum Marcus dicat, hæc sola illis permissa fuisse? Quid igitur dicendum? Scilicet, primum quidem ita mandavit, sicut Matthæus et Lucas scribunt: deinde vero permisit illis, ut solis sandaliis se calcearent, ac virgam haberent, tum ad pedum custodiam, tum ad sustentationem corporis (videlicet eorum imbecilitati indulgere voluit propter itinerandi difficultatem) ut hic evangelista scriptum reliquit. Porro in una domo, etc. »

occidisset, suspicatus est quod surrexisset a mortuis, et per resurrectionem in se virtutem accepisset operandi miracula. Joannes enim prius nullum miraculum fecerat; Herodes autem putabat signorum operationem ei ex resurrectionis virtute advenisse. At alii dicebant, Elias est : reprehendit enim multos, ut eum diceret, O incredulo natio ! Herodes autem timebat : adeo mtser erat, ut et mortuum timeret.

VERS. 17-26. Nam ipse Herodes, missis satellitibus, manus injecerat in 201 Joannem, et vinxerat eum in carcere propter Herodiadem uxorem. Dicebat enim Joannes Herodi : Non licet tibi habere uxorem fratris tui. Herodias autem insidiabatur illi, volebatque occidere eum, nec poterat. Herodes enim metuebat Joannem, sciens eum virum justum ac sanctum, et observabat eum, auditoque eo, multa faciebat, et libenter eum audiebat. » Interserit hoc loco Marcus narrationem de morte Joannis Baptistæ, occasione sumpta. Dicunt autem quidam quod Herodes rapuerit Herodiadem, vivente Philippo, et quod reprehensus fuerit ut prævaricator, qui abduxerit viventis fratris uxorem ; alii autem quod mortuus quidem fuerit Philippus, reliquerit autem filiolam : et cum filiam reliquerit, non debebat Herodes uxorem fratris ducere etiam post mortem. Lex enim tunc jubebat fratrem fratris uxorem ducere [81], cum non superesset puer : nunc autem illi erat filia : illegitimæ igitur erant nuptiæ. Vide autem quid faciat amoris rabies, et quantum valeat. Ecce enim Herodes Joannem, quem in tanto honore et reverentia observabat, ut libidini satisfiat, contemnit.

VERS. 21-29. « Et cum dies opportunus accidisset, cum Herodes in natalitiis cœnam faceret primatibus ac tribunis et primoribus Galilææ, cumque introisset filia ipsius Herodiadis, ac saltasset, placuissetque Herodi, ac simul accumbentibus, rex ait puellæ: Pete a me quod vis, et dabo tibi. Et juravit illi. Quidquid a me petieris, dabo tibi usque ad dimidium regni mei. At illa egressa dixit matri suæ : Quid petam? Illa vero dixit : Caput Joannis Baptistæ. Et ingressa statim cum festinatione ad regem, petivit dicens : Volo ut protinus des mihi in lance caput Joannis Baptistæ. Et dolore affectus rex, propter jusjurandum, eosque qui simul accumbebant, noluit eam rejicere. Et confestim rex, misso spiculatore, jussit inferri caput ejus. At ille abiit, ac decollavit eum in carcere, et attulit caput ejus in lance, et dedit illud puellæ, et puella dedit illud matri suæ. Quo audito, discipuli ejus venerunt et sustulerunt cadaver ejus, posueruntque illud in monumento.» Convivium celebratur. Saltat per puellam diabolus, fit jusjurandum impium et nefarium, imo stultum. Nequam autem mulier dicit. Da mihi protinus, hoc

[81] Deut. xxv, 5.

A μάτην ἀνεῖλε τὸν Ἰωάννην, ὑπέλαβεν ὅτι ἀνέστη ἐκ νεκρῶν, καὶ ἐκ τῆς ἀναστάσεως προσέλαβε τὸ θαυματουργεῖν. Πρότερον γὰρ ὁ Ἰωάννης οὐδὲν σημεῖον ἐποίησεν· ἀπὸ δὲ τῆς ἀναστάσεως ἐνόμισεν ὁ Ἡρώδης προσλαβεῖν αὐτὸν τῶν σημείων τὴν ἐργασίαν. Ἄλλοι δὲ ἔλεγον ὅτι Ἠλίας ἐστίν· ἤλεγχε γὰρ τοὺς πολλοὺς, ὡς ὅταν ἔλεγεν, Ὦ γενεὰ ἄπιστος! Ἡρώδης δὲ δέδοικεν· οὕτως οὖν ἐλεεινὸς, ὥστε τὸν νεκρὸν φοβεῖσθαι.

« Αὐτὸ γὰρ ὁ Ἡρώδης, ἀποστείλας ἐκράτησε τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν. Ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ ὅτι, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ
B σου. Ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἐδύνατο. Ὁ γὰρ Ἡρώδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτὸν, καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουεν. » Παρεντίθησιν ἐνταῦθα τὴν περὶ τοῦ θανάτου τοῦ Βαπτιστοῦ διήγησιν ὁ Μάρκος, ἀφορμῆς δραξάμενος. Τὴν δὲ Ἡρωδιάδα, οἱ μὲν, ζῶντος τοῦ Φιλίππου φασὶν ἀποσπάσαι τὸν Ἡρώδην, καὶ διὰ τοῦτο ἐλέγχεσθαι αὐτὸν ὡς παρανομοῦντα, τοῦ ζῶντος ἀδελφοῦ ἀποζευγνύντα τὴν γυναῖκα· οἱ δὲ, ὅτι ἀπέθανε μὲν ὁ Φίλιππος, πλὴν ἐπὶ θυγατρί· θυγατρὸς δὲ οὔσης, οὐκ ἔδει τὸν Ἡρώδην τὴν γυναῖκα τοῦ ἀδελφοῦ γαμῆσαι, οὐδὲ μετὰ θάνατον. Ὁ γὰρ νόμος τότε ἐκέλευε τὸν ἀδελφὸν τὴν τοῦ ἀδελφοῦ γυναῖκα λαμ-
C βάνειν, ὅτε μὴ ὑπῆν παιδίον· ἐνταῦθα δὲ ὑπῆρχεν ἡ θυγάτηρ, παράνομος ἄρα ὁ γάμος. Ὅρα δὲ πόσον ἰσχύει ἡ λύσσα τοῦ ἔρωτος, ὥστε καὶ τὸν Ἡρώδην τοσαύτην αἰδῶ καὶ φόβον πρὸς τὸν Ἰωάννην ἔχοντα, καταφρονῆσαι τούτου, πρὸς τὸ θεραπεῦσαι μόνον ἀκολασίαν.

« Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ, καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας· καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος, καὶ ὀρχησαμένης καὶ ἀρεσάσης τῷ Ἡρώδῃ, καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ· Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι. Καὶ ὤμοσεν αὐτῇ ὅτι, Ὃ ἐάν με αἰτήσῃς δώσω σοι, ἕως ἡμίσεους τῆς βασιλείας μου. Ἡ δὲ, ἐξελθοῦσα εἶ-
D πε τῇ μητρὶ αὐτῆς, Τί αἰτήσομαι; Ἡ δὲ εἶπε· Τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα, ᾐτήσατο, λέγουσα· Θέλω ἵνα μοι δῷς ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. Καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα, ἐπέταξεν ἀνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ. Ὁ δὲ, ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. Καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ, ἦλθον καὶ ἦραν

τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ. » Πότος μὲν συγκροτεῖται. Ὁ Σατανᾶς δὲ ὀρχεῖται διὰ τοῦ κορασίου. Καὶ ὅρκος τελεῖται ἄθεσμος καὶ ἄθεος, μᾶλλον δὲ ἀνόητος· ἡ δὲ πονηρὰ γυνὴ, Δός μοι, φησὶν, ἐξ αὐτῆς, τουτέστι, παραυτίκα, αὐτῇ τῇ ὥρᾳ. Ὁ δὲ ἀνόητος καὶ ἐρωτόληπτος Ἡρώδης δέδοικε τοὺς ὅρκους, καὶ διὰ τοῦτο φονεύει τὸν δίκαιον. Ἔδει δὲ ἐπιορκῆσαι ἐνταῦθα, καὶ μὴ τοιοῦτον μύσος ἐργάσασθαι. Οὐ πανταχοῦ γὰρ τὸ εὐορκεῖν καλόν. Σπεκουλάτωρ δὲ, ὁ δήμιος λέγεται στρατιώτης, ὃς πρὸς τὸ φονεύειν τέτακται. Πτῶμα δὲ, τὸ σῶμα λέγει· μετὰ γὰρ τὸ ἀποκεφαλισθῆναι πίπτον τὸ σῶμα, πτῶμα λέγεται. Ἔστι δὲ καὶ κατὰ θεωρίαν ταῦτα ἐκβαλεῖν. Ἡρώδης μὲν γὰρ, ὁ δερμάτινος λαὸς τῶν Ἰουδαίων. Ἔγημε δὲ γυναῖκα, τὴν ψευδῆ καὶ ἀσελγῆ δόξαν, ἧς ἔτι καὶ νῦν ἡ θυγάτηρ ὀρχεῖται καὶ κινεῖται παρὰ τοῖς Ἰουδαίοις, ἡ πλανῶσα αὐτοὺς γνῶσις τῶν Γραφῶν. Δοκοῦσι γὰρ γινώσκειν τὰς Γραφάς· ἀλλ' οὐκ ἔστι τοῦτο· ἀπεκεφάλισαν γὰρ τὸν Ἰωάννην· ἤτοι τὸν προφητικὸν λόγον· τὸ γὰρ κεφάλαιον τῆς προφητείας, τὸν Χριστὸν λέγω, οὐκ ἐδέξαντο· εἰ γοῦν καὶ ἔχουσι τὸν προφητικὸν λόγον, ἀλλὰ χωρὶς τῆς κεφαλῆς αὐτὸν ἔχουσι, τουτέστι τοῦ Χριστοῦ.

est statim, hac hora. Insipiens vero et amore captus Herodes jusjurandum metuit, et justum propter illud occidit. Oportebat hic perjurium fieri, et non tam abominabile facinus perpetrare. Non enim ubique honestum est servare quod juraris. Spiculator miles carnifex est, deputatus in hoc ut occidat. Cadaver, id est corpus; postquam enim detruncatum est caput, corpus quod decidit, cadaver dicitur. Accipere hæc potes et spiritualiter. 209 Herodes enim dicitur populus pelliceus Judæorum. Duxit autem uxorem, vanam et impudicam gloriam, cujus filia nunc adhuc saltat et tripudiat apud Judæos, nempe Scripturarum cognitio qua seducuntur. Videntur enim sibi cognoscere scripturas: verumtamen non sic habet res. Nam Joannem detruncarunt, hoc est, propheticum sermonem: caput enim prophetiæ, Christum dico, non receperunt. Et si igitur propheticum habeant sermonem, sed absque capite, hoc est, Christo, illum habent.

« Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν. Καὶ εἶπεν αὐτοῖς· Δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύσασθε ὀλίγον· ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοὶ, καὶ οὐδὲ φαγεῖν ηὐκαίρουν· καὶ ἀπῆλθον εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ' ἰδίαν. Καὶ εἶδον αὐτοὺς ὑπάγοντας καὶ ἐπέγνωσαν αὐτὸν πολλοί. Καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ, καὶ προῆλθον αὐτοὺς, καὶ συνῆλθον πρὸς αὐτόν. » Μεθὸ ἐκήρυξαν οἱ ἀπόστολοι, συνάγονται πρὸς τὸν Ἰησοῦν· ἵνα καὶ ἡμεῖς μανθάνωμεν, ἐπειδὰν προβληθῶμεν εἰς διακονίαν τινὰ, μὴ ἀφηνιάζειν καὶ κατεπαίρεσθαι τοῦ προβαλλομένου, ἀλλ' ἐκεῖνον εἰδέναι κεφαλὴν, καὶ πρὸς αὐτὸν ἐπιστρέφειν, καὶ ἀπαγγέλλειν αὐτῷ ὅσα ἢ ἐποιήσαμεν ἢ ἐδιδάξαμεν· χρὴ γὰρ μὴ μόνον διδάσκειν, ἀλλὰ καὶ ποιεῖν· ἀναπαύει δὲ ὁ Χριστὸς τοὺς μαθητὰς, ἵνα πάλιν μάθωσιν οἱ προεστῶτες, τοὺς κοπιῶντας ἔν τε λόγῳ καὶ διδασκαλίᾳ ἀναπαύσεως ἀξιοῦν, καὶ μὴ ἀεὶ κατατείνειν αὐτοὺς τοῖς πόνοις (61)· εἰς ἔρημον δὲ τόπον ἀναχωρῶν, διὰ τὸ ἀφιλόδοξον, ὅμως οὐδ' ἐνταῦθα λανθάνει τοὺς ζητοῦντας αὐτόν. Ἀλλὰ τοσοῦτον ἐγρηγόρουν, ἵνα μὴ διαφύγῃ αὐτοὺς, ὥστε καὶ προῆλθον αὐτοὺς, τουτέστι, προέφθασαν οἱ ὄχλοι τοὺς ἀποστόλους, καὶ ἀπῆλθον εἰς τὸν τόπον ἔνθα ἔμελλεν ἀναπαυθῆναι ὁ Ἰησοῦς. Οὕτως οὖν καὶ σὺ προλάμβανε τὸν Ἰησοῦν, μὴ ἀναμένων, ἵνα ἐκεῖνός σε προσκαλέσηται. Ἀλλὰ προτρέχων, καὶ μᾶλλον σὺ προφθάνων ἐκεῖνον.

VERS. 30-33. « Et congregantur apostoli ad Jesum, ac renuntiaverunt ei omnia, et quæ egissent, quæque docuissent. Et ait illis: Venite vos seorsum in desertum locum, et requiescite pusillum. Erant enim qui veniebant et abibant multi, ac ne cibum quidem capere vacabat. Et abiit in desertum locum navigio seorsum: et viderunt eos abeuntes, et agnoverunt eum multi, et itinere pedestri ex omnibus civitatibus concurrerunt illuc, et prævenerunt eos conveneruntque ad illum. » Apostoli postquam prædicaverunt, congregantur apud Jesum: ut et nos discamus, si quando in ministerium mittamur, ne nos totos ab eo qui mittit, abripiamus, et adversus ipsum insurgamus, sed illum sciamus caput, et ad illum redeamus, annuntiemusque ei omnia quæ vel docuimus vel fecimus. Neque enim satis est si doceamus, nisi et fecerimus. Quiescere autem facit Christus discipulos, ut sciant prælati, laborantes in verbo et doctrina, dignos quibus detur sua quies, et non semper intendant laboribus. Porro in locum desertum secedit, ut inanis gloria vitetur; sed neque eo loco latere potest quærentes. Adeo autem vigilabant illi, ne effugeret eos, (a) ut et eos prævenerint, (hoc est, prævenerunt turbæ apostolos) et abierint in locum ubi Christus quietem habiturus erat. Sic et tu præveni Jesum, ne exspectes ut ille te vocet: sed præcurre, et tu magis illum prævenito.

## Ex collatione codd. Venet. S. Marci.

(61) Cod. 26 addit: "Ἅμα καὶ ἄλλο διδασκόμεθα ἐντεῦθεν, ὅτι χρὴ τοὺς διδασκάλους τῆς Ἐκκλησίας μὴ διὰ παντὸς ἑαυτοὺς ἐκδιδόναι τοῖς πλήθεσιν, ἀλλ' ἐν καιρῷ συστέλλεσθαι καὶ ἰδιάζειν, καὶ συνάγειν τὸν νοῦν ἀπὸ τῆς ἔξω περιφορᾶς. Εἰς ἔρημον δὲ τόπον ἀναχωρῶν. κ. τ. λ. « Verum et aliud documentum hic habemus: nempe, oportere, ut doctores Ecclesiæ non semper se multitudini tradant, sed quandoque se subtrahant, ac solitarii maneant, mentemque ab exteriori occupatione recolligant. Porro in locum desertum secedit, etc. »

(a) In edit. Lut. desiderantur; quæ sequuntur, verba

VERS. 34-40. « Et egressus vidit turbam multam Jesus, et affectu misericordiæ tactus est erga eos, quia erant velut oves non habentes pastorem. Et cœpit illos docere multa : et eum jam multum temporis præterisset, accesserunt ad eum discipuli ejus, dicentes : Desertus est locus, et jam multum temporis est : dimitte illos, ut habeant in circumjacentes villas ac vicos, emantque sibi panes : nam quod edant non habent. At ille respondens ait illis : Date illis vos quod edant. Et dixerunt ei : Euntes emamus ducentis denariis panes, et demus illis quod edant? At ille dicit eis : Quot panes habetis? Ite et videte. Et cum cognovissent, dicunt : Quinque et duos pisces. Et præcepit illis ut accumbere facerent omnes, distributis conviviis in viridi gramine. Et discubuerunt divisim in areolas **203** centeni et quinquageni. » Pharisæi cum essent lupi rapaces, non pascebant populum, sed devorabant : propterea relictis illis, ad Christum verum pastorem turbæ congregantur, unde et ipse alimoniam eis suppeditat, et primum utiliorem et honestiorem, nempe verbum suum, deinde et corporalem. Vide autem discipulos quomodo in misericordia proficiant. Misericordia enim moti erga turbas, accedunt ad Christum, et pro illis orant. Dominus autem tentans et probans num suam agnoscerent virtutem quod possit illas alere, ait : Date illis vos ut edant. Illi autem et arguerunt eum, ut ignorantem quanta laborent rerum penuria, et quanta populi esset multitudo. Nonnulli enim gravati animo dicebant : Emamus ducentis denariis panes, et demus illis ut edant? Denique recumbere facit omnes in feno separatos : hoc est enim Distributis conviviis, id est diversis mensis, quod iterum designat dum dicit, Discubuerunt divisim in areolas, hoc est multas partes et sectiones. Areolæ enim dicuntur variæ sectiones in hortis in quibus plantantur varia plerumque olera.

VERS. 41-44. « Et cum accepisset quinque panes et duos pisces, sublatis in cœlum oculis, benedixit ac fregit panes, deditque discipulis suis, ut apponerent illis : et duos pisces divisit omnibus. Et comederunt omnes, ac saturati sunt, et sustulerunt fragmentorum duodecim cophinos plenos, et de piscibus. Et erant qui comederant panes, quinque millia virorum. » Suspicit in cœlum, partim nos docens a Deo petere cibum, non a diabolo : id quod faciunt qui injustis prædis vivunt : partim monstrans turbis se non esse adversarium Deo, quem invocabat. Porro discipulis dat, ne miraculi obliviscantur, quia suis manibus tenuissent panes. Residui autem sunt duodecim cophini, eadem de causa, ut suis quique humeris unum gestantes, memoria rem servarent. Virtutis autem magnitudo indicatur, quod non solum tam multi pascuntur, sed et multa relinquuntur residua. Moses[82] enim

A « Καὶ ἐξελθὼν ὁ Ἰησοῦς, εἶδε πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα. Καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά. καὶ ἤδη ὥρας πολλῆς γενομένης, προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγουσιν αὐτῷ, ὅτι, Ἔρημός ἐστιν ὁ τόπος, καὶ ἤδη ὥρα πολλή. Ἀπόλυσον αὐτοὺς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας, ἀγοράσωσιν ἑαυτοῖς ἄρτους. Τί γὰρ φάγωσιν οὐκ ἔχουσιν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Καὶ λέγουσιν αὐτῷ· Ἀπελθόντες ἀγοράσωμεν διακοσίων δηναρίων ἄρτους, καὶ δῶμεν αὐτοῖς φαγεῖν; Ὁ δὲ λέγει αὐτοῖς· Πόσους ἄρτους ἔχετε; Ὑπάγετε καὶ ἴδετε. Καὶ γνόντες, λέγουσι· Πέντε, καὶ δύο ἰχθύας. Καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας, συμπόσια συμπόσια, ἐπὶ τῷ χλωρῷ χόρτῳ. B Καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ, ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα. » Οἱ Φαρισαῖοι, λύκοι ὄντες ἅρπαγες, οὐκ ἐποίμαινον τὸν λαὸν, ἀλλὰ κατήσθιον. Διὰ τοῦτο πρὸς τὸν Χριστὸν, τὸν ἀληθινὸν ποιμένα, συνάγονται, ἐκείνους ἀποφεύγοντες, ὅθεν οὗτος τροφὴν αὐτοῖς δίδωσι, προηγουμένως τὴν ἐπωφελεστέραν καὶ τιμιωτέραν, τὴν διὰ λόγου, εἶτα καὶ τὴν σωματικήν. Ὅρα δὲ τοὺς μαθητὰς, πῶς προκόπτουσιν ἐπὶ τὸ φιλανθρωπότερον. Ἐλεήσαντες γὰρ τοὺς ὄχλους, προσέρχονται τῷ Χριστῷ, καὶ περὶ αὐτῶν ἀξιοῦσιν. Ὁ δὲ Κύριος πειράζων αὐτοὺς, καὶ δοκιμάζων εἰ τὴν αὐτοῦ ἐπέγνωσαν δύναμιν, ὅτι δύναται αὐτοὺς διαθρέψαι, λέγει· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν· οἱ δὲ καὶ καταμέμφονται αὐτὸν, ὡς μὴ γνόντα πόση μὲν αὐτοῖς ἡ ἔνδεια, πόσον δὲ καὶ τὸ τὸ τοῦ ὄχλου πλῆθος. Βαρυ-C νόμενοι γὰρ λέγουσι τό. Ἀγοράσωμεν δηναρίων διακοσίων ἄρτους, καὶ δώσωμεν αὐτοῖς φαγεῖν; Τέλος μέντοι ἀνακλίνει πάντας ἐπὶ τῷ χόρτῳ διακεχωρισμένους. Τοῦτο γάρ ἐστι τὸ, Συμπόσια συμπόσια, ἀντὶ τοῦ τραπέζας διαφόρους. Τοῦτο δὲ σημαίνει καὶ τὸ, Πρασιαὶ ἀνέπεσον, τουτέστι, διάφορα κόμματα καὶ μέρη. Πρασιαὶ γὰρ λέγονται τὰ ἐν τοῖς κήποις διάφορα κόμματα, ἐν οἷς φυτεύονται διάφορα πολλάκις λάχανα.

« Καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησε· καὶ κατέκλασε τοὺς ἄρτους, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, ἵνα παραθῶσιν αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι. Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν, καὶ ἦραν κλασμάτων δώδεκα κοφίνους πλήρεις, καὶ ἀπὸ τῶν ἰχθύων. Καὶ ἦσαν οἱ φαγόντες τοὺς D ἄρτους, πεντακισχίλιοι ἄνδρες. » Ἀναβλέπει εἰς τὸν οὐρανὸν, ἅμα μὲν καὶ ἡμᾶς διδάσκων παρὰ τοῦ Θεοῦ αἰτεῖσθαι τὴν τροφὴν, καὶ μὴ παρὰ τοῦ διαβόλου· ὅπερ ποιοῦσιν οἱ ἐξ ἀδίκων πόρων διατρεφόμενοι· ἅμα δὲ καὶ τοῖς ὄχλοις τότε δεικνύων ὡς οὐκ ἔστιν ἀντίθεος, ἀλλὰ τὸν Θεὸν ἐπικαλεῖται. Δίδωσι δὲ τοῖς μαθηταῖς, ἵνα τοῦ θαύματος μὴ ἐπιλάθωνται, ὡς ταῖς οἰκείαις χερσὶ δεξάμενοι τοὺς ἄρτους. Καὶ δώδεκα δὲ κόφινοι περιττεύουσι, δι' αὐτὸ τοῦτο, ἵνα ἐπ' ὤμων ἕκαστος ἄρας κόφινον, ἀνεπίληστον τηρῇ τὸ θαῦμα. Περιουσία δὲ δυνάμεως, τὸ μὴ μόνον θρέψαι

[82] Exod. x, 12.

τοσούτους, ἀλλὰ καὶ περιττὰ καταλιπεῖν. Μωσῆς μὲν γὰρ εἰ καὶ τὸ μάννα ἐδίδου, ἀλλὰ πρὸς τὴν ἑκάστου χρείαν· τὸ γὰρ περιττεῦον, σκώληκας ἐξέζει. Καὶ Ἠλίας δὲ τὴν χήραν διατρέφων, τὸ αὔταρκες ἐχορήγει. Ἰησοῦς δὲ, ὡς Δεσπότης, καὶ περιττεύειν ποιεῖ. Ταῦτα μὲν οὖν κατὰ τὴν ἱστορίαν. Κατὰ δὲ ἀναγωγὴν, πέντε ἄρτοι, οἱ Μωσαϊκοὶ λόγοι Πέντε γὰρ τὰ τοῦ Μωσέως βιβλία, Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον. Ἰχθύες δὲ δύο, οἱ τῶν ἁλιέων λόγοι, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Τούτοις οὖν τρέφονται αἱ πέντε ἡμῶν αἰσθήσεις, αὗται γὰρ εἰσιν οἱ πεντακισχίλιοι. Οὐκ ἅπαντα δὲ δυνάμεθα φαγεῖν, ἀλλὰ πολλὰ περιττεύουσιν, ἃ οἱ ἀπόστολοι δύνανται βαστάσαι. Τὰ γὰρ δυσκολώτερα τῶν τοῦ Νόμου καὶ τῶν τοῦ Εὐαγγελίου νοημάτων, ἡμεῖς μὲν οἱ ἔτι ταῖς πέντε αἰσθήσεσι δουλεύοντες, οὐ βαστάζομεν, οἱ ἀπόστολοι δέ.

« Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδὰ, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον. Καὶ ἀποταξάμενος αὐτοῖς, ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι Καὶ ὀψίας γενομένης, ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς, καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν· ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς. Καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς, ἔρχεται πρὸς αὐτοὺς, περιπατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθελε παρελθεῖν αὐτούς. Οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέκραξαν. Πάντες γὰρ αὐτὸν εἶδον, καὶ ἐταράχθησαν, καὶ εὐθέως ἐλάλησε μετ' αὐτῶν, καὶ λέγει αὐτοῖς· Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. Καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον, καὶ ἐκόπασεν ὁ ἄνεμος. Καὶ λίαν ἐκπερισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον. Οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις. Ἦν γὰρ αὐτῶν ἡ καρδία πεπωρωμένη· » ἠνάγκασε τοὺς μαθητάς. Οὐ γὰρ ἤθελον ἀποσπασθῆναι αὐτοῦ, ἀλλὰ βίᾳ ἐχωρίζοντο, ἅμα μὲν διὰ τὴν πρὸς αὐτὸν ἀγάπην, ἅμα δὲ καὶ διὰ τὸ ἀπορεῖν πῶς ἂν ἔλθοι πρὸς αὐτοὺς πλοίου μὴ ὄντος. Ἀπολύσας οὖν τοὺς ὄχλους, ἀνέβη προσεύξασθαι κατ' ἰδίαν. Σχολῆς γὰρ καὶ ἀταραξίας δεῖται ἡ προσευχή. Ἀφίησι δὲ τοὺς μαθητὰς πειρασθῆναι, ἵνα μάθωσιν ὑπομένειν. Διὰ τοῦτο γὰρ οὐδὲ εὐθέως αὐτοῖς ἐφίσταται, ἀλλὰ δι' ὅλης τῆς νυκτὸς συγχωρεῖ κλυδωνίζεσθαι, ἵνα διδάξῃ καρτερεῖν, καὶ μὴ ἐν ἀρχῇ τῶν δεινῶν ἐλπίζειν ἄνεσιν. Ὅρα δὲ καὶ ἕτερον, ὅτι ὅταν μέλλῃ παύειν τὰ δεινὰ, τότε μᾶλλον εἰς μείζονα φόβον ἐντίθησιν. Ἰδόντες γὰρ αὐτὸν, ἔκραξαν, ταραχθέντες ὡς ἐπὶ φαντάσματι· καὶ εὐθέως διὰ τῆς φωνῆς θεραπεύει αὐτοὺς, λέγων· Μὴ φοβεῖσθε. Εἶτα καὶ διὰ τοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, τὴν τελεωτέραν αὐτοῖς ἀταραξίαν περιποιεῖται. Εὐθὺς γὰρ ἐκόπασεν ὁ ἄνεμος. Μέγα δὲ θαῦμα τὸ ἐπὶ θαλάττης περιπατεῖν, καὶ Θεοῦ τῷ ὄντι, τὸ δὲ καὶ ταραχῆς οὔσης. καὶ τοῦ ἀνέμου ἐναντιουμένου, ἐπίτασις τοῦ θαύματος. Οἱ δὲ ἀπόστολοι οὐ συνιέντες ἐπὶ τοῖς ἄρτοις, ἀπὸ τούτου τοῦ θαύματος τοῦ ἐπὶ τῇ θαλάσσῃ συνῆκαν· ἔοικεν οὖν ὁ Χριστὸς καὶ διὰ τοῦτο συγχωρῆσαι αὐτοὺς πειρασθῆναι, ἵνα ἐπεὶ μὴ ὑπὸ τῶν ἄρτων αὐτὸν ἐπέγνωσαν, ἐπιγνῶσιν ἀπὸ τῆς θαλάσσης, καὶ ὠφεληθῶσιν..

A quamvis manna dedisset, tamem pro singulorum usu dabat; nam quod supererat, vermiculis scaturiebat. Elias quoque viduam pascens, suppeditabat quantum satis erat. Jesus autem, ut Dominus, etiam residua facit. Et hæc quidem juxta historiam: verum juxta anagogen, quinque panes sunt libri Mosis, qui quinque sunt, Genesis, Exodus, Leviticus, Numeri et Deuteronomium; duo autem pisces, piscatorum libri, Apostolus et Evangelium. Illis enim pascuntur quinque nostri sensus, qui per quinque millia signantur. Verum non possunt omnia edere, sed multa residua relinquunt, quæ 204 apostoli gestare possunt. Nam difficiliores sensus Legis et Evangeliorum nos quidem, quinque sensibus servientes, B non portamus, sed apostoli.

Vers. 45-52. « Et statim coegit discipulos suos conscendere navim, ut præcederent transmisso mari Bethsaidam, dum ipse dimitteret turbam. Et cum dimisisset eos, abiit in montem ad orandum. Et cum vespera advenisset, erat navis in medio mari, et ipse solus in terra, viditque eos laborantes in remigando. Erat enim ventus contrarius eis. Et circa quartam vigiliam noctis venit ad eos ambulans super mare, et volebat præterire eos. At illi ut viderunt eum ambulantem super mare, putaverunt spectrum esse et exclamaverunt. Omnes enim videbant eum, et conturbati sunt, et statim locutus est cum eis, dixitque eis: Confidite, ego sum, ne C terreamini. Et ascendit ad illos in navim, et conquievit ventus. Et vehementer supra modum intra se stupebant et admirabantur. Non enim intellexerant de panibus: erat enim cor eorum obcæcatum.» Cogit discipulos. Nolebant enim avelli ab eo, sed vi separabantur, partim propter amorem erga illum, partim quod dubitabant quomodonam ad ipsos rediret, cum abesset navis. Dimissis itaque turbis ascendit in montem ut oraret seorsum. Quiete enim et tranquillitate opus habent preces. Cæterum discipulos tentari permittit, ut discant patientiam. Nam propterea non statim illis assistit, sed tota nocte sinit in tempestate esse, ut doceat fortes esse, et non in principio tentationum sperandam requiem. Observa et aliud, quod daturus finem re- D rum difficultatibus, in majorem illos terrorem adducit. Viso igitur illo, clamaverunt turbati tanquam in phantasmate, et statim per vocem succurrit eis, dicens: Ne terreamini. Deinde et per ingressum in navim, majorem illis securitatem parit. Confestim enim conquievit ventus. Magnum autem miraculum, ambulare super mare, et revera divinum: et cum esset tanta tempestas, tamque contrarius ventus, miraculi incrementum erat. Apostoli autem cum non intellexissent de panibus, ex hoc miraculo in mari intellexerunt. Videtur sane Christus propter hoc permisisse illos tentari, ut quoniam a panibus eum non cognovissent, notitiam a mari perciperent, atque utilitatem consequerentur.

VERS. 53-56. « Et cum trajecissent, venerunt in terram Genezareth, et applicuerunt in portum. Cumque egressi essent e navi, continuo agnoverunt eum: ac percurrentes totam undique regionem illam, cœperunt in lectis eos qui male habebant circumferre, cum audissent eum illic esse: et quocunque introisset in vicos aut civitates, aut in villas, in plateis ponebant infirmos, et deprecabantur eum, ut vel fimbriam vestimenti ejus tangerent: et quotquot tangebant eum, salvi fiebant. » **208** Aliquanto tempore, ut videtur, peregrinatus est Dominus in loco illo, eo quod evangelista dicit: Cum agnovissent illum, attulerunt infirmos. Non enim in domos ipsum vocabant, sed ipsi afferebant eos qui male habebant, obsecrantes ut illis vel fimbriam vestimenti tangere liceat. Nam miraculum quod in muliere operatus fuerat, quæ sanguinis profluvio laborabat, ad omnium aures pervenerat fidemque auxerat.

## CAPUT VII.

*De discipulis illotis manibus comedentibus. De transgressione mandatorum Dei. De Syrophœnissa. De Sabbato.*

VERS. 1-5. « Et conveniunt ad eum Pharisæi, et quidam de Scribis qui venerant a Hierosolymis: et cum vidissent quosdam ex discipulis ejus communibus manibus, id est illotis, edere panes, incusabant. Nam Pharisæi et omnes Judæi, nisi cubitaliter lavarint manus, non capiunt cibum, tenentes instituta majorum: et a foro venientes, nisi loti fuerint, non comedunt; et alia multa sunt quæ susceperunt servanda, nempe lotiones poculorum et urceorum, et æramentorum, et lectorum. Deinde interrogant eum Pharisæi et Scribæ: Quare discipuli tui non ambulant juxta traditionem seniorum, sed illotis manibus edunt panem? » Discipuli Domini docti solam virtutem amplexari, et in aliis non esse superstitiosi, illotis manibus comedebant, simpliciter et absque curiositate. Pharisæi ergo quærentes convicii occasionem, illud reprehendunt: neque reprehendunt illos ut transgredientes legem, sed traditiones seniorum. Non enim in lege scriptum erat · lavandum cubitaliter, hoc est usque ad cubitum (cubitus enim dicitur a flexu brachii usque ad extremos digitos). sed hoc erat a senioribus traditum.

VERS. 6-13. « At ille respondens dixit eis: Bene vaticinatus est Isaias de vobis hypocritis, sicut scriptum est: Populus hic labiis me honorat, cor autem eorum longe est a me: in vanum autem me colunt docentes doctrinas, præcepta hominum. Nam omisso præcepto Dei, tenetis constitutionem hominum: ablutiones urceorum et poculorum, aliaque similia his facitis multa. Et dicebat illis: Bene rejicitis præceptum Dei ut constitutionem vestram servetis. Moses enim dixit: Honora patrem tuum et

A « Καὶ διαπεράσαντες, ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρέτ· καὶ προσωρμίσθησαν, καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως ἐπιγνόντες αὐτὸν, περιδραμόντες ὅλην τὴν περίχωρον ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστι· καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ πόλεις ἢ ἀγροὺς, ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται, καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσώζοντο. Διὰ χρόνου, ὡς ἔοικεν, ἐπεδήμησεν ὁ Κύριος τῷ τόπῳ. Διὸ καὶ ὁ εὐαγγελιστὴς λέγει· Ἐπιγνόντες αὐτὸν, προσέφερον τοὺς ἀσθενεῖς. Οὐκ ἔτι γὰρ εἰς τὰς οἰκίας ἐκάλουν, ἀλλ' αὐτοὶ μᾶλλον προσέφερον τοὺς κακῶς ἔχοντας, παρακαλοῦντες ἵνα κἂν τοῦ κρασπέδου ἅψωνται.
B Τὸ γὰρ περὶ τὴν αἱμόῤῥουν θαῦμα, πάντων τὰς ἀκοὰς κατέσχε, καὶ πλείονα πίστιν αὐτοῖς ἐνέθηκεν.

## ΚΕΦΑΛ. Ζ'.

Περὶ τῶν μαθητῶν ἀνίπτοις χερσὶν ἐσθιόντων. Περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ Θεοῦ. Περὶ τῆς Συροφοινικίσσης. Περὶ τοῦ Σαββάτου.

« Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι, καί τινες τῶν Γραμματέων ἐλθόντες ἀπὸ Ἱεροσολύμων, καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσὶ, τουτέστιν ἀνίπτοις, ἐσθίοντας ἄρτους, ἐμέμψαντο. Οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων· καὶ ἀπὸ ἀγο-
C ρᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι· καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκείων καὶ κλινῶν. Ἔπειτα ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ Γραμματεῖς, Διατί οἱ μαθηταί σου οὐ περιπατοῦσι κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλ' ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον; » Οἱ τοῦ Κυρίου μαθηταὶ διδαχθέντες μόνης ἀντέχεσθαι τῆς ἀρετῆς, καὶ μηδὲν ἄλλο προσπεριεργάζεσθαι, ἀνίπτοις χερσὶν ἤσθιον ἀπεριέργως καὶ ἁπλῶς; Οἱ οὖν Φαρισαῖοι θέλοντες εὑρεῖν σκώμματος πρόφασιν, δράσσονται τούτου· καὶ οὐ μέμφονται αὐτοὺς ὡς παραβαίνοντας τὸν νόμον, ἀλλὰ παράδοσιν τῶν πρεσβυτέρων. Οὐ γὰρ ἐν τῷ νόμῳ γέγραπται νίπτεσθαι πυγμῇ, τουτ-
D έστιν, ἄχρι τοῦ ἀγκῶνος (πυγμὴ γὰρ λέγεται τὸ ἀπὸ τοῦ ἀγκῶνος ἄχρι καὶ τῶν ἄκρων δακτύλων), ἀλλ' ἀπὸ τῶν πρεσβυτέρων εἶχον τοῦτο παραδεδομένον.

« Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, ὅτι, Καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται· Οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ, μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. Ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ Θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. Καὶ ἔλεγεν αὐτοῖς· Καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τη-

ρήσητε. Μωσῆς γὰρ εἶπε· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· καὶ, Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. Ὑμεῖς δὲ λέγετε· Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρὶ, Κορβᾶν, ὅ ἐστι Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐκ ἔτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ, ἀκυροῦντες τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε, καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.» Ἐμβριθέστερον ἐλέγχων τοὺς Ἰουδαίους ὁ Κύριος, παράγει καὶ τὸν προφήτην κατηγοροῦντα αὐτῶν. Ἐκεῖνοι μὲν οὖν τοῖς μαθηταῖς ἐνεκάλουν ὅτι τὴν τῶν πρεσβυτέρων παράδοσιν παρέβαινον, ὁ Κύριος δὲ αὐτοῖς ἀντεπιφέρει σφοδρότερον ἔγκλημα, τὸ τὸν τοῦ Μωσέως νόμον παραβαίνειν. Ὁ μὲν γὰρ νόμος φησὶ, λέγει· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· ὑμεῖς δὲ διδάσκετε τοὺς παῖδας λέγειν πρὸς τοὺς γονεῖς, ὅτι Κορβᾶν· τουτέστι, Δῶρον καὶ ἀνατεθειμένον τῷ Θεῷ ἐστιν, ὃ ζητεῖς ἐξ ἐμοῦ. Οἱ γὰρ Φαρισαῖοι θέλοντες κατεσθίειν τὰ τῶν ἀφελεστέρων, ἐδίδασκον τοὺς παῖδας, ἐάν τι εἶχον οἱονεὶ πεκούλιον, καὶ ἐζήτουν τοῦτο οἱ γονεῖς, λέγειν, ὅτι Ἤδη ἀφιέρωσα τοῦτο τῷ Θεῷ, καὶ μηκέτι ζήτει, ὡς ἀνατεθὲν τῷ Κυρίῳ. Οὕτως οὖν ἀπατῶντες τοὺς παῖδας, καὶ συμπείθοντες αὐτοὺς ἀφιεροῦν δῆθεν τῷ Θεῷ ἃ εἶχον, τοὺς μὲν πατέρας ἐποίουν περιφρονεῖν, αὐτοὶ δὲ τὰ ἀφιερωθέντα κατήσθιον. Τοῦτο οὖν αὐτοῖς ὁ Κύριος ἐγκαλεῖ, ὡς διὰ κέρδος παραβαίνουσι τὸν τοῦ Θεοῦ νόμον.

«Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον, ἔλεγεν αὐτοῖς· Ἀκούετέ μου, πάντες, καὶ συνίετε· Οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν, ὃ δύναται αὐτὸν κοινῶσαι, ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ' αὐτοῦ, ἐκεῖνά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον. Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς. Καὶ λέγει αὐτοῖς· Οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε; Οὐ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον, οὐ δύναται αὐτὸν κοινῶσαι, ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, ἐκκαθαρίζων πάντα τὰ βρώματα; Ἔλεγε δὲ, ὅτι Τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον. Ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι, κλοπαὶ, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρὸς, βλασφημία, ὑπερηφανία, ἀφροσύνη· πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον.» Ὁ Κύριος διδάσκων τοὺς ἀνθρώπους ὅτι τὰ τῶν βρωμάτων παρατηρήματα ἃ ὁ νόμος διαγορεύει, οὐκ ὀφείλομεν νοεῖν σωματικῶς, ἄρχεται ἐντεῦθεν ἀποκαλύπτειν μετρίως τὸ τοῦ νόμου βούλημα. Καί φησιν ὅτι οὐδὲν τῶν εἰσπορευομένων δύναται κοινῶσαι, τουτέστι, μιᾶναί τινα, ἀλλὰ τὰ ἐκπορευόμενα ἐκ τῆς καρδίας, ἐκεῖνά εἰσι τὰ μιαίνοντα, καὶ καταλέγει ταῦτα. Ὀφθαλμὸν δὲ πονηρόν φησιν, ἢ τὸν φθόνον, ἢ τὴν ἀκολασίαν· καὶ γὰρ καὶ ὁ φθονῶν, ὀφθαλμὸν πονηρὸν καὶ βασκάνου ἐπιβάλλει τῷ φθονουμένῳ· καὶ ἀκόλαστος

A matrem tuam; et : Qui maledixerit patri vel matri, morte moriatur. Vos autem dicitis : Si dixerit homo patri aut matri Corban, quod est, Donum, quodcunque ex me tuum cedet commodum, et præterea non sinitis eum quidquam facere patri suo, aut matri suæ, et irritum facitis verbum Dei per constitutionem vestram quam tradidistis, et 206 similia hujusmodi multa facitis. » Ut gravius arguat ominus Judæos, adducit et prophetam a quo taxantur. Illi enim discipulos arguebant quod seniorum traditionem prævaricati essent. Dominus autem eis impingit crimen longe gravius, quod Mosis legem prævaricarentur. Lex enim ait, dicit : Honora patrem tuum et matrem tuam : vos autem docetis pueros ut dicant ad parentes, Corban, hoc est, Do-
B num et oblatum Deo est, quod quæris ex me. Pharisæi enim volentes devorare ea quæ erant plebeiorum, docebant pueros, si quid haberent velut peculium, et illud quærerent parentes, dicerent : Jam consecravi hoc Deo; ne ultra quæras jam oblatum Domino. Igitur sic decipiebant pueros, et simul persuadebant eis ut consecrarent Domino quæ haberent : quo parentes faciebant contemni, ipsi autem devorabant Deo sacrata. Propterea arguit eos Dominus, quod propter lucrum transgrediantur legem Dei.

VERS. 14-23. « Et cum advocasset ad se totam turbam, dicebat illis : Audite me, omnes, et intelli-
C gite : Nihil est extra hominem introiens in eum, quod possit eum inquinare : sed quæ de homine procedunt, illa sunt quæ inquinant hominem. Si quis habet aures ad audiendum, audiat. Et cum intrasset in domum semotus a turba, interrogabant eum discipuli ejus de parabola. Et ait illis : Adeo et vos intelligentia caretis? Nondum intelligitis quod omne foris introiens in hominem, non potest eum inquinare, quia non intrat in cor ejus, sed in ventrem, et in secessum exit, repurgans omnes escas? Dicebat autem : Quod ab homine exit, illud inquinat hominem. Ab interioribus enim de corde hominum malæ cogitationes procedunt, adulteria, stupra, homicidia, furta, avaritiæ, fraudes, dolus, impudicitia, malus oculus, blasphemia, superbia,
D stultitia : omnia hæc mala ab internis procedunt, et coinquinant hominem. » Dominus docens homines quod ciborum observationes quas lex præcipit, non debeamus corporaliter intelligere, incipit hoc loco legis mentem aperire, dicens, nihil quod ingreditur, posse communem facere, hoc est inquinare quempiam : sed ea quæ egrediuntur de corde. Illa enim sunt quæ inquinant, et enumerat ea. Oculum malum inquit vel invidiam, vel intemperantiam: etenim invidus oculum malum et fascinum immittit in eum cui invidet, et intemperans per oculum videns, malum accersit. Blasphemiam autem dicit convicium in Deum, ut si quis dicat : Non est providentia, hoc blasphemia est ; et ideo super-

biam statim subjungit superbia enim est quasi contemptus Dei, quando quis bonum operatur, et hoc non ascribit Deo, sed proprie virtuti. Stultitia autem convicium est in homines; omnes illæ affectiones coinquinant animam, **207** scaturiuntque ex illa et egrediuntur. Cæterum turbæ obscurius locutus est Deus : idcirco et dicebat: Qui habet aures audiendi, audiat, hoc est, Intelligens intelligat Apostoli autem profundius quiddam dicere Dominum existimarunt, et accedunt et interrogant de parabola, hoc est obtenebrato et obscuro sermone. Parabola enim sermo est tenebrosus. Et primum quidem increpavit eos dicens : Siccine et vos sine intellectu estis? deinde solvit quod angebat.

VERS. 24-30. « Et cum inde surrexisset, abiit in confinia Tyri et Sidonis : et ingressus domum, neminem voluit scire, nec potuit latere. Mulier enim statim ut audivit de eo, cujus filiola habebat spiritum immundum, venit et accidit ad pedes ejus (erat autem mulier Græca Syrophœnissa(*a*) genere), et rogabat eum ut dæmonium ejiceret de filia sua. Jesus autem dixit illi: Sine prius saturari filios : non est enim honestum sumere panem filiorum, et projicere catellis. At illa respondit et dicit illi : Etiam Domine; nam catelli quoque comedunt sub mensa de micis filiorum. Et ait illi : Propter istum sermonem vade, exiit dæmonium a filia tua. Et cum abiisset domum suam, eeperit dæmonium exiisse, et filiam jacentem super lectum » Postquam de cibis locutus est Dominus, et vidit incredulos Judæos, transiit in gentilium fines. Nam cum increduli essent Judæi, salus futura erat gentium. Et ipse primum quæsivit latere, ut ne habeant Judæi postea quo possint ipsum accusare, quod ad immundas gentes præcurrerit. Non potuit tamen latere : non enim fieri poterat, ut a nemine agnosceretur. Mulier igitur quæ audierat de eo, ostendit alacrem fidem suam, et propterea Dominus non statim exaudit, sed moratur et differt donum, ut ostendat mulieris solidam fidem, quæ quamvis ablegaretur, perseveravit, ut et nos discamus non statim resilire cum precamur, si non statim votorum fuerimus compotes, sed perseveremus donec accipiamus. Præterea canes nominat gentiles, tanquam exosos Judæis habitos. Panem autem beneficium, quod pueris, hoc est Hebræis, segregarat Deus. Beneficia autem Hebræis impartitus est. Dicit igitur Dominus : Non oportet gentiles participes esse beneficiorum, quæ Judæis destinata sunt.

διὰ τοῦ ὀφθαλμοῦ ὁρῶν τὸ πονηρὸν μετέρχεται. Βλασφημίαν δὲ λέγει, τὴν εἰς Θεὸν ὕδριν, οἷον ὅταν λέγῃ τις ὅτι Οὐκ ἔστι πρόνοια, τοῦτο βλασφημία· διὸ ἐπισυνάπτει τὴν ὑπερηφανίαν· ὑπερηφανία γάρ ἐστιν ὡσανεὶ καταφρόνησις Θεοῦ, ὅταν τις ἐργασάμενός τι ἀγαθὸν, οὐ τῷ Θεῷ ἐπιγράφεται τοῦτο, ἀλλὰ τῇ οἰκείᾳ δυνάμει. Ἀφροσύνην δὲ νόει, τὴν εἰς ἀνθρώπους ὕδριν. Πάντα οὖν ταῦτα τὰ πάθη μιαίνουσι τὴν ψυχὴν, ἐξ αὐτῆς πηγάζοντα καὶ ἐξερχόμενα. Πρὸς μὲν οὖν τὸν ὄχλον ἀσαφέστερον εἶπεν ὁ Κύριος, διὸ καὶ ἔλεγεν· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω· τουτέστιν, Ὁ νοῶν νοείτω. Τοῖς δὲ ἀποστόλοις νομίσασι βαθύτερόν τι λέγειν τὸν Κύριον, καὶ προσελθοῦσι καὶ ἐρωτῶσι περὶ τῆς παραβολῆς, τουτέστι, τοῦ σκοτεινοῦ λόγου, (παραβολὴ γὰρ ἐστιν ὁ σκοτεινὸς λόγος) πρῶτον μὲν ἐπετίμησεν, εἰπών· Οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε; εἶτα διέλυσε τὸ ἄπορον,

Καὶ ἐκεῖθεν ἀναστὰς, ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος, καὶ εἰσελθὼν εἰς οἰκίαν, οὐδένα ἤθελε γνῶναι. Καὶ οὐκ ἠδυνήθη λαθεῖν. Ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ (ἦν δὲ ἡ γυνὴ Ἑλληνὶς Συροφοίνισσα τῷ γένει), καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ· Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γὰρ καλόν ἐστι λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ ἀπεκρίθη, καὶ λέγει αὐτῷ· Ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων. Καὶ εἶπεν αὐτῇ· Διὰ τοῦτον τὸν λόγον, ὕπαγε, ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου. Καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς, εὗρε τὸ δαιμόνιον ἐξεληλυθὸς, καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης. » Μετὰ περὶ τῶν βρωμάτων εἶπεν ὁ Κύριος, καὶ εἶδεν ἀπειθοῦντας τοὺς Ἰουδαίους, μεταβαίνει ἐπὶ τὰ τῶν ἐθνικῶν ὅρια. Ἀπιστησάντων γὰρ τῶν Ἰουδαίων, ἡ σωτηρία τοῖς ἔθνεσιν ἔμελλε γενέσθαι. Αὐτὸς μέντοι προηγουμένως σπουδάζει λαθεῖν, ἵνα μὴ ἔχωσιν ὕστερον αἰτιᾶσθαι αὐτὸν οἱ Ἰουδαῖοι, ὡς εἰς τὰ ἀκάθαρτα ἔθνη προσδραμόντα· Οὐ μέντοι ἠδυνήθη λαθεῖν· οὐ γὰρ ἐνεδέχετο αὐτὸν λαθεῖν, καὶ μὴ παρά τινος γνωσθῆναι (62). Ἡ οὖν γυνὴ ακούσασα (62) περὶ αὐτοῦ, ἐπιδείκνυται πίστιν θερμήν. Διὰ τοῦτο οὖν καὶ ὁ Κύριος οὐκ εὐθέως ὑπακούει, ἀλλ' ἀνακάλλεται τὴν δωρεὰν, ἵνα δείξῃ τὴν τῆς γυναικὸς ἐπίμονον πίστιν, καὶ ὅτι καίτοι ἀποπεμπομένη, προσκαρτερεῖ, ἵνα καὶ ἡμεῖς μάθωμεν μὴ ἀποπηδᾷν εὐθὺς ὅταν εὐξάμενοι μὴ αὐτίκα τυγχάνωμεν, ἀλλὰ προσκαρτερῶμεν ἄχρις ἂν λάβωμεν. Κυνάρια δὲ ὀνομάζει τοὺς ἐθνικοὺς, ὡς μιαροὺς δοκοῦντας τοῖς Ἰουδαίοις· ἄρτον δὲ, τὴν

**Ex collatione codd. Venet. S. Marci.**

(62) Cod. 26 : Γυνὴ δὲ Ἑλληνὶς μὲν τὴν θρησκείαν, Σύρα δὲ τῇ διαλέκτῳ, Φοινίκισσα δὲ τῷ γένει, ἤτοι τῷ ἔθνει (Φοίνικες γὰρ οἱ Χαναναῖοι ἐλέγοντο, διὰ τὸ μητρόπολιν ἔχειν τὴν Φοινίκην), αὕτη ἀκούσασα περὶ αὐτοῦ, κ. τ. λ. « Mulier autem, Græca quidem superstitione: sed idiomate Syra, ac genere Phœnix: Phœnices enim Chenanæi dicebantur, quod metropolim baberent Phœnicem. Hæc igitur cum audiisset de eo, » etc.

(*a*) In edit. Lut. deest, Συροφοίνισσα, vel Συροφοίνικισσα ut apud J. Millium in Novo Testam. Græco ad hunc locum ex ipso Theophylacto.

εὐεργεσίαν, ἣν τοῖς παιδίοις, ἤτοι τοῖς Ἑβραίοις, ἀφώρισεν ὁ Θεός· τὰς γὰρ εὐεργεσίας τοῖς Ἑβραίοις ἀπέστειλε. Φησὶν οὖν ὁ Κύριος, ὅτι, Οὐ δεῖ τοὺς ἐθνικοὺς μετασχεῖν τῆς εὐεργεσίας ἣ τοῖς Ἰουδαίοις ἀφώρισται· ἐπεὶ δὲ συνετῶς ἀπεκρίθη ἡ γυνὴ καὶ πιστῶς, ἔτυχε τῆς ἐπιθυμίας. Οἱ μὲν γὰρ Ἰουδαῖοι, φησὶ, τὸν ἄρτον ἔχουσι, τουτέστι, σὲ ὁλόκληρον, τὸν ἐξ οὐρανοῦ καταβάντα, καὶ τὰς σὰς εὐεργεσίας· ἐγὼ δὲ ψιχία αἰτῶ, τουτέστι, μερικὴν εὐεργεσίαν. Ὅρα δὲ καὶ τὸν Κύριον, πῶς οὐκ εἶπεν ὅτι, Ἡ δύναμίς μου ἔσωσέ σε. Ἀλλὰ τί φησι; Διὰ τὸν λόγον τοῦτον, τουτέστι, διὰ τὴν πίστιν σου, ὕπαγε, ἐκαθαρίσθη γάρ ἡ θυγάτηρ σου. Μάνθανε οὖν καὶ σὺ ἐντεῦθεν ἐπωφελὲς μάθημα. Καὶ γὰρ ἕκαστος ἡμῶν ὅταν ἁμαρτάνῃ, γυνή ἐστι, τουτέστιν, ἀσθενὴς ψυχή· Φοινίκισσα δὲ, ὡς τὴν φοινικὴν ἁμαρτίαν καὶ αἱματώδη καὶ φονεύτριαν ἔχουσα. Θυγατέρα δὲ ἔχει ἡ τοιαύτη ψυχὴ, τὴν πονηρὰν πρᾶξιν, ἥτις ἔχει δαιμόνιον. Αἱ γὰρ πονηραὶ πράξεις, δαιμόνων εἰσίν· ἁμαρτωλοὶ οὖν ὄντες, καὶ κυνάρια ὀνομαζόμεθα, ἀκαθαρσίας γέμοντα· διὰ τοῦτο οὐδὲ ἄξιοί ἐσμεν λαβεῖν τὸν ἄρτον τοῦ Θεοῦ, ἤτοι μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων· ἐὰν μέντοι ἐπιγνῶμεν ἑαυτοὺς διὰ τῆς ταπεινοφροσύνης, καὶ ὅτι κυνάριά ἐσμεν ὁμολογήσωμεν, καὶ ἐξαγορεύσωμεν τὰς ἁμαρτίας ἡμῶν, τότε ἰαθήσεται ἡ θυγάτηρ, τουτέστι, ἡ πρᾶξις ἡ δαιμονιώδης.

« Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως, καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα, καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ· καὶ πτύσας ἥψατο τῆς γλώττης αὐτοῦ, καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐστέναξε, καὶ λέγει αὐτῷ, Ἐφφαθά· ὅ ἐστι, Διανοίχθητι· καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαὶ, καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώττης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς, καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν. Ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυττον, καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες· Καλῶς πάντα πεποίηκε, καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους λαλεῖν. » Οὐκ ἐμβραδύνει τοῖς τῶν ἐθνικῶν τόποις, ἀλλὰ ταχέως μεθίσταται, ἵνα, ὡς ἔφην, μὴ δώσῃ τοῖς Ἰουδαίοις λέγειν ὡς παρανομεῖ, μιγνύμενος τοῖς ἐθνικοῖς. Μεταστὰς οὖν τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, τῇ Γαλιλαίᾳ πρόσεισι. Καὶ δὲ κωφὸν μογιλάλον, ὑπὸ δαίμονος δὲ τὸ πάθος ἦν, ἰᾶται. Κατ' ἰδίαν μὲν αὐτὸν ἀπολαβών· οὐ γὰρ ἦν φιλόκομπος ὁ ταπεινώσας ἑαυτὸν μέχρι τῆς ἡμετέρας πτωχείας, οὐδὲ ἤθελεν ὡς ἐπὶ τὸ πλεῖστον ἔμπροσθεν πολλῶν θαυματουργεῖν, εἰ μὴ ἄρα διὰ τὴν τῶν ὁρώντων ὠφέλειαν (63)· πτύσας δὲ ἥψατο τῆς γλώττης αὐτοῦ, ἵνα δείξῃ ὅτι πάντα τὰ μέρη τῆς ἁγίας αὐτοῦ σαρκὸς θεῖα ἦσαν καὶ ἅγια, ὥσπερ καὶ τὸ πτύσμα ἔλυσε νῦν καὶ τὰ τῆς γλώττης δεσμά·

Quia vero prudenter respondit mulier et fideliter, desiderii facta est compos. Judæi enim, inquit, panem habent, hoc est te totum, qui e cœlis descendisti, et beneficia tua : at ego micas peto, hoc est beneficium particulare Vide autem Dominum quomodo non dixerit : Virtus mea salvavit te : sed quid dicit ? Propter sermonem hunc, hoc est, propter fidem tuam, vade : mundata enim est filia tua. Disce igitur et tu hoc loco utilem doctrinam. Etenim unusquisque nostrum **208** quando peccat, mulier est, hoc est infirma anima; Phœnissa autem, tanquam rubrum et sanguinarium ac cruentum peccatum habens. Filiam autem habet talis anima, malum opus, quod habet dæmonium. Mala enim opera, dæmonum sunt : peccatores itaque cum simus, canes nominamur, immunditia pleni, proter quod et indigni sumus qui accipiamus panem Dei, hoc est, communicemus immaculatis mysteriis. Qod si per humilitatem nosmetipsos agnoverimus, et confessi fuerimus nos esse canes, enarraverimusque peccata nostra, tunc sanabitur filia nostra, hoc est, opus diabolicum.

VERS 31-37. « Et rursum egressus de finibus Tyri ac Sidonis, venit ad mare Galilææ per medios fines Decapolis, et adducunt ei surdum lingua hæsitantem, et deprecantur eum ut imponat illi manum, et cum apprehendisset eum de turba seorsum, misit digitos suos in auriculas ejus, et sputo emisso, tetigit linguam ejus, ac suscipiens in cœlum ingemuit, et ait illi : Ephpheta, quod est, Aperire. Et statim apertæ sunt aures ejus, et solutum est vinculum linguæ ejus, et loquebatur recte : et præcepit illis ne cui dicerent. Sed quo magis ille eis præcipiebat, hoc amplius prædicabant, et supra modum stupebant dicentes : Bene omnia fecit, et surdos facit audire et mutos loqui. » Non moratur diu in gentilium locis, sed statim transit, ne, sicut dicebam, daret occasionem Judæis dicendi quod prævaricaretur legem, gentilibus se miscens. Secedens igitur a finibus Tyri et Sidonis, vadit in Galilæam. Porro surdum et impeditæ linguæ illum sanat. Erat autem morbus ille a dæmone. Jam quod de turba seorsum apprehendit illum, ideo factum, quod non erat arrogantiæ sectator, qui se humiliarat usque ad nostram inopiam : et ut plurimum noluit coram multis miracula facere, nisi forte propter videntium utilitatem. Cum vero expuisset, tetigit linguam illius, ut ostenderet omnes partes sanctæ carnis suæ sanctas ac divinas esse, adeo ut et sputum nunc solveret linguæ vinculum : tametsi superfluitas sit omne sputum, sed in Domino admi-

Ex collatione codd. Venet. S Marci.

(63) Cod. 26 : Λαβὼν οὖν αὐτὸν κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, ἕνα μὲν τῆς δεξιᾶς χειρὸς εἰς τοῦτο τὸ οὖς, ἕνα δὲ τῆς ἀριστερᾶς εἰς ἐκεῖνο. Καὶ πτύσας, κ. τ. λ. « Accipiens igitur illum seorsim misit digitos suos in auriculas ejus, unum videlicet dexteræ manus in aliam ejus, unum manus sinistræ in alteram. Cumque expuisset, etc. »

rabilia erant ac divina omnia. Ut autem suspexit in cœlum, ingemuit, fortassis et orans Patrem quo misericordia dignaretur hominem, et nos docens quando facturi sumus miraculum, ad Deum respiciamus, et inde petamus miraculorum virtutem; fortassis etiam misericordia erga humanam naturam tactus, quo pacto sic tradita esset diabolo, qui illi sic illuderet, et a quo tanta pateretur. Unde et qui sanarat, a sanatis prædicatur, tametsi illis ipse interdiceret ac prohiberet ne quid dicerent. Docemur et item hoc loco quod quando benefacturi sumus, ne plausus vel celebritates ex beneficiis quæramus : 209 cum autem beneficia accepe rimus, ut benefactores, licet ipsi recusent, laudemus et prædicemus.

## CAPUT VIII.

*De septem panibus. De quærentibus signum. De fermento Pharisæorum. De cæco. De interrogatione Cæsareæ facta. Do increpatione Petri.*

VERS. 1-9. « In diebus illis cum turba admodum multa esset, nec haberent quod manducarent, accersitis ad se Jesus discipulis, ait illis : Misericordia tangor erga turbam : quia jam triduo apud me manent, nec habent quod edant : et si demisero eos jejunos in domum suam, deficient in via. Quidam enim ex eis e longinquo venerunt. Et responderunt ei discipuli sui : Unde illos quis poterit hic satiare panibus in solditudine? Et interrogavit eos : Quot panes habetis ? Illi vero dixerunt, Septem. Et præcepit turbæ discumbere super terram: et acceptis septem panibus, cum gratias egisset, fregit, deditque discipulis suis, ut apponerent, et apposuerunt turbæ. Et habebant pisciculos paucos: et cum benedixisset, jussit apponi et hos Comederunt autem et saturati sunt ; ac sustulerunt, quæ superfuerant fragmentorum septem sportas. Erant autem qui comederant, ferme quater mille : et dimisit illos. » Etiam antea tale quoddam miraculum fecit Dominus, et nunc idem denuo operatur sumpta occasione justa, nempe quod tres dies manserat turba, et absumpta erant omnium viatica. Non enim semper miraculum facit in alimentis, ut ne putent, quod propter cibos populus

καίτοι περίττωμά ἐστι πᾶν πτύσμα, ἀλλ' ἐπὶ τοῦ Κυρίου καινότερα καὶ θεῖα πάντα (64). Ἀναβλέψας δὲ εἰς τὸν οὐρανὸν στενάζει, τάχα μὲν καὶ ὡς παρακαλῶν τὸν Πατέρα ἵνα ἐλεήσῃ τὸν ἄνθρωπον, καὶ ἡμᾶς διδάσκων, ἐπειδὰν μέλλωμεν θαῦμα ποιεῖν, πρὸς Θεὸν ὁρᾷν, κἀκεῖθεν ἐξαιτεῖσθαι τὴν τῶν θαυμάτων δύναμιν· τάχα δὲ καὶ ὥσπερ ἐλεῶν τὴν ἀνθρωπίνην φύσιν, πῶς οὕτω παρεδόθη τῷ διαβόλῳ, ὥστε οὕτως ἐμπαίζεσθαι καὶ τοιαῦτα πάσχειν. Ὅθεν καὶ θεραπεύσας, κηρύττεται παρὰ τῶν θεραπευομένων, κἂν αὐτὸς αὐτοῖς διαστέλληται καὶ παραγγέλλῃ μηδὲν λέγειν. Διδασκόμεθα γὰρ ἐντεῦθεν ὡς ὅταν μὲν εὐεργετῶμεν, οὐκ ὀφείλομεν ἀπαιτεῖν κρότους καὶ διαφημισμούς· ὅταν δὲ εὐεργετώμεθα, κηρύσσειν καὶ φημίζειν τοὺς ἀγαθοποιήσαντας, κἂν ἐκεῖνοι μὴ θέλωσιν.

## ΚΕΦΑΛ. Η'.

Περὶ τῶν ἑπτὰ ἄρτων. Περὶ τῶν ζητούντων σημεῖον. Περὶ τῆς ζύμης τῶν Φαρισαίων. Περὶ τοῦ τυφλοῦ. Περὶ τῆς ἐν Καισαρείᾳ ἐπερωτήσεως. Περὶ τῆς ἐπιτιμήσεως Πέτρου.

« Ἐν ἐκείναις ταῖς ἡμέραις παμπόλλου ὄχλου ὄντος, καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς· Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι. Καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις, εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν μακρόθεν ἥκασι. Καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας ; Καὶ ἐπηρώτα αὐτούς· Πόσους ἄρτους ἔχετε ; Οἱ δὲ εἶπον, Ἑπτά. Καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς, καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους, εὐχαριστήσας, ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, ἵνα παραθῶσι, καὶ παρέθηκαν τῷ ὄχλῳ, καὶ εἶχον ἰχθύδια ὀλίγα, καὶ εὐλογήσας, εἶπε παραθεῖναι καὶ αὐτά. Ἔφαγον δὲ καὶ ἐχορτάσθησαν. Καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας. Ἦσαν δὲ οἱ φαγόντες ὡς τετρακισχίλιοι, καὶ ἀπέλυσαν αὐτούς. » Ἤδη καὶ πρότερον ἐθαυματούργησέ τι τοιοῦτον ὁ Κύριος, καὶ νῦν δὲ θαυματουργεῖ, ἀφορμῆς εὐλόγου ἀρξάμενος. Ἡ δὲ ἦν, τὸ τρεῖς ἡμέρας παραμεῖναι τὸν ὄχλον, καὶ τὰ ἐφόδια ἑκάστου ἀναλωθῆναι. Οὐ πάντοτε γὰρ ἐθαυματούργει ἐπὶ ταῖς τροφαῖς, ἵνα μὴ δόξωσιν, ὅτι διὰ τὴν τροφὴν ἀκολουθοῦσιν αὐτῷ οἱ

Ex collatione codd. Venet. S. Marci.

(64) Cod. 32 addit : Ἀλλὰ καὶ τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ ἔβαλε, δυνάμενος καὶ λόγῳ ἐπιτελέσαι τὸ θαῦμα· δεικνὺς ὡς πλουτεῖ τὴν τῆς θείας δυνάμεως ἐνέργειαν, καὶ τὸ ἑνωθὲν αὐτῷ σῶμα. Ἐπειδὴ γὰρ διὰ τὴν ἐν Ἀδὰμ παράβασιν πολλὰ τῇ ἀνθρωπείᾳ φύσει ἐπισυνέβη τὰ πάθη· πήρωσις ἔσθ' ὅτε μελῶν, καὶ λοιπὰ ἕτερα πάθη, δηλοῦντα εἰς ποίαν ἀῤῥωστίαν διὰ τὰς ἁμαρτίας ἡ τοῦ ἀνθρώπου κατενήνεκται φύσις· εἰσελθὼν ὁ Χριστὸς καὶ τελείαν ταύτην ἀποδείξας ἐν ἑαυτῷ, καὶ οἵαν ἐξ ἀρχῆς αὐτὸς αὐτὴν κατεσκεύασε, δι' αὐτῆς τὰ τῶν ὁμοουσίων αὐτῇ νοσήματα ἐθεράπευσε· διὰ τοῦτο καὶ δακτύλοις μὲν τὰ ὦτα διήνοιγε, πτύσματι δὲ ἐπεδίδου τῇ γλώττῃ τὸ φθέγγεσθαι. Ἀναβλέψας δὲ εἰς τὸν οὐρανὸν, κ. τ. λ. « Cæterum et digitos in aures ejus misit, cum aliunde posset sermone solo miraculum illud patrare : ut videlicet hac ratione ostenderet, quanta divinæ virtutis efficacia abundaret etiam unitum ipsi corpus. Quoniam enim propter Adæ prævaricationem multæ humanæ naturæ acciderunt passiones, quandoque etiam defectus membrorum, et cæteræ infirmitates, quæ ostendunt, in quantam imbecillitatem per peccatum præcipitata fuerit humana natura : adveniens Christus, eamque in semetipso perfectam, et qualem ipse a principio eam fecerat, reddens; per eamdem illorum, qui ejusdem substantiæ sunt, morbos sanavit. Idcirco digitis aures aperuit, ac linguæ facultatem loquendi sputo impertivit. Ut autem suspexit in cœlum, » etc.

ὄχλοι. Καὶ νῦν οὖν εἰ μὴ ἦν κίνδυνος ἐλπιζόμενος ἐκ τῆς ἀτροφίας προσγενέσθαι τῷ ὄχλῳ, οὐκ ἂν ἐθαυματούργησεν. Ὅρα δὲ καὶ τοὺς μαθητὰς, πῶς ἀνοήτως ἔτι ἔχουσιν, οὐδέπω πιστεύοντες τῇ δυνάμει αὐτοῦ ἀπὸ τῶν προτέρων. Αὐτὸς δὲ οὐδὲν ἐπιμέμφεται, διδάσκων καὶ ἡμᾶς μὴ ἐπιπλήττειν σφοδρότερον τοῖς ἀμαθέσιν, ἀλλ' ἔστιν ἃ καὶ συγγνωμονεῖν αὐτοῖς ὡς ἀνοήτοις. Ἀναλογίζου δὲ καὶ τοῦτο, ὅτι ὁ Χριστὸς οὐδένα βούλεται νῆστιν ἀπολῦσαι. Πάντας γὰρ θέλει κατατρυφᾷν τῶν αὐτοῦ χαρισμάτων, καὶ μάλιστα τοὺς τρεῖς ἡμέρας αὐτοῦ παραμείναντας, τουτέστι, τοὺς βαπτισθέντας. Ἐπεὶ γὰρ φώτισμα λέγεται τὸ βάπτισμα, τὸ δὲ βάπτισμα ἐν τρισὶ καταδύσεσι τελεῖται, ἐν τρισὶν ἡμέραις εἰσὶν οἱ φωτιζόμενοι διὰ τοῦ βαπτίσματος. Λαμβάνει τοίνυν τοὺς ἑπτὰ ἄρτους, τοὺς πνευματικωτέρους λόγους φημί. Ὁ γὰρ ἑπτὰ ἀριθμὸς, τοῦ Πνεύματός ἐστι σύμβολον. Τὸ Πνεῦμα γάρ ἐστι τὸ τελειοῦν τὰ πάντα, καὶ ἐν τῷ ἑπτὰ ἀριθμῷ τελειοῦται ὁ βίος ἡμῶν, καὶ ὁ αἰὼν οὗτος. Τρώγουσι δὲ οἱ πεφωτισμένοι καὶ χορτάζονται, καὶ περισσεύματα ἐῶσιν. Οὐ γὰρ πάντα δύνανται φαγεῖν τὰ θεῖα νοήματα. Ἀλλ' ἐκεῖ μὲν ἐν τῇ τῶν πέντε ἄρτων θαυματουργίᾳ, δώδεκα κόφινοι, τὰ περισσεύματα· πεντακισχίλιοι γὰρ ἦσαν, τουτέστι ταῖς αἰσθήσεσι ταῖς πέντε δουλεύοντες. Καὶ διὰ τοῦτο οὐκ ἠδυνήθησαν πολλὰ φαγεῖν, ἀλλ' ὀλίγοις ἠρκέσθησαν. Διὸ καὶ πολλὰ τὰ περιττεύσαντα· ἐνταῦθα δὲ σπυρίδες ἑπτὰ καὶ ὀλίγα τὰ λείψανα, διότι τετρακισχίλιοι ἦσαν, τουτέστι, ταῖς τέσσαρσιν ἀρεταῖς γεγυμνασμένοι, καὶ διὰ τοῦτο ὡς δυνατώτεροι, ἔφαγον πολλὰ, καὶ ὀλίγα κατέλειψαν. Ἐκεῖνα γὰρ μόνα οὐκ ἠδυνήθησαν φαγεῖν, ὅσα ἦν πνευματικώτερα καὶ βαθύτερα· τοῦτο γὰρ αἱ ἑπτὰ σπυρίδες. Μάνθανε δὲ καὶ τοῦτο κατὰ τὴν ἱστορίαν, ὅτι δεῖ ἡμᾶς ἄχρι τῆς χρείας ἵστασθαι, καὶ μηδὲν πλέον ζητεῖν. Ἰδοὺ γὰρ οἱ ὄχλοι, φαγόντες καὶ χορτασθέντες, οὐκ ἔλαβον μεθ' ἑαυτῶν τὰ λείψανα τῶν ἄρτων, ἀλλ' οἱ μαθηταὶ ἦραν ταῦτα, ὥσπερ καὶ ἐπὶ τῶν κοφίνων· οὕτως οὖν δεῖ καὶ ἡμᾶς ἀρκεῖσθαι τῇ συμμετρίᾳ τῆς χρείας.

« Καὶ εὐθέως ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά. Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν. Καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ, λέγει· Τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ; Ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον. » Μετὰ τὸ θαῦμα τὸ ἐπὶ τοῖς ἄρτοις, εὐθὺς ἀναχωρεῖ εἰς ἄλλον τόπον, φοβούμενος μήπως ὁ ὄχλος διὰ τὸ τοιοῦτον θαῦμα, νεωτερίσῃ, καὶ ποιήσῃ αὐτὸν βασιλέα. Οἱ δὲ Φαρισαῖοι σημεῖον ζητοῦσιν ἐξ οὐρανοῦ, οἷον ἥλιον στῆσαι, σελήνην, κεραυνοὺς καταγαγεῖν, ἀέρα ἀλλοιῶσαι. Ἐνόμιζον γὰρ, ὅτι οὐ δυνήσεται ἐξ οὐρανοῦ ποιῆσαι σημεῖον, οἷα δὴ ἐν τῷ Βεελζεβοὺλ δυνάμενος ποιεῖν τὰ ἐν τῇ γῇ μόνα σημεῖα. Αὐτὸς δὲ οὐ πείθεται τούτοις. Ἄλλος γὰρ ὁ καιρὸς τῶν ἐξ οὐρανοῦ σημείων, ὁ τῆς δευτέρας λέγω παρουσίας, ὅτε αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. Ὁ δὲ τῆς πρώτης παρουσίας, οὐδὲν τοιοῦτον ἔχει, ἀλλὰ πάντα πρᾳότη-

A illum sequatur, et nunc nisi periculum ex ciborum penuria fuisset, neutiquam fecisset miraculum. Vide autem et discipulos quam insipienter se habeant, nondum credentes virtutes illius ex prioribus signis. Ipse autem non reprehendit, docens et nos ne morosiores et austeriores erga indociles simus, sed sunt quæ illis oportet ignoscere ut insipientibus. Considera autem et hoc, quod Christus nullum vult dimittere jejunum. Omnes enim vult deliciis suorum donorum alere, et maxime eos qui triduo apud se manent, hoc est baptizatos. Illuminatio enim dicitur baptisma. Quia autem baptismus in tribus mersionibus fit, ita et triduo manent qui per baptismum illuminantur. Accepit septem B panes, spirituales inquam sermones. Numerus enim septenarius Spiritus sancti symbolum est, qui perficit omnia. Septenario enim numero perficitur vita hæc et hoc sæculum. Comedunt autem illuminati, et saturantur, et reliquiæ supersunt. Neque omnes sensus divinos edere valent. Verum in illo quidem quinque panum miraculo, 210 duodecim cophini sunt, et plures reliquiæ: erant enim quinque millia, hoc est, quinque sensibus serviebant et propterea non potuerunt multa edere, sed paucis contenti fuerunt, et ideo plures sunt reliquiæ: hic vero septem sunt sportæ, et pauciora residua, eo quod quatuor millia fuerunt, hoc est, quatuor virtutibus exercitati, et propterea tanquam potentiores, plura comederunt et pauciora reli- C querunt. Illa enim sola non potuerunt comedere, quæ fuerunt magis spiritualia et profundiora, unde et per septem sportas designantur. Disce et hoc juxta historiam, quod debemus his quibus indigemus, contenti esse, et nihil amplius quærere. Ecce enim turbæ, quæ comederunt, et saturatæ fuerunt, non acceperunt secum reliquias panum, sed discipuli has gestarunt, quemadmodum et in cophinis factum fuerat, sic igitur et nos usu nobis congruo esse contentos decet.

VERS. 10-12. « Et mox ingressus in navim cum discipulis suis, venit in partes Dalmanutha: et egressi sunt Pharisæi, cœperuntque disputare cum illo, quærentes ab eo signum e cœlo, tentantes eum. Et cum ingemuisset spiritu suo, dicit: Cur D generatio hæc signum quærit? Amen dico vobis, si dabitur generationi huic signum. » Post signum hoc septem panum statim secedit in alium locum, timens ne quo pacto turba tanto miraculo excitata quid novarum rerum moliretur, regemque se faceret. Pharisæi signum quærunt de cœlo, utpote quod solem sistat et lunam, fulmina deducat, aerem immutet. Arbitrabantur enim eum non posse facere signum de cœlo tanquam qui in Beelzebut facere solum posset signa in terra. Ipse autem morem eis non gerit. Aliud enim est tempus signorum de cœlo, nempe secundi adventus tempus, quando virtutes cœlorum commovebuntur, et luna non dabit splendorem suum. Primi autem adventus tempus nihil tale habet, sed omnia man-

suetudine plena sunt, et ita non dabitur generationi huic signum tale, hoc est, de cœlo.

VERS. 13-21. « Et relictis illis, ingressus rursus navim abiit trajecto lacu. Et obliti fuerant sumere panes, nec præter unum panem habebant secum in navi. Ac præcepit illis dicens : Videte, cavete a fermento Pharisæorum, et a fermento Herodis. Et disputabant inter sese, dicentes : Panes non habemus. Et eo cognito, Jesus dicit illis: Quid disputatis quod panes non habetis? Nondum animadvertitis nec intelligitis? adhuc obcæcatum habetis cor vestrum? oculos habentes non cernitis, et aures habentes non auditis? et non meministis, cum quinque panes fregissem in hominum quinque millia, quot cophinos fragmentis plenos sustulistis? Dicunt ei: Duodecim. Cum autem septem in quatuor millia, quot sportas ex reliquiis fragmentorum tulistis? Illi vero dixerunt, 211 Septem. Et dixit illis: Qui fit ut non intelligatis? Reliquit Pharisæos Dominus, ut incorrigibiles. Ubi enim spes est, correctionis, ibi immorandum est : ubi autem illa defuerit, inde transeundum. Singulari autem dispensatione fit ut discipuli obliviscantur panum, quo meliores evadant objurgati, et intelligant Domini virtutem. Nam cum dixisset cavendum a fermento Pharisæorum, hoc est, doctrina, illi eum putabant de panum fermento locutum. Unde merito perstringuntur tanquam stupidi, et non intelligentes virtutem Christi, qui possit ex nihilo facere panes. Fermentum autem ideo nominat doctrinam Pharisæorum et Herodianorum, quia amara est, malitiæque veteris plena. Quicunque enim malitia inveteratus est, et nihil spirituale potest dicere quod auditoris palato sit dulce, ille fermentum habet, ac mordacem veteris malitiæ doctrinam, quæ illi obedientem ad pœnitudinem tandem ducat. Herodiani autem erant doctores quidam nuper orti, dicentes Herodem esse Christum, et illi esse credendum.

A τος γέμοντα, Ὥστε οὐ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον τοιοῦτον, τουτέστιν οὐρανόθεν.

« Καὶ ἀφεὶς αὐτοὺς, ἐμβὰς πάλιν εἰς τὸ πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν. Καὶ ἐπελάθοντο οἱ μαθηταὶ αὐτοῦ λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ. Καὶ διεστέλλετο αὐτοῖς, λέγων· Ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, καὶ τῆς ζύμης Ἡρώδου. Καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες, ὅτι Ἄρτους οὐκ ἔχομεν. Καὶ γνοὺς ὁ Ἰησοῦς, λέγει αὐτοῖς. Τί διαλογίζεσθε, ὅτι ἄρτους οὐκ ἔχετε; Οὔπω νοεῖτε, οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν; ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε, καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε, ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους, πόσους κοφίνους πλήρεις B κλασμάτων ἤρατε; Λέγουσιν αὐτῷ· Δώδεκα. Ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε; Οἱ δὲ εἶπον· Ἑπτά. Καὶ ἔλεγεν αὐτοῖς· Πῶς οὔπω συνίετε; » Ἀφίησι τοὺς Φαρισαίους ὁ Κύριος, ὡς ἀδιορθώτους. Ἔνθα μὲν γὰρ ἔστιν ἐλπὶς διορθώσεως, ἐκεῖ δεῖ ἐγχρονίζειν· ἔνθα δὲ ἀδιόρθωτον τὸ κακὸν, ἐκεῖθεν ἀποπηδᾷν δεῖ. Οἰκονομικῶς δὲ οἱ μαθηταὶ ἐπιλανθάνονται λαβεῖν ἄρτους, ἵνα ὀνειδισθέντες βελτίους γένωνται, καὶ εἰς αἴσθησιν ἔλθωσι τῆς τοῦ Χριστοῦ δυνάμεως. Εἰπόντος γὰρ τοῦ Κυρίου προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἤτοι τῆς διδασκαλίας, ἐκεῖνοι τὴν τῶν ἄρτων ζύμην ἐνόμισαν ἀπαγορεύειν αὐτοῖς τὸν Κύριον. Ὅθεν εἰκότως ἐπιπλήσσονται ὡς μὴ συνιέντες τὴν δύναμιν τοῦ Χριστοῦ, ὅτι δύναται ἄρτους ἐκ C μὴ ὄντων ποιῆσαι. Ζύμην δὲ ὀνομάζει τὴν διδασκαλίαν τῶν Φαρισαίων καὶ τῶν Ἡρωδιανῶν, ὡς ὀζώδη οὖσαν καὶ παλαιᾶς κακίας γέμουσαν. Πᾶς γὰρ ὁ παλαιωθεὶς ἐν τῇ κακίᾳ, καὶ μηδὲν πνευματικὸν δυνάμενος λέγειν, ὥστε γλυκαίνειν τὸν λάρυγγα τοῦ ἀκούοντος, ὁ τοιοῦτος ζύμην ἔχει, παλαιᾶς κακίας διδασκαλίαν δάκνουσαν, καὶ εἰς μεταμέλειαν ὕστερον ἄγουσαν τὸν πεισθέντα. Τίνες δὲ ἦσαν οἱ Ἡρωδιανοί; Διδάσκαλοί τινες νεοφανεῖς, οἵτινες ἔλεγον, ὅτι ὁ Ἡρώδης ἐστὶν ὁ Χριστὸς, καὶ ὅτι τούτῳ δεῖ πιστεύειν.

VERS. 22-26. « Et venit Bethsaidam, et adducunt illi cæcum : et obsecrabant eum ut illum tangeret. Et apprehensa manu cæci, eduxit illum extra vicum : et cum expuisset in oculos illius, imposuisset que illi manus, interrogavit eum si quid videret : et recepto visu dicebat : Video homines, quoniam velut arbores cerno ambulantes. Deinde rursum imposuit manus super oculos illius et fecit ut visum reciperet, et restitutus est : ac videbat dilucide omnes : et dimisit illum in domum suam dicens : Neque in vicum ingrediaris, neque dixeris cuiquam in vico. » Apparet Bethsaidam incredulitate multa laborasse : ideo et miseram eam dicit Christus, sicut Matthæus inquit : « Væ tibi Chorazin, væ tibi Bethsaida : quia si in Tyro et Sidone factæ fuissent virtutes, quæ factæ sunt in vobis, pridem resipuissent 83. » Huc igitur cum venisset

« Καὶ ἔρχεται εἰς Βηθσαϊδὰ, καὶ φέρουσιν αὐτῷ τυφλὸν, καὶ παρακαλοῦσιν αὐτὸν, ἵνα αὐτοῦ ἅψηται. Καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης. Καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτοῦ, ἐπηρώτα αὐτὸν εἴ D τι βλέπει. Καὶ ἀναβλέψας, ἔλεγε· Βλέπω τοὺς ἀνθρώπους, ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας. Εἶτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι. Καὶ ἀποκατεστάθη, καὶ ἐνέβλεψε τηλαυγῶς ἅπαντας, καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, λέγων· Μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς, μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ. » Φαίνεται ἡ Βηθσαϊδὰ πολλὴν ἀπιστίαν νοσήσασα, διὸ καὶ ταλανίζει αὐτὴν ὁ Χριστὸς, ὡς ὁ Ματθαῖός φησιν· « Οὐαί σοι, Χοραζίν· οὐαί σοι, Βηθσαϊδὰ, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις, αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν μετενόησαν. » Ἐνταῦθα τοίνυν ἐλ-

83 Matth. XI.

θόντι τῷ Κυρίῳ, προσάγουσιν αὐτῷ τυφλόν. Οὐ γνησία δὲ ἦν ἡ πίστις τῶν προσαγόντων, ὅθεν καὶ ὁ Κύριος ἐπάγει τὸν τυφλὸν ἐκ τῆς κώμης, καὶ οὕτως ἰᾶται αὐτόν. Πτύει δὲ εἰς τὰ ὄμματα τοῦ τυφλοῦ, καὶ τὰς χεῖρας ἐπιτίθησιν, ἵνα μάθωμεν ἡμεῖς ὅτι λόγος θεῖος καὶ πρᾶξις ἑπομένη τῷ λόγῳ, τὰ θαύματα τελεῖν δύναται. Ἡ μὲν γὰρ χεὶρ, τῆς πράξεώς ἐστι σύμβολον· τὸ δὲ πτύσμα, τοῦ λόγου, καθὸ ἐκ τοῦ στόματός ἐστιν. Οὐδὲ ὁ τυφλὸς μέντοι τελείαν εἶχε τὴν πίστιν, διὰ τοῦτο οὐδὲ εὐθὺς ἀναβλέψαι αὐτὸν ποιεῖ, ἀλλὰ κατὰ μέρος, ὡς μὴ ὁλόκληρον ἔχοντα τὴν πίστιν· κατὰ γὰρ τὴν πίστιν, καὶ αἱ θεραπεῖαι γίνονται. Παραγγέλλει δὲ αὐτῷ μὴ εἰσελθεῖν εἰς τὴν κώμην, διότι, ὡς ἔφην, ἀπίστων ὄντων τῶν ἐν τῇ Βηθσαϊδᾷ, ἐβλάβη ἂν ὁ ἄνθρωπος τὴν ψυχήν· ἀλλὰ B μηδὲ εἰπεῖν τινι ὃ ἐγένετο ἐπ' αὐτῷ, ἵνα μὴ ἀπιστήσαντες, χεῖρον κρῖμα ἐπισπάσωνται. Καὶ ἡμεῖς οὖν πολλάκις ἐσμὲν τυφλοὶ τὴν ψυχὴν, ἐν τῇ κώμῃ ὄντες, τουτέστι τῷ κόσμῳ τούτῳ. Εἶτα ἔξω τῆς κώμης, ἤτοι τοῦ κόσμου, καὶ τῶν αὐτοῦ πραγμάτων ἀπαχθέντες ὑπὸ Χριστοῦ θεραπευόμεθα. Μεθὸ δὲ θεραπευθῶμεν, λέγει ἡμῖν μηκέτι ὑποστρέψαι εἰς τὴν κώμην, ἀλλ' εἰς τὸν οἶκον. Οἶκος δὲ ἑκάστου ἡμῶν, ὁ οὐρανὸς καὶ αἱ ἐκεῖσε μοναί.

« Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου, καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; Οἱ δὲ ἀπεκρίθησαν, Ἰωάννην τὸν Βαπτιστὴν, καὶ ἄλλοι, Ἠλίαν, ἄλλοι δὲ, ἕνα τῶν προφητῶν. Καὶ αὐτὸς λέγει αὐτοῖς· Ὑμεῖς δὲ C τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Πέτρος, λέγει αὐτῷ· Σὺ εἶ ὁ Χριστός. Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ. » Ἀπαγαγὼν αὐτοὺς πόῤῥω τῶν Ἰουδαίων, τότε ἐρωτᾷ περὶ ἑαυτοῦ, ἵνα μηδένα φοβούμενοι, τὴν ἀλήθειαν ὁμολογήσωσιν. Ἀποκρίνονται οὖν ὅτι, Οἱ μὲν Ἰωάννην σε ὑπολαμβάνουσιν· οἱ δὲ, Ἠλίαν. Ἐνόμιζον γὰρ οἱ πολλοὶ ἀναστῆναι τὸν Ἰωάννην, ὥσπερ δὴ καὶ ὁ Ἡρώδης ᾤετο, προσλαβεῖν δὲ ἀπὸ τῆς ἀναστάσεως καὶ τὴν τῶν σημείων ἐργασίαν· ζῶν γὰρ ὁ Ἰωάννης, οὐδὲν σημεῖον ἐποίησε. Μεθὸ οὖν ἠρώτησεν αὐτοὺς τὰς τῶν ἄλλων ὑπολήψεις, ἐρωτᾷ αὐτοὺς καὶ τὴν αὐτῶν γνώμην. Μονονουχὶ τοῦτο λέγων, ὅτι, Ἐκεῖνοι μὲν οὕτω δοξάζουσι περὶ ἐμοῦ πλανώμενοι, ὑμεῖς δὲ ἄλλο τι εἴπατε. Τί οὖν ὁ Πέτρος; Ὁμολογεῖ αὐτὸν εἶναι τὸν D ὑπὸ τῶν προφητῶν καταγγελλόμενον Χριστόν. Τί δὲ πρὸς τὴν ὁμολογίαν τοῦ Πέτρου εἶπεν ὁ Κύριος, καὶ πῶς ἐμακάρισεν αὐτὸν, ὁ μὲν Μάρκος παρέλειψεν, ἵνα μὴ δόξῃ χαριζόμενος τῷ Πέτρῳ, διδασκάλῳ αὐτοῦ ὄντι, ταῦτα λέγειν· ὁ δὲ Ματθαῖος ἀπαραλείπτως εἴρηκε πάντα. Ἐπετίμησε δὲ αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ. Ἠβούλετο γὰρ συσκιάζεσθαι τὴν περὶ αὐτοῦ δόξαν, ἵνα μὴ πολλοὶ σκανδαλίζωνται ἐπ' αὐτῷ, καὶ διὰ τοῦτο ἀπιστοῦντες, μείζονος τιμωρίας ὑπεύθυνοι γένωνται.

« Καὶ ἤρξατο διδάσκειν αὐτοὺς, ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ Γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας

A Jesus, adducunt ad eum cæcum. Non erat autem pura adducentium fides, unde et Dominus educit e pago, et sic sanat illum. Expuit vero in oculos cæci, et manus imponit, ut discamus nos quod sermo divinus et operatio illum subsequens ad miracula facienda efficax sit. Manus enim, operationis symbolum est : sputum autem sermonis, eo quod ex ore sit. Et quia neque cæcus ille perfectam habuit fidem, idcirco non statim ipsum resipiscere facit, sed sensim, utpote integra carentem fide. Juxta fidei enim magnitudinem et sanitas datur. Prohibet autem ne ingrediatur in pagum suum, eo quod, sicut dixi, increduli erant homines Bethsaidæ, et animæ ejus nocuissent. Sed B neque Christus hoc de se alicui dici vult, ut ne in incredulitate sua **212** perseverantes illi, in gravius inciderent judicium. Et nos sæpenumero quandiu in hoc pago, id est, mundo agimus, anima sumus cæci : educti autem e mundo et sæcularibus negotiis, a Christo sanamur. Postquam autem sanati fuerimus, dicit nobis ne ultra revertamur in pagum, sed in domum. Domus autem unius cujusque nostrum cœlum, et mansiones illic sunt.

VERS. 27-30. « Et egressus est Jesus et discipuli illius in vicos Cæsareæ quæ cognominatur Philippi : et in via interrogavit discipulos suos, dicens : Quem me dicunt homines esse ? Illi vero responderunt, Joannem Baptistam, et alii, Eliam, C alii rursus unum de numero prophetarum. Et ipse dicit illis : At vos quem me dicitis esse ? Respondens autem Petrus dicit illi : Tu es ille Christus. Et interminatus est eis ne cui dicerent de se. » Cum abduxisset eos procul a Judæis, tunc interrogat de se, ut nullum timentes, veritatem faterentur. Respondent igitur : Alii quidem Joannem Baptistam te suspicantur, alii vero Eliam. Multi enim Joannem resurrexisse credebant, sicut etiam Herodes opinatus est quod propter resurrectionem accessisset ei virtus illa qua miracula faciebat : Joannes enim cum viveret, non faciebat miracula. Ubi igitur interrogavit eos de aliorum opinionibus, rogat ex eis et suam ipsorum sententiam, quasi diceret : Illi errantes sic de me sentiunt, vos D autem aliud quiddam dicite. Quid igitur Petrus ? Confitetur eum esse Christum illum qui a prophetis prædictus est. Quid autem ad confessionem Petri dixerit Dominus, et quomodo beatificarit illum, Marcus quidem prætermisit, ne videretur ad gratiam Petri præceptoris sui hæc dixisse : Matthæus autem non omisit. Interminatus est autem illis ut nulli de se dicant. Volebat enim adumbrari gloriam suam, ne postea multi in se scandalizarentur, et propterea ob incredulitatem suam majori supplicio fierent obnoxii.

VERS. 31-33 « Et cœpit docere eos, quod oporteret Filium hominis multa pati, et reprobari a senioribus summisque sacerdotibus ac Scribis, et occidi, et post tres dies resurgere : et aperte ser-

monem loquebatur. Et apprehendit illum Petrus, cœpitque increpare eum. At ille conversus, et intuitus discipulos suos, increpavit Petrum, dicens: Abi post me, Satana, quoniam non sapis quæ Dei sunt, sed quæ sunt hominum. » Quando deprehendit eos confessos se esse verum illum Christum, tunc tandem et crucis sacramentum eis manifestat, tametsi non omnino nude: neque enim sic quid diceret intellexissent, neque intelligebant quid esset resurgere. Sed putabant melius esse omnino non pati. Quare et Petrus incœpit eum increpare, quod temere in mortem se offerret: potuisset enim non pati. 213 At Dominus monstrans ad salutem suam passionem pertinere, et solum Satanam eum nolle pati, ne salventur homines: Satanam nominat Petrum, tanquam idem cum Satana sentientem, nolentemque eum pati, sed magis se opponentem. Satanas enim idem est quod *adversarius*. Vade autem post me, inquit, hoc est, Sequere voluntatem meam, et non obluctoris, neque ex adverso mihi stes, sed post me sequaris. Humana dicebat sapere Petrum, eo quod humilia quædam et carnalia sapiebat, volens quiete agere, et non crucifigi, nec in tentationes incidere Dominum propter mundi salutem.

VERS. 34-37. « Et cum ad se vocasset turbam una cum discipulis suis, dixit illis: Quicunque vult sequi me, abneget semetipsum, et tollat crucem suam, et sequatur me. Nam quisquis voluerit animam suam servare, perdet eam. Quisquis autem perdiderit animam suam causa mea et Evangelii, hic servabit eam. Quid autem profuerit homini si lucratus fuerit mundum universum et animæ suæ jacturam fecerit? Aut quid daturus est homo quo repenset animam suam. » Postquam Petrus increparat eum volentem crucifigi, advocat turbam, et audientibus omnibus, Petrum acrius alloquitur: Tu me, inquit, reprehendis, Petre, quod crucem tollo? ego autem dico tibi, quod neque tu neque quisquam salvabitur, nisi moriatur pro bono et veritate. Cæterum vide quod non dixit, Etiamsi non velit quis, moriatur, sed, Quicunque vult. Nullum enim, inquit, cogo. Ad bona voco, non ad mala, ut et compellam: et ita si quis non vult, non est his dignus. Quid sit autem abnegare semetipsum, discemus, si didicerimus quid sit abnegare alium. Qui enim abnegat alium, fratrem fortassis, vel familiarem, vel patrem, etiamsi flagellari illum viderit et occidi, non advertit, non dolet, non compatitur semel ab eo alienatus: sic quoque et nos vult corpus nostrum despicere, ut sive flagella, sive aliud quid patiatur, ne illi parcamus. Tollat autem crucem, hoc est, ignominiosam mortem. Ignominiosa enim tunc videbatur crux. Præterea quia multi in crucem agebantur latrones, addit quod cum crucifixione etiam omnem aliam virtutem habeat. Hoc enim est, Et sequatur me. At quoniam grave hoc esse videbatur et crudele, quod imperat ut nos morti

A ἀναστῆναι. Καὶ παῤῥησίᾳ τὸν λόγον ἐλάλει, καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾷν αὐτῷ. Ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ, ἐπετίμησε τῷ Πέτρῳ, λέγων· Ὕπαγε ὀπίσω μου, Σατανᾶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. » Ὅτε κατέσχεν αὐτοὺς ὁμολογήσαντας, ὅτι αὐτός ἐστιν ὁ ἀληθινὸς Χριστὸς, τότε αὐτοῖς ἐκκαλύπτει καὶ τὸ τοῦ σταυροῦ μυστήριον, εἰ καὶ μὴ γυμνῶς πάντη· οὐδὲ γὰρ, οὐδὲ οὕτω συνίεσαν τί λέγει, οὐδὲ ἐνόουν τί ἐστι τὸ ἀναστῆναι, ἀλλ' ἐνόμιζον κρεῖττον εἶναι τὸ μηδ' ὅλως παθεῖν. Διὸ καὶ ὁ Πέτρος ἄρχεται μέμφεσθαι αὐτῷ, ὡς εἰς θάνατον ῥίπτοντι ἑαυτὸν, ἐξὸν μηδὲν παθεῖν. Ὁ δὲ Κύριος δεικνύων, ὅτι ἐπὶ σωτηρίᾳ τὸ αὐτοῦ πάθος γενήσεται, καὶ ὅτι ὁ Σατανᾶς μόνος οὐ θέλει αὐτὸν παθεῖν, ἵνα B μὴ σώσῃ τοὺς ἀνθρώπους, Σατανᾶν ὀνομάζει τὸν Πέτρον, ὡς τὰ τοῦ Σατανᾶ φρονοῦντα, καὶ μὴ θέλοντα αὐτὸν παθεῖν, ἀλλ' ἀντικείμενον αὐτῷ. (Σατανᾶς γὰρ, ἀντικείμενος ἑρμηνεύεται.) Ὕπαγε δὲ ὀπίσω μου, φησί, τουτέστιν, Ἀκολούθει τῷ θελήματί μου, καὶ μὴ ἀντιτάττου, μηδὲ ἐναντίος ἔρχου ἐμοὶ, ἀλλ' ὀπίσω μου ἀκολούθει. Τὰ τῶν ἀνθρώπων δὲ ἔφησε φρονεῖν τὸν Πέτρον, καθὸ ταπεινά τινα φρονῶν καὶ σαρκικὰ, ἤθελεν ἐν ἀνέσει εἶναι τὸν Κύριον, καὶ μὴ σταυρωθῆναι καὶ πειρασμῷ ἐμπεσεῖν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας.

« Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς· Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν C θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; » Ἐπειδήπερ ὁ Πέτρος ἐπετίμησεν αὐτῷ ὡς θέλοντι σταυρωθῆναι, προσκαλεῖται τὸν ὄχλον, καὶ ἐν ἐπηκόῳ πάντων, πρὸς τὸν Πέτρον τὸ πλέον ἀποτεινόμενος, φησί· Σὺ μοι μέμφῃ, ὦ Πέτρε, ὅτι τὸν σταυρὸν αἱροῦμαι; ἐγὼ δὲ σοι λέγω, ὅτι οὐδὲ σὺ οὐδὲ ἄλλος τις σωθήσεται, ἐὰν μὴ ἀποθάνῃ ὑπὲρ τοῦ καλοῦ καὶ τῆς ἀληθείας. Ὅρα δὲ ὅτι οὐκ εἶπεν ὡς, Κἂν μὴ θέλῃ τις, ἀποθνησκέτω, ἀλλ', Ὅστις θέλει. Οὐδένα γὰρ, φησὶ, βιάζομαι. Ἐπὶ γὰρ ἀγαθὰ καλῶ, οὐκ ἐπὶ κακὰ, ἵνα καὶ ἀναγκάσω· ὥστε D εἴ τις οὐ θέλει, οὐδὲ ἄξιός ἐστι τούτων. Τί δέ ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτὸν, οὕτως ἂν μάθοιμεν, ἐὰν γνῶμεν τί ἐστι τὸ ἀρνήσασθαι ἕτερον. Ὁ ἀρνούμενος ἕτερον, ἀδελφὸν τυχὸν, ἢ οἰκέτην, ἢ πατέρα, κἂν μαστιζόμενον ἴδοι, κἂν φονευόμενον, οὐκ ἐπιστρέφεται, οὐ συμπάσχει, ἅτε ἅπαξ ἀλλοτριωθείς. Οὕτως οὖν καὶ ἡμᾶς βούλεται τοῦ ἡμετέρου σώματος ἀφειδεῖν, ἵνα κἂν μαστίζωσι, κἂν ὁτιοῦν ποιῶσι, μὴ φειδώμεθα. Ἀράτω δὲ τὸν σταυρὸν, τουτέστι, τὸν ἐπονείδιστον θάνατον· ἐπονείδιστος γὰρ ἐδόκει τότε ὁ σταυρός. Ἐπεὶ δὲ πολλοὶ σταυροῦνται διὰ τὸ λῃσταὶ εἶναι, προστίθησιν ὅτι μετὰ τοῦ σταυρωθῆναι, καὶ τὴν ἄλλην ἀρετὴν δεῖ ἔχειν. Τοῦτο γάρ ἐστι τὸ, Καὶ ἀκολουθείτω μοι. Ἐπεὶ δὲ ἐδόκει βαρὺ εἶναι τοῦτο καὶ ἀπηνὲς, ὃ προσ-

ἐταττεν, τὸ εἰς θάνατον ἐκδιδόναι ἑαυτούς, φησὶν, A ὅτι τοὐναντίον μᾶλλον φιλάνθρωπόν ἐστι τοῦτο. Ὃς γὰρ ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ, ἀλλ' ἕνεκεν ἐμοῦ, μὴ ὡς λῃστὴς φονευόμενος ἢ ἀπάγχων ἑαυτὸν (τοῦτο γὰρ οὐκ ἔστιν ἕνεκεν ἐμοῦ), ὁ τοιοῦτος οὖν εὑρήσει τὴν ἑαυτοῦ ψυχήν· ὥσπερ αὖθις ὁ δοκῶν κερδᾶναι, ἀπολέσει αὐτὴν, ὁ ἐν καιρῷ μαρτυρίου μὴ ἀντιστάς. Μὴ γάρ μοι λέγε, ὅτι Ἀλλ' ἐκέρδησε τὴν ζωήν. Ἂν γὰρ μετὰ τούτου θήσεις, ὅτι καὶ τὸν κόσμον ὅλον ἐκέρδησεν, οὐδὲν τὸ ὄφελος. Μὴ γὰρ χρημάτων ἔστιν ἀντελλάξασθαι τὴν σωτηρίαν· ὡς εἴγε τοῦτο ἦν, ὁ κερδάνας τὸν κόσμον, τὴν δὲ ψυχὴν ἀπολέσας, ἔδωκεν ἂν τότε ἐν τῇ φλογὶ τηγανιζόμενος, καὶ ἠθωώθη. Ἀλλ' οὐκ ἔστι τότε τοιοῦτόν τι ἐκεῖ ἀντάλλαγμα. Καὶ ἐντεῦθεν οὖν ἐπιστομίσαιμεν τοὺς ἀπὸ Ὠριγένους, λέγοντας, ὅτι ἀποκατάστασις ἔσται τῶν B ψυχῶν μετὰ τὸ κολασθῆναι κατὰ ἀναλογίαν τῶν ἁμαρτιῶν. Ἀκουσάτωσαν γὰρ ὅτι οὐκ ἔστιν ἐκεῖ δοῦναι ἀντάλλαγμα τῆς ψυχῆς. Οὐκοῦν οὐδὲ κολασθῆναι ἔστι τοσοῦτον, ὅσον ἀντισηκωθῆναι τοῖς ἁμαρτήμασιν·

« Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους, ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. » Οὐκ ἀρκεῖται τῇ κατὰ διάνοιαν πίστει, ἀλλὰ καὶ τὴν διὰ στόματος C ὁμολογίαν ἀπαιτεῖ. Ἐπεὶ γὰρ διπλοῦς ὁ ἄνθρωπος, διπλοῦς γενέσθω καὶ ὁ ἁγιασμός· ἁγιαζομένης μὲν τῆς ψυχῆς διὰ τῆς πίστεως, ἁγιαζομένου δὲ καὶ τοῦ σώματος διὰ τῆς ὁμολογίας. Ὅστις οὖν ἐπαισχυνθῇ τὸν ἐσταυρωμένον ὁμολογῆσαι Θεὸν ἑαυτοῦ, τοῦτον καὶ αὐτὸς ἐπαισχυνθήσεται, ἀνάξιον ἑαυτοῦ δοῦλον κρίνων, ὅταν ἥξει, οὐκ ἔτι ταπεινὸς, οὐδὲ οἷος ἐνταῦθα ἐφαίνετο εὐτελὴς, ὥστε ἐπ' αὐτῷ αἰσχύνεσθαί τινας, ἀλλ' ἐν δόξῃ καὶ μετὰ τῆς δορυφορίας τῶν ἀγγέλων (65). Ἐπεὶ δὲ περὶ τῆς δόξης αὐτοῦ εἶπε, θέλων δεῖξαι αὐτοῖς, ὅτι οὐ μάτην κομπάζει, φησὶν, ὅτι Εἰσί τινες τῶν ὧδε ἑστηκότων, τουτέστι, Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἵτινες οὐ μὴ ἀποθάνωσιν, ἄχρις ἂν δείξω αὐτοῖς ἐν τῇ μεταμορφώσει μετὰ ποίας δόξης μέλλω παραγενέσθαι ἐν τῇ δευτέρᾳ D παρουσίᾳ. Οὐδὲν γὰρ ἕτερον ἡ μεταμόρφωσις ἦν, ἀλλ' ἢ τῆς δευτέρας παρουσίας προμήνυμα. Οὕτω γὰρ καὶ αὐτὸς ἐκλάμψει τότε, καὶ οἱ δίκαιοι (66).

exponeremus, dicit quod hoc modo plus habeat misericordiæ. Nam quisquis perdiderit animam suam propter me, non tanquam latro qui occiditur, vel tanquam is qui seipsum suffocat (hoc enim non est propter me), talis inveniet animam suam: sicut contra si quis videatur lucrari, perdet eam, si in tempore martyrii non restiterit. Ne mihi dixeris quod lucratus sit vitam. **214** Nam si præterea addideris, quod universum etiam mundum lucratus fuerit, nihil profuerit. Neque enim divitiis salus repensari potest, siquidem enim hoc esset, is qui lucratus esset mundum, animam vero perdidisset, tunc utique daret cum in flamma cruciaretur, et a supplicio liberaretur. At non est tunc talis quædam commutatio illic. Proinde et hoc loco confutabimus Origenistas dicentes quod futura sit quædam animarum reparatio, postquam punitæ fuerint juxta peccatorum suorum rationem. Audiant enim quod illic non repensetur quippiam pro anima. Proinde neque tantum subire licet supplicium, quantum pro peccatis rependendum est.

VERS. 38, 39. « Quemcunque enim puduerit mei ac meorum sermonum in generatione hac adultera et peccatrice, pudebit illius et Filium hominis, ubi venerit in gloria Patris sui cum angelis sanctis. Et dicebat illis: Amen dico vobis, sunt quidam inter eos qui hic stant, qui non gustabunt mortem, donec viderint regnum Dei venisse cum virtute. » Non sufficit mentalis fides, sed etiam oris confessio exigitur. Nam quia duplex est homo, duplex fiat et sanctificatio. Sanctificatur quidem anima per fidem corpus autem per confessionem. Quem igitur puduerit crucifixum confiteri Deum suum, illius et ipsum pudebit. Indignum se illum servum judicabit cum venerit, non tunc humilis, neque, sicut hic apparebat, contemptus ita ut quem ejus tunc pudere debeat: sed in gloria, et cum comitatu angelorum. Quia autem de gloria sua dicebat volens eis declarare quod non hoc in vanum per arrogantiam loqueretur, dicit quod Sunt quidam ex hic stantibus, nempe Petrus, Jacobus, et Joannes, qui non morientur donec ostendero eis in transfiguratione quanta cum gloria venturus sim in secundo adventu. Nihil enim aliud erat transformatio, quam secundi adventus significatio. Sic enim tunc et ipse fulgebit et sancti ejus.

Ex collatione codd. Venet. S. Marci.

(65) Cod. 26 addit: Μοιχαλίδα τὴν τῶν τότε ἀνθρώπων γενεὰν ὠνόμασεν, ὡς καταλείψασαν τὸν ἀληθινὸν νυμφίον, Χριστὸν, καὶ ἑτέρῳ ἑαυτὴν ὑποστρώσασαν, καὶ τὰ τῆς ἀσεβείας ὑποδεξαμένην σπέρματα· διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ ἁμαρτωλὸν ταύτην ἐκάλεσεν. Ἢ μᾶλλον τὴν τῶν Ἑβραίων γενεὰν μοιχαλίδα καλεῖ καὶ ἁμαρτωλὸν (διὸ καὶ δεικτικῶς λέγει ταύτην), ὡς ἀσεβήσασαν πρὸς Θεὸν, καὶ τοῖς εἰδώλοις τὴν αὐτῷ προσήκουσαν τιμὴν ἀπονείμασαν. Ἐπεὶ δὲ, κ. τ. λ. « Adulteram hominum ejus temporis generationem appellavit; utpote quæ eorum sponsum Christum reliquerat, alteri sese prostituens; atque impietatis semina in se susceperat: ob quam causam eam itidem *peccatricem* vocavit. Vel potius Hebræorum generationem *adulteram* ac *peccatricem* nominat (unde et pronomine demonstrativo utitur) quoniam impie agebat in Deum, atque idolis honorem soli Deo debitum tribuebat. Quia autem, » etc.

(66) Idem cod. pergit: Τὸ δὲ ἐν δυνάμει δηλοῖ ὅτι ἡ μεταμόρφωσις γενήσεται, οὐκ ἐν αἰνίγματι, οὐδὲ ἐν σκιαῖς καὶ τύποις δι' ἀγγέλων ἢ ἀρχαγγέλων

## CAPUT IX.

*De Transfiguratione Jesu. De Lunatico De sermocinantibus, Quis major. De vitando scandalo*

VERS. 1-2. « Et post dies sex assumit Jesus Petrum et Jacobum, ac Joannem, et subducit eos in montem excelsum seorsum solos, et transformatus fuit corum illis, et vestimenta illius facta sunt splendida et candida valde velut nix, quam candida facere non potest fullo super terram. » Lucas autem post octo dies dicit, non dissidens a Marco, sed plane consonans. Ille enim et diem quo locutus erat, et diem quo ascendit, dixit : Marcus autem
215 intermedios duntaxat. Assumptos igitur præcipuos secum subducit in montem excelsum : Petrum quidem, tanquam eum qui confessus erat, et diligebat; Joannem, ut eum qui diligebatur; et Jacobum, ut et ipsum theologum vocalissimum. Nam ita molestus erat Judæis, ut etiam Herodes Judæis placere volens ipsum occiderit[84]. In montem autem excelsum subduxit; quo gloriosius fiat miraculum. Et seorsum : sacramentum enim seorsum demonstraturus erat. Per transformationem intellige non characteris et lineamentorum immutationem, sed manente charactere qualis prius erat, ineffabilis lucis factum esse augmentum.

VERS. 3-7. « Et conspectus est illis Elias cum Mose, colloquebanturque cum Jesu. Et respondens Petrus dicit Jesu : Rabbi, bonum est nos hic esse: et faciamus tabernacula tria, tibi unum, Mosi unum, et Eliæ unum. Non enim noverat quid loqueretur, erant enim expavefacti. Et facta est nubes quæ obumbravit illos : et venit vox e nube dicens : Hic est Filius meus dilectus, ipsum audite. Et repente cum circumspexissent, non amplius viderunt quemquam, sed solum Jesum esse secum. » Elias et Moses videntur loquentes multis de causis, sed duæ sufficiunt. Quia enim dixerant discipuli populum dicere quod Christus sit vel Elias, vel alius ex prophetarum numero[85] : ostendit eis prophetarum præcipuos, ut et inde discant quantum inter servum et Dominum intersit. Una quidem causa hæc est. Alia autem, quia multi eum putabant adversarium Deo, et quod solveret Sabbatum, ac legem prævaricaretur, ostendit in monte prophetas, quorum unus legislator, alter æmulator fuerat. Neque enim colloquium habuissent tales prophetæ cum eo, qui visus fuisset solvere legem nisi ipsis placuissent ea quæ

A

## ΚΕΦΑΛ. Θ'.

Περὶ τῆς μεταμορφώσεως τοῦ Ἰησοῦ. Περὶ τοῦ σεληνιαζομένου. Περὶ τῶν διαλογιζομένων, Τίς μείζων. Περὶ τοῦ ἀφελεῖν τὸ σκάνδαλον.

« Καὶ μεθ' ἡμέρας ἕξ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένοντο στίλβοντα, λευκὰ λίαν ὡς χιών, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι. » Λουκᾶς δὲ, μετὰ ὀκτὼ ἡμέρας, φησὶν, οὐκ ἐναντιούμενος τούτῳ, ἀλλὰ καὶ σφόδρα συνᾴδων. Ὁ μὲν γὰρ, καὶ αὐτὴν τὴν ἡμέραν καθ' ἣν ἐφθέγξατο, κἀκείνην καθ' ἣν ἀνήγαγεν, εἶπεν· ὁ δὲ Μάρκος τὰς μεταξὺ τούτων μόνας. Λαβὼν τοίνυν τοὺς κορυφαίους, ἀναφέρει
B αὐτοὺς εἰς ὄρος ὑψηλόν· Πέτρον μὲν, ὡς ὁμολογήσαντα καὶ ὡς ἀγαπῶντα· Ἰωάννην δὲ, ὡς ἀγαπώμενον· καὶ Ἰάκωβον, ὡς καὶ αὐτὸν μεγαλοφωνότατον καὶ θεολογικώτατον. Οὕτω γὰρ ἦν βαρὺς τοῖς Ἰουδαίοις, ὥστε καὶ Ἡρώδης ἀρέσαι βουλόμενος τοῖς Ἰουδαίοις, ἀπέκτεινεν αὐτόν. Εἰς ὄρος δὲ ὑψηλὸν ἀναφέρει, ἵνα μᾶλλον ἐνδοξότερον εἴη τὸ θαῦμα. Καὶ κατ' ἰδίαν· μυστήριον γὰρ ἔμελλεν ὑποδεῖξαι. Τὴν μεταμόρφωσιν δὲ νόει, οὐχὶ τοῦ χαρακτῆρος ἐξαλλαγὴν, ἀλλ' ὅτι μένοντος τοῦ χαρακτῆρος οἷος καὶ πρώην ἦν φωτὸς προσθήκη ἀῤῥήτου ἐπεγένετο.

« Καὶ ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωϋσεῖ. Καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. Καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Ῥαββὶ, καλόν ἐστιν ἡμᾶς ὧδε
C εἶναι, καὶ ποιήσωμεν σκηνὰς τρεῖς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ Ἠλίᾳ μίαν. Οὐ γὰρ ᾔδει τί λαλήσῃ· ἦσαν γὰρ ἔκφοβοι. Καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς, καὶ ἦλθε φωνὴ ἐκ τῆς νεφέλης· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε. Καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκ ἔτι οὐδένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν. » Ἠλίας καὶ Μωσῆς φαίνονται συλλαλοῦντες, διὰ πολλὰς αἰτίας· δύο δὲ ἀρκοῦσιν. Ἐπειδὴ γὰρ ἔφησαν οἱ μαθηταὶ, ὅτι οἱ ὄχλοι, οἱ μὲν Ἠλίαν αὐτὸν λέγουσιν, οἱ δὲ, ἕνα τῶν προφητῶν, δείκνυσιν αὐτοῖς τοὺς κορυφαίους τῶν προφητῶν, ἵνα κἀντεῦθεν μάθωσι τὸ μέσον τῶν δούλων καὶ τοῦ Δεσπότου· μία μὲν αὕτη αἰτία. Ἑτέρα δὲ, ἐπειδὴ ἀντίθεον οἱ πολλοὶ αὐτὸν ἐνόμιζον, ὡς
D λύοντα τὸ Σάββατον, καὶ τὸν νόμον παραβαίνοντα, δείκνυσιν ἐν τῷ ὄρει τοὺς προφήτας· ὧν ὁ μὲν νομοθέτης ἦν, ὁ δὲ ζηλωτής. Οὐκ ἂν οὖν ὡμίλουν οἱ τοιοῦτοι προφῆται τῷ τὸν νόμον λύειν δοκοῦντι, εἰ μὴ ἤρεσκεν αὐτοῖς ἃ λέγει. Ὁ δὲ Πέτρος, φοβούμενος

[84] Act. XII, 2. [85] Joan. IX, 17.

Ex collatione codd. Venet. S. Marci.

λων μηνυομενη, ἀλλ' ἐν ἰσοδυνάμῳ τῷ Πατρικῷ, ἢ ἀντὶ τοῦ καθ' ὅσον ἡ δύναμις αὐτῶν χωρεῖ, ἢ ἐπειδὴ τῇ οἰκείᾳ δυνάμει ἔμελλεν ἐπιδεῖξαι ταύτην, καὶ οὐκ ἐν ἀλλοτρίᾳ καὶ ἐξουσιαστικῇ, ἀλλ' οὐ μετοχικῇ, τούτου χάριν τὸ ἐν δυνάμει προσέθηκεν. Ἢ καὶ οὕτως· Ἡ βασιλεία τοῦ Θεοῦ δυνάμει μὲν ἐντὸς ἡμῶν ἐστιν, ἐνεργείᾳ δὲ καὶ οὐκ ἐν δυνάμει ἐντὸς τῶν τελείων μόνων. Καὶ μεθ' ἡμέρας ἕξ, κ. τ. λ.

« Illud autem *cum virtute*, significat quod transformatio facienda sit non ænigmate, neque in umbra, aut figura per angelos vel archangelo, ostensa ; sed in æquali virtute cum Patre. Vel id perinde valet ac, quantum virtus ipsorum capax est : vel, quoniam propria virtute illud exhibiturus erat, non aliena; seu ut causa principalis, non facultate aliunde accepta : idcirco addidit *cum virtute*. Vel etiam sic : Regnum Dei potentia quidem intra nos omnes est : at actu, seu operatione, et non sola potentia, est intra solos perfectos. Et post dies sex, » etc.

καταβῆναι ἀπὸ τοῦ ὄρους (ἐδεδοίκει γὰρ τὸ σταυρωθῆναι τὸν Κύριον) φησί· Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ μὴ ἐκεῖ κατελθεῖν εἰς τὸ μέσον τῶν Ἰουδαίων. Εἰ γὰρ καὶ ἐνταῦθα ἔλθοιεν οἱ κατὰ σοῦ λυττῶντες, ἔχομεν Μωσῆν τὸν τοὺς Αἰγυπτίους προπωσάμενον· ἔχομεν Ἠλίαν τὸν πῦρ κατενεγκόντα ἐκ τοῦ οὐρανοῦ, καὶ τοὺς πεντηκοντάρχους διαφθείραντα. Τί δὲ συνελάλουν αὐτῷ οἱ προφῆται; τὰ περὶ τοῦ σταυροῦ καὶ τοῦ θανάτου αὐτοῦ. Ἔλεγε δὲ ἃ ἔλεγεν ὁ Πέτρος, μὴ εἰδὼς τί λαλεῖ· ἔκφοβοι γὰρ ἐγένοντο ἀπὸ τοῦ ἀῤῥήτου φωτὸς καὶ τῆς δόξης. Οὐ γὰρ ἦν ὄντως ἐν τῷ ἰδίῳ νοΐ, μὴ θέλων καταβῆναι τὸν Ἰησοῦν εἰς τὸ σταυρωθῆναι πρὸς σωτηρίαν ἡμῶν, ἀλλὰ μένειν ἀεὶ ἐν τῷ ὄρει. Ἀνακτέον δὲ καὶ εἰς θεωρίαν τὸν λόγον. Μετὰ τὴν συντέλειαν τοῦ κόσμου τούτου, τοῦ ἐν ἓξ ἡμέραις δημιουργηθέντος B ἀναβιβάσει καὶ ἡμᾶς ὁ Ἰησοῦς, εἴγε μαθηταὶ αὐτοῦ ἐσμεν, εἰς τὸ ὄρος τὸ ὑψηλὸν, τὸν οὐρανὸν λέγω, καὶ ἐμφανίσει ἡμῖν ἑαυτὸν λαμπρότερον. Νῦν μὲν γὰρ ἐν ἀδοξίᾳ ἐφάνη, ὡς ἐσταυρωμένος καὶ τέκτονος υἱός· τότε δὲ ὀψόμεθα τὴν ὡς Μονογενοῦς αὐτοῦ δόξαν, Ὀψόμεθα δὲ καὶ τὸν νόμον καὶ τοὺς προφήτας αὐτῷ συλλαλοῦντας, τουτέστι, τὰ περὶ αὐτοῦ εἰρημένα παρά τε Μωϋσέως καὶ τῶν προφητῶν, τότε νοήσομεν καὶ εὑρήσομεν σύμφωνα τοῖς πράγμασι, καὶ τότε ἀκούσομεν ὄντως τῆς Πατρικῆς φωνῆς, ἀποκαλύπτοντος ἡμῖν τοῦ Πατρὸς τὸν Υἱὸν, καὶ διδάσκοντος, ὅτι « Οὗτός ἐστιν ὁ Υἱός μου. » Πῶς δὲ διδάξει ἡμᾶς; Τῆς νεφέλης ἐπισκιαζούσης, τουτέστι, τοῦ Πνεύματος σοῦ ἁγίου· ἐκεῖνο γὰρ ἐστιν ἡ πηγὴ τῆς σοφίας. C

« Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον, εἰ μὴ ὅταν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. Καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτοὺς, συζητοῦντες τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι. » Τίνος ἕνεκεν ὁ Κύριος παραγγέλλει τοῖς μαθηταῖς, μηδενὶ εἰπεῖν περὶ τῆς μεταμορφώσεως; Ἵνα μὴ σκανδαλισθῶσιν οἱ ἄνθρωποι, τοιαῦτα μὲν ἀκούοντες περὶ τοῦ Χριστοῦ ἔνδοξα, εἶθ' ὕστερον ὁρῶντες αὐτὸν σταυρούμενον. Μεθὸ μέντοι ἐκ νεκρῶν ἀνέστη, εὔκαιρον ἦν τὸ περὶ τοῦ Χριστοῦ τοιαῦτα λέγειν ἔνδοξα πρὸ τοῦ σταυροῦ γενόμενα. Ἐκράτησαν οὖν οἱ ἀπόστολοι τὸν λόγον πρὸς ἑαυτοὺς (67), συζητοῦντες τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι. Οὐδέπω γὰρ ᾔδεισαν, φησὶν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. D

« Καὶ ἐπηρώτων αὐτὸν, λέγοντες, ὅτι, Λέγουσιν οἱ Γραμματεῖς, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; Ὁ δὲ

A diceret. At Petrus timebat descendere a monte, timebat enim ne crucifigeretur Dominus : et dicit: Bonum est nos hic esse. et non illuc descendere in medium Judæorum. Nam si huc venirent qui adversum te sæviunt, haberemus Mosen, qui de Ægyptiis triumphavit : haberemus item Eliam, qui ignem de cœlo deduxit, quinquagenarios consumentem. Quid autem colloquebantur cum eo prophetæ? De cruce et de morte ejus Porro de Petro dicit quod nescierit quid loqueretur. Territi enim facti sunt ob ineffabilem lucem et gloriam. Non enim vere animi sui compos erat, nolens descendere Jesum ut crucifigeretur pro salute nostra, sed in monte semper manere Nunc etiam sermonem ad anagogiam subducamus. Post consummationem mundi, qui sex diebus est conditus [86], et nos ascendere faciet Dominus, si quidem discipuli ejus fuerimus, in montem excelsum, cœlum dico, et ostendet nobis semetipsum **216** fulgidiorem. Nunc quidem quasi in ignobilitate apparuit, crucifixus, et fabri filius : tunc autem videbimus velut Unigeniti illius gloriam ; videbimus etiam legem et prophetas cum ipso colloquentes, id est, ea quæ de ipso dicta sunt tam a Mose, quam a cæteris prophetis, et tunc comperiemus ac videbimus quod cum suis operibus consonent : ac tunc audiemus re vera Paternam vocem, quæ revelat nobis Patris Filium et docet : « Hic est Filius meus. » Quomodo docebit nos? Nube obumbrante, id est, Spiritu sancto, qui est fons sapientiæ.

VERS. 8, 9. « Porro cum descenderet de monte, præcepit illis ne cui dicerent ea quæ viderant, donec Filius hominis a mortuis resurrexisset. Ac verbum hoc tenuerunt apud sese, inter sese disputantes quid esset hoc quod dixerat e mortuis resurgere. » Quam ob causam interdicit Dominus discipulis ne quid dicant cuipiam de transfiguratione? Ut ne scaudalizarentur homines, si cum tam honorifica de Christo audissent, postea viderent ipsum crucifigi. Igitur postquam a mortuis surrexit, tempestivum erat de Christo dicere gloriosa quæ ante crucem erant facta. Tenuerunt itaque apostoli apud se sermonem, disputantes inter sese quid esset ex mortuis resurgere. Nundum enim sciebant, inquit, quod oportebat ipsum e mortuis resurgere.

VERS. 10-12. « Et interrogabant illum, dicentes: Quid est quod Scribæ dicunt, Eliam oportere venire

86 Gen. I, 31.

**Ex collatione codd. Venet. S. Marci.**

(67) Cod 26 : Ἐκράτησαν οὖν οἱ ἀπόστολοι τὸν λόγον πρὸς ἑαυτοὺς, τὸν περὶ τοῦ ἐκ νεκρῶν ἀναστῆναι αὐτὸν, πρὸς μηδένα ἕτερον τοῦτον ἐξειπόντες· ἢ τὸν λόγον τὸν περὶ τῆς μεταμορφώσεως. συζητοῦντες τί ἐστι τὸ, ἐκ νεκρῶν ἀναστῆναι, Οὐδέπω γὰρ ᾔδεισαν, φησὶν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Μήτε γὰρ ἰδόντες τινὰ ἀναστήσαντα ἑαυτὸν ἐν νεκρῶν, μηδὲ μὴν ἀκούσαντες, ᾤοντο παραβολὴν εἶναι καὶ τοῦτο καὶ συνεζήτουν τί δηλοῖ, καὶ ἐπηρώτων αὐτὸν λέγοντες, κ. τ. λ.

— « Tenuerunt igitur apostoli apud se sermonem, cum videlicet, qui habitus fuerat de resurrectione ipsius a mortuis, quem nemini dicebant, vel sermonem de transformatione, quærentes quid esset a mortuis resurgere. *Nondum* enim *sciebant*, inquit, *quod oportebat ipsum a mortuis resurgere*. Cum enim neminem vidissent, qui se ipsum a morte suscitasset, neque id audiissent unquam, putabant hoc parabolam quamdam esse, et interrogabant ipsum dicentes, » etc.

prius? Ille vero respondens dixit illis: Elias quidem ubi advenerit prius, restituet omnia; et quomodo scriptum est de Filio hominis, ut multa patiatur, et contemnatur? Verum dico vobis Eliam venisse: et fecerunt illi quæcunque voluerunt, sicut scriptum erat de illo. » De Elia rumor quidam erat apud Hebræos quod venturus esset ante Christum. Verumtamen Pharisæi non ut oportebat interpretabantur de Elia, sed spontanea malitia veritatem occultabant Duo enim sunt adventus Christi, is scilicet qui præteriit et is qui futurus est. Prioris præcursor fuit Joannes, posterioris autem erit Elias. Proinde Christus vocat Joannem Eliam, et quod acriter reprehendebat ac æmulabatur, et quod solitudinem amabat. Urget itaque Christus contra Pharisæorum opinionem, suspicantium quod prioris adventus Christi præcursor sit Elias. Et quomodo urget? « Elias quidem cum venerit restituet omnia, et quomodo scriptum est de Filio hominis ut multa patiatur? » Sensus autem dictorum is est: Elias Thesbites quando veniet, facturus est pacem Judæis qui non credunt, et adducturus est illos ad fidem: et ita secundi adventus præcursor futurus est. Nam si primi adventus præcursor fuisset Thesbites restiturus omnia, quomodo scripta essent de Filio hominis quod hæc et illa debeat pati? 217 igitur e duobus alterum colligitur: vel non esse Eliam prioris adventus præcursorem, si quidem vere dicunt Scripturæ quod pati debeat Christus: vel non vere dicere Scripturas dicentes quod patietur Christus, si quidem crediderimus quod juxta Pharisæorum mentem prioris adventus præcursor erit Elias Thesbites. Elias enim restiturus est omnia, et non erit ultra incredulus Judæus, sed omnes credent prædicationi quotquot Eliam audierint. Itaque Dominus opinionem Pharisæorum evertens, dicit quod Elias jam venerit, hoc est, Joannes, et fecerunt quæcunque voluerant in eo. Non enim crediderunt ipsi, et tandem capite truncatus, factus est ludi apud Herodem præmium.

VERS. 13-17. « Et cum venisset ad discipulos suos, vidit turbam multam circa illos, et Scribas disceptantes cum illis. Et protinus universa turba cum vidisset eum, obstupuit, et accurrentes salutaverunt eum; et interrogavit Scribas: Quid disceptatis cum illis? Et respondens unus e turba, dixit: Præceptor, adduxi filium meum ad te, habentem spiritum mutum: et quandocunque eum corripuerit, lacerat eum, atque ille spumat ac stridet dentibus suis et arescit: et dixi discipulis tuis ut ejicerent illum, et non potuerunt. » Cum venisset ad discipulos, novem videlicet qui non ascenderant secum, vidit disceptantes eos cum Pharisæis. Pharisæi autem freti absentia Jesu, conabantur subvertere discipulos. At turbæ repente viso illo, desiderabant enim illum videre, quasi a longinqua peregrinatione adventantem salutant. Quidam autem dicunt quod facies ejus facta a luce transfigurationis formosior,

A ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἐλθὼν πρῶτον, ἀποκαθιστᾷ πάντα· καὶ πῶς γέγραπται ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ πάθῃ καὶ ἐξουδενωθῇ; Ἀλλὰ λέγω ὑμῖν, ὅτι καὶ Ἠλίας ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς γέγραπται ἐπ' αὐτόν. » Περὶ τοῦ Ἠλιοῦ φήμη τις ἐκράτει παρὰ τοῖς Ἰουδαίοις, ὅτι Ἠλίας ἐλεύσεται πρὸ τοῦ Χριστοῦ. Πλὴν οἱ Φαρισαῖοι, οὐχ ὡς δεῖ ἡρμήνευον τὰ περὶ τοῦ Ἠλιοῦ, ἀλλ' ἐθελοκάκως ἀπέκρυπτον τὸ ἀληθές. Δύο γὰρ εἰσι τοῦ Χριστοῦ παρουσίαι, αὕτη τε ἡ γεγενημένη, καὶ ἡ μέλλουσα. Τῆς μὲν οὖν προτέρας Ἰωάννης ἐγένετο πρόδρομος· τῆς δὲ δευτέρας, μέλλει γενέσθαι Ἠλίας. Ἠλίαν οὖν καλεῖ ὁ Χριστὸς τὸν Ἰωάννην, ὡς ἐλεγκτικόν τε ὄντα καὶ ζηλωτὴν καὶ ἐρημίτην. Ἐνίσταται τοίνυν ὁ Κύριος πρὸς τὴν τῶν
B Φαρισαίων δόξαν, τῶν ὑπολαμβανόντων, ὅτι τῆς προτέρας παρουσίας τοῦ Χριστοῦ πρόδρομός ἐστιν ὁ Ἠλίας. Πῶς δὲ ἐνίσταται; « Ἠλίας μὲν ἐλθὼν, ἀποκαθιστᾷ πάντα· καὶ πῶς γέγραπται ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ πάθῃ; » Ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· Ὁ Θεσβίτης Ἠλίας ὅταν μέλλῃ ἐλθεῖν, εἰρήνην μέλλει ποιήσειν τοῖς ἀπειθοῦσιν Ἰουδαίοις, καὶ εἰς πίστιν τούτους ἀγαγεῖν· ὥστε τῆς δευτέρας παρουσίας πρόδρομος ἔσται. Εἰ γὰρ τῆς πρώτης παρουσίας πρόδρομος ἦν ὁ Θεσβίτης, ὁ μέλλων ἀποκαταστήσειν πάντα, πῶς λοιπὸν γέγραπται, ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου τάδε καὶ τάδε μέλλει παθεῖν; Ἐκ τῶν δύο οὖν τὸ ἕτερον λείπεται, ἢ μὴ εἶναι τὸν Ἠλίαν τῆς πρώτης παρουσίας πρόδρομον, εἴπερ ἀληθεύουσιν αἱ Γραφαὶ, ὅτι δεῖ παθεῖν τὸν Χριστὸν,
C ἢ μὴ ἀληθεύειν τὰς Γραφὰς τὰς λεγούσας, ὅτι πείσεται ὁ Χριστὸς, εἴπερ πιστεύσομεν κατὰ τὸν λόγον τῶν Φαρισαίων, ὅτι τῆς προτέρας παρουσίας ἔσται ὁ Θεσβίτης πρόδρομος. Ὁ γὰρ Ἠλίας ἀποκαταστήσειν μέλλει πάντα, καὶ οὐκ ἔσται τότε ἀπειθής τις Ἑβραῖος, ἀλλὰ πάντες πιστεύσουσι τῷ κηρύγματι ὅσοι ἂν ἀκούσωσι τοῦ Ἠλιοῦ. Τὴν οὖν ὑπόληψιν τῶν Φαρισαίων ἀνατρέπων ὁ Κύριος, φησὶν ὅτι Ἠλίας ἤδη ἦλθε, τουτέστιν, ὁ Ἰωάννης, καὶ ἐποίησαν ὅσα ἠθέλησαν ἐπ' αὐτῷ. Ἠπείθησαν γὰρ αὐτῷ, καὶ τέλος ἀπεκεφαλίσθη, παιγνίου ἔπαθλον γενόμενος.

« Καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς, εἶδεν ὄχλον πολὺν περὶ αὐτοὺς καὶ Γραμματεῖς συζητοῦντας αὐτοῖς. Καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν ἐξεθαμβήθη, καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν. Καὶ ἐπηρώτησε
D τοὺς Γραμματεῖς· Τί συζητεῖτε πρὸς αὐτούς; Καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου, εἶπε· Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρὸς σὲ, ἔχοντα πνεῦμα ἄλαλον. Καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτὸν, καὶ ἀφρίζει καὶ τρύζει τοὺς ὀδόντας αὐτοῦ καὶ ξηραίνεται. Καὶ εἶπον τοῖς μαθηταῖς σου, ἵνα αὐτὸ ἐκβάλλωσι, καὶ οὐκ ἴσχυσαν. » Ἐλθὼν πρὸς τοὺς μαθητὰς, τοὺς ἐννέα δηλαδὴ τοὺς μὴ συναναβάντας αὐτῷ, εἶδεν αὐτοὺς ἐρωτωμένους παρὰ τῶν Φαρισαίων. Δραξάμενοι γὰρ οἱ Φαρισαῖοι τῆς ἀπουσίας τοῦ Ἰησοῦ, ἐπειρῶντο περιτρέπειν τοὺς μαθητάς. Ὁ μέντοι ὄχλος ἐξαίφνης ἰδὼν αὐτὸν, ἠσπάζετο. Ἐπόθουν γὰρ αὐτὸν ἰδεῖν, καὶ ὥσπερ ἀπὸ μακρᾶς ἀποδημίας ἰδόντες, ἠσπάζοντο. Τινὲς δὲ φασιν, ὅτι καὶ ἡ ὄψις αὐ-

τοῦ ὡραιοτέρα γενομένη ἀπὸ τοῦ φωτὸς τῆς μετα- A
μορφώσεως, ἐφείλκετο τοὺς ὄχλους πρὸς τὸ ἀσπάζεσθαι. Ἀποκριθεὶς δὲ εἷς ἐκ τοῦ ὄχλου, εἶπεν· Ἀσθενὴς ἦν οὗτος ὁ ἄνθρωπος περὶ τὴν πίστιν (68), ὥσπερ καὶ ὁ Κύριος μαρτυρεῖ λέγων, Ὦ γενεὰ ἄπιστος, καὶ πάλιν, Τῷ πιστεύοντι πάντα δυνατά· κἀκεῖνος αὐτὸς, Βοήθει μου τῇ ἀπιστίᾳ. Κατηγορεῖ δὲ τῶν μαθητῶν, ὡς ἄπιστος πάντως. Ἔδει γὰρ αὐτὸν μὴ ἔμπροσθεν πάντων ἐλθόντα κατηγορῆσαι, ἀλλὰ κατ' ἰδίαν.

« Ὁ δὲ ἀποκριθεὶς αὐτῷ, λέγει· Ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; Ἕως πότε ἀνέξομαι ὑμῶν; Φέρετε αὐτὸν πρός με. Καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν. Καὶ ἰδὼν αὐτὸν, εὐθέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν. Καὶ πεσὼν ἐπὶ τῆς γῆς, ἐκυλίετο ἀφρίζων. Καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· Πόσος B
χρόνος ἐστὶν, ὡς τοῦτο γέγονεν αὐτῷ; Ὁ δὲ εἶπε· Παιδιόθεν, καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν. Ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ τὸ, Εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι. Καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου μετὰ δακρύων ἔλεγε· Πιστεύω, Κύριε, βοήθει μου τῇ ἀπιστίᾳ. Ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὁ ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ· Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. Καὶ κράξαν καὶ πολλὰ σπαράξαν αὐτὸν, ἐξῆλθε. καὶ ἐγένετο ὡσεὶ νεκρὸς, ὥστε πολλοὺς λέγειν ὅτι Ἀπέθανεν. Ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς, ἤγειρεν αὐτὸν, καὶ ἀνέστη. » Ὁ C
μὲν προσελθὼν ἐκεῖνος, τοὺς μαθητὰς ᾐτιᾶτο ὡς μὴ ἰσχύσαντας θεραπεῦσαι. Ὁ δὲ Χριστὸς εἰς ἐκεῖνον αὐτὸν περιτρέπει τὸ ἔγκλημα, μονονουχὶ τοῦτο λέγων, ὅτι, Ἄπιστος ὢν σύ, αἴτιος ἐγένου τοῦ μὴ θεραπευθῆναί σου τὸν υἱόν. Οὐ πρὸς ἐκεῖνον δὲ μόνον τοῦτο λέγει, ἀλλὰ κοινὸν ποιεῖται τὸν λόγον, ὥσπερ πάντας κοινῶς τοὺς Ἰουδαίους ὀνειδίζων εἰς ἀπιστίαν. Εἰκὸς γὰρ ἦν πολλούς τῶν παρεστώτων σκανδαλισθῆναι. Δείκνυσι δὲ ποθητὸν αὐτῷ ὄντα τὸν θάνατον, ἐκ τοῦ λέγειν· Ἕως πότε ἔσομαι μεθ' ὑμῶν; τουτέστι, περιεκάκησα μεθ' ὑμῶν τῶν ἀπίστων διάγων. Οὐ μὴν ἵσταται ἄχρι τοῦ μέμψασθαι αὐτοὺς,

A ad salutationem populum invitarit. Porro respondens unus e turba dixit: Infirmæ fidei homo ille erat, sicut et Dominus testatur dicens: O generatio incredula; et iterum: Credenti omnia sunt possibilia. Et ille ipse: Succurre incredulitati meæ. Taxat autem discipulos tanquam plane incredulus. Etenim oportebat ipsum non coram omnibus illos accusasse, sed seorsim.

VERS. 18-26. « At ille respondens ei dicit: O natio incredula, quousque apud vos ero? quousque patiar vos? adducite illum ad me. Et adduxerunt illum ad eum. At viso illo, continuo spiritus discerpebat eum et prolapsus in terra volvebatur spu-
B umans. Et interrogavit patrem illius: Quantum temporis est quod accidit ei? At ille dixit: A puero, et frequenter illum in ignem abjecit, et in aquas, quo perderet eum. Age si quid potes, subveni nobis misertus nostri. Jesus autem dixit illi: Si potes credere, omnia possibilia sunt credenti. Et confestim exclamans pater pueri cum lacrymis dixit: Credo, Domine, succurre incredulitati meæ. Cum vidisset autem Jesus quod turba simul accurreret, increpavit spiritum immundum, dicens illi: Spiritus mute et 218 surde, ego tibi impero, exi ab eo, et ne posthac ingrediaris in illum. Et cum clamasset spiritus, multumque discerpsisset eum exivit et factus est tanquam mortuus, adeo ut multi dicerent, Mortuus est. At Jesus correpta manu illius erexit
C eum, et ille surrexit. » Ille quidem qui accesserat ad Dominum, arguit discipulos quod non possent sanare; Christus autem in ipsum crimen regerit quasi ita dicens: Tu quia incredulus es, in causa fuisti quod non sanatus sit filius tuus. Verum hec non illi soli dicit, sed generalem ad omnes sermonem vertit, et Judæos omnes simul ob incredulitatem objurgat. Verisimile enim erat multos ex astantibus fuisse scandalizatos. Ostendit autem desiderabilem sibi esse mortem, eo quod dicit: Usquequo ero vobiscum? hoc est, affligor versans cum vobis incredulis. Non tamen substitit in hoc quod eos reprehendit, sed etiam medicinam addit, non ut se

**Ex collatione codd. Venet. S. Marci.**

(68) Cod. 32: Ἀσθένης ἦν οὗτος ὁ ἄνθρωπος περὶ τὴν πίστιν, ὡς ἐκ πολλῶν τοῦτο δῆλον, ἔκ τε τοῦ εἰπεῖν τὸν Χριστὸν, Ὦ γενεὰ ἄπιστος! καὶ ἐκ τοῦ εἰπεῖν, Εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι· ἔκ τε τοῦ εἰπεῖν αὐτὸν τὸν προσελθόντα, Βοήθει μου τῇ ἀπιστίᾳ· καὶ ἐκ τοῦ κελεῦσαι τῷ δαίμονι μηκέτι εἰσελθεῖν εἰς αὐτόν. Καὶ εἰ ἡ ἀπιστία αὐτοῦ γέγονεν αἰτία τοῦ μὴ ἐξελασθῆναι τὸν δαίμονα, τί τοῖς μαθηταῖς ἐγκαλεῖ, δεικνὺς, ὅτι καὶ χωρὶς τῶν προσαγόντων μετὰ πίστεως πολλαχοῦ θεραπεῦσαι. Ὥσπερ γὰρ ἀρκεῖ πολλάκις ἡ τοῦ προσάγοντος πίστις εἰς τὸ καὶ παρ' ἐλαττόνων λαβεῖν ἴασιν, οὕτω τῶν ποιούντων πολλάκις ἤρκεσεν ἡ δύναμις, καὶ μὴ πιστευόντων τῶν προσελθόντων εἰς τὸ θεραπευθῆναι. Ἔδει δὲ αὐτὸν μὴ ἔμπροσθεν πάντων ἐλθόντα κατηγορῆσαι τῶν μαθητῶν, ἀλλὰ κατ' ἰδίαν· ὥστε καὶ κατὰ τοῦτο ἄπιστος ἦν. Ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει, » κ. τ. λ. — « Infirmus fide

D homo ille erat; quod ex pluribus manifestum est. Nempe, et ex eo quod Christus dixit: *O generatio incredula!* et ex eo quod addidit: *Si potes credere, omnia possibilia sunt credenti:* et ex eo quod ipse, qui supplicabat, ait: *Adjuva incredulitatem meam*: et ex eo quod Dominus dæmoni præceperit, ne amplius introiret eum. At vero si incredulitas ipsius in causa fuit, ut expulsus non fuerit dæmon, cur arguit discipulos? Nempe, significare voluit, etiam absque offerentium fide sanitatem restitui posse. Quemadmodum enim sola offerentium fides sæpe sufficit ad curationem etiam a minoribus obtinendam, ita frequenter operantium virtus satis est, etiam non credentibus iis qui ob sanitatem obtinendam accedunt. Debebat vero ille non coram omnibus discipulos accusare, sed seorsim: quare in hoc etiam infidelis fuit. *At ille respondit ei et dixit,* » etc.

ostentaret, sed magis ut cum summa modestia sanaret puerum. Vide autem quomodo non suæ virtuti, sed illius fidei sanitatem tribuat, dicens : Omnia possibilia credenti. Sed et aliud, cum vidisset congregari turbam, increpavit spiritum : nolebat enim coram turba sanare, et ostentare se ut arrogantem. Cum increpasset autem et dixisset : Egredere, et ne ultra ingrediaris : insinuat quod propter incredulitatem hominis ingressurum iterum fuisset dæmonium, nisi suo prohibitum fuisset præcepto. Permittit autem discerpi filium, ut omnes sciant dæmonis insidias, et quo occidisset hominem, nisi divina manu refrenatus et retractus fuisset. Sæpe enim in ignem quis a dæmone projicitur concupiscentiæ et iræ, et in aquam sæcularium negotiorum procellis undantem. Porro dæmon hic mutus erat et surdus. Surdus quidem, ut audire nolens divina eloquia : mutus vero, ut neque alios docere valens quod oportebat. At ubi Jesus, hoc est sermo Evangelicus, manum apprehenderit, operativam dico virtutem, tunc liberamur ab hoc dæmone. Vide autem quod Deus quidem adjuvat nos, deinde a nobis opera exiguntur. Dicit enim, Erexit illum Jesus, hoc erat Dei adjutorium; et surrexit, hoc est illius in bonis studium.

A ἀλλὰ καὶ τὴν ἴασιν ἐπιτίθησιν, οὐκ ἐπιδεικτικῶς θεραπεῦσαι τὸν παῖδα ἐπιβαλλόμενος, ἀλλὰ μᾶλλον μετὰ μετριοφροσύνης πολλῆς. Ὅρα γὰρ πῶς οὐ τῇ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ ἐκείνου πίστει ἀνατίθησι τὴν θεραπείαν, λέγων, ὅτι, Πάντα δυνατὰ τῷ πιστεύοντι. Ἀλλὰ καὶ ἕτερον· ἰδὼν γὰρ ἐπισυναγόμενον τὸν ὄχλον, ἐπετίμησε τῷ πνεύματι· οὐκ ἤθελε γὰρ ἔμπροσθεν ὄχλου θεραπεύειν, ὡς φανητιῶν. Καὶ ἐπιδεικτικός. Ἐπιτιμήσας δὲ καὶ εἰπὼν, Ἔξελθε καὶ μηκέτι εἰσέλθῃς· τοῦτο αἰνίττεται, ὅτι διὰ τὴν ἀπιστίαν τοῦ ἀνθρώπου εἰσῆλθεν ἂν καὶ πάλιν τὸ δαιμόνιον, εἰ μὴ τῷ προστάγματι αὐτοῦ ἐκωλύετο. Συγχωρεῖ δὲ σπαράξαι τὸν παῖδα, ἵνα γνῶσι πάντες τὴν τοῦ δαίμονος ἐπήρειαν, καὶ ὅτι ἐθανάτωσεν ἂν τὸν ἄνθρωπον, εἰ μὴ ὑπὸ τῆς θείας ἀνεχαιτίζετο χειρός.
B Ῥίπτεται δέ τις ὑπὸ δαίμονος εἰς πῦρ τὸ τοῦ θυμοῦ καὶ τὸ τῆς ἐπιθυμίας, καὶ εἰς ὕδωρ, τὸ τῶν βιωτικῶν πραγμάτων κλυδώνιον. Ὁ δαίμων δὲ οὗτος ἄλαλός ἐστι καὶ κωφός. Κωφὸς μὲν, ὡς μὴ ἀκούειν θέλων τῶν τοῦ Θεοῦ λόγων· ἄλαλος δὲ, ὡς μηδὲ ἑτέρους δυνάμενος διδάσκειν τὸ δέον· ἀλλ' ἐὰν ὁ Ἰησοῦς, τουτέστιν, ὁ Εὐαγγελικὸς λόγος, κρατήσῃ τῆς χειρὸς, τῆς πρακτικῆς λέγω δυνάμεως, τότε ἐλευθερωθησόμεθα τοῦ δαίμονος. Ὅρα δὲ ὅτι ὁ μὲν Θεὸς βοηθεῖ ἡμῖν, εἶτα ἡμεῖς αὐτοὶ τὸ ἀγαθὸν ἀπαιτούμεθα ἐργάζεσθαι. Φησὶ γάρ· Ἤγειρεν αὐτὸν ὁ Ἰησοῦς· τοῦτο ἡ τοῦ Θεοῦ βοήθεια, καὶ ἀνέστη, τοῦτο ἡ ἐκείνου αὐτοῦ πρὸς τὸ ἀγαθὸν σπουδή.

VERS. 27, 28. « Et cum esset ingressus domum, discipuli illius interrogabant eum seorsum : Cur nos non potuimus ejicere illum? Et dixit illis : Hoc genus nulla re potest exire, nisi per orationem et jejunium. » Timebant discipuli ne forte amisissent gratiam quam eis dederat Dominus, et propterea non potuissent ejicere dæmonium. Vide autem et reverentiam eorum quomodo seorsum ad illum accedunt. Hoc autem genus. Quale? Vel lunaticorum, vel omne dæmoniorum genus non egreditur alio quodam modo, nisi precatione et jejunio. Oportet enim jejunare eum qui dæmonem **219** patitur, et qui sanaturus est : et utrisque necessarium est jejunium, magis autem illius qui dæmonem patitur, jejunium exigit ratio. Oportet autem non jejunare solum, sed et orare : neque solum orare, sed et jejunare. Sic enim veræ preces fiunt, si non solum oretur, sed et jejunetur : ut ne gravetur qui orat, ciborum vaporibus, sed expeditus sit et levis.

« Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ' ἰδίαν· Τί ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; Καὶ εἶπεν αὐτοῖς· Τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰ μὴ ἐν προσ-
C ευχῇ καὶ νηστείᾳ. » Ἐφοβήθησαν οἱ μαθηταὶ μήπως ἀπέβαλον τὴν χάριν, ἣν δέδωκεν αὐτοῖς ὁ Κύριος, καὶ διὰ τοῦτο οὐκ ἠδυνήθησαν ἐκβαλεῖν τὸν δαίμονα. Ὅρα δὲ καὶ τὴν εὐλάβειαν αὐτῶν, πῶς κατ' ἰδίαν αὐτῷ προσέρχονται. Τοῦτο δὲ τὸ γένος. Ποῖον; Ἢ τὸ τῶν σεληνιαζομένων, ἢ ἁπλῶς πᾶν τὸ τῶν δαιμόνων γένος οὐκ ἐξέρχεται ἄλλῳ τινὶ τρόπῳ, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ· δεῖ γὰρ καὶ τὸν πάσχοντα νηστεύειν, καὶ τὸν μέλλοντα θεραπεῦσαι. Ἀμφοτέρων γὰρ χρεία· μάλιστα δὲ τὴν τοῦ πάσχοντος νηστείαν ἀπαιτεῖ ὁ λόγος. Δεῖ καὶ μὴ νηστεύειν μόνον, ἀλλὰ καὶ προσεύχεσθαι· μηδὲ μόνον προσεύχεσθαι, ἀλλὰ καὶ νηστεύειν. Οὕτω γὰρ ἡ ἀληθινὴ προσευχὴ τελεῖται, ἐὰν καὶ νηστείαν ἔχῃ συνεζευ-
D γμένην. Ὅτε οὐ βαρεῖται ὁ προσευχόμενος τοῖς ἐκ τῶν βρωμάτων ἀτμοῖς, ἀλλὰ κοῦφός ἐστι καὶ ἀβαρής.

VERS. 29, 30. « Et illinc digressi iter fecerunt per Galilæam, nec volebat ut quisquam sciret. Docebat enim discipulos suos, et dicebat illis: Filius hominis traditur in manus hominum, et occident eum, et occisus tertio die resurget. At illi ignorabant quod dixerat, et timebant eum interrogare. » Ubique miraculorum operationibus interserit sermonem de passione, ut ne putent ipsum propter impotentiam pati. Dixit igitur quod durum erat, quia occident eum : subdit et quod jucundum, qui tertio die resurrecturus esset : ut discamus

« Καὶ ἐκεῖθεν ἐξελθόντες, παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν, ἵνα τις γνῷ. Ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ ἔλεγεν αὐτοῖς, ὅτι, Ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν. Καὶ ἀποκτανθεὶς, τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι. » Πανταχοῦ ταῖς θαυματουργίαις παρεμβάλλει τὸν περὶ τοῦ πάθους λόγον, ἵνα μὴ νομισθῇ ὅτι δι' ἀδυναμίαν ἔπαθεν. Εἰπὼν οὖν τὸ σκυθρωπὸν, ὅτι ἀποκτενοῦσιν αὐτόν, ἐπάγει καὶ τὸ χαρμόσυνον, ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἀνα-

στήσεται, ἵνα μάθωμεν ὅτι ἀεὶ τοῖς σκυθρωποῖς A ἐπακολουθεῖ τὰ εὐφρόσυνα. καὶ μὴ μάτην ἀνιώμεθα ἐπὶ τοῖς λυπηροῖς, ἀλλ' ἐλπίζωμεν καὶ τὰ χρηστότερα.

« Καὶ ἦλθεν εἰς Καπερναούμ· καὶ ἐν τῇ οἰκίᾳ γενόμενος, ἐπηρώτα αὐτούς· Τί ἐν τῇ ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε; Οἱ δὲ ἐσιώπων. Πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων. Καὶ καθίσας, ἐφώνησε τοὺς δώδεκα, καὶ λέγει αὐτοῖς· Εἴ τις θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος, καὶ πάντων διάκονος. Καὶ λαβὼν παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ ἐναγκαλισάμενος αὐτὸ, εἶπεν αὐτοῖς· Ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται, καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με. » Οἱ μαθηταὶ B ἔτι ἀνθρωπικώτερα φρονοῦντες, διεφιλονείκουν πρὸς ἀλλήλους περὶ τοῦ, ποῖος αὐτῶν μείζων ἐστὶ καὶ προτιμότερος παρὰ τῷ Χριστῷ. Ὁ δὲ Κύριος τὴν μὲν ἐπιθυμίαν τὴν τῆς προτιμήσεως οὐ κωλύει. Θέλει γὰρ ἡμᾶς ἐπιθυμεῖν τοῦ ὑψηλοτέρου βαθμοῦ. Οὐ μέντοι ἁρπάζειν ἡμᾶς βούλεται τὰ πρωτεῖα, ἀλλὰ διὰ τῆς ταπεινώσεως μᾶλλον κατακτᾶσθαι τὸ ὑψηλόν. Παιδίον γὰρ ἔστησεν εἰς τὸ μέσον, καὶ κατ' ἐκεῖνο γενέσθαι καὶ ἡμᾶς βούλεται. Τὸ γὰρ παιδίον· οὔτε δόξης ἐφίεται, οὔτε φθονεῖ, οὔτε μνησικακεῖ. Καὶ οὐ μόνον, φησὶν, ἐὰν αὐτοὶ τοιοῦτοι γενήσεσθε, μισθὸν λήψεσθε μέγαν, ἀλλὰ κἂν ἑτέρους τοιούτους τιμήσητε δι' ἐμὲ, βασιλείαν οὐρανῶν ἀντιλάβοιτε. Ἐμὲ γὰρ δέχεσθε· ἐμὲ δὲ δεχόμενοι, δέχεσθε τὸν ἀποστείλαντά με. Ὁρᾷς οὖν πόσα δύναται ἡ ταπείνωσις, καὶ τὸ ἄπλαστον τοῦ τρόπου καὶ ἄδολον. Τὸν C Υἱὸν γὰρ καὶ τὸν Πατέρα ἐνοικίζει ἐν ἡμῖν. Πρόδηλον δὲ ὅτι καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

« Ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης, λέγων· Διδάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν· καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν. Ὁ δὲ Ἰησοῦς εἶπε· Μὴ κωλύετε αὐτόν. Οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου, καὶ δυνήσηται ταχὺ κακολογῆσαί με. Ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν. » Οὐ ζηλοτυπίᾳ τινὶ καὶ φθόνῳ ὑπαγόμενος ὁ τῆς βροντῆς υἱὸς κωλύει ἐκεῖνον τὸν τὰ δαιμόνια ἐκβάλλοντα, ἀλλὰ θέλων πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦ Χριστοῦ καὶ ἀκολουθεῖν αὐτῷ, καὶ ἓν εἶναι σῶμα πάντας τοὺς μαθητάς. Ἐν γὰρ τῇ ἀρχῇ τοῦ κηρύγματος, τινὲς φιλοδοξίας ἔρωτι κρατούμενοι, ἤθελον καὶ αὐτοὶ σημεῖα δῆθεν D ἐργάζεσθαι. Ὁρῶντες δὲ τὸ ὄνομα τοῦ Ἰησοῦ πολλὰ δυνάμενον, ἐπέλεγον τοῦτο, καὶ δὴ σημεῖα ἐποίουν, ἄλλως ἀνάξιοι ὄντες τῆς θείας χάριτος (69). Ἠβούλετο γὰρ ὁ Κύριος πλατύνεσθαι τὸ κήρυγμα, καὶ διὰ τῶν ἀναξίων. Τί οὖν ὁ Σωτὴρ; Οὐ συγχωρεῖ τῷ Ἰωάννῃ κωλύειν τὸν τὰ σημεῖα ποιοῦντα, ἀλλ', Ἄφετε

A quod semper læta sequuntur ad tristia, et in tristibus non frustra mœreamus, sed speremus meliora.

VERS. 31-36. « Et venit in Capernaum : et cum venisset in domum, interrogavit illos : Quid in itinere inter vos disputabatis? At illi siluerunt. Nam inter se disputaverant inter viam quis esset major. Et cum consedisset, accersivit duodecim, et dicit illis : Si quis vult primus esse, is erit omnium postremus et omnium minister. Atque arreptum puerum statuit in medio illorum : et cum cepisset illum in ulnas suas, dixit illis: Quisquis unum ex talibus pueris receperit in nomine meo, me recipit: et quicunque me recipit, non me recipit, sed eum B qui me misit. » Discipuli adhuc humanum quiddam sapientes, contendebant inter se, quis eorum major et dignior esset apud Christum. Dominus autem non prohibet prælationis cupiditatem : vult enim nos aspirare ad subliiniorem gradum : at non rapere nos vult primas dignitates, sed potius per humilitatem acquirere sublimitatem. Puerum enim statuit in medium, et illi similes nos vult fieri. Puer enim neque gloriam desiderat, neque invidet, neque vindictæ cupidus est. Et non solum, inquit, si ipsi tales fueritis, mercedem accipietis magnam, sed et si alios tales venerabimini propter me regnum cœlorum accipietis : me enim accipitis: me autem qui suscipit, suscipit eum qui me misit. Vides igitur quanta potest humilitas, simplicesque C et absque fraude mores. Filium enim et Patrem in nobis habitare facit. Manifestum autem quod et Spiritum sanctum.

VERS. 37-39. Respondit autem ei Joannes, dicens : Præceptor, vidimus quemdam in nomine tuo ejicere dæmonia, nec sequitur nos, et prohibuimus illum, propterea quod non sequitur nos. At Jesus ait : Ne prohibeatis illum. Nullus enim est, qui si fecerit virtutem per nomen meum, possit cito male loqui de me. 220 Qui enim non est adversus nos, pro nobis est. » Non zelotypia quadam vel invidia ductus tonitrui filius prohibet illum qui dæmonia ejicit, sed volens omnes qui invocant nomen Domini nostri Jesu Christi, etiam sequi ipsum, et unum esse corpus omnes discipulos. Nam in principio prædicationis quidam, vanæ gloriæ studio capti, D voluerunt et ipsi signa facere. Videntes autem nomen Jesu multum valere, super infirmos hoc dicebant, signaque faciebant, alioqui gratia divina indigni. Volebant enim Christus dilatari prædicationem etiam per indignos. Quid igitur Salvator? Non permittit Joannem prohibere signa facientem. Omittite, inquit nullus enim qui fecerit virtutem in

Ex collatione codd. Venet. S. Marci.

(69) Cod. 26 : Ἄλλως τῆς θείας χάριτος ὄντες ἀνάξιοι· διὸ οὐδὲ συνηκολούθουν αὐτοῖς διὰ τὴν ἐγκράτειαν καὶ σκληραγωγίαν τῶν ἀποστόλων, καὶ διὰ τὸ θέλειν αὐτοὺς οἰκείοις θελήμασιν ἄγεσθαι, καὶ ἀδιαφορώτερον ζῆν. Τί οὖν ὁ Σωτήρ; κ. τ. λ.

« Alioqui gratia divina indigni ; eo quod non sese adjungebant apostolis propter ipsorum abstinentiam atque in vivendo austeritatem : et qui volebant juxta propriam voluntatem ac liberius vivere. *Quid igitur Salvator?* etc.

nomine meo, statim poterit de me male loqui. Nam quo pacto male loqueretur de me, qui nomen meum in occasionem gloriæ prætexit, et invocando illud operatur mira? Videtur autem Dominus sibi contradicere. Dixerat enim alibi: «Qui non est mecum contra me est:» nunc dicit: «Qui non contra nos, pro nobis est.» Videntur quidem hæc diversa, non sunt autem. Nam cum dicit, «Qui non est mecum, contra me est [87], de dæmonibus est dictum, qui student a divinis abstrahere, et quæ Dei sunt, dispergere. Quod autem nunc, dictum de hominibus, qui ad Deum quosdam adducunt per miraculorum operationem.

VERS. 40, 41. «Quisquis enim ad bibendum dederit vobis calicem aquæ in nomine meo, quod sitis Christi: amen dico vobis, nequaquam perditurus est mercedem suam. Et quisquis offenderit unum ex pusillis qui confidunt in me, melius foret illi si circumdaretur saxum molare circa cervicem ejus, et abjiceretur in mare.» Non solum, inquit, facientes virtutem in nomine meo, non prohibeo: sed si quis minimum quiddam dederit vobis propter nomen meum, et susceperit vos propter me, non propter humanam gratiam, vel mundanam, neutiquam perdet mercedem suam. Dixit autem calicem aquæ, propter eos qui paupertatem prætexunt. Etiam si calicem, inquit, aquæ dederis contemptibilem, neque illum perdes. Quemadmodum autem si unum ex parvis honoraveris, gratus eris Deo, sic si unum ex parvis, scandalizaveris, hoc est, despexeris, offenderis, expediret tibi si mola asinaria de collo tuo suspenderetur, graviorem enim pœnam sustinebimus. Sensibile autem supplicium dixit, terrens nos per hoc sensibile exemplar.

VERS. 42-49. «Et si tibi fuerit obstaculo manus tua, amputa illam. Bonum est tibi mutilum ad vitam ingredi, potius quam duas manus habentem abire in gehennam, in ignem inexstinguibilem, ubi vermis illorum non moritur, et ignis non exstinguitur. Et si pes tuus fuerit tibi obstaculo, amputa illum: bonum est tibi ut ingrediaris ad vitam claudus, potius 221 quam duos pedes habens mittaris in gehennam, in ignem inexstinguibilem, ubi vermis illorum non moritur, et ignis non exstinguitur. Et si oculos tuus tibi obstaculo est, erue illum: bonum est tibi ut luscus introeas in regnum Dei, potius quam ut duos oculos habens mittaris in gehennam ignis, ubi vermis eorum non moritur, et ignis non exstinguitur. Nam omnis homo igne salietur, et omnis victima sale salietur. Bona res est sal: cæterum si sal insulsus fuerit, per quid ipsum condietis? Habete in vobisipsis salem, et pacem

B γάρ, φησίν, οὐδεὶς γὰρ δυνήσεται ταχὺ κακολογῆσαί με, ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου. Πῶς γὰρ ἂν κακολογήσειέ με ὁ τὸ ὄνομά μου ἀφορμὴν δόξης ἔχων, καὶ διὰ τοῦ ἐπικαλεῖσθαι τοῦτο θαυματουργῶν (70); Δοκεῖ δὲ ἐναντία λέγειν ὁ Κύριος ἑαυτῷ. Ἀλλαχοῦ γὰρ εἰπὼν, « Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι, » νῦν λέγει, « Ὃς οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστι. » Δοκοῦσιν οὖν ταῦτα ἐναντία· οὐκ εἰσὶ δέ. Τὸ μὲν γάρ, « Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι, » περὶ δαιμόνων εἴρηται, τῶν ἀπὸ Θεοῦ ἀφέλκειν σπουδαζόντων καὶ σκορπιζόντων τὰ τοῦ Θεοῦ. Τὸ δὲ νῦν ῥηθὲν περὶ ἀνθρώπων, τῶν μᾶλλον προσαγόντων τινὰς τῷ Θεῷ διὰ τοῦ θαύματα ἐπιτελεῖν.

« Ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν B τῷ ὀνόματί μου, ὅτι Χριστοῦ ἐστε, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Καὶ ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς ἐμὲ, καλόν ἐστιν αὐτῷ μᾶλλον, εἰ περίκειται λίθος μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ βέβληται εἰς τὴν θάλασσαν. » Οὐ μόνον φησὶ, τὸν δυνάμεις ποιοῦντα ἐν τῷ ὀνόματί μου οὐ κωλύω, ἀλλὰ κἂν τις ἐλάχιστόν τι δώσει ὑμῖν διὰ τὸ ἐμὸν ὄνομα, καὶ ἀποδέξηται ὑμᾶς δι' ἐμὲ, οὐ δι' ἀνθρωπίνην χάριν ἢ κοσμικὴν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Εἶπε δὲ τὸ ποτήριον τοῦ ὕδατος, διὰ τοὺς προφασιζομένους τὴν πενίαν. Κἂν γὰρ, φησὶ, ποτήριον ὕδατος δώσεις, τὸ εὐτελέστατον, οὐδὲ τοῦτο ἀπολέσεις. Ὥσπερ δὲ ἐὰν ἕνα τῶν μικρῶν τιμήσῃς, εὐαρεστεῖς τῷ Θεῷ, οὕτως ἐὰν ἕνα τῶν μικρῶν σκανδαλίσῃς, τουτέστιν ἀτιμά- C σῃς, ὑποσκελίσῃς, συμφέρει σοι, εἰ μύλος ὀνικὸς ἐκρεμάσθη σου ἐν τῷ τραχήλῳ· χείρονα γὰρ, ὡς ἔοικε, τιμωρίαν ὑποστησόμεθα. Αἰσθητὴν δὲ τιμωρίαν εἶπεν, ἐκφοβῶν ἡμᾶς διὰ τούτου τοῦ αἰσθητοῦ ὑποδείγματος.

« Καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν. Καλόν σοί ἐστι κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχοντα, ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον, ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. Καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτὸν, καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν, ἢ τοὺς δύο πόδας ἔχοντα, βληθῆναι εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον, ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. Καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδα- D λίζῃ σε, ἔκβαλε αὐτόν· καλόν σοί ἐστι μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἢ δύο ὀφθαλμοὺς ἔχοντα, βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρὸς, ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. Πᾶς γὰρ πυρὶ ἁλισθήσεται. Καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται. Καλὸν τὸ ἅλας. Ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; Ἔχετε ἐν ἑαυτοῖς ἅλας, καὶ εἰρηνεύετε ἐν ἀλλήλοις. »

87 Luc. XI, 23.

Ex collatione codd. Venet. S. Marci.

(70) Idem cod. addit: Συνεχώρει καὶ τούτοις θαυματουργεῖν, ἅμα μὲν εἰς βεβαίωσιν τοῦ κηρύγματος, ὥστε καὶ διὰ τῶν ἀναξίων τοῦτο πλατύνεσθαι, ἅμα δὲ καὶ εἰς βελτίωσιν αὐτῶν δὴ τῶν θαυματουργούντων. Δοκεῖ δὲ, κ. τ. λ. « Permittebat etiam illis miracula facere, tum ad confirmationem prædicationis, ut hæc etiam per indignos dilataretur: tum ad correctionem ipsorum, qui mira operabantur. Videtur autem, etc. »

Ἀπειλήσας τοῖς σκανδαλίζουσιν, ὅτι συνέφερεν αὐτοῖς, εἰ ἐῤῥίφθησαν ἐν τῇ θαλάσσῃ, νῦν παραινεῖ τοῖς σκανδαλιζομένοις φυλάττεσθαι ἀπὸ τῶν ἑτοίμως ἐχόντων σκανδαλίζειν καὶ ὑποσκελίζειν αὐτούς. Κἂν γὰρ πούς, κἂν χείρ, κἂν ὀφθαλμὸς ᾖ ὁ σκανδαλίζων σε, τουτέστι, κἂν τῶν οἰκειοτάτων τις, κἂν τῶν καθ' αἷμα πλησιαζόντων καὶ χρειωδῶν, ἔκκοψον αὐτόν, τουτέστιν, ἀπάρνησαι τὴν πρὸς αὐτὸν φιλίαν καὶ οἰκειότητα. Σκώληξ δὲ καὶ πῦρ κολάζοντα τοὺς ἁμαρτωλούς, ἡ συνείδησίς ἐστιν ἑκάστου, καὶ ἡ μνήμη τῶν πραχθέντων ἐν τῷ βίῳ τούτῳ αἰσχρῶν· ἥτις ὥσπερ σκώληξ καταδαπανᾷ, καὶ ὡς πῦρ φλέγει. Πᾶς γάρ, φησί, πυρὶ ἁλισθήσεται, τουτέστι, δοκιμασθήσεται. Ὅπερ καὶ ὁ Παῦλος λέγει, ὅτι πυρὶ δοκιμασθήσεται πάντα (71). Καὶ πᾶσα δέ, φησί, θυσία ἁλὶ ἁλισθήσεται. Τοῦτο δὲ ἀπὸ τοῦ Λευϊτικοῦ εἶπεν. Ἐκεῖ γάρ φησιν ὁ Θεός, Πᾶν δῶρον θυσίας ἡμῶν (72) ἁλὶ ἁλισθήσεται. Καλὸν οὖν ἐστιν ἡμᾶς ἁλίζειν τὰς θυσίας ἡμῶν τῷ ἅλατι τοῦ Θεοῦ, τουτέστι, μὴ ἐκλελυμένας θυσίας καὶ ῥαθύμους προσφέρειν, ἀλλὰ στρυφνὰς καὶ νοστίμους. Ἅλας δὲ λέγει καὶ τοὺς ἀποστόλους ὁ Κύριος, καὶ πάντας ἁπλῶς τοὺς δύναμιν ἔχοντας συνεκτικὴν καὶ συνδετικήν. Ὥσπερ γὰρ τὸ ἅλας συνέχει τὰ κρέα, καὶ οὐκ ἐᾷ αὐτὰ σκώληκας γεννᾷν, οὕτω καὶ ὁ διδασκαλικὸς λόγος, ἐὰν στρυφνὸς εἴη, τοὺς σαρκικοὺς ἀνθρώπους συσφίγγων, οὐκ ἐᾷ ἐν αὐτοῖς γεννηθῆναι τὸν ἀκοίμητον σκώληκα. Ἐὰν δὲ ὁ διδάσκαλος ἄναλος εἴη, καὶ μὴ ἔχῃ τὸ στρυφνὸν καὶ συνδετικόν, ἐν τίνι ἁλισθήσεται, τουτέστιν, ἀρτυθήσεται; Ἔχετε οὖν ἐν ἑαυτοῖς ἅλας, ἤγουν τὴν νόστιμον χάριν τοῦ Πνεύματος καὶ συνεκτικήν, ὡς ἂν εἰρηνεύητε πρὸς ἀλλήλους. Ὁ γὰρ τῷ συνδέσμῳ τῆς ἀγάπης συσφιγγόμενος πρὸς τὸν πλησίον, οὗτος ἅλας ἔχει, καὶ λοιπὸν εἰρηνεύει πρὸς τὸν ἀδελφὸν αὐτοῦ.

A habete inter vos invicem. » Postquam interminatus est his qui scandalizant, quod expediret eis si projicerentur in mare, nunc admonet eos qui scandalizantur, ut caveant sibi ab his qui parati sunt offendere et scandalizare alios. Nam sive pes, sive manus, sive oculus fuerit qui scandalizat te, hoc est, quantumvis sit tibi familiaris, etiamsi tibi sanguine junctus sit, vel utilis, amputa illum, hoc est renuntia ejus amicitiæ et familiaritati. Vermis autem et ignis quæ puniunt peccatores, uniuscujusque sunt conscientia, et memoria eorum quæ in hac vita fœde sunt acta : quia quasi vermis absumit, et quasi ignis ardet. Omnis enim homo igne salietur, hoc est, probabitur : id quod et Paulus dicit, quod in igne probabuntur omnia. Et omnis, inquit, victima sale salietur. Hoc autem ex
B
Levitico dixit. Ibi enim inquit Deus, Omne donum victimæ vestræ salietur [88]. Bonum igitur est nos sale condire sacrificia nostra, sale Dei, hoc est, non offerre victimas infirmas et pigras, sed vegetas et suaves. Sal autem dicit etiam apostolos Dominus, et omnes simpliciter qui virtutem habent conservandi, et a putredine cohibendi. Nam sicut sal carnem prohibet, et non sinit vermes procreare, ita et sermo doctoris, si recens et mordax sit, carnales homines constringens, non sinit in ipsis generari vermen irrequietum. Si autem doctor insulsus fuerit, et nihil habeat quod constringat et cohibeat, in quo salietur, hoc est, condietur? Habete igitur in vobisipsis salem, hoc est, suavem
C
Spiritus gratiam, quæ cohibeat, ita ut pacifici sitis. Nam qui constringitur charitate erga proximum, hic salem habet, et pacificus est cum fratre suo.

## ΚΕΦΑΛ. Ι'.

Περὶ τῶν ἐπερωτησάντων, εἰ ἔξεστιν ἀπολύειν τὴν γυναῖκα. Περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰησοῦν. Περὶ τῶν υἱῶν Ζεβεδαίου. Περὶ τοῦ Βαρτιμαίου.

« Κἀκεῖθεν ἀναστάς, ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας διὰ τοῦ πέραν τοῦ Ἰορδάνου, καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν. Καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν αὐτούς. Καὶ προσελθόντες οἱ Φαρισαῖοι, ἐπηρώτησαν αὐτόν, Εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι; πειράζοντες αὐτόν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Τί ὑμῖν ἐνετείλατο Μωσῆς; Οἱ δὲ εἶπον αὐτῷ. Μωσῆς ἐπέτρεψε βιβλίον ἀποστασίου γράψαι, καὶ ἀπολῦσαι. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην. Ἀπὸ δὲ ἀρχῆς κτίσεως ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς ὁ Θεός. Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ

## CAPUT X.

*De interrogantibus, num liceret dimittere uxorem. De divite Jesum interrogante. De filiis Zebedæi. De Bartimæo cæco.*

VERS. 1-9. « Et cum inde surrexisset, venit in fines Judææ per regionem, quæ est ultra Jordanem, et conveniunt rursum turbæ **222** ad illum, et sicut consueverat, rursum docebat eas. Et adeuntes Pharisæi interrogabant illum : Licetne
D
viro uxorem repudiare? tentantes illum. At ille respondens dixit illis: Quid vobis præcepit Moses? At illi dixerunt: Moses permisit libellum repudii scribere ac dimittere. Et respondens Jesus dixit illis : Ad duritiem cordis vestri scripsit vobis præceptum istud : cæterum ab initio creationis masculum et feminam fecit illos Deus: propter hoc relinquet homo patrem suum et matrem, et adhærebit uxori

88 Levit. II, 13.

**Ex collatione codd. Venet. S. Marci.**

(71) Cod. 26 addit : Ἡ καὶ οὕτω, Πᾶς πιστὸς πυρὶ τῆς πρὸς Θεὸν πίστεως, ἢ τῆς πρὸς τὸν πλησίον ἀγάπης ἁλισθήσεται, ἤγουν τὴν σηπεδόνα τῆ κακίας ἀποβαλεῖ, ἢ ἀρτυθήσεται καὶ ἡδὺς τῷ Θεῷ γενήσεται. Καὶ πᾶσα δέ, φησί, θυσία, κ. τ. λ. « Vel etiam sic : Omnis fidelis igne fidei in Deum et charitatis erga proximum salietur, hoc est, impietatis putredinem abjiciet : vel condietur, ac suavis Domino efficietur. *Et omnis, inquit, victima*, etc.»

(72) Interpres legit ὑμῶν.

suæ, et fient duo caro una. Itaque non jam sunt duo, sed una caro. Quod igitur Deus copulavit, homo ne separet. » Sæpenumero relinquebat Dominus Judæos propter invidiam illorum, nunc autem iterum in eorum regionem transit, quia passionis tempus appropinquabat. Nec vero Hierosolyma nunc ascendit, sed in fines Judææ, ut populo simplici prodesset. Hierosolyma enim omnis malitiæ officina erant, propter Pharisæorum malitiam. Vide ergo malitiam illorum, quomodo tentent Dominum, non relinquentes illum, ne credant ei turbæ; sed semper accedunt, et sperant se quæstionibus illum facturos perplexum animo et confutaturos. Rogabant enim quæstionem quæ utrinque præcipitia habebat: an liceat homini uxorem dimittere? Nam si diceret quod liceret absolvere, objecissent ei quod dixisset extra causam fornicationis non licere absolvere. Si autem diceret quod non liceret, taxarent eum ut adversarium doctrinis Mosi. Christus igitur, qui et sapientia ipsa, respondet eis responso quo laqueos illorum effugit. Rogat enim illos quid eis præceperit Moses. Cum autem illi dixissent præceptum esse dimittendam, interpretatur eis legem. Non adeo crudelis erat Moses, inquit, ut talem introduceret legem, sed ad vestris cordis duritiam scripsit hoc. Deus enim sciens Judæorum inhumanitatem, quod qui semel ex eis odio habere cœpisset mulierem, occidisset eam, concessit eis dimittere uxorem, non sibi placentem. Ab initio autem non sic erat, sed Dei consilium conjuges ad invicem conjungit, et relictis parentibus unum facit. Vide autem quid dicat, quod Deus noluit polygamiam, ut hæc relinqueretur, et altera duceretur uxor : et iterum relinqueretur ista, et assumeretur alia Nam si hoc esset, fecisset Deus unum quidem virum, multas autem mulieres; nunc autem hoc non fecit, sed masculum et feminam fecit, unum uni copulari jubens. Possemus forte et sic hunc locum intelligere: Sermo doctoris, qui semen bonum mittit in animam fidelis hominis, habet rationem viri erga animam quæ illum suscipit. Sæpe igitur ratio quæ cupit prodesse animæ, quæ verbum suscipit relinquit patrem suum, **223** hoc est mentem sublimem : et matrem suam, hoc est, verbum ornatum: et adhæret uxori suæ, attemperando se illi, quæ illi expediant docens, et sæpe sensum imperfectum ac verba supplicia et idiotarum proferens : et tunc sunt duo in carne una, hoc est, credit anima carnem factum esse Verbum Dei, et nulla humana cogitatio potest separare animam a tali fide.

A καὶ τὴν μητέρα. Καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ μία σάρξ. Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. » Συνεχῶς τὴν Ἰουδαίαν ἀφίει ὁ Κύριος διὰ τὴν βασκανίαν ἐκείνων, νῦν οὖν ἐπιχωριάζει, ἐπειδὴ τὸ πάθος ἐγγὺς ἔμελλεν εἶναι. Οὐ μὴν εἰς τὰ Ἱεροσόλυμα ἄνεισι τέως, ἀλλ' εἰς τὰ τῆς Ἰουδαίας ὅρια, ἵνα τὸν ἄκακον ὄχλον ὠφελήσῃ. Τὰ γὰρ Ἱεροσόλυμα πάσης κακίας ἐργαστήριον ἦσαν, διὰ τὴν τῶν Φαρισαίων πονηρίαν. Ἴδε γοῦν τὴν κακίαν αὐτῶν, πῶς πειράζουσι τὸν Κύριον, μὴ ἐῶντες αὐτὸν, ἵνα πιστεύσωσιν αὐτῷ οἱ ὄχλοι, ἀλλ' ἀεὶ προσερχόμενοι καὶ δοκοῦντες εἰς ἀπορίαν ἐμβάλλειν καὶ ἐπιστομίζειν διὰ τῶν ζητημάτων. Ἠρώτησαν γὰρ αὐτὸν ἐρώτημα ἀμφοτέρω-
B θεν ἔχον κρημνούς· Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα; Ἵνα ἐὰν μὲν εἴπῃ ὅτι ἔξεστιν ἀπολύειν, ἀπαντήσωσιν αὐτῷ· Πῶς οὖν εἶπας ὅτι ἐκτὸς λόγου πορνείας, οὐκ ἔξεστιν ἀπολύειν; Ἐὰν δὲ εἴπῃ ὅτι οὐκ ἔξεστιν, ἐγκαλέσωσιν αὐτῷ ὡς ἐναντιουμένῳ τοῖς τοῦ Μωσέως δόγμασιν. Ὁ οὖν Χριστὸς, ἡ αὐτοσοφία, ἀποκρίνεται αὐτοῖς ἀπόκρισιν διαφεύγουσαν τὰς αὐτῶν παγίδας. Ἐρωτᾷ γὰρ αὐτοὺς, τί αὐτοῖς ἐνετείλατο Μωσῆς. Τῶν δὲ εἰπόντων ὅτι ἀπολύειν ἐνετείλατο, ἑρμηνεύει αὐτοῖς τὸν νόμον. Οὐ γὰρ οὕτως ἀπηνὴς ἦν ὁ Μωσῆς, φησὶν, ὥστε τοιοῦτον εἰσενεγκεῖν νόμον, ἀλλὰ πρὸς τὴν ὑμετέραν σκληροκαρδίαν τοῦτο ἔγραψεν. Ὁ γὰρ Θεὸς, γινώσκων τὴν τῶν Ἑβραίων ἀπανθρωπίαν, καὶ ὅτι ῥᾳδίως ὁ βου-
C λόμενος φονεύοι ἂν τὴν ἑαυτοῦ γυναῖκα μισήσας ἅπαξ αὐτὴν, συνεχώρησεν ἀπολύειν τὴν γυναῖκα, τὸν μὴ ἀρεσκόμενον αὐτῇ. Ἀπ' ἀρχῆς δὲ οὐχ οὕτως ἦν, ἀλλ' ἡ τοῦ Θεοῦ βουλὴ συγκολλᾷ ἀλλήλοις τοὺς συζύγους, καὶ ἓν ποιεῖ, ὥστε καὶ γονέων καταμελεῖν. Ὅρα δὲ τί λέγει, ὅτι ὁ Θεὸς οὐ θέλει πολυγαμίαν, ὥστε ταύτην μὲν καταλιμπάνειν, ἑτέραν δὲ ἄγεσθαι γυναῖκα, καὶ πάλιν ταύτην καταλιμπάνειν, καὶ ἑτέρᾳ κολλᾶσθαι. Εἰ γὰρ τοῦτο ἦν, ἐποίησεν ἂν ἕνα μὲν ἄνδρα, πολλὰς δὲ γυναῖκας. Νῦν δὲ οὐ τοῦτο γέγονεν, ἀλλ' ἄρσεν καὶ θῆλυ ἐποίησεν, ἕνα μιᾷ κελεύσας συνάπτεσθαι. Μήποτε δὲ καὶ οὕτω δυνάμεθα νοῆσαι τὸ παρὸν χωρίον. Ὁ λόγος ὁ διδασκαλικὸς, σπέρματα ἀγαθὰ ἐμβάλλων εἰς τὴν ψυχὴν τοῦ πιστοῦ ἀνθρώπου, ἀνδρὸς λόγον ἐπέχει πρὸς τὴν
D ὑποδεχομένην αὐτὸν ψυχήν. Πολλάκις οὖν ὁ λόγος θέλων ὠφελῆσαι τὴν ὑποδεχομένην ψυχὴν, καταλιμπάνει τὸν πατέρα αὐτοῦ, τουτέστι νοῦν ὑψηλὸν, καὶ τὴν μητέρα αὐτοῦ, τουτέστι λέξιν κεκαλλωπισμένην, καὶ προσκολλᾶται τῇ γυναικὶ αὐτοῦ, ἤτοι τὰ πρὸς ὠφέλειαν τῆς ψυχῆς ἐκείνης διδάσκει, συγκαταβαίνων αὐτῇ καὶ νοῦν πολλάκις εὐτελῆ καὶ λέξεις ἰδιωτικὰς προτιμῶν. Καὶ λοιπὸν γίνονται οἱ δύο εἰς σάρκα μίαν, τουτέστι, πιστεύει ἡ ψυχὴ σάρκα γενέσθαι τὸν Λόγον τοῦ Θεοῦ. Καὶ οὐδεὶς ἀνθρώπινος λογισμὸς δύναται χωρίσαι τὴν ψυχὴν ἀπὸ τῆς τοιαύτης πίστεως.

VERS. 10, 11. « Et in domo rursum discipuli illius eadem de re interrogaverunt illum, et dicit illis : Quicunque repudiaverit uxorem suam, et duxerit aliam, adulterium committit adversus illam. Et si mulier repudiaverit virum suum, et nupserit alteri, adulterium committit. » Iterum etiam disci-

« Καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ περὶ τοῦ αὐτοῦ ἐπηρώτησαν αὐτὸν, καὶ λέγει αὐτοῖς· Ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ' αὐτήν. Καὶ ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς, καὶ γαμηθῇ ἄλλῳ, μοιχᾶται. » Ἔτι καὶ οἱ μαθηταὶ ἐσκανδαλίζοντο· διὰ τοῦτο οὖν καὶ προσέρ-

χονται πάλιν αὐτῷ καὶ ἐρωτῶσιν, ὡς μήπω ἱκανῶς ἐκθεραπευθέντος αὐτῶν τοῦ λογισμοῦ. Ὁ δὲ ἀποκρίνεται αὐτοῖς, λέγων· Ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην, μοιχός ἐστιν αὐτῆς τῆς δευτέρας. Ὁμοίως οὖν καὶ ἡ γυνὴ μοιχαλίς ἐστιν, ἡ ἀφεῖσα τὸν ἴδιον ἄνδρα, καὶ ἑτέρῳ συζυγεῖσα.

« Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται αὐτῶν· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν. Ἰδὼν δὲ ὁ Ἰησοῦς, ἠγανάκτησε καὶ εἶπεν αὐτοῖς· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, Ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. Καὶ ἐναγκαλισάμενος αὐτὰ, καὶ τιθεὶς τὰς χεῖρας ἐπ' αὐτὰ, εὐλόγησεν αὐτά. » Πολλὴ ἡ πίστις τῶν ὄχλων, εἴγε καὶ μόνῃ τῇ τῶν χειρῶν ἐπιθέσει, εὐλογεῖν ἐνόμιζον τὸν Χριστὸν τοὺς αὐτῷ προσαγομένους. Οἱ δὲ μαθηταὶ, νομίζοντες ἀνάξιον τοῦτο εἶναι τοῦ Χριστοῦ, τὸ παιδία προσάγεσθαι αὐτῷ, διεκώλυον τοὺς προσάγοντας. Τί οὖν ὁ Χριστός; Διδάσκων αὐτοὺς μετριοφρονεῖν, καὶ τῦφον καταπατεῖν κοσμικὸν, καὶ λαμβάνει καὶ ἐναγκαλίζεται. Δείκνυσι γὰρ ὅτι τοὺς ἀκάκους προσλαμβάνεται, διὸ καὶ λέγει, « Τῶν τοιούτων γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. » Ὅρα, οὐκ εἶπε, Τούτων γάρ ἐστιν ἡ βασιλεία, ἀλλὰ τῶν τοιούτων, τουτέστι τῶν ἐχόντων ἐξ ἀσκήσεως τὴν ἀκακίαν, ἣν τὰ παιδία ἔχουσιν ἀπὸ φύσεως. Τὸ γὰρ παιδίον οὔτε φθονεῖ, οὔτε μνησικακεῖ, οὔτε μαστιζόμενον παρὰ τῆς μητρὸς ἀφίσταται. Ἀλλὰ κἂν ῥάκια αὐτὴ φορῇ, τῆς βασιλίδος ταύτην προτιμᾷ. Οὕτω καὶ ὁ κατ' ἀρετὴν ζῶν, τῆς μητρὸς αὐτοῦ, τῆς Ἐκκλησίας λέγω, οὐδὲν προτιμᾷ, οὐδὲ τὴν βασιλεύουσαν τῶν πολλῶν ἡδονήν. Διὸ καὶ ἐναγκαλίζεται τοὺς τοιούτους ὁ Κύριος, λέγων· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι. » Καὶ εὐλογεῖ, λέγων· « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου. » Βασιλείαν δὲ τοῦ Θεοῦ, τὸ κήρυγμα καὶ τὴν ἐπαγγελίαν τῶν ἀγαθῶν ἐνταῦθα φησιν. Ὅστις οὖν δέξεται τὸ κήρυγμα τοῦ Θεοῦ ὡς παιδίον, τουτέστι μηδὲν διακρινόμενος ἢ ἀπιστῶν, ἐκεῖνος εἰσέρχεται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ εἰς τὰ ἀγαθὰ ἃ ἐδέξατο ἤδη τῇ πίστει.

« Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδὸν, προσδραμὼν εἷς, καὶ γονυπετήσας αὐτῷ, ἐπηρώτα αὐτόν· Διδάσκαλε ἀγαθὲ, τί ποιήσω, ἵνα ζωὴν αἰώνιον κληρονομήσω; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός· τὰς ἐντολὰς οἶδας; Μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς, μὴ ἀποστερήσῃς. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτῷ· Διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου. Ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· Ἕν σοι ὑστερεῖ, ὕπαγε, ὅσα ἔχεις πώλησον, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι, ἄρας τὸν σταυρόν. Ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀπῆλθε λυπούμενος, ἦν γὰρ ἔχων κτήματα πολλά. » Τινὲς διαβάλλουσι τὸν νεανίσκον τοῦτον, ὡς ὑπου-

puli scandalizati sunt, atque eam ob causam denuo ad eum accedunt et interrogant, quasi nondum satisfactum esset menti eorum. At ipse respondit eis, dicens : Qui dimiserit uxorem suam, et duxerit aliam, adulter est ejus, scilicet secundæ. Similiter quoque et uxor adultera est, quæ reliquit virum proprium, et alteri conjuncta fuerit.

VERS. 12-16. « Et attulerunt ad illum puellos, ut tangeret illos. Discipuli vero increpabant eos qui adducebant. Cum vidisset autem Jesus, indignatus est, et dixit illis : Sinite puellos venire ad me, ne prohibete illos, talium enim est regnum Dei. Amen dico vobis : Quicunque non acceperit regnum Dei tanquam puellus, haudquaquam ingredietur in illud. Et cum cepisset illos in ulnas, impositis manibus super illos benedixit eis. » Magna fides turbarum, quæ etiam sola manuum impositione benedici a Christo existimabant puellos quos offerebant. Discipuli vero indignum hoc esse Christo arbitrabantur, quod pueri adducerentur ad ipsum: et prohibebant adducentes. Quid igitur Christus? Ut doceat humilitatem et mundani fastus contemptum, illos et suscipit et ulnis amplectitur. Ostendit enim quod simplices et innocentes suscipiat, ideoque dicit: « Talium est enim regnum Dei. » Vide, non dixit, Horum est enim regnum Dei, sed, talium, hoc est, eorum qui per exercitationem innocentiam acquirunt, quam puelli a natura habent. Puer enim neque invidet, neque vindictam meditatur, neque si flagellatur a matre, recedit : sed hanc, etiam si vestes detritas ferat, reginæ præfert. Sic et qui virtutibus vacat, matri suæ, Ecclesiæ dico, neque voluptatem, quæ multis imperat, neque quippiam præfert. Ideo in ulnas tales suscipit Jesus, dicens : « Venite ad me, omnes qui laboratis et onerati estis ; » et benedicit dicens : « Venite, benedicti Patris mei. » Regnum autem Dei, prædicationem et promissionem bonorum hic dicit. Quisquis igitur acceperit prædicationem Dei sicut puer, non dijudicans vel discredens, ille ingreditur in regnum Dei et in bona quæ jam fide suscepit.

VERS. 17-22. « Et cum exiret in viam, **224** accurrit quidam, ac genua flexit illi, et interrogabat eum : Præceptor bone, quid faciam ut vitam æternam possideam? Jesus autem dixit illi : Cur me dicis bonum? Nemo bonus, nisi unus, nempe Deus. Præcepta nosti? Ne committas adulterium, ne occidas, ne fureris, ne falsum testimonium dicas, ne fraudes, honora patrem tuum et matrem tuam. At ille respondens dixit illi : Præceptor, hæc omnia servavi ab adolescentia mea. Jesus autem intuitus illum, dilexit eum, et dixit illi : Unum tibi deest; abi, quæcunque habes vende, et da pauperibus et habebis thesaurum in cœlo, et veni sequere me, sublata in humeros cruce. At ille molestia affectus per sermonem, discedebat mœrens; habebat enim possessiones multas. » Quidam taxant adolescen-

tem illum et subdolum et malum et tentatorem. At non ita se res habet, sed amabat divitias, non tentabat. Audi enim evangelistam, quod cum intuitus esset eum Jesus, dilexerit illum. Quare igitur sic respondit ei Christus dicens: Nullus bonus? Quia ad ipsum accesserat tanquam ad hominem, et ad unum ex magistris. Dicere enim vult Christus: Si quidem ut magistrum putas me esse bonum, nullus homo bonus, si cum Deo conferatur, sin ut Deum me bonum esse censes, quid igitur magistrum me vocas? Et ita verbis istis Christus mentem hominis illius sublimiorem reddere vult, ut ipse tanquam Deus agnoscatur. Sed et aliud quiddam corrigit, docendo illum ne aduletur his cum quibus conversaturus est, sed radicem fontemque bonitatis sciat Deum, cui honor tribuendus est. Admiror autem adolescentem, quod cum alii plerique sanandorum morborum gratia accesserint, ille vitæ æternæ hæreditatem quæsierit, tametsi gravissimo avaritiæ morbo teneretur: propter quod cum audisset, Vade, vende, et da pauperibus, abiit tristitia affectus. Vide autem quod non dixerit, Vade, et quæcunque habes, particulatim vende, et da: sed, Vende semel, et da pauperibus, inquit, sed non adulatoribus et intemperatis. Insuper et hoc dicit: Veni, sequere me, hoc est, et omnem aliam virtutem amplexare. Multi enim pauperes sunt, sed non humiles: vel etsi humiles, non tamen sobrii, sed ebrii, vel alio quodam malo impliciti. Et propterea Dominus dicit: Vende, et da pauperibus, et sequere me, sublata cruce, hoc est, præparato teipso pro me ad mortem. At hic, mœstus ob sermonem illum, abiit. Habebat enim possessiones multas. Nec frustra addidit, multas: non enim similiter alligantur hi qui multum et hi qui parum possident. Difficilius enim expediuntur vincula eorum qui multa possident. Verum et si quis adolescens fuerit juvenili ac levi sensu, et male composita mente, vendat 225 facultates suas, utpote iram et concupiscentiam, et quæcunque ex his mala pullulant, et det ea ac abjiciat pauperibus, hoc est dæmonibus: pauperes enim sunt omnique privati bono, et exciderunt divitiis bonitatis Dei: et tunc sequatur Christum. Nam qui divitias peccatorum dæmonibus objecerit, sequi poterit Christum. « Declina enim a malo 89, inquit, hoc est, abjice malas divitias pauperibus potestatibus, dæmonibus inquam, et fac bonum, hoc est, sequere Christum, et tolle crucem.

A λόν τινα καὶ πονηρὸν καὶ πειραστικόν. Οὐκ ἔστι δὲ τοῦτο· ἀλλὰ φιλοχρήματος μὲν ὁ ἄνθρωπος, οὐ πειραστὴς δέ. Ἄκουε γὰρ τοῦ εὐαγγελιστοῦ, ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, ἠγάπησεν αὐτόν. Διατί οὖν οὕτω πρὸς αὐτὸν ἀπεκρίνατο ὁ Χριστὸς, λέγων· Οὐδεὶς ἀγαθός; Ἐπειδὴ ὡς ἀνθρώπῳ προσῆλθε, καὶ ὡς ἑνὶ τῶν πολλῶν διδασκάλων. Τοῦτο γὰρ λέγει ὁ Χριστός· Ἐὰν μὲν ὡς διδάσκαλον νομίζεις με εἶναι ἀγαθὸν, οὐδεὶς ἄνθρωπος ἀγαθὸς, ὡς πρὸς σύγκρισιν τοῦ Θεοῦ· ἐὰν δὲ ὡς Θεὸν νομίζεις με εἶναι ἀγαθὸν, τί λοιπὸν διδάσκαλόν με ὀνομάζεις; Ὥστε τοῦτο διὰ τῶν ῥημάτων τούτων ὁ Χριστὸς βούλεται τὸ, ὑψηλοτέραν ποιῆσαι τὴν τοῦ ἀνθρώπου διάνοιαν, πρὸς τὸ ἐπιγνῶναι αὐτὸν ὡς Θεόν. Ἀλλὰ καὶ ἄλλο
B τι κατορθοῖ, τὸ διδάξαι αὐτὸν, ὅταν τινὶ μέλλῃ ὁμιλῆσαι, μὴ κολακευτικῶς ὁμιλεῖν, ἀλλὰ τὴν ῥίζαν καὶ τὴν πηγὴν τῆς ἀγαθότητος, εἰδέναι τὸν Θεὸν, καὶ αὐτῷ τὰς τιμὰς ἀναφέρειν. Θαυμάζω δὲ τὸν νεανίσκον τοῦτον, ὅτι τῶν ἄλλων ἁπάντων περὶ νοσημάτων θεραπείας προσιόντων, αὐτὸς ζωῆς αἰωνίου κληρονομίαν ζητεῖ, εἰ καὶ πάθει δεινοτάτῳ τῇ φιλαργυρίᾳ κατείχετο, δι' ἣν ἀκούσας, Ὕπαγε, πώλησον, καὶ δὸς πτωχοῖς, ἀπῆλθε λυπούμενος. Ὅρα δὲ, οὐκ εἶπεν, ὅτι Ὕπαγε, ὅσα ἔχεις πώλει κατὰ μέρος καὶ δίδου, ἀλλὰ πώλησον ἀπὸ μιᾶς, καὶ δὸς, ἀλλὰ πτωχοῖς, ἀλλὰ μὴ κόλαξι καὶ ἀσώτοις. Ἀλλὰ καὶ δεῦρο, ἀκολούθει μοι, τουτέστι, καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν μέτελθε. Πολλοὶ γὰρ ἀκτήμονες μέν εἰσιν, οὐ ταπεινόφρονες δὲ, ἢ καὶ ταπεινόφρονες μὲν,
C ἀλλὰ μέθυσοι ἢ ἄλλο τι κακὸν ἔχοντες. Διὰ τοῦτο οὖν ὁ Κύριος λέγει· Πώλησον, καὶ δὸς πτωχοῖς, καὶ ἀκολούθει μοι, ἄρας τὸν σταυρὸν, τουτέστι, πρὸς θάνατον τὸν ὑπὲρ ἐμοῦ ἑτοιμάσας σεαυτόν. Ὁ δὲ, στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀπῆλθεν. Ἦν γὰρ ἔχων κτήματα πολλά· οὐ μάτην δὲ πρόσκειται τοῦτο τὸ, πολλά. Καὶ γὰρ οὐχ ὁμοίως οἵ τε πολλὰ ἔχοντες, οἵ τε ὀλίγα κατέχονται, ἀλλὰ δεινότερα καὶ δυσδιαλυτώτερα τὰ δεσμὰ τῶν πολλῶν κτημάτων. Ἀλλὰ κἂν νεανίσκος εἴη τις νεώτερος καὶ κοῦφος τὴν διάνοιαν, καὶ μὴ καθεστηκὼς τὰς φρένας, πωλησάτω τὰ ὑπάρχοντα αὐτῷ· οἷον θυμὸν καὶ ἐπιθυμίαν, καὶ ὅσα ἐκ τούτων κακὰ φύονται, καὶ δότω ταῦτα καὶ ἀποῤῥιψάτω τοῖς δαίμοσιν, οἵτινές εἰσι πτωχοὶ, παντὸς
D ἐστερημένοι ἀγαθοῦ καὶ τοῦ πλούτου τῆς ἀγαθότητος τοῦ Θεοῦ ἐκπεπτωκότες. Καὶ τότε ἀκολουθείτω τῷ Χριστῷ. Ὁ γὰρ ἀποῤῥίψας τὸν τῶν ἁμαρτιῶν πλοῦτον τοῖς δαίμοσιν, ἐκεῖνος δύναται ἀκολουθεῖν τῷ Χριστῷ. « Ἔκκλινον γὰρ ἀπὸ κακοῦ· » τοῦτο τὸ ἀποῤῥίψαι τὸν κακὸν πλοῦτον ταῖς πτωχαῖς δυνάμεσι τῶν δαιμόνων· καὶ ποίησον ἀγαθὸν, τοῦτο τὸ ἀκολουθεῖν τῷ Χριστῷ, καὶ ἆραι τὸν σταυρόν.

VERS. 23-27. « Et cum circumspexisset Jesus, dicit discipulis suis: Quam difficulter ii qui pecunias habent, in regnum Dei intrabunt! Discipuli vero obstupuerunt super verbis illius. At Jesus rursum respondens, dicit illis: Filii, quam difficile est eos qui fiduciam habent in pecuniis, regnum Dei ingredi. Facilius est camelum per foramen acus

« Καὶ περιβλεψάμενος ὁ Ἰησοῦς, λέγει τοῖς μαθηταῖς αὐτοῦ· Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελεύσονται; Οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. Ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς, λέγει αὐτοῖς· Τέκνα, πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ χρήμασιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. Εὐκοπώτερόν ἐστι

89 Psal. XXXVI, 27.

κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. Οἱ δὲ περισσῶς ἐξεπλήττοντο, λέγοντες πρὸς ἑαυτούς. Καὶ τίς δύναται σωθῆναι; Ἐμβλέψας δὲ αὐτοῖς ὁ Ἰησοῦς λέγει. Παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ' οὐ παρὰ τῷ Θεῷ. Πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ Θεῷ. » Οὐχὶ τὰ χρήματα κακά, ἀλλ' οἱ ἔχοντες αὐτὰ διαβάλλεσθαι ἄξιοι· δεῖ γὰρ μὴ ἔχειν αὐτά, τουτέστι κατέχειν, ἀλλὰ χρῆσθαι αὐτοῖς εἰς δέον. Χρήματα γὰρ εἴρηται παρὰ τὸ εἰς χρῆσιν εἶναι ἀνθρώποις, οὐχὶ παρὰ τὸ κατέχεσθαι. Οἱ τοίνυν ἔχοντες καὶ ἀποκλείοντες ταῦτα, δυσκόλως εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Τὸ δὲ δύσκολον ἐνταῦθα ἀντὶ τοῦ ἀδύνατον νόει. Ἀδύνατον γάρ ἐστι πλούσιον ἄνθρωπον σωθῆναι. Τοῦτο δὲ δῆλον ἀπὸ τοῦ ὑποδείγματος, ὃ τίθησιν ὁ Κύριος, λέγων ὅτι εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ἀδύνατον γάρ ἐστι κάμηλον διὰ τρυπήματος βελόνης διελθεῖν. Κάμηλον δὲ νόει, ἢ αὐτὸ τὸ ζῶον, ἢ σχοινόν τινα παχεῖαν, ᾗ τὰ μέγιστα τῶν πλοίων χρῶνται. Ἀδύνατον οὖν ἄνθρωπον ἐν ὅσῳ ἐστὶ πλούσιος, σωθῆναι. Παρὰ μέντοι τῷ Θεῷ δυνατόν ἐστι τοῦτο. Εἶπε γὰρ ὁ Χριστός· « Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας. » Ὁρᾷς ὅταν ἀκούσωμεν τοῦ Θεοῦ, πῶς γίνεται τοῦτο δυνατόν; Παρὰ δὲ τοῖς ἀνθρώποις ἀδύνατον, τουτέστιν, ὅταν ἀνθρώπινα φρονῶμεν, ἀδύνατόν ἐστι τοῦτο. Τίνος δὲ ἕνεκεν οἱ μαθηταὶ ἐξεθαμβοῦντο ἐπὶ τοῖς λόγοις τούτοις; Οὐ γὰρ δήπου αὐτοὶ πλούσιοι ἦσαν. Ἐμοὶ δοκεῖ ὑπὲρ πάντων ἀνθρώπων ἀγωνιῶντες. Φιλάνθρωποι γὰρ ἤδη ἤρξαντο γίνεσθαι. Τινὲς δὲ ἐνταῦθα ἀποροῦσι πῶς εἶπε, Πάντα δυνατά ἐστι παρὰ τῷ Θεῷ. (73) Λέγομεν οὖν ὅτι ὅταν εἴπῃ, πάντα, τὰ ὄντα λέγει· ἡ δὲ ἁμαρτία μὴ ὂν ἐστιν. Ἀνούσιον γὰρ πρᾶγμα καὶ ἀνυπόστατον ἡ ἁμαρτία· ἄλλως τε, Ἡ ἁμαρτία οὐκ ἔστι δυνάμεως, ἀλλ' ἀσθενείας, ὡς καὶ ὁ Ἀπόστολος λέγει· Χριστὸς, ὄντων ἡμῶν ἀσθενῶν, ἀπέθανε. Καὶ πάλιν ὁ Δαβίδ· Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν. Ὥστε ἡ ἁμαρτία, ἀσθένεια οὖσα, οὐκ ἔστι δυνατὴ παρὰ τῷ Θεῷ. Ἆρα οὖν, φασὶ, δύναται ὁ Θεὸς καὶ τὸ γεγονὸς ὡς μὴ γεγονὸς ποιῆσαι; Λέγομεν οὖν ὅτι ὁ Θεὸς ἀλήθειά ἐστι. Τὸ δὲ ποιῆσαι τὸ γεγονὸς ὡς μὴ γεγονὸς, ψεῦδος. Πῶς οὖν ἡ ἀλήθεια ποιήσει τὸ ψεῦδος; Πρότερον γὰρ ἂν ἀπολέσειε τὴν οἰκείαν φύσιν· ὥστε τοῦτό φασιν οἱ λέγοντες· Ἆρα δύναται ὁ Θεὸς μὴ εἶναι Θεός; Ὁρᾷς γὰρ τὸ γελοῖον τοῦ ἐρωτήματος.

« Καὶ ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγρούς, ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα, νῦν ἐν

A igredi, quam divitem in regnum Dei ingredi. Illi vero supra modum admirati sunt, dicentes intra sese: Et quis potest salvus esse? Intuitus autem Jesus illos dicit: Apud homines impossibile est, non apud Deum: nam omnia possibilia sunt apud Deum. » Divitiæ non malæ sunt, sed qui illas habent, digni sunt qui taxentur: non enim illas habere oportet, hoc est detinere, sed eis uti pro necessitate. Χρήματα enim, hoc est opes, dictæ sunt, quia usui sunt hominibus et opem atque auxilium afferunt non autem quod detinendæ sint. Qui igitur illas habent et includunt, difficile in regnum Dei ingrediuntur. Difficile autem loco pro impossibili intellige. Impossibile enim divitem hominem salvari. Hoc autem manifestum ab exemplo quod B ponit Dominus, dicens quod facilius sit camelum intrare per foramen acus, quam divitem in regnum Dei. Fieri enim non potest ut camelus per foramen acus transeat. Per camelum autem intellige vel animal, vel crassum funem quo nautæ in maximis navigiis utuntur. Impossibile enim est hominem, quatenus dives est, salvari. Etenim apud Deum hoc possibile est. Dixit enim Christus: « Facite vobis amicos ex mammona injustitiæ[90]. » Vides quod si Deum audiverimus, quomodo possibile fiat? Apud homines autem impossibile, hoc est, quando humana sapimus, impossibile est. Jam quare discipuli obstupuerunt super verbis illius? Non enim ipsi divites erant. Mihi videtur quod pro omnibus C hominibus anxii fuerint. Jam enim misericordes cœperant fieri. Quidam hoc loco dubitant, quomodo dixerit. Omnia possibilia sunt Deo, quum Deus peccare nequeat. Dicimus itaque, quando dicit, omnia, intelligimus ea quæ sunt. Peccatum autem non est. Peccatum enim res est sine essentia, et sine substantia. Vel aliter, Peccatum non est potentiæ, sed infirmitatis: sicut et Apostolus dicit: Christus, cum nos infirmi essemus, mortuus est[91]. Et iterum David: 220 Multiplicatæ sunt infirmitates eorum[92] », et ita peccatum apud Deum non est possibile, quia infirmitas est. Numquid autem dicunt, Deum factum infectum facere non posse? Dicimus Deum esse veritatem. Factum autem infectum facere, mendacium est. Quo pacto, quæso, veritas fecerit D mendacium? Prius enim perderet naturam suam: et ideo qui sic loquuntur, perinde loquuntur ac si quærant, Num potest Deus non esse Deus? Vides igitur quam ridicula sit quæstio.

VERS. 28-31. « Et cœpit Petrus dicere illi: Ecce nos reliquimus omnia, et secuti sumus te. Respondens autem Jesus dixit: Amen dico vobis, nullus est qui reliquit domum, aut fratres, aut sorores, aut patrem, aut matrem, aut uxorem, aut liberos, aut agros mea causa et Evangelii, quin recipiat

90 Luc. XVI, 9. 91 Rom. VI, 7. 92 Psal. XV, 4.

Ex collatione codd. Venet. S. Marci.

(73) Supple ex cod. 32: Ἆρα γὰρ καὶ τὸ ἁμαρτάνειν, δυνατόν ἐστι παρὰ τῷ Θεῷ. Λέγομεν οὖν, κ. τ. λ. « Igiturne et peccare possibile est Deo? *Dicimus itaque,* » etc.

centupla nunc in tempore hoc, domus et fratres, et sorores, et matres, et liberos, et agros cum persecutionibus, ac in venturo sæculo vitam æternam. Multi autem primi erunt postremi, et postremi primi. » Petrus tametsi pauca reliquis set, quia tamen dixit, omnia, indicium est quod etiam pauca vinculo quodam illum detinuerint : et ita beatificatus est is qui etiam pauca reliquerat. Cumque solus Petrus rogasset, omnibus generaliter loquitur Christus dicens : Omnis qui reliquerit uxorem, vel patrem. Hæc dicit non ut parentes velit auxilio destitui, et ab uxoribus separari, sed docet nos præferre pietatem erga Deum omnibus carnalibus. Quia enim vere bellum a prædicatione accensum erat, et negaturi erant pueri parentes propter pietatem, dicit : Quisquis reliquerit cognatos quos sibi natura dedit, et in summa corporalia omnia propter Evangelium, centupla omnia accipiet in præsenti sæculo, et in futuro vitam æternam. Numquid ergo et mulieres centum accipiet? Etiam. Tametsi maledictus Julianus hoc irriserit. Quid confert uxor domui viri? Omnino curat ut vir habeat quod edat, quibus induatur, et horum omnium curam adimit viro. Vide itaque hoc etiam in apostolis. Quot mulieres fuere, quibus cura erat de amictu et esu illorum, et quæ ministrarunt eis, qui nihil horum curabant, sed solum sermonem et doctrinam? Similiter matres et patres multos habuerunt apostoli, qui diligerent, et amico affectu erga se essent. Et Petrus qui unam domum reliquerat, postea omnium discipulorum domos habebat. Et nunc quoque ubique terrarum erecta sunt templa in nomine ejus, quæ sunt claræ domus. Et quod majus, hæc omnia in persecutionibus possident sancti, hoc est, quod dicit, cum persecutionibus, id est persecutionem passi, et male affecti atque afflicti. Unde et qui ultimi in hoc sæculo videntur propter afflictiones et persecutiones, erunt primi propter spem in Deum. 227 Sed et Pharisæi qui videntur primi, facti sunt postremi Qui autem relictis omnibus secuti sunt Christum facti sunt primi.

VERS. 32-34. « Erant autem in via ascendentes Hierosolyma, et præcedebant illos Jesus, erantque pavefacti, et sequentes timebant. Et assumptis rursum duodecim, cœpit illis dicere quæ sibi eventura essent: Ecce ascendimus Hierosolyma, et Filius hominis tradetur principibus sacerdotum et Scribis, et condemnabunt eum ad mortem, et tradent illum gentibus, et illudent illi, et flagellabunt eum, et inspuent in illum, et occident eum, et tertia die resurget. » Quare prædicit ei eventura? Ut mentes discipulorum præparet, quo prius audita facilius ferant, et non repente percellantur animo. Insuper ut sciant quod voluntarius patiatur. Nam qui prænovit, et effugere potest, et non fugit : manifestum quod voluntarium se passionibus exponat. Seorsim autem assumit discipulos, et cum solis illis loquitur.

A τῷ καιρῷ τούτῳ, οἰκίας, καὶ ἀδελφοὺς, καὶ ἀδελφὰς, καὶ μητέρας, καὶ τέκνα, καὶ ἀγροὺς, μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ, ζωὴν αἰώνιον. Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι. » Ὁ Πέτρος εἰ καὶ ὀλίγα ἀφῆκεν, ἀλλ᾽ οὖν πάντα ὀνομάζει ταῦτα. Καὶ τὰ ὀλίγα γὰρ δεσμὸν προσπαθείας ἔχουσιν, ὥστε μακαριστὸς καὶ ὁ τὰ ὀλίγα ἀφείς· Τοῦ δὲ Πέτρου μόνου ἐρωτήσαντος, καθολικὸν ποιεῖται τὸν λόγον ὁ Κύριος, λέγων· Πᾶς ὃς ἀφῆκεν ἢ γυναῖκα ἢ πατέρα. ταῦτα δὲ λέγει, οὐχ ἵνα τοὺς πατέρας ἐῶμεν ἀβοηθήτους, καὶ τῶν γυναικῶν χωριζώμεθα, ἀλλὰ παιδεύων ἡμᾶς προτιμᾷν τὴν εἰς Θεὸν εὐσέβειαν πάντων τῶν σαρκικῶν Ἐπεὶ γὰρ πόλεμος ἀνήπτετο ἀπὸ τοῦ κηρύγματος, καὶ ἔμελλον πατέρας ἀρνεῖσθαι παῖδες διὰ τὴν εὐσέβειαν,

B φησίν· Ὅστις ἀφήσει τὰς σαρκικὰς συγγενείας, καὶ ἁπλῶς πάντα τὰ σωματικὰ ἕνεκεν τοῦ Εὐαγγελίου, ἑκατονταπλασίονα πάντα λήψεται ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. Ἆρα οὖν καὶ γυναῖκας ἑκατονταπλασίονας λήψεται; Ναί· κἂν ὁ κατάρατος Ἰουλιανὸς ἐκωμῴδει τοῦτο· εἰπέ μοι γὰρ, τί συμβάλλεται ἡ γυνὴ πρὸς τὴν οἰκίαν τοῦ ἀνδρός; Πάντως ἐπιμελεῖται τῆς τροφῆς τοῦ ἀνδρὸς, τῶν ἐνδυμάτων, καὶ πᾶσαν ἀφροντισίαν ἀπὸ τούτων ἄγει ὁ ἀνήρ. Ἴδε τοίνυν τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων, πόσαι γυναῖκες ἐφρόντιζον τῶν ἐνδυμάτων καὶ τῶν βρωμάτων αὐτῶν, καὶ διηκόνουν αὐτοῖς μηδενὸς φροντίζουσιν, εἰ μὴ μόνου τοῦ λόγου καὶ τῆς διδασκαλίας; Ὁμοίως καὶ πατέρας καὶ μητέρας πολλὰς εἶχον οἱ ἀπόστολοι, τοὺς ἀγαπῶν-

C τας πάντας καὶ φιλοστόργως πρὸς αὐτοὺς ἔχοντας, ἀλλὰ καὶ οἰκίαν μίαν ἀφεὶς ὁ Πέτρος, ὕστερον τὰς πάντων τῶν μαθητῶν αὐτοῦ οἰκίας εἶχε. Καὶ νῦν δὲ τοὺς ἁπανταχοῦ γῆς ναοὺς ἐπ᾽ ὀνόματι αὐτοῦ, οἰκίας ἔχει λαμπράς· καὶ τὸ μεῖζον, ὅτι μετὰ διωγμῶν ταῦτα πάντα κληρονομοῦσιν οἱ ἅγιοι, τουτέστι, διωκόμενοι, καὶ οὐκ εὐπαθοῦντες, ἀλλὰ θλιβόμενοι. Ὅθεν καὶ οἱ ἔσχατοι ἐν τῷ νῦν αἰῶνι δοκοῦντες διὰ τὸ θλίβεσθαι καὶ διώκεσθαι, ἔσονται πρῶτοι διὰ τὴν εἰς Θεὸν ἐλπίδα, ἀλλὰ καὶ οἱ Φαρισαῖοι, πρῶτοι ὄντες, ἐγένοντο ἔσχατοι. Οἱ δὲ ἀφέντες τὰ πάντα, καὶ ἀκολουθήσαντες τῷ Χριστῷ, ἐγένοντο πρῶτοι.

« Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα, καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμ-

D βοῦντο, καὶ ἀκολουθοῦντες ἐφοβοῦντο· καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα, ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν· ὅτι Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ Γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι, καὶ ἐμπαίξουσιν αὐτῷ, καὶ μαστιγώσουσιν αὐτὸν, καὶ ἐμπτύσουσιν αὐτῷ καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. » Τίνος ἕνεκεν προλέγει τὰ μέλλοντα αὐτῷ συμβαίνειν; Διὰ τὸ προομαλίσαι τῶν μαθητῶν τὴν διάνοιαν, ὡσὰν προακούσαντες, εὐφορώτερον ἐνέγκωσι, καὶ μὴ τῷ ἀθρόῳ καταπλαγῶσι, καὶ ὡσὰν εἰδεῖεν, ὅτι ἑκὼν πάσχει. Ὁ γὰρ προειδὼς καὶ δυνάμενος ἐκφυγεῖν,

μὴ φεύγων δὲ, πρόδηλον ὡς ἑκουσίως ἐκδίδωσιν A ἑαυτὸν τοῖς πάθεσιν. Ἰδίᾳ δὲ παραλαβὼν τοὺς μαθητὰς, μόνοις αὐτοῖς διαλέγεται. Μυστήριον γὰρ ὂν τὸ πάθος, τοῖς οἰκειοτέροις ἔδει ἀποκαλυφθῆναι. Διὰ τοῦτο γοῦν καὶ προλαμβάνει πάντας ἐν τῇ ὁδῷ, βουλόμενος ἀποχωρίσαι τοῦ ἄλλου πλήθους τοὺς μαθητὰς αὐτοῦ. Ἅμα καὶ διὰ τοῦ προάγειν πάντας καὶ προφθάνειν ἐν τῇ ὁδῷ, δεικνυσιν ὅτι προστρέχει τῷ πάθει, καὶ οὐκ ἀποφεύγει τὴν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας νέκρωσιν· πλὴν εἰ καὶ τὰ σκυθρωπὰ πάντα καταλέγει, ἀλλ' οὖν πάντων ἐκείνων παραμυθία μία, τὸ, Καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

« Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης, οἱ υἱοὶ Ζεβεδαίου, λέγοντες· Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν, ποιήσῃς ἡμῖν. Ὁ δὲ εἶπεν αὐτοῖς· Τί θέλετε ποιῆσαί με ὑμῖν; Οἱ δὲ εἶπον αὐτῷ· B Δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων σου καθήσωμεν ἐν τῇ δόξῃ σου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; Οἱ δὲ εἶπον αὐτῷ· Δυνάμεθα. » Ἄλλος εὐαγγελιστής φησιν ὅτι ἡ μήτηρ αὐτῶν προσῆλθε τῷ Χριστῷ. Εἰκὸς δὲ ἐστιν ἀμφότερα γενέσθαι· καὶ τοὺς ἀποστόλους αἰσχυνομένους προβαλέσθαι τὴν μητέρα αὐτῶν, εἶτα καὶ αὐτοὺς προσελθεῖν ἰδίᾳ· διὸ καὶ ὁ εὐαγγελιστὴς ἐπισημαίνεται τοῦτο, λέγων· Προσπορεύονται, ἀντὶ τοῦ, ἰδίᾳ προσέρχονται, τῶν ἄλλων ἀποχωρισθέντες. Τί δὲ ἦν ὃ ᾐτοῦντο, μάθωμεν. Ἐνόμιζον ὅτι τοῦτο ὃ ἀνέρχεται εἰς Ἱεροσόλυμα, διὰ τὸ βασιλεύσειν ἀνέρχεται αἰσθητὴν βασιλείαν. Καὶ μετὰ τὸ βασιλεῦσαι, τότε πείσεται C ἃ ἔμελλε παθεῖν. Ταῦτα οὖν ἐννοοῦντες, αἰτοῦνται καὶ τὴν ἐκ δεξιῶν καὶ τὴν ἐξ εὐωνύμων καθέδραν· διὸ καὶ ὁ Κύριος ἐπιτιμᾷ αὐτοῖς ὡς ἀνόητόν τι ζητοῦσιν. Οὐκ οἴδατε γὰρ, φησί, τί αἰτεῖσθε. Ὑμεῖς γὰρ νομίζετε αἰσθητὴν εἶναι τὴν ἐμὴν βασιλείαν, καὶ αἰσθητὴν τὴν καθέδραν αἰτεῖσθε. Οὐκ ἔστι δὲ τοῦτο· ἀλλὰ ταῦτα πάντα ὑπὲρ νοῦν εἰσι. Καὶ τὸ καθίσαι ἐκ δεξιῶν μου μέγα ἐστὶ, καὶ τὰς ἀγγελικὰς ὑπερβαῖνον τάξεις, καὶ ὑμεῖς μὲν ἐπὶ δόξαν κεχήνατε, ἐγὼ δὲ εἰς θάνατον ὑμᾶς καλῶ. Ποτήριον γὰρ καὶ βάπτισμα τὸν σταυρὸν ὀνομάζει· ποτήριον μὲν, ὡς εἰς ὕπνον εὐθὺς ἄγον καὶ ὡς ἡδέως ὑπ' αὐτοῦ προσδεχθέν· βάπτισμα δὲ, ὡς καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενον· οἱ δὲ, μὴ νοήσαντες τί λέγοι, ὑπέσχοντο, νομίζοντες λέγειν περὶ ποτηρίου αἰσθητοῦ, καὶ D βαπτίσματος οἵῳ ἐβαπτίζοντο οἱ Ἰουδαῖοι, πρὸ τοῦ φαγεῖν πλυνόμενοι.

« Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω, πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε. Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. » Τὸ μὲν μαρτύριον, φησὶν, ὑπεισελεύσεσθε, καὶ ἀποθανεῖσθε τὸν ὑπὲρ τῆς ἀληθείας θάνατον. Τὸ δὲ καθίσαι, οὐκ ἔστιν ἐμὸν δοῦναι. Ἐνταῦθα δὲ δύο τινὰ ζητοῦνται. Ἓν μὲν τόδε. Ἆρα ἡτοίμασταί τινι τὸ καθίσαι; ἕτερον δὲ, ἆρα ὁ πάντων Δεσπότης οὐ δύναται ταύτην τὴν καθέδραν δοῦναι; Λέγομεν οὖν ὅτι οὐδεὶς ἐκ δεξιῶν καθίσει ἢ ἐξ ἀριστερῶν. Ἀλλὰ κἂν πολλαχοῦ τῆς Γραφῆς καθ-

A Secretum enim mystarium erat passio, quod familiarioribus duntaxat revelandum erat, et propterea in via omnes præcedit, volens a multitudine segregare discipulos. Insuper per hoc quod omnes præcedit et prævenit in via, ostendit quod ad passionem accurrat, et non fugiat mortem propter nostram salutem. Quamvis autem multa enumerat aspera, omnium tamen illorum sufficiens consolatio est unum hoc, quod tertia die resurget.

Vers. 35-39. « Et accedunt ad eum Jacobus et Joannes, filii Zebedæi, dicentes : Præceptor, volumus ut quidquid petierimus, facias nobis. Ille vero dicit eis : Quid me vultis facere vobis? Illi vero dixerunt ei : Da nobis ut unus tibi a dextris, et alter tibi a sinistris sedeamus in gloria tua. Jesus autem dixit iilis : Nescitis quid petatis. Potestis bibere poculum quod ego bibo, et baptismate quo ego baptizor baptizari ? At illi dixerunt ei : Possumus. » Alius evangelista dicit quod mater illorum accesserit ad Christum. Verisimile autem est utrumque factum, et apostolos pudore quodam matrem præmisisse, et deinde ipsos seorsim adiisse : idcirco et evangelista assignat hoc, dicens : Accedunt, hoc est, seorsim adeunt, ab aliis segregati Quid igitur fuerit quod petierunt, discamus. Cogitabant quod ascenderet in Hierosolyma ut regnaturus temporali quodam regno, et postquam regnasset, passurus esset ea de quibus dicebat. Talia secum cogitantes, petiverunt sedem et a dextris et a sinistris : idcirco et Dominus increpat eos tanquam stultum quiddam petentes. Nescitis enim, inquit, quid petatis. Vos enim creditis sensibile quoddam meum regnum esse, et temporalem sedem petitis : at res non ita se habet, sed omnia hæc supra mentem hominis sunt. Et sedere a dextris meis, magnum est, et quod excellit etiam angelicos ordines: 228 et vos quidem ad gloriam festinatis, ego autem ad mortem vos voco. Poculum enim et baptisma crucem nominat. Poculum quidem, quod statim somnum conciliet, et quod ab ipso magna cum suavitate sumatur; baptisma autem, quod futura esset peccatorum purificatio. Et hi non intelligentes quid diceret polliciti sunt. Opinabantur enim eum loqui de poculo sensibili, et baptismate quo baptizabantur Judæi cum ante cibum se lavarent.

Vers. 39, 40. « Jesus autem dixit illis : Poculum quidem quod ego bibo, bibetis : et baptismate quo ego baptizor, baptizabimini: cæterum sedere mihi a dextris ac sinistris, non est meum dare, sed iis continget quibus paratum est. » Ad martyrium quidem, inquit, pervenietis, et moriemini pro veritate : at sedere a dextris ac sinistris, non est meum dare. Hoc loco duo quæri solent : Primo, num cuipiam paratum sit sedere : deinde an omnium Dominus non possit sedem istam dare? Dicimus igitur, quod nullus a dextris sedebit aut a sinistris. Et cum sæpe in Scripturis audieris cathe-

dram, non cathedram intelligas, sed excellentem dignitatem. Quod autem non sit meum dare, hoc talem habet sensum : Non est meum, hoc est, justi judicis, dare vobis ad gratiam dignitatem istam, non enim justus essem; sed his qui laboraverint, præparata est dignitas illa : quemadmodum si justus rex præsideret certamini cuipiam, et deinde accedant ad illum quidam amici ejus, et dicant : Da nobis coronas : dicet utique, Non est meum dare, sed si quis certaverit et vicerit, illi præparata est corona. Et ita etiam vos, o filii Zebedæi, martyres quidem eritis propter me : si autem quis inventus fuerit cum martyrio omnes alias virtutes possidere amplius quam vos, ille vos præcedet

VERS. 41-45. « Et cum audissent decem, cœperunt indignari super Jacobo et Joanne. Jesus autem cum vocasset eos ad se, dicit illis : Scitis quod qui videntur imperare gentibus, dominium exercent adversus illas : et qui magnates sunt inter eas, potestatem exercent in illas. Verum non sic erit inter vos : sed quicunque voluerit fieri magnus inter vos, erit vobis minister : et quicunque voluerit ex vobis esse primus, erit omnium servus. Nam et Filius hominis non venit ut sibi ministraretur, sed ut ipse ministraret, ac daret animam suam redemptionem pro multis. » Discipuli adhuc humanis affectionibus et invidia laborabant : ideo et indignantur adversus duos. Sed quando? Cum vidissent eos non susceptos esse a Domino, sed quasi repulsam passos, tunc indignati sunt. Quandiu enim a Domino honorabantur, ferebant non indignantes, quamvis viderent eos præferri : cum autem nunc ipsi honorem sibi deposcunt, non ferunt alii. Cæterum nunc quidem ita imperfecte se gerunt, postea autem videbis eos mutuum sibi de primatu cedere. At Christus sanat illos, et primum demulcet illos propius ad se vocando. **229** Hoc enim significat quod dicit : Cum vocasset eos ad se. Deinde monstrat quod rapere honorem, et ambire dignitates, gentium sit. Principes enim gentium magna potestate et auctoritate efferuntur : discipuli autem mei non sic : sed qui vult esse magnus, ministret omnibus : quoniam et hoc magnæ animæ est, omnia ferre, et omnibus servire. Et exemplum in promptu erat. Etenim Filius hominis non venit ut sibi ministraretur, sed ut ipse ministraret, et daret animam suam redemptionem pro multis, quod majus est quam ministrare. Quando enim quis non solum ministraverit, sed et mortuus fuerit pro eo cui ministrat, quid illo majus et admirabilius? Attamen ministerium illud et condescensio, exaltatio fuit ac gloria tam sua quam omnium. Etenim priusquam factus est homo, tantum ab angelis agnoscebatur: postquam autem factus est homo et crucifixus, non solum illam gloriam habet, sed et aliam accepit, et in toto regnat orbe.

VERS. 46-52. « Et veniunt Hiericho : cumque egrederetur ab urbe Hiericho, ac discipuli illius, et turba copiosa, filius Timæi Bartimæus cæcus sede-

A ἕδραν ἀκούσης, μὴ καθέδραν νόει, ἀλλὰ τιμὴν ὑπερβάλλουσαν. Τὸ δὲ, Οὐκ ἔστιν ἐμὸν δοῦναι, τοιοῦτον ἔχει τὸν νοῦν· Οὐκ ἔστιν ἐμοῦ τοῦ δικαίου κριτοῦ, τὸ δοῦναι ὑμῖν κατὰ χάριν τὴν τιμὴν ταύτην· οὐ γὰρ ἂν δίκαιος εἴην· ἀλλὰ τοῖς ἀγωνισαμένοις, ἐκείνοις ἡτοίμασται ἡ τιμὴ αὕτη, ὥσπερ ἂν εἰ βασιλεὺς δίκαιος προεκάθητο ἀγῶνός τινος, εἶτα προσέλθοιεν αὐτῷ τινες φίλοι αὐτοῦ, καὶ εἴποιεν· Δὸς ἡμῖν τοὺς στεφάνους, εἶπεν ἄν, Οὐκ ἔστιν ἐμὸν τὸ δοῦναι, ἀλλ' εἴ τις ἀγωνίσεται καὶ νικήσει, ἐκείνῳ ἡτοίμασται ὁ στέφανος· ὥστε καὶ ὑμεῖς, οἱ τοῦ Ζεβεδαίου παῖδες, μαρτυρήσετε μὲν ὑπὲρ ἐμοῦ, ἐὰν δέ τις εὑρεθείη μετὰ τοῦ μαρτυρίου, καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν ἔχων ὑπὲρ ὑμᾶς, ἐκεῖνος προάξει ὑμᾶς.

« Καὶ ἀκούσαντες οἱ δέκα, ἤρξαντο ἀγανακτεῖν
B περὶ Ἰακώβου καὶ Ἰωάννου. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, λέγει αὐτοῖς· Οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν· καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. Οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν. Ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος. Καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος. Καὶ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. » Ἔτι ἀνθρωπίνως, διακείμενοι οἱ μαθηταὶ καὶ φθόνῳ ἐβάλλοντο. Διὸ καὶ ἀγανακτοῦσι κατὰ τῶν δύο. Ἀλλὰ πότε; Ὅτε εἶδον αὐτοὺς μὴ προσδεχθέντας ὑπὸ τοῦ Κυρίου, ἀλλ' ὡσανεὶ ἀποσθέντας, τότε ἀγανακτοῦσιν. Ἄχρι μὲν γὰρ ἐτι-
C μῶντο ὑπὸ τοῦ Κυρίου, ἠνείχοντο μὴ ἀγανακτοῦντες, καίτοι ὁρῶντες αὐτοὺς προτιμωμένους· ἐπειδὴ δὲ ἐνταῦθα αὐτοὶ ἐκεῖνοι τὴν τιμὴν ᾐτήσαντο, οὐ φέρουσι λοιπὸν οἱ λοιποί. Ἀλλὰ νῦν μὲν οὕτως εἶχον ἀτελῶς, ὕστερον δὲ ὄψει αὐτοὺς καὶ τῶν πρωτείων ἀλλήλοις παραχωροῦντας· ἀλλ' ὁ Χριστὸς θεραπεύει αὐτοὺς πρῶτον μὲν, καταπραΰνων αὐτοὺς τῷ ἐγγὺς αὐτοῦ προσαγαγέσθαι. Τοῦτο γὰρ σημαίνει τὸ, προσκαλεσάμενος. Ἔπειτα τῷ δεῖξαι, ὅτι τὸ ἁρπάζειν τὴν τιμὴν, καὶ τῶν πρωτείων ἐρᾷν, ἐθνικόν ἐστιν. Οἱ γὰρ τῶν ἐθνῶν ἄρχοντες, ἐκεῖνοι ἐξουσιαστικῶς καὶ τυραννικῶς προσφέρονται. Οἱ δὲ ἐμοὶ μαθηταὶ οὐχ οὕτως, ἀλλ' ὁ θέλων εἶναι μέγας, διακονείτω πᾶσιν, ἐπεὶ καὶ τοῦτο μεγάλης ψυχῆς, τὸ πάντων ἀνέχεσθαι καὶ πᾶσι δουλεύειν. Καὶ τὸ παράδειγμα
D ἐγγύθεν· καὶ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν, ὃ μεῖζόν ἐστι τοῦ διακονῆσαι· ὅταν γάρ τις οὐ μόνον διακονήσῃ, ἀλλὰ καὶ ἀποθάνῃ ὑπὲρ τοῦ διακονουμένου, τί τούτου μεῖζον ἢ θαυμασιώτερον; Ἀλλ' ὅμως ἡ διακόνησις αὕτη καὶ ἡ συγκατάβασις ὕψωσις καὶ δόξα γέγονε καὶ αὐτοῦ καὶ πάντων. Πρὶν μὲν γὰρ γενέσθαι ἄνθρωπος, παρ' ἀγγέλοις ἐγνωρίζετο μόνοις. Ἐπειδὴ δὲ ἄνθρωπος ἐγένετο καὶ ἐσταυρώθη, οὐ μόνην ἐκείνην τὴν δόξαν ἔχει, ἀλλὰ καὶ ἑτέραν προσέλαβε, καὶ πάσης τῆς οἰκουμένης βασιλεύει.

« Καὶ ἔρχονται εἰς Ἱεριχὼ, καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἱεριχῶ, καὶ τῶν μαθητῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ, υἱὸς Τιμαίου Βαρτίμαιος ὁ τυφλὸς

ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν. Καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν, ἤρξατο κράζειν καὶ λέγειν· Ὁ υἱὸς Δαβὶδ Ἰησοῦ, ἐλέησόν με. Καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ. Ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαβὶδ, ἐλέησόν με. Καὶ στὰς ὁ Ἰησοῦς, εἶπεν αὐτὸν φωνηθῆναι· καὶ φωνοῦσι τὸν τυφλὸν, λέγοντες αὐτῷ· Θάρσει, ἔγειρε, φωνεῖ σε. Ὁ δὲ, ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ, ἀναστὰς ἦλθε πρὸς τὸν Ἰησοῦν. Καὶ ἀποκριθεὶς λέγει αὐτῷ ὁ Ἰησοῦς· Τί θέλεις ποιήσω σοι; Ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ· Ῥαββουνὶ, ἵνα ἀναβλέψω. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ὕπαγε, ἡ πίστις σου σέσωκέ σε. Καὶ εὐθέως ἀνέβλεψε καὶ ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ.» Ὁ δὲ Ματθαῖος δύο τυφλοὺς λέγει· ἐνδέχεται δὲ δύο μὲν εἶναι τοὺς ἰαθέντας, τὸν δὲ ἐπιφανέστερον αὐτῶν τοῦτον εἶναι τὸν νῦν παρὰ τῷ Μάρκῳ μνημονευόμενον. Ὅρα δὲ πῶς τιμῶσι τὸν Ἰησοῦν καὶ οἱ ὄχλοι, ὥστε ἐπιτιμᾷν τῷ τυφλῷ βοῶντι, ὡσανεὶ τινος βασιλέως παροδεύοντος. Ἐρωτᾷ δὲ αὐτὸν ὁ Κύριος, ἵνα μήτις εἴπῃ ὅτι ἄλλα βουλομένῳ ἄλλα δίδωσιν ὁ Κύριος. Εὐγνώμων δὲ ψυχὴ τοῦ τυφλοῦ· ὅσγε μετὰ τὸ θεραπευθῆναι οὐκ ἀφῆκε τὸν Κύριον, ἀλλ' ἠκολούθει αὐτῷ. Δύναται δὲ καὶ ἀναγωγικῶς νοηθῆναι τοῦτο· Ἱεριχὼ ὁ τόπος οὗτος ὁ κάτω. Τυφλὸς δὲ καθήμενος ἐνταῦθα ἡ φύσις ἡ ἀνθρωπίνη, ἥτις υἱὸς ἦν τοῦ ὑπὲρ πᾶσαν τιμὴν Θεοῦ. Αὕτη τοίνυν ἔκραζε τῷ Ἰησοῦ διὰ τῆς Ἱεριχὼ, τουτέστι τοῦ βίου τούτου, ὁδεύοντι. Ἠλέησε δὲ αὐτὴν καὶ διὰ τῆς πίστεως ἔσωσεν, ἐκδυσαμένην τὸ παλαιὸν ἱμάτιον τῆς ἁμαρτίας. Σωθεῖσα δὲ ἠκολούθησεν αὐτῷ, ἐργαζομένη τὰς ἐντολὰς ἐν τῇ ὁδῷ, τουτέστιν ἐν τῷ βίῳ τούτῳ. Ἐνταῦθα γάρ ἐστιν ἀκολουθῆσαι τῷ Χριστῷ· μετὰ δὲ ταῦτα ἀποκλείονται πάντες τοῦ ἐργάζεσθαι τὰς ἐντολάς.

### ΚΕΦΑΛ. ΙΑ'.

Περὶ τοῦ πώλου. Περὶ τῆς ξηρανθείσης συκῆς. Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ τραπεζιτῶν. Περὶ τοῦ θάρσους πρὸς τὸν Θεόν. Περὶ τῆς ἀμνησικακίας. Περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον ἀρχιερέων καὶ πρεσβυτέρων.

Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλὴμ, εἰς Βεθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· Ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν· καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν, εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς ἀνθρώπων κεκάθικε. Λύσαντες αὐτὸν ἀγάγετε, καὶ ἐάν τις ὑμῖν εἴπῃ· Τί ποιεῖτε τοῦτο; εἴπατε ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει, καὶ εὐθέως αὐτὸν ἀποστελεῖ ὧδε. Ἀπῆλθον δὲ, καὶ εὗρον πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω, ἐπὶ τῆς ἀμφόδου, καὶ λύουσιν αὐτόν. Καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς· Τί ποιεῖτε λύοντες τὸν πῶλον; Οἱ δὲ εἶπον αὐτοῖς, καθὼς ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς.» Πολλάκις μὲν καὶ ἄλλοτε ἦλθεν εἰς Ἱεροσόλυμα· ἀλλ' οὐδέποτε μετὰ τοσαύτης περιφανείας, μεθ' ὅσης νῦν. Πρώην μὲν γὰρ ἐκρύπτετο διὰ τὸν φθόνον αὐτῶν· νῦν δὲ, ἐπειδὴ τοῦ πάθους ἐφέστηκεν ὁ καιρὸς, ὃν αὐτὸς ἑαυτῷ ὥρισε, λαμπρότερον ἔρχεται, ἵνα ἐὰν μὲν θέλωσι, συνήσωσι τὴν δόξαν αὐτοῦ, καὶ ἀπὸ τῶν ἐπ' αὐτῷ προ-

A bat juxta viam mendicans. Et cum audisset quod Jesus Nazarenus esset, cœpit clamare et dicere : Fili David Jesu, miserere mei. Et increpabant illum multi ut taceret. At ille multo magis clamabat : Fili David, miserere mei. Et stetit Jesus, ac jussit illum vocari; ut vocant cæcum, dicentes illi : Bono animo esto : surge, vocat te. Ille vero abjecto pallio suo surrexit, et venit ad Jesum. Et respondens dicit illi Jesus : Quid vis faciam tibi? Cæcus autem dixit ei : Rabboni, ut visum recipiam. Jesus autem dixit illi : Abi, fides tua salvum te reddidit. Ac protinus recepit visum, et sequebatur Jesum in via.» Matthæus duos cæcos narrat : et fieri potest duos quidem esse sanatos, hunc autem ex illis clariorem
B fuisse, cujus nunc mentionem facit Marcus. Vide autem quomodo turbæ Jesum venerantur, ita ut increparent cæcum clamantem, quasi rex quispiam præteriret. Porro Jesus illum interrogat, ut ne quis putet quod ille alia voluerit, Christus autem alia dederit. Grati autem animi cæcus erat, qui postquam sanatus est, Jesum non dimisit, sed secutus est illum. Jam et per anagogen intelligere possumus : Jericho locus iste inferior est : cæcus autem qui sedet hoc loco, humana est natura, quæ filius erat Dei, qui omnem superat dignitatem. Ista igitur clamabat ad Jesum, per Hiericho, id est hunc vitam, euntem. Misericordia autem motus erga illam, et propter fidem, salvam eam fecit, ubi vetus peccati vestimentum exuit. Servata autem secuta est illum, faciendo mandata
C in via, hoc est in hac vita. Hic enim possumus sequi Christum : postea autem excluduntur omnes a mandatorum operatione.

### CAPUT XI.

**380** *De pullo. De arefacta ficu. De fugatis e templo trapezitis. De fiducia in Deum. De injuriarum oblivione. De principibus sacerdotum, et presbyteris Dominum interrogantibus.*

VERS. 1-6 « Et cum appropinquant Hierosolymis ad Bethphage et Bethaniam juxta montem Olivarum, emittit duos e discipulis suis, et dicit illis : Abite in vicum qui contra vos est, et statim ingredientes in illum, invenietis pullum alligatum, supra quem nullus hominum sedit : solvite eum, et adducite : et si quis vobis dixerit, Cur facitis hoc? di-
D cite quod Dominus eo opus habet: et continuo illum mittet huc. Abierunt autem, et invenerunt pullum alligatum juxta januam foris in bivio et solvunt illum. Et nonnulli eorum qui illic stabant, dicebant illis: quid facitis solventes pullum? At illi dixerunt eis quemadmodum ipsis præceperat Jesus, et sinebant illos. » Sæpe etiam alias venit Hierosolymam, sed nunquam cum tanta majestate, quanta nunc. Prius quidem delitescebat propter invidiam illorum: nunc autem, quia passionis tempus aderat, quod ipse sibi præfiniverat, clarior venit : ut si velint, gloriam ejus intelligant, et ex prophetiis quæ in ipso impletæ erant, agnoscant eum esse Deum verum; sin

nolint, in majorem condemnationem eorum sit, quod etiam tam claris miraculis non crediderint. Vide enim quot sint hic miracula quæ eis hoc loco dixerit. Dixit eis : Invenietis pullum; dixit eos prohibitum iri, et deinde cum dicerent : Dominus illo opus habet, dixit dimittendum. Neutiquam enim hoc parum fuisset apostolis permitti ut abducant pullum, nisi divina quædam virtus dominos pulli adegisset, præsertim pauperes, et agricolas fortassis, ut animal illud dimitterent. Attamen disce Dominum id non sine causa fecisse: neque enim opus habebat pullo, qui toties Judæam et Galilæam peragraverat : sed monstrabat quod super populum gentium sessurus esset, qui tum incredulus erat et ineruditus, et vinctus peccatis suis in bivio, hoc est vita hac, apud januam, quæ est extra Ecclesiam. Solutus est autem ab apostolis per baptismum et fidem : et vectus est in eo Dominus, cum apostoli vestimenta sua, hoc est, omnem qui est ex virtute decorem imposuissent. Prius enim nudi erant gentiles et deformes, patrantes nefaria : postquam autem ab apostolis adducti fuerunt, tunc honeste didicerunt ambulare, et propterea etiam in ipsis fertur gestatus Christus. Quoniam autem fuerunt, qui prius erant domini pulli, qui apostolos prohiberent; nonne omnino 231 dæmones ? Sane et his apostoli prævaluerunt.

A φητειῶν τελειουμένων ἐπιγνῶσιν ὅτι ἀληθὴς Θεός ἐστιν. Εἰ δὲ μὴ θελήσωσι συνιέναι, εἰς κατάκριμα μεῖζον αὐτοῖς εἴη, ὅτι οὐδὲ μετὰ τοσαῦτα λαμπρὰ θαύματα ἐπίστευσαν. Ὅρα γὰρ πόσα ἐνταῦθα σημεῖα. Εἶπεν αὐτοῖς, ὅτι Εὑρήσετε πῶλον. Εἶπεν ὅτι κωλυθήσονται, εἶτα εἰπόντες, ὅτι Ὁ Κύριος χρήζει αὐτοῦ, ἐαθήσονται. Οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρόν ἐστι, τὸ συγχωρηθῆναι τοὺς ἀποστόλους ἀπάγειν τὸν πῶλον, ὅπερ οὐκ ἂν ἐγένετο εἰ μὴ θεία τις ἀνάγκη ἐπέκειτο τοῖς κυρίοις τοῦ πώλου ἀναγκάζουσα αὐτοὺς, καίτοι πένητας ὄντας καὶ γεωργοὺς τυχὸν, ἀφεῖναι τὸ ζῶον. Πλὴν μάνθανε, ὅτι οὐ μάτην τοῦτο ἐποίησεν ὁ Κύριος. Οὐδὲ γὰρ ἔχρῃζε τοῦ πώλου, ὁ πολλάκις τὴν Γαλιλαίαν καὶ τὴν Ἰουδαίαν ἅπασαν ἐκπεριϊών (74). ἀλλὰ δεικνύων ὅτι ἐπὶ τὸν ἐθνικὸν λαὸν ἐπιβήσεται, B ὃς ἀπειθὴς μὲν ἦν καὶ ἀπαίδευτος, ἐδέδετο δὲ ταῖς οἰκείαις ἁμαρτίαις ἐν τῇ ἀμφόδῳ, τουτέστι τῷ βίῳ τούτῳ, πρὸς τὴν θύραν, ἤγουν ἔξω τῆς Ἐκκλησίας. Ἐλύθη δὲ παρὰ τῶν μαθητῶν διὰ τοῦ βαπτίσματος καὶ τῆς πίστεως· καὶ ἐπωχήθη αὐτῷ ὁ Κύριος, ἐπιθέντων τῶν ἀποστόλων τὰ ἱμάτια αὐτῶν, τουτέστι πᾶσαν εὐσχημοσύνην τὴν ἐξ ἀρετῆς. Πρώην μὲν γὰρ γυμνοὶ ὄντες οἱ ἐξ ἐθνῶν ἀσχήμονες ἦσαν, πράττοντες ἄθεσμα. Ἐπεὶ δὲ ὑπὸ τῶν ἀποστόλων ἤχθησαν, τότε δὲ τότε εὐσχημόνως ἔμαθον περιπατεῖν, καὶ διὰ τοῦτο καὶ ἐπ' αὐτῶν φέρεται ὁ Χριστὸς βασταζόμενος. Τίνες δὲ ἦσαν οἱ πρώην δεσπόται τοῦ πώλου οἱ κωλύοντες τοὺς ἀποστόλους, ἢ πάντως οἱ δαίμονες; Ἀλλὰ καὶ τούτων ἐπικρατέστεροι γίνονται οἱ ἀπόστολοι.

Vers. 7-10. « Et adduxerunt pullum ad Jesum, et injecerunt illi vestimenta sua, seditque super illum. Multi vero vestimenta sua sternebant in viam, alii vero frondes incidebant ex arboribus, et sternebant in viam. Et qui præcedebant quique sequebantur clamabant dicentes : Hosanna, benedictus qui venit in nomine Domini. Benedictum quod venit regnum, in nomine Domini patris nostri David : Hosanna in altissimis. » Multitudo quandiu incorrupta manet, agnoscit quantum opus erat : ideo et singuli pro viribus suis Jesum venerantur. Laudantes autem quid dixerint, videamus. A David sane hymnum illum sumpsere. Porro Hosanna juxta quosdam significat, salva, obsecro : juxta quosdam vero, hymnum. Rectius tamen est quod primo dictum. Habetur enim in centesimo decimo septimo psalmo, O Domine, salva, obsecro : id quod in Hebraico Hosanna scriptum est. Regnum autem David regnum Christi dicebant, tum quod a semine David deductus esset Christus, tum quod David interpretari quis potest, potentem vel idoneum manu. Quis autem alius manu usque adeo validus et potens ut Dominus, cujus manus tanta miracula sunt operatæ ? Cæterum sternamus et nos vestimenta nostra, hoc est carnem. Vestis enim animæ, caro, quam subjiciamus Domino, et sternamus viam vitæ nostræ : deputantes, et incidentes ab arboribus ramos, hoc est, sanctorum vitas imitemur. Arbores

C « Καὶ ἤγαγον τὸν πῶλον πρὸς τὸν Ἰησοῦν, καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ' αὐτόν. Πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν· ἄλλοι δὲ στιβάδας ἔκοπτον ἐκ τῶν δένδρων, καὶ ἐστρώννυον εἰς τὴν ὁδόν. Καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες. Ὡσαννὰ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι Κυρίου τοῦ πατρὸς ἡμῶν Δαβίδ· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. » Τὸ πλῆθος μέχρις ἂν ἀδιάφθορον μένῃ, ἐπιγνώσκει τὸ δέον. Διὰ καὶ τιμῶσι τὸν Ἰησοῦν ἕκαστος ὡς εἶχε δυνάμεως. Οἱ δὲ ὑμνοῦντες τί ἔλεγον, ἴδωμεν. Ἐκ τοῦ Δαβὶδ μὲν τὸν ὕμνον τοῦτον ἔλαβον. Τὸ δὲ Ὡσαννὰ, κατὰ μέν τινας σημαίνει, σῶσον δὴ, κατὰ D δέ τινας σημαίνει, ὕμνος. Πλὴν, κρεῖττον τὸ πρῶτον. Ἐν γὰρ τῷ ἑκατοστῷ ἑπτακαιδεκάτῳ ψαλμῷ κεῖται· Ὦ Κύριε, σῶσον δή· ὅπερ ἐν τῷ Ἑβραϊκῷ Ὡσαννὰ γέγραπται. Βασιλείαν δὲ Δαβὶδ τὴν βασιλείαν τοῦ Χριστοῦ ἔλεγον, ἅμα μὲν διότι καὶ ἀπὸ τοῦ σπέρματος τοῦ Δαβὶδ κατήγετο ὁ Κύριος, ἅμα δὲ, ὅτι Δαβὶδ ἑρμηνεύεται, δυνατὸς χειρὶ, ἤτοι ἱκανὸς χειρί. Τίς δὲ ἄλλος ἱκανὸς χειρὶ, εἰ μὴ ὁ Κύριος, οὗ αἱ χεῖρες τοσαῦτα θαύματα ἐνήργησαν; Ἀλλὰ γὰρ στρώσωμεν καὶ ἡμεῖς τὰ ἱμάτια ἡμῶν, ἤτοι τὴν σάρκα (ἱμάτιον γὰρ ἡ σὰρξ τῆς ψυχῆς), καὶ ὑποτάξωμεν ταύτην τῷ Κυρίῳ. Καὶ στρώσωμεν τὴν ὁδὸν τοῦ ἡμετέρου βίου, κόπτοντες ἐκ τῶν δένδρων κλάδους, τουτέστι, τοὺς τῶν ἁγίων βίους μιμούμε-

Ex collatione codd. Venet. S. Marci.

(74) Ἐκπεριϊὼν πεζῇ, cod. 26, 30 et 31.

νοι. Δένδρα γὰρ οἱ ἅγιοι, ἀφ' ὧν κόπτει κλάδους ὁ A μιμούμενος τὴν ἐκείνων ἀρετήν. Ἀλλὰ καὶ αἱ προάγουσι καὶ αἱ ἀκολουθοῦσαι πράξεις ἡμῶν εἰς δόξαν Θεοῦ ἔστωσαν. Τινὲς γὰρ ἐν μὲν τῷ προάγοντι βίῳ καλὴν ἀρχὴν ἐνεδείξαντο, ὁ δὲ ἀκολουθῶν βίος, ὁ ὕστερον λέγω, οὐκ ἦν τοιοῦτος, οὐδὲ εἰς δόξαν Θεοῦ (75).

« Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς, καὶ εἰς τὸ τὸ ἱερόν. Καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα, καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν· ἀπὸ Βηθανίας, ἐπείνασε, καὶ ἰδὼν συκῆν ἀπὸ μακρόθεν, ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ, καὶ ἐλθὼν ἐπ' αὐτὴν, οὐδὲν εὗρεν, εἰ μὴ φύλλα. Οὐ γὰρ ἦν καιρὸς σύκων. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, B εἶπεν αὐτῇ· Μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι. Καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ. » Εἰσῆλθε μὲν εἰς τὸ ἱερὸν ὁ Ἰησοῦς, ἀλλὰ πάλιν ἐξῆλθε (76), δεικνύων ὅτι ἐγκαταλιμπάνει αὐτὸ ἤδη ἔρημον καὶ εἰς διαρπάγην. Ἐξέρχεται δὲ εἰς Βηθανίαν· ὃ ἑρμηνεύεται οἶκος ὑπακοῆς. Τοὺς γὰρ ἀνυποτάκτους καὶ σκληροκαρδίους ἀφεὶς Ἰουδαίους, ἐπὶ τοὺς ὑπακούοντας αὐτῷ ἔρχεται μετὰ τῶν μαθητῶν. Ἴδωμεν δὲ καὶ τὰ περὶ τὴν συκῆν· φαίνονται γὰρ ἄτοπα πολλὰ προκύπτοντα. Πρῶτον μὲν, εἰ ἐπείνασε πρωίας· ἔπειτα, εἰ καιροῦ μὴ ὄντος σύκων, ἀπῄτει καρπούς· ἔτι δὲ, τίς ὁ λόγος ἀναίσθητον φυτὸν τιμωρηθῆναι. Λέγουσιν οὖν ὅτι οἰκονομία ἐστὶ τὸ πᾶν τοῦτο. Ἐπεὶ γὰρ συχνάκις μὲν ἐποίει θαύματα, ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων, οὐκ εἶδον δὲ οἱ C μαθηταὶ τὴν δύναμιν αὐτοῦ ἐπὶ κακώσει τινὸς, τούτου ἕνεκεν ἐνταῦθα θέλων ἐπιδεῖξαι τοῖς μαθηταῖς ὅτι καὶ κακῶσαι δύναται, καὶ εἰ βούλεται τοὺς μέλλοντας αὐτὸν σταυρῶσαι ἐν μιᾷ καιροῦ ῥοπῇ ἀφανίσει, εἰς τὸ ἀναίσθητον δένδρον ἐπιδείκνυται τὴν δύναμιν. Ὃ καὶ θαῦμα μέγα ἐστί· πῶς ὁ οὕτως ὑγρὸν δένδρον ἀθρόως ἐξηράνθη. Ὑγρότερον γὰρ σχεδὸν πάντων ἡ συκῆ. Πρωίας δὲ πεινᾷ οἰκονομικῶς παραχωρῶν τῇ σαρκὶ, καὶ καρπὸν ζητεῖ ἐκ τῆς μὴ ἐχούσης καιρὸν καρποῦ, ἵνα, ὥσπερ εἶπον ἄνωθεν, ἐπιδείξηται τοῖς μαθηταῖς, ὅτι καὶ κολάζειν δύναται (77). Ἔχει δὲ ἡ συκῆ αὕτη καὶ τύπον τῆς Ἰου-

enim sunt sancti, a quibus ramos secant, qui illorum imitantur virtutem. Opera item nostra, et quæ præcedunt et quæ sequuntur, sint in gloriam Dei. Sunt etenim qui vitam honestam principio præ se ferunt, quorum vita subsequens longe dissimilis est, neque in gloriam Dei.

Vers. 11-14. « Et ingressus est Hierosolymam Dominus, et in templum. Et cum circumspexisset omnia, jamque tempus esset vespertinum, egressus est in Bethaniam cum duodecim: et postero die cum exissent in Bethania, esuriit, cumque vidisset arborem fici procul habentem folia, veniebat si scilicet inventurus esset aliquid in illa: et cum venisset ad illam, nihil invenit nisi folia Non enim erat tempus ficorum. Et respondens Jesus dixit ficui: Ne posthac ex te in æternum quisquam edat fructum Et audiebant discipuli illius. » Ingressus quidem est Hierosolymam: sed iterum exiit, ostendens quod relicturus esset eam desertam et in direptionem. Et egreditur in Bethaniam, quam vertunt interpretes, domum obedientiæ. Judæis enim inobedientibus et duris corde relictis, venit cum discipulis ad eos qui sibi obedierunt. Videamus autem et quæ de ficu dicuntur. Emergunt enim et apparent quædam absurda. Primum quidem quod esurierit mane: deinde quod cum non esset tempus fructuum, fructum quæsierit: adhæc qua ratione plantam insensatam **232** punierit. Dicunt igitur omnia hæc singulari dispensatione facta. Nam quoniam sæpe miracula fecit benefaciendo hominibus, non viderant autem discipuli potentiam ejus si quem vellet affligere: ejus gratia hic vult ostendere discipulis quod et affligere, et eum crucifixuros in uno momento perdere potuisset, si voluisset: ideo in arbore insensata ostendit virtutem suam quæ res magna ac mira est, quod arbor succulenta tam subito exaruerit: humidior enim ferme omnibus est ficus. At quod mane esurit, id dispensatione quadam permittit carni: ac fructum quærit ex ea quæ non habebat fructus tempus: ut id quod supra dixi, ostendat discipulis,

**Ex collatione codd. Venet. S. Marci.**

(75) Οὐδὲ εἰς δόξαν Θεοῦ τελούμενος, cod. 31.

(76) Cod. 26: Εἰσῆλθε μὲν εἰς τὸ ἱερὸν ὁ Ἰησοῦς, καὶ περιεβλέψατο πάντα τὰ ἐν τῷ ἱερῷ, διδοὺς καιρὸν διερθώσεως τοῖς καταφρονηταῖς. Ὕστερον δὲ ἐλθὼν, αὐστηρότερον μετῆλθεν αὐτοὺς, ὡς ἀδιορθώτους. Τέως εἰσελθὼν εἰς τὸ ἱερὸν, πάλιν ἐξῆλθε, κ. τ. λ. « Ingressus autem in templum Jesus, circumspexit omnia quæ erant, ut contemptoribus emendationis tempus daret. Postea vero veniens, asperiorem se in illos, velut incorrigibiles, præbuit. Tandem ingressus in templum, iterum exiit, etc. »

(77) Cod. 26 addit: Ὁ δὲ χρυσοῦς τὴν γλῶτταν φησιν, ὅτι ἀπῆλθεν εἰς τὴν συκῆν ὁ Χριστὸς, οὐχὶ σῦκα ζητῶν· πῶς γὰρ, ἐπεὶ οὔπω καιρὸς ἦν, ὥς φησιν ὁ παρὼν εὐαγγελιστής. Εἰ δὲ αὐτὸς οὗτος ὁ εὐαγγελιστὴς ὁ τοῦτο εἰπὼν, προστίθησιν, ὅτι ἦλθεν εἰ ἄρα εὕρῃ καρπὸν ἐν αὐτῇ, ἀλλὰ σὺ τῆς ὑπονοίας εἶναι τοῦτο τῶν μαθητῶν νόησον, τὸ διὰ προσδοκίαν καρποῦ ἐλθεῖν, δηλαδὴ τὸν Χριστὸν ἐπὶ τὴν συκῆν, D ἀτελέστερόν πως διακειμένων· καὶ γὰρ τὰς ὑπονοίας τῶν μαθητῶν πολλαχοῦ γράφουσιν οἱ εὐαγγελισταί. Ὥσπερ γὰρ τοῦτο τῆς ὑπονοίας αὐτῶν ἦν, οὕτω καὶ τὸ νομίζειν, ὅτι διὰ τοῦτο αὐτὴν κατηράσθη, διὰ τὸ μὴ ἔχειν καρπόν. Τίνος οὖν ἕνεκεν κατηράσθη τὸ φυτόν; Οὐχ ὡς ἁμαρτήσαν, ἀλλ' ἵνα μάθωσιν, ὡς εἴρηται, οἱ ἀπόστολοι, ὅτι καὶ κολάζειν δύναται. Ἔχει δὲ ἡ συκῆ αὕτη καὶ τύπον, κ. τ. λ. « Chrysostomus autem inquit, Jesum ad ficulneam ivisse, non ut ficus quæreret: quomodo enim, si nondum tempus erat? ut iste ait evangelista. Quod si hic idem evangelista, qui id dixit, addit etiam, eum venisse, ut fructum in ea reperiret; tu intellige, per hoc significari opinionem discipulorum, qui, cum in mysteriis rudiores adhuc essent, putarunt, Christum Dominum ob spem fructus accessisse ad ficulneam. Etenim discipulorum opiniones multis in locis describunt evangelistæ. Quemadmodum vero hoc ad ipsorum opinionem pertinebat, ita et existimare, quod id-

quod etiam punire possit. Habet item et ficus typum synagogæ Judæorum, qui folia sola habebant, hoc est legem, umbram illis præbentem, fructum vero nullum afferebant. Esuriebat autem Jesus salutem illorum. Meus enim cibus est, inquit, ut faciam voluntatem Patris mei. Voluntas autem Patris est, ut convertant se peccatores. Et quia synagoga fructum non habebat, maledicta est et exaruit, neque prophetam, neque doctorem habens.

Vers. 15-18. « Et veniunt Hierosolymam, et ingressus Jesus in templum, cœpit ejicere eos qui vendebant et emebant in templo : et mensas collybistarum, et sellas vendentium columbas subvertit : et non permisit ut quisquam deportaret vas per templum : et docebat dicens illis: Nonne scriptum est, Domus mea domus precationis vocabitur omnibus gentibus? Vos autem fecistis eam speluncam latronum. Et audierunt Scribæ principesque sacerdotum, et quærebant quomodo illum essent perdituri. Timebant enim eum, quod tota turba admirabatur doctrinam illius.» Quod ejecerit vendentes, etiam Joannes narrat : sed Joannes in principio Evangelii, hic autem sub finem. Verisimile igitur hoc secundo factum, quo etiam Judæorum accusatio major esset : quandoquidem neque cum sæpe idem fecerit Dominus, sunt conversi. Speluncam autem latronum nominat templum propter avaritiam. Latronum enim genus ad lucrum spectat. Et quoniam etiam illi propter sacrificia animalia quæ offerrentur, lucri gratia vendebant, latrones ipsos nominavit. Collybistæ autem fuerunt qui nummos permutabant. Collyba enim genus est numismatis minimi ærei. Accusando autem illis etiam Isaiam prophetam affert dicentem : Domus mea domus precationis vocabitur. Absit autem ne et nos extra templum ejiciamur. Multi enim et in nostrum templum ingredimur vendentes utilia, et ementes deteriora. Sunt autem qui et plenas mensas nummorum habent, qui administrant et dispensant ecclesiastica, et omnia propter avaritiam faciunt. Quin et sellæ vendentium columbas subvertunt, hoc est pontifices vendentes spiritualia dona. Columba 233 enim symbolum est Spiritus : quem qui vendunt, per Dominum a sacerdotio repelluntur. Nam qui propter datum aurum ordinat, depositus est. Sed et quisquis gratiam quæ ex baptismate est, et munditiam prodit diabolo, hic vendit columbam suam : propterea ex templo ejicitur.

Vers. 19-23. «Et cum jam vespera esset, egressus est Jesus e civitate. Et mane prætereuntes viderunt ficum exaruisse radicitus : et recordatus Pe-

δαίων Συναγωγῆς, οὗ φύλλα μόνον εἶχον, τουτέστι, νόμον σκιὰν αὐτοῖς παρέχοντα, καρπὸν δὲ οὐδένα εἶχον. Ἐπείνασε δὲ ὁ Ἰησοῦς τὴν σωτηρίαν αὐτῶν. Ἐμὸν γὰρ, φησὶ, βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ Πατρός μου. Θέλημα δὲ Θεοῦ τὸ ἐπιστρέφειν τοὺς ἁμαρτάνοντας. Ἐπεὶ τοίνυν οὐκ εἶχε καρπὸν ἡ συναγωγὴ, κατηράθη καὶ ἐξηράνθη, μήτε προφήτην μήτε διδάσκαλον ἔχουσα.

« Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα. Καὶ εἰσελθὼν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ. Καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψε. Καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ. Καὶ ἐδίδασκε, λέγων αὐτοῖς· Οὐ γέγραπται ὅτι, Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν; Ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν. Καὶ ἤκουσαν οἱ Γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν. Ἐφοβοῦντο γὰρ αὐτὸν, ὅτι πᾶς ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. » Τὸ ἐκβάλλεσθαι παρὰ τοῦ Ἰησοῦ τοὺς πωλοῦντας καὶ ὁ Ἰωάννης διηγεῖται. Ἀλλ' ἐκεῖνος μὲν ἐν τῇ ἀρχῇ τοῦ Εὐαγγελίου, οὗτος δὲ πρὸς τῷ τέλει. Εἰκὸς οὖν δεύτερον γενέσθαι τοῦτο, ὃ καὶ μείζων κατηγορία τῶν Ἰουδαίων, εἴγε πολλάκις τὸ αὐτὸ ποιήσαντος τοῦ Κυρίου, οὐκ ἐπεστράφησαν. Σπήλαιον δὲ λῃστῶν ὀνομάζει τὸν ναὸν, διὰ τὸ φιλοκερδές. Τὸ λῃστρικὸν γὰρ γένος περὶ τὸ κερδαίνειν ἐπτόηται. Ἐπεὶ οὖν καὶ αὐτοὶ τὰ διὰ θυσίαν προσφερόμενα ζῶα ἐπώλουν χάριν κέρδους, λῃστὰς αὐτοὺς ὠνόμασε. Κολλυβισταὶ δὲ ἦσαν οἱ τὰ νομίσματα ἀλλάσσοντες. Κόλλυβος γὰρ εἶδος λεπτοῦ νομίσματος χαλκοῦ. Ἐφιστᾷ δὲ αὐτοῖς κατήγορον καὶ τὸν προφήτην Ἡσαΐαν, λέγοντα· Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται. Ἀλλὰ μὴ γένοιτο καὶ ἡμᾶς ἔξω τοῦ ἱεροῦ ἐκβληθῆναι. Πολλοὶ γὰρ καὶ ἐν τῷ ἱερῷ τῷ ἡμετέρῳ εἰσερχόμεθα, πωλοῦντες τὰ χρηστὰ καὶ ἀγοράζοντες τὰ χείρω. Εἰσὶ δὲ καὶ οἳ τραπέζας κολλύβων πλήρεις ἔχουσιν, οἱ οἰκονομοῦντες μὲν καὶ διοικοῦντες τὰ ἐκκλησιαστικὰ, διὰ δὲ φιλοχρηματίαν πάντα ποιοῦντες. Ἀλλὰ καὶ αἱ καθέδραι τῶν πωλούντων τὰς περιστερὰς καταστρέφονται, ἤγουν τοὺς ἀρχιερεῖς τοὺς πωλοῦντας τὰ πνευματικὰ χαρίσματα (τοῦ γὰρ Πνεύματος σύμβολον ἡ περιστερὰ) ἐξωθεῖ ὁ Κύριος ἐκ τῆς ἀρχιερωσύνης. Ὁ γὰρ διὰ χρυσίου δόσεως χειροτονῶν, καθῃρημένος. Ἀλλὰ καὶ ὅστις τὴν ἐκ τοῦ βαπτίσματος χάριν καὶ καθαρότητα προδώσει τῷ διαβόλῳ, οὗτος ἐπώλησε τὴν περιστερὰν αὐτοῦ, διὰ τοῦτο καὶ ἐκβάλλεται ἐκ τοῦ ἱεροῦ.

« Καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύετο ἔξω τῆς πόλεως. Καὶ πρωῒ παραπορευόμενοι, εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν. Καὶ ἀναμνησθεὶς ὁ Πέτρος,

Ex collatione codd. Venet. S. Marci.

circo maledictione perculsa fuisset, quia fructum nullum habebat. Qua igitur de causa maledicta est arbor illa? Scilicet, non propterea quod ipsa peccaverit; sed quemadmodum dictum, est ut apostoli discerent quod etiam punire posset. *Habet item et ficus typum*, etc. »

λέγει αὐτῷ· Ῥαββί, ἴδε ἡ συκῆ ἣν κατηράσω, ἐξήρανται. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, λέγει αὐτοῖς· Ἔχετε πίστιν Θεοῦ· ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει γίνεται, ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ. » Εἰ καὶ ὁ Ματθαῖος λέγει ὅτι παραχρῆμα ἐξηράνθη ἡ συκῆ, καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν· μὴ θορυβηθῇς ἀκούων νῦν τοῦ Μάρκου λέγοντος, ὅτι τῇ ἐπαύριον εἶδον ἐξηραμμένην τὴν συκῆν. Οὕτω γὰρ ὀφείλει νοεῖν τὸ παρὰ τῷ Ματθαίῳ, « Καὶ παραχρῆμα ἐξηράνθη ἡ συκῆ. » Στῆθι οὖν ἄχρι τούτου· εἶτα εἰπὲ, Καὶ ἰδόντες οἱ μαθηταὶ, ἐθαύμασαν. Πότε; Ἰδόντες, οὐ παραχρῆμα, ἀλλὰ τῇ ἐπαύριον. Οὕτως οὖν νοοῦντι οὐδὲν ἄπορον ἀπαντήσεται. Ὅρα δὲ πῶς κἀντεῦθεν Θεὸς δείκνυται ὁ Χριστός. Φησὶ γὰρ διὰ τῶν προφητῶν ὁ Κύριος· Ἐγὼ ξηραίνω ξύλον χλωρὸν, καὶ ἀναθάλλω ξύλον ξηρόν. Θαύμασον δὲ τὴν θείαν φιλανθρωπίαν, πῶς καὶ ἡμῖν τοῖς διὰ πίστεως ὁμοιουμένοις αὐτῷ, δύναμιν τοῦ θαυματουργεῖν δίδωσιν, ἣν αὐτὸς φυσικῶς ἔχει, ὥστε καὶ ὄρη μεθιστάνειν δύνασθαι. Ὄρος δὲ καὶ ἡ ὑπερήφανος γνώμη, ὑψηλή τις οὖσα καὶ σκληρά. Ὅστις οὖν ὁρᾷ τὸ τῆς ὑπερηφανίας πάθος ἐνοχλοῦν αὐτῷ, καὶ σπουδάζον αὐτὸν ἐκβαλεῖν τῆς τοῦ Θεοῦ ἐπισκοπῆς καὶ προνοίας (ὑπερήφανος γάρ ἐστιν ἐκεῖνος ὁ λέγων ὅτι πάντα αὐτὸς κατορθοῖ, καὶ οὐ διὰ Θεοῦ), ὁ τοιοῦτος οὖν ὀφείλει ἐπιτιμᾷν τῷ ὄρει τούτῳ, τῇ ὑπερηφανίᾳ λέγω, καὶ λέγειν αὐτῇ· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν, τουτέστιν, εἰς κοσμικοὺς ἀνθρώπους, τοὺς ἐν τῇ θαλάσσῃ τοῦ βίου τούτου ὄντας καὶ ἀπίστους. Οὗτος δὲ οὐ μὴ διακριθῇ, τουτέστι, διαχωρισθῇ ἀπὸ τοῦ Θεοῦ. Ὁ γὰρ ὑπερήφανος χωρίζεται ἀπὸ Θεοῦ λέγων ὅτι Οὐδὲν ἔχω ἀπὸ Θεοῦ, οὐδὲ χρῄζω τῆς συμμαχίας αὐτοῦ (78).

« Διὰ τοῦτο λέγω ὑμῖν, Πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε, καὶ ἔσται ὑμῖν. Καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν. Εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφήσει τὰ παραπτώματα ὑμῶν. » Ὁ ἐνδιαθέτως πιστεύων πάντως εἰς Θεὸν ἀνέτεινε τὴν καρδίαν αὐτοῦ, καὶ ἵν' εἴπω τὸ τοῦ Δαβὶδ, ἐξέχεε τὴν ψυχὴν αὐτοῦ ἐνώπιον τοῦ Θεοῦ. Ὁ δὲ ἀνατείνας τὴν καρδίαν αὐτοῦ πρὸς Θεὸν, ἥνωται ἐκείνῳ καὶ πληροφορεῖται ἡ καρδία αὐτοῦ διαθερμαινομένη, ὅτι ἐπιτύχοι τῆς αἰτήσεως. Ὅστις οὖν ἔπαθε τοῦτο,

A trus dicit illi : Rabbi, ecce ficus illa quam exsecratus es, exaruit. Et respondens, dicit illis: Confidite Deo; amen dico vobis quod quicunque dixerit monti huic : Tollaris, ac mittaris in mare, et non hæsitaverit in corde suo, sed crediderit fore quæ dixerit, erit illi quidquid dixerit. » Tametsi Matthæus dixerit quod statim exaruit ficus, et videntes discipuli admirati sint, nihil movearis audiens nunc Marcum dicentem quod sequenti die viderint exaruisse ficum. Sic enim intelligere debes id quod apud Matthæum, « Et statim exaruit ficus :» quo lecto, subsiste, et dein dic : Et cum vidissent discipuli, admirati sunt. Quando ? Cum vidissent: non statim, sed sequenti die : proinde sic intelligenti nihil difficile occurrit. Vide item et ex hoc loco
B quomodo Christus monstretur Deus; dicit enim per prophetiam, Dominus 93 : Ego aridum facio lignum viride, et germinare facio lignum aridum. Porro mireris divinam misericordiam, quomodo etiam nobis, qui per fidem illi assimilamur, virtutem dat faciendi miracula, quam ipse natura habet, ita ut montes transferre possimus. Mons autem est etiam superba mens, cum arrogans est et obstinata. Nam qui videt superbiæ morbum sibi obsistentem et conantem ejicere ipsum a visitatione et providentia Dei (superbus enim ille est qui dicit quod omnia possit ipse sine Deo perficere), talis igitur debet increpare illum montem, superbiam dico, et dicere ei : Tollaris, et mittaris in mare, hoc est, in mundanos homines hoc est, eos
C qui in mari hujus vitæ sunt ac increduli : ipse autem nunquam hæsitet, hoc est, separetur a Deo. Superbus enim separatur a Deo, dicens : Nihil a Deo habeo, neque indigeo ejus auxilio.

VERS. 24, 25. « Propterea dico vobis : Omnia quæcunque orantes petitis, credite quod accipietis, et erunt vobis. Et cum steteritis orantes, remittite si quid habetis adversus aliquem, ut et Pater vester qui in cœlis est, remittat vobis delicta vestra. Quod si vos non dimiseritis, neque Pater vester qui in cœlis est, dimittet vobis peccata vestra. » Qui magna affectione credit, cor suum omnino extendit ad Deum, et, ut ipsius David verbis utar,
D effundit animam suam coram Deo. Qui autem extendit cor suum ad Deum, unitur illi, et fervefactum cor ejus magnam certitudinem sumit quod voti 234 compos fiat : id quod experti sciunt

93* Ezech. XVII, 5, seqq.

Ex collatione codd. Venet. S. Marci.

(78) Cod. 26: Οὐδὲ χρῄζω τῆς συμμαχίας αὐτοῦ, ἀλλὰ καὶ κατὰ ὑψηλοτέραν ἐκδοχὴν, τὴν ἄμεσον λαβὼν ὁ νοῦς πρὸς Θεὸν ἕνωσιν, τὴν τοῦ νοεῖν κατὰ φύσιν δύναμιν ἔχει σχολάζουσαν παντελῶς· ἡνίκα δὲ ταύτην λύσει, νοήσας τι τῶν μετὰ Θεὸν, διεκρίθη τεκὼν τὴν ὑπὲρ νόησιν ἕνωσιν, καθ' ἣν ἕως ἐστὶ τῷ Θεῷ συνημμένος ὡς ὑπὲρ φύσιν, καὶ τῇ μεθέξει Θεὸς γεγενημένος, καθάπερ ὄρος ἀκίνητον ἑαυτοῦ ἐκτὸν τῆς φύσεως μετατίθησιν νόμον. Καὶ διὰ τοῦτο λέγω ὑμῖν, κ. τ. λ.

« Neque indigeo ejus auxilio. Verum et juxta subliniorem expositionem, mens quæ immediatam cum Deo unionem sortita est, habet naturalem cogitandi facultatem omnino otiosam : cum vero hanc dissolverit, quidpiam eorum quæ secundum Deum sunt cogitans, cencetur peperisse eam, quæ supra cogitationem est, unionem : secundum quam quousque Deo conjuncta fuerit, velut supra naturam, ac per participationem Deus effecta, naturæ suæ legem, quasi montem immobilem, transfert. *Propterea dico vobis,* » etc.

omnes. Opinor autem omnes hoc experiri, qui vel mediocriter attendunt. Propterea dicit Christus quod Omnia accipietis, quæ cum fide petitis. Qui enim credit, totum se dat Deo, cum lacrymis illi colloquens, quasi pedes Domini precando tenere se putans. Vis autem et alia ratione accipere quæ petis? Dimitte si quid in te peccaverit frater. Vides facilitatem doni Dei?

VERS. 26-33. « Et veniunt rursum Hierosolymam; et cum ambularet in templo, veniunt ad illum principes sacerdotum, et Scribæ et seniores, et dicunt illi: Qua auctoritate hæc facis? et quis tibi dedit auctoritatem istam, ut ista facias? Jesus autem respondens, dixit illis: Quæram a vobis et ipse quiddam, et respondete mihi, et dicam vobis qua auctoritate hæc faciam. Baptismus Joannis utrum e cœlo erat, an ex hominibus? respondete mihi. Et cogitabant apud se dicentes: Si dixerimus, e cœlo dicet: Cur igitur non credidistis illi? At si dixerimus, ex hominibus, timebant populum. Omnes enim habebant Joannem quod vere propheta fuisset. Et respondentes dicunt Jesu: Nescimus. Et Jesus respondens dicit illis: Nec ego dico vobis qua auctoritate hæc faciam. » Insanientes quod ejecisset e templo negotiatores, accedunt ad eum, ut animo perplexum redderent, quærentes quanam potestate hæc faceret, quasi talia ei dicentes: Quis es tu qui hæc facis? magister constitutus es? princeps sacerdotum ordinatus es? Hæc autem dicebant ut dubitare eum faciant, et in verbis capere queant. Nam si dixisset. Potestate mea hæc facio, lapidassent eum ut Deo contrarium. Sin autem dixisset. Potestate Dei facio, abduxissent ab eo plebem, quæ illum arbitrabatur esse Deum. Dominus igitur interrogabat illos de Joanne, non sine causa, neque sophistarum more vicissim illos capiens: sed quia Joannes de ipso testificatus erat, idcirco de illo malignos interrogat, ut cum receperint Joannem a Deo esse, cogantur et testimonium Joannis quod de Christo dederat accipere. Et quia malevoli dubitabant.

A ἐκεῖνος διαγνώσεται. Οἶμαι δὲ τοῦτο πάντας πάσχειν τούς γε μετρίως προσέχοντας. Διὰ τοῦτο οὖν λέγει ὁ Κύριος, ὅτι Πάντα λήψεσθε ὅσα μετὰ πίστεως αἰτεῖσθε. Ὁ γὰρ πιστεύων, ὅλον ἑαυτὸν δίδωσι τῷ Θεῷ, μετὰ δακρύων αὐτῷ ὁμιλῶν καὶ ὡσανεὶ δεσπότου πόδας κρατῶν ἐν τῇ προσευχῇ. Θέλεις δὲ καὶ ἄλλως λαβεῖν ὃ αἰτεῖς; Ἄφες εἴτι σοι ἥμαρτεν ὁ ἀδελφός. Ὁρᾷς τὸ εὔκολον τῆς δωρεᾶς τοῦ Θεοῦ (79);

« Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα. Καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς καὶ οἱ πρεσβύτεροι, καὶ λέγουσιν αὐτῷ· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν, ἵνα ταῦτα ποιῇς; Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐ-
B τοῖς· Ἐπερωτήσω ὑμᾶς καὶ ἐγὼ ἕνα λόγον. Καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; ἀποκρίθητέ μοι. Καὶ ἐλογίζοντο πρὸς ἑαυτούς, λέγοντες· Ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ, Διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; Ἀλλ' ἐὰν εἴπωμεν, ἐξ ἀνθρώπων, ἐφοβοῦντο τὸν λαόν. Ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην, ὅτι ὄντως προφήτης ἦν. Καὶ ἀποκριθέντες λέγουσι τῷ Ἰησοῦ, Οὐκ οἴδαμεν. Καὶ ὁ Ἰησοῦς ἀποκριθείς, λέγει αὐτοῖς· Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. » Ἐκμανέντες διότι ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ τοὺς καπηλεύοντας, προσέρχονται ἐξαποροῦντες αὐτὸν δῆθεν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ. (80) Μονονουχὶ γὰρ τοιαῦτα αὐτῷ ἔλεγον· Τίς ὢν σὺ ποιεῖς; διδάσκαλος κατέστης; ἀρχιερεὺς ἐχειροτονήθης; Ταῦτα δὲ ἔλεγον, εἰς
C ἀπορίαν αὐτὸν συνωθῆναι σπουδάζοντες, ἵνα κρατήσωσιν αὐτόν. Ἐὰν μὲν γὰρ εἴπῃ ὅτι Ἐν τῇ ἐμῇ ἐξουσίᾳ ταῦτα ποιῶ, λιθάσουσιν αὐτὸν ὡς ἀντίθεον. Ἐὰν δὲ εἴπῃ ὅτι ἐν τῇ τοῦ Θεοῦ ἐξουσίᾳ, ἀποστήσουσιν ἀπ' αὐτοῦ τὸν ὄχλον, τὸν νομίζοντα αὐτὸν εἶναι Θεόν. Ὁ οὖν Κύριος ἐρωτᾷ αὐτοὺς περὶ τοῦ Ἰωάννου, οὐ μάτην οὐδὲ σοφιστικῶς ἀντεπιχειρῶν. Ἀλλ' ἐπειδὴ ὁ Ἰωάννης περὶ αὐτοῦ ἐμαρτύρησε, διὰ τοῦτο περὶ αὐτοῦ ἐρωτᾷ τοὺς κακούργους, ἵνα, ἐὰν δέξωνται τὸν Ἰωάννην ἐκ Θεοῦ ὄντα, ἀναγκασθῶσι καὶ τὴν περὶ τοῦ Χριστοῦ μαρτυρίαν, ἣν ὁ

Ex collatione codd. Venet. S. Marci.

(79) Cod. 26 addit: Ὁ δὲ μέγιστος καὶ ὑψηλόνους Μάξιμος τό, Πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε, περὶ μόνης τῆς γνώσεως δεῖ νοεῖν τοὺς πιστεύοντας λέγει, καὶ τῆς αὐτὴν κοσμούσης διὰ τῶν ἔργων ἀρετῆς. Ἐπειδὴ πολλὰ τυγχάνει τὰ πρὸς γνῶσιν Θεοῦ καὶ ἀρετὴν ζητούμενα τοῖς πιστεύουσιν, ἀπαλλαγὴ παθῶν, ὑπομονὴ πειρασμῶν, ἀρετῆς λόγοι, τρόποι ἐνεργειῶν, ἐξήλωσις τῆς πρὸς σάρκα ἐμπαθοῦς διαθέσεως, ἀποξένωσις τῆς πρὸς τὰ αἰσθητὰ τῆς αἰσθήσεως σχέσεως, τοῦ νοῦ ἀπὸ πάντων τῶν γεγονότων ἀναχώρησις, καὶ ἁπλῶς μυρία ἄλλα εἰσὶ τὰ πρὸς ἀποχὴν κακίας καὶ ἀγνωσίας, κατόρθωσιν δὲ γνώσεως καὶ ἀρετῆς. Τὰ τοιαῦτα ζητῶν μετ' ἐπιστήμης καὶ πίστεως ληψόμενος. Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα, κ. τ. λ. «Summus ille ac mente sublimis Maximus ea verba, *Omnia quæcunque orantes petitis, credite quod accipietis*, de sola cognitione, et de virtute, quæ ipsam operibus exornat, intelligenda dicit. Quandoquidem multa sunt credentibus necessaria ad Dei cognitio-
D nem, et virtutem consequendam: ut, purgatio a passionibus, tolerantia tentationum, virtuosi sermones, studium operandi, ejectio nimii amoris ad carnem, ablegatio affectionis erga sensibilia, abstractio mentis a rebus corruptibilibus: et alia demum plurima sunt, quæ ad liberationem ab iniquitate, et ab ignorantia, et ad rectitudinem cognitionis et virtutis conducunt. Qui similia quærit cum scientia et fide, recepturus est. *Et veniunt rursum Hierosolymam*, » etc.

(80) Cod. 26 addit: Ταῦτα, ποῖα; Τὸ ἐκβάλλειν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, τὸ ἀνατρέπειν τὰς προῤῥηθείσας τραπέζας, τὸ μὴ ἀφιέναι διϊέναι σκεῦος διὰ τοῦ ἱεροῦ, καὶ τὰ τοιαῦτα. Μονονουχὶ γὰρ τοιαῦτα αὐτῷ ἔλεγον, κ. τ. λ. « Hæc, quæ? Scilicet ejicere vendentes et ementes in templo; evertere prædictas mensas; non permittere ut transiret vas per templum, et similia. *Quasi enim talia illi dicebant*, » etc.

Ἰωάννης ἐμαρτύρησε, δέξασθαι. Ἐπεὶ δὲ ἠπόρησαν ἐκεῖνοι ἐθελοκακήσαντες, Οὐδὲ ἐγὼ, φησὶ, λέγω ὑμῖν. Οὐκ εἶπεν, ὅτι οὐδὲ ἐγὼ οἶδα τί εἴπω ὑμῖν, ἀλλ', Οὐδὲ ἐγὼ λέγω, τουτέστιν, Ἐπειδὴ κακουργεῖτε, οὐκ ἀξιώσω ὑμᾶς ἀπολογίας.

### ΚΕΦΑΛ. ΙΒ'.

Περὶ τοῦ ἀμπελῶνος. Περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον διὰ τὸν κῆνσον. Περὶ τῶν Σαδδουκαίων. Περὶ τοῦ γραμματέως. Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως. Περὶ τοῦ προσέχειν ἀπὸ τῶν ὑποκριτῶν. Περὶ τῆς χήρας.

« Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λαλεῖν· Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος, καὶ περιέθηκε φραγμὸν καὶ ὤρυξεν ὑπολήνιον, καὶ ᾠκοδόμησε πύργον. Καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε, καὶ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος. Οἱ δὲ, λαβόντες αὐτὸν, ἔδειραν καὶ ἀπέστειλαν κενόν. Καὶ πάλιν ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦλον, κἀκεῖνον λιθοβολήσαντες ἐκεφαλαίωσαν, καὶ ἀπέστειλαν ἠτιμημένον. Καὶ πάλιν ἄλλον ἀπέστειλε, κἀκεῖνον ἀπέκτειναν, καὶ πολλοὺς ἄλλους, τοὺς μὲν δέροντες, τοὺς δὲ ἀποκτείνοντες. Ἔτι οὖν ἕνα υἱὸν ἔχων ἀγαπητὸν αὐτοῦ, ἀπέστειλε καὶ αὐτὸν πρὸς αὐτοὺς ἔσχατον, λέγων, ὅτι Ἐντραπήσονται τὸν υἱόν μου. Ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶπον πρὸς ἑαυτοὺς, ὅτι Οὗτός ἐστιν ὁ κληρονόμος. Δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία. Καὶ λαβόντες αὐτὸν, ἀπέκτειναν καὶ ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος. Τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; Ἐλεύσεται, καὶ ἀπολέσει τοὺς γεωργοὺς, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. » Ἀμπελὼν, ὁ λαὸς, ὃν ἐφύτευσεν ὁ κύριος. « Κατάρτισαι γὰρ, φησὶ, τὴν ἄμπελον ταύτην, ἣν ἐφύτευσεν ἡ δεξιά σου. » Καὶ ὁ Μωϋσῆς· « Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος ἅγιόν σου. » Φραγμὸς δὲ ὁ νόμος, κωλύων αὐτοὺς ἐπιμίγνυσθαι τοῖς ἄλλοις ἔθνεσι. Πύργος δὲ ὁ ναὸς, περίβλεπτος ὤν. Ὑπολήνιον δὲ τὸ θυσιαστήριον, ἔνθα ἐξεχεῖτο τὸ αἷμα. Ἐξέδοτο δὲ τὸν λαὸν γεωργοῖς, τοῖς κατὰ καιρὸν διδασκάλοις καὶ ἄρχουσι τῶν Ἰουδαίων. Ἀπέστειλε δὲ δοῦλον ἕνα, τάχα τοὺς περὶ τὸν Ἠλίαν προφήτας, οἷον τὸν Μιχαίαν, ὃν ἔδειρε Σεδεκίας ὁ ψευδοπροφήτης. Δεύτερον δὲ δοῦλον, ὃν λιθοβολήσαντες ἐκεφαλαίωσαν, τουτέστι, συνετέλεσαν καὶ ἐκορύφωσαν τὴν ὕβριν, τοὺς περὶ Ὠσηὲ καὶ Ἡσαΐαν προφήτας. Τρίτον δὲ δοῦλον, τοὺς ἐν τῇ αἰχμαλωσίᾳ, τοὺς περὶ Δανιὴλ καὶ Ἰεζεκιήλ. Τελευταῖον δὲ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, ὃς ἄνθρωπος ὠνομάσθη διὰ τὸ φιλάνθρωπον, λέγων ὅτι Ἐντραπήσονται τὸν υἱόν μου. Οὐχ ὡς ἀγνοῶν δὲ τὸ μέλλον, τοῦτο εἶπεν, ἀλλὰ τὸ ὀφεῖλον πραχθῆναι καὶ τὸ εἰκὸς λέγων, οἱ δὲ κακοὶ γεωργοὶ, μαθόντες ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ἐξέβαλον αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, τουτέστιν, ἔξω τῆς Ἱερουσαλὴμ, καὶ ἀπέκτειναν. Ἔξω γὰρ τῆς πόλεως ἐσταυρώθη. Ὁ οὖν κύριος τοῦ ἀμπελῶνος, ὁ Πατὴρ τοῦ φονευθέντος Υἱοῦ, μᾶλλον δὲ αὐτὸς ὁ φονευθεὶς

93 Psal. LXXIX, 16.

A Neque ego dico vobis, inquit; non dixit, Neque ego dico, hoc est, Quia malevoli estis, non dignabor vos responso.

### CAPUT XII.

*Parabola de vinea. De interrogantibus Dominum propter censum. De Sadducæis. De Scriba. De interrogatione Domini. Quod cavendum sit ab hypocritis. De muliere vidua.*

VERS. 1-9. « Et cœpit illis per parabolas loqui: Vineam plantavit homo, et circumdederat sepem, et foderat lacum, et ædificaverat turrim, et elocaverat eam agricolis, **235** et peregre profectus B est : et misit ad agricolas, cum tempestivum esset, servum, ut ab agricolis acciperet de fructu vineæ. At illi arreptum illum ceciderunt, ac remiserunt vacuum. Et rursum misit ad illos alium servum, et illi, conjectis in eum saxis comminuerunt caput, et remiserunt contumeliis affectum. Et rursum alium misit, et illum occiderunt, multosque alios: hos quidem cædentes, illos vero occidentes. Itaque cum unum adhuc haberet filium suum dilectum, misit etiam illum ad eos postremum, dicens : Reverebuntur filium meum. Illi vero agricolæ dicebant inter sese : Hic est hæres, venite occidamus eum, et nostra erit hæreditas. Et arreptum illum occiderunt, et ejecerunt e vinea. Quid igitur facturus est dominus vineæ? Veniet, et perdet agri- C colas, et dabit vineam aliis. » Vinea populus est, quem plantavit Dominus. « Perfice enim, inquit, vineam istam, quam plantavit dextera tua 93. » Et Moses : « Introducens planta eos in monte sancto tuo. » Sepes autem, lex, quæ prohibebat ipsos commisceri gentibus. Turris vero, templum; nam conspicuum erat. Porro torcular, altare in quo effundebatur sanguis. Elocarat autem populum agricolis, hoc est doctoribus, qui per id temporis erant, et principibus Judæorum. Misit vero servum unum, forte ex prophetis Eliam, et qui tunc erant, ut Michæam, quem cecidit Sedechias, pseudopropheta scilicet. Secundum autem servum lapidatum ceciderunt, hoc est occiderunt, et contumeliis affecerunt, Osee et Isaiam prophetas. D Tertium autem servum, id est, eos qui in captivitate fuerunt, ut Danielem et Ezechielem. Ultimo autem misit Filium suum Deus, qui homo nominatur propter misericordiam et amorem in homines, dicens : Reverebuntur Filium meum. Non ut ignorans quod futurum erat, hoc dixit, sed quod fieri oporteret, et verisimile erat futurum, dicens : Mali autem agricolæ cum didicissent quod hic esset Filius Dei, ejecerunt illum extra vineam, id est extra Jerusalem, et interfecerunt; extra enim illam crucifixus est. Dominus igitur vineæ, Pater occisi Filii, imo et ipse occisus

Filius, perdidit agricolas, quos tradidit Romanis, et populum collocavit aliis agricolis, apostolis scilicet. Vis videre quomodo apostoli coluerint vineam? Lege librum Actorum, et invenies tria millia et quinque millia simul credere ac offerri in primitias Deo.

VERS. 10-12. « An ne hanc quidem Scripturam legistis? Lapidem quem reprobaverunt ii qui ædificabant, hic factus est in caput anguli: a Domino factus est hic, et est admirandus in oculis nostris. Et quærebant eum comprehendere, et metuebant turbam: sciebant enim quod adversus ipsos parabolam dixisset. Et relicto illo abierunt. » Per omnia ista ostendit ejectos Judæos, gentes autem acceptas. Lapis 236 enim ille, Dominus: ædificantes autem, doctores populi. Quem igitur reprobaverunt doctores, ille in caput anguli factus est. Caput enim Ecclesiæ factus est. Angulus enim Ecclesia, quæ in unum conjungit Judæos et gentiles: quemadmodum et angulus duos parietes inter se committit. Igitur iste angulus, hoc est Ecclesia, a Domino factus. Et est mirabilis in nostrorum fidelium oculis. Ab infidelibus enim miracula calumniam patiuntur. Mirabilis est igitur Ecclesia, quasi ex miraculis constituta, Domino cooperante apostolis, et sermonem confirmante per sequentia signa.

VERS. 13-17. « Et mittunt ad illum quosdam e Pharisæis et Herodianis ut eum captarent sermone. Illi vero cum venissent, dicunt ei: Præceptor, scimus quod verax es, et non curas quemquam: non enim respicis personam hominum, sed cum veritate viam Dei doces. Licet censum dare Cæsari, an non? demus, an non demus? Ille vero sciens illorum simulationem, dixit illis: Quid me tentatis? Afferte mihi denarium, ut videam Illi vero attulerunt. Et dicit eis: Cujus est imago hæc et inscriptio? Illi autem dixerunt ei: Cæsaris. Et respondens Jesus, dixit illis: Reddite quæ sunt Cæsaris, Cæsari: et quæ sunt Dei, Deo; et admirati sunt de eo. » Diximus etiam alias de Herodianis, quod fuerit hæresis quædam tunc nuper orta dicentium, Herodem esse Christum, eo quod in temporibus illius defecisset successio regum Judaicorum. Alii autem dicunt Herodianos hoc loco dictos esse milites Herodis, quos Pharisæi in testes eorum quæ Christus dicturus erat, assumunt, ut consequenter comprehendant illum et abducant. Vide autem malitiam illorum, quomodo adulatione tentent decipere Dominum. Scimus, dicunt, quod non respicis personam hominum, et ita neque Cæsarem revereris. Totum enim hoc artificium erat utrinque habens præcipitia: ut si quidem diceret quod liceat dare Cæsari tributum arguerent eum apud populum, tanquam qui eos in servitutem redigeret: sin diceret non persolvendum, accusarent eum ut ad seditionem populum

A Υἱὸς, ἀπολέσει τοὺς γεωργοὺς, παραδοὺς αὐτοὺς τοῖς Ῥωμαίοις. Καὶ τὸν λαὸν ἐκδόσεται ἄλλοις γεωργοῖς, τουτέστι τοῖς ἀποστόλοις. Θέλεις γὰρ ἰδεῖν πῶς ἐγεώργησαν οἱ ἀπόστολοι τὸν ἀμπελῶνα; Ἀνάγνωθι τὴν τῶν Πράξεων βίβλον, καὶ εὑρήσεις τρισχιλίους καὶ πεντακισχιλίους ἀθρόον πιστεύοντας καὶ καρποφορουμένους τῷ Θεῷ.

« Οὐδὲ τὴν Γραφὴν ταύτην ἀνέγνωτε; Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον. Ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπε. Καὶ ἀφέντες αὐτὸν, ἀπῆλθον. » Διὰ πάντων τούτων δείκνυσι τοὺς μὲν Ἰουδαίους ἐκβληθέντας, τὰ δὲ ἔθνη προσδεχθέντα. B Λίθος μὲν γὰρ αὐτὸς ὁ Κύριος, οἰκοδομοῦντες δὲ, οἱ διδάσκαλοι τοῦ λαοῦ. Ὃν οὖν ἀπεδοκίμασαν οἱ διδάσκαλοι, οὗτος εἰς κεφαλὴν γωνίας ἐγένετο, κεφαλὴ τῆς Ἐκκλησίας γενόμενος. Γωνία γὰρ ἡ Ἐκκλησία, ὡς συνάπτουσα καὶ ἑνοποιοῦσα πάντας Ἰουδαίους καὶ Ἕλληνας, ὥσπερ καὶ ἡ γωνία δύο τοίχους ἀλλήλοις συνάπτει, μεσιτεύουσα ἀμφοῖν. Αὕτη δὲ ἡ γωνία, ἤτοι ἡ Ἐκκλησία, παρὰ Κυρίου ἐγένετο, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν τῶν πιστῶν. Τοῖς γὰρ ἀπίστοις καὶ τὰ θαύματα διαβάλλονται. Θαυμαστὴ τοίνυν ἡ Ἐκκλησία, ὡς ἐκ θαυμάτων συστᾶσα, τοῦ Κυρίου συνεργοῦντος τοῖς ἀποστόλοις καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.

« Καὶ ἀποστέλλουσι πρὸς αὐτόν τινας τῶν Φαρισαίων καὶ Ἡρωδιανῶν, ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ. C Οἱ δὲ ἐλθόντες, λέγουσιν αὐτῷ· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις. Ἔξεστι κῆνσον Καίσαρι δοῦναι, ἢ οὔ; δῶμεν, ἢ μὴ δῶμεν; Ὁ δὲ, εἰδὼς αὐθῶν τὴν ὑπόκρισιν, εἶπεν αὐτοῖς· Τί με πειράζετε; Φέρετέ μοι δηνάριον ἵνα ἴδω· οἱ δὲ ἤνεγκαν. Καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη, καὶ ἡ ἐπιγραφή; Οἱ δὲ εἶπον αὐτῷ, Καίσαρος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ· καὶ ἐθαύμασαν ἐπ' αὐτῷ. » Εἴπομεν καὶ ἄλλοτε περὶ τῶν Ἡρωδιανῶν, ὅτι αἵρεσίς τις ἦν νεοφανὴς τῶν λεγόντων Χριστὸν εἶναι τὸν Ἡρώδην διὰ τὸ ἐν τοῖς χρόνοις αὐτοῦ ἐκλιπεῖν D τὰς διαδοχὰς τῶν Ἰουδαϊκῶν βασιλέων. Ἄλλοι δέ φασιν Ἡρωδιανοὺς ἐνταῦθα λέγεσθαι τοὺς στρατιώτας τοῦ Ἡρώδου, οὓς προσελάβοντο οἱ Φαρισαῖοι, ὡσὰν μάρτυρες ὦσι τῶν λεχθησομένων ὑπὸ τοῦ Χριστοῦ, καὶ λοιπὸν συλλάβωσιν αὐτὸν, καὶ ἀπαγάγωσιν. Ὅρα δὲ τὴν κακοήθειαν αὐτῶν, πῶς μετὰ κολακείας πειρῶνται ἐξαπατῆσαι τὸν Κύριον. Οἴδαμεν ὅτι οὐ βλέπεις εἰς πρόσωπον ἀνθρώπου, ὥστε οὐδὲ τὸν Καίσαρα εὐλαβηθήσῃ. Τὸ ὅλον δὲ τοῦτο τέχνασμα ἦν, ἀμφοτέρωθεν ἔχον κρημνοὺς, ἵνα ἐὰν μὲν εἴπῃ ὅτι ἔξεστι τελεῖν τῷ Καίσαρι, διαβάλλωσιν αὐτὸν πρὸς τὸν ὄχλον, ὡς καταδουλοῦντα αὐτού· εἰ δὲ μὴ τελεῖν εἴπῃ, κατηγορήσωσιν αὐτοῦ, ὡς ἀνασταтοῦντος τὸν λαὸν κατὰ τοῦ Καίσαρος. Ἀλλ' ἡ τῆς

σοφίας πηγὴ ἐκφεύγει τοὺς δόλους αὐτῶν. Ἐπιδείξατε γάρ μοι, φησί, τὸ νόμισμα. Ἰδὼν δὲ ὅτι εἰκόνα ἔχει τοῦ Καίσαρος, φησίν, Ἀπόδοτε τὸ ἔχον τὴν εἰκόνα, τῷ εἰκονιζομένῳ, τουτέστι τῷ Καίσαρι, καὶ τὰ Θεοῦ τῷ Θεῷ, τουτέστιν, οὐδὲν ἐμποδίζει ὑμῖν πρὸς θεοσέβειαν τὸ τελεῖν τῷ Καίσαρι. Δύνασθε γὰρ καὶ τῷ Καίσαρι ὑποτελεῖν, καὶ τῷ Θεῷ τὰ οἰκεῖα νέμειν. Καῖσαρ δέ ἐστιν ἑκάστῳ ἡμῶν καὶ ἡ τοῦ σώματος ἀπαραίτητος ἀνάγκη. Κελεύει οὖν ὁ Κύριος ἀποδιδόναι καὶ τῷ σώματι τὰ οἰκεῖα βρώματα καὶ ἀναγκαῖα σκεπάσματα, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ, ἀγρυπνίαν ἐνδεχομένην προσευχήν, καὶ τἄλλα. Ἀλλὰ καὶ τῷ διαβόλῳ, Καίσαρι ὄντι, ἀπόῤῥιψον τὰ παρ' αὐτοῦ σοι δοθέντα, θυμόν, ἐπιθυμίαν κακήν, καὶ τὰ τοῦ Θεοῦ, προσένεγκε τῷ Θεῷ.

B

« Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν, οἵ τινες λέγουσιν ἀνάστασιν μὴ εἶναι, καὶ ἐπηρώτησαν αὐτόν, λέγοντες· Διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, καὶ καταλίπῃ γυναῖκα καὶ τέκνα μὴ ἀφῇ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. Ἑπτὰ ἀδελφοὶ ἦσαν, καὶ ὁ πρῶτος ἔλαβε γυναῖκα, καὶ ἀποθνήσκων, οὐκ ἀφῆκε σπέρμα, καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν καὶ ἀπέθανε, καὶ οὐδὲ αὐτὸς ἀφῆκε σπέρμα, καὶ ὁ τρίτος ὡσαύτως, καὶ ἔλαβον αὐτὴν οἱ ἑπτά, καὶ οὐκ ἀφῆκαν σπέρμα. Ἐσχάτη δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. Ἐν τῇ οὖν ἀναστάσει ὅταν ἀναστῶσι, τίνος αὐτῶν ἔσται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· οὐ διὰ τοῦτο πλανᾶσθε μὴ εἰδότες τὰς Γραφάς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ; Ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν οὔτε γαμίσκονται. Ἀλλ' εἰσὶν ὡς ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς. Περὶ δὲ τῶν νεκρῶν ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωσέως, ἐπὶ τῆς βάτου ὡς εἶπεν αὐτῷ ὁ Θεὸς λέγων· Ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ; Οὐκ ἔστιν ὁ Θεὸς νεκρῶν, ἀλλὰ Θεὸς ζώντων. Ὑμεῖς οὖν πολὺ πλανᾶσθε. » Αἵρεσις Ἰουδαίων, οἱ Σαδδουκαῖοι, λέγοντες μὴ εἶναι ἀνάστασιν, μήτε ἄγγελον, μήτε πνεῦμα. Πλαγίως δὲ ὡς δόλιοι προσελθόντες πλάττουσι τὴν διήγησιν ταύτην, διὰ ταύτης δῆθεν ἀνατρέποντες τὴν ἀνάστασιν, ὑπόθεσιν ὑφάναντες μηδέποτε γενομένην, μηδὲ ἴσως γενησομένην. Ἑπτὰ δὲ συντιθέασι τοὺς γαμήσαντας τὴν γυναῖκα, ἵνα μᾶλλον διασύρωσι τὴν ἀνάστασιν. Ὁ οὖν Κύριος, ἐπειδὴ προεβάλλοντο ἐκεῖνοι Μωσέως νόμον, δείκνυσιν αὐτοὺς ἀγνοοῦντας τὰς Γραφάς· Οὐ νοεῖτε γάρ, φησί, ποίαν ἀνάστασιν ἡ Γραφὴ λέγει. Ὑμεῖς γὰρ δοκεῖτε ὅτι πάλιν τοιαύτη κατάστασις σωματικωτέρα μέλλει εἶναι, οὐκ ἔστι δέ. Οὕτω μὲν οὖν ἀγνοεῖτε τῆς Γραφῆς τὴν ἔννοιαν, ἀλλὰ καὶ τὴν δύναμιν τοῦ Θεοῦ ἀγνοεῖτε· ὑμεῖς μὲν γὰρ ἴσως ἀποβλέπετε πρὸς τὸ χαλεπὸν τοῦ πράγματος, καὶ διὰ τοῦτο ἐξαπορεῖσθε πῶς δυνήσονται τὰ διαλυθέντα σώματα συνελθεῖν ταῖς ψυχαῖς. Τῇ δὲ δυνάμει τοῦ Θεοῦ ὡς οὐδέν ἐστι τοῦτο. Ἔσται οὖν ἀνάστασις, καὶ οὐ σωματική, ἀλλὰ θειοτέρα τις κατάστασις βίου καὶ ἀγγελική. Ἐπειδὴ γὰρ οὐ μέλλομεν φθείρεσθαι, ἀλλ' οἱ αὐτοὶ μένειν, διὰ τοῦτο καὶ ὁ γάμος ἀναιρε-

A moventem contra Cæsarem. At fons sapientiæ dolos illorum evadit. Ostendite mihi, inquit, numisma. Cum enim vidisset quod imaginem haberet Cæsaris, dicit : Reddite quod habet imaginem, ei cujus gerit imaginem, hoc est Cæsari : et quæ sunt Dei, Deo, hoc est, nihil obstat vobis ad pietatem persolvere Cæsari. Potestis enim et Cæsari persolvere, et Deo suas tribuere. Cæsar item unicuique nostrum inevitabilis illa corporis nostri necessitas est. Jubet igitur Dominus reddere etiam corpori sua necessaria, cibos scilicet ac vestes : et quæ Dei, Deo, nempe vigilias quantas possumus, orationes, etc. Sed et diabolo, qui Cæsar est, objice quæ tibi ab illo data : iram, **237** concupiscentiam malam : et quæ Dei sunt, offer Deo.

VERS. 18-27. « Et veniunt Sadducæi ad illum qui dicunt non esse resurrectionem, interrogaveruntque eum dicentes : Præceptor, Moses scripsit nobis : Si cujus frater moriatur, ac relinquat uxorem, et liberos non relinquat, ut accipiat frater ejus uxorem illius, et suscitet semen fratri suo. Septem fratres fuerunt, ac primus accepit uxorem, isque moriens non reliquit semen : et secundus accepit illam, ac mortuus est, et nec ipse reliquit semen : et tertius similiter. et acceperunt eam septem, nec reliquerunt semen; postremo vero omnium mortua est et uxor; in resurrectione igitur, cum resurrexerint, cujus illorum erit uxor? Nam septem habuerunt eam uxorem. Et respondens Jesus, dixit eis : An
C non propterea erratis, quod nesciatis Scripturas, neque virtutem Dei? Cum enim a mortuis resurrexerint, neque contrahunt matrimonium, neque nuptum dantur : sed sunt velut angeli qui in cœlis. Cæterum de mortuis quod resuscitantur, non legistis in libro Mosi, quomodo in rubo locutus sit illi Deus, dicens : Ego ille Deus Abraham, et Deus Isaac, et Deus Jacob? Non est Deus mortuorum, sed Deus viventium. Vos igitur multum erratis. » Hæretici apud Judæos erant Sadducæi, dicentes non esse resurrectionem, neque angelum, neque spiritum. Oblique autem, ut dolosi, agressi, fingunt narrationem quamdam qua subvertatur resurrectio, contexto argumento quod nunquam evenit, neque forte eveniet. Septem autem fingunt qui unam du-
D cunt uxorem, quo magis resurrectionem discerpant. Igitur quia prætexebant illi legem Mosi, ostendit eos Dominus ignaros Scripturarum. Non enim intelligitis, inquit, de qua resurrectione Scriptura loquatur. Vos enim opinamini quod iterum status talis magis corporalis sit futurus : at non sic erit. Itaque ignoratis Scripturæ mentem : sed et Dei virtutem ignoratis. Enimvero vos ad difficultatem rei fortasse respicitis, et propterea addubitatis quomodo poterunt dissoluta corpora redire ad animam. Sed virtuti divinæ hoc quasi nihil erit. Erit igitur resurrectio, et non corporalis, sed divinior quidam vitæ status, angelicus videlicet. Incorruptibiles enim erimus, et iidem qui sumus manentes, propereaque tollentur etiam nuptiæ. Nunc enim

nuptiæ propter corruptionem fiunt, ut successione generis durantes homines non intereant : tunc autem sicut angeli absque nuptiali successione illi ipsi erunt, et nunquam deficient : sic et qui resurgunt, sine nuptiis permanent, nunquam imminuendi 94. Et aliter quoque taxantur ut nescientes Scripturas. Si enim intellexissent illas, intelligerent etiam quomodo scriptum sit. Ego sum ille Deus Abraham, utpote manifeste viventium. Non enim dixit, Ego eram, sed, sum, utpote præsentium,
238 atque illorum non perditorum. Jam fortassis dicet quis, quod hoc de sola Abrahæ anima dixerit Dominus, et non item de corpore, et ita corpora non resurgunt. Dico igitur primum quidem quod Abraham utrumque dicatur, anima et corpus, et ita etiam Deus est corporis, quod et ipsum vivit apud Deum, et non omnino in nihilum redigitur. Insuper quia Sadducæi de corporis resurrectione dubitabant, certum quod Dominus de corporibus dixerit quod vivant apud Deum, non de anima. Nam istud jam ex confesso erat etiam apud carnales Sadducæos. Observa et hoc. Resurrectio est ejus quod ceciderat surrectio. Immortalis autem anima non cecidit, sed corpus hoc ; itaque et resurget iterum, conjugali animæ complicitum.

**Vers.** 28-34. « Et cum accessisset quidam e Scribis, et audisset eos simul disputantes, videretque quod bene respondisset eis, interrogavit illum: Quod est primum omnium præceptorum ? Jesus autem respondit illi : Primum omnium præceptorum est : Audi Israel, Dominus Deus noster, Dominus unus est: et diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex tota mente tua, et ex totis viribus tuis. Hoc est primum præceptum : et secundum simile hoc est : Diliges proximum tuum ut teipsum. Majus his aliud præceptum non est. Et dixit illi Scriba : Bene, præceptor, cum veritate dixisti, quod unus sit Deus, et non sit alius præter illum : quodque diligere eum ex toto corde, et ex tota intelligentia, et ex tota anima, et ex totis viribus, ac diligere proximum ut seipsum, plus sit quam universa holocaustomata et victimæ. At Jesus cum videret quod cordate respondisset, dixit illi : Haud longe abes a regno Dei. Et nemo post illa audebat illum interrogare. » Matthæus quidem inquit quod tentans accesserit : Marcus vero dicit quod prudenter responderit. Nunquid ergo dicunt contraria? Minime: sed verisimile est primum quidem ipsum ut tentantem interrogasse, deinde cum profuisset ei responsum Christi, et cordate respondisset, ab illo laudatum. Vide autem et laudem. Non perfectum illum testatur. Non enim dixit, Intra regnum cælorum es: sed, non procul es. Quare autem hanc potissimum quæstionem legisperitus ille proposuit Christo? Putabat reprehendi posse Christum, qui emendaturus esset legem, unde accusari posset tanquam

A θήσεται · νῦν γὰρ ὁ γάμος διὰ τὴν φθορὰν γίνεται, ἵνα τῇ διαδοχῇ τοῦ γένους συνιστάμενοι, μὴ ἀφανισθῶμεν. Τότε δὲ, ὥσπερ οἱ ἄγγελοι ἄνευ διαδοχῆς γαμικῆς οἱ αὐτοί εἰσι, καὶ οὐδέποτε λήγουσιν · οὕτω καὶ οἱ ἀνιστάμενοι ἄνευ γάμου ἀνελάττωτοι διαμένουσι. Καὶ ἄλλως δὲ ἐλέγχονται μὴ εἰδότες τὰς Γραφάς. Εἰ γὰρ ἐνόουν ταύτας, ἐνόησαν ἂν καὶ πῶς εἴρηται τὸ, Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, ὡς δηλαδὴ ζώντων. Οὐ γὰρ εἶπεν, ὅτι ἐγὼ ἤμην, ἀλλ', Εἰμι. Ὡς ἐνεστώτων κἀκείνων, καὶ μὴ ἀπολομένων. Ἀλλ' ἴσως εἴποι τις ὡς τοῦτο περὶ τῆς ψυχῆς τοῦ Ἀβραὰμ εἴρηκε μόνης ὁ Κύριος, οὐχὶ καὶ περὶ τοῦ σώματος, ὥστε τὰ σώματα οὐκ ἀνίστανται. Λέγω οὖν πρῶτον μὲν, ὅτι Ἀβραὰμ τὸ συναμφότερον λέγεται, ψυχὴ καὶ σῶμα, ὥστε καὶ τοῦ σώματός ἐστι Θεὸς, ζῶντος
B καὶ αὐτοῦ παρὰ τῷ Θεῷ, καὶ μὴ πάντῃ εἰς τὸ μὴ ὂν χωρήσαντος. Ἔπειτα ὅτι οἱ Σαδδουκαῖοι περὶ τῆς τῶν σωμάτων ἀναστάσεως ἀμφέβαλλον. Ὥστε καὶ ὁ Κύριος περὶ τῶν σωμάτων εἶπεν ὅτι ζῶσι παρὰ τῷ Θεῷ, οὐχὶ περὶ τῶν ψυχῶν. Τοῦτο γὰρ ἤδη ὡμολόγητο καὶ παρὰ τοῖς σαρκικοῖς Σαδδουκαίοις. Ἔπειτα καὶ τοῦτο σκόπει, ἡ ἀνάστασις, τοῦ πεπτωκότος ἐστὶν ἀνάστασις. Ἔπεσε δὲ οὐχ ἡ ψυχὴ, ἀθάνατος γὰρ, ἀλλὰ τὸ σῶμα · τοῦτο ἄρα καὶ ἀναστήσεται, προσπλακὲν πάλιν τῇ ὁμοζύγῳ ψυχῇ.

« Καὶ προσελθὼν εἷς τῶν Γραμματέων, ἀκούσας αὐτῶν συζητούντων, εἰδὼς ὅτι καλῶς αὐτοῖς ἀπεκρίθη, ἐπηρώτησεν αὐτὸν, ποία ἐστὶ πρώτη πασῶν ἐντολή ; Ὁ δὲ Ἰησοῦς ἀπεκρίθη αὐτῷ, ὅτι πρώτη πασῶν τῶν ἐντολῶν, Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεὸς
C ἡμῶν, Κύριος εἷς ἐστι, καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου. Αὕτη πρώτη ἐντολή · καὶ δευτέρα ὁμοία αὕτη · Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστι. Καὶ εἶπεν αὐτῷ ὁ Γραμματεύς · Καλῶς, διδάσκαλε, ἐπ' ἀληθείας εἶπες, ὅτι εἷς ἐστι Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ, καὶ τὸ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς συνέσεως, καὶ ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸ ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτὸν, πλεῖόν ἐστι πάντων τῶν ὁλοκαυτωμάτων καὶ τῶν θυσιῶν. Καὶ ὁ Ἰησοῦς ἰδὼν, ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ · Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ οὐδεὶς οὐκ-
D έτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι. » Ὁ μὲν Ματθαῖός φησιν, ὅτι πειράζων προσῆλθεν, ὁ δὲ Μάρκος ἐνταῦθα λέγει, ὅτι νουνεχῶς ἀπεκρίθη. Ἆρα οὖν ἐναντιοφωνοῦσι ; Οὐχὶ, ἀλλ' εἰκὸς πρῶτον μὲν αὐτὸν ὡς πειράζοντα ἐρωτῆσαι, εἶτα ὠφεληθέντα ἀπὸ τῆς ἀποκρίσεως τοῦ Χριστοῦ, καὶ νουνεχῶς ἀποκριθέντα, ἐπαινεθῆναι. Ὅρα δὲ καὶ τὸν ἔπαινον, πῶς οὐχὶ τέλειον αὐτὸν εἶναι μαρτυρεῖ. Οὐ γὰρ εἶπεν ὅτι Ἐντὸς εἶ τῆς βασιλείας τοῦ Θεοῦ, ἀλλ' οὐ μακρὰν εἶ. Τίνος δὲ ἕνεκεν ὅλως ταύτην τὴν ἐρώτησιν προεβάλλετο τῷ Χριστῷ ὁ νομικὸς οὗτος ; Νομίζων ἐπιλήψεσθαι τοῦ Χριστοῦ ὡς ἐπιδιορθωσομένου τὸν νόμον, καὶ διὰ τοῦτο

94 Exod. III.

κατηγορήσειν αὐτοῦ ὡς ἀντιθέτου τῷ νόμῳ. Ἀλλ' ὁ Κύριος δεικνύων αὐτῷ ὅτι ἀπὸ τοῦ μὴ ἔχειν ἀγάπην, ἀλλὰ τῷ φθόνῳ τήκεσθαι, ἔρχεται ἐπὶ τὰ τοιαῦτα ἐρωτήματα, φησὶν (81), ὅτι πρώτη καὶ μεγάλη ἐντολὴ, τὸ ἀγαπᾷν τὸν Θεὸν, δευτέρα δὲ ὁμοία, τὸ ἀγαπᾷν τὸν πλησίον. Πῶς δὲ ὁμοία; Διότι ὑπ' ἀλλήλων συγκρατοῦνται. Ὁ γὰρ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸ ποίημα αὐτοῦ· οἰκειότατον δὲ τῶν ποιημάτων, ὁ ἄνθρωπος, ὥστε ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπήσει καὶ πάντας ἀνθρώπους, ὅ τε τὸν πλησίον ἀγαπῶν, πολλῷ μᾶλλον τὸν Θεόν Εἰ γὰρ ἀνθρώπους ἀγαπᾷ, τοὺς πολλάκις ἀφορμὴν σκανδάλων καὶ μίσους παρέχοντας, πολλῷ μᾶλλον τὸν Θεὸν τὸν ἀεὶ εὐεργετοῦντα. Ἄκουε δὲ καὶ τοῦ Κυρίου· Ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει. Ὁρᾷς ὅτι ἀπὸ τοῦ ἀγαπᾷν τὸν Θεὸν τηροῦμεν τὰς ἐντολὰς αὐτοῦ, αἱ δὲ ἐντολαὶ αὐτοῦ πᾶσαι περὶ τῆς εἰς ἀλλήλους στοργῆς διαλαμβάνουσι. Καὶ πάλιν, Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. Ὁρᾷς πάλιν, πῶς ἐκ τοῦ ἀγαπᾷν ἀλλήλους συνίσταται τὸ ἔχειν φιλίαν πρὸς τὸν Χριστὸν, καὶ εἶναι αὐτοῦ μαθητὰς καὶ φίλους; Σκόπει δὲ πῶς πάσας τὰς τῆς ψυχῆς δυνάμεις ἀπηριθμήσατο. Ἔστι γὰρ ψυχῆς δύναμις, ἡ ζωώδης· ἣν αἰνίττεται ἐν τῷ εἰπεῖν, ἐξ ὅλης τῆς ψυχῆς. Τὸν θυμὸν γὰρ καὶ τὴν ἐπιθυμίαν ὅλα διδόναι τῇ ἀγάπῃ τοῦ Θεοῦ βούλεται. Ἔστι καὶ ἑτέρα δύναμις ψυχῆς, ἡ καλουμένη φυτικὴ, ἥτις λέγεται θρεπτικὴ καὶ αὐξητική. Καὶ ταύτην οὖν δοτέον ὅλην τῷ Θεῷ. Ἔστι δὲ καὶ ἡ λογικὴ δύναμις, ἣν ὠνόμασεν ὁ νόμος διάνοιαν. Πάσας τοίνυν τὰς τῆς ψυχῆς δυνάμεις ἀναθετέον τῇ ἀγάπῃ.

« Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε, διδάσκων ἐν τῷ ἱερῷ, Πῶς λέγουσιν οἱ Γραμματεῖς ὅτι ὁ Χριστὸς, υἱός ἐστι Δαβίδ; αὐτὸς γὰρ Δαβὶδ εἶπεν ἐν Πνεύματι ἁγίῳ· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Αὐτὸς οὖν Δαβὶδ λέγει αὐτὸν Κύριον, καὶ πόθεν υἱὸς αὐτοῦ ἐστι; Καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως. Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· Βλέπετε ἀπὸ τῶν Γραμματέων, τῶν θελόντων ἐν στολαῖς περιπατεῖν, καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις, οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι, οὗτοι λήψονται περισσότερον κρῖμα. » Ἐπειδὴ πρὸς τὸ πάθος ἔμελλεν ἔρχεσθαι ὁ Κύριος, διορθοῦται τὴν πεπλανημένην τῶν Γραμ-

A legis adversarius. Verum Dominus ostendens ei quod charitatem simpliciter non habeat, sed invidia corruptus venisset ad hæc interroganda, dicit : Primum et magnum mandatum est, diligere Deum, et secundum simile (*a*), diligere proximum. Quomodo autem simile? Eo quod simul inter se connexa sunt. Qui enim diligit Deum [95], diligit et facturam ejus. Homo autem maxime propria factura 239 Dei : et ita qui diligit Deum, diliget etiam omnes homines : et dum proximum diligit, multo magis Deum diligit. Nam si homines diligit, qui multas sæpe scandalorum occasiones et odia fovent, quanto magis Deum, qui semper benefacit? Audi autem Dominum : Qui diligit me, mandata mea servabit [96]. Vides nos diligendo Deum servare mandata

B ejus. Mandata ejus omnia de amore mutuo tractant. Et iterum, In hoc scient omnes quod mei discipuli estis, si diligitis vos invicem. Vides iterum quod ex mutuo amore discitur amor erga Christum, ita ut simus ejus discipuli et amici. Observa autem quomodo omnes animæ virtutes enumerarit. Est enim virtus animæ animalis, quam insinuat dum dicit, ex tota anima. Iram enim et concupiscentiam totam dilectioni Dei dari vult. Est etiam alia virtus animæ quæ dicitur nutritiva, ea est et plantarum : quæ et ipsa quoque Deo tota est danda. Est insuper rationalis vis, quam nominavit lex intelligentiam. Omnes igitur animæ virtutes charitati offerendæ sunt.

C Vers. 35-40. « Et respondens Jesus dicebat, docens in templo : Quomodo dicunt Scribæ Christum esse filium David? nam ipse David dixit afflatus Spiritu sancto : Dixit Dominus Domino meo : Sede a dextris mihi, donec posuero inimicos tuos scabellum pedum tuorum. Ipse ergo David vocat eum Dominum, et unde filius ejus est? Et pleraque turba audiebat illum libenter. Et dicebat illis in doctrina sua : Cavete a Scribis, qui amant infulati obambulare, et amant salutationes in foris, primasque sellas in congregationibus, et primos accubitus in cœnis, qui devorant domos viduarum, et sub prætextu longas faciunt preces : isti accipient graviorem damnationem. » Quia Christus ad passionem accessurus erat, corrigit prius opinionem Scribarum erroneam, qui suspicabantur Christum

95 I Joan. IV, 5. 96 Joan. XIV, 15.

Ex collatione codd. Venet. S. Marci.

(81) Cod. 26 : Ἔρχεται ἐπὶ τὰ τοιαῦτα ἐρωτήματα, φησὶν, Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεὸς ὑμῶν, Κύριος εἷς ἐστιν. Ἐμφαίνει δὲ καὶ τοῦτο τὰς τρεῖς ὑποστάσεις καὶ τὴν μίαν φύσιν τῆς θεότητος, Τὸ γὰρ Κύριος καὶ τὸ ὁ Θεὸς, καὶ αὖθις τὸ Κύριος, τῶν τριῶν προσώπων εἰσὶ δηλωτικά· τὸ δὲ εἷς, τῆς μιᾶς φύσεως. Καὶ ἑτέρως δὲ σύνηθες τοῖς Ἑβραίοις ἡ ἀναδίπλωσις τοῦ, Κύριος, Κύριος, καὶ ὁ Θεὸς, ὁ Θεὸς, διὰ τὴν ὑπεροχήν. Μετὰ τοῦτο γέγραπται, Ἀγαπήσεις καὶ Κύριον τὸν Θεόν σου, καὶ τὰ ἑξῆς. Αὕτη πρώτη καὶ μεγάλη ἐντολὴ, κ. τ. λ. « Ve-

D nit ad hæc interroganda, dicit : *Audi, Israel, Dominus Deus vester, Dominus unus est.* Indicat vero et hoc tres personas, et unam naturam Deitatis. Quod enim dicitur, *Dominus* et *Deus*, et iterum *Dominus*, tres personas significat : cum additur *unus*, una natura denotatur. Alias autem, familiaris est Hebræis reduplicatio hæc : *Dominus, Dominus*, et *Deus, Deus*, ad excellentiam denotandam. Postea scriptum est, *Diliges Dominum Deum tuum*, et quæ sequuntur. *Hoc primum et magnum mandatum est,* » etc.

(*a*) In edit. Lut. desunt : *Deum, et secundum simile.*

esse filium David, sed non Dominum. Demonstrat igitur se Deum ex ipsis David verbis : et non simpliciter, sed deterret, eo quod dicit, « Donec posuero inimicos tuos scabellum pedum tuorum. » Nam ipsi omnino erant inimici ejus, quos posuit Deus Pater scabellum pedum Christi. Vide autem et quomodo interroget. Non enim dixit : Quid vobis videtur de me, sed, de Christo ? Et ita non perstringit eos. Et neque potestis mihi dicere quod absque Spiritu hoc dixerit David, sed Spiritus sancti afflatu dixit eum Dominum, id est motus gratia Spiritus. Quomodo ergo Christus filius est David, an non Dominus ejus et Deus ? Turba igitur audiebat eum libenter. Et dicebat turbæ : Cavete a Scribis, qui splendidiores ferunt stolas, et propter illas præferri volunt, salutationesque et celebritates fori probant, et gloriæ omnibus modis student : qui et domus viduarum comedunt. 240 Clam enim accedunt ad mulieres præsidio destitutas, quasi illarum futuri tutores et patroni, et prætextu longæ orationis et pietatis colore et simulatione decipiunt simpliciores, devorantes domos divitum. Illi igitur graviorem accipient damnationem, quam alii Judæi peccantes. Potentes enim potentius punientur [97]. Interim et apostolos docet ne juxta Scribarum morem vivant, sed ipsum imitentur. Doctores enim illos ordinans consentaneum erat, ut et vitæ suæ faceret imitatores.

A ματέων δόξαν, ὑπολαμβανόντων τὸν Χριστὸν εἶναι υἱὸν τοῦ Δαβὶδ, ἀλλ' οὐχὶ κύριον. Ἀποδείκνυσι τοίνυν ἑαυτὸν Θεὸν, ἐξ αὐτῶν τῶν τοῦ Δαβὶδ ῥημάτων, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐκφοβῶν διὰ τοῦ λέγειν, « Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. » Αὐτοὶ δὲ πάντως ἦσαν οἱ ἐχθροὶ αὐτοῦ, οὓς ἔθηκεν ὁ Θεὸς καὶ Πατὴρ ὑποπόδιον τῶν ποδῶν τοῦ Χριστοῦ. Ὅρα δὲ καὶ πῶς ἐρωτᾷ. Οὐ γὰρ εἶπε, Τί ὑμῖν δοκεῖ περὶ ἐμοῦ, ἀλλὰ, περὶ τοῦ Χριστοῦ ; ὥστε μὴ πλῆξαι αὐτούς. Ἀλλ' οὐδέ ἔχετέ μοι εἰπεῖν ὅτι χωρὶς τοῦ Πνεύματος τοῦτο εἶπεν ὁ Δαβὶδ, ἀλλ' ἐν Πνεύματι ἐκάλεσεν αὐτὸν Κύριον, τουτέστι, τῇ τοῦ Πνεύματος κινούμενος χάριτι. Πῶς οὖν ὁ Χριστὸς υἱός ἐστι τοῦ Δαβὶδ, ἀλλ' οὐχὶ καὶ κύριος αὐτοῦ καὶ Θεός ; Ὁ οὖν ὄχλος ἤκουεν αὐτοῦ ἡδέως. Καὶ ἔλεγεν αὐτοῖς, B τοῖς τοῦ ὄχλου φημὶ, Φυλάττεσθε ἀπὸ τῶν Γραμματέων, τῶν στολὰς φορούντων σεμνοτέρας, καὶ ἐκ τούτων θελόντων προτιμᾶσθαι, καὶ τοὺς ἀσπασμοὺς δὲ καὶ τὰς εὐφημίας ἀποδεχομένων ἐν ταῖς ἀγοραῖς, καὶ ὅσα ἄλλα πρὸς δόξαν ἐπιτηδευόντων, οἳ καὶ τὰς οἰκίας τῶν χηρῶν κατεσθίουσιν. Ὑπεισήρχοντο γὰρ τὰς ἀπροστατεύτους γυναῖκας, ὡς δῆθεν προστάται αὐτῶν ἐσόμενοι, καὶ προφάσει τοῦ μακρὰ προσεύχεσθαι, καὶ προσχήματι εὐλαβείας καὶ ὑποκρίσει ἀπατῶντες τοὺς ἀφελεστέρους, κατήσθιον τὰς οἰκίας τῶν πλουσίων. Οὗτοι τοίνυν περισσότερον κατακριθήσονται τῶν ἄλλων Ἰουδαίων τῶν ἁμαρτανόντων. Δυνατοὶ γὰρ, δυνατῶς ἐτασθήσονται. Ἅμα δὲ διὰ τούτων καὶ τοὺς ἀποστόλους διδάσκει μὴ κατὰ τοὺς Γραμματεῖς πολιτεύεσθαι ἀλλ' αὐτὸν μιμεῖσθαι. Διδασκάλους γὰρ αὐτοὺς χειροτονῶν, εἰκότως καὶ περὶ τοῦ βίου αὐτοῖς ὑποτίθεται.

VERS. 41-44. « Et cum sederet Jesus ex adverso gazophylacii, spectabat quomodo turba mitteret æs in gazophylacium, et multi divites mittebant multa : et venit quædam vidua pauper, misitque minuta duo, quod est quadrans. Vocatisque ad se discipulis suis dicit illis : Amen dico vobis, quod vidua hæc pauper plus misit, quam omnes qui miserunt in gazophylacium. Nam omnes ex eo quod ipsis supererat, miserunt : at hæc e penuria sua omnia quæcunque habebat misit, totam substantiam suam. » Mirabilis quædam consuetudo apud Judæos erat. Qui enim poterant et volebant, mittebant in thesaurum templi, qui vocabatur gazophylacium, e quo sacerdotes et pauperes et viduæ alebantur. Cumque id multi facerent, et vidua accessit, suam voluntatem declarans opibus abundantiorem. Gloria tibi, Christe, qui et parva gratiora sæpe habes quam magna. Quæso ut etiam mea anima vidua talis sit, quæ abjiciat Satanam, cui adhæsit, et mittat in thesaurum sacrum duo minuta, carnem et mentem, ipsaque imminuat, continentia quidem carnem, humilitate vero mentem, ut et ego audiam quod totam meam vitam consecrarim Deo, non relicta ulla cogitatione vel affectione huic mundo.

C « Καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου, ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον. Καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλὰ, καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλλε λεπτὰ δύο, ὅ ἐστι κοδράντης. Καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων βέβληκε τῶν βαλόντων εἰς τὸ γαζοφυλάκιον. Πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον, αὕτη δὲ, ἐκ τῆς ὑστερήσεως αὐτῆς, πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς. » Θαυμαστόν τι ἔθος παρὰ τοῖς Ἰουδαίοις ἐκράτει, ὥστε τοὺς ἔχοντας καὶ βουλομένους βάλλειν εἰς τὸν ἐν τῷ ἱερῷ θησαυρὸν (οὗτος γὰρ ἐκαλεῖτο γαζοφυλάκιον), ὡς ἂν οἵ τε ἱερεῖς καὶ οἱ πένητες καὶ αἱ χῆραι ἐκ τούτων διατρέφοιντο. Πολλῶν οὖν τὸ D τοιοῦτο ποιούντων, καὶ χήρα προσελθοῦσα τὴν ἑαυτῆς προαίρεσιν ἐπεδείξατο εὐπορωτέραν τῆς δυνάμεως. Δόξα σοι, Χριστὲ, ὃς καὶ τὰ μικρὰ δέχῃ ὑπὲρ τὰ μεγάλα πολλάκις. Γένοιτο καὶ τὴν ἐμὴν ψυχὴν χήραν γενέσθαι, ἀποβαλοῦσαν τὸν Σατανᾶν, ᾧ προσεκολλήθη, καὶ βαλεῖν εἰς τὸν ἱερὸν θησαυρὸν δύο λεπτὰ, τὴν σάρκα καὶ τὸν νοῦν, λεπτύνασαν αὐτὰ, διὰ τῆς ἐγκρατείας μὲν τὴν σάρκα, διὰ δὲ τῆς ταπεινώσεως, τὸν νοῦν, ἵνα καὶ ἐγὼ ἀκούσω ὅτι ὅλον μου τὸν βίον ἱερὸν ἐποιησάμην, οὐδὲν ὑπολείψας νόημα ἢ κίνημα τῷ κόσμῳ.

[97] Sap. VI, 7.

## ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τῆς συντελείας. Περὶ τῆς ἡμέρας καὶ ὥρας.

« Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ· Διδάσκαλε, ἴδε ποταποὶ λίθοι, καὶ ποταπαὶ οἰκοδομαί. Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ· Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθῳ ὃς οὐ μὴ καταλυθῇ. Καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, κατέναντι τοῦ ἱεροῦ, ἐπηρώτων αὐτὸν κατ' ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας· Εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα πάντα συντελεῖσθαι; » Ἐπειδὴ πολλὰ περὶ τῆς ἐρημώσεως τῆς Ἱερουσαλὴμ ἔλεγεν ὁ Κύριος, ὅτι, Ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος, οἱ μαθηταὶ αὐτοῦ θαυμάζοντες, ὥσπερ εἰ τοσαῦτα μεγέθη καὶ κάλλη οἰκοδομημάτων ἀφανι- B σθήσεται, δεικνύουσιν αὐτῷ τὴν τοῦ ναοῦ τοσαύτην εὐπρέπειαν. Ὁ δὲ οὐδὲν ἧττον ἀπολεσθήσεσθαι ταῦτα προαναφωνεῖ, καὶ τοσοῦτον, ὥστε μηδὲ λίθον ἐπὶ λίθῳ μεῖναι. Καὶ μὴν φασί τινες ὡς πολλὰ ἀπέμειναν λείψανα τῆς Ἱερουσαλὴμ τῆς παλαιᾶς πόλεως, ὥστε πειρῶνται δεῖξαι ψευδῆ τὸν Χριστὸν, ἀλλ' οὐκ ἔστι τοῦτο. Εἰ γὰρ καὶ ὑπελείφθησάν τινα λείψανα, ὅπερ οὐκ ἐστιν ἀληθὲς, ἀλλ' οὖν ἄχρι τῆς καθόλου συντελείας οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθῳ. Πλὴν ἱστόρηται, ὅτι ὁ Αἴλιος Ἀδριανὸς κατέσκαψε τὴν πόλιν καὶ τὸ ἱερὸν ἐκ βάθρων αὐτῶν. ὥστε καὶ τοῦτο ἐπ' αὐτοῦ πληρωθῆναι, τὸ, μηδὲ λίθον ὑπολειφθῆναι ἐπὶ λίθῳ. Καθημένου δὲ αὐτοῦ εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, προσῆλθον αὐτῷ ἐρωτῶντες, Πότε ταῦτα ἔσται; τουτέστι, πότε συντελεσθήσεται ἡ τῆς Ἱερουσαλὴμ; C Ὁ δὲ, πρὸ τοῦ ἀποκρίνασθαι αὐτοῖς περὶ ὧν ἠρώτησαν, ἀσφαλίζεται τὴν διάνοιαν αὐτῶν, ἵνα μὴ πλανηθῶσιν. Ἐπεὶ γὰρ ἀρξαμένων τῶν κατὰ τὴν Ἰουδαίαν νοσεῖν, ἐπανέστησάν τινες διδασκάλους ἑαυτοὺς λέγοντες, φησὶν ὁ Κύριος· Βλέπετε μὴ πλανηθῆτε.

« Ὁ δὲ Ἰησοῦς, ἀποκριθεὶς αὐτοῖς, ἤρξατο λέγειν, Βλέπετε μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες ὅτι, Ἐγώ εἰμι Χριστὸς, καὶ πολλοὺς πλανήσουσιν· ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε· δεῖ γενέσθαι, ἀλλ' οὔπω τὸ τέλος. Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν. Καὶ ἔσονται σεισμοὶ κατὰ τόπους. Καὶ ἔσονται λιμοὶ καὶ ταραχαί. Ἀρχαὶ ὠδίνων ταῦτα. Βλέπετε δὲ ὑμεῖς ἑαυτούς. παραδώ- D σουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ εἰς συναγωγὰς δαρήσεσθε, καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς. Καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ Εὐαγγέλιον. » Πολλοὶ ἐλεύσονται, οἷος ἦν Ἰούδας, οἷος Θευδᾶς, οἳ ἔλεγον ἑαυτοὺς ὑπὸ τοῦ Θεοῦ πεμφθῆναι. Πολέμους δὲ ἀκούσεσθε, φησὶν, οὓς καὶ ὁ Ἰώσηπος ἱστορεῖ γεγενῆσθαι πρὸ τῆς ἁλώσεως. Καὶ γὰρ ἀντῆρε μὲν τὸ ἔθνος, καὶ οὐκ ἐδίδου τοὺς φόρους Ῥωμαίοις.. Οἱ δὲ, ὀργισθέντες, ἐπῆλθον καὶ συνεχεῖς ἐφόδους ἐποίουν, ἀλλ' οὔπω δὲ τέλος τῆς Ἱερουσαλήμ. Ἐφιλανθρωπεύοντο γὰρ οἱ Ῥωμαῖοι. Οὐ μόνον

## CAPUT XIII

*De consummatione. De die et hora.*

A VERS. 1-4. « Et cum exiret de templo, dicit illi quidam e discipulis illius : Præceptor, vide quales lapides, et quales substructiones. Et Jesus respondens, ait illi : Vides has magnas substructiones? Non relinquetur lapis super lapidem, qui non diruatur. Et cum sederet in monte olivarum e regione templi interrogabant illum secreto Petrus et Jacobus, et Joannes et Andreas : Dic nobis, quando hæc erunt? et quod signum est quando hæc omnia sint consummanda? » Quoniam multa de desolatione Jerusalem dicebat Jesus, quod relinqueretur domus vestra deserta, discipuli ejus admirantes, quod tantæ magnitudinis tamque pulchra ædificia abolenda essent, ostendunt illi decorem templi. At ille nihilominus prædicit perdenda, et in tantum, ut neque lapis super lapidem maneat. **241** Atqui dicunt quidam multas veteris civitatis Jerusalem reliquias superstites, et ita Christum mendacem ostendere tentant, sed hoc neutiquam verum est. Nam etiamsi reliquiæ quædam relictæ essent, quod verum non est, non tamen relinquetur usque ad consummationem sæculi lapis super lapidem. Quin historiæ habent quod Ælius Adrianus templum et civitatem a fundamentis effoderit, et ita in illo impletum est quod non sit relictus lapis super lapidem. Porro sedente illo in monte olivarum, accesserunt ad eum interrogantes : Quando hæc erunt? hoc est, quando consummabitur Jerusalem? At ipse tanquam responderet eis de his de quibus interrogabant munit cogitationem illorum, ut ne errent. Quia incipientibus autem rebus Judaicis labescere surrexerunt quidam qui se dicebant magistros, dicit Dominus : Videte ne decipiamini.

VERS. 5-10. « At Jesus respondens illis cœpit dicere : Videte ne quis vos fallat : multi enim venient in nomine meo dicentes : Ego sum Christus, multosque decipient. Cum autem audieritis bella et rumores bellorum, ne turbemini : oportet enim fieri, at nondum finis. Insurget enim gens adversus gentem, et regnum adversus regnum. Et erunt terræ motus in singulis locis, et erunt fames ac turbationes. Initia dolorum hæc, sed cavete vos vobis. Tradent enim vos in concilia, et in synagogis cædemini, et sub principibus ac regibus ducemini propter me, in testimonium illis. Et apud omnes gentes oportet prius prædicari Evangelium. » Multi venient, qualis erat Judas, qualis Theudas, qui dicebant se a Deo missos esse. Bella autem futura dicit, quæ et Josephus narrat ante captivitatem facta. Nam insurgebat quidem gens, et non reddebat tributa. Romani autem irati eos infestarunt, et continuis excursionibus ac cladibus affecerunt, sed nondum finis Jerusalem. Romani enim misericordes erant. Non solum

autem bella erant, sed etiam aliæ clades a Deo immissæ, ut fames, et terræ motus: ostendente eis Deo manifeste quod ipse illos impugnaret. Omnia enim hæc principia parturitionum, hoc est, malorum quæ ipsis eventura sunt. Cavete autem vos vobis, tradent enim vos in concilia. Tempestive interserit narrationem illam: Tradent vos in concilia, ut ex communibus habeant consolationem quamdam in propriis calamitatibus. Sed et dicendo: Propter me ducemini ad duces et reges, consolationem eis non mediocrem attulit, quod pro ipso passuri essent. In testimonium vero illis, hoc est, ut inexcusabiles illi sint, et ob hoc condemnati, quod etiam torquentes vos, veritatem vincere non potuerunt. Deinde ne putent quod pericula et afflictiones prædicationem prohibeant, inquit: Et in omnes gentes oportet 242 prædicari Evangelium, et tunc capietur Jerusalem. Nam quod ante captivitatem prædicatum sit Evangelium, audi Paulum: « In omnem terram exivit sonus eorum, et in fines orbis terræ verba eorum [98]. » Quod etiam in majorem condemnationem Judææ factum est, quod ante captivitatem ubique Evangelium prædicatum est. Nam cum viderent tam brevi tempore in totum orbem prædicationem transire, etiam ipsi agnoscere debuissent Christi virtutem, pœnitentiam agere, et liberari a calamitatibus: sed non intellexerunt, et idcirco major illorum damnatio.

VERS. 11-13. « Cum autem duxerint vos tradentes, ne præcogitetis quid dicturi sitis, neque meditemini, sed quidquid datum fuerit vobis in illa hora, hoc loquamini. Non enim estis vos qui loquimini, sed Spiritus sanctus. Traditurus est autem frater fratrem in mortem, et pater filium, et insurgent filii adversus parentes, et morte afficient eos. Et eritis odio habiti ab omnibus propter nomen meum. Sed qui perseveraverit usque in finem, hic salvus erit. » Antequam bellum perfectum excitatum esset, quid non patiebantur apostoli ab illis dum protraherentur ad tribunalia [99], et ducerentur ad reges, Herodem, et Agrippam, et Neromen? Ne igitur antea solliciti sitis (inquit) quid loquamini, sed in ipsa hora dabit vobis Spiritus sanctus quæ loquamini. Prædicit autem eis, quod omnium est gravissimum: nempe a maxime familiaribus impugnandos. Et dicit hoc, ut quum prius audierint, præpa-

A δὲ πόλεμοι ἐγένοντο, ἀλλὰ καὶ θεήλατοι πληγαὶ, λιμοὶ καὶ σεισμοὶ, δεικνῦντος προφανῶς αὐτοῖς τοῦ Θεοῦ, ὅτι αὐτὸς αὐτοῖς πολεμεῖ. Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων, τουτέστι, τῶν συμβησομένων αὐτοῖς κακῶν. Βλέπετε δὲ ὑμεῖς ἑαυτούς· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια. Εὐκαίρως παρενέβαλε τὴν περὶ αὐτῶν διήγησιν, ὅτι παραδώσουσιν ὑμᾶς εἰς συνέδρια, ὡς ἂν ἔχωσί τινα παραμυθίαν ἀπὸ τῶν κοινῶν ἐπὶ ταῖς ἰδίαις συμφοραῖς. Ἀλλὰ καὶ ἐν τῷ εἰπεῖν, Ἕνεκεν ἐμοῦ ἀχθήσεσθε ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς, παραμυθίαν αὐτοῖς οὐ μακρὰν ἐνέθηκεν, ὅτι ὑπὲρ αὐτοῦ μέλλουσι πάσχειν. Τὸ δὲ, εἰς μαρτύριον αὐτοῖς, τουτέστιν, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους καὶ ἐντεῦθεν ἤδη κατακρίτους· ὅτι καὶ στρεβλοῦντες ὑμᾶς οὐκ ἠδυνήθησαν περιγενέσθαι τῆς B ἀληθείας (82). Εἶτα ἵνα μὴ νομίσωσιν ὅτι οἱ κίνδυνοι καὶ αἱ θλίψεις κωλύουσι τὸ κήρυγμα, φησὶν, ὅτι καὶ εἰς πάντα τὰ ἔθνη δεῖ κηρυχθῆναι τὸ Εὐαγγέλιον, καὶ τότε ἁλώσεται ἡ Ἱερουσαλήμ. Ὅτι γὰρ πρὸ τῆς ἁλώσεως ἐκηρύχθη τὸ Εὐαγγέλιον, ἄκουε τοῦ Παύλου· « Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. » Καὶ τοῦτο δὲ εἰς κατάκρισιν πλείονα τῶν Ἰουδαίων γέγονε, τὸ πρὸ τῆς ἁλώσεως κηρυχθῆναι πανταχοῦ. Ἔδει γὰρ αὐτοὺς ἰδόντας πῶς ἐν βραχεῖ καιρῷ εἰς πάντα τὸν κόσμον διέδραμε τὸ κήρυγμα, ἐπιγνῶναι τὴν τοῦ Θεοῦ δύναμιν, καὶ μεταγνῶναι, καὶ ἀφεθῆναι τῶν συμφορῶν, ἀλλ' οὐ συνῆκαν. Διὰ τοῦτο καὶ μεῖζον αὐτοῖς τὸ κρῖμα.

« Ὅταν δὲ ἄγωσιν ὑμᾶς παραδιδόντες, μὴ προC μεριμνᾶτε τί λαλήσητε, μηδὲ μελετᾶτε. Ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε. Οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. » Πρὶν ἢ γὰρ τὸν πόλεμον τέλεον ἐξαφθῆναι, τί οὐκ ἔπαθον παρ' αὐτῶν οἱ ἀπόστολοι, δικαστηρίοις παριστάμενοι, καὶ ἐπὶ βασιλεῖς ἀπαγόμενοι, Ἡρώδην καὶ Ἀγρίππαν καὶ Νέρωνα; Μὴ οὖν προμεριμνᾶτε τί ἀπολογήσεσθε, ἀλλ' ἐν αὐτῇ τῇ ὥρᾳ δώσει ὑμῖν τὸ Πνεῦμα τὸ ἅγιον ἃ λαλήσετε (83). Προαναφωνεῖ δὲ αὐτοῖς καὶ τὸ πάντων χείριστον, ὅτι καὶ ὑπὸ τῶν οἰκειοτάτων πολεμηθήσεσθε. Λέγει δὲ τοῦτο, ἵνα προακούσαντες ἑτοιμασθῶσι, καὶ λοιD πὸν κούφως φέρωσι τὸ δεινόν. Εἶτα ἡ παραμυθία.

[98] Rom. x, 18. [99] Act. XII, 25; XVI, 28.

Ex collatione codd. Venet. S. Marci.

(82) Cod. S. Marci 26 addit: Ἢ τὸ εἰς μαρτύριον, ἀντὶ τοῦ εἰς κατηγορίαν καὶ ἔλεγχον αὐτῶν· ἵνα μὴ δύνωνται λέγειν ἐν τῷ καιρῷ τῆς παγκοσμίου κρίσεως, ὅτι Οὐκ ἠνωτισάμεθα τὸ κήρυγμα. Τοσοῦτον γὰρ αὐτὸ ἐνωτισθήσονται, ὥστε καὶ τοὺς κήρυκας αὐτοὺς κολάσεσιν ἐσχάταις ὑποβαλεῖν. Εἶτα ἵνα μὴ νομίσωσι, κ. τ. λ. « Vel illud *in testimonium* idem significat ac, in accusationem et convictionem ipsorum; ne possint tempore universalis judicii dicere: Non audivimus prædicationem. Adeo enim ipsam audient, ut etiam præcones ipsos extremis suppliciis sint affecturi. *Deinde ne putent.* » etc.

(83) Cod. idem addit: Οἰκονομικῶς γὰρ τὸ Πνεῦμα τὸ ἅγιον τηνικαῦτα λαλεῖ, χρώμενον τοῖς αὐτῶν στόμασιν. Ἵνα μὴ ἡ τούτων ἀγροικία δόξῃ τοῖς ἀπίστοις ἧττο τοῦ κηρύγματος. Προαναφωνεῖ δὲ αὐτοῖς, κ. τ. λ. « Provide enim tunc Spiritus sanctus per ipsorum ora loquitur; ne illorum rusticitas apud infideles defectus rerum prædicatarum videri possit. *Prædicit autem eis,* » etc.

τὸ, Ἕνεκεν ἐμοῦ ἔσεσθε μισούμενοι. Τὸ γὰρ ἕνεκεν αὐτοῦ μισεῖσθαι, ἱκανόν ἐστι πάσας ἐπικουφίσαι τὰς συμφοράς. Ἀλλὰ καὶ τὸ σωθήσεσθαι τὸν ὑπομείναντα εἰς τέλος, καὶ τοῦτο μεγίστη παράκλησις.

« Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ὅπου οὐ δεῖ, ὁ ἀναγινώσκων νοείτω, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη. Ὁ δὲ ἐπὶ τοῦ δώματος, μὴ καταβάτω εἰς τὴν οἰκίαν, μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ εἰς τὸν ἀγρὸν ὤν, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω, ἆραι τὸ ἱμάτιον αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. » Βδέλυγμα τῆς ἐρημώσεως, ὁ ἀνδριὰς τοῦ τὴν πόλιν ἑλόντος. Βδέλυγμα γὰρ πᾶν εἴδωλον λέγεται. Ἐρημώσεως δὲ, διότι ἁλούσης τῆς Ἱερουσαλὴμ, καὶ ἐρήμωσιν πασχούσης ἔστησαν αὐτὸ ἔσω τῶν ἀδύτων τοῦ ναοῦ. Ἀλλὰ καὶ ὁ Πιλάτος, τὰς τοῦ Καίσαρος εἰκόνας νύκτωρ εἰς τὸ ἱερὸν ἀγαγὼν, πολλοῦ θορύβου τῷ πλήθει ἐγένετο αἴτιος. Ἔκτοτε ἤρξατο καὶ ὁ πόλεμος καὶ ἡ ἐρήμωσις τῆς Ἱερουσαλὴμ. Τότε τοίνυν οἱ ἐν τῇ Ἰουδαίᾳ ὄντες, φευγέτωσαν εἰς τὰ ὄρη. Καλῶς δὲ εἶπεν, οἱ ἐν τῇ Ἰουδαίᾳ. Οἱ γὰρ ἀπόστολοι οὐκ ἦσαν ἐν τῇ Ἰουδαίᾳ, ἀλλ', ὡς ἔφημεν, πρὸ τοῦ πολέμου ἐδιώχθησαν ἀπὸ τῆς Ἱερουσαλήμ· μᾶλλον δὲ ἐξῆλθον αὐτοὶ, θείῳ κινούμενοι Πνεύματι. Οἱ γοῦν εὑρεθέντες ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν, καὶ ὁ ἐπὶ τοῦ δώματος, μηδενὸς τῶν ἐν τῇ οἰκίᾳ ἐπιστραφήτω. Ἀγαπητὸν γὰρ εἰ καὶ γυμνῷ σώματι διασωθείη τις, ἀλλά καὶ ταῖς ἐχούσαις τέκνα καὶ ταῖς ἐγκύοις, οὐαί. Διατί; Διότι αἱ μὲν ἔχουσαι τέκνα τῇ πρὸς αὐτὰ στοργῇ κατεχόμεναι, οὐ δυνήσονται φεύγειν, αἱ δὲ ἐν γαστρὶ ἔχουσαι, διὰ τὸ τῆς κυοφορίας ἄχθος, οὐδὲ αὗται ῥᾳδίαν τὴν φυγὴν ἕξουσιν. Οἶμαι δὲ καὶ τὴν τεκνοφαγίαν ἐνταῦθα σημαίνειν. Ἐν γὰρ τῷ λιμῷ πολιορκούμενοι, καὶ τῶν τέκνων ἥψαντο.

« Προσεύχεσθε δὲ, ἵνα μὴ γένηται ἡ φυγὴ ἡμῶν χειμῶνος. Ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλίψις, οἵα οὐ γέγονε τοιαύτη ἀπ' ἀρχῆς κτίσεως ἧς ἔκτισεν ὁ Θεὸς ἕως τοῦ νῦν, καὶ οὐ μὴ γένηται. Καὶ εἰ μὴ Κύριος ἐκολόβωσε τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σὰρξ, ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο, ἐκολόβωσε τὰς ἡμέρας. » Εἰ χειμῶνος γὰρ γένοιτο ἡ φυγὴ, ἀπὸ τῆς τοῦ καιροῦ δυσκολίας ἐμποδισθήσονται οἱ φεύγειν θέλοντες, καὶ ὅλως θλίψις ἔσται, τῶν πώποτε γενομένων ἢ γενησομένων χαλεπωτέρα. Καὶ εἰ μὴ ἐκολόβωσεν ὁ Θεὸς, τουτέστι, συντόμως κατέλυσε τὸν πόλεμον τῶν Ῥωμαίων, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ, τουτέστιν, Ἰουδαῖος οὐκ ἂν ὑπελείφθη· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς. τουτέστι τοὺς ἐξ Ἑβραίων πιστεύσαντας, ἢ καὶ ὕστερον μέλλοντας πιστεύειν, κατελύθη συντόμως ὁ πόλεμος. Ὁ γὰρ Θεὸς προγινώσκων, ὅτι ἐξ Ἑβραίων πολλοὶ πιστεύσουσι μετὰ τὴν ἅλωσιν, τούτου χάριν οὐ συνεχώρησε παντελῶς ἀφανισθῆναι τὸ γένος. Δύναται δὲ ταῦτα καὶ ἀναχθῆναι ἠθικώτερον. Βδέλυγμα τῆς ἐρημώσεως, ἐστὶ πᾶν νόημα σατανικὸν, ἑστὼς ἐν τόπῳ ἁγίῳ, τῷ ἡμε-

A rentur, et periculum facilius ferant: deinde consolatio sequitur, quod Propter me odio eritis habiti. Quod enim propter ipsum fuerunt odio habiti, satis erat ad omnes calamitates leniendas. Quin et quod salvandi erant perseveraturi usque in finem, etiam ipsum maximam afferebat consolationem.

VERS. 14-17. « Porro cum videritis abominationem desolationis de qua dictum est a Daniele propheta, stantem ubi non oportet, qui legerit intelligat. Tunc qui fuerint in Judæa, fugiant ad montes: qui vero fuerit in tecto, ne descendat in domum, nec ingrediatur ut quicquam tollat e domo sua: et qui fuerit in agro, ne revertatur ad ea quæ reliquit a tergo, ad tollendum pallium suum. Væ autem prægnantibus, et lactantibus in diebus

B illis. » Abominatio desolationis statua est ejus qui civitatem destruxit. Abominatio enim omne idolum dicitur: desolationis vero eo quod, capta et desolata Jerusalem, illam statuerunt intra adytum templi. Pilatus quoque Cæsaris imagine noctu in templum illata, magni tumultus auctor fuit plebi. Tunc enim cœpit et bellum et desolatio Jerusalem. Igitur tunc hi qui in Judæa fuerint, fugiant in montes. Bene autem dixit, hi qui in Judæa. Nam apostoli non fuerunt in Judæa: sed, ut diximus, antequam bellum **243** exortum est, in persecutione exacti sunt e Jerusalem, imo ipsi exierunt, divino afflati Spiritu. Qui igitur inventi fuerint in Judæa, fugiant: et is qui supra tectum, nullius rei gratia quæ in domo, revertatur. Expedit enim ut quis vel nudo corpore salvus fiat. Insuper væ et

C prægnantibus, et lactantibus væ. Quare? Quia non possunt fugere mulieres quibus sunt pueri, affectione erga illos detentæ. Prægnantes quoque propter uteri sarcinam neque ipsæ facile fugam inveniunt. Existimo autem quod et pueros hoc loco significet vorandos. Fame enim obsessi nec pueris pepercerunt.

VERS. 18-20. « Orate autem ne fuga vestra fiat hyeme. Erunt enim dies illi talis afflictio, qualis non fuit ab initio rerum conditarum, quas condidit Deus, usque ad hoc tempus, nec futura est. Et nisi Dominus abbreviasset dies illos, haudquaquam salva fuisset universa caro. Sed propter electos quos elegit, abbreviavit dies. » Si hyeme fuga fieret, temporis injuria impedimenta habituri essent fugere volentes, et omnino afflictio futura

D est earum, quæ fuerunt vel erunt unquam gravissima, et nisi abbreviasset Deus, hoc est, citius Romanorum bellum dissolvisset, non fuisset salva universa caro, hoc est, Judæus non fuisset relictus. Sed propter electos, hoc est, eos qui ex Judæis crediderunt, vel postea credituri sunt, bellum citius diremptum est. Deus enim quia præcognovit ex Hebræis multos post captivitatem credituros, non permisit totum genus aboleri. Possunt autem hæc morali sensu sic exponi: Abominatio desolationis est omnis diabolica cogitatio, quæ stat in loco sancto, hoc est nostra mente. Tunc igitur qui

est in Judæa, fugiat in montana, hoc est, qui confessus fuerit, currat ad virtutum montes. Judæa enim confessio dicitur. Et qui in summo stat, non descendat. Quando enim affectio quædam in mente nostra reperitur, oportet per confessionem ad summa recurrere, et a summitate virtutis non descendere. Et qui operatur bonum, non revertatur ut tollat veterem conscientiam quæ est vestis quam exuit. Væ autem fugienti in hyeme. Oportet enim nos fugere a peccato cum alacritate, et non frigide et segniter. Hoc enim per fugam in hyeme insinuatur.

VERS. 21-26. « Tunc si quis vobis dixerit, Ecce hic Christus, ecce illic : ne credatis. Exorientur pseudochristi et pseudoprophetæ, et edent signa ac prodigia ad decipiendum, si fieri possit, etiam electos : vos autem cavete, ecce prædixi vobis omnia. Cæterum in illis diebus post afflictionem illam sol obtenebrabitur, et luna non dabit splendorem suum, et stellæ cœli decident, et virtutes quæ in cœlis sunt, concutientur : et tunc videbunt Filium hominis venientem in nubibus cum potestate et gloria multa. » Quia implevit quæ ad Jerusalem attinent, 244 incipit igitur nunc de adventu Antichristi dicere. Quod autem dicit, tunc, ne intelligas quod quando fient ea quæ supra dicta sunt de Jerusalem, tunc si quis vobis dixerit: Ecce hic Christus, ne credatis: sed scitote quod Scripturæ proprietas hæc est, sicut etiam Matthæus post genealogiam Christi dicit: In diebus illis advenit Joannes. Quibus diebus? num mox sequentibus post Christi nativitatem? Non, sed indefinite. Sic igitur et hoc loco dicit, tunc: non quando Jerusalem desolata fuit, sed per tempus adventus Antichristi, ne seducamini. Multi enim prætexent nomen Christi, ita ut et electos seducere queant. At post adventum Antichristi omnia creatura immutabitur, quando stellæ obtenebrabuntur propter immensam lucem Christi. Commovebuntur autem et angelicæ virtutes, hoc est, obstupescent videntes tantam rerum mutationem fieri, et conservos suos judicari. Et tunc videbunt Dominum ut Filium hominis, hoc est in corpore. Nam quod spectatur, omnino corpus est. Quamvis autem in corpore ut homo veniet, aderit tamen cum potestate et gloria magna.

τέρῳ νοί. Τότε τοίνυν ὁ ἐν τῇ Ἰουδαίᾳ ὢν φευγέτω εἰς τὰ ὀρεινὰ, τουτέστιν, ὁ ἐξομολογησάμενος ἀνατρεχέτω εἰς τὰ ὄρη τῶν ἀρετῶν. Ἰουδαία γὰρ ἐξομολόγησις λέγεται· καὶ ὁ ἐν ὑψηλῷ ἱστάμενος μὴ καταβάτω. Ὅταν γὰρ ἐμπαθές τι νόημα σταθῇ ἐν ἡμῖν, δεῖ διὰ τῆς ἐξομολογήσεως ἀνατρέχειν εἰς τὰ ὑψηλὰ, καὶ μὴ καταβαίνειν ἀπὸ τοῦ ὕψους τῆς ἀρετῆς Καὶ ὁ ἐργαζόμενος τὸ καλὸν μὴ ἐπιστρεψάτω ὥστε ἆραι τὴν παλαιὰν συνείδησιν, ἥτις ἐστὶν ἱμάτιον, ὃ ἀπεδύσατο. Οὐαὶ δὲ τῷ ἐν χειμῶνι φεύγοντι· δεῖ γὰρ ἡμᾶς φεύγειν ἀπὸ τῆς ἁμαρτίας μετὰ θερμότητος, καὶ μὴ ψυχρῶς καὶ ἀκινήτως. Τοιοῦτον γὰρ τὸ ἐν τῷ χειμῶνι φεύγειν αἰνίττεται.

« Τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδοὺ ὧδε ὁ Χριστὸς, ἰδοὺ ἐκεῖ, μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾷν, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς. Ὑμεῖς δὲ βλέπετε· ἰδοὺ προείρηκα ὑμῖν πάντα. Ἀλλ' ἐν ἐκείναις ταῖς ἡμέραις, μετὰ τὴν θλίψιν ἐκείνην, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται ἐκπίπτοντες, καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται. Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως καὶ δόξης πολλῆς. » Πεπλήρωκε μὲν ἤδη τὰ περὶ τῆς Ἰερουσαλήμ. Ἄρχεται δὲ λοιπὸν περὶ τῆς τοῦ Ἀντιχρίστου παρουσίας λέγειν. Τὸ δὲ, τότε, μὴ νοήσῃς, ὅτι ὅταν τὰ ἀνωτέρω ῥηθέντα περὶ τῆς Ἱερουσαλὴμ γένωνται, τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ ὧδε ὁ Χριστὸς, μὴ πιστεύσητε, ἀλλὰ γινώσκετε ὅτι ἰδίωμά ἐστι τῆς Γραφῆς τοῦτο, ὥσπερ καὶ ὁ Ματθαῖος, μετὰ τὴν γέννησιν τοῦ Χριστοῦ, λέγει· Ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται ὁ Ἰωάννης. Ποίαις ἡμέραις ; Ἆρα ταῖς ἐφεξῆς μετὰ τὴν τοῦ Χριστοῦ γέννησιν ; Οὐχὶ, ἀλλ' ἀορίστως. Οὕτως οὖν καὶ ἐνταῦθα λέγει, τότε, οὐχ ὅταν ἡ Ἱερουσαλὴμ ἐρημωθῇ, ἀλλὰ κατὰ τοὺς καιροὺς τῆς τοῦ Ἀντιχρίστου παρουσίας, μὴ πλανηθῆτε. Πολλοὶ γὰρ ὑποποιήσονται τὸ τοῦ Χριστοῦ ὄνομα, ὥστε καὶ τοὺς ἐκλεκτοὺς πλανᾷν. Μετὰ δὲ τὴν τοῦ Ἀντιχρίστου παρουσίαν, ἡ κτίσις πᾶσα ἀλλοιωθήσεται, σκοτιζομένων τῶν ἀστέρων διὰ τὴν ὑπερβολὴν τοῦ φωτὸς τοῦ Χριστοῦ. Σαλευθήσονται δὲ αἱ ἀγγελικαὶ δυνάμεις, τουτέστιν ἐκπλαγήσονται, ὁρῶσαι τοσαύτην μεταβολὴν γινομένην, καὶ τοὺς συνδούλους αὐτῶν κρινομένους. Καὶ τότε ὄψονται τὸν Κύριον, ὡς Υἱὸν ἀνθρώπου, τουτέστιν ἐνσώματον. Τὸ γὰρ θεωρούμενον, πάντως σῶμα. Ἀλλ' εἰ καὶ ἐνσώματος ὡς ἄνθρωπος ἔρχεται, ἀλλά γε μετὰ δυνάμεως καὶ δοξῆς πολλῆς.

VERS. 27-31. « Et tunc mittet angelos suos, et aggregabit electos suos a quatuor ventis, a summo terræ usque ad summum cœli. A ficu vero discite similitudinem: cum ramus ejus tener fuerit produxeritque folia, scitis quod prope sit æstas. Sic et vos, cum videritis hæc fieri, scitote quod prope sit in foribus. Amen dico vobis, quod non præteribit generatio hæc donec omnia hæc facta fuerint. Cœlum et terra transibunt, sed verba mea non præteribunt. » Vides quod et Filius angelos mittit, sicut et Pater. Ubi igitur sunt qui dicunt : Non est æqualis Deo et Patri ? Venient igitur angeli ut con-

« Καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ. Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν αὐτῆς ἤδη ὁ κλάδος ἁπαλὸς γένηται, καὶ ἐκφυῇ τὰ φύλλα, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν. Οὕτω καὶ ὑμεῖς, ὅταν ταῦτα ἴδητε γινόμενα, γινώσκετε ὅτι ἐγγύς, ἐστιν ἐπὶ θύραις. Ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, μέχρις οὗ πάντα ταῦτα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. » Ὁρᾷς ὅτι καὶ ὁ Υἱὸς τοὺς ἀγγέλους στέλλει, ὥσπερ καὶ ὁ Πατὴρ ; Ποῦ τοίνυν

οἱ λέγοντες ὅτι οὐκ ἔστιν ἴσος τῷ Θεῷ καὶ Πατρί; A Ἐλεύσονται τοίνυν οἱ ἄγγελοι ἐπισυνάγοντες τοὺς ἐκλεκτοὺς, ὡς ἂν ἁρπαγέντες ἐν νεφέλαις, ὑπαντήσωσι τῷ Κυρίῳ. Ἀπὸ δὲ τῆς συκῆς μάνθανε ὃ λέγω· ὥσπερ καὶ τῆς συκῆς φύλλα ἤδη ἐχούσης εὐθὺς τὸ θέρος, οὕτω καὶ μετὰ τὴν θλῖψιν τοῦ Ἀντιχρίστου εὐθὺς οὐδενὸς μεσολαβοῦντος, ἡ τοῦ Χριστοῦ παρουσία, ἥτις θέρος τῷ ὄντι ἐστὶ τοῖς δικαίοις ἀπὸ χειμῶνος, τοῖς μέντοι ἁμαρτωλοῖς χειμὼν ἀπὸ θέρους. Ἀκὴν λέγω ὑμῖν ὅτι ἡ γενεὰ αὕτη, τουτέστι τῶν πιστῶν, τῶν Χριστιανῶν. λέγω, οὐ μὴ παρέλθῃ, ἕως ταῦτα πάντα, τά τε περὶ τῆς Ἱερουσαλὴμ, καὶ τῆς τοῦ Ἀντιχρίστου ἐλεύσεως γένηται. Οὐ γὰρ δήπου γενεὰν λέγει τὴν τῶν ἀποστόλων. Ἐπεὶ οὐδὲ ἄχρι τῆς συντελείας τοῦ κόσμου ζῶσιν οἱ ἀπόστολοι, οἵγε οὐδὲ ἄχρι τῆς συντελείας τῆς Ἱερουσαλὴμ οἱ B πλείονες ἔφθασαν ζῆν. Γενεὰν οὖν τὴν τῶν Χριστιανῶν λέγει, παραμυθούμενος τοὺς ἀποστόλους. Ἵνα γὰρ μὴ ὑπολάβωσιν ὅττι τοσούτων κακῶν γινομένων, ἴσως ἐκλείψει ἡ πίστις, φησὶν ὅτι, Θαῤῥεῖτε, οὐ παρελεύσεται ἡ γενεὰ τῶν πιστῶν, οὐδὲ ἐκλείψει. Πρότερον γὰρ ἂν τὰ ἀκίνητα ταῦτα στοιχεῖα, ὁ οὐρανός φημι καὶ ἡ γῆ, παραλεύσεται, ἢ οἱ ἐμοὶ λόγοι κατα τι διαπεσοῦνται. Πάντα γὰρ ὅσα εἶπον, τελεσθήσονται.

« Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ. Βλέπετε, ἀγρυπνεῖτε καὶ προσεύχεσθε, οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν. Ὡς ἄνθρωπος ἀπόδημος, ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, καὶ ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετείλατο, ἵνα γρηγορῇ. Γρηγορεῖτε οὖν· οὐκ οἴδατε γὰρ πότε ὁ Κύ- C ριος τῆς οἰκίας ἔρχεται, ὀψὲ, ἢ μεσονυκτίου, ἢ ἀλεκτοροφωνίας, ἢ πρωΐ· μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας. Ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω, Γρηγορεῖτε. » Θέλων ὁ Κύριος κωλῦσαι τοὺς μαθητὰς ἀπὸ τοῦ ἐρωτᾷν περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας, φησὶν ὅτι οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ Υἱὸς οἶδεν. Εἰ γὰρ εἶπεν ὅτι Οἶδα μὲν, οὐ θέλω δὲ ὑμῖν ἀποκαλύψαι, ἐλύπησεν ἂν αὐτούς. Νῦν δὲ σοφώτερον μεταχειρίζεται, καὶ ἀπείργει αὐτοὺς ὅλως τοῦ ζητεῖν μαθεῖν καὶ ἐνοχλεῖν αὐτῷ, ἐν τῷ εἰπεῖν, ὅτι, Οὔτε οἱ ἄγγελοι, οὔτε ἐγὼ οἶδα. Ἀπὸ δὲ παραδείγματός τινος νοήσεις τὸ λεγόμενον. Πολλάκις παιδία μικρὰ βλέπουσι τοὺς πατέρας αὐτῶν κρατοῦντάς τι ἐν ταῖς χερσὶ, καὶ ζητοῦσι τοῦτο. Οἱ δὲ πατέρες οὐ βούλον- D ται δοῦναι. Τὰ δὲ κλαυθμυρίζονται ὡς μὴ λαμβάνοντα, τελευταῖον μέντοι οἱ πατέρες κρύπτουσιν ἐκεῖνο, ὃ κρατοῦσι, καὶ ἐπιδεικνύντες τὰς χεῖρας κενὰς τοῖς παιδίοις, ἱστῶσιν αὐτὰ τοῦ κλαυθμοῦ. Οὕτω καὶ ὁ Κύριος, ὡς παιδίοις τοῖς ἀποστόλοις προσφερόμενος, ἀπέκρυψε τὴν ἡμέραν. Εἰ γὰρ εἶπεν, ὅτι Οἶδα, οὐ λέγω δὲ, ἠνιάσθησαν ἄν, ὡς μὴ παρ' αὐτοῦ μανθάνοντες. Ὅτι δὲ γινώσκει ὁ Κύριος τὴν ἡμέραν καὶ τὴν ὥραν, πρόδηλον. Αὐτὸς γὰρ τοὺς αἰῶνας ἐποίησεν· ὃ οὖν ἐποίησε, πῶς οὐ γινώσκει; Ἀλλὰ δὴ καὶ συμφερόντως ἀπέκρυψεν ὁ Θεὸς τὴν

A gregent electos,qui tanquam in nubes rapti,occurrant Domino. A ficulnea autem disce quod dico. Quemadmodum enim ficu folia habente, statim æstas adest,sic et post afflictionem Antichristi statim absque ullo mediatore aderit Christi adventus, quæ re vera justis æstas quædam est ab hyeme, peccatoribus autem hyems ab æstate: Amen dico vobis quod generatio hæc (a),hoc est fidelium,Christianorum inquam, non transibit donec hæc omnia, de Jerusalem et Antichristi adventu, fiant. Non enim certe generationem dicit eam, quæ fuit apostolorum; quin non usque ad consummationem mundi vivent apostoli:qui neque usque ad consummationem Jerusalem vitam plerique produxerunt. Generationem itaque Christianorum dicit,ita con- B solans apostolos,ne suspicentur quod cum tanta mala fiant, forte deficiat fides. Quasi diceret, Confidite, et bono animo estote : non præteribit generatio fidelium, neque deficiet. Prius enim transibunt 245 immobilia hæc elementa, cœlum et terram dico,quam mei sermones in ullo intercidant.Omnia quæcunque dixi, perficientur.

VERS. 32-37. « Cæterum de die illo ac tempore nemo novit,ne angeli quidem qui in cœlo sunt,nec ipse Filius,sed solus Pater.Cavete,vigilate et orate: nescitis enim quando tempus sit : sicut homo qui peregre agit relicta domo sua, deditque servis suis substantiam suam,ac suum cuique opus,et janitori mandavit ut vigilaret.Vigilate igitur: nescitis enim C quando Dominus domo venturus sit, sero, an medio noctis, an in gallicinio, an diluculo : ne si venerit repente, offendat vos dormientes. Cæterum quæ dico vobis, omnibus dico, Vigilate. » Volens Dominus discipulos a diei et horæ illius interrogatione cohibere,dicit quod neque angeli neque Filius sciant.Si enim dixisset,Scio quidem,sed nolo vobis revelare, mœrore illos affecisset: nunc autem prudenter rem agit,et eos omnino prohibet ne discere affectent ac molesti sint, dicens: Neque angeli sciunt,neque ego.Ab exemplo autem intelligas quod dicitur. Sæpe pueruli vident patres suos tenere quiddam in manibus, et hoc petunt, patribusque dare nolentibus, plorant quod non accipiunt : D denique patres occultant illud quod tenent, et ostendentes manus vacuas pueris, fletum illorum sistunt. Sic et Dominus quasi pueros apostolos alloquens,occultavit diem.Nam si dixisset,Scio,non dico autem,indoluissent quod ab illo non discerent. Quod autem Dominus sciverit et diem et horam, manifestum,qui sæculi Conditor est. Et quo pacto quod fecit nesciret? Verum utiliter abscondit Deus consummationem vitæ, sive omnium in communi, sive uniuscujusque in singulari, ut dum incertus est finis,semper solliciti simus ac anxii,exspectantes illum,et timentes ne impræparatis superveniat.

(a) Edit. Lut. *Quia plerique non usque ad consummationem Jerusalem vixerunt : quomodo ergo ad consummationem mundi pertingere dicerentur?*

Consideremus autem verba. Tarde quidem tunc adest finis, quando quis in bona senecta moritur. Media autem nocte, cum mediam ætatem peregerit. In gallicinio autem, quando in nobis ratio completa fuerit. Gallus enim ratio est, quæ nos a somno excitat, et stuporem repellit. Cum igitur puer incipit juxta rationem vivere et sapere, tunc gallus ei canit. Diluculum autem omnino puerilis ætas est. Omnes igitur finem in memoria habere oportet: etiamsi quis puer sit, providendum ne forte non baptizatus moriatur. Omnibus autem hæc præcipit Dominus, et his qui in mundo vivunt, et his qui secesserunt. Debemus igitur vigilare et orare. Utraque hæc necessaria sunt. Multi enim vigilant, sed noctem male absumunt. Vide autem quomodo non dixerit: Nescio enim quando tempus est sed, Nescitis. Occultavit enim **246** nostram ob utilitatem. Nam si nunc, cum est finis mundi incertus, mutuis odiis insanimus, quid non faceremus scientes finem? In extremam sane malitiam insumeremus tempus quod vitæ finem præcederet, deinde ultimo die summa cum jactura pœnitentiam ageremus.

A συντέλειαν τοῦ βίου, εἴτε τὴν καθολικὴν, εἴτε τὴν ἑνὸς ἑκάστου, ἵνα ὡς ἀδήλου ὄντος τοῦ τέλους, ἀεὶ ἀγωνιζώμεθα, προσδοκῶντες αὐτὸ καὶ φοβούμενοι μὴ ἀνετοίμοις ἐπιστῇ. (84) Σκοπήσωμεν δὲ καὶ τὰς λέξεις, Ὀψὲ μὲν ἐφίσταται τὸ τέλος, ὅταν τις γηράσας ἀποθάνῃ. Μεσονυκτίου δὲ, ὅταν τις μέσης ἡλικίας εἴη. Ἀλεκτοροφωνίας δὲ ὅταν ὁ λόγος ἐν ἡμῖν συμπληρωθῇ. Ἀλέκτωρ γὰρ ὁ λόγος, ὁ ἐγείρων ἡμᾶς ἀπὸ τοῦ ὕπνου τῆς ἀναισθησίας. Ὅταν οὖν ἄρξηται κατὰ λόγον ζῆν ὁ παῖς καὶ φρονεῖν, τότε ὁ ἀλέκτωρ ἐν αὐτῷ φωνεῖ. Πρωΐα δὲ, ἡ παντελῶς παιδικὴ ἡλικία. Δεῖ οὖν πάντας προνοεῖσθαι τοῦ τέλους. Κἂν γὰρ παιδίον εἴη, προνοητέον καὶ τούτου, μήπως ἀβάπτιστον ἀπέλθοι. Πᾶσι δὲ ταῦτα παραγγέλλει ὁ Κύριος, καὶ τοῖς κοσμικωτέροις, καὶ τοῖς ἀνα- B χωρηταῖς. Ὀφείλομεν οὖν γρηγορεῖν καὶ προσεύχεσθαι ἄμφω ταῦτα. Πολλοὶ γὰρ γρηγοροῦσι μὲν ἀλλ' εἰς πονηρὰ τὰς νύκτας ἀναλίσκοντες. Ὅρα δὲ πῶς οὐκ εἶπεν, ὅτι, Οὐκ οἶδα πότε ὁ καιρός ἐστιν, ἀλλ' Οὐκ οἴδατε. Διὰ γὰρ τὸ ἡμῶν συμφέρον ἀπέκρυψεν. Εἰ γὰρ καὶ νῦν ἀδήλου τοῦ τέλους ὄντος, κατ' ἀλλήλων μαινόμεθα, τί οὐκ ἂν ἐποιοῦμεν εἰ ἐγινώσκομεν τὸ τέλος; Εἰς ἐσχάτην γὰρ κακίαν τὸν πρὸ τῆς τελευτῆς καιρὸν ἀνηλίσκομεν ἂν, εἶτα μιᾷ ἡμέρᾳ μετάνοιαν ἐνδεικνύμενοι, ἐζημιούμεθα ἂν τὰ χείριστα.

## CAPUT XIV.

*De muliere Domini pedes ungente. De Paschate. De traditione Christi. De negatione Petri. De impositis Christo coram principe sacerdotum calumniis.*

VERS. 1-5. « Erat autem Pascha et azymorum dies C futuri post biduum. Et quærebant summi sacerdotes ac Scribæ quomodo eum per dolum comprehensum occiderent. Dicebant autem: Non in die festo, ne tumultus fiat populi. Et cum esset Bethaniæ in domo Simonis leprosi, accumbente eo, venit mulier habens alabastrum unguenti nardi pisticæ pretiosæ: et comminuto alabastro effudit illi in caput. Erant autem quidam qui indignarentur apud sese, ac dicerent: Ad quid perditio hæc unguenti? nam poterat hoc vendi pluris quam trecentis denariis, ac dari pauperibus. Et infremuerunt adversus illam. » Feria quarta concilium convenit, et propterea jejunamus etiam nos quartis feriis. Illi quidem consultabant solemnitatis tempus prætermittere, at non permissum est eis, sed ipse sibi ipsi tempus passionis statuens, in Pascha crucifigi voluit. Ipse enim D erat Pascha verum. Unde virtutem ejus admirari licet. Nam cum illi vellent ipsum comprehendere, non potuerunt: quando autem illi noluerunt pro-

## ΚΕΦΑΛ. ΙΔʹ.

Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ. Περὶ τοῦ Πάσχα. Περὶ τῆς τοῦ Χριστοῦ παραδόσεως. Περὶ τῆς ἀρνήσεως τοῦ Πέτρου. Περὶ τῶν τῷ Κυρίῳ παρὰ τῷ ἀρχιερεῖ ἐπιτεθεισῶν αἰτιῶν.

Ἦν δὲ τὸ Πάσχα καὶ τὰ ἄζυμα, μετὰ δύο ἡμέρας. Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς, πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν. Ἔλεγον δὲ, Μὴ ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος ἔσται τοῦ λαοῦ. Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθε γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς, πολυτελοῦς. Καὶ συντρίψασα τὸ ἀλάβαστρον, κατέχεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς. Ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτοὺς καὶ λέγοντες, Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν; ἠδύνατο γὰρ τοῦτο πραθῆναι ἐπάνω τριακοσίων δηναρίων, καὶ δοθῆναι τοῖς πτωχοῖς. Καὶ ἐνεβριμῶντο αὐτῇ. » Τῇ τετράδι τὸ συμβούλιον συνέστη. Καὶ διὰ τοῦτο νηστεύομεν καὶ ἡμεῖς τὰς τετράδας. Ἐκεῖνοι μὲν οὖν ἠβούλοντο τὸν τῆς ἑορτῆς καιρὸν ὑπερθέσθαι, οὐ συνεχωρήθησαν δὲ, ἀλλ' αὐτὸς ἑαυτῷ τὸν καιρὸν τοῦ πάθους τηρῶν, κατὰ τὸ Πάσχα εὐδόκησε σταυρωθῆναι. Αὐτὸς γὰρ ἦν τὸ Πάσχα τὸ ἀληθινόν. Ὅθεν θαυμάσαι πάρεστι τὴν αὐτοῦ δύναμιν. Ὅτε μὲν γὰρ ἐκεῖνοι ἠβούλοντο κα-

Ex collatione codd. Venet. S. Marci.

(84) Cod. 26 addit: Εἶτα λαμβάνει καὶ ὑπόδειγμα περὶ τῶν πιστῶν, καὶ περὶ ἑαυτοῦ, καί φησιν Ὡς ἄνθρωπος ἀποδημῶν ἔσται, ἄνθρωπον μὲν ἑαυτὸν ὑποδηλῶν, ὡς ἐν πολλοῖς εἴρηται· ἀποδημίαν δὲ, τὴν εἰς οὐρανὸν ἀνάληψιν· οἰκίαν δὲ αὐτοῦ, τὸν παρόντα κόσμον· δούλους δὲ αὐτοῦ τοὺς Χριστιανούς· ἑκάστου δὲ τὸ ἔργον, τὴν φυλακὴν τῶν ἐντολῶν αὐτοῦ, καὶ ἐργασίαν τῶν ἀρετῶν· θυρωρὸν δὲ, τὸν ἑκάστου νοῦν, τὸν ἐπιστατοῦντα τοῖς θυρίσι τῆς ψυχῆς, ἤγουν τῆς αἰσθήσεως, δι' ὧν ὁ νοητὸς κλέπτης ἐπιπηδᾷν εἴωθε. Σκοπήσωμεν δὲ καὶ τὰς λέξεις, κ. τ. λ. « Dein affert exemplum de fidelibus, et de seipso, dicens: *Erit sicut homo peregre profectus*. Per *hominem* seipsum significat, ut pluries dictum est: per *peregrinationem* autem, ascensionem in cœlum; per domum suam, præsentem mundum intelligit; per servos ejus, Christianos; per suum cujusque opus, observantiam mandatorum ipsius, et exercitium virtutum; per janitorem demum, cujusque mentem, quæ præsidet foribus animæ, vel sensuum, per quos spiritalis fur insilire solet. *Consideremus autem verba*, » etc.

τασχεῖν αὐτὸν, οὐκ ἠδύναντο· ὅτε δὲ ἐκεῖνοι οὐκ ἠβούλοντο διὰ τὴν ἑορτὴν, τότε αὐτὸς ἑκὼν ἑαυτὸν ἐξέδωκεν. Ὄντος δὲ αὐτοῦ ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, ἦλθε γυνή. Καὶ οἱ τέσσαρες μνημονεύουσι τοῦ μύρου. Καὶ δοκεῖ μὲν παρά τισι μία εἶναι, οὐκ ἔστι δὲ, δύο δὲ εἰσί, Μία μὲν, ἡ παρὰ τῷ Ἰωάννῃ, ἡ καὶ τοῦ Λαζάρου ἀδελφὴ οὖσα. Ἑτέρα δὲ, ἡ παρὰ τοῖς λοιποῖς τρισί. Πλὴν πρόσεχε, καὶ εὑρήσεις ταύτας τρεῖς οὔσας. Παρὰ μὲν τῷ Ἰωάννῃ, μίαν, παρὰ δὲ τῷ Λουκᾷ, ἄλλην, παρὰ δὲ τοῖς δυσὶν, ἑτέραν μίαν. Ἡ γὰρ παρὰ τῷ Λουκᾷ, καὶ πόρνη ἦν, καὶ περὶ τὰ μέσα τοῦ κηρύγματος, ἡ δὲ παρὰ τῷ Ματθαίῳ, πρὸς τῷ καιρῷ τοῦ πάθους. Καὶ οὐδὲ πόρνη ὁμολογουμένως· ἀποδέχεται δὲ αὐτῆς ὁ Κύριος τὴν προαίρεσιν, ὡς τοσαῦτα ἀναλωσάσης περὶ τὴν νάρδον. Πιστικὴν δὲ νάρδον νόει, ἤτοι εἶδος νάρδου, οὕτω λεγόμενον πιστική, ἢ τὴν ἄδολον νάρδον, καὶ μετὰ πίστεως κατασκευασθεῖσαν. Ἦσαν δὲ τινες ἀγανακτοῦντες. Ὁ δὲ Ἰωάννης, τὸν Ἰούδαν φησὶν ἀγανακτῆσαι. Εἰκὸς οὖν καὶ τοὺς ἄλλους μὲν ἀποστόλους μέμψασθαι τὴν γυναῖκα, ὡς ἀκούσαντας τοῦ Χριστοῦ ἀεὶ περὶ ἐλεημοσύνης διδάσκοντος, τὸν μέντοι Ἰούδαν, οὐ τῷ αὐτῷ σκοπῷ κατὰ τῆς γυναικὸς ἀγανακτῆσαι, ἀλλὰ διὰ τὸ φιλάργυρον καὶ αἰσχροκερδὲς αὐτοῦ, Διὰ τοῦτο οὖν καὶ Ἰωάννης τούτου μόνου μνημονεύει, ὡς δολερῷ σκοπῷ μεμψαμένου τὴν γυναῖκα. Καὶ ἐνεβριμῶντο αὐτῇ, τουτέστιν ἠγανάκτουν, ὕβριζον, ἐπέπληκτον αὐτῇ.

« Ὁ δὲ Ἰησοῦς εἶπεν. Ἄφετε αὐτήν. Τί αὐτῇ κόπους παρέχετε; Καλὸν ἔργον εἰργάσατο ἐν ἐμοί. Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, καὶ ὅταν θέλητε, δύνασθε αὐτοὺς εὖ ποιῆσαι, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Ὃ ἔσχεν αὕτη, ἐποίησε, προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν. Ἀμὴν δὲ λέγω ὑμῖν, ὅπου ἂν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς. » Μέμφεται ὁ Κύριος τοῖς ἀποστόλοις, ὡς ἀκαίρως ἐμποδίζουσι τῇ προθυμίᾳ τῆς γυναικός. Τί γὰρ, φησὶν, αὐτῇ κόπους παρέχετε; μεθ' ὃ προσέφερε τὸ δῶρον, ἀποστρέφοντες αὐτὴν διὰ τοῦ ὀνειδισμοῦ; Ἅμα δὲ καὶ πλήττει τὸν προδότην, ἐν τῷ λέγειν, ὅτι Εἰς τὸν ἐνταφιασμόν μου τοῦτο ἐποίησε, καὶ ὡς ἀσυνείδητον ἐλέγχει. Μονονουχὶ τοῦτο λέγων αὐτῷ, ὅτι Σὺ μὲν εἰς θάνατόν με προδιδοὺς, οὐκ ἐλέγχεις σεαυτόν. Αὕτη δὲ εἰς τὸν ἐνταφιασμόν μου τὸ μύρον φέρουσα, ὡσανεὶ ὑπὸ Θεοῦ κινηθεῖσα, ἀξία ἐστὶν ἐλέγχεσθαι ὑπὸ σοῦ; Προφητεύει δὲ ἐνταῦθα ὁ Κύριος δύο προφητείας, ὅτι τε τὸ Εὐαγγέλιον κηρυχθήσεται ἐν ὅλῳ τῷ κόσμῳ, καὶ ὅτι τὸ ἔργον τῆς γυναικὸς συγκηρυχθήσεται. Αἰσχυνέσθωσαν οὖν ἐντεῦθεν οἱ τοὺς πτωχοὺς προτιμῶντες τοῦ Χριστοῦ. Ἤκουσα γὰρ ἐγὼ χρυσοχόων λεγόντων, ὅτι Ἐὰν τὸ ἱερὸν σκεῦος καταλύσας δῶ πτωχοῖς, καὶ ἐγὼ ζήσω, οὐκ ἔστι κρίμα. Ἀκουέτωσαν οὖν πῶς ὁ Χριστὸς προτιμᾷ τὴν ἑαυτοῦ θεραπείαν, τῶν πτωχῶν. Χριστοῦ δὲ σῶμα κυρίως, τὸ ἐν τῷ δίσκῳ τῷ χρυσῷ, καὶ αἷμα τὸ ἐν τῷ ποτηρίῳ. Ὁ γοῦν ἀφαιρούμενος τὸν δίσκον τὸν πο-

A pter festum diem, tunc voluntarius ipse seipsum tradidit. At cum ipse esset in Bethania in domo Simonis leprosi, venit mulier. Et quatuor mentionem faciunt unguenti, et videtur quibusdam una esse : non autem ita est, sed duæ sunt. Una quidem, quæ apud Joannem, quæ et Lazari soror est, altera quæ a reliquis tribus memoratur. Verumtamen attende et invenies quod tres sint. Apud Joannem quidem una, apud Lucam alia, et apud duos illos adhuc una alia. Nam illa quæ apud Lucam meretrix erat, in medio prædicationis Christi ad Christum venit : quæ apud Matthæum, tempore passionis, et non dicitur meretrix. Probat autem Christus ejus voluntatem, quod tanta expenderit in nardum. De nardo pistica scias quod
B est species quædam nardi quæ pistica dicatur, vel quod sincera sit, et non adulterata, vel cum fide confecta. Erant autem quidam ægre ferentes. Joannes autem dicit Judam ægre tulisse. Verisimile igitur et alios quidem apostolos mulierem objurgasse, utpote qui audierant Christum semper multa de eleemosyna docere. Judas sane non 247 eodem scopo adversus mulierem indignabatur, sed propter avaritiam et turpe lucrum suum. Propterea et Joannes ipsius duntaxat meminit, tanquam dolosa mordacitate mulierem reprehenderit. Et infremuerunt in eam, hoc est, indignabantur, convitiabantur, perstringebant eam.

Vers. 6-9. « At Jesus dixit : Sinite illam, cur illi molesti estis? Bonum opus operata est erga me.
C Semper enim pauperes habetis vobiscum, et quandocunque volueritis, potestis illis benefacere : me vero non semper habetis. Quod potuit hæc, fecit : prævenit ut ungeret corpus meum ad sepulturam. Amen dico vobis, ubicunque prædicatum fuerit Evangelium hoc in totum mundum, etiam hoc quod fecit hæc, dicetur in memoriam istius. » Reprehendit Dominus discipulos, quod intempestive mulieris alacritati obsistant. Cur enim (inquit) illi negotium facitis, et estis molesti? Postquam donum attulit, aversamini eam cum ignominia? Interim autem perstringit et proditorem dicendo, In sepulturam meam hoc fecit. Et plane conscientiæ expertem arguit, quasi ita diceret ei : Tu quidem in mortem me tradidisti, et non reprehendis temetipsum: ista autem in sepulturam meam unguentum afferens, tanquam a Deo mota digna me est, quæ a te repre-
D hendatur? Prophetam autem agit hoc loco Dominus, duoque prædicit, et quod Evangelium prædicandum sit in toto mundo, et quod opus mulieris simul prædicandum. Confundantur hoc loco qui pauperes Christo præferunt. Audivi enim ego aurifabros dicentes, quod si ego dissectum sacrum vas dem pauperibus, et ego vivam, nec condemner. Audiant igitur quomodo Christus præferat sui curam pauperibus. Christi autem corpus proprie est, quod in disco aureo, et sanguis qui in poculo. Qui igitur abstulerit discum pretiosum, et cogit ut corpus

...ur - prætexens scilicet pau-
...is sit.

Judas Iscariotes unus e duo-
...os sacerdotes, ut traderet eum
...gavisi sunt, et polliciti sunt, se
...n. Et quærebat quomodo oppor-
...» Cum mulier suam liberali-
...nsaniebat discipulus unus e duo-
...emere additum est, unus e duo-
...nderetur quod unus e duodecim
... Quid autem est hoc quod ait, ut
...hoc est, significaret illis quando
...ebant enim eum invadere cum do-
...urbam. Ipse itaque pollicebatur il-
...quando ille solus esset.
...5. « Ac primo die Azymorum, cum
...larent, dicunt illi discipuli sui : Ubi
...s et paremus ut edas Pascha? Et emit-
...scipulis suis, et dicit illis : Ite in civita-
...ret vobis homo hydriam aquæ bajulans;
...48 illum, et quocunque ingressus fue-
...atrifamilias, Magister dicit : Ubi est di-
...ubi Pascha cum discipulis meis edam?
...is ostendet triclinium magnum stratum,
...illic parate nobis.» Primum diem Azy-
...em quintum dicit qui erat ante Azyma.
...im seu infermentata die parasceves come-
... Accedunt itaque discipuli et interrogant
...edant Pascha. Ex hoc autem manifestum
...stum non habuisse proprium diversorium,
...discipulos habuisse domum propriam. Nam
...issent, illic eum suscepissent. Mittit autem
...discipulis suis Petrum et Joannem, sicut et
...nquit, ad hominem ignotum : ostendens il-
...l posset non pati. Qui enim mentem homi-
...ti conciliare sibi poterat ut se exciperet,
...n fecisset in aliis? Præterea dat illis signum
...lo inveniant domum : nempe ut sequantur
...m, figulinum vas aquæ gestantem. Hæc etiam
...us intelligi possunt. Hydriam bajulat bap-
... Vadit autem in domum, quæ rationali suo
...digna est. Qui enim habet baptisma, ad re-
...vadit, juxta rationem vivens, et vivit in ordine
...in domo quadam. Paterfamilias mens est,
...endit magnum triclinium, sublimes scilicet
... Verum triclinium hoc stratum est, hoc est,
...i sublime sit, nihil tamen habet vel asperum,
...erbum; sed stratum est, et humilitate compla-
... Hic ergo, in tali inquam mente, præparatur
...Christo a duobus discipulis, Petro et Joanne;
...ca dico et contemplativa. Petrus enim propter

A λύτιμον, καὶ ἀναγκάζων τὸ σῶμα τοῦ Χριστοῦ ἐν εὐτελεστέρῳ τίθεσθαι, προφασιζόμενος δὲ τοὺς πτωχούς, γινωσκέτω ποίας μερίδος ἐστίν.

« Καὶ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα, ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς ἵνα παραδῷ αὐτὸν αὐτοῖς. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν παραδῷ. » Ὅτε ἡ γυνὴ τὴν οἰκείαν φιλοτιμίαν ἐπεδείξατο, τότε μαίνεται ὁ μαθητής, ὁ εἷς τῶν δώδεκα. Οὐ γὰρ ἁπλῶς κεῖται τό, εἷς τῶν δώδεκα· ἀλλ' ἵνα δείξῃ, ὅτι εἷς τῶν προκρίτων ἐκλεκτὸς καὶ αὐτὸς ὤν. Τί δέ ἐστι τό, Ἵνα αὐτὸν παραδῷ; τουτέστιν, ἵνα καταμηνύσῃ αὐτοῖς πότε μόνος ἐστίν; ἐκεῖνοι γὰρ ἐφοβοῦντο ἐπιπεσεῖν αὐτῷ διδάσκοντι, διὰ τὸν B ὄχλον. Ἐκεῖνος οὖν ὑπέσχετο μεμονωμένον αὐτὸν παραδοῦναι αὐτοῖς (85).

« Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν Ἀζύμων, ὅτε τὸ Πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν, ἵνα φάγῃς τὸ Πάσχα; Καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· Ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ, καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ, Ὁ διδάσκαλος λέγει· Ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; Καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεον μέγα, ἐστρωμένον, ἕτοιμον, ἐκεῖ ἑτοιμάσατε ἡμῖν. » Πρώτην ἡμέραν τῶν Ἀζύμων, τὴν πέμπτην λέγει, ἥτις πρὸ Ἀζύμων ἦν. Τὰ γὰρ ἄζυμα (a) τῇ παρασκευῇ ἠσθίοντο. Προσέρχονται οὖν οἱ μαθηταί, ἐρωτῶντες ποῦ φάγωσι τὸ C Πάσχα. Ἐκ τούτου δὲ δῆλον, ὡς οὐκ εἶχε καταγώγιον ὁ Χριστὸς ἴδιον, ἀλλ' οὐδὲ οἱ μαθηταὶ οἰκίας εἶχον. Εἰ γὰρ ἄν, προσελάβοντο αὐτὸν ἐκεῖ. Ἀποστέλλει δὲ δύο τῶν μαθητῶν αὐτοῦ, Πέτρον καὶ Ἰωάννην, ὡς ὁ Λουκᾶς λέγει, πρὸς ἄνθρωπον ἀγνώριστον, δεικνύων αὐτοῖς, ὅτι ἠδύνατο μὴ παθεῖν. Ὁ γὰρ τὴν διάνοιαν τούτου τοῦ ἀγνωρίστου πείσας ὑποδέξασθαι αὐτόν, τί οὐκ ἂν εἰργάσατο ἐν τοῖς ἄλλοις; Δίδωσι δὲ αὐτοῖς καὶ σημεῖον τοῦ εὑρεῖν τὴν οἰκίαν, τὸ ἀκολουθῆσαι ἀνθρώπῳ βαστάζοντι κεράμιον ὕδατος. Ταῦτα δὲ καὶ ἀναχθῆναι δύναται. Κεράμιον μὲν ὕδατος βαστάζει ὁ βεβαπτισμένος. Ἀπέρχεται δὲ εἰς οἰκίαν, τὴν πρέπουσαν τοῖς λογικοῖς κατάστασιν. Ὁ γὰρ τὸ βάπτισμα βαστάζων, εἰς ἀνάπαυσιν ἔρχεται, κατὰ λόγον ζῶν, καὶ ὥσπερ ἐν οἰκίᾳ D τῇ καταστάσει ταύτῃ ἐπαναπαυόμενος. Οἰκοδεσπότης δὲ ὁ νοῦς· ὃς ἀνώγεον μέθα δεικνύει, τὸ ὕψος τῶν αὐτοῦ νοημάτων. Ἀλλὰ τοῦτο τὸ ἀνώγεον καὶ ἐστρωμένον ἐστί, τουτέστιν, εἰ καὶ ὑψηλόν ἐστιν, ἀλλ' οὐδὲν τραχὺ καὶ ὑπερήφανον ἔχει, ἀλλ' ἔστρωται καὶ ὡμάλισται τῇ ταπεινοφροσύνῃ. Ἐκεῖ τοίνυν, ἐν τῷ τοιούτῳ λέγω νῷ, ἑτοιμάζεται τὸ Πάσχα τῷ Χριστῷ

Ex collatione codd. Venet. S. Marci.

...) Cod. 26 addit : Διὰ καὶ ἐχάρησαν, οὐ μόνον ... θορύβου ἔμελλον αὐτὸν συλλαβεῖν ὑπὸ τῶν ... παραδιδόμενον εὐκαίρως, ἀλλ' ὅτι ὑπὸ τῶν ... ἤρξατο μισεῖσθαι. Καὶ τῇ πρώτῃ, κ. τ. λ.

« Idcirco gavisi sunt, non solum quod absque tumultu illum a Juda tradendum facile essent capturi; sed etiam quod is inciperet odio haberi a suis discipulis. *At primo die.* » etc.

... Hoc in loco mendum suspicatur Petrus Arcudius.

ὑπὸ δύο μαθητῶν, Πέτρου καὶ Ἰωάννου, πράξεως, λέγω, καὶ θεωρίας. Ὁ μὲν γὰρ Πέτρος ὡς θερμὸς, πρακτικὸς, ὁ δὲ Ἰωάννης θεωρητικὸς, ὡς θεολόγος.

« Καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ Πάσχα. Καὶ ὀψίας γενομένης, ἔρχεται μετὰ τῶν δώδεκα, καὶ ἀνακειμένων αὐτῶν, καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ' ἐμοῦ. Οἱ δὲ ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς καθ' εἷς· Μήτι ἐγώ; καὶ ἄλλος, Μήτι ἐγώ; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Εἷς ἐκ τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρύβλιον. Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. » Πῶς ἀνέκειντο, τοῦ νόμου κελεύοντος ἱσταμένους τρώγειν τὸ Πάσχα; Εἰκὸς οὖν πρότερον τελέσαι τὸ νομικὸν, εἶτα ἀναπεσεῖν τὸ οἰκεῖον Πάσχα μέλλοντα παραδοῦναι. Ἤρξαντο δὲ λυπεῖσθαι οἱ μαθηταὶ διὰ τὸν λόγον τοῦ Κυρίου, ὃν εἶπεν, ὅτι « Εἷς ἐξ ὑμῶν παραδώσει με. » Καίτοι γὰρ ἐκτὸς ὄντες τοῦ πάθους τούτου, ὅμως ἠγωνίων, πιστεύοντες τῷ τὰς καρδίας εἰδότι Θεῷ πλέον ἢ ἑαυτοῖς. Ὅρα δὲ καὶ τὴν λέξιν τοῦ Ὑπάγει. Ὡσανεὶ γὰρ ἀποδημία ἦν ὁ θάνατος τοῦ Χριστοῦ, οὐχὶ θάνατος. Τὸ δὲ, Καλὸν ἦν, εἰ οὐκ ἐγεννήθη, ὡς πρὸς τὴν κόλασιν, ἣν ὑποστήσεται ὁ προδότης, εἴρηται. Κρεῖττον γὰρ μηδόλως γεννηθῆναι, ἢ ἐπὶ κολάσει γεννηθῆναι. Ὅσον οὖν ἐκ τοῦ ἀποτελέσματος, κρεῖττον φαίνεται εἰ μηδόλως ὑπῆρξεν ὁ Ἰούδας. Ὁ μὲν γὰρ Θεὸς ἐποίησεν αὐτὸν ἐπ' ἔργοις ἀγαθοῖς. Ἐπεὶ δὲ αὐτὸς εἰς κακίαν τηλικαύτην ἐξέπεσεν, ὡς ἔοικε, κρεῖττον ἦν, εἰ μὴ ἐγεννήθη ὅλως.

« Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, εὐλογήσας, ἔκλασε καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε· Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον, εὐχαριστήσας, ἔδωκεν αὐτοῖς. Καὶ ἔπιον ἐξ αὐτοῦ πάντες· καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς Καινῆς Διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκ ἔτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. » Τινὲς λέγουσι τὸν Ἰούδαν μὴ μεταλαβεῖν τῶν μυστηρίων, ἀλλ' ἐξελθεῖν πρὶν ἢ ὁ Κύριος παραδῷ τὰ μυστήρια. Ἄλλοι δέ φασιν, ὅτι καὶ αὐτῷ μετέδωκε τῶν ἁγιασμάτων τῷ ἀγνώμονι. Εὐλογήσας δὲ, ἀντὶ τοῦ, εὐχαριστήσας, ἔκλασε τὸν ἄρτον. Ὅπερ καὶ ἡμεῖς ποιοῦμεν, εὐχὰς ἐπιλέγοντες. Τοῦτό ἐστι τὸ σῶμά μου, τοῦτο ὃ νῦν λαμβάνετε. Οὐ γὰρ ἀντίτυπος τοῦ Κυριακοῦ σώματός ἐστιν ὁ ἄρτος· ἀλλ' εἰς αὐτὸ ἐκεῖνο μεταβάλλεται τὸ σῶμα τοῦ Χριστοῦ. Καὶ ὁ Κύριος γὰρ λέγει· Ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν. Οὐκ εἶπεν. Ἀντίτυπός ἐστι τῆς σαρκός μου, ἀλλ' Ἡ σάρξ μού ἐστι. Καὶ πάλιν· Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Καὶ πῶς; φησίν· οὐ γὰρ σὰρξ καθορᾶται; Διὰ τὴν ἡμετέραν, ὦ ἄνθρωπε, ἀσθένειαν. Ἐπειδὴ γὰρ ὁ μὲν ἄρτος καὶ ὁ οἶνος συνήθη ἡμῖν· αἷμα δὲ προ-

fervorem, practicus. Joannes vero ut theologus, contemplativus.

VERS. 16-21. « Et exierunt discipuli ejus, et venerunt in civitatem, et repererunt quemadmodum dixerat illis: paraveruntque Pascha. Et cum vespera jam esset, venit cum duodecim. Et cum accumberent, ederentque, dixit Jesus: Amen dico vobis, unus ex vobis proditurus est me, qui edit mecum. At illi cœperunt esse mœsti, ac dicere illi singulatim: Num ego? et alius, Num ego? Ille vero respondens dixit illis: Unus e duodecim, qui intingit mecum manum in catinum. Filius quidem hominis vadit sicut scriptum est de illo: sed væ homini illi per quem Filius hominis proditur: bonum erat illi si natus non fuisset homo ille. » Quomodo accumbebant, cum lex præciperet astantibus comedendum Pascha? Verisimile igitur primum perfecta ea quæ sunt legis, deinde recubuisse proprium Pascha traditurum. Cœperunt autem discipuli tristes fieri propter sermonem Domini quem dixerat, quod unus ex eis se traditurus esset. Quamvis autem nihil sibi conscii essent, attamen anxii erant, credentes magis ei qui corda cognoscit, quam sibiipsis. Observa autem et verbum, Vadit. Mors Christi 249 quasi peregrinatio quædam fuit, non mors. Quod autem dicitur, Bonum esset homini illi si natus nunquam fuisset, dictum est propter pœnam qua cruciandus erat Judas. Melius enim est omnino non nasci, quam ad talem pœnam nasci. Igitur quantum ad finem attinet, melius videtur omnino si non fuisset Judas. Deus quidem illum fecerat, et ad bona opera: at quia ipse in talem incidit malitiam, ut apparet, melius erat si nunquam fuisset genitus.

VERS. 22-25. « Et edentibus illis, sumpto Jesus pane, cum benedixisset, fregit et dedit illis: ac dicit: Sumite, comedite: Hoc est enim corpus meum. Et accepto poculo, cum gratias egisset, dedit illis Et biberunt ex eo omnes, et dixit illis: Hic est sanguis meus Novi Testamenti, qui pro multis effunditur. Amen dico vobis, posthac non bibam de fructu vitis usque ad diem illum, cum illud bibero novum in regno Dei. » Quidam dicunt Judam non fuisse participem sacramentorum, sed egressum esse priusquam Dominus sacramenta traderet. Alii autem dicunt quod etiam ingrato illi sacrosancta dederit. Cum benedixisset, hoc est, gratias egisset, fregit panem: id quod etiam nos facimus, preces adjungendo. Hoc est corpus meum, hoc inquam quod nunc sumitis. Non enim figura et exemplar quoddam Dominici corporis panis est, sed in illud ipsum convertitur corpus Christi. Dominus enim dicit: Panem quem ego dabo, caro mea est. Non dixit, Figura est carnis meæ, sed, Caro mea est. Et iterum: Nisi ederitis carnem Filii hominis. Et quomodo? inquit: caro enim non videtur? O homo, propter nostram infirmitatem istud fit. Quia enim panis quidem et vinum ex his sunt quibus assuevimus, ea non abhorremus: sanguinem vero propositum

Christi in viliori ponatur, prætexens scilicet pauperes, sciat cujus partis sit.

VERS. 10, 11. « Et Judas Iscariotes unus e duodecim abiit ad summos sacerdotes, ut traderet eum illis. Quo audito illi gavisi sunt, et polliciti sunt, se ei daturos pecuniam. Et quærebat quomodo opportune illum traderet. » Cum mulier suam liberalitatem declararet, insaniebat discipulus unus e duodecim. Non enim temere additum est, unus e duodecim, sed ut ostenderetur quod unus e duodecim electoribus esset. Quid autem est hoc quod ait, ut traderet illum? hoc est, significaret illis quando solus esset: timebant enim eum invadere cum doceret, propter turbam. Ipse itaque pollicebatur illis se dicturum quando ille solus esset.

VERS. 12-15. « Ac primo die Azymorum, cum Pascha immolarent, dicunt illi discipuli sui : Ubi vis ut abeamus et paremus ut edas Pascha? Et emittit duos e discipulis suis, et dicit illis : Ite in civitatem, et occurret vobis homo hydriam aquæ bajulans; sequimini 248 illum, et quocunque ingressus fuerit, dicite patrifamilias, Magister dicit : Ubi est diversorium ubi Pascha cum discipulis meis edam? Et ille vobis ostendet triclinium magnum stratum, paratum : illic parate nobis. » Primum diem Azymorum diem quintum dicit qui erat ante Azyma. Azyma enim seu infermentata die parasceves comedebantur. Accedunt itaque discipuli et interrogant ubi comedant Pascha. Ex hoc autem manifestum est Christum non habuisse proprium diversorium, et nec discipulos habuisse domum propriam. Nam si habuissent, illic eum suscepissent. Mittit autem duos e discipulis suis Petrum et Joannem, sicut et Lucas inquit, ad hominem ignotum : ostendens illis quod posset non pati. Qui enim mentem hominis ignoti conciliare sibi poterat ut se exciperet, quid non fecisset in aliis? Præterea dat illis signum quomodo inveniant domum : nempe ut sequantur hominem, figulinum vas aquæ gestantem. Hæc etiam sublimius intelligi possunt. Hydriam bajulat baptizatus. Vadit autem in domum, quæ rationali suo ordine digna est. Qui enim habet baptisma, ad requiem vadit, juxta rationem vivens, et vivit in ordine quasi in domo quadam. Paterfamilias mens est, qui ostendit magnum triclinium, sublimes scilicet sensus. Verum triclinium hoc stratum est, hoc est, tametsi sublime sit, nihil tamen habet vel asperum, vel superbum; sed stratum est, et humilitate complanatum. Hic ergo, in tali inquam mente, præparatur Pascha Christo a duobus discipulis, Petro et Joanne; practica dico et contemplativa. Petrus enim propter

A λύτιμον, καὶ ἀναγκάζων τὸ σῶμα τοῦ Χριστοῦ ἐν εὐτελεστέρῳ τίθεσθαι, προφασιζόμενος δὲ τοὺς πτωχοὺς, γινωσκέτω ποίας μερίδος ἐστίν.

« Καὶ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα, ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς ἵνα παραδῷ αὐτὸν αὐτοῖς. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν παραδῷ. » Ὅτε ἡ γυνὴ τὴν οἰκείαν φιλοτιμίαν ἐπεδείξατο, τότε μαίνεται ὁ μαθητὴς, ὁ εἷς τῶν δώδεκα. Οὐ γὰρ ἁπλῶς κεῖται τὸ, εἷς τῶν δώδεκα· ἀλλ' ἵνα δείξῃ, ὅτι εἷς τῶν προκρίτων ἐκλεκτὸς καὶ αὐτὸς ὤν. Τί δέ ἐστι τὸ, ἵνα αὐτὸν παραδῷ; τουτέστιν, ἵνα καταμηνύσῃ αὐτοῖς πότε μόνος ἐστίν; ἐκεῖνοι γὰρ ἐφοβοῦντο ἐπιπεσεῖν αὐτῷ διδάσκοντι, διὰ τὸν B ὄχλον. Ἐκεῖνος οὖν ὑπέσχετο μεμονωμένον αὐτὸν παραδοῦναι αὐτοῖς (85).

« Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν Ἀζύμων, ὅτε τὸ Πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν, ἵνα φάγῃς τὸ Πάσχα; Καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· Ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ, καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ, Ὁ διδάσκαλος λέγει· Ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; Καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεον μέγα, ἐστρωμένον, ἕτοιμον, ἐκεῖ ἑτοιμάσατε ἡμῖν. » Πρώτην ἡμέραν τῶν Ἀζύμων, τὴν πέμπτην λέγει, ἥτις πρὸ Ἀζύμων ἦν. Τὰ γὰρ ἄζυμα (*a*) νῇ παρασκευῇ ἠσθίοντο. Προσέρχονται οὖν οἱ μαθηταὶ, ἐρωτῶντες ποῦ φάγωσι τὸ C Πάσχα. Ἐκ τούτου δὲ δῆλον, ὡς οὐκ εἶχε καταγώγιον ὁ Χριστὸς ἴδιον, ἀλλ' οὐδὲ οἱ μαθηταὶ οἰκίας εἶχον. Εἰ γὰρ ἄν, προσελάβοντο αὐτὸν ἐκεῖ. Ἀποστέλλει δὲ δύο τῶν μαθητῶν αὐτοῦ, Πέτρον καὶ Ἰωάννην, ὡς ὁ Λουκᾶς λέγει, πρὸς ἄνθρωπον ἀγνώριστον, δεικνύων αὐτοῖς, ὅτι ἠδύνατο μὴ παθεῖν. Ὁ γὰρ τὴν διάνοιαν τούτου τοῦ ἀγνωρίστου πείσας ὑποδέξασθαι αὐτόν, τί οὐκ ἂν εἰργάσατο ἐν τοῖς ἄλλοις; Δίδωσι δὲ αὐτοῖς καὶ σημεῖον τοῦ εὑρεῖν τὴν οἰκίαν, τὸ ἀκολουθῆσαι ἀνθρώπῳ βαστάζοντι κεράμιον ὕδατος. Ταῦτα δὲ καὶ ἀναχθῆναι δύναται. Κεράμιον μὲν ὕδατος βαστάζει ὁ βεβαπτισμένος. Ἀπέρχεται δὲ εἰς οἰκίαν, τὴν πρέπουσαν τοῖς λογικοῖς καταστάσιν. Ὁ γὰρ τὸ βάπτισμα βαστάζων, εἰς ἀνάπαυσιν ἔρχεται, κατὰ λόγον ζῶν, καὶ ὥσπερ ἐν οἰκίᾳ D τῇ καταστάσει ταύτῃ ἐπαναπαυόμενος. Οἰκοδεσπότης δὲ ὁ νοῦς· ὃς ἀνώγεον μέθα δεικνύει, τὸ ὕψος τῶν αὐτοῦ νοημάτων. Ἀλλὰ τοῦτο τὸ ἀνώγεον καὶ ἐστρωμένον ἐστὶ, τουτέστιν, εἰ καὶ ὑψηλόν ἐστιν, ἀλλ' οὐδὲν τραχὺ καὶ ὑπερήφανον ἔχει, ἀλλ' ἔστρωται καὶ ὡμάλισται τῇ ταπεινοφροσύνῃ. Ἐκεῖ τοίνυν, ἐν τῷ τοιούτῳ λέγω νῷ, ἑτοιμάζεται τὸ Πάσχα τῷ Χριστῷ

Ex collatione codd. Venet. S. Marci.

(85) Cod. 26 addit : Διὰ καὶ ἐχάρησαν, οὐ μόνον ὅτι χωρὶς θορύβου ἔμελλον αὐτὸν συλλαβεῖν ὑπὸ τῶν Ἰούδα παραδιδόμενον εὐκαίρως, ἀλλ' ὅτι ὑπὸ τῶν μαθητῶν ἤρξατο μισεῖσθαι. Καὶ τῇ πρώτῃ, κ. τ. λ.

« Idcircor gavisi sunt, non solum quod absque tumultu illum a Juda tradendum facile essent capturi; sed etiam quod is inciperet odio haberi a suis discipulis. *At primo die.* » etc.

(*a*) Hoc in loco mendum suspicatur Petrus Arcudius.

ὑπὸ δύο μαθητῶν, Πέτρου καὶ Ἰωάννου, πράξεως, λέγω, καὶ θεωρίας. Ὁ μὲν γὰρ Πέτρος ὡς θερμὸς, πρακτικὸς, ὁ δὲ Ἰωάννης θεωρητικὸς, ὡς θεολόγος.

« Καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ Πάσχα. Καὶ ὀψίας γενομένης, ἔρχεται μετὰ τῶν δώδεκα, καὶ ἀνακειμένων αὐτῶν, καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ' ἐμοῦ. Οἱ δὲ ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς καθ εἷς· Μήτι ἐγώ; καὶ ἄλλος, Μήτι ἐγώ; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Εἷς ἐκ τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρυβλίον. Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. » Πῶς ἀνέκειντο, τοῦ νόμου κελεύοντος ἱσταμένους τρώγειν τὸ Πάσχα; Εἰκὸς οὖν πρότερον τελέσαι τὸ νομικὸν, εἶτα ἀναπεσεῖν τὸ οἰκεῖον Πάσχα μέλλοντα παραδοῦναι. Ἤρξαντο δὲ λυπεῖσθαι οἱ μαθηταὶ διὰ τὸν λόγον τοῦ Κυρίου, ὃν εἶπεν, ὅτι « Εἷς ἐξ ὑμῶν παραδώσει με. » Καίτοι γὰρ ἐκτὸς ὄντες τοῦ πάθους τούτου, ὅμως ἠγωνίων, πιστεύοντες τῷ τὰς καρδίας εἰδότι Θεῷ πλέον ἢ ἑαυτοῖς. Ὅρα δὲ καὶ τὴν λέξιν τοῦ Ὑπάγει. Ὡσανεὶ γὰρ ἀποδημία ἦν ὁ θάνατος τοῦ Χριστοῦ, οὐχὶ θάνατος. Τὸ δὲ, Καλὸν ἦν, εἰ οὐκ ἐγεννήθη, ὡς πρὸς τὴν κόλασιν, ἣν ὑποστήσεται ὁ προδότης, εἴρηται. Κρεῖττον γὰρ μηδόλως γεννηθῆναι, ἢ ἐπὶ κολάσει γεννηθῆναι. Ὅσον οὖν ἐκ τοῦ ἀποτελέσματος, κρεῖττον φαίνεται εἰ μηδόλως ὑπῆρξεν ὁ Ἰούδας. Ὁ μὲν γὰρ Θεὸς ἐποίησεν αὐτὸν ἐπ' ἔργοις ἀγαθοῖς. Ἐπεὶ δὲ αὐτὸς εἰς κακίαν τηλικαύτην ἐξέπεσεν, ὡς ἔοικε, κρεῖττον ἦν, εἰ μὴ ἐγεννήθη ὅλως.

« Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, εὐλογήσας, ἔκλασε καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε· Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον, εὐχαριστήσας, ἔδωκεν αὐτοῖς. Καὶ ἔπιον ἐξ αὐτοῦ πάντες· καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς Καινῆς Διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκ ἔτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. » Τινὲς λέγουσι τὸν Ἰούδαν μὴ μεταλαβεῖν τῶν μυστηρίων, ἀλλ' ἐξελθεῖν πρὶν ἢ ὁ Κύριος παραδῷ τὰ μυστήρια. Ἄλλοι δέ φασιν, ὅτι καὶ αὐτῷ μετέδωκε τῶν ἁγιασμάτων τῷ ἀγνώμονι. Εὐλογήσας δὲ, ἀντὶ τοῦ, εὐχαριστήσας, ἔκλασε τὸν ἄρτον. Ὅπερ καὶ ἡμεῖς ποιοῦμεν, εὐχὰς ἐπιλέγοντες. Τοῦτό ἐστι τὸ σῶμά μου, τοῦτο ὃ νῦν λαμβάνετε. Οὐ γὰρ ἀντίτυπος τοῦ Κυριακοῦ σώματός ἐστιν ὁ ἄρτος· ἀλλ' εἰς αὐτὸ ἐκεῖνο μεταβάλλεται τὸ σῶμα τοῦ Χριστοῦ. Καὶ ὁ Κύριος γὰρ λέγει· Ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν. Οὐκ εἶπεν. Ἀντίτυπός ἐστι τῆς σαρκός μου, ἀλλ' Ἡ σάρξ μού ἐστι. Καὶ πάλιν· Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Καὶ πῶς; φησίν· οὐ γὰρ σὰρξ καθορᾶται; Διὰ τὴν ἡμετέραν, ὦ ἄνθρωπε, ἀσθένειαν. Ἐπειδὴ γὰρ ὁ μὲν ἄρτος καὶ ὁ οἶνος συνήθη ἡμῖν· αἷμα δὲ προ-

fervorem, practicus. Joannes vero ut theologus, contemplativus.

VERS. 16-21. « Et exierunt discipuli ejus, et venerunt in civitatem, et repererunt quemadmodum dixerat illis: paraveruntque Pascha. Et cum vespera jam esset, venit cum duodecim. Et cum accumberent, ederentque, dixit Jesus: Amen dico vobis, unus ex vobis proditurus est me, qui edit mecum. At illi cœperunt esse mœsti, ac dicere illi singulatim: Num ego? et alius, Num ego? Ille vero respondens dixit illis: Unus e duodecim, qui intingit mecum manum in catinum. Filius quidem hominis vadit sicut scriptum est de illo: sed væ homini illi per quem Filius hominis proditur: bonum erat illi si natus non fuisset homo ille. » Quomodo accumbebant, cum lex præciperet astantibus comedendum Pascha? Verisimile igitur primum perfecta ea quæ sunt legis, deinde recubuisse proprium Pascha traditurum. Cœperunt autem discipuli tristes fieri propter sermonem Domini quem dixerat, quod unus ex eis se traditurus esset. Quamvis autem nihil sibi conscii essent, attamen anxii erant, credentes magis ei qui corda cognoscit, quam sibiipsis. Observa autem et verbum, Vadit. Mors Christi **249** quasi peregrinatio quædam fuit, non mors. Quod autem dicitur, Bonum esset homini illi si natus nunquam fuisset, dictum est propter pœnam qua cruciandus erat Judas. Melius enim est omnino non nasci, quam ad talem pœnam nasci. Igitur quantum ad finem attinet, melius videtur omnino si non fuisset Judas. Deus quidem illum fecerat, et ad bona opera: at quia ipse in talem incidit malitiam, ut apparet, melius erat si nunquam fuisset genitus.

VERS. 22-25. « Et edentibus illis, sumpto Jesus pane, cum benedixisset, fregit et dedit illis: ac dicit: Sumite, comedite: Hoc est enim corpus meum. Et accepto poculo, cum gratias egisset, dedit illis. Et biberunt ex eo omnes, et dixit illis: Hic est sanguis meus Novi Testamenti, qui pro multis effunditur. Amen dico vobis, posthac non bibam de fructu vitis usque ad diem illum, cum illud bibero novum in regno Dei. » Quidam dicunt Judam non fuisse participem sacramentorum, sed egressum esse priusquam Dominus sacramenta traderet. Alii autem dicunt quod etiam ingrato illi sacrosancta dederit. Cum benedixisset, hoc est, gratias egisset, fregit panem: id quod etiam nos facimus, preces adjungendo. Hoc est corpus meum, hoc inquam quod nunc sumitis. Non enim figura et exemplar quoddam Dominici corporis panis est, sed in illud ipsum convertitur corpus Christi. Dominus enim dicit: Panem quem ego dabo, caro mea est. Non dixit, Figura est carnis meæ, sed, Caro mea est. Et iterum: Nisi ederitis carnem Filii hominis. Et quomodo? inquit: caro enim non videtur? O homo, propter nostram infirmitatem istud fit. Quia enim panis quidem et vinum ex his sunt quibus assuevimus, ea non abhorremus: sanguinem vero propositum

et carnem videntes, non ferremus, sed abhorreremus : idcirco misericors Deus nostræ infirmitati condescendens, speciem quidem panis et vini servat, in virtutem autem carnis et sanguinis transelementat. Sanguinem vero Novi testamenti dixit, opponendo Veteri. Habebat enim et Vetus Testamentum sanguinem quo aspergebantur et populus, et liber legis [1]. Non autem bibam ex hoc vino, dicit, usque ad resurrectionem. Regnum enim resurrectionem vocat, tanquam rex qui adversus mortem certarit, et regnat. Sane post resurrectionem bibit et comedit cum discipulis, probans quod ille ipse esset qui passus fuerat. Novum autem illud bibit, hoc est novo quodam modo et insolito, non enim ultra corpus habebat passibile, quod cibo indigeret, sed immortale et incorruptibile. Intellige autem etiam sic : Vitis Dominus ipse est, fructus autem vitis mysteria sunt et abscondita scientia, quam ipse profert, docens hominem scientiam. In regno itaque Dei, hoc est, in octavo sæculo, bibet cum discipulis suis, **250** mysteria et sapientiam novam quamdam docens nos, et revelans quæ nunc abscondita sunt.

VERS. 26-31. « Et cum hymnum dixissent, exierunt in montem Olivarum : et dicit illis Jesus : Omnes offendiculum patiemini per me in hac nocte: quia scriptum est: Percutiam pastorem, et dispergentur oves. Sed posteaquam resurrexero, præcedam vos in Galilæam. Petrus autem dixit illi : Etiamsi omnes offendiculum passi fuerint, at ego non. Et dicit illi Jesus : Amen dico tibi quod tu hodie in nocte hac priusquam bis gallus cecinerit, ter abnegabis me. At ille vehementius dicebat : Imo si me oportuerit commori tibi, non te negabo. Similiter autem et omnes dicebant. » Gratias egerunt et antequam bibissent : et postquam bibissent gratias egerunt : ut et nos discamus quod oporteat gratias agere Christo et ipsum laudare et ante cibum, et post cibum. Præterea etiam hoc indicat quod grata sit ei mors pro nobis, quoniam etiam exiens ut traderetur, laudat Dominum. Omnino autem et nos docet, si quando in adversa pro multorum salute inciderimus, ne tristes simus, sed et gratias agamus Deo, qui nostram afflictionem in multorum salutem operatur. Egreditur vero in montem Olivarum ut solitarium adorirentur, et detinerent, ne tantum tumultum faciant. Nam si in civitate ipsum invasissent, fortassis suborta fuisset turba, et inimici occasione quapiam, quæ justa videri potuisset, apprehensa, visi fuissent ipsum juste ut seditiosum interficere. Prædicit autem illis quod et offendiculum passuri essent. Postea ne videantur hæc esse in manifestam omnium accusationem, adducit etiam testimonium ex propheta Zacharia quod dispergendi essent. Denique et consolationem illis affert dicens : Præcedam vos in Galilæam, hoc est, præveniam. At Petrus obsistit : ideo et audit quod

[1] Exod. XXIV, 8.

A κείμενον καὶ σάρκα ὁρῶντες, οὐκ ἂν ἠνέγκαμεν, ἀλλ' ἀπεναρκήσαμεν· διὰ τοῦτο συγκαταβαίνων ἡμῖν ὁ φιλάνθρωπος, τὸ μὲν εἶδος ἄρτου καὶ οἴνου φυλάττει· εἰς δύναμιν δὲ σαρκὸς καὶ αἵματος μεταστοιχειοῖ. Αἷμα δὲ Καινῆς Διαθήκης εἶπε, πρὸς ἀντιδιαστολὴν τῆς Παλαιᾶς. Καὶ γὰρ ἡ Παλαιὰ Διαθήκη, κἀκείνη αἷμα εἶχε, δι' οὗ ἐῤῥαντίσθη ὅ τε λαὸς καὶ τὸ βιβλίον τοῦ νόμου. Οὐ μὴ πίω δὲ ἐκ τοῦ οἴνου, λέγει, ἄχρι τῆς ἀναστάσεως. Βασιλείαν γὰρ τὴν ἀνάστασιν ὀνομάζει, ὡς βασιλεύσας τότε κατὰ τοῦ θανάτου. Μετὰ γοῦν τὴν ἀνάστασιν, ἔφαγε καὶ ἔπιε μετὰ τῶν μαθητῶν, πιστούμενος, ὅτι αὐτὸς ἐκεῖνός ἐστιν ὁ παθών. Καινὸν δὲ πίνει αὐτὸ, τουτέστιν, καινόν τινα τρόπον καὶ ξένον, οὐκ ἔτι γὰρ σῶμα παθητὸν εἶχε, δεόμενον τροφῆς, ἀλλ' ἄφθαρτον καὶ ἀθά-
B νατον. Νόει δὲ καὶ αὕτως· Ἄμπελος, ὁ Κύριος αὐτὸς, γέννημα δὲ ἀμπέλου, τὰ μυστήρια, καὶ ἡ γνῶσις ἡ ἀπόκρυφος, ἣν αὐτὸς γεννᾷ, ὁ διδάσκων ἄνθρωπον γνῶσιν. Ἐν τοίνυν τῇ βασιλείᾳ τοῦ Θεοῦ, τουτέστιν, ἐν τῷ ὀγδόῳ αἰῶνι, πίεται μετὰ τῶν μαθητῶν αὐτοῦ, τὰ μυστήρια καὶ τὴν σοφίαν, καινά τινα διδάσκων ἡμᾶς, καὶ ἀποκαλύπτων ἃ νῦν κέκρυπται.

« Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, ὅτι Πάντες σκανδαλισθήσεσθε ἐν ἐμοὶ, ἐν τῇ νυκτὶ ταύτῃ, ὅτι γέγραπται· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα. Ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ὁ δὲ Πέτρος
C ἔφη αὐτῷ, Καὶ εἰ πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι σὺ σήμερον ἐν τῇ νυκτὶ ταύτῃ, πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Ὁ δὲ ἐκ περισσοῦ ἔλεγε· Μᾶλλον ἐάν με δέῃ συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσωμαι. Ὡσαύτως δὲ καὶ πάντες ἔλεγον. » Εὐχαρίστησαν καὶ πρὸ τοῦ πιεῖν, εὐχαρίστησαν καὶ μετὰ τὸ πιεῖν, ἵνα καὶ ἡμεῖς μάθωμεν, ὅτι δεῖ εὐχαριστεῖν καὶ ὑμνεῖν, καὶ πρὸ τῆς τροφῆς, καὶ μετὰ τὴν τροφήν. Ἅμα δὲ καὶ τοῦτο δείκνυσιν, ὅτι ἀσπαστός ἐστιν αὐτῷ ὁ ὑπὲρ ἡμῶν θάνατος, ὅς γε ἐπὶ τῷ παραδοθῆναι ἐξιὼν ὑμνεῖ τὸν Θεόν. Πάντως δὲ καὶ ἡμᾶς διδάσκει, ὅταν θλιβεροῖς περιπέσωμεν εἰς σωτηρίαν πολλῶν, μὴ ἀθυμεῖν, ἀλλ' εὐχαριστεῖν τῷ Θεῷ, τῷ διὰ τῆς ἡμετέρας θλίψεως κατεργαζομένῳ σωτηρίαν πολλῶν.
D Ἐξέρχεται δὲ εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ἵνα καταμόνας ὄντι ἐπελθόντες καὶ κατασχόντες, μὴ τοσοῦτον θόρυβον ποιήσωσιν. Εἰ γὰρ ἐν τῇ πόλει ὄντι ἐπῆλθον, τυχὸν ἂν ἐταράχθη τὸ πλῆθος ἐπ' αὐτῷ· καὶ τότε εὐλογοφανοῦς ἀφορμῆς δραξάμενοι οἱ ἐχθροὶ, ἔδοξαν ἂν αὐτὸν ἀνελεῖν δικαίως ὡς στασιαστήν. Προφητεύει δὲ αὐτοῖς ὅτι καὶ σκανδαλισθήσονται. Εἶτα ἵνα μὴ δόξῃ προφανὴς εἶναι κατηγορία πάντων τὸ τοιοῦτον, παράγει καὶ μαρτυρίαν ἐκ τοῦ προφήτου Ζαχαρίου, ὅτι διασκορπισθήσονται. Τελευταῖον δὲ, καὶ παραμυθίαν ἐπάγει αὐτοῖς, ὅτι Προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν, τουτέστι, προλάβω. Ἀλλ' ὁ Πέ-

τρος ἐνίσταται, διὸ καὶ ἀκούει, ὅτι Πρὶν ἢ ἀλέκτορα δὶς φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Τοῦτο δὲ τοιοῦτόν ἐστιν. Ἠρνήσατο ἅπαξ ὁ Πέτρος· εἶτα ἀλέκτωρ ἐφώνησεν, ἀρνησαμένου δὲ καὶ τὰς ἄλλας δύο ἀρνήσεις, τότε ἐφώνησεν ὁ ἀλέκτωρ. Τοῦτο οὖν ἐνταῦθα λέγει· Πρὶν ἀλέκτορα φωνῆσαι δὶς, ἀπαρνήσῃ με τρίς. Ὁμοίως δὲ καὶ πάντες θερμότητα ψυχρὰν ἐνδεικνύμενοι, ὑπισχνοῦντο· τὴν αὐτοαλήθειαν ψεύδεσθαι ποιοῦντες, διὸ καὶ παραχωρεῖ ὁ Κύριος, καὶ ἡ ἀνθρωπίνη φύσις τὰ ἑαυτῆς ἐπιδείκνυται. Πάντως γὰρ ὁ Κύριος ἠδύνατο τηρῆσαι αὐτοὺς, καὶ μάλιστα τὸν Πέτρον· ἀλλ' ὅμως ἀφῆκεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς. Τὸ δὲ, Πατάξω τὸν ποιμένα, ὁ Πατὴρ λέγει. Ἐπεὶ γὰρ παρεχώρησε παταχθῆναι, πατάξαι αὐτὸς λέγεται τὸν κατὰ παραχώρησιν αὐτοῦ παταχθέντα. Πρόβατα δὲ τοὺς ἀποστόλους, ὡς ἀκάκους ὠνόμασεν.

« Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γηθσεμανῆ, καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ· Καθίσατε ὧδε ἕως προσεύξωμαι. Καὶ παραλαμβάνει τὸν Πέτρον καὶ Ἰάκωβον, καὶ Ἰωάννην μεθ' ἑαυτοῦ, καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν. Καὶ λέγει αὐτοῖς· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. Μείνατε ὧδε, καὶ γρηγορεῖτε. Καὶ προσελθὼν μικρὸν, ἔπεσεν ἐπὶ τῆς γῆς, καὶ προσηύχετο ἵνα, εἰ δυνατόν ἐστι, παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα. Καὶ ἔλεγεν· Ἀββᾶ ὁ Πατὴρ, πάντα δυνατά σοι, παρένεγκε τὸ ποτήριον ἀπ' ἐμοῦ τοῦτο, ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ. Καὶ ἔρχεται, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Σίμων, καθεύδεις; Οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι; Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. Καὶ πάλιν ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών. Καὶ ὑποστρέψας, εὗρεν αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν βεβαρημένοι, καὶ οὐκ ᾔδεισαν τί αὐτῷ ἀποκριθῶσι. Καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς· Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε, ἀπέχει. Ἦλθεν ἡ ὥρα, ἰδοὺ παραδίδοται ὁ Υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. Ἐγείρεσθε, ἄγωμεν, ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν. » Καταμόνας εἴωθεν ἀεὶ προσεύχεσθαι, τύπον καὶ ἡμῖν διδοὺς, ἵνα τὴν ἡσυχίαν ἐπιζητῶμεν ἐν ταῖς προσευχαῖς. Παραλαμβάνει δὲ τοὺς τρεῖς μόνους, τοὺς καὶ τῆς δόξης αὐτοῦ ἐν τῷ Θαβὼρ θεατὰς γενομένους, ἵνα οἱ ἰδόντες τὰ ἔνδοξα, ἴδωσι καὶ τὰ σκυθρωπὰ, καὶ μάθωσιν, ὅτι καὶ αὐτὸς ἀληθῶς ἄνθρωπος ἦν, καὶ λυπεῖται καὶ ἀδημονεῖ ἐπίσης ἡμῖν. Ἐπεὶ γὰρ ὅλον τὸν ἄνθρωπον ἀνελάβετο μετὰ τῶν φυσικῶν ἰδιωμάτων, πάντως καὶ λυπηθήσεται καὶ ἀδημονήσει φυσικῶς. Οἱ γὰρ ἄνθρωποι, φύσει πρὸς τὸν θάνατον ἀηδῶς διακείμεθα. Τῷ μὲν οὖν εἰπεῖν, Παρελθέτω τὸ ποτήριον, ἔδειξε ἀνθρώπινον· τῷ δὲ εἰπεῖν, Οὐχ ὃ ἐγὼ θέλω, ἀλλ' ὃ σὺ, διδάσκει ἡμᾶς, ἵνα καὶ τῆς φύσεως βιαζομένης ὑπερφρονῶμεν, τὸ ἀρεστὸν τῷ Θεῷ αἰτούμενοι. Ὡς δὲ μετὰ τὴν εὐχὴν ἐλθὼν, εὗρε τοὺς τρεῖς καθεύδοντας, ἐπιτιμᾷ τῷ Πέτρῳ μόνῳ, μονονουχὶ τοιαῦτα λέγων πρὸς αὐτόν· Οὐ σὺ εἶ ὁ ὑποσχόμενος σὺν ἐμοὶ ἀποθανεῖν; Μίαν

A Antequam gallus bis canat, ter me abnegabis. Hoc autem in hunc modum se habet: Negaverat semel Petrus, deinde gallus cantavit: et cum alias duas abnegationes fecisset, et tunc quoque cantavit gallus. Et hoc est quod hoc loco dicit: Priusquam gallus bis cantet, ter me abnegabis. Similiter autem et omnes frigidam alacritatem ostendentes, et ipsam veritatem mendacem facientes, pollicentur: ideo Dominus permittit ut humana natura suam prodat imbecillitatem. Omnino enim potuisset illos Dominus servare, et Petrum maxime: sed permisit, ut ne in nobisipsis confideremus. Cæterum, Percutiam pastorem, vox est Patris: quandoquidem percuti permisit, percussisse ipse dicitur eum qui ipsius permissu percussus est. Oves autem
B apostolos, ut innocentes nominat.

VERS. 32-42. «Et veniunt in locum cujus nomen Gethsemani, et dicit discipulis suis: Sedete hic, donec digressus oravero. Et assumit Petrum et Jacobum et Joannem **251** secum: cœpitque expavescere et angi. Et dicit illis: Dolore afficitur anima mea usque ad mortem. Manete hic, et vigilate. Et progressus paulum, prostratus est in terram, et oravit ut si possibile esset, transiret a se hora. Et dicebat: Abba Pater, omnia possibilia sunt tibi: aufer poculum a me hoc: verumtamen non quid ego velim, sed quid tu. Et venit et offendit eos dormientes: dicitque Petro: Simon, dormis? non potuisti unam horam vigilare? Vigilate et orate ne venia-
C tis in tentationem, spiritus quidem promptus, at caro infirma. Et rursum digressus orabat, et eumdem dixit sermonem. Et reversus offendit illos rursum dormientes, erant enim oculi eorum gravati, neque sciebant quid illi responderent. Et venit tertio dicitque illis: Dormite posthac, et requiescite, sufficit. Venit hora, ecce traditur Filius hominis in manus peccatorum. Surgite, eamus: ecce qui prodit me, appropinquat.» Seorsum semper orare consuevit, dans etiam nobis exemplum, ut quietem in precibus inquiramus. Assumit autem solum tres illos qui suæ in Thabor gloriæ spectatores fuerant, ut illi ipsi qui gloriosa viderant, videant et tristia: discantque quod et ipse vere homo sit, et mœreat
D et angatur sicut nos. Nam et qui totum hominem cum naturalibus conditionibus suscepit, omnino et tristitiam et angorem naturalem habuit. Omnes autem natura insuaviter erga mortem affecti sumus. Cæterum dicendo: Transeat calix, monstravit humanitatem. Dicendo autem: Non quod ego volo, sed quod tu, docet nos ut invadentem ac urgentem naturam contemnamus, quod Deo gratum est petentes. Postquam autem post preces venit, invenit tres dormientes, et increpavit Petrum solum, quasi talia ad ipsum dicens: Tune ille es, qui pollicitus es te mihi commoriturum? Unam horam non potuisti vigilare, quomodo mortem contemnes? Sed vigilate et orate, ut ne veniatis in tentationem abnegandi me. Spiritus quidem promptus est, ut me non abne-

get, et propterea etiam vos pollicemini mihi hoc : sed caro infirma est, et ita si non per orationem virtutem dederit Deus carni, periclitabimini. Et iterum cum abivisset, oravit, et eumdem sermonem dixit, ut etiam secundo orando credere faciat eos, quod sit vere et substantialiter homo, et ut doceat etiam nos sæpe orare, et non statim ut semel petiverimus, cessare. Et cum invenisset eos iterum dormientes, non valde increpavit eos, erant enim gravati somno: unde disce humanam levitatem et infirmitatem, quando quidem qui neque somno possumus obsistere, promittimus sæpe quæ nobis impossibilia sunt. Igitur nunc tertio precatur, propter illas ipsas causas quas supra diximus. Et venit iterum, ac dicit illis: non jam perstringens durius quamvis meriti essent, quia post 252 increpationem non erant facti meliores, sed somno indulserant. Et quid dicit? Dormite nunc, et requiescite. Per ironiam hæc illis loquitur; quia enim sciebat venire proditorem, dicit ad illos: Nunc tempus est dormiendi, dormite nunc, ecce inimicus venit. Hoc autem dixit irridens eorum somnolentiam. Et quod per ironiam dixerit, audi quoniam mox subdat: Surgite, eamus: non ut fugiant hoc dicens, sed magis ut obviam eant inimicis. Quidam autem hoc quod dicit: Tristis est anima mea usque ad mortem, sic intellexerunt: Tristis sum, non quia moriturus, sed quia Israelitæ domestici mei me crucifixuri sunt, et propterea regno Dei ejicientur.

A ὥραν οὐκ ἴσχυσας γρηγορῆσαι, καὶ θανάτου καταφρονήσεις; Ἀλλὰ γὰρ γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς τὸν πειρασμὸν τοῦ ἀρνήσασθαί με. Τὸ μὲν γὰρ πνεῦμα ὑμῶν πρόθυμόν ἐστιν εἰς τὸ μὴ ἀρνήσασθαί με· καὶ διὰ τοῦτο καὶ ὑμεῖς ὑπισχνεῖσθέ μοι τοῦτο· ἀλλ' ἡ σὰρξ ἀσθενής· ὥστε ἐὰν μὴ διὰ τῆς προσευχῆς δῴη δύναμιν ὁ Κύριος τῇ σαρκὶ, κινδυνεύσετε. Καὶ πάλιν ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπὼν, ἵνα καὶ διὰ τοῦ δευτέρου προσεύξασθαι, πιστώσηται, ὅτι οὐσιωδῶς καὶ ἀληθῶς ἄνθρωπος ἦν· καὶ ἵνα διδάξῃ καὶ ἡμᾶς, πολλάκις προσεύχεσθαι, καὶ μὴ ἅπαξ εἰπόντας τι, ἀπαλλάττεσθαι. Εὑρὼν δὲ αὐτοὺς πάλιν καθεύδοντας, οὐ σφοδρῶς ἐπιτιμᾷ· ἦσαν γὰρ βεβαρημένοι ὕπνῳ. B Ὅθεν μάνθανε τὴν ἀνθρωπίνην κουφότητα καὶ ἀσθένειαν, ὅπως μηδὲ πρὸς ὕπνον ἀντισχεῖν δυνάμενοι, ἐπαγγελλόμεθα πολλάκις τὰ ἀδύνατα ἡμῖν. Πάλιν οὖν ἐκ τρίτου προσεύχεται, διὰ τὰς αὐτὰς αἰτίας ἃς εἴπομεν ἄνω. Καὶ ἔρχεται πάλιν, καὶ λέγει αὐτοῖς (86-87), οὐκ ἐπιπλήσσων· καίτοι ἔδει ἐπιπλῆξαι, ὡς μηδὲ μετὰ τὴν ἐπιτίμησιν βελτιωθέντας, ἀλλὰ παραδοθέντας τῷ ὕπνῳ· τί οὖν λέγει; Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε. Εἰρωνευόμενος δὲ τοῦτο λέγει πρὸς αὐτούς· ἐπεὶ γὰρ ᾔδει ὅτι ἔρχεται ὁ προδότης, φησὶ πρὸς αὐτοὺς ὅτι Νῦν καιρός ἐστι τοῦ κοιμᾶσθαι, καθεύδετε· ἰδοὺ ὁ ἐχθρὸς ἔρχεται. Τοῦτο δὲ εἶπε, ἐπιγελῶν τῷ ὕπνῳ αὐτῶν. Ὅτι δὲ εἰρωνευόμενος τοῦτο εἶπεν, ἄκουε πῶς παρακατιὼν λέγει· Ἐγείρεσθε, ἄγωμεν· οὐχ ἵνα δὲ φύγωσι τοῦτο λέγει, ἀλλ' ἵνα μᾶλλον συναντήσωσι τοῖς ἐχθροῖς. Τινὲς δὲ τὸ, Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, οὕτως ἐνόησαν, ὅτι Λυποῦμαι, οὐ διότι μέλλω ἀποθανεῖν, ἀλλὰ διότι οἱ Ἰσραηλῖται, οἱ οἰκεῖοί μου, αὐτοὶ σταυρῶσαί με μέλλουσι, καὶ διὰ τοῦτο ἀποῤῥιφῆναι τῆς βασιλείας τοῦ Θεοῦ.

VERS. 43-49. « Et continuo, adhuc eo loquente, accedit Judas, qui erat unus e duodecim, et cum illo turba multa cum gladiis et fustibus a summis sacerdotibus et Scribis et senioribus. Dederat autem is qui prodebat eum, commune signum illis, dicens: Quemcunque osculatus fuero, is est, comprehendite eum, et abducite caute Et cum venisset, protinus accedit ad illum, dicitque ei, Rabbi, Rabbi: ac deosculatus est eum. Illi vero injecerunt in illum manus suas, et comprehenderunt eum Unus autem quispiam astantium, educto gladio, percussit servum summi sacerdotis, et amputavit auriculam ejus. Et respondens Jesus, dixit illis: Tanquam ad latronem existis cum gladiis ac fustibus ad comprehendendum me: quotidie eram vobiscum in templo docens, et non comprehendistis me: sed ista fiunt, ut impleantur Scripturæ. » Non frustra adjectum est: Unus ex duodecim, sed in

C « Καὶ εὐθέως, ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰούδας εἷς τῶν δώδεκα, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, παρὰ τῶν ἀρχιερέων καὶ τῶν Γραμματέων καὶ τῶν πρεσβυτέρων. Ἐδεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς, λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτὸν, καὶ ἀπαγάγετε ἀσφαλῶς. Καὶ ἐλθὼν, εὐθέως προσελθὼν αὐτῷ, λέγει αὐτῷ· Ῥαββὶ, Ῥαββί· καὶ κατεφίλησεν αὐτόν. Οἱ δὲ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας, καὶ ἐκράτησαν αὐτόν. Εἷς δέ τις τῶν παρεστηκότων, σπασάμενος μάχαιραν, ἔπαισε τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· D καθ' ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με, ἀλλ' ἵνα πληρωθῶσιν αἱ Γραφαί. » Τὸ, Εἷς τῶν δώδεκα, οὐ μάτην πρόσκειται. Ἀλλ' εἰς κατηγορίαν τοῦ προδότου.

Ex collatione codd. Venet. S. Marci.

(86-87). Cod. 26 addit: Καθεύδετε λοιπὸν καὶ ἀναπαύεσθε· ἀπέχει, ἦλθεν ἡ ὥρα. Τί ἐστι τὸ ἀπέχει; Εἴρηκε μέν τις, ὅτι Ἔλαβε τὴν κατ' ἐμοῦ ἐξουσίαν ὁ διάβολος. Ἐμοὶ δὲ οὐ δοκεῖ· ἀλλὰ τοιοῦτόν τι δηλοῖ, Ἀπέχει τὰ κατ' ἐμὲ, ἤγουν, πέρας ἔχει· καὶ γὰρ παρὰ τοῦ Λουκᾶ εἴρηται, Τὰ περὶ ἐμοῦ τέλος ἔχει. Ἐκ τρίτου γοῦν προσελθὼν τοῖς μαθηταῖς λέγει, οὐκ ἐπιπλήσσων, κ. τ. λ. « *Dormite posthæc, et requiescite: sufficit, venit hora.* Quid est illud, *sufficit?* Dixerit equidem nonnemo, hoc perinde esse, ac, Accepit in me diabolus potestatem. Mihi autem non ita videtur; sed tale quid significare: Sufficiunt ea quæ contra me sunt: hoc est, terminum habent. Nam et a Luca (XXII, 37) dicitur. *Quæ de me sunt finem habent.* Tertio igitur veniens ad discipulos, dicit, non jam perstringens. »

Ὅτι τοῦ πρώτου χοροῦ ὤν, κατὰ τοῦ Δεσπότου ἐλύττησεν. Ἴδε δὲ καὶ τὴν ἀναισθησίαν αὐτοῦ, πῶς ἐνόμισε λαθεῖν τὸν Κύριον ἐκ τοῦ φιλήματος, ὡς δῆθεν φίλος νομισθησόμενος. Καὶ εἰ φίλος ἐτύγχανε, τίνος ἕνεκα μετὰ τῶν ἐχθρῶν ἦλθεν; Ὄντως ἀνόητον ἡ πονηρία. Εἷς δέ τις τῶν παρεστηκότων, ὁ Πέτρος οὗτος ἦν, ἀποσιωπᾷ δὲ τὸ ὄνομα αὐτοῦ ὁ Μάρκος, ἵνα μὴ δόξῃ ἐπαινεῖν τὸν διδάσκαλον αὐτοῦ Πέτρον, ὡς ζηλώσαντα ὑπὲρ τοῦ Χριστοῦ. Καλῶς δὲ τὸ ὠτίον τοῦ δούλου τοῦ ἀρχιερέως ἀφεῖλεν. Αἰνίττεται γὰρ ὅτι παρήκοοι ἦσαν καὶ ἀπειθεῖς, τῶν Γραφῶν καταμελοῦντες. Εἰ γὰρ εἶχον ὦτα, τῶν Γραφῶν κατακούοντα, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Οὐκ ἄλλον δὲ δοῦλον ἔπαισεν ὁ Πέτρος, ἀλλὰ τοῦ ἀρχιερέως. Οἱ γὰρ ἀρχιερεῖς πρῶτοι τῶν Γραφῶν παρήκουον, δοῦλοι φθόνου καὶ φιλαυτίας γενόμενοι. Εἶπε δὲ τοῖς ὄχλοις· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε· καθ' ἡμέραν ἐδίδασκον ἐν τῷ ἱερῷ. Τοῦτο δὲ τὴν θεότητα αὐτοῦ δείκνυσιν. Ὅτε γὰρ ἐν τῷ ἱερῷ ἐδίδασκεν, οὐκ ἠδυνήθησαν αὐτὸν συσχεῖν, καίτοι ἐν χερσὶν αὐτῶν ὄντα, ὅτι μήπω ὁ καιρὸς ἦν τοῦ πάθους. Ὅτε δὲ ἠθέλησε, τότε ἑαυτὸν παρέδωκεν, ἵνα πληρωθῶσιν αἱ Γραφαὶ τῶν προφητῶν, ὅτι Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, οὐκ ἐρίζων, οὐδὲ κραυγάζων, ἀλλ' ἑπόμενος ἑκών.

« Καὶ ἀφέντες αὐτὸν πάντες, ἔφυγον. Καὶ εἷς τις νεανίσκος ἠκολούθει αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ. Καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι. Ὁ δὲ καταλιπὼν τὴν σινδόνα, γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν. Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα, καὶ συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι καὶ οἱ Γραμματεῖς. Καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς. » Ἔφυγον οἱ μαθηταί. Οὐκ ἦν γὰρ ψεύσασθαι τὴν αὐτοαλήθειαν, οὐδὲ τοὺς προφήτας. Εἷς δέ τις νεανίσκος ἠκολούθησεν αὐτῷ· Οὗτος δὲ ὁ νεανίσκος εἰκὸς ὅτι ἐκ τῆς οἰκίας ἐκείνης ἦν, ἐν ᾗ ἔφαγον τὸ πάσχα. Τινὲς δέ φασι τοῦτον Ἰάκωβον εἶναι τὸν ἀδελφόθεον, τὸν ἐπικληθέντα Δίκαιον. Οὗτος γὰρ ἐνὶ περιβολαίῳ ἐκέχρητο πᾶσαν τὴν αὐτοῦ ζωήν· ὃς καὶ τὸν θρόνον τῶν Ἱεροσολύμων παρὰ τῶν ἀποστόλων ἔλαβε μετὰ τὴν τοῦ Κυρίου ἀνάληψιν. Καὶ οὗτος τοίνυν καταλιπὼν τὴν σινδόνα, ἔφυγεν. Οὐδὲν δὲ καινὸν εἰ τῶν κορυφαίων φυγόντων, καὶ οὗτος κατέλιπε τὸν Κύριον. Ἀλλ' ὅγε Πέτρος ἀκολουθεῖ, θερμοτάτην ἀγάπην πρὸς τὸν Διδάσκαλον ἐνδεικνύμενος. Τοῦ δὲ νόμου κελεύοντος ἕνα εἶναι ἀρχιερέα διὰ βίου, πολλοὶ τότε ἦσαν, ἐξωνούμενοι καθ' ἕκαστον ἐνιαυτὸν παρὰ Ῥωμαίων τὰς ἀρχάς. Ἀρχιερεῖς οὖν λέγει, τοὺς ἤδη πεπληρωκότας τὸν ὡρισμένον καιρὸν αὐτοῖς, καὶ ἀποβαλλομένους τὴν ἀρχιερωσύνην.

« Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν εἰς τὸ θανατῶσαι αὐτόν· καὶ οὐχ εὕρισκον. Πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. Καί τινες ἀναστάντες, ἐψευδομαρτύρουν κατ' αὐτοῦ, λέγοντες,

A proditoris detestationem, quod cum ex primo ordine esset, ita contra magistrum insanaverit. Vide autem stuporem illius, quomodo poterit posse Dominum latere, quod pro amico habendus esset propter osculum; nam si amicus erat, quare cum inimicis veniebat? Revera malitia semper stulta est. Unus autem quispiam astantium, Petrus hic erat, obticet autem nomen ejus Marcus, ut ne videatur laudare præceptorem suum Petrum majoris pro Christo zeli. Recte autem auriculam servi summi sacerdotis amputavit. Innuit enim quod audire nollent et credere, contemnentes Scripturas. Si enim aures habuissent quæ Scripturas exaudirent, nequaquam Dominum gloriæ crucifixissent. Non autem alium quam pontificis servum percussit Petrus. Pontifi- B ces enim primi Sripturas aspernabantur, facti invidiæ et sui ipsorum amoris mancipia. Dixit item turbis: Tanquam ad latronem ad me exivistis, quotidie docebam in templo. Hoc autem divinitatem ejus monstrabat. Quando enim in templo docebat, non potuerunt illum comprehendere, quamvis in illorum manibus esset, quia nondum tempus erat patiendi; quando autem voluit. tunc seipsum obtulit, ut impleantur Scripturæ prophetarum 253
quod Sicut ovis ad occisionem ductus sit, non contendens, neque clamans, sed sua sponte sequens.

VERS. 50-54. « Et relicto illo omnes fugerunt. Et unus quispiam adolescentulus sequebatur illum circumamictus sindone super nudum, et comprehendunt illum adolescentuli. Ille vero relicta sin- C done nudus effugit ab illis. Et adduxerunt Jesum ad summum sacerdotem, et conveniunt cum illo omnes summi sacerdotes et seniores et Scribæ. Et Petrus eminus sequebatur illum intro usque in atrium summi sacerdotis, et erat sedens una cum ministris, et calefiebat ad lumen. » Fugerunt discipuli, neque enim mentiri poterat veritas ipsa, neque prophetæ. Adolescentulus autem quispiam sequebatur. Verisimile est quod hic adolescentulus erat quidam e domo in qua comederant pascha. Quidam autem dicunt illum fuisse Jacobum fratrem Domini, qui cognominabatur Justus. Hic enim una veste usus est per omnem vitam suam, qui, et sedem Hierosolymitanam ab apostolis ac- D cepit post assumptionem Domini. Et hic igitur relicta sindone fugit. Nihil autem novi si fugientibus præcipuis etiam hic reliquerit Dominum. Petrus vero secutus est, ampliorem erga Dominum declarans amorem. Cum autem lex præciperet unum esse pontificem per totam vitam, multi tunc erant ementes quotannis a Romanis principatus. Pontifices itaque dicit eos, qui tempus suum jam exegerant, et pontificatum deposuerant.

VERS. 55-61. « Pontifices vero et totum consilium quærebant adversus Jesum testimonium ut morti traderent eum, nec inveniebant. Nam multi falsum testimonium dixerant adversus illum, nec erant satis idonea testimonia. Et quidam assurgebant et

falsum testimonium ferebant adversus illum, dicentes : Nos audivimus eum dicentem : Ego diruam templum hoc, quod est manibus factum, et tribus diebus aliud sine manibus factum exstruam. Et ne sic quidem satis idoneum erat testimonium illorum. Et surgens summus sacerdos in medium interrogabat Jesum, dicens : Non respondes quidquam? quid isti adversum te dicunt testimonia? At ille tacebat, neque quidquam respondebat. » Judicii formam servant illi ipsi condemnatione digni, ut videantur illum cum judicio occidere. Quomodo enim judicium justum, cum tales adsunt testes, nihil sani, sed turbata et inæqualia dicentes omnia? Et ipsi quoque qui visi sunt dicere quiddam, mendaciter dixerunt. Non dixit enim, Ego destruam templum hoc : sed, Solvite : et non dixit, manufactum: sed simpliciter, templum. Pontifex autem surgit, et interrogat Jesum, volens ipsum ad defensionem trahere, ut vel ex defensione et responso ipsum comprehenderet. At Jesus tacet, sciens illos non attenturos his quæ ab ipso dicerentur, id quod et

A ὅτι Ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος, ὅτι Ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον· καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω. Καὶ οὐδὲ οὕτως ἴση ἡ μαρτυρία αὐτῶν. Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς μέσον, ἐπηρώτησε τὸν Ἰησοῦν, λέγων· Οὐκ ἀποκρίνῃ οὐδέν; Τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ ἐσιώπα καὶ οὐδὲν ἀπεκρίνατο. » Σχῆμα δῆθεν κριτηρίου οἱ αὐτοκατάκριτοι πλάττονται, ἵνα δόξωσι μετὰ κρίσεως αὐτὸν ἀνελεῖν. Ποῦ γὰρ ὀρθὸν κριτήριον, ὅπου μάρτυρες τοιοῦτοι παράγονται, οὐδὲν ὑγιὲς λέγοντες, ἀλλὰ πάντα τεταραγμένα καὶ ἄνισα; Καὶ αὐτοὶ δὲ οἱ δόξαντες τι λέγειν, ψευδῆ εἶπον. Ὁ γὰρ Κύριος οὐκ εἶπε, Καταλύσω ἐγὼ τὸν ναὸν, ἀλλὰ, Λύσατε. Καὶ οὐδὲ, χειροποίητον, εἶπεν, ἀλλ' ἁπλῶς, ναόν. Ὁ δὲ ἀρχιερεὺς ἀναστὰς ἐρωτᾷ τὸν
B Ἰησοῦν, βουλόμενος εἰς ἀπολογίαν αὐτὸν ἑλκύσαι, ἵνα ἐκ τῆς ἀπολογίας δράξηται αὐτοῦ. Ὁ δὲ σιωπᾷ, γινώσκων ὅτι οὐ προσέξουσι τοῖς αὐτοῦ λόγοις· ὃ καὶ ὁ Λουκᾶς λέγει, ὅτι ἐρωτώμενος ὁ Κύριος, εἶπεν· Ἐὰν εἴπω ὑμῖν, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτε.

Lucas dicit, quia cum interrogaretur **254** Dominus, dixit : Si dixero vobis, non credetis : sin interrogavero vos, non respondebitis.

VERS. 61-65. « Rursum summus sacerdos interrogavit ipsum, et dicit illi : Tu es ille Christus Filius Dei benedicti? Jesus autem dixit : Ego sum, et videbitis Filium hominis sedentem a dextris virtutis, et venientem in nubibus cœli. Summus autem sacerdos dilaceratis vestibus suis dixit : Quid præterea opus habemus testibus? Audistis blasphemiam, quid vobis videtur? Illi vero omnes condemnaverunt eum esse reum mortis. Et cœperunt quidam conspuere in eum, et obvelare faciem illius, et colaphis eum cædere et dicere illi, Divina ; ac ministri alapas illi impingebant. » Rogat denuo pontifex, non ut discat et credat : sed ut captet contra eum occasionem. Adjicit autem ad istud : Tu es Christus, etiam hoc, Filius Dei benedicti. Multi enim fuerunt christi, reges inquam et pontifices, sed nullus horum fuit Filius Dei, qui est semper benedicendus et laudandus. Jesus dixit : Ego sum. Sciebat quidem quod non credituri essent, attamen respondit coactus, ut ne habeant postea quod dicant : Si manifeste ipsum audivissemus hoc dixisse, credidissemus; et propterea condemnatio eorum major fuit, quia et hunc cum audiverunt, non crediderunt. Et videbitis, inquit, me ut Filium hominis sedentem ad dexteram virtutis, nempe Patris : virtutem enim, Patrem hoc loco dicit. Non enim sine corpore veniet, sed talis qui videri possit et agnosci ab his qui eum crucifixerunt. Itaque pontifex morem Judæorum observat. Quando enim grave et atrox quippiam eveniebat eis, dilacerabant tunicas. Ita et hoc loco quasi blasphemasset Dominus, et malefactor magnus esset, discindit vestem pontifex. Recte quis hoc Davidis hic diceret : « Discissi sunt [2], et non sunt com-

« Πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν, καὶ λέγει αὐτῷ· Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ εὐλογητοῦ; Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἐγώ εἰμι, καὶ ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν καθήμενον τῆς δυνάμεως, καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Ὁ δὲ ἀρχιερεὺς, διαῤῥήξας τοὺς χιτῶνας αὐτοῦ, λέγει· Τί ἔτι χρείαν ἔχομεν μαρτύρων; Ἠκούσατε τῆς βλασφημίας, τί ὑμῖν φαίνεται; Οἱ δὲ πάντες κατέκρι-
C ναν αὐτὸν εἶναι ἔνοχον θανάτου· καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ, καὶ περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ, καὶ κολαφίζειν αὐτὸν, καὶ λέγειν αὐτῷ, Προφήτευσον· καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον. » Ἐρωτᾷ πάλιν ὁ ἀρχιερεὺς, οὐχ ἵνα μαθὼν πιστεύσῃ, ἀλλ' ἵνα δράξηταί τινος ἀφορμῆς· προστίθησι δὲ τῷ, Σὺ εἶ ὁ Χριστὸς, τὸ, ὁ Υἱὸς τοῦ εὐλογητοῦ. Πολλοὶ γὰρ ἦσαν χριστοὶ, οἱ βασιλεῖς λέγω καὶ οἱ ἀρχιερεῖς, ἀλλ' οὐδεὶς τούτων Υἱὸς ἦν τοῦ Θεοῦ, τοῦ ἀεὶ εὐλογημένου καὶ ὑμνουμένου. Ὁ δὲ Ἰησοῦς εἶπεν, ὅτι Ἐγώ εἰμι. Ἤδει μὲν γὰρ ὅτι οὐ πιστεύσουσιν· ὅμως δ' οὖν ἀποκρίνεται ἐκβιασθεὶς, ἵνα μὴ ἔχωσιν ὕστερον λέγειν, ὅτι Ἐὰν σαφῶς εἰπόντος αὐτοῦ ἠκούσαμεν, ἐπιστεύσαμεν ἄν· διὰ τοῦτο καὶ μεῖζον αὐτοῖς τὸ κατάκριμα, ὅτι καὶ νῦν
D ἀκούσαντες, οὐκ ἐπίστευσαν. Καὶ ὄψεσθέ με, φησὶν, ὡς Υἱὸν ἀνθρώπου, καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Πατρός· δύναμιν γὰρ ἐνταῦθα, τὸν Πατέρα φησίν· οὐ γὰρ χωρὶς σώματος ἐλεύσεται, ἀλλ' οἷος θεαθῆναι ὑπὸ τῶν σταυρωσάντων, καὶ ἐπιγνωσθῆναι. Ὁ γοῦν ἀρχιερεὺς, ἔθος Ἰουδαϊκὸν πληροῖ. Ὅταν γὰρ δεινόν τι καὶ δυσχερὲς ἀπήντα αὐτοῖς, διέῤῥησσον τοὺς χιτῶνας. Κἀνταῦθα τοίνυν, ὡς βλασφημήσαντος τοῦ Κυρίου, καὶ μεγάλου κακοῦ γεγονότος, διαῤῥήσσει τοὺς χιτῶνας ὁ ἀρχιερεύς. Εἴποι γοῦν ἄν τις ἐπὶ τούτοις εὐκαίρως τὸ τοῦ Δαβίδ·

[2] Psal. XXXIV 16.

« Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν· » σύμβολον δὲ καὶ τοῦτο ἦν, κἂν ἐκεῖνος οὐ συνίει, τοῦ τὴν ἀρχιερωσύνην τῶν Ἰουδαίων διαῤῥαγῆναι καὶ ἀφανισθῆναι. Ἐπεὶ τοίνυν ἡ κοινὴ ψῆφος τῶν ἀρχιερέων κατέκρινεν αὐτὸν, τότε οἱ ὑπηρέται περικαλύπτοντες αὐτὸν, ἔπαιον καὶ ἔλεγον· Προφήτευσον, τίς ἐστιν ὁ παίσας σε; Πόσα τοίνυν πάθοιμεν ἂν ἡμεῖς, ἵνα ἀντιδοίημεν τὰ ἴσα τῷ Δεσπότῃ; Φρίκης ταῦτα μεστά.

« Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω, ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως· καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ, λέγει· Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ Ἰησοῦ ἦσθα. Ὁ δὲ ἠρνήσατο, λέγων· Οὐκ οἶδα, οὐδὲ ἐπίσταμαι τί σὺ λέγεις· καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον. Καὶ ἀλέκτωρ ἐφώνησε. Καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν πάλιν, ἤρξατο λέγειν τοῖς παρεστηκόσιν, ὅτι Οὗτος ἐξ αὐτῶν ἐστιν· ὁ δὲ πάλιν ἠρνεῖτο. Καὶ μετὰ μικρὸν πάλιν, οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ· Ἀληθῶς ἐξ αὐτῶν εἶ, καὶ γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά σου ὁμοιάζει. Ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν, ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. Καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε, καὶ ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος, οὗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι δὶς, ἀπαρνήσῃ με τρίς· καὶ ἐπιβαλὼν, ἔκλαιεν. » Ἠσθένησεν ὁ Πέτρος, εἰ καὶ θερμότερος ἦν, καὶ ἀρνεῖται τὸν Κύριον ὑπὸ τῆς δειλίας διαταραχθεὶς· καὶ ταῦτα παιδίσκης ἐκπτοησάσης αὐτόν· τοῦτο δὲ κατ' οἰκονομίαν συνεχώρησεν αὐτὸν ὁ Θεὸς παθεῖν, ἵνα μὴ ἐπαίρηται, καὶ ἅμα ἵνα καὶ τοῖς πταίουσι συμπαθὴς εἴη, ἀφ' ἑαυτοῦ παιδευθεὶς τὸ τῆς ἀνθρωπίνης ἀσθενείας βίαιον. Ἀδιάφορον δὲ εἴτε ἡ αὐτὴ παιδίσκη ἦν, εἴτε ἄλλη, ἡ ἐλέγξασα τὸν Πέτρον. Ματθαῖος μὲν γὰρ ἄλλην ταύτην λέγει· Μάρκος δὲ τὴν αὐτήν. Οὐδὲν δὲ ἡμῖν τοῦτο ἐμπόδιον πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου· μὴ γὰρ ἐν μεγάλῳ τινὶ καὶ συνεκτικῷ τῆς σωτηρίας ἡμῶν διαφωνοῦσι; Μὴ ὁ μὲν εἶπεν, ὅτι ἐσταυρώθη ὁ Κύριος, ὁ δὲ, οὔ; ἄπαγε. Ὁ τοίνυν Πέτρος ὑπὸ τῆς δειλίας διαταραχθεὶς, καὶ ἐπιλαθόμενος τοῦ λόγου οὗ εἶπεν ὁ Κύριος, ὅτι Τὸν ἀρνησάμενόν με ἀρνήσομαι κἀγὼ ἐνώπιον τοῦ Πατρός μου, ἠρνήσατο, ἀλλ' ἡ μετάνοια πάλιν αὐτὸν ᾠκείωσε τῷ Χριστῷ, καὶ τὰ δάκρυα. Ἐπιβαλὼν γὰρ, φησὶν, ἔκλαιε, τουτέστιν, ἐπικαλυψάμενος τὴν κεφαλήν· ἢ ἀντὶ τοῦ, ἀρξάμενος μετὰ σφοδρότητος· ὅπερ δὲ εἶπεν ἀσαφῶς ὁ Ματθαῖος, ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι, ἡρμήνευσεν ὁ Μάρκος, ὅτι Πρὶν φωνῆσαι δίς. Εἰώθασι γὰρ οἱ ἀλέκτορες, κατὰ μίαν ἀγωγὴν πολλάκις φωνεῖν, εἶτα οἷον ὑπνώττειν, καὶ πάλιν μετά τινα καιρὸν, ἑτέραν ἀρχὴν ποιεῖσθαι τοῦ φωνεῖν. Ὃ οὖν εἶπεν ὁ Ματθαῖος, τοῦτό ἐστιν, ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι, τουτέστι, πληρῶσαι τὰς κραυγὰς τῆς πρώτης ἀγωγῆς, ἀπαρνήσῃ με τρίς. Αἰσχυνέσθωσαν δὲ οἱ Ναυατιανοὶ οἱ τοὺς μετὰ τὸ βάπτισμα καὶ τὴν μετάληψιν τῶν μυστηρίων ἁμαρτήσαντας, μὴ δεχόμενοι. Ἰδοὺ γὰρ ὁ Πέτρος, καὶ μεταλαβὼν τοῦ ἀχράντου σώματος καὶ αἵματος, καὶ ἀρνησάμενος, διὰ τῆς μετανοίας προσεδέχθη. Τὰ γὰρ ἐλαττώματα τῶν ἁγίων διὰ τοῦτο ἀνεγράφησαν, ἵνα καὶ ἡμεῖς,

A puncti. » Verum signum hoc erat, tametsi illi non intelligerent, rumpendum et abolendum Judæorum sacerdotium. Itaque quando communi pontificum suffragio condemnatus est, tunc ministri obvelaverunt illum et ceciderunt, dixeruntque : Prophetiza, quis est qui te percussit? Quid igitur pati et nos debemus, ut reddamus par Domino? Horrore plena sunt hæc.

VERS. 66-72. «Et cum esset Petrus in atrio inferius, venit una ancillarum summi sacerdotis, cumque vidisset Petrum calefacientem se, intuita illum dicit : Et tu cum Jesu Nazareno fuisti? At ille negavit dicens : Non novi, neque scio quid dicas. Et exivit foras in vestibulum, et gallus cecinit. Et B ancilla cum vidisset eum, rursum cœpit dicere his qui astabant : Hic ex illis est. At ille rursum negabat; ac paulo post iterum qui astabant, dicebant Petro : Vere ex illis es : nam et Galilæus es, et loquela tua convenit. At ille cœpit exsecrari ac dejerare: Non novi hominem istum de quo dicitis. Et iterum gallus cecinit : recordatusque **255** est Petrus verbi quod dixerat illi Jesus: Priusquam gallus cecinerit bis, abnegabis me ter. Et cum injecisset, flexit.» Infirmus erat Petrus, tametsi alacer esset, et præ timore turbatus Dominum abnegat, idque ab ancilla obstupefactus. Permisit autem Deus istud singulari dispensatione fieri, ut ne extolleretur, et ad hoc, ut compateretur labentibus, a seipso eruditus quanta sit humana imbecillitas et fragilitas. C Non refert sive una, sive duæ ancillæ fuerint quæ arguerint Petrum. Matthæus sane istam non eamdem dicit, Marcus vero eamdem. Nihil autem nobis in hoc obstaculi ad Evangelii veritatem. Nunquid enim in magno aliquo et salutem nostram complectente discordant? Nunquid ille dixit quod crucifixus sit, et alius non? absit. Igitur Petrus præ metu turbatus, et oblitus sermonis quem dixerat Dominus, quod Eum qui me abnegaverit, abnegabo et ego coram Patre meo, negavit: sed pœnitentia et lacrymæ illum ad Christum reduxerunt. Et cum injecisset, flevit : hoc est cum caput obvelasset, vel pro eo quod cœpit magna vehementia. Jam quod Matthæus obscure dixit, quod Priusquam gallus cantet, interpretatus est Marcus, quia Priusquam bis cantet. D Consueverunt enim galli uno tempore sæpe sonare, et postea dormire, et post tempus quoddam iterum cantum incipere. Quod igitur Matthæus dixit, hoc est : Priusquam gallus cantet, hoc est, impleat clamorem primi cantus, negabis me ter. Erubescant Novatiani, qui eos qui post baptismum et sacramentorum communionem peccarunt, non suscipiunt. Ecce et Petrus suscepto immaculato corpore et sanguine, cum negasset, propter pœnitentiam receptus est. Sanctorum enim delicta ideo scripta sunt, ut et nos si quando lapsi fuerimus non animadvertendo, possimus in exempla illorum respicere, et per pœnitentiam corrigi.

εἴ ποτε ἐξ ἀπροσεξίας πταίσωμεν, ἔχωμεν ἀφορμὴν εἰς τὰ παραδείγματα, καὶ διὰ μετανοίας σπεύδωμεν διορθωθῆναι.

A

## CAPUT XV.

*De tormentis quæ sub Pilato perpessus est, De consuetudine. De petitione corporis Domini. De sepultura.*

VERS. 1-15. « Et confestim diluculo consilio inito summi sacerdotes cum senioribus et Scribis ac toto consessu vinctum Jesum abduxerunt, tradiderruntque Pilato. Et interrogavit eum Pilatus : Tu es ille rex Judæorum ? At ille respondens dixit illi : Tu dicis. Et accusabant eum summi sacerdotes de multis. Pilatus autem rursus interrogavit illum dicens: Non respondes quidquam? Ecce quam multa adversus te testantur. Jesus autem deinde nihil respondit, adeo ut admiraretur Pilatus. Cæterum in die festo dimittebat illis unum vinctum, quemcunque postulassent. Erat autem qui dicebatur Barabbas, **256** qui cum seditionis auctoribus fuerat vinctus, qui per seditionem cædem patraverant. Et cum acclamasset turba, cœpit flagitare quemadmodum semper fecerat ipsis. Pilatus autem respondit eis, dicens : Vultis dimittam vobis regem illum Judæorum? Sciebat enim quod propter invidiam tradidissent illum summi sacerdotes. Summi vero sacerdotes concitaverunt turbam ut potius Barabbam dimitteret ipsis. Pilatus autem respondens rursum ait illis : Quid igitur vultis faciam ei quem dicitis regem Judæorum? At illi rursum clamaverunt · Crucifige istum. Pilatus autem dicebat illis : Quid enim mali fecit? At illi vehementius clamaverunt : Crucifige eum. Pilatus vero volens turbæ satisfacere, dimisit illis Barabbam, et tradidit Jesum flagellatum, ut crucifigeretur. » Tradiderunt Judæi Romanis Dominum, traditi sunt et ipsi a Domino vicissim Romanorum manibus. Et implentur Scripturæ quæ dicunt : Væ iniquo, mala erunt ei secundum opera manuum suarum. Et iterum : Secundum opera manuum suarum da illis. Et rursum : Sicut fecisti, ita erit et tibi retributio tua. Cum interrogasset Pilatus, Tu es rex Judæorum? Dominus dubium responsum dedit. Nam, Tu dicis, potest intelligi, quod Vere dixisti : tu dixisti id quod sum. Potest autem etiam sic intelligi : Hoc ego non dico, sed tu dicis. Iterum autem cum interrogatus esset, et nihil responderet, mirari fecit Pilatum. Admirabatur quod cum legisperitus esset, ac eloquens, et qui posset per defensionem abstergere calumnias, nihil diceret, sed sustineret fortiter calumnias. Vide autem sanguinarias Judæorum mentes, et Pilati modestiam, quamvis etiam ipse condemnationem mereatur, eo quod non strenue justum defenderit. Nam illi quidem clamabant ut crucifigeretur: ille autem, licet mollius, tentabat eripere a condemnatione Jesum; propterea iterum rogat : Quid faciam Jesu? undique occasiones offerens ut dimitteretur Jesus innocens. Ideoque cunctabatur et differebat. Tandem succumbens voluntati illorum flagellavit Dominum, hoc est, cecidit eum loris, ut

## ΚΕΦΑΛ. ΙΕ'.

Περὶ ὧν ἔπαθεν ἐπὶ τοῦ Πιλάτου. Περὶ τοῦ ἔθους· Περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ Κυρίου. Περὶ τῆς ταφῆς.

« Καὶ εὐθέως ἐπὶ τὸ πρωῒ, συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ Γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν, ἀπήνεγκαν καὶ παρέδωκαν τῷ Πιλάτῳ. Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλάτος· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Σὺ λέγεις· καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά. Ὁ δὲ Πιλάτος, πάλιν ἐπηρώτησεν αὐτὸν, λέγων. Οὐκ ἀποκρίνῃ οὐδέν; Ἴδε πόσα σου καταμαρτυροῦσιν. Ὁ δὲ Ἰησοῦς οὐκ ἔτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν
B τὸν Πιλάτον. Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ᾐτοῦντο. Ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν συστασιαστῶν δεδεμένος, οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. Καὶ ἀναβοήσας ὁ ὄχλος, ἤρξατο αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς. Ὁ δὲ Πιλάτος ἀπεκρίθη αὐτοῖς, λέγων· Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; ἐγίνωσκε γὰρ, ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς. Οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. Ὁ δὲ Πιλάτος ἀποκριθεὶς, πάλιν εἶπεν αὐτοῖς· Τί οὖν θέλετε ποιήσω, ὃν λέγετε βασιλέα τῶν Ἰουδαίων; οἱ δὲ πάλιν ἔκραξαν· Σταύρωσον αὐτόν. Ὁ δὲ Πιλάτος ἔλεγεν αὐτοῖς· Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσοτέρως ἔκραξαν· Σταύρωσον αὐτόν· ὁ δὲ Πιλάτος, βουλόμενος τῷ ὄχλῳ τὸ
C ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· καὶ παρέδωκε τὸν Ἰησοῦν φραγγελλώσας, ἵνα σταυρωθῇ. » Παρέδωκαν οἱ Ἰουδαῖοι τοῖς Ῥωμαίοις τὸν Κύριον· παρεδόθησαν καὶ αὐτοὶ ὑπὸ Κυρίου ταῖς Ῥωμαίων χερσί· καὶ πληροῦνται αἱ Γραφαὶ αἱ λέγουσαι· Οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ γὰρ ἔσται αὐτῷ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ· καὶ πάλιν, Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν, δὸς αὐτοῖς· καὶ πάλιν· Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι τὸ ἀνταπόδομά σου. Ἐρωτήσαντος δὲ τοῦ Πιλάτου, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ Κύριος ἀμφίβολον ἀπόκρισιν δίδωσι. Τὸ γὰρ, Σὺ λέγεις, δύναται νοηθῆναι, ὅτι Ἀληθῶς εἶπας· σὺ εἶπας ὅπερ εἰμί· δύναται δὲ νοηθῆναι καὶ οὕτως, ὅτι Ἐγὼ οὐ λέγω τοῦτο, σὺ δὲ λέγεις. Πάλιν δὲ ἐρωτηθεὶς, ὡς οὐδὲν ἀπεκρίθη, εἰς
D θαῦμα περιέστησε τὸν Πιλάτον· ἐθαύμαζε γὰρ ὅτι νομομαθὴς καὶ λόγιος ὢν, καὶ δυνάμενος δι' ἀπολογίας ἀποτρίψασθαι τὰς συκοφαντίας, οὐδὲν ἔλεγεν, ἀλλ' ὑπέμενε μᾶλλον γενναίως τὰς κατηγορίας. Ὅρα δὲ τήν τε τῶν Ἰουδαίων μιαιφονίαν, καὶ τὴν τοῦ Πιλάτου μετριότητα, εἰ καὶ αὐτὸς κατακρίσεως ἄξιός ἐστι, διὰ τὸ μὴ προθύμως ὑπὲρ τοῦ καλοῦ ἐνστῆναι· οἱ μὲν γὰρ ἐκραύγαζον ἵνα σταυρωθῇ· ὁ δὲ, μαλακῶς μὲν, ὅμως πειρᾶται ἐξαρπάσαι τῆς κατακρίσεως τὸν Ἰησοῦν· διὰ τοῦτο γὰρ πάλιν ἐρωτᾷ· Τί οὖν ποιήσω Ἰησοῦν; ἀφορμὰς αὐτοῖς πάντοθεν ἐνδιδοὺς τοῦ ἀθῷον ἀπολῦσαι τὸν Κύριον, καὶ διὰ τοῦτο μέλλων καὶ ἀναβαλλόμενος. Τέλος μέντοι

ὑποκαταχλιθεὶς τῷ θελήματι ἐκείνων, ἐφραγγέλλωσέ τε τὸν Κύριον τουτέστιν, ἐμάστιξε πλεκτοῖς λώροις, ἵνα δόξωσιν ὅτι ἀπὸ δικαστηρίου αὐτὸν κατακεκριμένον παρέλαβον· καὶ παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. Ἠβούλετο γὰρ τὸ ἱκανὸν τῷ ὄχλῳ ποιῆσαι, τουτέστι, τὸ ἀρεστὸν, τὸ ἐνδεχόμενον. οὐχὶ τὸ ἀρεστὸν τῷ δικαίῳ καὶ τῷ Θεῷ

A putarentur accepisse pro tribunali condemnatum: et tradidit illis eum ut crucifigeretur. Volebat enim satisfacere plebi, hoc est, gratificari quantum possibile, non autem quod gratum erat justo et Deo.

« Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον, καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν, καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον· καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· Χαῖρε, βασιλεῦ τῶν Ἰουδαίων. Καὶ ἔτυπτον τὴν κεφαλὴν αὐτοῦ καλάμῳ, καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα, προσεκύνουν αὐτῷ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια· καὶ ἐξάγουσιν αὐτὸν, ἵνα σταυρώσωσιν αὐτὸν, καὶ ἀγγαρεύουσι B παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. » Τὸ στρατιωτικὸν φῦλον ἀεὶ ἀταξίαις χαῖρον καὶ ὕβρεσι, τὰ οἰκεῖα ἐπεδείκνυτο· εἰ γὰρ οἱ μυρίων διδασκαλιῶν ἀκούσαντες Ἰουδαῖοι, τοιαῦτα αὐτὸν διέθεντο, οἱ πολλὰ καὶ πολλάκις εὐεργετηθέντες, τί ἂν ἔχοιμεν εἰπεῖν περὶ τῶν ἐθνικῶν; Συγκαλοῦσιν οὖν ὅλην τὴν σπεῖραν, ἀντὶ τοῦ, ὅλον τὸ τάγμα, καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, ὡς βασιλέα παίζοντες· καὶ τὸν στέφανον ἀντὶ διαδήματος, καὶ τὸν κάλαμον δὲ ἀντὶ σκήπτρου παραλαμβάνουσιν ἐνταῦθα οἱ τοῦ διαβόλου χορευταί· ἀγγαρεύουσι δέ τινα, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καίτοιγε ἄλλος εὐαγγελιστὴς φησιν, ὅτι βαστάζων ὁ Ἰησοῦς C τὸν σταυρὸν αὐτοῦ ἐξῆλθεν· ἀμφότερα οὖν γέγονε· μέχρι μὲν γάρ τινος, ἐβάσταζεν αὐτὸς τὸ ξύλον· ἐπεὶ δὲ εὗρον τὸν βαστάσοντα, ἠγγάρευσαν ἐκεῖνον, καὶ λοιπὸν ἐβαστάζετο ὑπ' αὐτοῦ ὁ σταυρός. Τίνος δὲ ἕνεκεν εἶπε, καὶ τίνων παίδων ἦν πατήρ; Πρὸς πίστωσιν πλείονα· εἰκὸς γὰρ ζῆν τὸν ἄνθρωπον ἔτι, καὶ δύνασθαι τὰ ἐν τῷ σταυρῷ πάντα ἀφηγήσασθαι (88). Ἀλλὰ γὰρ φορέσωμεν καὶ ἡμεῖς πορφύραν, τὴν βασιλικὴν στολήν· οἷόν τι λέγω· Ὡς βασιλεῖς ὀφείλομεν περιπατεῖν, πατοῦντες ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ κατακρατοῦντες τῆς ἁμαρτίας· Χριστιανοὶ γὰρ λεγόμεθα, τουτέστι, κεχρισμένοι καὶ αὐτοὶ, ὥσπερ τότε οἱ βασιλεῖς ἐλέγοντο Χριστοί. Ἔστω οὖν ὁ βίος ἡμῶν μὴ δουλικὸς καὶ ἀγεννὴς, ἀλλὰ βασιλικὸς καὶ ἐλεύθερος· φορέσωμεν δὲ καὶ D ἀκάνθινον στέφανον, τουτέστι, σπουδάσωμεν στεφανωθῆναι τῷ τραχεῖ βίῳ καὶ ἐγκρατεῖ καὶ ἀνηδόνῳ, μὴ τῷ τρυφηλῷ καὶ λείῳ καὶ ἐνηδόνῳ· γενώμεθα δὲ καὶ Σίμων, ὅ ἐστιν ὑπακοὴ, καὶ ἄρωμεν τὸν σταυρὸν τοῦ Ἰησοῦ, νεκρώσαντες τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς.

VERS 16-21. « Milites autem abduxerunt eum intro in atrium, quod est prætorium, et convocant totam cohortem, et induunt illum purpura, et circumponunt ei contextam e spinis coronam, et cœperunt salutare illum : Ave, rex Judæorum. Et verberabant illius caput arundine, et inspuebant in illum, et positis genibus adorabant illum. Et cum illusissent ei, exuerunt eum purpura, et induerunt illum vestibus propriis : **257** et educunt eum ut crucifigerent eum. Et coegerunt prætereuntem quemdam Simonem Cyrenensem, qui veniebat ex agro, patrem Alexandri et Rufi, ut tolleret crucem ejus. » Militare genus semper conviciis, gaudet ac tumultibus, et sibi simile est. Nam cum Judæi, qui plurimas audierant doctrinas, et in quos multa collata erant beneficia, taliter affecti erant, quid de gentilibus possumus dicere? Convocant itaque totam cohortem, hoc est, totum exercitum, et induunt eum purpura, ut regi illudentes : et coronam pro diademate, et calamum pro sceptro assumunt hoc loco diabolorum socii. Angariant autem quemdam ut tollat crucem ejus, quamvis alius evangelista dicat quod bajulans[3] Jesus crucem exierit. Utraque igitur facta sunt. Aliquandiu enim portavit ipse lignum, deinde autem cum invenissent aliquem qui portaret coegerunt illum, et postea gestata est ab illo crux. Quare autem dixit, quorum etiam puerorum esset pater? Ad majorem fidei confirmationem. Verisimile enim erat hominem adhuc vivere, et posse enarrare omnia quæ in cruce facta. Porro feramus et nos purpuram, regalem vestem; hoc est quod dico : Sicut reges ambulare debemus super serpentes et scorpiones, et imperare peccato. Christiani enim dicimur, hoc est, uncti et ipsi, sicut tunc reges dicebantur Christi. Sit igitur vita nostra non servilis et illiberalis, sed regalis ac libera. Feramus autem et coronam spineam, hoc est, studeamus coronari asperitate et continentia vitæ, non voluptuarie neque delicate. Simus autem et Simon, quod est obedientia : et tollamus crucem Jesu, quæ mortificet membra nostra quæ super terram sunt.

« Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶν τόπον, ὅ ἐστι μεθερμηνευόμενον Κρανίου τόπος· καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε. Καὶ σταυρώσαντες αὐτὸν, διαμερίζονται τὰ ἱμάτια

VERS. 22-28. « Et ducunt eum in Golgotha locum, quod est, si interpreteris, Calvariæ locus. Et dederunt illi bibere myrrhatum vinum, sed ille non sumpsit. Cumque crucifixissent eum, partiti sunt

[3] Joan. XIX, 17.

Ex collatione codd. Venet. S. Marci.

(88) Cod. 26 hæc supplet, καὶ τοὺς υἱοὺς τούτου γινώσκεσθαι τοῖς ἀποστόλοις, πεπιστευκότας εἰς Χριστόν. Ἀλλὰ, κ. τ. λ. « Ejusque filios notos fuisse apostolis : quandoquidem nonnulli dicunt, eos adhæsisse apostolis (a) et in Christum credidisse. Porro, » etc.

(a) Verba *quandoquidem.... apostolis* in Græco prætermisit typographus Venetus, ab homœoteleuto, ut videtur, delusus.

vestimenta ejus, mittentes sortem super illa, quis quid tolleret. Erat autem hora tertia, et crucifixerunt eum. Et erat inscriptio causæ illius inscripta: Rex Judæorum. Et cum eo crucifigunt duos latrones, unum a dextris, et alterum a sinistris ejus. Et impleta est Scriptura quæ dicit : Et cum iniquis deputatus est. » Traditio est quæ a priscis Patribus usque ad nos pervenit, quod Adam illic sepultus sit. Dominus itaque qui lapsum et mortem Adæ sanavit, illic crucifixus est, ut unde principium mortis, inde et mortis destructio. Dederant autem illi bibere vinum myrrhatum, myrrha autem amarissima est. Illudentes igitur, hæc dederunt Domino. Alius autem evangelista dicit acetum cum felle, et alius aliud quid oblatum esse Domino, et nihil in his contrarium. Cum enim nulla esset apud illos disciplina, alii alia offerebant, et alius quidem **258** acetum et fel, alius autem vinum myrrhatum. Fortasse et vinum acetosum erat, et amara myrrha : et hinc conveniunt quod dicit ille myrrhatum vinum, alius vero acetum cum felle. Nam et vinum acetum dici potest, quia acetosum: et myrrha fel, quia amara. Neque in hoc dissonant quod unus dicit, Dabant ei bibere, ipse autem non sumebat : et alter : Cumque gustasset, nolebat bibere Omnino enim dicendo, Non accepit, manifestavit quod non biberit. Miserunt quoque sortes super vestes ejus, et hoc ad illusionem ejus facientes, quasi regis vestes dividerent, quamvis non ingentis pretii essent. Scripserunt autem et titulum, hoc est, causam propter quam crucifixus est, Rex Judæorum, ut etiam per hoc ipsius gloriam carperent, quasi rebellis ac seditiosus esset, et seipsum regem appellasset : unde omnes qui prætergrederentur, non misererentur ejus, sed magis infremerent in eum quasi tyrannum. Quomodo autem Marcus inquit, hora tertia crucifixum esse, Matthæus autem hora sexta factas tenebras? Dicendum quod hora tertia crucifixus est : tenebræ autem incœperunt fieri ab hora sexta usque ad horam nonam. Et cum latronibus crucifixus est, ut homines de eo male suspicarentur, quod et ipse ut malefactor esset crucifixus. Factum est autem hoc singulari dispensatione. Impleta enim est prophetia : Et cum iniquis reputatus est. Sunt et latrones figura duorum populorum, Judæorum scilicet, ac gentium. Utrique enim impii sunt : gentiles, tan-

A αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτὰ, τίς τί ἄρῃ. Ἦν δὲ ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐτόν· καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη, Ὁ βασιλεὺς τῶν Ἰουδαίων. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστὰς, ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ· καὶ ἐπληρώθη ἡ Γραφὴ ἡ λέγουσα· Καὶ μετὰ ἀνόμων ἐλογίσθη » Παράδοσίς ἐστιν εἰς ἡμᾶς φθάνουσα ἐξ ἁγίων Πατέρων, ὅτι ὁ Ἀδὰμ ἐκεῖ ἐτάφη. Ὁ τοίνυν τὸ πτῶμα καὶ τὸν θάνατον τοῦ Ἀδὰμ ἰώμενος Κύριος, ἐκεῖ σταυροῦται, ἵνα ἔνθα ἡ ἀρχὴ τοῦ θανάτου, ἐκεῖ καὶ ἡ τοῦ θανάτου κατάλυσις. Ἐδίδουν δὲ αὐτῷ πιεῖν οἶνον ἐσμυρνισμένον· ἡ δὲ σμύρνα πικρότατόν ἐστι· παίζοντες οὖν τοιαῦτα ἐδίδοσαν τῷ Κυρίῳ. Ἄλλος δὲ εὐαγγελιστὴς, ὄξος μετὰ B χολῆς, καὶ ἕτερος ἄλλο τι λέγει προσενεχθῆναι τῷ Κυρίῳ· καὶ οὐδὲν ἐναντίον ἐν τούτοις. Ἀταξίας γὰρ οὔσης, ἄλλα ἄλλοι προσέφερον· καὶ ὁ μὲν, ὄξος καὶ χολήν· ὁ δὲ, οἶνον ἐσμυρνισμένον. Μήποτε δὲ καὶ ὁ οἶνος ὀξίνης ἦν, καὶ ἡ σμύρνα πικρά· καὶ λοιπὸν συντρέχουσιν ὅ τε λέγων ἐσμυρνισμένον οἶνον, καὶ ὁ λέγων ὄξος μετὰ χολῆς· ὅ τε γὰρ οἶνος, ὄξος, καὶ ἡ σμύρνα, χολή· ὁ μὲν, διὰ τὸ ὀξίνης εἶναι· ἡ δὲ, διὰ τὸ πικρά. Ἀλλ' οὐδὲ ὁ λέγων, ὅτι Ἐδίδουν αὐτῷ πιεῖν, ὁ δὲ οὐκ ἔλαβεν, ἐναντιοῦται τῷ λέγοντι, Καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. Πάντως γὰρ ἐν τῷ εἰπεῖν ὅτι Οὐκ ἔλαβεν, ἐδήλωσεν ὅτι οὐκ ἔπιεν. Ἔβαλον δὲ καὶ κλήρους ἐπὶ τὰ ἱμάτια αὐτοῦ, καὶ τοῦτο πρὸς ἐμπαιγμὸν ποιοῦντες, ὡς δῆθεν βασιλέως ἱμάτια μερίζοντες, καίτοι εὐτελῆ C ὄντα ταῦτα. Ἔγραψαν δὲ καὶ τίτλον, ἤτοι τὴν αἰτίαν δι' ἣν ἐσταυρώθη, Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἵνα καὶ διὰ τούτου μωμήσωνται τὴν αὐτοῦ δόξαν, ὡς ἀντάρτου ὄντος καὶ βασιλέα ἑαυτὸν ἀναγορεύσαντος, καὶ ἵνα ἔχωσι πάντες οἱ παραπορευόμενοι μὴ ἐλεεῖν αὐτὸν, ἀλλὰ μᾶλλον ἐπεμβαίνειν ὡς τυραννικῷ. Πῶς δὲ ὁ μὲν Μάρκος φησὶν ὥρᾳ τρίτῃ σταυρωθῆναι, ὁ δὲ Ματθαῖος, ἕκτῃ ὥρᾳ γενέσθαι τὸ σκότος ; Ἔστιν οὖν εἰπεῖν ὅτι ὥρᾳ μὲν τρίτῃ ἐσταυρώθη· τὸ δὲ σκότος ἤρξατο γενέσθαι ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης (89). Καὶ μετὰ λῃστῶν δὲ σταυροῦται, ἵνα πονηρὰν δόξαν λάβωσιν ἐπ' αὐτῷ οἱ ἄνθρωποι, ὅτι καὶ αὐτὸς κακοῦργος ἦν· τοῦτο δὲ οἰκονομικῶς γέγονε. Πληροῦται γὰρ προφητεία, τὸ Μετὰ ἀνό- D μων ἐλογίσθη. Καὶ ἄλλως δὲ, σύμβολον οἱ δύο λῃσταὶ τῶν δύο λαῶν, τοῦ τε Ἰουδαϊκοῦ καὶ τοῦ ἐθνικοῦ. Ἀμφότεροι γὰρ ἄνομοι· ὁ μὲν ἐθνικὸς, ὡς τὸν φυσικὸν νόμον παραβὰς ὁ δὲ Ἰουδαϊκός, ὡς καὶ

Ex collatione codd. Venet. S. Marci.

(89) Cod. 26 addit : Καὶ μὴν καὶ ὁ Ἰωάννης εἶπεν, ὅτι ἐν ἕκτῃ ὥρᾳ ἐσταυρώθη. Τί οὖν ἔστιν εἰπεῖν ; Ὅτι τόδε, ἦν ὥρα τρίτη οὐχ ἕλκεται πρὸς τὸ, καὶ ἐσταύρωσαν αὐτὸν, ἀλλὰ πρὸς τὴν ἀρχὴν τῶν παθῶν τοῦ Σωτῆρος ἐφέλκεται Ἦν δὲ, φησὶν, ὥρα τρίτη, ὅτε δηλονότι ἤρξατο πάσχειν ὑπὸ τῶν στρατιωτῶν τοῦ Πιλάτου· εἶτα τὸ ἑξῆς ἀναγνωστέον καθ' αὐτὸ, καὶ ἐσταύρωσαν αὐτὸν ἐν ἕκτῃ δηλαδὴ ὥρᾳ· ὥστε ἡ μὲν τῆς τρίτης ὥρας μνήμη παρὰ τῷ Μάρκῳ τὴν ἀρχὴν ἐμφαίνει τῶν Δεσποτικῶν παθημάτων, ἡ δὲ τῆς ἕκτης παρὰ τῷ Ἰωάννῃ, τὸ τέλος αὐτῶν, ὅπερ ἐστὶν ἡ σταύρωσις. Εἴρηται περὶ τῆς παρασημειώσεως τῆς ὥρας ἐν τῷ κατὰ Ἰωάννην πλατύτερον. Καὶ μετὰ τῶν λῃστῶν, κ. τ. λ. « Et quidem Joannes dicit, eum hora sexta crucifixum fuisse. Quid igitur dicendum? Nempe, quod verba illa, *erat autem hora tertia*, non referantur ad illud, *et crucifixerunt eum*, sed ad initium passionis Salvatoris. *Erat*, inquit, *hora tertia*, cum scilicet pati cœpit a militibus Pilati : deinde legendum quod sequitur: *Et crucifixerunt eum*, sexta videlicet hora. Quare tertiæ horæ mentio apud Marcum designat initium Dominicæ passionis; sextæ autem apud Joannem finem ipsius, nempe crucifixionem. Verum de significatione vocis *horæ* in Evangelio secundum Joannem fusius dictum est. Et cum latronibus, etc. »

τοῦτον καὶ τὸν γραπτὸν ὃν ἔδωκεν αὐτῷ ὁ Θεός· ἀλλ' ὁ μὲν ἐθνικὸς, εὐγνώμων ληστής, ὁ δὲ Ἰουδαϊκὸς, ἄχρι τέλους βλάσφημος. Μέσον δὲ τῶν δύο λαῶν σταυροῦται ὁ Κύριος· αὐτὸς γάρ ἐστιν ὁ λίθος ὁ συνάπτων ἡμᾶς.

« Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες, Οὐᾶ, ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν Γραμματέων ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ὁ χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν. Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ, ὠνείδιζον αὐτόν. » Καὶ οἱ παραπορευόμενοι, B φησὶ, τουτέστιν, οἱ διερχόμενοι τὴν ὁδὸν, καὶ αὐτοὶ ἐβλασφήμουν τὸν Κύριον, ὡσανεὶ ἐπιτωθάζοντες αὐτὸν ὡς πλάνον. Ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἔλεγον· Ὁ ἄλλους σώσας, ἑαυτὸν οὐ σώζει; Τοῦτο δὲ ἔλεγον ἀποσκώπτοντες εἰς τὰ θαύματα αὐτοῦ, καὶ ἐπικερτομοῦντες, ὡς κατὰ φαντασίαν τάχα γενόμενα. Θαυματουργῶν γὰρ ἔσωζε πολλούς. Ὁ δὲ διάβολος παρεκίνει αὐτοὺς λέγειν τὸ, Καταβάτω ἀπὸ τοῦ σταυροῦ. Ἐπεὶ γὰρ ἔγνω ὁ ἀρχέκακος, ὅτι ἡ σωτηρία διὰ τοῦ σταυροῦ γίνεται, πάλιν ἐπείραζε τὸν Κύριον, ἵνα ἐὰν καταβῇ ἀπὸ τοῦ σταυροῦ, πληροφορηθῇ, ὅτι οὐκ ἔστιν Υἱὸς Θεοῦ· καὶ οὕτω καταλυθῇ ἡ σωτηρία ἡ διὰ τοῦ σταυροῦ· ἀλλ' ἐκεῖνος καὶ Υἱὸς Θεοῦ ἦν ἀληθῶς, καὶ διὰ τοῦτο μᾶλλον οὐ κατέβη· D εἰ γὰρ ἔμελλε καταβῆναι, οὐδ' ἂν τὴν ἀρχὴν ἀνέβη· ἀλλὰ γὰρ εἰδὼς ὅτι οὕτως ἔσται ἡ σωτηρία τοῖς ἀνθρώποις, ἠνέσχετο καὶ σταυρωθῆναι καὶ τἄλλα πάντα παθεῖν, καὶ τελειῶσαι αὐτοῦ τὸ ἔργον. Καὶ οἱ συνεσταυρωμένοι ὠνείδιζον οἱ δύο ἐξ ἀρχῆς· εἶτα ὁ εἷς ἐπέγνω αὐτὸ ἀναίτιον, ὡς ὁ Λουκᾶς λέγει, καὶ μᾶλλον καί τῷ ἑτέρῳ ἐπετίμα ὡς βλασφημοῦντι.

A quam naturalis legis prævaricatores; Judæi vero ut contemptores et hujus, et ejus, quam Dominus dedit, legis. Sed hic quidem gentilis gratus fit, et resipiscit: Judaicus autem usque ad finem blasphemat. Porro Dominus inter duos populos crucifigitur. Ipse enim lapis est conjungens nos.

VERS. 28-32. «Et qui præteribant, conviciabantur illi, moventes capita sua, ac dicentes: Vah qui demoliris templum, et in tribus diebus exstruis, serva teipsum, et descende de cruce. Similiter et summi sacerdotes illudentes inter sese cum Scribis, dicebant: Alios servavit, seipsum servare non potest. Christus ille rex Israel descendat nunc de cruce, ut videamus et credamus. Et qui crucifixi fuerant cum illo, probra jaciebant in eum.» Et qui præteribant, hoc est, qui transibant per viam, et ipsi blasphemabant Dominum, improperantes ei ut impostori. Similiter autem et pontifices dicebant: Alios salvavit, seipsum non salvat? Hoc autem dicebant deridentes ejus miracula et vellicantes quasi phantastica fuissent. Nam operando miracula, salvos fecit multos. Diabolus autem incitabat illos ut dicerent, Descendat nunc de cruce. Quia enim cognoscebat auctor mali quod salus per crucem fieret, iterum tentabat Dominum, **259** ut si descenderet de cruce, certum foret ipsum non esse Filium Dei, et sic periret salus quæ per crucem; sed ille et Dei Filius erat vere, et propterea minus descendit. Nam si voluisset descendere, neque principio ascendisset. Sciens enim per hoc salvandos homines, sustinuit ut crucifigeretur, aliaque multa pateretur perficereturque ejus opus. Et qui simul crucifixi, exprobabant; principio duo, postea unus agnovit eum innoxium, sicut Lucas dicit, et increpavit alium blasphemantem.

« Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης. Καὶ τῇ ὥρᾳ τῇ ἐννάτῃ, ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· Ἐλωΐ, ἐλωΐ, λαμμᾶ σαβαχθανὶ, ὅ ἐστι μεθερμηνευόμενον, Ὁ Θεός μου, ὁ Θεός μου, εἰς τί με ἐγκατέλιπες; Καί τινες τῶν παρεστηκότων ἀκούσαντες, ἔλεγον· Ἰδοὺ Ἠλίαν φωνεῖ· δραμὼν δὲ εἷς, καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτὸν, λέγων· Ἄφετε, ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην, ἐξέπνευσεν. » Σκότος ἐγένετο, οὐκ ἐφ' ἕνα τόπον, ἀλλ' ἐφ' ὅλην τὴν γῆν· καὶ εἰ μὲν ἦν καιρὸς ἐκλείψεως, εἶχεν ἄν τις λέγειν, ὅτι φυσικὸν τὸ πάθος· νῦν δὲ, τεσσαρεσκαιδεκαταία ἦν ἡ σελήνη, ὅτε ἀμήχανον γενέσθαι ἔκλειψιν φυσικήν. Ἀναβοᾷ δὲ ὁ Κύριος Ἑβραϊστὶ τὸ προφητικὸν, δεικνύων, ὅτι καὶ ἄχρι τελευταίας ἀναπνοῆς τὰ Ἑβραϊκὰ τιμᾷ. Τὸ δὲ, Εἰς τί με ἐγκατέλιπες; ὡς ἐκ προσώπου τῆς ἀνθρωπίνης φύσεως λέγει, ὡσανεὶ τοῦτο λέγων· Εἰς τί με τὸν ἄνθρωπον ἐγκατέλιπες, ὦ Θεὲ, ἵνα δεηθῶ Θεοῦ σταυρουμένου ὑπὲρ ἐμοῦ; Ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι ἦμεν οἱ ἐγκαταλελειμμένοι,

VERS. 33-37. «Cum vero facta esset hora sexta, tenebræ ortæ sunt super totam terram usque ad horam nonam. Et hora nona clamavit Jesus voce magna, dicens: Eloi, eloi, lamasabachthani, quod est, si quis interpretetur, Deus meus, Deus meus, cur me deseruisti? Et quidam astantium cum audissent, dicebant: Ecce Eliam vocat. Accurrit autem quidam, et impleta spongia aceto, impositaque D arundini, porrexit illi potum, dicens: Sinite, videamus an venturus sit Elias ad deponendum eum. Jesus autem, emissa voce magna, exspiravit.» Tenebræ factæ sunt non in uno loco, sed super totam terram: et si quidem fuisset tempus eclipsis, potuisset quis dicere naturale fuisse deliquium: nunc autem decimarquata fuit luna, quo tempore juxta naturam deliquium fieri impossibile. Clamat vero Jesus Hebraice propheticum, ostendens se usque ad mortem Hebraica in honore habuisse. Cæterum quod dicit: Cur me deseruisti? ex persona humanæ naturæ dicit: quasi diceret, Cur me hominem dereliquisti, o Deus, ut opus habeam Deo qui pro me crucifigatur? Nos enim homines fuimus

deserti, ille nunquam a Patre derelictus fuit. Audi enim quid dicat : Non sum solus, inquit, sed Pater mecum est. Vel etiam pro Hebræis dicit, erat enim Hebræus et ipse secundum carnem. Cur me, hoc est, cur Hebraicum populum deseruisti, ut crucifigerent Filium tuum? Quemadmodum enim consuevimus dicere, Deus tulit me, hoc est humanam naturam : si et hoc loco Dereliquisti me, hoc est, vel meam humanam naturam, vel meum populum Judaicum. Cucurrit vero unus ut acetum ei potandum porrigeret, quo citius eum aceti conficeret amaritudo. Cum autem clamasset Jesus voce magna, exspiravit, quasi irritans mortem ut Dominus, et potestate sua moriens. Quæ autem vox illa fuerit, Lucas manifestavit : Pater, in manus tuas commendo spiritum meum. Etenim et hoc beneficium Christi est, quod nunc sanctorum spiritus in manus Patris ascendunt, qui olim ab inferno tenebantur, donec veniret qui prædicavit captivis remissionem.

VERS. 38 41. « Et velum templi scissum est in duas partes a summo usque ad imum. Cum autem vidisset centurio 260 qui astabat ex adverso illi, quod sic emisso clamore exspirasset, dixit : Vere homo hic Filius erat Dei. Erant autem et mulieres e longinquo spectantes, inter quas erat Maria Magdalene, et Maria Jacobi parvi, et Jose mater, et Salome : quæ etiam cum esset in Galilæa, secutæ fuerant illum, et ministraverant ei, aliæque complures quæ simul ascenderant cum eo Hierosolymam. » Scissum est velum, per hoc manifestante Deo quo gratia Spiritus e templo evolet, et quod Sancta sanctorum omnibus conspicua et accessa fient : quod et factum est, Romanis ingressis; et quod lugeat etiam templum : nam quod in calamitatibus facere solent Judæi, cum vestes dilacerant, hoc et templum quasi animatum esset, fecit compatiens Conditori suo patienti, et vestes suas disrumpens: et aliud quiddam in hoc manifestatur. Caro ipsa velamentum est nostri templi, hoc est, mentis. Itaque virtus quam habuit caro adversus spiritum, passionibus Christi dissoluta est, a summo usque deorsum, hoc est, ab Adam usque ad novissimos homines. Etenim Adam sanctificato passionibus Christi, non ultra caro illius maledicta erit, neque corruptioni obnoxia, sed incorruptibilitate honorati sumus omnes. Porro centurio, hoc est, qui sanctum præerat, videns quod tam potententer et sicut Dominus mortis exspirasset, admiratus est et confessus. Vide autem ordinem conversum. Judæi interficiunt, gentilis confitetur : discipuli fugiunt, mulieres manent. Erant enim, inquit, ibi et mulieres, inter quas Maria Magdalene, et Maria Jacobi et Jose mater, Et hæc Dei Genitrix erat, quæ quatenus Josepho desponsata fuit, mater erat et filiorum Joseph, cujus filii fuere Jacobus et Joses. Dicitur horum mater, hoc est, noverca : sicut et Joseph uxor dicebatur, hoc est,

A ἐκεῖνος δὲ οὐκ ἐγκατελείφθη ποτὲ παρὰ τοῦ Πατρός. Ἄκουε γὰρ αὐτοῦ, τί φησιν· Οὐκ εἰμὶ μόνος, ὅτι ὁ Πατὴρ μετ' ἐμοῦ ἐστιν. Ἢ καὶ ὑπὲρ τῶν Ἑβραίων τουτό φησιν, ὡς Ἑβραῖος καὶ αὐτὸς τὸ κατὰ σάρκα ὤν· Εἰς τί ἐμὲ, τουτέστι, τὸν Ἑβραϊκὸν λαὸν, ἐγκατέλιπες, ἵνα σταυρώσωσι τὸν Υἱὸν τὸν σόν; Ὥσπερ γὰρ εἰώθαμεν λέγειν, ὅτι Ὁ Θεὸς ἐφόρεσεν ἐμὲ, ἀντὶ τοῦ, τὴν ἀνθρωπίνην φύσιν· οὕτω καὶ ἐνταῦθα τὸ, Ἐγκατέλιπές με, νόει ἀντί τοῦ, τὴν ἐμὴν φύσιν τὴν ἀνθρωπίνην, ἢ τὸν ἐμὸν λαὸν τὸν Ἰουδαϊκόν. Δραμὼν δὲ εἷς, ὄξος ἐπότιζεν αὐτὸν, ἵνα συντομώτερον αὐτὸν ἡ δριμύτης τοῦ ὄξους θανατώσῃ. Κράξας δὲ ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, ἐξέπνευσεν, οἱονεὶ προσκαλούμενος τὸν θάνατον, ὡς Δεσπότης καὶ κατ' ἐξουσίαν
B ἀποθνήσκων. Τίς δὲ ἦν ἡ φωνὴ, ἐδήλωσεν ὁ Λουκᾶς· Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. Καὶ γὰρ καὶ τοῦτο κατώρθωσεν ἡμῖν ὁ Κύριος, το εἰς χεῖρας τοῦ Θεοῦ ἀναβαίνειν τὰ τῶν ἁγίων πνεύματα· πρώην γὰρ ἐν ᾅδου πάντων αἱ ψυχαὶ ἐκρατοῦντο, ἕως οὗ ἦλθεν ὁ κηρύξας αἰχμαλώτοις ἄφεσιν.

« Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω. Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ ὅτι οὕτω κράξας ἐξέπνευσεν, εἶπεν· Ἀληθῶς ὁ ἄνθρωπος οὗτος Υἱὸς ἦν Θεοῦ. Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ, καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη. Αἳ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολούθουν αὐτῷ, καὶ διηκόνουν αὐτῷ. καὶ ἄλλαι πολλαὶ, αἱ συναναβᾶσαι αὐτῷ
C εἰς Ἱεροσόλυμα. » Ἐσχίσθη τὸ καταπέτασμα, δηλοῦντος τοῦ Θεοῦ, ὅτι ἡ χάρις τοῦ Πνεύματος ἀπέστη ἀπὸ τοῦ ναοῦ, καὶ ὅτι τὰ Ἅγια τῶν ἁγίων πᾶσι θεατὰ καὶ βάσιμα κατασταθήσονται· ὃ καὶ γέγονε, τῶν Ῥωμαίων εἰσελθόντων· καὶ ὅτι πενθεῖ καὶ ὁ ναός. Ὅπερ γὰρ εἰώθασιν Ἰουδαῖοι ἐν ταῖς συμφοραῖς ποιεῖν, καὶ διαῤῥηγνύναι τοὺς χιτῶνας, τοῦτο καὶ ὁ ναὸς, ὡσανεὶ ἔμψυχος, ἐνεδείξατο ἐπι τῷ Κτίστῃ πάσχοντι, τὸ ἑαυτοῦ ἱμάτιον διαῤῥήξας· καὶ ἄλλο δὲ τι ἐκ τούτου δηλοῦται. Ἡ σὰρξ αὕτη καταπέτασμά ἐστι τοῦ ἡμετέρου ναοῦ, τουτέστι, τοῦ νοός· ἡ γοῦν τῆς σαρκὸς δύναμις, ἣν εἶχε κατὰ τοῦ πνεύματος, διεῤῥάγη τοῖς πάθεσι τοῦ Χριστοῦ, ἀπὸ ἄνωθεν ἕως κάτω, τουτέστιν, ἀπὸ Ἀδὰμ ἕως καὶ τῶν τελευταίων ἀνθρώπων. Καὶ γὰρ ὁ Ἀδὰμ ἡγία-
D σται τοῖς πάθεσι τοῦ Χριστοῦ, καὶ οὐκ ἔτι ἡ σὰρξ ἐκείνου ἐπικατάρατος ἔσται, οὐδὲ φθορᾷ ἔνοχος, ἀλλ' ἀφθαρσίᾳ ἐτιμήθημεν ἅπαντες. Ἰδὼν δὲ ὁ κεντυρίων, τουτέστιν, ὁ ἑκατόνταρχος (κέντουμ γὰρ λέγουσιν οἱ Ῥωμαῖοι τὸ ἑκατόν) ὅτι οὕτω δεσποτικῶς ἐξέπνευσεν, ἐθαύμασε καὶ ὡμολόγησεν. Ὅρα δὲ καὶ τὴν τάξιν ἀντιστραφεῖσαν· οἱ Ἰουδαῖοι θανατοῦσιν, ὁ ἐθνικὸς ὁμολογεῖ· οἱ μαθηταὶ φεύγουσιν, αἱ γυναῖκες παραμένουσιν. Ἦσαν γάρ, φησί, καὶ γυναῖκες, ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ Ἰακώβου, καὶ Ἰωσῆ μήτηρ· αὕτη δὲ, ἡ Θεοτόκος ἦν, ἥτις καθ' ὃ ἐμνηστεύθη τῷ Ἰωσὴφ, μήτηρ αὐτῶν ἦν· τοῦ δὲ Ἰωσὴφ παῖδες ἦσαν, Ἰάκωβος καὶ Ἰωσῆς. Λέγεται τοίνυν μήτηρ αὐτῶν, ἀντὶ τοῦ, μητρυιά· ὥσπερ καὶ τοῦ Ἰωσὴφ ἐλέγετο γυνὴ, ἀντὶ

τοῦ, μνηστή. Ἡ Σαλώμη δὲ, ἣν ἡ μήτηρ τῶν Υἱῶν Ζεβεδαίου. Καὶ ἄλλαι δὲ πολλαί. Τῶν γὰρ ἐπισημοτέρων ὀνομαστὶ ἐμνημόνευσεν.

« Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν Παρασκευὴ, ὅ ἐστι προσάββατον, ἦλθεν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας εὐσχήμων βουλευτὴς, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ· τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Ὁ δὲ Πιλάτος ἐθαύμασεν, εἰ ἤδη τέθνηκε· καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν, εἰ πάλαι ἀπέθανε· καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. Καὶ ἀγοράσας σινδόνα καὶ καθελὼν αὐτὸν, ἐνείλησε τῇ σινδόνι, καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας· καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰωσῆ, ἐθεώρουν ποῦ τίθεται. » Ὁ μακάριος Ἰωσὴφ, ἔτι τῷ νόμῳ δουλεύων, καὶ τὸν Χριστὸν Θεὸν ἐπέγνω, διὸ καὶ τολμᾷ τόλμαν ἐπαινετήν· οὐχ ὑπελογίσατο γὰρ, ὅτι Πλούσιός εἰμι, καὶ ἐκπεσοῦμαι τοῦ πλούτου, ἐὰν αἰτήσωμαι τὸ σῶμα τοῦ ἐπὶ τυραννίδι κατακριθέντος, καὶ διαβληθήσομαι τοῖς Ἰουδαίοις· οὐδὲν τούτων εἶπε καθ' ἑαυτόν· ἀλλὰ πάντα δεύτερα ἡγησάμενος, ᾐτήσατο ἵνα θάψῃ τὸ τοῦ κατακεκριμένου σῶμα. Ὁ δὲ Πιλάτος ἐθαύμασεν, εἰ ἤδη τέθνηκεν. ἐνόμιζε γὰρ αὐτὸν ἐπὶ πολὺ ἀνθέξειν, ὥσπερ καὶ τοὺς λῃστάς. Ἐπηρώτησε δὲ καὶ τὸν κεντυρίωνα εἰ πάλαι ἀπέθανε, τουτέστιν, εἰ πρὸ ὥρας ἀπέθανεν. Ὁ τοίνυν Ἰωσὴφ λαβὼν τὸ σῶμα, ἠγόρασε μὲν σινδόνα. Καθελὼν δὲ αὐτὸν, ἐνείλησε τῇ σινδόνι, τὸ τίμιον τιμίως ἐνταφιάζων. Μαθητὴς γὰρ ἦν καὶ αὐτὸς τοῦ Χριστοῦ, καὶ ὅπως δεῖ τιμᾷν τὸν Δεσπότην εἰδώς· καὶ εὐσχήμων, τουτέστι σεμνὸς, εὐλαβὴς, ἄμεμπτος. Βουλευτὴς δὲ ἀξίωμά τι ἦν, μᾶλλον δὲ λειτούργημα καὶ βάρος πολιτικὸν, ὃ οἱ ἔχοντες ἠναγκάζοντο τὰ τῆς ἀγορᾶς ἐπισκοπεῖν· καὶ πολλοῖς πολλάκις κίνδυνος ἐπῆλθεν ἐκ τούτου, διὰ τὴν τῆς ἀγορᾶς κακοπραγίαν. Ἀκουέτωσαν οἱ πλούσιοι, καὶ δημοσίοις ἐνασχολούμενοι πράγμασιν, ὅπως τῷ Ἰωσὴφ οὐδὲν ἐνεπόδισε πρὸς ἀρετὴν τὸ βουλευτικὸν ἀξίωμα. Ἰωσὴφ δὲ ἑρμηνεύεται, πρόσθεσις· Ἀριμαθαῖος δὲ, αἴρων ἐκεῖνο. Γένοιτο οὖν καὶ ἡμᾶς κατὰ τὸν Ἰωσὴφ γενέσθαι, ἀεὶ προστιθέντας τῷ δρόμῳ τῆς ἀρετῆς, καὶ αἴροντας ἐκεῖνο, τουτέστι, τὸ ὄντως ἀγαθόν· λαβεῖν δὲ καὶ τὸ σῶμα τοῦ Ἰησοῦ διὰ τῆς κοινωνίας, καὶ καταθέσθαι τοῦτο ἐν μνημείῳ λελατομημένῳ ἐκ πέτρας, τουτέστιν, ἐν μνημονικῇ ψυχῇ καὶ μὴ ἐπιλανθανομένῃ τοῦ Θεοῦ. Ἔστω δὲ ἐκείνη ἡ ψυχὴ, ἐκ πέτρας λελατομημένη, τουτέστιν, ἀπὸ Χριστοῦ, ὅς ἐστιν ἡ πέτρα ἔχουσα τὴν σύστασιν· ἐνειλῆσαι δὲ αὐτὸ ἐν σινδόνι τουτέστιν, ἐν σώματι καθαρῷ δέξασθαι αὐτό· σινδὼν γὰρ τῆς ψυχῆς καὶ οἷον ἱμάτιον, τὸ σῶμα. Δεῖ οὖν μὴ μόνον ἐν ψυχῇ καθαρᾷ δέχεσθαι τὸ θεῖον σῶμα τοῦ Κυρίου, ἀλλὰ καὶ ἐν σώματι τοιούτῳ· ἐνειλεῖν δὲ τοῦτο, τουτέστι, συστρέφειν καὶ συστέλλειν, ἀλλὰ μὴ ἐξαπλοῦν· τὸ γὰρ μυστήριον συνεσταλμένον ἐστὶ καὶ ἀπόκρυφον, καὶ οὐκ ἐξηπλωμένον.

sponsa. Salome autem erat mater filiorum Zebedæi. *Et aliæ* quoque *multæ*, nomina enim celebriorum tantum commemoravit.

VERS. 42-47. « Et cum jam venisset vespera, quoniam erat Parasceve quæ præcedit Sabbatum, venit Joseph ortus ex civitate Arimathæa, honestus senator, qui et ipse erat exspectans regnum Dei; et sumpta audacia ingressus est ad Pilatum, et petiit corpus Jesu. Pilatus autem admiratus est si jam mortuus esset. Et accersito ad se centurione interrogavit illum, an jamdudum mortuus fuisset. Et recognita ex centurione, donavit corpus ipsi Joseph. Et is mercatus sindonem, depositum eum involvit sindoni, reposuitque in monumento quod erat excisum e petra : et avolvit lapidem ad ostium monumenti At Maria Magdalene et Maria Jose spectabant ubi poneretur. » Beatus Joseph adhuc legi **261** serviens, Christum Deum agnovit, ideo et laudatum audet facinus. Neque cogitabat : Dives sum, et divitias amittere possum : si postulavero corpus ejus qui propter tyrannidem affectam condemnatus est, accusabor a Judæis. Nihil tale secum dicebat, sed omnia posthabens et minoris faciens, petivit ut sepeliret condemnati corpus. Pilatus vero mirabatur quod jam mortuus esset. Putabat enim ipsum diu in agone luctaturum, sicut et latrones. Interrogat autem et centurionem, si dudum mortuus esset, hoc est ante horam Joseph itaque accepto corpore mercatus est sindonem, in qua depositum involvit : et quod honore dignum, cum honore sepelivit. Erat enim et ipse discipulus Jesu, sciens dignum honore Dominum; et honestus, hoc est, pius, irreprehensibilis; senator autem, quæ dignitas quædam erat vel potius ministerium et onus civile per quod cogebantur intendere his quæ fori erant, et multa sæpe inde oriebantur pericula propter fori malitiam. Audiant divites, et publicis muneribus fungentes, quomodo Josepho nihil obsistat ad virtutem senatoria dignitas. Joseph interpretari possumus augmentum : Arimathæus vero, tollens hoc. Concedat autem Deus, ut etiam nos sicut Joseph ille fiamus semper aucti, et adjicientes in cursu virtutis, ac tollentes hoc, id est, id quod est vere bonum : accipiamus vero corpus Jesu per communionem, et collocemus in monumento exciso ex petra, hoc est, in anima memori, quæ Deum non obliviscatur. Sit autem anima illa ex petra excisa, hoc est, a Christo, qui est petra in qua consistere poterimus. Involvatur vero in sindone. hoc est, in corpore mundo suscipiatur. Nam sindon animæ est corpus quasi vestis. Oportet igitur non solum in anima pura suscipere divinum corpus Domini, sed in corpore puro. Involvendum autem est hoc, id est, contrahendum et continendum et non explanandum. Mysterium enim in contracto est et occultum, et non cuivis aperiendum.

## CAPUT XVI.

*De resurrectione Christi. Quibus post resurrectionem Dominus apparuit. Quomodo apostolis Evangelii prædicationem demandavit.*

VERS. 1-8. « Et cum præterisset Sabbatum, Maria Magdalene et Maria Jacobi et Salome emerunt aromata ut venirent et ungerent eum. Et summo diluculo diei primi Sabbatorum veniunt ad monumentum exorto sole, dicebantque inter sese : Quis revolvet nobis lapidem ab ostio monumenti? Et cum respexissent, vident lapidem esse revolutum, **262** nam erat magnus valde. Et ingressæ in monumentum, viderunt adolescentem sedentem a dextris amictum stola candida, et expaverunt. At ille dicit eis : Ne expavescatis Jesum quæritis Nazarenum, qui fuit crucifixus? Surrexit, non est hic. Ecce locus ubi posuerant illum. Sed abite, dicite discipulis ejus et Petro, quod ille præcedit vos in Galilæam. Illic eum videbitis, sicut dixit vobis. Et abeuntes fugerunt a monumento : habebat enim illas tremor et stupor; neque cuiquam dicebant, timebant enim. » Nihil magnum, neque dignum deitate Jesu sapientes mulieres illæ assident sepulcro, et unguenta emunt, ut secundum consuetudinem Judæorum ungant corpus, ut fragrans maneat, et ne quid fœtidum ex corruptione oriatur, et ut unguenta, et alia quæ virtutem siccandi habent, humoremque corporis absorbent, incorruptum illud servent. Et talia quidem sentiebant mulieres. Et valde mane, id Matthæus vesperam Sabbatorum[4], et Lucas profundum diluculum dicit[5] [3]Unius autem sabbatorum, hoc est, primæ ex diebus hebdomadis. Sabbata enim dies hebdomadæ nominabant, unam autem primam. Surrexerunt et veniunt ad monumentum, et disceptabant, quis revolveret illis lapidem. Cumque hæc illæ cogitarent, angelus revolvit lapidem, non sentientibus mulieribus. Id quod et Matthæus dicit, quod cum venissent mulieres, angelus revolverit lapidem. Hoc autem Marcus siluit, quod Matthæus dixisset a quo revolutus esset lapis. Quod autem Matthæus dicit, angelum sedere super lapidem, Marcus vero postquam ingressæ sunt in monumentum, vidisse ipsum mulieres intro sedere, non est mirandum. Potest enim fieri quod quem viderunt foris sedere, sicut Matthæus dicit, super lapidem, illum iterum viderint intus in monumento, qui prævenerit mulieres, et ingressus sit. Quidam autem dicunt quod aliæ quidem fuerint mulieres quæ apud Matthæum, aliæ autem quæ apud Marcum, Magdalene vero omnium comes fuerit nimirum quod alacris esset, flagransque, ac officiosa. Dixit igitur mulieribus ille qui apparuerat: Ne expavescatis. Principio a metu liberat, deinde bonum illud de resurrectione nuntium affert. Crucifixum autem ipsum nominat. Non enim pudet crucis, quæ salus est hominum, et honorum caput. Surrexit. Unde manifestum? Non est enim hic. Et

[4] Matt. XXVIII, 1. [5] [3] Luc. XXIX, 1.

A

## ΚΕΦΑΛ. ΙϚʹ.

Περὶ τῆς τοῦ Χριστοῦ ἀναστάσεως. Τίσι μετὰ τὴν ἔγερσιν ὁ Κύριος ὤφθη. Πῶς τοῖς ἀποστόλοις τὴν τοῦ Εὐαγγελίου κήρυξιν διέταξεν.

« Καὶ διαγενομένου τοῦ Σαββάτου, Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη, ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. Καὶ λίαν πρωῒ τῆς μιᾶς Σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου, καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου ; Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα· καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκὴν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυ- B ρωμένον ; Ἠγέρθη, οὐκ ἔστιν ὧδε. Ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι Προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ. » Οὐδὲν μέγα οὐδὲ ἄξιον τῆς τοῦ Ἰησοῦ θεότητος φρονοῦσαι αἱ γυναῖκες περὶ αὐτοῦ, παρακάθηνται τῷ τάφῳ, καὶ μύρα ἀγοράζουσιν, ἵνα κατὰ τὸ ἔθος τῶν Ἰουδαίων ἀλείψωσι τὸ σῶμα, ὡς ἂν μένῃ εὐῶδες, καὶ μή τι δυσῶδες ἐκ τῆς διαλύσεως πάθῃ· ἅμα δὲ καὶ τὰ μύρα ξηραντικήν τινα δύναμιν ἔχοντα, τὴν ὑγρότητα τοῦ σώματος ἀναπίνοντα, ἄσηπτον αὐτὸ τηροῦσι. Τοιαῦτα ἐφρόνουν αἱ γυναῖκες. καὶ λίαν πρωΐ, C ὅπερ ὁ μὲν Ματθαῖος, ὀψὲ Σαββάτων, ὁ δὲ Λουκᾶς, ὄρθρου βαθέος, φασὶ, μιᾶς τῶν Σαββάτων, τουτ' ἔστι, τῆς πρώτης τῶν τῆς ἑβδομάδος ἡμερῶν (Σάββατα γὰρ τὰς τῆς ἑβδομάδος ἡμέρας ὠνόμαζον, μίαν δὲ, τὴν πρώτην) ἀναστᾶσαι ἔρχονται πρὸς τὸ μνημεῖον, καὶ διαλογίζονται τίς ἀποκυλίσει τὸν λίθον· ἐν ὅσῳ δὲ ταῦτα ἐλογίζοντο αὗται, ἄγγελος ἀπεκύλισε τὸν λίθον μὴ αἰσθομένων τῶν γυναικῶν. Ὃ καὶ ὁ Ματθαῖος λέγει, ὅτι μετὰ τὸ ἐλθεῖν τὰς γυναῖκας, ὁ ἄγγελος ἀπεκύλισε τὸν λίθον· τοῦτο δὲ παρεσιώπησεν ὁ Μάρκος, ὡς τοῦ Ματθαίου εἰπόντος παρὰ τίνος ἀπεκυλίσθη ὁ λίθος. Εἰ δὲ ὁ μὲν Ματθαιός φησι τὸν ἄγγελον καθῆσθαι ἐπὶ τῷ λίθῳ, ὁ δὲ Μάρκος, μετὰ τὸ εἰσελθεῖν εἰς τὸ μνημεῖον ἰδεῖν αὐτὸν τὰς γυναῖκας ἔσω καθήμενον, οὐ δεῖ ταράττεσθαι. Ἐνδέχεται γὰρ D ὃν εἶδον ἔξω καθήμενον, ὥς φησιν ὁ Ματθαῖος, ἐπὶ τῷ λίθῳ, τοῦτον ἰδεῖν πάλιν ἔσω ἐν τῷ μνημείῳ, προλαβόντα τὰς γυναῖκας καὶ εἰσελθόντα. Τινὲς δὲ λέγουσιν ὡς ἄλλαι μὲν ἦσαν αἱ παρὰ τῷ Ματθαίῳ γυναῖκες, ἄλλαι δὲ αἱ παρὰ τῷ Μάρκῳ· ἡ μέντοι Μαγδαληνὴ, ἣ πάσαις παρηκολούθει, θερμή τις οὖσα καὶ διάπυρος τὴν σπουδήν· εἶπεν οὖν ταῖς γυναιξὶν ὁ φανεὶς ἐκεῖνος· Μὴ ἐκθαμβεῖσθε. Πρότερον γὰρ ἀπαλλάττει ταύτας τοῦ δέους, εἶτα καὶ περὶ τῆς ἀναστάσεως εὐαγγελίζεται. Ἐσταυρωμένον δὲ αὐτὸν ὀνομάζει· οὐ γὰρ ἐπαισχύνεται τὸν σταυρόν.

οὗτος γάρ ἐστιν ἡ σωτηρία τῶν ἀνθρώπων, καὶ τὸ A τῶν ἀγαθῶν κεφάλαιον. Ἠγέρθη. Πόθεν δῆλον; Οὐ γάρ ἐστιν ὧδε· καὶ θέλετε πιστωθῆναι; Ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἐπὶ τούτῳ γὰρ καὶ τὸν λίθον ἐπῆρεν, ἵνα δείξῃ τὸν τόπον· ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ. Τὸν Πέτρον χωρίζει ἀπὸ τῶν μαθητῶν, ὡς κορυφαῖον κατ' ἐξοχὴν αὐτὸν ὀνομάζων ἐκτὸς ἐκείνων· ἢ ἐπειδὴ ἠρνήσατο ὁ Πέτρος, ἐὰν ἦλθον καὶ εἶπον αἱ γυναῖκες, ὅτι Προσετάγημεν εἰπεῖν τοῖς μαθηταῖς, εἶπεν ἂν ὁ Πέτρος· Ἐγὼ ἠρνησάμην· λοιπὸν μαθητὴς αὐτοῦ οὐκ εἰμί· ἀπέβαλεν οὖν ἐμὲ, ἐβδελύξατό με. Τούτου οὖν ἕνεκεν προστίθησι τὸ, Καὶ τῷ Πέτρῳ, ἵνα μὴ σκανδαλισθῇ ὁ Πέτρος, ὡς αὐτὸς μὴ λόγου ἀξιωθεὶς, οἷα ἀρνησάμενος, καὶ διὰ τοῦτο μηδὲ συντάττεσθαι τοῖς μαθηταῖς ἄξιος ὤν. Εἰς δὲ τὴν Γαλιλαίαν B πέμπει αὐτοὺς, τῶν θορύβων καὶ τοῦ πολλοῦ φόβου ὑπεξάγων τῶν Ἰουδαίων. Ἐκράτησε μέντοι τὰς γυναῖκας φόβος καὶ ἔκστασις, τουτέστιν, ἔκπληξις, ἐπί τε τῇ θέᾳ τοῦ ἀγγέλου, καὶ ἐπὶ τῷ φρικώδει τῆς ἀναστάσεως, καὶ διὰ τοῦτο οὐδενὶ οὐδὲν εἶπον. Ἐφοβοῦντο γάρ· ἢ τοὺς Ἰουδαίους ἐφοβοῦντο (90), ἢ τῷ φόβῳ συνεχόμεναι τῷ ἀπὸ τῆς ὀπτασίας, καὶ τὸν νοῦν ἀπώλεσαν. Καὶ διὰ τοῦτο οὐδενὶ οὐδὲν εἶπον, ἐπιλαθόμεναι καὶ ὧν ἤκουσαν.

vultis fide confirmari? Ecce locus ibi posuerunt illum. Ad hoc enim et lapidem revolverat, ut ostenderet locum. Sed ite, dicite discipulis et Petro. Petrum ab aliis discipulis ut præcipuum segregat, ac ob excellentiam nominat illum præ aliis: vel quia negaverat Petrus, si venissent mulieres et dixissent quod præceptum esset eis ut annuntiarent discipulis dixisset 263 Petrus: Figo negavi eum, jam non sum illius discipulus, abjecit igitur me, abominatus est me. Illius igitur gratia apponit, Et Petro, ut ne offendatur Petrus tanquam ipsius non sit habita ratio, utpote qui negarit, et propterea indignus sit, ut aliis discipulis connumeretur Porro in Galilæam illos mittit, eripiens a tumultu et metu Judæorum Invaserat autem mulieres tremor ac extasis, hoc est, stupor, et in spectaculo angeli, et in horrore resurrectionis, et propterea nulli quidquam dixerunt. Timebant enim: aut Judæos metuebant, eut visionis metu correptæ mente exciderant, ideoque nulli quidquam dixerant, et oblitæ erant omnium quæ audierant.

« Ἀναστὰς δὲ ὁ Ἰησοῦς, πρωῒ πρώτῃ Σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. Ἐκείνη πορευθεῖσα, ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. Κἀκεῖνοι ἀκούσαντες, ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν. Μετὰ δὲ ταῦτα, δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν· κἀκεῖνοι ἀπελθόντες, ἀπήγγειλαν C τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν· ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον, οὐκ ἐπίστευσαν. » Ἀναστὰς δὲ ὁ Ἰησοῦς· ἐνταῦθα στίξον, εἶτα εἰπέ· Πρωῒ πρώτῃ Σαββάτου ἐφάνη Μαρίᾳ τῇ Μαγδαληνῇ· οὐ γὰρ ἀνέστη πρωΐ. Τίς γὰρ οὖδε πότε ἀνέστη; Ἀλλ' ἐφάνη πρωῒ, Κυριακῇ ἡμέρᾳ· αὕτη γὰρ ἡ πρώτη τοῦ Σαββάτου, τουτέστι, τῆς ἑβδομάδος, ἣν ἄνω ἐκάλεσε μίαν Σαββάτων (91)· Μαρίᾳ τῇ Μαγδα-

VERS 9-13. «Cum surrexisset autem Jesus mane prima Sabbati apparuit primum Mariæ Magdalenæ, e qua ejecerat septem dæmonia. Illa profecta renuntiavit his qui cum illo fuerant lugentibus ac flentibus. Et illi cum audissent quod viveret, ac visus esset ab illa, non crediderunt. Post hæc autem duobus ex ipsis ambulantibus apparuit in alia forma, euntibus rus. Et illi abierunt, ac renuntiarunt reliquis: nec his illi crediderunt. » Cum surrexisset Jesus, hoc loco punctum pone: deinde dic: Mane prima Sabbati apparuit Mariæ Magdalenæ Non enim surrexit mane. Quis enim vidit quando surrexit? Sed apparuit mane Dominica die, quæ est prima Sabbati, hoc est, hebdomadis, quam supra vocavit unam Sabbatorum, Mariæ Magdalenæ, a qua ejecerat septem dæmonia, hoc est, multa. Solet enim Scriptura septenarium numerum pro multitudine accipere: ut quod sterilis peperit

Ex collatione codd. Venet. S. Marci

(90) Cod. 26 pergit: Φασί τινες τῶν ἐξηγητῶν ἐνταῦθα συμπληροῦσθαι τὸ κατὰ Μάρκον Εὐαγγέλιον, τὰ δὲ ἐφεξῆς προσθήκην εἶναι μεταγενεστέραν. Χρὴ δὲ καὶ ταύτην ἑρμηνεῦσαι μηδὲν τῇ ἀληθείᾳ λυμαινομένους. Ἀρχή· Ἀναστὰς δὲ ὁ Ἰησοῦς, κ. τ. λ. «Aiunt nonnulli expositores, hic absolvi Evangelium Marci: adeoque ea quæ sequuntur, esse postea ab aliis adjecta. Nihilominus oportet ut et hæc a nobis exponantur, ne in quoquam veritatem lædamus. Initium: Cum surrexisset autem Jesus, etc. »

(91) Cod. 26 hæc interserit: Ζητητέον δὲ πῶς ἐνταῦθα γέγραπται, ὅτι ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ· καὶ γὰρ ἐφάνη πρῶτον οὐ τῇ Μαγδαληνῇ μόνῃ, ἀλλὰ καὶ τῇ ἄλλῃ τῇ τοῦ Ἰακώβου καὶ Ἰωσὴφ, καθὼς ὁ Ματθαῖος ἱστόρησεν; Ἔστιν οὖν εἰπεῖν, ὅτι διὰ τῆς Μαγδαληνῆς καὶ τὴν ἄλλην ἐδήλωσεν. Ἔθος γὰρ τοῖς εὐαγγελισταῖς ἐν πολλοῖς διὰ τοῦ γνωριμωτέρου προσώπου καὶ τὸ σὺν ἐκείνῳ ἐμφαίνειν· γνωριμωτέρα ἡ Μαγδαληνὴ κατὰ τὸ σπουδάζειν καὶ πορεύεσθαι ἐπὶ τὸ μνημεῖον. Τινὲς δὲ λέ- D γουσι, μετὰ τὸ ταφῆναι τὸν Χριστὸν ἀπελθοῦσαν τὴν Θεοτόκον καταπεσεῖν ὑπὸ λύπης ὑπερβαλλούσης, καὶ μηδ' ἀφικέσθαι μετὰ τοῦτο πρὸς τὸν τάφον, ἀδυνατήσασαν ἐκ σφοδρᾶς περιωδυνίας, ἀλλὰ κεῖσθαι καὶ θρηνεῖν μέχρι τῶν εὐαγγελίων τῆς ἀναστάσεως. Τέως τοῦτο πανάληθες, ὅτι ἀναστὰς ὁ Κύριος ὤφθη ἐν γυναιξὶ πρώτῃ Μαρίᾳ τῇ Μαγδαληνῇ, κ. τ. λ. « Quærendum vero quomodo hic scriptum sit, eum primo apparuisse Mariæ Magdalenæ; nam primum apparuit non Magdalenæ soli, sed et alteri Mariæ Jacobi et Josephi quemadmodum narrat Matthæus. Dicendum igitur, Marcum per *Magdalenam*, alteram quoque intellexisse. Consueverunt enim evangelistæ per personam notiorem, etiam alteram, si quæ cum ipsa sit, indicare; notior autem est Magdalena quoad curam impensam, et profectionem ad sepulcrum. Quidam vero aiunt, Deiparam Virginem, cum, sepulto Domino, recessisset, ob excessum doloris defecisse, et idcirco postea non perrexisse ad sepulcrum, eo quod impotens ad id reddita foret ex

septem Aut septem dæmonia, quæ contraria sunt septem spiritibus virtutis, nempe spiritus præsumptionis, hoc est, abjecti timoris[4], spiritus ruditatis, spiritus mendacii, et alii quotquot sunt contrarii donis Spiritus. Post hæc autem duobus ex illis apparuit cum ambularent, in alia forma, de quibus etiam Lucas dicit : et illi annuntiaverunt aliis : neque illis crediderunt. Et quomodo Lucas dicit quod reversi invenerunt congregatos undecim, dicentes, quod surrexit Dominus? et Marcus hic dicit quod neque his qui ex rure venerunt, credidere? Dicimus igitur, quod illud, Annuntiaverunt reliquis, non de undecim dicitur apostolis, sed de quibusbam aliis. Illos enim hic reliquos vocat, quia undecim viderant illum in ipso die, quomodo et hi, qui ex rure reversi invenerunt illos dicentes : Resurrexit Dominus.

VERS. 14-20. « Postea discumbentibus illis undecim apparuit, et exprobravit illis incredulitatem illorum et cordis duritiam, quod iis, qui vidissent eum resurrexisse, non credidissent (a). Et dicebat eis: Ite in mundum universum, et prædicate Evangelium omni creaturæ Qui crediderit et baptizatus fuerit, salvus erit : qui vero non crediderit, 264 condemnabitur. Porro signa eos, qui crediderint, hæc subsequentur : per omnem meum dæmonia ejicient, linguis loquentur novis, serpentes tollent: et si quid lethale biberint, non nocebit eis : super ægrotos manus imponent, et bene habebunt. Itaque Dominus quidem postquam locutus fuisset eis, receptus est in cœlum et consedit a dextris Dei. Illi vero egressi prædicaverunt ubique Domino cooperante, et sermonem confirmante per signa subsequentia. Amen. » Vide mandatum Domini: Prædicate omni creaturæ. Non dixit : Prædicate his qui obtemperant, sed, omni creaturæ, sive recipiant, sive non. Qui crediderit : et non sufficit hoc : sed, et baptizatus fuerit. Nam qui crediderit, baptizatus autem non fuerit, sed adhuc est catechumenus, non jam salvatus est. Signa vero quæ sequuntur credentes, dicit dæmonia ejicere: linguis loqui novis, serpentes tollere, hoc est, abolere serpentes, sive sensibiles, sive spirituales : sicut etiam dixit : Super serpentes et scorpios calcate, manifeste de spiritualibus intelligens. Potest item et sic intelligi : Serpentes tollent, sicut Paulus viperam in manu

A ληνῇ ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια ἤτοι πολλά· οἶδε γὰρ ἡ Γραφὴ τὸν ἑπτὰ ἀριθμὸν, ἀντὶ πλήθους παραλαμβάνειν· ὡς τὸ, Στεῖρα ἔτεκεν ἑπτὰ, ἢ ἑπτὰ δαιμόνια, τὰ ἐναντία τῶν ἑπτὰ τῆς ἀρετῆς πνευμάτων· οἷον πνεῦμα ἀφοβίας, πνεῦμα ἀσυνεσίας, πνεῦμα ἀγνωσίας, πνεῦμα ψεύδους, καὶ ὅσα ἄλλα ἀντίπαλα τῶν χαρισμάτων τοῦ Πνεύματος· μετὰ δὲ ταῦτα, δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν, ἐφάνη ἐν ἑτέρᾳ μορφῇ· περὶ τούτων καὶ ὁ Λουκᾶς λέγει· Κἀκεῖνοι ἀνήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. Καὶ πῶς ὁ Λουκᾶς λέγει, ὅτι ὑποστρέψαντες, εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, λέγοντας ὅτι ἠγέρθη ὁ Κύριος, τοῦ Μάρκου ἐνταῦθα λέγοντος, ὅτι οὐδὲ B τοῖς ἐκ τοῦ ἀγροῦ ἐλθοῦσιν ἐπίστευσαν; Λέγομεν οὖν ὅτι τὸ, Ἀνήγγειλαν τοῖς λοιποῖς, οὐ περὶ τῶν ἕνδεκα ἀποστόλων λέγει, ἀλλὰ περί τινων ἑτέρων· τούτους γὰρ λοιποὺς ὠνόμασεν.

« Ἐπεὶ οἵγε ἕνδεκα εἶδον αὐτὸν ἐν αὐτῇ τῇ ἡμέρᾳ, ὅτε καὶ οἱ ἐξ ἀγροῦ ὑποστρέψαντες εὗρον αὐτοὺς λέγοντας ὅτι ἠγέρθη ὁ Κύριος. Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι, ταῦτα παρακολουθήσει, ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι, γλώσσαις λαλήσουσι καιναῖς, ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ· ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀν- C ελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν. » Ὅρα τὴν τοῦ Κυρίου ἐντολὴν, Κηρύξατε πάσῃ τῇ κτίσει. Οὐκ εἶπεν, ὅτι Τοῖς πειθομένοις κηρύξατε, ἀλλὰ, πάσῃ τῇ κτίσει, εἴτε πείθονται εἴτε μή. Ὁ πιστεύσας, καὶ οὐκ ἀρκεῖ τοῦτο, ἀλλὰ καὶ βαπτισθείς. Ὁ γὰρ πιστεύσας μὲν, οὐ βαπτισθεὶς δὲ, ἀλλ' ἔτι κατηχούμενος ὢν, οὐκ ἤδη καὶ σέσωσται (93). Σημεῖα δὲ λέγει τοῖς πιστεύσασι παρακολουθήσειν, τὸ δαιμόνια ἐκβάλλειν, τὸ γλώσσαις λαλεῖν καιναῖς (94), τὸ ὄφεις αἴρειν, τουτέστιν, ἀφανίζειν ὄφεις, εἴτε τοὺς D νοητοὺς, ὡς τὸ, Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων, τῶν νοητῶν δηλαδή. Δύναται δὲ καὶ οὕτω νοηθῆναι, ὄφεις ἀροῦσιν. Ὥσπερ ὁ Παῦλος τὴν ἔχιδναν ἐν τῇ χειρὶ αὐτοῦ ἦρε, μηδὲν ὑπ' αὐτῆς

[4] Isa. XI, 3.

## Ex collatione codd. Venet. S. Marci.

tristitiæ vehementia : adeoque decubuisse, et planxisse usque ad lætum nuntium de Filii resurrectione. Cæterum hoc verissimum est, Dominum primo ex mulieribus visum fuisse a Maria Magdalena, » etc.

(92-93) Cod. 26: Οὐκ ἤδη καὶ σέσωσται. Ὁ πιστεύσας γοῦν καὶ βαπτισθεὶς σωθήσεται, εἴγε τὴν πίστιν καὶ τὸ βάπτισμα καθαρὰ καὶ ἄσπιλα συντηρῇ, ἢ καὶ μετὰ τὸ σπιλῶσαι καθαρίσῃ· σημεῖα δὲ λέγει τοῖς πιστεύσασιν οὐχ ἁπλῶς, ἀλλ' ὡς εἴρηκε παρακολουθήσειν, κ. τ. λ. « Non jam salvatus est. Qui igitur crediderit et baptizatus fuerit, salvabitur, si tamen fidem et baptisma pura et immaculata custodierit, vel si aliquando eadem ab ipso maculari contingat, iterum purificaverit. Signa vero dicit, quæ credentes non simpliciter, sed ut dixerat, sequentur, » etc.

(94) Cod. 26 post καιναῖς, τοῦτ' ἔστιν ἐν διαλέκτοις ἀλλοεθνέσι, « hoc est idiomatibus alienis et peregrinis. »

(a) Hæc prima periodus desideratur in textu Græco, neque exponitur a Theophylacto.

βλαβεῖς · κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ. Γέγονε δὲ τοιαῦτα πάντως πολλὰ, ὡς ἐν ταῖς ἱστορίαις εὑρίσκομεν. Πολλοὶ γὰρ καὶ φάρμακα πιόντες, διὰ τῆς τοῦ σταυροῦ σφραγῖδος ἀβλαβεῖς διετηρήθησαν. Ταῦτα δὲ λαλήσας, ἀνελήφθη, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ (95). Ἐκεῖνοι δὲ ἐκήρυξαν πανταχοῦ τοῦ Κυρίου, φησὶν, συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. Ὁρᾷς πανταχοῦ τὰ ἡμέτερα πρῶτον, εἶτα ἡ τοῦ Θεοῦ συνεργία · ἡμῶν γὰρ ἐνεργούντων καὶ ἀρχὴν δόντων, ὁ Κύριος συνεργεῖ · ὡς ἐάν γε μὴ ἡμεῖς δῶμεν ἀφορμὴν, οὐ συνεργεῖ. Σκόπει δὲ καὶ τοῦτο, ὅτι μετὰ τὸν λόγον τὰ ἔργα καὶ ὁ λόγος διὰ τῶν ἔργων βεβαιοῦται · ὥσπερ καὶ ἐπὶ τῶν ἀποστόλων τότε, τὸν λόγον ἐβεβαίουν τὰ ἔργα τὰ ἐπακολουθοῦντα καὶ τὰ σημεῖα. Γένοιτο δὲ, Λόγε Χριστὲ, καὶ τοὺς ἡμετέρους λόγους οὓς λέγομεν περὶ ἀρετῆς, διὰ τῶν ἔργων βεβαιοῦσθαι καὶ τῶν πράξεων. Ὡς ἂν τέλειοι παρασταίημέν σοι, συνεργοῦντι ἡμῖν ἐν πᾶσιν ἔργοις τε καὶ λόγοις · ὅτι σοι πρέπει ἡ διὰ λόγων καὶ ἔργων δόξα. Ἀμήν.

sustulit, nihil ab illa offensus. Etiamsi mortale quidam biberint, non nocebit eis. Sæpe autem hæc facta sunt, ut in historiis invenimus. Multi enim et venenum bibentes, per signaculum crucis illæsi conservati sunt. Hæc autem cum dixisset, assumptus est, et sedet a dextris Dei. Illi autem prædicaverunt ubique Domino, inquit, cooperante, et sermonem confirmante per sequentia signa. Vides ubique nostra primum, deinde Dei adjutorium. Cum enim nos operamur, et principium dederimus, Dominus cooperatur, ita si nos non dederimus occasionem, non cooperatur. Considera autem et hoc, quia post sermonem opera, et sermo per opera confirmatur, sicut et in apostolis sermonem confirmabant opera quæ subsequebantur ac signa. Fiat, o Sermo Christe, ut sermones nostri quos de virtute dicimus per opera et facta confirmentur, ut perfecti sistamur apud te, qui cooperaris nobis in sermonibus et operibus, quoniam te decet et per sermones et per opera gloria. Amen.

Τέλος τῆς εἰς τὸ κατὰ Μάρκον Εὐαγγέλιον ἑρμηνείας τοῦ Θεοφυλάκτου.

*Commentariorum Theophylacti in Evangelium Marci finis.*

**Ex collatione codd.** Venet. S. Marci.

(95) Cod. 26 **hæc addit :** Καὶ μὴν ὁ Θεὸς καὶ Πατὴρ αὐτοῦ, ἀσώματος ὢν, οὐκ ἂν ἔχοι δεξιὰ ἢ ἀριστερά · τῶν σωμάτων γὰρ ταῦτα σχήματα. Λοιπὸν οὖν τὸ καθίσαι δηλοῖ ἀνάπαυσιν καὶ ἀπόλαυσιν τῆς θείας βασιλείας · τὸ δὲ ἐκ δεξιῶν τοῦ Θεοῦ, οἰκείωσιν καὶ ὁμοτιμίαν πρὸς τὸν Πατέρα. Οὐ μόνον καθῆσθαι ἐν δεξιᾷ τοῦ Πατρὸς ὁ Υἱὸς, ἀλλὰ καὶ ἵστασθαι λέγεται, ὡς ἐν τῇ βίβλῳ τῶν Πράξεων Στέφανος εἴρηκε, τοῦ μὲν τὸ καθιδρύσθαι ἀμεταθέτως, τοῦ δὲ τὸ βεβηκέναι τὸ θεῖον ἐν τῷ ἀγαθῷ δογματίζοντος, καὶ οὐδὲν ἡ τῶν ῥημάτων ἑτερότης περὶ τὸν νοῦν διαφέρεται. Ἄλλως τε ὁ εἰπὼν ἵστασθαι τὸν Υἱὸν, οὐκ εἶπε καθῆσθαι τὸν Πατέρα, ἵνα διαφορὰν νοήσωμεν ἀξιώματος · λοιπὸν οὖν καὶ καθῆσθαι καὶ ἵστασθαι. Ἐκεῖνοι δὲ, κ. τ. λ. « **Equidem Deus** Pater, cum sit incorporeus, neque dexteram habet neque sinistram · corporis enim hæ sunt formæ. Restat igitur ut illud *sedere* quietem et divini imperii fruitionem significet; quemadmodum illud *a dextris Dei* cognationem et æqualitatem cum Patre. At non solum *sedere* in dextera Patris Filius dicitur, sed etiam stare; sicut in Actibus ait Stephanus : scilicet hæc phrasis status immutabilitatem, illa felicitatem nos edocet : neque ista locutionis diversitas sensus discrepantiam importat. Aliunde vero, qui dixit stare Filium, non dixit Patrem sedere; ut exinde nullum dignitatis discrimen inferre possimus. Dici igitur potest, eum et sedere et stare. *Illi autem,* » etc.

# ΘΕΟΦΥΛΑΚΤΟΥ

### ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

## ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ.

# THEOPHYLACTI

### ARCHIEPISCOPI BULGARIÆ

## ENARRATIO IN EVANGELIUM LUCÆ

### VITA SANCTI LUCÆ

*Secundum Sophronium.*

265 Lucas medicus Antiochensis, Græci idiomatis non inexpertus, Pauli apostoli studiosus, et omnis ejus peregrinationis comes assiduus, Evangelium conscripsit. De quo Paulus, Misimus, inquit, cum illo fratrem, cujus laus in Evangelio per omnes Ecclesias. Et in epistola ad Colossenses: Salutat vos Lucas medicus dilectus. Et ad Timotheum: Lucas mecum est solus. Alterum etiam librum eximium nobis reliquit, sub titulo Actuum apostolorum, cujus historia ad biennium usque extenditur, quo Paulus Romæ fuit, hoc est, ad quartum imperii Neronis annum; unde facile animum inducimus in eadem urbe librum ab illo conscriptum B fuisse. Cætera, periodum Pauli et Theclæ quod attinet, non secus ac Leonis baptizati fabula, inter apocryphas scripturas recensebitur. Neque enim fieri poterat, cum qui assiduus erat omnium Pauli occupationum spectator et comes, isthæc ignorasse. Sub idem tempus exstitisse presbyterum quemdam in Asia refert Tertullianus, Pauli apostoli apprime studiosum, qui increpitus a Joanne tanquam hujus libri auctor, confessus est se utpote Pauli philtro correptum istud fecisse, ideoque ejectum illum fuisse quidam autumant. Quoties enim Paulus in suis Epistolis ait, secundum Evangelium meum, patet id de libro Lucæ intelligi, eumque non solum ab apostolo Paulo Evangelium accepisse, ut C qui Domino, cum viveret, non conversatus sit, sed et a cæteris apostolis, quod et ipse manifeste asserit in ipso sui libri exordio, quemadmodum tradiderunt nobis qui ab initio ejus spectatores fuerunt. Quocirca Evangelium scripsit ut audiverat. Acta vero apostolorum, ut res et ordo habuit, historiæ mandavit. Allatæ sunt ejus reliquiæ Constantinopolim, ibique vicesimo Constantini imperatoris anno corpus ejus cum reliquiis Andreæ apostoli translatum est.

A

### ΒΙΟΣ ΤΟΥ ΛΟΥΚΑ

Κατὰ Σωφρόνιον.

Λουκᾶς, ἰατρὸς Ἀντιοχεὺς, καθὼς τὰ συγγράμματα αὐτοῦ δηλοῖ, τοῦ Ἑλληνικοῦ οὐκ ἄπειρος. σπουδαστὴς Παύλου ἀποστόλου, καὶ πάσης αὐτοῦ τῆς ἀλλοδαπῆς ἀκόλουθος, συνέταξεν Εὐαγγέλιον, περὶ οὗ αὐτὸς Παῦλος, Ἀπεστείλαμεν, φησὶ, σὺν αὐτῷ τὸν ἀδελφὸν, οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ κατὰ πάσας τὰς Ἐκκλησίας. Καὶ πρὸς τοὺς Κολασσαεῖς· Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός. Καὶ πρὸς Τιμόθεον· Λουκᾶς ἐστι μετ' ἐμοῦ μόνος. Καὶ ἕτερον δὲ ἐξέδωκε τεῦχος ἐξαίρετον, ἐπιγραφὴν Πράξεις ἀποστόλων, οὗ ἡ ἱστορία ἕως διετείας διάγοντος ἐν τῇ Ῥώμῃ Παύλου ἐκτείνεται, τουτέστιν, ἕως τετάρτου Νέρωνος ἐνιαυτοῦ. Ἀφ' ὧν πεπείσμεθα, ἐν τῇ B αὐτῇ πόλει τὴν βίβλον συντετάχθαι. Ἡ γὰρ περίοδος Παύλου καὶ Θέκλας, καὶ πᾶς ὁ μῦθος ὡσανεὶ Λέοντος βαπτισθέντος, εἰς τὰς ἀποκρύφους γραφὰς ψηφισθήσεται. Οὐδὲ γὰρ ἐνεχώρει τὸν ἀχώριστον τοῦ Ἀποστόλου μεταξὺ τῶν λοιπῶν αὐτοῦ πράξεων τοῦτο ἠγνοηκέναι. Ἀλλὰ καὶ Τερτουλλιανὸς ἐκεῖνον τὸν χρόνον ἀναφέρει πρεσβύτερόν τινα ἐν τῇ Ἀσίᾳ, σπουδαστὴν Παύλου ἀποστόλου, ἐλεγχθέντα ἐπὶ Ἰωάννου, οἷα παρ' αὐτοῦ συνταγείσης βίβλου, ὡμολογηκέναι φίλτρῳ κατεχόμενον Παύλου, τοῦτο πεποιηκέναι. Διὸ καὶ ἐκβεβλῆσθαι τοῦτόν τινες ὑπολαμβάνουσιν. Ὁσάκις γὰρ Παῦλος ἐν ταῖς οἰκείαις Ἐπιστολαῖς λέγει, κατὰ τὸ Εὐαγγελιόν μου, δηλον ὡς περὶ τοῦ τεύχους τοῦ κατὰ Λουκᾶν σημαίνει, C καὶ Λουκᾶν οὐ μόνον παρὰ τοῦ ἀποστόλου Παύλου μεμαθηκέναι τὸ Εὐαγγέλιον, οἷα μετὰ τοῦ Κυρίου τηνικαῦτα ἐν τῷ σώματι μὴ γενομένου, ἀλλὰ καὶ παρὰ τῶν λοιπῶν ἀποστόλων, ὅπερ καὶ αὐτὸς ἐν τῇ ἀρχῇ τοῦ ἰδίου συντάγματος περιφανῶς λέγει, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται. Τοιγαροῦν τὸ Εὐαγγέλιον καθὼς ἀκήκοεν ἔγραψε. Τὰς δὲ Πράξεις τῶν ἀποστόλων, καθὰ ἱστόρησεν αὐτὸς, καὶ συνέταξεν. Ἠνέχθη τὰ λείψανα αὐτοῦ, καὶ ἀπετέθη ἐν Κωνσταντινουπόλει, εἰς ἣν πόλιν τῷ εἰκοστῷ Κωνσταντίνου ἐνιαυτῷ τὸ τούτου σῶμα μετὰ τῶν λειψάνων Ἀνδρέου τοῦ ἀποστόλου μετηνέχθη.

A

## ΒΙΟΣ ΛΟΥΚΑ ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ

Ἐκ τῆς τοῦ Δωροθέου μάρτυρος καὶ Τυρίων ἐπισκόπου συνόψεως.

Λουκᾶς ὁ εὐαγγελιστὴς Ἀντιοχεὺς μὲν τὸ γένος ἦν, ἰατρὸς δὲ τὴν τέχνην. Συνεγράψατο δὲ τὸ μὲν Εὐαγγέλιον κατ' ἐπιτροπὴν Πέτρου τοῦ ἀποστόλου, τὰς δὲ Πράξεις τῶν ἀποστόλων κατ' ἐπιτροπὴν Παύλου τοῦ ἀποστόλου. Συναπεδήμησε γὰρ τοῖς ἀποστόλοις, καὶ μάλιστα τῷ Παύλῳ, οὗ καὶ μνημονεύσας ὁ Παῦλος, ἔγραψεν ἐν Ἐπιστολῇ· Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς ἐν Κυρίῳ. Ἀπέθανε δὲ ἐν Ἐφέσῳ καὶ ἐτάφη ἐκεῖ. Μετετέθη δὲ ὕστερον ἐν Κωνσταντίνου πόλει μετὰ καὶ Ἀνδρέου καὶ Τιμοθέου τῶν ἀποστόλων, κατὰ τοὺς καιροὺς Κωνσταντίου βασιλέως, υἱοῦ Κωνσταντίνου τοῦ Μεγάλου.

B

## ΥΠΟΘΕΣΙΣ

Τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου.

Λουκᾶς ὁ θεῖος, Ἀντιοχεὺς μὲν ἦν, ἰατρὸς δὲ, καὶ τὴν ἔξω σοφίαν πολύς· οὐ μὴν ἀλλὰ καὶ τὴν Ἑβραϊκὴν παιδείαν ἐξησκήσατο, τοῖς Ἱεροσολύμοις ἐπιφοιτήσας, ὅτε δὲ καὶ ὁ Κύριος ἡμῶν ἐδίδασκεν· ὥστε, φασί τινες, ἕνα καὶ αὐτὸν γενέσθαι τῶν ἑβδομήκοντα ἀποστόλων· καὶ ἐκ νεκρῶν δὲ ἀναστάντι τῷ Χριστῷ συναντῆσαι μετὰ Κλεόπα· ἀναληφθέντος δὲ τοῦ Κυρίου, καὶ τοῦ Παύλου πιστεύσαντος, γενέσθαι συνέκδημον καὶ ἀκόλουθον αὐτοῦ, φημὶ δὴ τοῦ Παύλου· καὶ δὴ συγγράψασθαι τὸ Εὐαγγέλιον μετὰ πάσης ἀκριβείας, ὡς καὶ αὐτὸ τὸ προοίμιον αὐτοῦ ἐμφαίνει· μετὰ πεντεκαίδεκα δὲ ἔτη τῆς τοῦ Χριστοῦ ἀναλήψεως συνεγράψατο. Γράφει δὲ πρὸς Θεόφιλον, συγκλητικὸν ὄντα καὶ ἄρχοντα ἴσως· τὸ γὰρ Κράτιστος ἐπὶ τῶν ἀρχόντων καὶ ἡγεμόνων C ἐλέγετο, ὡς καὶ ὁ Παῦλός φησι πρὸς τὸν ἡγεμόνα Φῆστον, Κράτιστε Φῆστε. Καὶ πᾶς δὲ ἄνθρωπος θεοφιλὴς, καὶ κράτος κατὰ τῶν παθῶν ἀναδεξάμενος, Θεόφιλός ἐστι κράτιστος· ὃς καὶ ἄξιος τῷ ὄντι ἐστὶν ἀκούειν τοῦ Εὐαγγελίου.

## ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΥ.

α'. Περὶ τῶν γονέων Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ τῆς αὐτοῦ γεννήσεως. Περὶ τοῦ ἀσπασμοῦ τοῦ ἀγγέλου πρὸς Μαριάμ. Περὶ τοῦ ἀσπασμοῦ τῆς Μαρίας πρὸς τὴν Ἐλισάβετ.

β'. Περὶ τῆς ἀπογραφῆς. Περὶ τοῦ τῆς Μαρίας τοκετοῦ. Περὶ τῶν ποιμένων. Περὶ Συμεῶνος. Περὶ Ἄννης τῆς προφήτιδος. Περὶ Ἰησοῦ εὑρεθέντος ἐν μέσῳ τῶν διδασκάλων. D

γ'. Περὶ τῆς τοῦ Ἰωάννου κηρύξεως. Περὶ τῶν ἐπερωτησάντων τὸν Ἰωάννην. Περὶ Ἡρώδου καὶ Ἰωάννου. Περὶ τοῦ βαπτίσματος τοῦ Σωτῆρος. Περὶ γενεαλογίας τοῦ Χριστοῦ.

δ'. Περὶ νηστείας καὶ πειρασμοῦ τοῦ Σωτῆρος. Περὶ Ἰησοῦ ἀχθέντος ὑπὸ τῶν Ἰουδαίων εἰς τὸ ὄρος, καὶ διὰ μέσου αὐτῶν διελθόντος. Περὶ τοῦ ἔχοντος πνεῦμα δαιμονίου. Περὶ τῆς πενθερᾶς Πέτρου. Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.

## 268 VITA LUCÆ EVANGELISTÆ

*Ex synopsi Dorothei martyris et Tyriorum episcopi.*

Lucas evangelista natione Antiochenus, professione medicus, mandato Petri apostoli Evangelium, et Pauli jussu Acta apostolorum conscripsit. Per omnes apostolorum peregrinationes maxime vero Pauli comes fuit, cujus mentionem faciens Paulus scripsit in quadam Epistoia : Salutat vos Lucas medicus dilectus in Domino. Mortuus est Ephesi, ibique sepultus est. Demum translatus est Constantinopolim cum Andreæ et Timothei apostolorum reliquiis circa tempora Constantii regis Constantini Magni filii

## ARGUMENTUM

*In Evangelium secundum Lucam.*

Divus Luças Antiochenus fuit patria, medicæ artis peritus, et in externa phiiosophia magnus. Hierosolymis quoque probe Hebræorum disciplinis eruditus est. Sane Domino nostro docente, uti quidam tradunt, unus septuaginta discipulorum factus est, Christoque cum surrexisset a mortuis, cum Cleopa occurrit. Domino autem in cœlos assumpto, et Paulo ad fidem converso, illi peregrinationis comes factus est, Paulo inquam; et Evangelium cum omni diligentia conscripsit, id quod et proœmium ejus declarat, post assumptum in cœlos Christum anne quinto decimo. Scribit autem ad Theophilum, virum senatorii ordinis, et fortassis principem. Nam Strenui nomen principibus et præsidibus tribuebatur, sicut et Paulus ad præsidem Festum dicit : Strenue Feste. Omnis autem homo Dei amans, roboreque aç strenuitate in refrenandis affectionibus præditus, strenuus est Theophilus, qui et dignus revera est ut Evangelium audiat.

## 267 SUMMA CAPITUM EVANGELII SECUNDUM LUCAM.

1. *De parentibus Joannis Baptistæ et ejus generatione. De salutatione angeli ad Mariam. De visitatione Mariæ ad Elisabeth.*

2. *De conscriptione orbis. De puerperio Mariæ. De pastoribus. De Symeonc. De Anna prophetissa. De Jesu reperto inter doctores.*

3. *De prædicatione Joannis. De interrogantibus Joannem. De Herode et Joanne. De baptismo Salvatoris. De genealogia Christi.*

4. *De jejunio et tentatione Salvatoris. De Jesu a Judæis in montem abducto, et per medium eorum transeunte. De obsesso a dæmone. De socru Petri. De iis qui sanati sunt a variis morbis.*

5. *De captura piscium. De leproso. De paralytico. De Levi publicano. De Christo cum publicanis comedente. Cur discipuli Joannis jejunant, discipuli vero Christi non?*

A ε'. Περὶ τῆς ἄγρας τῶν ἰχθύων. Περὶ τοῦ λεπροῦ. Περὶ τοῦ παραλυτικοῦ. Περὶ Λευὶ τοῦ τελώνου. Περὶ τοῦ Ἰησοῦ συνεσθίοντος τοῖς τελώναις. Διὰ τί οἱ τοῦ Ἰωάννου μαθηταὶ νηστεύουσιν, οἱ δὲ τοῦ Χριστοῦ οὐχί;

6. *De discipulis in Sabbato spicas vellentibus. De eo qui aridam habebat manum. De electione apostolorum. De beatitudinibus. Quod oporteat inimicos diligere. De non contendendo cum proximo. Quod neminem liceat judicare.*

ϛ'. Περὶ τῶν μαθητῶν τοῦ Χριστοῦ ἐν Σαββάτῳ τιλλόντων τοὺς στάχυας. Περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα. Περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς. Περὶ τῶν μακαρισμῶν. Περὶ τοῦ φιλεῖν τοὺς ἐχθρούς. Περὶ τοῦ πρὸς τὸν πλησίον μὴ φιλονεικεῖν. Περὶ τοῦ μὴ δεῖν τὸν πλησίον κρίνειν.

7. *De centurione. De filio viduæ. De missis a Joanne.*

ζ'. Περὶ τοῦ ἑκατοντάρχου. Περὶ τοῦ υἱοῦ τῆς χήρας. Περὶ τῶν σταλέντων παρὰ Ἰωάννου.

8. *De muliere Dominum ungente. Parabola de seminante. De matre et fratribus Jesu volentibus videre eum. De increpatione aquarum. De legione dæmonum. De filia principis Synagogæ. De hæmorrhoissa.*

B η'. Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ. Περὶ τῆς παραβολῆς τοῦ σπείραντος. Περὶ μητρὸς καὶ ἀδελφῶν τοῦ Ἰησοῦ, θελόντων ἰδεῖν αὐτόν. Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων. Περὶ τοῦ λεγεῶνος. Περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου. Περὶ τῆς αἱμοῤῥοούσης.

9. *De missione duodecim apostolorum. De Herode quod de Christo audivit. De quinque panibus et duobus piscibus. De interrogatione Domini. De transfiguratione Christi. De lunatico. De disceptantibus, quis major. De eo qui ab apostolis prohibitus est ejicere dæmonia. Quod non deceat vindictam sumi de iis qui excipere hospitio nolunt. De non commissa sequela*

θ'. Περὶ τῆς ἀποστολῆς τῶν δώδεκα. Περὶ Ἡρώδου ὅτι ἤκουσε περὶ Ἰησοῦ. Περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων. Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως. Περὶ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ. Περὶ τοῦ σεληνιαζομένου. Περὶ τῶν διαλογιζομένων, τίς μείζων. Περὶ τοῦ κωλυομένου δαιμόνια ἐλαύνειν ὑπὸ τῶν μαθητῶν. Περὶ τοῦ μὴ αἰτεῖν τιμωρίαν εἰς τοὺς μὴ δεξαμένους αὐτούς. Περὶ τοῦ μὴ ἐπιτρεπομένου
C ἀκολουθεῖν.

10. *De septuaginta designatis discipulis. De interrogatione legisperiti. De eo qui incidit in latrones. De Martha et Maria sorore ejus.*

ι'. Περὶ τῶν ἀναδειχθέντων ἑβδομήκοντα. Περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ. Περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς. Περὶ Μάρθας καὶ Μαρίας τῆς ἀδελφῆς αὐτῆς.

11. *De oratione. De eo qui habebat dæmonium surdum. De muliere quæ vocem de turba extulit. De petentibus signum. De Pharisæo interpellante Jesum. De miseria legisperitorum.*

ια'. Περὶ προσευχῆς. Περὶ τοῦ ἔχοντος δαιμόνιον κωφόν. Περὶ τῆς ἐκ τοῦ ὄχλου ἐπαράσης φωνήν. Περὶ τῶν αἰτούντων σημεῖον. Περὶ τοῦ Φαρισαίου, τοῦ καλέσαντος τὸν Ἰησοῦν. Περὶ τοῦ ταλανισμοῦ τῶν νομικῶν.

268 12. *De fermento Pharisæorum. De eo qui volebat dividere hæreditatem. De divite cujus ager fructificavit. De contemptu terrestrium. Quod fugienda sit avaritia. De vigili servo. Quod non oporteat cum proximo contendere.* D

ιβ'. Περὶ τῆς ζύμης τῶν Φαρισαίων. Περὶ τοῦ θέλοντος μερίσασθαι τὴν κληρονομίαν. Περὶ οὗ εὐφόρησεν ἡ χώρα πλουσίου. Περὶ τοῦ τῶν γηΐνων καταφρονεῖν. Περὶ τοῦ φεύγειν τὴν φιλαργυρίαν. Περὶ τοῦ ἀγρύπνου δούλου. Περὶ τοῦ πρὸς τὸν πλησίον μὴ φιλονεικεῖν.

13. *De Galilæis et iis qui erant in Siloa. De ficu fructum non ferente. De muliere spiritus infirmi. Parabola de grano sinapis et fermento. De interrogante, num pauci salvandi sint. De nuntiatis Jesu ob Herodem.*

ιγ'. Περὶ τῶν Γαλιλαίων, καὶ τῶν ἐν τῷ Σιλωάμ. Περὶ τῆς συκῆς καρπὸν μὴ ἐνεγκούσης. Περὶ τῆς ἐχούσης πνεῦμα ἀσθενείας. Περὶ τοῦ κόκκου σινάπεως παραβολή, καὶ τῆς ζύμης. Περὶ τοῦ ἐπερωτήσαντος, εἰ ὀλίγοι οἱ σωζόμενοι. Περὶ τῶν εἰπόντων τῷ Ἰησοῦ διὰ Ἡρώδην.

14. *De hydropico. Quod non liceat ambire primos accubitus. Quod deceat magis vocare ad cœnam pauperes quam amicos. De vocatis ad cœnam. Parabola de ædificio turris.*

ιδ'. Περὶ τοῦ ὑδρωπικοῦ. Περὶ τοῦ μὴ ἀγαπᾷν τὰς πρωτοκλισίας. Περὶ τοῦ πτωχοὺς μᾶλλον εἰς τὸ δεῖπνον καλεῖν, ἢ φίλους. Περὶ τῶν καλουμένων ἐν τῷ δείπνῳ. Περὶ οἰκοδομῆς πύργου παραβολή.

15. *Parabola de centum ovibus. De peregre profecto in regionem longinquam.*

ιε'. Περὶ τῶν ἑκατὸν προβάτων παραβολή. Περὶ τοῦ ἀποδημήσαντος εἰς χώραν μακράν.

ιϛʹ. Περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας. Περὶ τοῦ A μηδὲ κεραίαν ἀπὸ τοῦ νόμου παρελθεῖν ἄν. Περὶ τοῦ μὴ ἀπολύειν τὴν γυναῖκα. Περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου.

ιζʹ. Περὶ σκανδάλου. Περὶ τοῦ ἀφεῖναι τὰς ἁμαρτίας τοῖς πλησίον. Περὶ τῆς εἰς Θεὸν πίστεως. Περὶ τῶν δέκα λεπρῶν. Περὶ τοῦ Ἰησοῦ ἐπερωτηθέντος πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ.

ιηʹ. Περὶ τοῦ ἀεὶ προσεύχεσθαι. Περὶ τοῦ κριτοῦ τῆς ἀδικίας. Περὶ τοῦ Φαρισαίου καὶ τοῦ τελώνου. Περὶ τῶν παιδίων, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. Περὶ τοῦ ἐπερωτήσαντος τὸν Ἰησοῦν. Περὶ τοῦ λεπροῦ.

ιθʹ. Περὶ τοῦ Ζακχαίου. Περὶ τοῦ πορευθέντος ἑαυτῷ λαβεῖν βασιλείαν. Περὶ τῶν δέκα δούλων τῶν μνᾶς λαβόντων. Περὶ τοῦ πώλου καὶ τῆς ὄνου. Περὶ τοῦ κλαυθμοῦ Ἰησοῦ ἐπὶ Ἱερου- B σαλήμ. Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ πωλούντων καὶ ὠνουμένων. Περὶ τῶν ἀρχιερέων καὶ Γραμματέων ἐπερωτησάντων τὸν Κύριον ἐν ποίᾳ δυνάμει ταῦτα ποιεῖ.

κʹ. Περὶ τοῦ ἀμπελῶνος παραβολή. Περὶ τῶν ἐγκαλεσθέντων διὰ τὸν κῆνσον Περὶ τῶν Σαδδουκαίων τὴν ἀνάστασιν ἀρνουμένων. Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως πρὸς τοὺς Φαρισαίους.

καʹ. Περὶ τῆς τὰ δύο λεπτὰ βαλούσης χήρας. Περὶ συντελείας ἐπερώτησις. Περὶ τῆς ἁλώσεως Ἱερουσαλήμ, καὶ ὅτι ὁ Κύριος προεῖπε τοῖς μαθηταῖς τὴν αὐτῆς ἐρήμωσιν. Περὶ τῶν σημείων.

κβʹ Περὶ τοῦ Πάσχα. Περὶ τῶν φιλονεικησάντων τίς μείζων. Περὶ τῆς ἐξετάσεως τοῦ Σατανᾶ. C Περὶ τῆς συλλήψεως τοῦ Χριστοῦ. Περὶ τῆς ἀναγωγῆς τοῦ Ἰησοῦ πρὸς τὸν ἀρχιερέα.

κγʹ. Περὶ τῆς ἀναγωγῆς τοῦ Σωτῆρος πρὸς τὸν Πιλάτον. Περὶ τῆς παρ' Ἡρώδου ἐξουθενήσεως. Περὶ τῶν κοπτομένων γυναικῶν. Περὶ τῆς σταυρώσεως τοῦ Χριστοῦ. Περὶ τοῦ μετανοήσαντος λῃστοῦ. Περὶ τῆς τοῦ Χριστοῦ ταφῆς.

κδʹ. Περὶ τῶν σκοπουμένων τὴν τάφον γυναικῶν. Περὶ τοῦ Πέτρου τρέχοντος πρὸς τὸν τάφον. Περὶ Κλεόπα. Περὶ τοῦ ὀφθέντος Ἰησοῦ. Περὶ τῆς ἀναβάσεως εἰς τὸν οὐρανόν.

16. *Dé dispensatore injusto. Quod ne apex quidem de lege prætereundus sit. De non dimittenda uxore. De Lazaro et divite epulone.*

17. *De scandalo. Quod remittenda sint proximis peccata. De fide in Deum. De decem leprosis. De Jesu interrogato, quandonam venturum sit regnum Dei.*

18. *Quod assidue orandum. De injusto judice. De Pharisæo et publicano. De puerulis quorum est regnum Dei. De interpellante Christum. De leproso.*

19. *De Zacchæo. De illo qui profectus est accepturus regnum. Dc decem servis minas accipientibus. De pullo et asina. De lamentatione Jesu super Jerusalem. De fugatis e templo vendentibus et ementibus. De principibus sacerdotum et scribis interrogantibus Dominum in qua potestate hæc faceret.*

20. *Parabola de vinea. De accusatis ob censum. De Sadducæis resurrectionem negantibus. De interrogatione Jesu Pharisæis facta.*

21. *De muliere cum duobus minutis. Interrogatio de ultima consummatione. De obsidione Jerusalem, et quod Christus prædixerit discipulis ejus vastitatem. De signis.*

22. *De Pascha. De rixantibus quis major. De quærela Satanæ. De comprehensione Christi. Quomodo Christus ad principem sacerdotum ductus sit.*

23. *Quomodo ductus est ad Pilatum. De contempto Jesu ab Herode. De lugentibus mulieribus. De crucifixione Christi. De latrone resipiscente. De sepultura Christi.*

24. *De invisentibus sepulcrum mulieribus. De Petro ad monumentum currente. De Cleopa. De apparitione Jesu. De ascensione in cælum.*

---

# ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ

# ENARRATIO IN EVANGELIUM LUCÆ

## 269 PRÆFATIO.

VERS. 1-4. « Quoniam multi attentarunt contexere narrationem earum quæ inter nos multis argumentis comprobatæ sunt rerum sicuti tradiderunt nobis hi, qui ab initio suis oculis viderunt, et ministri fuerunt sermonis, visum est et mihi, ut cuncta ab initio diligenter pervestigans ordine tibi scribam, strenue Theophile, quo agnoscas eorum quibus instructus es sermonum communitionem. » Qui fuerunt multi illi qui attentarunt? Pseudoapostoli. Multi enim tunc conscripserunt Evangelia, uti est quod vocant Evangelium secundum Ægyptios, et quod inscribitur Evangelium secundum duodecim. Tales itaque attentarunt duntaxat, sed non perfecerunt. Quia enim absque divina gratia cœperunt, propterea neque absolverunt. Bene igitur dixit Lucas, multi conati sunt : at pauci, ut Matthæus et Marcus, non tantum attentaverunt, sed et perfecerunt. Nam Spiritum sortiti erant, qui perfecta operatur. Res multis argumentis comprobatas dixit. Res enim Christi non simpliciter et nude traditæ sunt, sed vera et solida fide, et multorum argumentorum certitudine. Et quomodo, dic, Luca, multis argumentis comprobatæ sunt? Sicut tradiderunt nobis hi, qui ab initio suis oculis viderunt, et ministri fuerunt sermonis. Hinc manifestum est Lucam ab initio non fuisse discipulum, sed posterioribus temporibus. Alii enim ab initio didicerant, ut Petrus et filii Zebedæi, qui et tradiderunt huic quæcunque ipse non viderat, neque ipse audierat. Quid autem est quod dicit, quo agnoscas eorum, de 270 quibus edoctus es sermonum communitionem? Duos in hoc sensus habeo Unus quidem est hic: Prius te sine scriptis institui, o Theophile, nunc scriptum tibi trado Evangelium: atque ita mentem tuam munio, nt ne obliviscatur eorum quæ sine scriptis tradita sunt. Alter vero : Solemus nos homines sæpe quando quis nobis sine scripturis loquitur, suspicari ne forte quid mendacii admistum sit: quando autem etiam scribit quæ loquitur, tunc credimus quod non scripsisset, nisi vera se dicere confideret. Idcirco et evangelista dicit : Propterea scripsi tibi Evangelium, ut ea de quibus sine scriptis eruditus es, in majori securitate conserves, majorem mihi fidem nunc habens, qui adeo de his quæ non scripto docui. confidam, ut etiam scripturis prodere non formidarim. Attende item quod dicit, agnoscas, non, scias, hoc est, secundo majorem accipias scientiam et fiduciam ac securitatem quod non mentiar.

A

## ΠΡΟΟΙΜΙΟΝ.

« Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ απ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν · πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε · ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν, » Τίνες ἦσαν οἱ πολλοὶ οὗτοι οἱ ἐπιχειρήσαντες; Οἱ ψευδαπόστολοι · πολλοὶ γὰρ συνέγραψαν Εὐαγγέλια δῆθεν, οὐόν ἐστι τὸ κατ' Αἰγυπτίους, καὶ τὸ ἐπιγραφόμενον, Τῶν δώδεκα. Οἱ τοιοῦτοι οὖν ἐπεχείρησαν μόνον, οὐ μέντοι καὶ ἐτελείωσαν · ἐπεὶ γὰρ χωρὶς θείας χάριτος ἤρξαντο, διὰ τοῦτο οὐδὲ ἐτελείωσαν. Καλῶς οὖν εἶπεν ὁ Λουκᾶς, ὅτι οἱ πολλοὶ ἐπεχείρησαν · οἱ μέντοι B ὀλίγοι, οἷον ὁ Ματθαῖος, ὁ Μάρκος, οὐκ ἐπεχείρησαν μόνον, ἀλλὰ καὶ ἐτελείωσαν · τὸ γὰρ τελειοποιὸν πνεῦμα εἶχον. Πεπληροφορημένων δε εἶπε πραγμάτων · οὐ γὰρ ἁπλῶς κατὰ ψιλην παράδοσιν εἰσι τὰ τοῦ Χριστοῦ, ἀλλ' ἐν ἀληθείᾳ καὶ πίστει βεβαίᾳ καὶ μετὰ πάσης πληροφορίας. Πῶς δέ εἰσι πεπληροφορημένα ταῦτα, εἰπὲ, ὦ Λουκᾶ; Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου · ἐκ τούτου δῆλον, ὅτι οὐκ ἦν ὁ Λουκᾶς ἀπ' ἀρχῆς μαθητὴς, ἀλλ' ὑστερόχρονος · ἄλλοι γὰρ ἦσαν οἱ ἀπ' ἀρχῆς μαθητευθέντες · οἱ περὶ Πέτρον καὶ τοὺς τοῦ Ζεβεδαίου · οἳ καὶ παρέδοσαν αὐτῷ ὅσα οὐκ εἶδεν αὐτὸς, οὔτε αὐτήκοος ἐγένετο. Τί δέ ἐστι τὸ, ἵνα ἐπιγνῷς τὴν ἀσφάλειαν περὶ ὧν κατηχήθης; Διττὰ εἰς τοῦτο ἔχω νοήματα. Ἓν μὲν, ὅτι πρότερον μὲν ἀγρά- C φως σε κατήχησα, ὦ Θεόφιλε · νῦν δὲ ἐγγράφως σοι παραδιδοὺς τὸ Εὐαγγέλιον, ἀσφαλίζομαι τὸν σὸν λογισμὸν, ἵνα μὴ ἐπιλάθηται τῶν ἀγράφως παραδεδομένων. Ἕτερον δὲ τοιοῦτον · Οἱ ἄνθρωποι ἔθος ἔχομεν πολλάκις, ὅταν τις ἀγράφως λέγῃ ἡμῖν, ὑποπτεύειν τοῦτον ὡς τυχὸν ψευδόμενον · ὅταν δὲ καὶ γράψῃ ἃ λέγει, τότε πιστεύομεν, ὡς ἐὰν μὴ ἐθάῤῥει, ὅτι ἀληθῆ λέγει, οὐκ ἂν ἔγραφε. Τοῦτο οὖν καὶ ὁ εὐαγγελιστὴς φησιν, ὅτι, Διὰ τοῦτό σοι ἔγραψα τὸ Εὐαγγέλιον, ἵνα ἃ ἀγράφως κατηχήθης, ἐν ἀσφαλείᾳ πλείονι κατέχῃς. Πιστεύσας μοι μᾶλλον νυν, ὡς τοσοῦτον θαῤῥοῦντι ἐπὶ τοῖς ἀγράφοις, ὥστε καὶ ἐγγράφως ταῦτα ἐκθεῖναι · ὅρα δὲ καὶ τὸ, ἐπιγνῷς. Οὐ γὰρ εἶπε, γνῷς, ἀλλ', ἐπιγνῷς, τουτέστιν, ἐκ δευτέρου πλείονα γνῶσιν λάβῃς, καὶ θάῤῥος καὶ ἀσφάλειαν ὡς οὐ ψεύδομαι.

## ΚΕΦΑΛ. Α'.

Περὶ τῶν γονέων Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ τῆς αὐτοῦ γεννήσεως. Περὶ τοῦ ἀσπασμοῦ τοῦ ἀγγέλου πρὸς Μαριάμ. Περὶ τοῦ ἀσπασμοῦ τῆς Μαρίας πρὸς τὴν Ἐλισάβετ.

« Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιᾶ, καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρὼν· καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. » Μέμνηται τῆς βασιλείας Ἡρώδου, ἅμα μὲν, κατὰ τὸν τύπον τῶν προφητῶν διηγούμενος· ἐκεῖνοι γὰρ οὕτως ἄρχονται· Ἐν ταῖς ἡμέραις Ἰωάχαζ καὶ Ἐζεκίου, καὶ τοῦ δεῖνος, ἐγένετο τάδε· ἅμα δὲ ἐπεὶ περὶ τοῦ Χριστοῦ μέλλει εἰπεῖν, διὰ τοῦτο μέμνηται τοῦ Ἡρώδου, ἵνα δείξῃ ὅτι ἀληθῶς ἦλθεν ὁ Χριστὸς ἐπὶ Ἡρώδου. Οὗτος γὰρ ὁ Ἡρώδης, ἐκλιπόντων τῶν παρὰ τῶν Ἰουδαίων ἀρχόντων, ἐγένετο, ὡς ἡ τοῦ Ἰακὼβ προφητεία δηλοῖ. Ὅθεν δείκνυται ὁ Χριστὸς ἐλθών. Καὶ ἕτερον δέ τι κατορθοῖ· ἀληθὲς δείκνυσι τὸ Εὐαγγέλιον διὰ τοῦ λέγειν τὸν χρόνον. Ἐξουσίαν γὰρ δίδωσι τοῖς βουλομένοις ἐξετάζειν (96), καὶ ἀπὸ τοῦ χρόνου μανθάνειν τὴν τοῦ Εὐαγγελίου ἀλήθειαν· ἄρχεται δὲ ἀπὸ τοῦ Ζαχαρίου καὶ τῆς τοῦ Ἰωάννου γεννήσεως, εἰκότως· ἐπεὶ γὰρ περὶ τῆς τοῦ Χριστοῦ γεννήσεως μέλλει εἰπεῖν, Πρόδρομος δὲ τοῦ Χριστοῦ ὁ Ἰωάννης, εἰκότως πρὸ τῆς τοῦ Χριστοῦ γεννήσεως τὴν τοῦ Ἰωάννου διηγεῖται. Οὐδὲ αὐτὴν, ἄνευ θαύματος οὖσαν. Ἐπεὶ γὰρ Παρθένος ἔμελλε τεκεῖν, προῳκονόμησεν ἡ χάρις ἵνα γραῦς τέκῃ οὐ κατὰ νόμον φύσεως, εἰ καὶ μετὰ ἀνδρός. Τί δέ ἐστι τὸ, ἐξ ἐφημερίας Ἀβιᾶ; Τινὲς μὲν οὕτω νοοῦσιν, ὅτι δύο ἦσαν ἱερεῖς, ἐκ διαδοχῆς τὴν λειτουργίαν τελοῦντες· ὁ οὕτω λεγόμενος Ἀβιᾶ, καὶ ὁ Ζαχαρίας. Ἐπεὶ οὖν ἱεράτευσεν ἐν τῇ λειτουργίᾳ ὁ Ἀβιᾶ, μετὰ τὴν ἐκείνου ἐφημερίαν ἐλειτούργει ὁ Ζαχαρίας· δοκεῖ δὲ οὐχ οὕτως ἔχειν. Ὁ γὰρ Σολομὼν, τὸν ναὸν τελέσας, κατέστησε καὶ ἐφημερίας, ὅ ἐστιν ἑβδομάδας· καὶ ἐν μὲν τῇδε τυχὸν τῇ ἑβδομάδι κατέστησε τοὺς υἱοὺς Κορὲ, ἐν δὲ τῇδε, τὸν Ἀσάφ, ἐν δὲ τῇδε, τὸν Ἀβιᾶ, ἐν δὲ ἑτέρᾳ, ἕτερον. Ὅπερ οὖν λέγει ὅτι ἐν Ζαχαρίας ἐξ ἐφημερίας Ἀβιᾶ, οὕτω δεῖ νοεῖν, ὅτι ἀπὸ τῆς τοῦ Ἀβιᾶ ἑβδομάδος ἦν. Οὐχ ὅτι μετὰ τὴν τοῦ Ἀβιᾶ ἑβδομάδα παρελάμβανεν αὐτὸς τὴν λειτουργίαν· εἶπε γὰρ ἂν ὅτι μετὰ τὴν ἐφημερίαν Ἀβιᾶ· νῦν δὲ ἐξ ἐφημερίας Ἀβιᾶ εἰπὼν, παρίστησιν ὅτι ἐκ τῆς τάξεως τοῦ Ἀβιᾶ καὶ τῆς ἑβδομάδος ἦν· δεῖξαι δὲ θέλων ὅτι ἑκατέρωθεν νομίμως ἦν ἱερατικοῦ γένους ὁ Ἰωάννης, φησὶ, Καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών· οὐ γὰρ ἐξῆν ἀπ' ἄλλης φυλῆς ἀγαγέσθαι γυναῖκα, ἀλλ' ἀπὸ τῆς αὐτῆς· Ἐλισάβετ δὲ ἑρμηνεύεται, Θεοῦ ἀνάπαυσις· Ζαχαρίας δὲ, μνήμη Κυρίου.

« Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ. » Πολλάκις τινές εἰσι δίκαιοι, ἀλλ' οὐχ ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ κατὰ τὸ φαινόμενον, καὶ ἐνώπιον τῶν ἀνθρώπων· ἐκεῖνοι δέ γε ἐνώπιον τοῦ Θεοῦ ἦσαν τοιοῦτοι. « Πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου, ἄμεμπτοι. » Ἐντολαὶ μὲν, οἷον τὸ, Οὐ μοιχεύσεις, Οὐ κλέψεις· δικαιώματα δὲ, οἷον τὸ, Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω· δίκαιον γὰρ τοῦτο. Γίνωσκε δὲ, ὅτι δύναται καὶ ἡ ἐντολὴ δικαίωμα ὀνομάζεσθαι, ὡς δίκαιον

## CAPUT I.

*De parentibus Joannis Baptistæ et ejus nativitate. De salutatione angeli ad Mariam. De visitatione Mariæ ad Elisabeth.*

VERS. 5. « Erat in diebus Herodis regis Judææ, sacerdos quidam nomine Zacharias, de vice Abia, et uxor illius de filiabus Aaron, et nomen ejus Elisabeth. » Mentionem facit regni Herodis, tum ut narrando prophetarum formam servet: illi enim sic incipiunt : In diebus Joachaz et Ezechiæ, et illius cujuspiam, facta sunt hæc : tum quia de Christo dicturus est, ideo meminit Herodis, ut ostendat quod sub Herode vere venerit Christus. Hic enim Herodes fuit cum defecissent apud Judæos principes, juxta prophetiam Jacob. Unde monstratur quod Christus venerit. Sed et in hoc recte facit, quod ostendendo tempus. certius ostendit Evangelium. Copiam enim quærendi, si qui volent, et discendi Evangelii veritatem a tempore facit. Et incipit a Zacharia et nativitate Joannis : idque merito. Quando quidem enim de Christi nativitate dicturus erat, Christi autem præcursor esset Joannes: consentanee ante Christi nativitatem, Joannis narrat nativitatem, eamque non sine miraculo. Et quia virgo paritura erat, præordinavit Deus ut vetula pareret, non secundum legem naturæ, tametsi ex viro. Quid autem est, ex vice Abia? Intelligunt quidam sic, quod duo fuerint sacerdotes, successione ministerium perficientes, quorum unus Abia, alter autem Zacharias. Quia igitur sacerdotio functus erat Abia, post illius ministerium ministravit etiam Zacharias. Videtur 271 autem non sic esse. Salomon enim cum perfecisset templum, constituit et vices, hoc est hebdomadas : et in una constituit filios Chore, in alia Asaph, in alia Abia, in alia alium. Igitur quod dicit fuisse de vice Abia, sic oportet intelligere, quod de hebdomade Abia fuerit. Non quod post hebdomadam Abia functus sit ministerio: dixisset enim, post hebdomadam Abia: nunc autem cum dixit. de vice Abia, ostendit quod ex ordine et hebdomade Abiæ fuerit. Ostendere autem volens quod ex utroque parente legitime fuerit ex sacerdotali genere Joannes, dicit, Et uxor ejus de filiabus Aaron. Non enim licebat ex alia tribu uxorem ducere, sed ex eadem. Elisabeth interpretatur, *Dei quietem* : Zacharias autem, *memoriam Domini*.

VERS. 6. « Erant autem ambo justi coram Deo » Quidam justi sæpe sunt, at non coram Deo, sed in speciem tantum, et coram hominibus : illi autem etiam coram Deo justi erant. « Ambulantes in omnibus præceptis et justificationibus Domini irreprehensibiles » Mandata quidam sunt, ut ne occidas, ne adulterium committas : justificationes autem, ut qui maledixerit patri, vel matri, morte moriatur. Justum enim hoc. Scito autem quod et mandatum justificatio nominari potest, utpote

**Ex collatione codd. Venet. S. Marci.**

(96) Cod. 32, ἐξετάζειν εἰκότως.

justum faciens hominem, imo et Dei justificatio exsistens. In die enim illa, quasi scriptam quamdam justificationem habens Deus ipsa mandata, condemnat nos. Nisi enim venissem, inquit, et locutus essem eis, peccatum non habuissent. Et iterum: Sermo quem locutus sum eis, ille eos condemnabit. Quare autem cum dixit, ambulantes in omnibus mandatis, adjunxit, irreprehensibiles? Audi. Multi ambulant in lege Dei, sed omnia faciunt ut videantur ab hominibus. Tales igitur non sunt irreprehensibiles. Sed Zacharias et fecit mandata, et citra reprehensionem fecit, non ut hominibus placeat talia faciens.

Vers. 7. « Nec erat illis proles, eo quod Elisabeth sterilis esset et ambo provectæ jam ætatis essent. » Justorum mulieres et justæ, sæpe steriles fuerunt, ut discas legem non exigere corporalium filiorum procreationem, sed spiritualium. Provectæ autem ætatis ambo erant, tam corpore, quam anima. Etenim juxta animam profecerant[5] et progressi erant, ponentes ascensiones in corde, et diem habentes, sed non noctem vitam: ut in luce honeste agentes.

Vers. 8-10. « Factum est autem cum sacerdotio fungeretur Zacharias in ordine vicis suæ coram Deo, secundum consuetudinem functionis sacerdotalis, sors illi obvenit ut odores incenderet ingressus in templum Domini, et omnis multitudo populi precabatur foris tempore thymiamatis. » Coram Deo mundi soli **272** sacerdotio funguntur, ab impuris autem avertit Deus faciem suam. Quando autem sors illi obvenit ut incenderet odores? Vel omnino secundum tempus deprecationis, quando solus in Sancta sanctorum ingrediebatur summus sacerdos: ut discamus quod quemadmodum summus sacerdos iste ingressus in Sancta sanctorum fructum accepit, sic et Dominus Jesus ipse solus et revera summus sacerdos ingressus in Sancta sanctorum, hac est in cœlum cum carne, fructum accepit suæ, quæ in carne erat, visitationis nostram salutem et in filios adoptionem.

Vers. 11. « Apparuit autem illi angelus Domini stans a dextris altaris thymiamatis. » Non omnibus apparet angelus, sed mundis corde, qualis erat Zacharias. Altare autem thymiamatis dixit, quia erat et alterum altare holocaustorum.

Vers. 12-14. « Et turbatus est Zacharias, illo viso, ac timor irruit super eum. Dixit autem ad eum angelus: Ne timeas, Zacharia, quoniam exaudita est deprecatio tua: uxorque tua Elisabeth pariet tibi filium, et vocabis nomen ejus Joannem: et erit gaudium tibi et exsultatio, multique in nativitate ejus gaudebunt. » Turbatur quidem Zacharias. Insolitæ enim visiones etiam sanctos turbant. Verum angelis confestim turba-

ποιοῦσα τὸν ἄνθρωπον, μᾶλλον δὲ καὶ τοῦ Θεοῦ οὖσα δικαίωμα. Ἐν γὰρ τῇ ἡμέρᾳ ἐκείνῃ ὥσπερ τι δικαίωμα ἔγγραφον, ἔχων ὁ Θεὸς τὰς ἐντολὰς, κατακρίνει ἡμᾶς. Εἰ μὴ ἦλθον γὰρ, φησὶ, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· καὶ πάλιν, Ὁ λόγος ὃν ἐλάλησα αὐτοῖς, ἐκεῖνος αὐτοὺς κρινεῖ. Τίνος δὲ ἕνεκεν πρόσκειται τῷ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς, τὸ, ἄμεμπτοι; Ἄκουε· πολλάκις τινὲς πορεύονται ἐν τῷ νόμῳ τοῦ Θεοῦ, ἀλλὰ πάντα ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· οὔκουν ἄμεμπτοι οἱ τοιοῦτοι· ὁ δὲ Ζαχαρίας καὶ ἔπραττε τὰς ἐντολὰς, καὶ ἀμέμπτως ἔπραττε, μὴ διὰ τὸ ἀρέσαι τοῖς ἀνθρώποις ταύτας τελῶν.

« Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθ' ὅτι ἡ Ἐλισάβετ ἦν στεῖρα· καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. » Αἱ τῶν δικαίων γυναῖκες, καὶ αἱ δίκαιαι, πολλάκις ἄτεκνοι· ἵνα σὺ μάθῃς, ὅτι ὁ νόμος οὐκ ἀπαιτεῖ πολυτεκνίαν σωματικὴν, ἀλλὰ πνευματικήν. Προβεβηκότες δὲ ἦσαν ἀμφότεροι, καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὸ πνεῦμα· καὶ γὰρ καὶ κατὰ ψυχὴν προέβησαν, τουτέστι προέκοψαν, ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενοι, καὶ ἡμέραν ἔχοντες, ἀλλ' οὐ νύκτα τὸν βίον, ὡς ἐν φωτὶ περιπατοῦντες εὐσχημόνως.

« Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν ναὸν τοῦ Κυρίου· καὶ πᾶν τὸ πλῆθος ἦν τοῦ λαοῦ προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. » Ἔναντι Θεοῦ οἱ καθαροὶ μόνοι ἱερατεύουσιν· ἀπὸ δὲ τῶν μὴ καθαρῶν ἀποστρέφει ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ. Πότε δὲ ἔλαχε τοῦ θυμιάσαι; Ἢ πάντως κατὰ τὸν καιρὸν τοῦ ἱλασμοῦ, ὅτε μόνος εἰσήρχετο εἰς τὰ Ἅγια τῶν ἁγίων ὁ ἀρχιερεύς· ἵνα μάθωμεν ὅτι ὥσπερ ὁ ἀρχιερεὺς οὗτος, εἰσελθὼν εἰς τὰ Ἅγια τῶν ἁγίων ἔλαβε καρπὸν, οὕτω καὶ ὁ Κύριος Ἰησοῦς ὁ μόνος καὶ μέγας τῷ ὄντι ἀρχιερεὺς, εἰσελθὼν εἰς τὰ Ἅγια τῶν ἁγίων, τουτέστιν, εἰς τὸν οὐρανὸν μετὰ σαρκὸς, ἔλαβε καρπὸν τῆς ἐνσάρκου αὐτοῦ ἐπιδημίας, τὴν ἡμετέραν υἱοθεσίαν καὶ σωτηρίαν.

« Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. » Οὐ πᾶσι φαίνεται ὁ ἄγγελος, ἀλλὰ τοῖς καθαροῖς τῇ καρδίᾳ, οἷος ἦν ὁ Ζαχαρίας. Θυσιαστήριον δὲ τοῦ θυμιάματος εἶπεν, ἐπεὶ ἦν καὶ ἕτερον θυσιαστήριον, τὸ τῶν ὁλοκαυτωμάτων.

« Καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· Μὴ φοβοῦ, Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· καὶ ἔσται χαρά σοι καὶ ἀγγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. » Ταράττεται μὲν ὁ Ζαχαρίας. Ἀσυνήθης γὰρ ὄψις καὶ τοὺς ἁγίους ταράττει. Ἀλλ' ὁ ἄγγελος καταστέλλει τὴν ταραχήν· πανταχοῦ γὰρ

[5] Psal. LXXXIII, 1.

τοῦτο ἔσχε γνώρισμα τῶν τε ἀπὸ τοῦ Θεοῦ ὀπτασιῶν, καὶ τῶν δαιμονικῶν· εἰ μὲν γὰρ ἀπὸ ταραχῆς ἄρξεται ὁ λογισμὸς, καὶ τελευταῖον καταστῇ, συντόμως λυομένου τοῦ φόβου, ὄντως θεία ἡ ὀπτασία. Εἰ δὲ ἐπιτείνεται μᾶλλον ὁ φόβος καὶ ἡ ταραχὴ, ἡ ὀπτασία δαιμονιώδης. Τίνος δὲ ἕνεκέν φησιν ὁ ἄγγελος ὅτι « Εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει σοι; » Μὴ γὰρ ὁ Ζαχαρίας περὶ παιδὸς ηὔχετο; ἀλλὰ περὶ τῶν ἁμαρτιῶν τοῦ λαοῦ; Φασὶν οὖν τινες ὅτι, ἐπειδὴ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ ηὔχετο, ἔμελλε δὲ τίκτειν υἱὸν βοῶντα, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, εἰκότως λέγει πρὸς αὐτὸν ὁ ἄγγελος, ὅτι Εἰσηκούσθη ἡ δέησίς σου ὑπὲρ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ λαοῦ. Υἱὸν γὰρ γεννήσεις δι' οὗ ἄφεσις ἔσται τῶν ἁμαρτιῶν. Τινὲς δὲ οὕτω νοοῦσιν, ὅτι, Εἰσηκούσθη ἡ δέησίς σου, ὦ Ζαχαρία, καὶ συνεχώρησεν ὁ Θεὸς τὰς ἁμαρτίας τῷ λαῷ· εἶτα ὥσπερ εἰπόντος αὐτοῦ, Πόθεν δῆλον τοῦτο; φησὶν ὁ ἄγγελος, ὅτι, Τοῦτό σοι δίδωμι σημεῖον, ὅτι γεννήσει σοι υἱὸν ἡ Ἐλισάβετ· ὥστε ἀπὸ τοῦ γεννῆσαι τὴν Ἐλισάβετ, πιστευθήσεταί σοι καὶ τὸ ἀφεθῆναι τὰς ἁμαρτίας τῷ λαῷ.

« Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ· καὶ Πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ· καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν· καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. » Μέγαν ἔσεσθαι τὸν Ἰωάννην ἐπαγγέλλεται ὁ ἄγγελος, ἀλλ' ἐνώπιον τοῦ Κυρίου· πολλοὶ γὰρ μεγάλοι λέγονται ἐνώπιον τῶν ἀνθρώπων, καὶ οὐ τοῦ Θεοῦ· οἷοι οἱ ὑποκριταί· μέγας δὲ ὁ Ἰωάννης κατὰ ψυχήν· ὥσπερ καὶ μικρὸς κατὰ ψυχὴν πᾶς ὁ σκανδαλιζόμενος· οὐδεὶς γὰρ μέγας σκανδαλίζεται, ἀλλ' οἱ μικροὶ καὶ ὀλιγόψυχοι. Φησὶ γοῦν ὁ Κύριος· Ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν. Ὥσπερ δὲ οἱ τεκόντες τὸν Ἰωάννην, δίκαιοι ἦσαν ἐνώπιον τοῦ Θεοῦ, οὕτω καὶ ὁ παῖς αὐτῶν μέγας ἐνώπιον τοῦ Κυρίου· σίκερα δὲ λέγεται πᾶν τὸ μέθην ἐμποιεῖν δυνάμενον, οὐκ ὂν δὲ ἐξ ἀμπέλου. Ἐν τῇ κοιλίᾳ δὲ τῆς μητρὸς ὢν ἔτι, ἐπλήσθη Πνεύματος ἁγίου· ὅτε ἦλθεν ἡ Μήτηρ τοῦ Κυρίου πρὸς τὴν Ἐλισάβετ, καὶ ἐσκίρτησε τὸ βρέφος ἀγαλλιώμενον διὰ τὴν τοῦ Κυρίου παρουσίαν. Ἐπέστρεψε δὲ καρδίας πατέρων ἐπὶ τέκνα, τουτέστι, τῶν Ἑβραίων ἐπὶ τοὺς ἀποστόλους· πατέρας μὲν γὰρ ἦσαν οἱ Ἰουδαῖοι· τέκνα δὲ τούτων οἱ ἀπόστολοι. Ἐπέστρεψεν οὖν τὰς καρδίας τῶν Ἰουδαίων ἐπὶ τοὺς ἀποστόλους, διδάσκων περὶ τοῦ Χριστοῦ καὶ μαρτυρῶν· ὁ δὲ περὶ τοῦ Χριστοῦ μαρτυρῶν, πάντως ἀξιοπίστους ποιεῖ καὶ τοὺς μαθητὰς αὐτοῦ· οὐ πάντας δὲ ἐπέστρεψεν ὁ Ἰωάννης, ἀλλὰ πολλούς· ὁ μέντοι Κύριος πάντας ἐφώτισεν· ἐν Πνεύματι δὲ Ἠλιοῦ προῆλθε, καθὸ ὥσπερ εἰς Ἠλίαν ἡ χάρις ἐνήργησεν, οὕτω καὶ εἰς Ἰωάννην· ὅ τε γὰρ Ἠλίας τῆς δευτέρας παρουσίας πρόδρομος, καὶ ὁ Ἰωάννης

A tionem sedat. Ubique enim hoc indicio discernuntur visiones quæ a Deo, et quæ a diabolo. Nam si mens primum turbetur, et statim timor solvatur, et iterum quiescat, revera divina est visio. Si autem timor ac turbatio magis atque magis crescant dæmoniaca est visio. Quare angelus dicit: Exaudita est deprecatio tua, et uxor tua Elisabeth pariet tibi »? Nam Zacharias non pro filio precatus est, sed pro peccatis populi. Dicunt igitur quidam quod quoniam pro peccatis populi orabat, futurum autem quod generaret filium qui clamaret, Ecce agnus Dei, qui tollit peccatum mundi: merito dicit ad illum angelus: Quoniam exaudita est deprecatio tua pro remissione peccatorum populi. Filium enim generabis, per quem remissio erit B peccatorum. Alii autem sic intelligunt: Quoniam exaudita est deprecatio tua, Zacharia, et remisit Deus peccata populo. Deinde quasi ille dixisset angelo: Unde hoc manifestum? dicit angelus: Hoc tibi signum do, quod pariet tibi filium Elisabeth, et ita per puerperium Elisabeth credibile tibi sit remissa esse peccata populo.

VERS. 15-17. « Erit enim magnus coram Domino, ac vinum et siceram non bibet: et Spiritu sancto replebitur jam inde ab utero matris suæ, multosque ex filiis Israel convertet ad Dominum Deum ipsorum: et ipse præcedet ante illum cum spiritu ac virtute Heliæ, ut convertat corda patrum in filios, et inobedientes ad prudentiam justorum: ut paret Domino plebem præparatam. » Magnum fore Joan- C nem prædicit angelus, sed coram **273** Domino: multi enim dicuntur magni coram hominibus, at non item coram Deo, ut hypocritæ. Magnus autem Joannes juxta animam, sicut et parvus juxta animam dicitur omnis qui scandalizatur. Nullus enim magnus scandalizatur, sed parvi, et pusillanimes. Dicit igitur Dominus: Qui scandalizaverit unum ex parvis[6]. Quemadmodum autem hi qui genuerunt Joannem, justi fuerunt coram Deo, sic et puer ipsorum magnus coram Domino. Sicera autem dicitur omne quod inebriare potest, et non est ex vite. Cum autem esset adhuc in utero matris repletus est Spiritu sancto, quando Mater Domini venit ad Elisabeth, et exsultavit præ gaudio infans propter adventum Domini. Porro convertit corda D patrum ad filios, hoc est, Hebræorum ad apostolos. Patres enim fuerunt Judæi, illorum autem filii apostoli. Convertit igitur corda Judæorum ad apostolos, docens et testificans de Christo Qui autem de Christo testatur omnino fide dignos facit et discipulos ipsius Non omnes convertit Joannes, sed multos: Christus autem omnes illuminavit. At in spiritu Eliæ præcessit. Sicut enim in Elia efficax fuit gratia, ita et in Joanne. Et sicut Elias secundi adventus præcursor, ita et Joannes primi. In virtute autem Eliæ, eo quod idem possunt adventus amborum; ambo enim ad Christum congregant. Et

[6] Matth. XVIII, 16.

aliter, in virtute ac spiritu Heliæ venit Joannes, eo quod eremita fuit etiam ipse, et frugalis vitæ, et arguens sicut ille. Convertit autem et incredulos Judæos ad prudentiam justorum, hoc est, apostolorum doctrinam. Prudentia autem apostolorum gratia est Spiritus in illis, a qua gubernabantur. Præparavit quoque Domino, id est Christo, plebem præparatam, hoc est capacem ad suscipiendam prædicationem, ut exempli gratia quando veniebat propheta quispiam prædicans, non omnes credebant, sed qui præparati erant, et qui seipsos ad hoc accommodabant. Nam sicut si quis noctu veniat in domum, non omnes illum excipiunt, sed qui vigiles sunt exspectantque, et ad excipiendum parati sunt : sic et Joannes præparavit Domino populum, non incredulum quidem, sed elaboratum et præparatum ad suscipiendum Dominum.

A τῆς πρώτης. Καὶ ἐν δυνάμει δὲ Ἠλιοῦ, καθὸ τὸ αὐτὸ δύνανται αἱ παρουσίαι ἀμφοτέρων, τοῦ τε Ἠλιοῦ καὶ τοῦ Ἰωάννου· πρὸς γὰρ τὸν Χριστὸν συνάγουσι. Καὶ ἄλλως δὲ ἐν δυνάμει καὶ πνεύματι Ἠλιοῦ ἦλθεν ὁ Ἰωάννης, διότι ἐρημίτης ἦν καὶ αὐτὸς, καὶ ἀπέριττος, καὶ ἐλεγκτικὸς ὡς ἐκεῖνος. Ἐπέστρεψε δὲ καὶ τοὺς ἀπειθεῖς Ἰουδαίους ἐν τῇ φρονήσει τῶν δικαίων, τουτέστι, τῇ τῶν ἀποστόλων διδασκαλίᾳ· φρόνησις γὰρ τῶν ἀποστόλων, ἡ ἐν αὐτοῖς τοῦ Πνεύματος χάρις, ὑφ' ἧς ἐκυβερνῶντο. Ἡτοίμασε δὲ τῷ Κυρίῳ, τουτέστι τῷ Χριστῷ, λαὸν κατεσκευασμένον, τουτέστιν, ἐμπαράσκευον πρὸς τὸ ὑποδέξασθαι τὸ κήρυγμα· οἷόν τι λέγω· Ἐπειδὰν ἔλθοι τις προφήτης κηρύττων, οὐ πάντες ἐπίστευον, ἀλλ' οἱ κατ-
B εσκευασμένοι, τουτέστιν, οἱ προετοιμάσαντες ἑαυτοὺς εἰς τοῦτο. Ὥσπερ γὰρ ἐὰν ἔλθοι τις εἰς οἰκίαν νυκτὸς, οὐ πάντες αὐτὸν ὑποδέχονται, ἀλλ' οἱ ἐγρηγορότες καὶ προσδοκῶντες αὐτὸν καὶ ἑτοιμασθέντες εἰς τὸ ὑποδέξασθαι· οὕτω καὶ ὁ Ἰωάννης ἡτοίμασε τῷ Κυρίῳ λαὸν, ἀλλ' οὐ τὸν ἀπειθῆ, τὸν δὲ κατεσκευασμένον, ὅ ἐστι προητοιμασμένον, εἰς ὑποδοχὴν τοῦ Χριστοῦ.

VERS. 18-20. « Et dixit Zacharias ad angelum : Quo argumento cognoscam illud? Ego enim sum senex, et uxor mea provectæ ætatis est. At respondens angelus, dixit ei : Ego sum Gabriel, qui astiti in conspectu Dei, missusque sum ut loquar ad te, et hæc tibi læta nuntiem. Et ecce futurum est ut sis tacitus, nec fari possis ad eum usque diem quo hæc fiant, eo quod non credidisti verbis meis, quæ implebuntur in tempore suo. » Tametsi justus 274 esset Zacharias et sanctus, respiciens tamen ad prodigiosam generationem filii, non facile credebat. Idcirco et angelus suam dignitatem dicit: Ego sum Gabriel, qui astiti in conspectu Dei, non seductor dæmon, sed angelus Dei. Igitur quia discredis, ego te faciam surdum, et loqui non poteris. Merito autem duo hæc passus est, et quod non audiret, et non loqueretur. Quia enim non obedierat; condemnatur ut surdus sit: et quia contradixerat, ut sileat. Verumtamen præfigurabat etiam ea quæ Judæis evenerunt. Nam sicut hic senex et sterilis et incredulus peperit filium prophetis majorem : ita et Judæorum congregatio sacerdotio inveterato quamvis esset sterilis, incredula et inobediens, Verbum tamen Dei, hoc est Dominum prophetarum peperit in carne : quo nato, hi qui prius inobedientes erant, ad fidem et confessionem pervenerunt.

« Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· Κατὰ τί γνώσομαι τοῦτο; Ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ· Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα· καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρις ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν και-
C ρὸν αὐτῶν. » Εἰ καὶ δίκαιος ἦν ὁ Ζαχαρίας καὶ ἅγιος, ὅμως πρὸς τὸ τεράστιον τῆς παιδοποιΐας ἀποβλέπων, οὐκ εὐκόλως ἐπίστευε. Διὸ καὶ ὁ ἄγγελος τὸ οἰκεῖον ἀξίωμα λέγει, ὅτι, Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς τῷ Θεῷ· οὐ πλάνος δαίμων, ἀλλ' ἄγγελος Θεοῦ. Ἐπεὶ οὖν ἀπιστεῖς, ἔσο κωφεύων καὶ μὴ δυνάμενος λαλῆσαι· εἰκότως δὲ τὰ δύο ταῦτα ἔπαθε, τὸ μήτε ἀκούειν μήτε λαλεῖν· ὡς μὲν γὰρ παρακούσας, καταδικάζεται κώφευσιν· ὡς δὲ ἀντειπὼν, σιωπήν. Πλὴν προετύπου καὶ τὰ κατὰ τοὺς Ἰουδαίους. Ὥσπερ γὰρ οὗτος γέρων καὶ ἄκαρπος, καὶ ἀπιστήσας, ἔτεκεν υἱὸν μείζονα τῶν προφητῶν, οὕτω καὶ ἡ τῶν Ἰουδαίων συναγωγὴ καὶ ἱερωσύνη παλαιωθεῖσα, καὶ ἄκαρπος καὶ ἄπιστος καὶ παρήκοος γενομένη, ὅμως τὸν Λόγον τοῦ Θεοῦ, τὸν Δεσπότην τῶν προφητῶν,
D ἔτεκεν ἐν σαρκί· οὗ τεχθέντος, οἱ πρώην παρήκοοι εἰς πίστιν καὶ εὐφωνίαν μετῆλθοσαν.

VERS. 21-23. « Et erat populus exspectans Zachariam, et mirabantur quod moraretur in templo. Egressus autem non poterat loqui illis. Et cognoverunt quod visionem vidisset in templo. Et ipse innuebat illis, permansitque mutus. Et accidit, ut impleti sunt dies officii ejus, abiit in domum suam. » Vides quomodo Judæi exspectabant et permanebant donec exiret summus sacerdos? At nos Christiani, nisi mox ut ingressi fuerimus in templum, statim egrediamur, existimamus male nobiscum agi. Innuebat autem populo Zacharias, forte roganti silentii causam : quia enim loqui non poterat, per nutum significabat. Vide item quod non abiit in domum

« Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν, καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ ναῷ· ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ. Καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός. Καὶ ἐγένετο, ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. » Ὁρᾷς πῶς οἱ μὲν Ἰουδαῖοι προσεδόκων καὶ περιέμενον ἕως οὗ ἐξέλθοι ὁ ἀρχιερεύς; Ἡμεῖς δὲ οἱ Χριστιανοὶ, ἅμα τῷ εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν, εἰ μὴ ἐξέλθοιμεν, δεινόν τι πάσχειν νομίζομεν. Διένευε δὲ τῷ λαῷ ὁ Ζαχαρίας, ἴσως ἐρωτῶντι τὴν αἰτίαν τῆς σιωπῆς· μὴ δυνάμενος γὰρ λαλῆσαι, διὰ νεύματος ἐδήλου ταύτην. Ὅρα δὲ ὅτι

καὶ ἕως οὗ ἐτελέσθησαν αἱ ἡμέραι τῆς λειτουργίας A αὐτοῦ, οὐκ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, ἀλλὰ προσήδρευε τῷ ναῷ· ἀπῴκιστο μὲν γὰρ ἡ ὀρεινὴ ἀληθῶς καὶ ἀπεῖχε τῆς Ἱερουσαλήμ· πλὴν ἀλλ' εἰ καὶ ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις εἶχε τὸν οἶκον ὁ ἱερεύς, οὐκ ἐξῆν αὐτῷ ἔξω τῆς αὐλῆς τοῦ ναοῦ ἀπελθεῖν κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτοῦ· ἡμεῖς δὲ, φεῦ! πῶς καταφρονοῦμεν τῶν θείων ὑπηρεσιῶν! Τὸ δὲ μὴ δύνασθαι μὲν λαλεῖν τὸν Ζαχαρίαν, διανεύειν δὲ τῷ λαῷ, τὴν τῶν Ἰουδαίων ἄλογον πολιτείαν δηλοῖ· ἀποκτείναντες γὰρ τὸν Λόγον, οὐ δύνανται λόγον ἀποδοῦναι περὶ ὧν πράττουσιν ἢ λέγουσιν, ἀλλὰ κἂν προφητικόν τι αὐτοὺς ἐρωτᾷς, ἐπιστομίζονται, καὶ οὐ δύνανταί σοι λόγον καὶ ἀπόκρισιν ἀποδοῦναι.

« Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας B πέντε, λέγουσα ὅτι, Οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. » Σώφρων οὖσα ἡ Ἐλισάβετ, ᾐδεῖτο, καὶ διὰ τοῦτο περιέκρυπτεν ἑαυτὴν, διὰ τὸ ἐν γήρᾳ συλλαβεῖν· ἐπὶ μῆνας δὲ πέντε περιέκρυπτεν ἑαυτὴν, ἕως οὗ καὶ ἡ Μαρία συλλάβοι· ἀφ' οὗ δὲ καὶ ἐκείνη συνέλαβε, καὶ ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, οὐκ ἔτι ἔκρυπτεν ἑαυτὴν, ἀλλὰ καὶ ἐπαῤῥησιάσατο ἄν, ὡς τοιούτου παιδὸς μήτηρ, καὶ πρὶν ἢ γεννηθῆναι προφητικῇ ἀξίᾳ τετιμημένου.

« Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρὲτ, πρὸς παρθένον μεμνηστευμένην ἀν- C δρὶ, ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου Δαβίδ. Καὶ τὸ ὄνομα τῆς παρθένου, Μαριάμ. Καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν, εἶπε· Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξίν. Ἡ δὲ ἰδοῦσα, διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος· καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. » Μῆνα ἕκτον λέγει τὸν ἀπὸ τῆς συλλήψεως Ἰωάννου. Λέγει δὲ μεμνηστεῦσθαι τὴν παρθένον ἀνδρὶ ἐξ οἴκου Δαβίδ, ἵνα δείξῃ, ὅτι καὶ αὐτὴ ἐκ τοῦ γένους τοῦ Δαβὶδ κατήγετο· ἐκ γὰρ τοῦ αὐτοῦ γένους καὶ τῆς αὐτῆς σειρᾶς εἶναι ἀμφότερα τὰ μέρη, νόμος ἦν. Ἐπειδὴ δὲ τῇ Εὔᾳ ὁ Κύριος εἶπεν, Ἐν λύπαις τέξῃ τέκνα, λύει τὴν λύπην ταύτην ἡ χαρὰ, ἣν ὁ ἄγγελος προσφέρει τῇ Παρθένῳ, λέγων· Χαῖρε, κεχα- D ριτωμένη· ἐπεὶ δὲ κεκατήρατο ἡ Εὔα, εὐλογημένη αὕτη ἀκούει· διελογίζετο δὲ περὶ τοῦ ἀσπασμοῦ ποταπὸς εἴη οὗτος, μὴ ἄρα ἄτοπός τις καὶ πορνικὸς, ὡς ἐξ ἀνδρὸς πρὸς κόρην, ἢ θεῖος· ἐπειδὴ καὶ Θεοῦ μνήμη σύνεστι τῷ ἀσπασμῷ, τὸ, Ὁ Κύριος μετὰ σοῦ. Πρῶτον δὲ καταστέλλει τὴν καρδίαν αὐτῆς ἀπὸ τοῦ φόβου· ὡς ἂν ἐν ἀταραξίᾳ γενομένη, δέξηται τὴν θείαν ἀπόκρισιν· οὐ γὰρ ἐνεδέχετο ταραττομένην αὐτὴν, ἀκριβῶς ἀκούειν τὰ συμβησόμενα· ὅπερ δὲ ἄνω εἶπε, κεχαριτωμένη, ὥσπερ ἑρμηνεύων φησίν· Εὗρες γὰρ χάριν ἐνώπιον τοῦ Θεοῦ· τοῦτο γὰρ ἐστι τὸ κεχαριτῶσθαι, τὸ εὑρεῖν χάριν παρὰ τῷ Θεῷ, τουτέστιν, ἀρέσαι Θεῷ· ἀλλὰ τοῦτο μὲν κοινὸν πολ-

6* Gen. III, 16.

suam, donec impleti essent dies ministerii sui, asseditque templo. Aberat enim vere a Jerusalem montania regio. Quamvis autem et Hierosolymis domum habuisset, non licuisset tamen ei extra ambitum templi per tempus vicis suæ exire. Nos autem, proh pudor! quam contemnimus divina mysteria! Cæterum quod Zacharia non potest loqui, sed innuit populo significat irrationalem Judæorum vitam : quia ubi occiderunt Verbum, non possunt rationem reddere de his quæ vel dicunt vel faciunt. Et si quid propheticum interrogaveris, obmutescunt, et non possunt tibi vel sermonem vel responsum dare.

VERS. 24, 25. «Post hos autem dies concepit Elisabeth uxor ejus, et occultabat se mensibus quinque, dicens : Sic fecit mihi Dominus in diebus quibus me respexit, ut auferret probrum meum inter homines. » Elisabeth, quoniam casta erat, erubescebat, et propterea occultabat se, eo quod senex concepisset. Mensibus autem quinque occultavit se, donec Maria conciperet. Ubi autem illa concepit, et exsultavit infans in utero, non ultra se occultavit, sed libere ivit, utpote tanti pueri qui etiam antequam nasceretur, prophetarum dignitate fuit honoratus.

VERS. 26-30. «In mense autem sexto missus est angelus **275** Gabriel a Deo in civitatem Galilææ cui nomen Nazareth, ad virginem desponsatam viro cui nomen erat Joseph, de domo David, ac nomen virginis Maria. Et ingressus angelus ad eam dixit : Gaude, gratiosa, Dominus tecum, benedicta tu in mulieribus. Illa vero cum vidisset, turbata est super sermone ejus, et cogitabat qualis esset illa salutatio. Et dixit angelus ei : Ne timeas, Maria, invenisti enim gratiam apud Deum. » Mensem sextum dicit a tempore quo conceptus fuit Joannes. Dicit autem desponsatam virginem viro qui erat de domo David, ut ostenderet et ipsam ex genere David descendisse ; juxta legem enim conjuges ex eodem genere et eadem cognitionis catena prognatos esse oportebat. Quia autem Evæ dictum erat a Domino, ut in tristitiis pariat filios6*, solvit tristitiam illam in gaudium, quod angelus Virgini afferens dicit : Gaude, gratiosa. Et quia maledicta fuit Eva, hæc dicitur benedicta. Considerabat autem de salutatione, qualisnam esset, num absurda et procatrix, ac qualis viri ad puellam, an divina : quia et Dei mentio inter salutandum facta, cum diceretur, Dominus tecum. Primum autem timorem a corde ipsius repellit, ut in quiete constituta divinum responsum accipiat. Neque enim fieri potest ut turbata diligenter audiat quæ eventura sunt. Porro id quod supra dixit, gratiosa, quasi interpretans dicit: Invenisti enim gratiam coram Domino. Hoc enim est gratiosam esse, vel gratificatam, quod invenerit gratiam apud Deum, hoc est, placuerit Deo. Verum

hoc commune habet cum multis. Multæ enim et aliæ invenerunt gratiam coram Deo, non autem id quod infertur.

VERS. 31-33. «Ecce concipies in utero, et paries filium, et vocabis nomen ejus Jesum. Is erit magnus, et Filius Altissimi vocabitur. Et dabit illi Dominus Deus sedem David patris ipsius, regnabitque super domum Jacob in æternum: et regni ejus non erit finis.» Ecce concipiens, hoc singulare, quod nulli alteri concessum. In utero autem dixit, ut ostendat Dominum ex ipsius virginis utero incarnatum substantialiter. Bene autem dictus est Jesus, quia ob salutem nostri generis venit. Nomen enim hoc in Græcam linguam conversum, dicitur salus. Jesus igitur Σωτὴρ est, hoc est salvator: quia et ἰαώ salus dicitur. Erit autem, inquit, magnus, et Filius Altissimi vocabitur. Magnus quidem fuit et Joannes, sed non ad hoc Altissimi Filius. Jesus vero magnus quidem, eo quod docuit: Filius autem Altissimi, et propter istuc ipsum: docebat enim sicut auctoritatem habens: et propter mirabilium miraculorum operationem. Vocatur autem Filius Altissimi, qui apparebat homo. Nam quia una fuit hypostasis, revera Filius Altissimi fuit Filius virginis. Et fuit quidem **276** ante sæcula Filius Altissimi Verbum, sed non vocabatur neque cognoscebatur; postquam autem incarnatum est et apparuit in carne, tunc et vocatum est Filius Altissimi, qui apparebat et miracula faciebat. Audiens vero thronum vel sedem David, ne putes sensibile quoddam regnum, sed divinum, quo regnavit super omnes gentes per divinam prædicationem. Domus enim Jacob sunt hi qui ex Hebræis crediderunt, atque etiam qui ex aliis gentibus. Illi enim proprie Jacob et Israel. Et quomodo dicitur sedere super sedem David? Audi. David parvus erat inter fratres suos, et Dominus quoque contemptus et taxatus ut edax et vini potor, et fabri filius, et a fratribus suis filiis Joseph despiciebatur. Neque enim fratres ejus, inquit, credebant in eum. Ille cum benefaceret, persecutionem patiebatur: et Dominus quoque miracula faciens accusabatur et lapidabatur. Ille per mansuetudinem vicit et regnavit, et Dominus per mansuetudinem suscepta cruce regnavit. Vides quomodo dicatur sedere super sedem David? Nam sicut David sensibile regnum suscepit, ita et Dominus spirituale, cujus regni non erit finis. Non enim finis regni Christi, hoc est, agnitionis Dei et Christianismi. Nam et cum persecutionem patimur, gratia Christi floremus.

VERS. 34, 35. «Dixit autem Maria ad angelum: Quomodo erit istud, quando quidem virum non cognosco? Et respondens angelus, dixit ei: Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi: quapropter et quod nascetur sanctum, vocabitur Filius Dei.» Non quasi discredens Virgo dixit: Quomodo erit mihi istud? sed ut prudens et intelligens, ut discat, modum inquirit. Non enim

A λαὶ γὰρ καὶ ἄλλαι εὗρον χάριν παρὰ τῷ Θεῷ, τὸ δὲ ἐπιφερόμενον οὐκ ἔτι.

«Καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· οὗτος ἔσται μέγας καὶ Υἱὸς Ὑψίστου κληθήσεται. Καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ. Καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.» Ἰδοὺ συλλήψῃ· τοῦτο τὸ ἐξαίσιον, οὗ οὐδεμία ἄλλη κατηξιώθη· ἐν γαστρὶ δὲ εἶπεν, ἵνα δείξῃ τὸν Κύριον ἐξ αὐτῆς τῆς νηδύος τῆς Παρθένου σαρκωθέντα οὐσιωδῶς· δικαίως δὲ ἐκλήθη Ἰησοῦς ὁ ἐπὶ σωτηρίᾳ τοῦ ἡμετέρου γένους ἐλθών· τὸ γὰρ ὄνομα τοῦτο, B εἰς τὴν Ἑλλάδα γλῶσσαν μεταβαλλόμενον, Θεοῦ λέγεται σωτηρία· Ἰησοῦς οὖν Σωτὴρ ἑρμηνεύεται, ὅτι καὶ ἰαὼ ἡ σωτηρία λέγεται. Ἔσται δὲ, φησὶ, μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται. Μέγας μὲν ἦν καὶ ὁ Ἰωάννης, ἀλλ' οὐκ ἔτι καὶ Υἱὸς Ὑψίστου· ὁ δέ γε Σωτὴρ, μέγας μὲν, καθὸ ἐδίδασκεν. Υἱὸς δὲ Ὑψίστου, διά τε τοῦτο αὐτὸ (ἐδίδασκε γὰρ ὡς ἐξουσίαν ἔχων), καὶ διὰ τὴν τῶν θαυμάτων παραδοξοποιΐαν· καλεῖται δὲ Υἱὸς Ὑψίστου ὁ φαινόμενος ἄνθρωπος· ἐπεὶ γὰρ μία ἦν ὑπόστασις, τῷ ὄντι Υἱὸς Ὑψίστου ἦν ὁ ἄνθρωπος ὁ Υἱὸς τῆς Παρθένου. Ἦν μὲν γὰρ καὶ πρὸ τῶν αἰώνων Υἱὸς Ὑψίστου ὁ Λόγος, ἀλλ' οὐκ ἐκαλεῖτο, οὐδὲ ἐγνωρίζετο· ἐπεὶ δὲ ἐσαρκώθη καὶ ἐφανερώθη ἐν σαρκὶ, τότε δὴ καὶ ἐκλήθη Υἱὸς Ὑψίστου, ὁ φαινόμενος καὶ τὰ θαύματα ποιῶν. C Θρόνον δὲ Δαυῒδ ἀκούων, μὴ αἰσθητὴν βασιλείαν νόμιζε, ἀλλὰ θείαν· ἣν ἐβασίλευσεν ἐπὶ πάντα τὰ ἔθνη διὰ τοῦ θείου κηρύγματος· οἶκος γὰρ Ἰακὼβ, καὶ οἱ ἐξ Ἑβραίων πιστεύσαντες· ναὶ μὴν καὶ οἱ ἀπὸ τῶν ἄλλων ἐθνῶν· οὗτοι γὰρ κυρίως, Ἰακὼβ καὶ Ἰσραήλ. Πῶς δὲ λέγεται καθίσαι ἐπὶ τὸν θρόνον Δαυΐδ; Ἄκουε· Ὁ Δαυΐδ, μικρὸς ἐν τοῖς ἀδελφοῖς αὐτοῦ· καὶ ὁ Κύριος ἐξουθενημένος, καὶ διαβεβλημένος ὡς φάγος καὶ οἰνοπότης καὶ τέκτονος υἱὸς, καὶ παρὰ τοῖς ἀδελφοῖς αὐτοῦ, τοῖς υἱοῖς Ἰωσὴφ, ἀτιμαζόμενος· οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ, φησὶν, ἐπίστευον εἰς αὐτόν· ἐκεῖνος εὐεργετῶν ἐδιώκετο· καὶ ὁ Κύριος, θαύματα ποιῶν διεβάλλετο, καὶ ἐλιθάζετο. Ἐκεῖνος διὰ πρᾳότητος ἐνίκησε καὶ ἐβασίλευσε, D καὶ ὁ Κύριος, διὰ πρᾳότητα σταυρὸν καταδεξάμενος· ἐβασίλευσεν. Ὁρᾷς πῶς λέγεται καθίσαι ἐπὶ τὸν θρόνον Δαυΐδ; Ὡς γὰρ ὁ Δαυΐδ τὴν αἰσθητὴν βασιλείαν ἔλαβεν, οὕτω καὶ ὁ Κύριος τὴν νοητήν· ἧς οὐκ ἔσται τέλος· οὐκ ἔσται γὰρ τέλος τῆς βασιλείας τοῦ Χριστοῦ, τουτέστι, τῆς θεογνωσίας καὶ τοῦ Χριστιανισμοῦ. Καὶ διωκόμενοι γὰρ, λάμπομεν χάριτι Χριστοῦ.

«Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; Καὶ ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐτῇ· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι, διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ.» Οὐχ ὡς ἀπιστήσασα ἡ Παρθένος, εἶπε τὸ, Πῶς ἔσται μοι τοῦτο; ἀλλ' ὡς σοφὴ καὶ συνετὴ, ἐπιζητοῦσα μαθεῖν τὸν τρόπον τοῦ πράγματος· οὐδὲ γὰρ γέγονε

τι τοιοῦτον πρότερον, οὐδὲ μετὰ ταῦτα γενήσεται. Διὸ A καὶ συγγινώσκει αὐτῇ ὁ ἄγγελος, καὶ οὐ κατακρίνει ὡς τὸν Ζαχαρίαν, ἀλλὰ μᾶλλον ἑρμηνεύει τὸν τρόπον. Ὁ μὲν γὰρ Ζαχαρίας εἰκότως καταδικάζεται. Εἶχε γὰρ πολλὰ παραδείγματα, ὅτι περ καὶ πολλαὶ στεῖραι ἔτεκον· ἡ δὲ Παρθένος οὐδὲν εἶχε παράδειγμα· Πνεῦμα οὖν, φησὶν, ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, γόνιμον παρασκευάζον τὴν μήτραν σου, καὶ δημιουργοῦν τὴν σάρκα τῷ ὁμοουσίῳ Λόγῳ· δύναμις δὲ Ὑψίστου, ὁ Υἱὸς τοῦ Θεοῦ, Χριστὸς γὰρ Θεοῦ δύναμις, ἐπισκιάσει σοι, τουτέστιν, ἐπισκεπάσει σε, πάντοθέν σε περικυκλώσει. Ὡς γὰρ ὄρνις ἐπισκιάζει τὰ νοσσία ἑαυτῆς ὅλα ταῖς πτέρυξιν αὐτῆς περιλαμβάνουσα, οὕτω καὶ ἡ τοῦ Θεοῦ δύναμις ὅλην περιέλαβε τὴν Παρθένον· καὶ τοῦτό ἐστι τὸ ἐπισκιάσαι. Ἄλλος δὲ B τις τυχὸν ἐρεῖ, ὅτι ὥσπερ ὁ ζωγράφος πρῶτον σκιάζει, εἶτα τέλειον χρωματουργεῖ, οὕτω καὶ ὁ Κύριος, αὐτὸς ἑαυτῷ τὴν σάρκα δημιουργῶν, καὶ τὴν εἰκόνα τοῦ ἀνθρώπου διαπλάττων πρῶτον ἐσκίασε ταύτην ἐν τῇ μήτρᾳ τῆς Παρθένου, ἐκ τῶν αἱμάτων τῆς ἀειπαρθένου σάρκα συμπήξας, εἶτα κατ' ὀλίγον μορφώσας αὐτήν. Ἀλλὰ τοῦτο ἀμφίβολον· οἱ μὲν γὰρ λέγουσιν, ὅτι ἅμα τῷ τὸν Κύριον ἐπισκιάσαι τῇ μήτρᾳ τῆς Παρθένου, εὐθὺς τέλειον ἦν τὸ βρέφος, οἱ δὲ οὐ παραδέχονται τοῦτο. Ἄκουε γὰρ τί φησι· Διὸ καὶ τὸ γεννώμενον ἅγιον, τουτέστι, τὸ κατὰ μέρος ἐν τῇ μήτρᾳ σου αὐξανόμενον, καὶ οὐχ εὐθὺς τέλειον ὑπάρξαν. Ἐμφράττεται δὲ καὶ ἐντεῦθεν τὸ στόμα τοῦ Νεστορίου· ἐκεῖνος γὰρ εἶπεν ὅτι, Οὐχ ὁ Υἱὸς τοῦ Θεοῦ ἐν τῇ μήτρᾳ τῆς Παρθένου οἰκήσας C ἐσαρκώθη, ἀλλ' ἄνθρωπος ψιλὸς ἐκ τῆς Μαρίας γεννηθεὶς, ὕστερον ἔσχε τὸν Θεὸν παρεπόμενον αὐτῷ. Ἀκουέτω οὖν ὅτι τὸ γεννώμενον ἐν τῇ μήτρᾳ, ἐκεῖνο ἦν Υἱὸς Θεοῦ· ἀλλ' οὐχ ἄλλο μὲν ἐκυοφορεῖτο ἐν τῇ μήτρᾳ, ἄλλος δὲ ὁ Υἱὸς τοῦ Θεοῦ· ἀλλὰ εἷς καὶ ὁ αὐτὸς ἦν, ὁ τῆς Παρθένου τε καὶ τοῦ Θεοῦ Υἱός. Ὅρα δὲ πῶς τὴν ἁγίαν Τριάδα ἐξέφηνε, Πνεῦμα ἅγιον, δύναμιν τὸν Υἱὸν, Ὕψιστον, τὸν Πατέρα ὀνομάσας.

« Καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ, ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Εἶπε δὲ Μαριάμ· Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου· καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος. » Ἀπορήσειεν ἄν τις πῶς ἦν συγγενὴς τῆς Παρθένου ἡ Ἐλισάβετ D εἴγε ἡ μὲν Παρθένος ἐκ τῆς Ἰούδα φυλῆς ἦν, ἡ δὲ Ἐλισάβετ, ἐκ τῶν θυγατέρων Ἀαρών· ὁ γὰρ νόμος ἐκέλευεν ἀπὸ τῆς αὐτῆς φυλῆς τοὺς γάμους γίνεσθαι· ὥστε καὶ αἱ συγγένειαι ἐν τοῖς ἀπὸ τῆς αὐτῆς φυλῆς οὖσιν εὑρίσκονται. Ἔστι μὲν οὖν εἰπεῖν καὶ ὅτι ἀπὸ τῆς αἰχμαλωσίας συνεχέθησαν τὰ γένη· τὸ δὲ κρεῖττον, τοῦτο. Ἀαρὼν γυναῖκα ἠγάγετο Ἐλισάβετ, θυγατέρα οὖσαν τοῦ Ἀμιναδάβ, ὃς ἦν ἐκ τῆς Ἰούδα φυλῆς. Ὁρᾷς ὅτι ἄνωθεν καὶ ἀπὸ Ἀαρὼν, συγγενὴς ἦν ἡ Θεοτόκος τῆς Ἐλισάβετ; Ἐπεὶ γὰρ ἡ τοῦ Ἀαρὼν γυνὴ ἐκ τῆς Ἰούδα κατήγετο φυλῆς, ἀφ' ἧς ἦν καὶ ἡ Θεοτόκος, ἡ δὲ Ἐλισάβετ ἐκ τῶν θυγατέρων Ἀαρὼν, εἰκότως συγγενὴς τῆς Θεοτόκου ἡ Ἐλισάβετ· ἡ γὰρ προμήτωρ αὐτῆς, τουτέστιν, ἡ

prius tale quiddam factum est, neque posthac fiet. Ideo et ignoscit ei angelus, et non condemnat ut Zachariam, sed magis modum docet. Nam Zacharias merito condemnatur, habuit enim exempla multa, quandoquidem et multæ steriles pepererunt: Virgini autem nullum exemplum erat. Spiritus itaque, dicit, sanctus veniet super te, fecundum reddens uterum tuum, et condens carnem consubstantiali Verbo. Virtus vero Altissimi Filius est Dei. Christus enim Dei virtus est. Obumbrabit tibi, hoc est conteget te, hoc est, undique te circumdabit. Sicut avis obumbrat pullos suos totos alis suis complectens, ita et divina virtus totam virginem apprehendit, et hoc est obumbrare. Alius autem quispiam fortassis dicet, quod sicut pictor primum delineat, et umbras inducit, et deinde perfectum colorem addit, ita et Dominus ipse sibi carnem condens, et imaginem hominis formans, primum delineavit illam in utero Virginis, compacta ex sanguinibus semper virginis carne, quam deinde paulatim figuravit: sed hoc dubium Sunt enim qui dicunt quod ubi Dominus obrumbavit **277** uterum virginis, statim perfectus fuerit infans; alii autem hoc non recipiunt. Audi enim quid dicat, Ideo et quod nascetur sanctum, hoc est, quod particulatim in utero crescit, et non statim perfectum existit. Confunditur autem et hoc loco Nestorius. Ille enim dixit quod non fuerit Filius Dei in utero virginis quiescens, incarnatus: sed nudus homo e virgine fuerit natus, posteaque habuerit Deum factum sibi comitem. Audiat igitur quod illud quod nascebatur in utero, erat Filius Dei. Et non alius quidem fœtus est uteri, alius autem Filius Dei, sed unus et idem fuit Filius Virginis, et Filius Dei. Vide item quomodo sanctam Trinitatem declaravit, dicens Spiritum sanctum, virtutem Filium, Altissimum, Patrem.

VERS. 36-38. « Atque ecce Elisabeth cognata tua et ipsa concepit filium in senectute sua, et hic mensis est sextus illi quæ dicebatur sterilis: quia non erit impossibile apud Deum omne verbum. Dixit autem Maria: Ecce ancilla Domini, fiat mihi secundum verbum tuum. Ac discessit ab illa angelus. » Dubitaverit fortasse quispiam quomodo Elisabeth cognata fuerit Mariæ. Virgo enim ipsa ex tribu Juda fuit, Elisabeth autem de filiabus Aaron. Nam lex præcepit conjuges ex eadem tribu esse: et ita cognationes ex una tribu erant. Dicendum igitur quod a captivitate confusa sunt genera. Et melius ita dicitur: Aaron uxorem duxit Elisabeth, quæ filia fuit Aminadab, qui fuit ex tribu Juda. Vides quod ab initio et ab Aaron cognata fuit Elisabeth Dei Genitrix? Quia enim uxor Aaron ex Juda descendit, e qua tribu fuit Dei Genitrix, et Elisabeth fuit ex filiabus Aaron, merito Dei Genitrix cognata dicitur Elisabeth, nam proava ejus, hoc est uxor Aaron, fuit ex tribu Juda. Considera autem et cognationis consequentiam. Elisabeth Aaron

uxor, Elisabeth etiam Zachariæ uxor, tanquam ex illa descendens. Sed videamus quid dicat Virgo: « Ecce ancilla Domini, fiat mihi secundum verbum tuum. » Tabula sum pictoria, pingat pictor quod voluerit, faciat Deus quod voluerit Atque ita etiam quod prius dixerat : Quomodo erit hoc? non fuit incredulitatis, sed desiderii addiscendi modum. Nam si discredidisset, neutiquam dixisset : « Ecce ancilla Domini, fiat mihi secundum verbum tuum. » Disce autem quod Gabriel, siquis interpretatur, idem est quod homo Deus. Maria vero, domina, Nazareth autem, sanctificatio. Merito igitur cum nasci voluit Deus homo, missus est Gabriel, hoc est homo Dei. Sed in sancto loco fit salutatio, hoc est in Nazareth. Ubi enim Deus, ibi nihil impurum, nihil non sanctum.

VERS. 39-42. « Exsurgens autem Maria in diebus his, abiit in montana cum festinatione in civitatem Juda, et intravit in domum Zachariæ, ac salutavit Elisabeth. **278** Et factum est, ut audivit salutationem Mariæ Elisabeth, saliit infans in utero ejus, et repleta est Spiritu sancto Elisabeth, exclamavitque voce magna, et dixit : Benedicta tu inter mulieres, et benedictus fructus ventris tui. » Cum audisset Virgo ab angelo quod concepisset Elisabeth, statim abiit ad illam, et gaudens de bono cognatæ, et volens ut prudentissima majore certitudine certior reddi num vera dixisset qui apparuerat ei, ut ex hoc nec de suo dubitaret Prudens enim cum esset, timebat ne forte deciperetur, et non ut incredula, sed ut diligens rem explorare volebat Zacharias itaque in montanis habitat, et propterea illuc abiit. At Joannes suscepto singulari supra reliquos homines dono vel munere, exsultat in utero matris: unde et major est prophetis. Nam alii quidem prædixerunt futura postquam nati sunt : ille autem cum adhuc esset in utero matris, gratiam talem assecutus fuit. Vide enim : salutavit Virgo Elisabetham, hoc est, prior allocuta est. Vox itaque Virginis vox erat incarnati in illa Dei, et idcirco etiam Præcursorem in utero gratia prosecutus est, et prophetam fecit. Quæcunque enim dixit Elisabeth prophetice ad Mariam, non verba fuerunt Elisabeth, sed infantis : os autem Elisabeth tantum ministravit, sicut et os Mariæ ministravit Filio Dei qui in utero ejus erat. Quippe cum exsultasset puer in utero, tunc impleta est Spiritu Elisabeth. Nisi enim puer exultasset, non prophetasset illa. Itaque sicut dicunt prophetas primum mente excedere et divinum quid pati, ac tum denique prophetizare : ita et Joannes forte prius saltavit ut divinum quid dam patiens, postea per os matris prophetizavit. Quid autem prophetizavit? « Benedicta tu in mulieribus. » Deinde quia multæ sanctæ mulieres pepererunt improbos, ut Rebecca Esau, dicit : Sed et fructus ventris tui benedictus. Aliter quoque intelligi potest : Benedicta tu in mulieribus, deinde vel-

A τοῦ Ἀαρὼν γυνή, ἐκ τῆς Ἰούδα φυλῆς ἦν. Σκόπει δὲ καὶ τὸ τῆς συγγενείας παρακολούθημα· Ἐλισάβετ, ἡ τοῦ Ἀαρὼν γυνή· Ἐλισάβετ, καὶ ἡ τοῦ Ζαχαρίου, ὡς ἐξ ἐκείνης καταγομένη. Ἀλλ' ἴδωμεν τί φησιν ἡ Παρθένος· « Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. » Πίναξ εἰμὶ ζωγραφικός· ὃ βούλεται ὁ γραφεύς, γραφέτω· ὃ θέλει, ποιείτω ὁ Κύριος· ὥστε καὶ ὃ εἶπε πρότερον, Πῶς ἔσται μοι τοῦτο; οὐκ ἀπιστίας ἦν, ἀλλ' ἐπιθυμίας τοῦ μαθεῖν τὸν τρόπον· εἰ γὰρ ἠπίστει, οὐκ ἂν εἶπεν. « Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. » Μάνθανε δὲ ὅτι Γαβριὴλ μὲν ἑρμηνεύεται, ἄνθρωπος Θεός· Μαριὰμ δὲ, κυρία· Ναζαρὲτ δὲ, ἁγιασμός. Εἰκότως οὖν ὅταν ἔμελλε γενέσθαι ὁ Θεὸς ἄνθρωπος, ἀποστέλλεται ὁ Γαβριήλ, ὃς ἑρμηνεύεται ἄνθρωπος
B Θεός· ἀλλὰ καὶ ἐν ἁγίῳ τόπῳ γίνεται ὁ ἀσπασμὸς, τουτέστιν, ἐν Ναζαρέτ· ὅπου γὰρ Θεὸς, οὐδὲν ἄναγνον.

« Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. » Ἡ Παρθένος ἀκούσασα παρὰ τοῦ ἀγγέλου, ὅτι συνέλαβεν ἡ Ἐλισάβετ, ἔδραμε πρὸς ἐκείνην, ἅμα μὲν χαίρουσα ἐπὶ τῷ ἀγαθῷ τῆς συγγενοῦς, ἅμα δὲ καὶ ὡς συνετωτάτη, πληροφορηθῆναι θέλουσα τελείως, εἰ ἀληθῆ εἶπεν ὁ φανεὶς αὐτῇ, ἵνα ἐκ τούτου καὶ περὶ τοῦ
C οἰκείου μὴ ἀμφιβάλλῃ. Ἀσφαλὴς γὰρ οὖσα, ἐφοβεῖτο μήπως πλανηθῇ· καὶ οὐχ ὡς ἀπιστοῦσα, ἀλλ' ὡς ἀκριβέστερον μαθεῖν βουλομένη τὸ πρᾶγμα. Ἐν τῇ ὀρεινῇ οὖν ᾤκει ὁ Ζαχαρίας, καὶ διὰ τοῦτο ἔδραμεν ἐκεῖ· ὁ δὲ Ἰωάννης, ἐξαίρετόν τι χάρισμα παρὰ τοὺς λοιποὺς ἀνθρώπους λαβὼν, σκιρτᾷ ἐν τῇ κοιλίᾳ τῆς μητρὸς, ὅθεν καὶ μείζων τῶν προφητῶν. Οἱ μὲν γὰρ, μετὰ τὸ γεννηθῆναι προεφήτευσαν, ὁ δὲ ἔτι ἐν τῇ κοιλίᾳ τῆς μητρὸς ὢν, ἠξιώθη τοῦ τοιούτου χαρίσματος. Ὅρα γάρ· ἠσπάσατο ἡ Παρθένος τὴν Ἐλισάβετ, τουτέστι προσηγόρευσεν. Ἡ φωνὴ οὖν τῆς Παρθένου τοῦ ἐν αὐτῇ σαρκουμένου Θεοῦ φωνὴ ἦν· καὶ διὰ τοῦτο καὶ τὸν Πρόδρομον ἐν τῇ μήτρᾳ ἐχαρίτωσε, καὶ ἐποίησε προφητεῦσαι· ὅσα γὰρ εἶπεν ἡ Ἐλισάβετ προφητικῶς πρὸς τὴν Μαρίαν,
D οὐ τῆς Ἐλισάβετ ἦσαν ῥήματα, ἀλλὰ τοῦ βρέφους· τὸ στόμα δὲ μόνον τῆς Ἐλισάβετ ὑπούργει, ὥσπερ καὶ τὸ στόμα τῆς Μαρίας ὑπούργησε τῷ ἐν τῇ μήτρᾳ αὐτῆς ὄντι Υἱῷ τοῦ Θεοῦ· σκιρτήσαντος γὰρ τοῦ βρέφους ἐν τῇ γαστρὶ, τότε ἐπλήσθη Πνεύματος ἡ Ἐλισάβετ. Εἰ μὴ γὰρ τὸ βρέφος ἐσκίρτησεν, οὐκ ἂν προεφήτευσεν αὕτη· ὥσπερ οὖν φασι τοὺς προφήτας πρότερον ἐξισταμένους καὶ ἐνθουσιῶντας, εἶτα προφητεύειν, οὕτω τάχα καὶ ὁ Ἰωάννης πρότερον ἐσκίρτησεν, οἷον ἐνθουσιῶν, εἶτα διὰ τοῦ στόματος τῆς μητρὸς προεφήτευσε· τί δὲ προεφήτευσεν; « Εὐλογημένη σὺ ἐν γυναιξίν. » Εἶτα ἐπειδὴ πολλαὶ

γυναῖκες ἅγιαι βεβήλους ἔτεκον, ὡς ἡ Ῥεβέκκα τὸν Ἡσαῦ, φησὶν ὅτι, Ἀλλὰ καὶ ὁ καρπὸς τῆς κοιλίας σου εὐλογημένος· καὶ ἄλλως δὲ νοηθήσεται, Εὐλογημένη σὺ ἐν γυναιξίν· εἶτα ὥσπερ ἐρωτήσαντός τινος, διατί; λέγει τὴν αἰτίαν. Εὐλογημένος γὰρ ὁ καρπὸς τῆς κοιλίας σου, τουτέστι, Θεὸς γὰρ ὁ καρπὸς τῆς κοιλίας σου, εὐλογημένος γὰρ μόνος ὁ Θεός· ὡς καὶ ὁ Δαυῒδ λέγει· Εὐλογημένος ὁ ἐρχόμενος· εἴωθε γὰρ ἡ Γραφὴ τὸν, καὶ, σύνδεσμον ἀντὶ τοῦ, γὰρ, παραλαμβάνειν· ὡς τὸ, Δὸς ἡμῖν βοήθειαν, καὶ ματαία σωτηρία ἀνθρώπου, ἀντὶ τοῦ, Ματαία γὰρ σωτηρία ἀνθρώπου· καὶ πάλιν, Σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν, ἀντὶ τοῦ, Ἡμεῖς γὰρ ἡμάρτομεν. Καρπὸν δὲ τῆς κοιλίας εἶπε τῆς Θεοτόκου τὸν Κύριον, διότι ἄνευ ἀνδρὸς ἡ κύησις· οἱ μὲν γὰρ ἄλλοι παῖδες τῶν πατέρων εἰσὶ καρποὶ, ὁ δὲ Χριστὸς μόνης τῆς κοιλίας τῆς Θεοτόκου καρπός· μόνη γὰρ αὐτὸν ἐκυοφόρησεν.

« Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός μέ; Ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. » Ὥσπερ ὕστερον ἐλθόντα τὸν Χριστὸν εἰς τὸ βαπτισθῆναι ὁ Ἰωάννης ἐκώλυε δι' εὐλάβειαν, λέγων· Οὐκ εἰμὶ ἄξιος, οὕτω καὶ νῦν διὰ τῆς μητρὸς αὐτοῦ φθέγγεται Πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρὸς μέ; πρὶν ἢ τέκῃ τὸν Κύριον, μητέρα τὴν κυοφοροῦσαν ὀνομάζων. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων, πρὶν ἢ τέκωσιν, οὐ χρὴ μητέρας ὀνομάζειν διὰ τὸν φόβον τῆς ἀμβλώσεως, τουτέστι τῆς ἀποβολῆς. Ἐπὶ δὲ τῆς Παρθένου οὐδὲν τοιοῦτον ὑπωπτεύετο. Διὰ τοῦτο καὶ πρὸ τοῦ τεκεῖν μήτηρ καὶ μακαρία ὑπάρχεις σὺ, ὦ Μαρία, ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις σοι παρὰ Κυρίου.

« Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον· καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαὶ, ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός· καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. » Ἡ Παρθένος τελεώτερον πληροφορηθεῖσα, δοξολογεῖ τὸν Θεὸν, ἐκείνῳ ἐπιγράφουσα τὸ θαῦμα, οὐχ ἑαυτῇ. Ἐκεῖνος γὰρ, φησὶν, ἐπέβλεψεν ἐπ' ἐμὲ τὴν ταπεινὴν, οὐκ ἐγὼ πρὸς ἐκεῖνον ἀνέβλεψα· ἐκεῖνός με ἠλέησεν, οὐκ ἐγὼ αὐτὸν ἐζήτησα· καὶ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· οὐ μόνη Ἐλισάβετ, ἀλλὰ καὶ αἱ τῶν πιστευσάντων γενεαί. διατι δὲ μακαριοῦσιν; Ἆρα διὰ τὴν ἐμὴν ἀρετήν; Οὐχί· ἀλλ' ὅτι ἐποίησε μετ' ἐμοῦ μεγαλεῖα ὁ Θεός. Δυνατὸν δὲ ὠνόμασεν αὐτὸν, ἵνα μηδεὶς ἀπιστήσῃ τοῖς λεγομένοις, λογισάμενος ὅτι οὐκ ὁδυνατός ἐστι ταῦτα ποιῆσαι ὁ Κύριος. Ἅγιον δὲ εἶπε τὸ ὄνομα αὐτοῦ, δηλοῦσα ὅτι οὐδὲν μολύνεται ἐν γυναικὸς μήτρᾳ συλλαμβανόμενος ὁ καθαρώτατος, ἀλλ' ἅγιος μένει. Οὐκ εἰς ἐμὲ δὲ μόνην τὸ ἔλεος αὐτοῦ, ἀλλὰ καὶ εἰς πάντας τοὺς φοβουμένους αὐτόν· οἱ γὰρ μὴ φοβούμενοι αὐτὸν, ἀλλὰ πάντῃ ἀνάξιοι, οὐκ

ut quispiam interroget quare? ipsam causam dicit : Benedictus enim fructus ventris tui, hoc est, Deus enim est fructus ille ventris tui Benedictus enim solus Deus, sicut et David dicit, Benedictus qui venit. Consuevit enim Scriptura conjunctionem, *et*, pro, *enim* accipere : ut, Da nobis auxilium, et vana salus hominis : hoc est, Vana enim salus hominis. Et iterum : Tu iratus fuisti, et nos peccavimus, hoc est, nos enim peccavimus. Fructum autem ventris Dei Genitricis dicit Dominum, et ideo sine viro conceptum. Pueri enim alii fructus sunt patrum : Christus vero solius ventris Mariæ fructus : ipsa enim sola hunc fructum protulit.

VERS. 43-45. « Et unde hoc mihi, ut veniat Mater Domini mei ad me? Ecce enim ut facta est vox salutationis tuæ in auribus meis, exsultavit præ gaudio infans **279** in utero meo. Et beata quæ credidit, quoniam perficientur ea quæ dicta sunt ei a Domino. » Sicut postea Joannes Christum, cum venisset ut baptizaretur, prohibuit propter reverentiam, dicens : Ego non sum dignus [7], sic et nunc per matrem suam loquitur : Unde mihi hoc, ut veniat mater Domini mei ad me? priusquam pariat Dominum, matrem vocans eam, quæ in utero gerebat. Alias enim priusquam pariant, non solemus matres vocare propter metum abortiendi : in virgine autem nihil tale suspicari oportebat. Et idcirco priusquam parias, mater et beata es tu, o Maria, quæ credidisti, quia implebuntur ea quæ a Domino tibi dicta sunt.

VERS. 46-50. « Et ait Maria : Magnificat anima mea Dominum, et exsultavit spiritus meus in Deo Salvatore meo. Quia respexit ad humilitatem ancillæ suæ, ecce enim ex hoc beatam me dicent omnes generationes. Quia fecit mihi magnifica qui potens est, et sanctum nomen ejus. Et misericordia ejus in progeniem et progeniem timentibus eum. » Virgo certior reddita de fœtu concepto glorificat Deum, illi miraculum attribuens, non sibiipsi. Ille enim, dicit, respexit in me humilem, non ego ad illum respexi. Ille me prosecutus est misericordia, ego illum non quæsivi. Et ex hoc tempore beatam me dicent omnes generationes : non sola Elisabeth, sed et eorum generatio qui crediderint. Quare autem beatam me dicent? Non propter meam virtutem, sed quia fecit mecum magna qui potens est. Potentem autem nominat Deum, ut ne quis discredat his quæ a se dicuntur, considerans quod Deus illa facere potens sit. Porro sanctum nomen ejus vocat declarans quod non inquinetur mundissimus ille in utero conceptus, sed sanctus maneat. Neque in me sola est misericordia ejus, sed in omnes qui timent illum. Qui enim non timent ipsum, sed omnino indigni sunt, non assequuntur misericordiam. In

[7] Matth. III, 14.

generationem autem et generationem dicens esse misericordiam Dei, ostendit quod misericordiam assequentur et in præsenti sæculo, et in futuro, nempe æterno. Nam hic centuplum accipiunt, et illic longe amplius. Attende autem quod primum magnificat anima Dominum, et deinde spiritus exsultat: ut simile quid dicam, magnificat Deum, qui digne juxta Deum ambulat. Vocatus es Christianus, non attenuans nomen et dignitatem Christi faciendo quod non oportet, sed magnificans operando magna, cœlestiaque opera. Et tunc etiam spiritus tuus exsultabit, hoc est, spirituale donum quod accepisti per egregia opera, exsultabit et proficiet. Et non contrahetur, et, ut ita dicam, mortificabitur. Scias præterea videri Scripturam simpliciter idem dicere spiritum et animam [8], proprie tamen differt. Animalem enim **280** hominem dicit eum qui juxta naturam vivit, et humanis rationibus regitur, siquando esuriens comedat, odio habeat inimicum, et in summa, si nihil supra hominem appareat. Spiritualem vero, qui transcendit leges naturæ, et non humano more sapit. Et hæc est differentia animæ et spiritus in Scriptura. Medici forsitan hæc aliter discernunt, sed nobis Sciptura cordi est, medici vero valeant.

VERS. 51-56. « Fecit robur in brachio suo, dispersit superbos cognatione cordis ipsorum. Detraxit potentes de sedibus, et exaltavit humiles. Esurientes implevit bonis, et divites dimisit inanes. Suscepit Israel puerum suum, ut memor esset misericordiæ. Sicut locutus est ad patres nostros, Abraham, et semini ejus, in sæculum. Mansit autem Maria cum illa mensibus circiter tribus, et reversa est in domum suam. » Brachium patris, Filius. Fecit igitur robur et virtutem ac potentiam contra naturam Deus et Pater in Filio suo. Incarnato enim Filio, victa est natura, Virgine pariente, Deo homine facto: homine vero deificato. Et dispersit Dominus superbos dæmones, ejectis illis ex humanis animabus, et aliis quidem in abyssum missis, aliis autem in porcos Poterit autem et de Judæis intelligi, quos dispersit in omnem regionem: et nunc dispersi sunt. Porro detraxit etiam potentes de sedibus, dæmones dico, qui contra homines prævaluerunt, et sedes in humanis habebant pectoribus, in illis requiescentes. Sicut et Pharisæi potentes, nimirum ea quæ pauperum, deripientes, et cathedras habent ut doctores, a quibus depositi sunt. Et exaltavit humiles, homines quos humiliaverat peccatum, vel gentes. Exaltavit autem adoptatis illos in filios. Igitur sicut et esurientes dicere licet eosdem gentiles, utpote non habentes vel Scripturas, vel legem, vel mandata, quos implevit bonis Scripturarum ita et Judæos divites et in lege, ac in mandatis, quos etiam emisit extra terrenam et cœlestem

A ἐλεοῦνται. Εἰς γενεὰν δὲ καὶ γενεὰν εἰποῦσα εἶναι τὸ ἔλεος τοῦ Θεοῦ, τοῦτο ἐδήλωσεν, ὅτι καὶ ἐν τῇ νῦν γενεᾷ ἐλεοῦνται, τουτέστι τῷ νῦν αἰῶνι· καὶ ἐν τῇ μελλούσῃ γενεᾷ, τῷ ἀπεράντῳ λέγω αἰῶνι· κἀνταῦθα γὰρ ἑκατονταπλασίονα λαμβάνουσι, κἀκεῖσε πολλῷ πλείονα. Πρόσχες δὲ ὅτι πρότερον μεγαλύνει ἡ ψυχὴ τὸν Κύριον, εἶτα τὸ πνεῦμα ἀγαλλιᾶται· οἷόν τι λέγω· Μεγαλύνει τὸν Θεὸν ὁ ἀξίως τοῦ Θεοῦ πορευόμενος. Χριστιανὸς ἐκλήθης, μὴ σμικρύνῃς τὸ ἀξίωμα τοῦ Χριστοῦ καὶ τὸ ὄνομα, διὰ τοῦ πράττειν τὰ μὴ δέοντα, ἀλλὰ μεγάλυνον αὐτὸ, μεγάλας καὶ οὐρανίους πράξεις τελῶν· καὶ τότε καὶ τὸ πνεῦμά σου ἀγαλλιάσεται, τουτέστι τὸ πνευματικὸν χάρισμα, ὃ ἔλαβες διὰ τῶν μεγάλων πράξεων, σκιρτήσει καὶ προκόψει· ἀλλ' οὐ συσταB λήσεται καὶ, οἷον εἰπεῖν, νεκρωθήσεται. Γίνωσκε δὲ ὅτι ἡ Γραφὴ ἁπλῶς μὲν τὸ αὐτὸ δοκεῖ λέγειν πνεῦμα καὶ ψυχὴν, κυρίως δὲ διαστέλλει· ψυχικὸν μὲν γὰρ ἄνθρωπον λέγει τὸν κατὰ φύσιν ζῶντα, καὶ ἀνθρωπίνοις λογισμοῖς διοικούμενον, οἷον ὅταν πεινᾷ, ἐσθίοντα, τὸν ἐχθρὸν μισοῦντα, καὶ ἁπλῶς, μηδὲν ὑπὲρ φύσιν φανταζόμενον· πνευματικὸν δὲ, τὸν ὑπεραναβάντα τοὺς τῆς φύσεως νόμους, καὶ μηδὲν ἀνθρώπινον φρονοῦντα· καὶ αὕτη ἐστὶν ἡ διαφορὰ ψυχῆς καὶ πνεύματος ἐν τῇ Γραφῇ· τάχα δὲ ἰατροὶ ἄλλως ταῦτα διακρίνουσιν· ἀλλ' ἡμῖν τῆς Γραφῆς μέλει· ἰατροὶ δὲ φθειρέσθωσαν.

« Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν· καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς· πειC νῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς· ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ, εἰς τὸν αἰῶνα. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς. Καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. » Βραχίων τοῦ Πατρὸς, ὁ Υἱός. Ἐποίησεν οὖν κράτος καὶ δύναμιν κατὰ τῆς φύσεως ὁ Θεὸς καὶ Πατὴρ ἐν τῷ Υἱῷ αὐτοῦ. Σαρκωθέντος γὰρ τοῦ Υἱοῦ, ἐνηκήθη ἡ φύσις, παρθένου τεκούσης, Θεοῦ ἀνθρωπισθέντος, ἀνθρώπου θεωθέντος· καὶ διεσκόρπισεν ὁ Κύριος τοὺς ὑπερηφάνους δαίμονας, ἐκβαλὼν αὐτοὺς ἀπὸ τῶν ἀνθρωπίνων ψυχῶν· καὶ οὓς μὲν εἰς τὴν ἄβυσσον πέμψας, οὓς δὲ εἰς τοὺς χοίρους. Δύναται δὲ καὶ περὶ τῶν Ἰουδαίων νοηθῆναι, οὓς διεσκόρπιD σεν εἰς πᾶσαν χώραν, καὶ νῦν διεσπαρμένοι εἰσί· καθεῖλε δὲ καὶ δυνάστας ἀπὸ θρόνων, τοὺς δαίμονας λέγω, οἳ κατεδυνάστευον τῶν ἀνθρώπων, καὶ θρόνους εἶχον τὰς ἀνθρωπίνας ψυχὰς, ἐν αὐταῖς ἀναπαυόμενοι· ἀλλὰ καὶ οἱ Φαρισαῖοι δυνάσται, ὡς τὰ τῶν πτωχῶν καθαρπάζοντες, θρόνους δὲ ἔχοντες, ὡς διδάσκαλοι, ἀφ' ὧν καθῃρέθησαν· καὶ ὕψωσε ταπεινοὺς τοὺς ἀνθρώπους, οὓς ἐταπείνωσεν ἡ ἁμαρτία, ἢ τὰ ἔθνη· ὕψωσε γὰρ ταῦτα, υἱοθεσίαν χαρισάμενος αὐτοῖς. Ὥσπερ οὖν καὶ πεινῶντας τοὺς αὐτοὺς, τοὺς ἐξ ἐθνῶν λέγω· οὐ γὰρ εἶχον Γραφὰς, ἢ νόμον, ἢ ἐντολάς· ἐνέπλησεν ἀγαθῶν τῶν Γραφικῶν, τοὺς δὲ

[8] I Cor. II, 15.

πλουτοῦντας Ἰουδαίους, ἔν τε νόμῳ καὶ ἐντολαῖς, A ἐξαπέστειλεν ἔξω τῆς Ἱερουσαλὴμ, καὶ τῆς ἄνω καὶ τῆς κάτω, κενοὺς παντὸς ἀγαθοῦ· οὐδὲν γὰρ ἔχουσι νῦν οἱ Ἰουδαῖοι, κἂν δοκῶσιν ἔχειν· ἀντελάβετο δὲ Ἰσραὴλ παιδὸς αὐτοῦ, ἢ περὶ τῶν αἰσθητῶν Ἰσραηλιτῶν λέγει. Πολλαὶ γὰρ καὶ ἐκ τούτων ἐπίστευσαν μυριάδες, καὶ ἐπληρώθη ἡ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελία, εἰπόντος πρὸς αὐτὸν τοῦ Θεοῦ, ὅτι Ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Ἢ καὶ περὶ τοῦ νοητοῦ Ἰσραὴλ λέγει· πᾶς γὰρ ὁ ὁρῶν Θεὸν, Ἰσραὴλ λέγεται, οὕτω γὰρ ἑρμηνευόμενον τὸ ὄνομα δηλοῖ, Ὁρῶν Θεόν. Ἀντελάβετο οὖν τούτων τῶν ὁρώντων Θεὸν, εἰς τὴν οὐράνιον κληρονομίαν ἀναγαγών. Ἔμεινε δὲ Μαριὰμ σὺν τῇ Ἐλισάβετ ὡσεὶ μῆνας τρεῖς, εἶτα ὑπέστρεψεν. Ἐπειδὴ γὰρ ἔμελλε τεκεῖν ἡ Ἐλισάβετ, ὑποχωρεῖ B ἡ Παρθένος διὰ τὸ πλῆθος τῶν μελλόντων συνδραμεῖν εἰς τὸν τόκον· ἀπρεπὲς γὰρ παρθένῳ ἐν τοῖς τοιούτοις ἀναστρέφεσθαι· ὅτι δὲ μελλούσης τεκεῖν τῆς Ἐλισάβετ ὑπέστρεψεν ἡ παρθένος, δῆλον ἐντεῦθεν· τῷ μηνὶ τῷ ἕκτῳ τῆς συλλήψεως τοῦ Προδρόμου, ἦλθεν ὁ ἄγγελος πρὸς Μαριάμ· ἔμεινε δὲ ἡ Μαριὰμ μετὰ τῆς Ἐλισάβετ, ὡσεὶ μῆνας τρεῖς. Ἰδοὺ σχεδὸν ἐννέα.

Jerusalem quovis bono inanes: nihil enim habent Judæi, etiam si quid habere videantur. Suscepit Israel puerum suum, vel carnales Israelitas dicit. Multo enim millia ex illis crediderunt, et impleta est promissio facta Abrahæ, ad quem dixerat Deus: In semine tuo benedicentur omnes tribus terræ 9. Vel etiam de spirituali Israel: Omnis enim qui videt Deum, Israel dicitur, juxta nominis interpretationem. Suscepit itaque eos qui vident Deum, in cœlestem hæreditatem adducens. Mansit autem Maria cum Elisabeth circiter mensibus tribus, deinde reversa est. Quia enim paritura erat Elisabeth, abscedit Virgo propter multitudinem qui ad partum conventuri erant. Indecens autem virgini in talibus versari. Quod autem cum paritura esset Elisabeth, reversa sit Virgo, manifestum 281 hinc est quod mense sexto concepti Præcursoris venit angelus ad Mariam, et mansit illa cum Elisabeth tribus circiter mensibus. Ecce ferme novem menses.

« Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτὴν, καὶ ἐγέννησεν υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. Καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτῷ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν. Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ, εἶπεν· Οὐχὶ, ἀλλὰ κληθήσεται Ἰωάννης. Καὶ εἶπον C πρὸς αὐτὴν, ὅτι Οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται ἐπὶ τῷ ὀνόματι τούτῳ. Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ, τί ἂν θέλοι καλεῖσθαι αὐτόν. Καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐθαύμασαν πάντες. Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν. » Ἔμεινε μὲν ἡ Παρθένος ὡσεὶ μῆνας τρεῖς μετὰ τῆς Ἐλισάβετ, ἴσως ἐπὶ τῷ παραδόξῳ ἐκπληττομένη· καὶ δεομένη παραμυθίας τινὸς, ἣν ἔμελλεν ἔχειν ἀπὸ τοῦ συνεῖναι τῇ Ἐλισάβετ· ἐπεὶ δὲ ἐπλησίαζεν ὁ τόκος, ὑπεχώρησεν. Ὡς δὲ ἐπλήσθη τῇ Ἐλισάβετ ὁ χρόνος τοῦ τεκεῖν, παρατηρητέον ὅτι ἐπὶ τῶν ἁμαρτωλῶν οὐ λέγεται τὸ, Ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν, ἀλλὰ μόνον ὅπου δίκαιος ἐστιν ὁ τικτόμενος, ἐκεῖ λέγεται· ὡς D ἔοικε γὰρ ἀτέλεστοι καὶ ἀπλήρωτοι τῶν ἁμαρτωλῶν οἱ τόκοι· κρεῖττον δὲ αὐτοῖς εἰ οὐκ ἐγεννήθησαν. Διὰ τί δὲ μετὰ τὴν περιτομὴν ἐτίθετο τὸ ὄνομα; Διότι πρότερον δεῖ τὴν ἐκ Θεοῦ σφραγῖδα δέξασθαι, καὶ τότε τὸ ἀνθρώπινον ὄνομα· ἄλλως τε, ἡ περιτομὴ τοῦτο σημαίνει, ἀποβολὴν τῶν σαρκικῶν. Οὐδεὶς οὖν εἰ μὴ πρότερον ἀποῤῥίψῃ καὶ περικόψῃ τὰ σαρκικὰ, ἄξιός ἐστιν ὀνομασθῆναι στρατιώτης Θεοῦ (97), καὶ ἐν τῇ βίβλῳ τῶν οὐρανῶν ἀπογραφῆναι αὐτοῦ τὸ ὄνομα. Ἡ δὲ Ἐλισάβετ, ὡς προφῆτις

VERS. 57-64. « Elisabethæ vero impletum est tempus pariendi, et peperit filium. Et audierunt vicini et cognati ejus, quod magnifice Dominus misericordia sua usus esset erga illam, et gratulabantur ei. Et factum est in die octavo, venerunt ad circumcidendum puerum, et vocabant eum nomine patris sui Zachariam. Et respondens mater ejus dixit: Nequaquam, sed vocabitur Joannes. Et dixerunt ad illam: Nemo est in cognatione tua qui vocetur isto nomine. Innuebant autem patri ejus, quid vellet vocari eum. Isque, postulatis tabellis, scripsit dicens: Joannes est nomen ejus. Et mirati sunt universi. Apertum est autem os ejus illico, et lingua ejus, et loquebatur laudans Deum. » Virgo quidem circiter tribus mensibus mansit apud Elisabeth, fortassis tanto attonita miraculo, et indigens consolatione quadam quam ex consuetudine Elisabeth habuit. Verum ubi appropinquavit partus, abscessit. Ubi autem impletum tempus Elisabeth ut pareret, observandum quod in peccatoribus non dicitur: Impletum est tempus pariendi; sed hoc duntaxat invenies ubi de justorum partu habetur mentio. Nam ut apparet, imperfecti et non impleti peccatorum sunt partus, meliusque illis si nati non fuissent. Quare autem post circumcisionem imponitur nomen? Quia prius suscipiendum est signaculum Dei, et tunc humanum nomen. Vel aliter, circumcisio significat carnalium abjectionem. Nullus igitur nisi prius abjiciat et amputet carnalia dignus est ut nominetur miles Dei, et ut in libro cœlorum scribatur nomen ejus. Elisabeth vero ut prophetissa indicavit nomen, dicens: dicens: Joannes est nomen ejus. Fortassis autem

9 Gen. XXII, 38.

Ex collatione codd. Venet. S. Marci.

(97) Cod. 32, υἱὸς Θεοῦ.

Joannes sibiipsi indidit nomen, matrique suæ communicavit donum propheticum. Porro Zacharias cum non posset nutu manifestare nomen, petiit tabellas. Et quia astipulatus est sententiæ uxoris in nomine pueri, obstupescunt omnes : non enim erat in cognatione eorum quispiam ejus nominis, ut quis dicere possit quod ante tempus de hoc ambo tractarint. Joannes juxta interpretationem est, Dei gratia : proinde et pater illius statim assecutus gratiam, primum de Christo, deinde de puero prophetizat.

VERS. 65-75. « Et factus est timor per omnes vicinos eorum, et in tota montana regione Judææ divulgabantur omnia verba hæc, et posuerunt omnes qui audierant in corde suo, dicentes : Quisnam puer hic erit? Et manus Domini erat cum illo. Et Zacharias pater ejus repletus est Spiritu sancto, prophetavitque dicens : Benedictus Dominus Deus Israel, qui visitavit et fecit redemptionem populo suo Et excitavit cornu salutis nobis in domo David pueri sui : sicut **282** locutus est per os sanctorum, qui a sæculo sunt prophetarum suorum. Salutem ex inimicis nostris, et de manu omnium qui oderunt nos. Ut faceret misericordiam cum patribus nostris, et memor esset testamenti sui sancti. Juxta jusjurandum quod juravit ad Abraham patrem nostrum, ut daret nobis. Ut citra timorem, de manu inimicorum nostrorum liberati serviamus ipsi in sanctitate et justitia coram ipso, cunctis diebus vitæ nostræ. » Factus est timor super omnes, propter miraculum loquentis Zachariæ. Sicut enim prius cum obmutuisset, stupuerat populus, ita etiam nunc cum redditus est ei sermo. Propter duo igitur miracula hæc cogitabant de nato quod multos præcelleret. Facta autem sunt hæc omnia singula quadam dispensatione, ut qui de Christo prophetizaturus esset, fide dignus haberetur, et omnes ex ipsa nativitate Joannis certiores redderentur quod multis major esset. Benedicit autem Zacharias Deum, quia visitaverat Israelitas. Et profecto venerat ad oves quæ perditæ erant de domo Israel, sed plerique beneficium ejus suscipere noluerunt, unde veros Israelitas invisit. Et quinam sunt illi? Hi qui crediderunt. Excitavit autem cornu salutis, hoc est, virtutem et regnum salutare. Cornu enim vel potentiam significat, cornuta enim animantia in cornu robur habent, vel regnum : ex cornu enim reges inungebantur. Itaque Christus et potentia est et regnum Patris. Excitatem igitur est nobis cornu salutis, Christus. Videbatur enim dormire, contemnens multorum peccata, longanimitatem in simulacrorum insano cultu præ se ferens, sed in novissimis temporibus incarnatus excitatus est, et contrivit omnes qui oderunt nos dæmones, non jam ultra longanimis et dormiens. Porro in domo David excitatus es, hoc est, in Bethleem : illic enim natus est. Bethleem autem patria David erat, sicut locuti fuerunt prophetæ. Omnes enim

A ἐλάλησε περὶ τοῦ ὀνόματος, ὅτι Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ· τάχα δὲ καὶ ὁ Ἰωάννης αὐτὸς ἑαυτῷ περιέθηκε τὸ ὄνομα· τῇ γὰρ μητρὶ αὐτὸς μετέδωκε τοῦ προφητικοῦ χαρίσματος. Διὰ νεύματος δὲ μὴ δυνάμενος ὁ Ζαχαρίας δηλῶσαι τὸ ὄνομα, αἰτεῖ πινακίδιον· καὶ ἐπειδὴ ὡμοφώνησε τῇ γυναικὶ περὶ τὸ ὄνομα τοῦ παιδὸς, ἐκπλήττονται πάντες· οὐ γὰρ ἦν ἐν τῇ συγγενείᾳ αὐτῶν, ἵνα τις ἔχῃ εἰπεῖν, ὅτι πρὸ καιροῦ τοῦτο ἐμελέτων ἀμφότεροι. Ἰωάννης δὲ ἑρμηνεύεται Θεοῦ χάρις· διὸ καὶ ὁ πατὴρ αὐτοῦ εὐθέως χαριτωθεὶς, προφητεύει περί τε τοῦ Χριστοῦ πρότερον, καὶ περὶ τοῦ παιδὸς ὕστερον.

« Καὶ ἐγένετο ἐπὶ πάντα; φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα· καὶ ἔθεντο πάν- B τες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες· Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται ; Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτου ἐπλήσθη Πνεύματος ἁγίου, καὶ προεφήτευσε, λέγων· Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ· καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ· καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ· σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς· ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. Ὅρκον οὗ ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λα- C τρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτου πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. » Ἐγένετο ἐπὶ πάντας φόβος, διὰ τὸ παράδοξον τῆς τοῦ Ζαχαρίου ἐκλαλήσεως. Ὥσπερ γὰρ ἐπὶ τῇ σιωπῇ ἐξέστη ὁ λαὸς, οὕτω καὶ ἐπὶ τῷ λαλῆσαι αὐτόν· ὡς ἂν διὰ τῶν δύο τούτων θαυμάτων, συλλογίσωνται πάντες περὶ τοῦ τεχθέντος, ὡς ὑπὲρ τοὺς πολλούς ἐστι. Ταῦτα δὲ πάντα ἐγίνοντο οἰκονομικῶς, ἵνα ὁ περὶ τοῦ Χριστοῦ μέλλων μαρτυρήσειν, ἀξιόπιστος εἴη, καὶ πάντες πληροφορηθῶσιν ἐξ αὐτῆς τῆς τοῦ Ἰωάννου γεννήσεως, ὅτι ὑπὲρ τοὺς πολλούς ἐστιν. Εὐλογεῖ δὲ ὁ Ζαχαρίας τὸν Θεὸν, ὡς ἐπισκεψάμενον τοὺς Ἰσραηλίτας ; τῷ ὄντι γὰρ εἰς τὰ πρόβατα ἦλθε τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ, ἀλλ' οὐκ ἠθέλησαν οἱ πλείονες αὐτῶν δέξασθαι τὴν χάριν· διὸ καὶ τοὺς D ἀληθῶς Ἰσραηλίτας ἐπεσκέψατο, οἵτινές εἰσιν οἱ πιστεύσαντες. Ἤγειρε δὲ κέρας σωτηρίας, τουτέστι, δύναμιν καὶ βασιλείαν σωτήριον· τὸ γὰρ κέρας ἢ δύναμιν σημαίνει· τὰ γὰρ κερασφόρα ζῶα ἐν τοῖς κέρασι τὴν δύναμιν ἔχουσιν, ἢ βασιλείαν· τῷ γὰρ κέρατι ἐχρίοντο οἱ βασιλεῖς. Ὁ οὖν Χριστὸς καὶ δύναμίς ἐστι καὶ βασιλεία τοῦ Πατρὸς· ἐξηγέρθη οὖν ἡμῖν κέρας σωτηρίας ὁ Χριστός. Ἐδόκει γὰρ ὑπνώττειν, παραβλεπόμενος τὰς πολλὰς ἁμαρτίας, καὶ μακροθυμῶν ἐπὶ τῇ εἰδωλομανίᾳ· ἀλλ' ἐν τοῖς ἐσχάτοις σαρκωθεὶς καιροῖς, ἐξηγέρθη καὶ συνέτριψε πάντας τοὺς μισοῦντας ἡμᾶς δαίμονας. Μηκέτι ἀνασχόμενος ὑπνοῦν καὶ μακροθυμεῖν· ἐν τῷ οἴκῳ δὲ Δαβὶδ ἐξηγέρθη, τουτέστιν ἐν Βηθλεέμ, ἐκεῖ γὰρ ἐγεννήθη· ἡ δὲ Βηθλεὲμ, πάντως πόλις τοῦ Δαβὶδ,

A καθώς ἐλάλησαν οἱ προφῆται. Πάντες γὰρ περὶ τῆς σαρκώσεως εἶπον. Ὁ δὲ Μιχαίας, καὶ τοῦ οἴκου τοῦ Δαβὶδ, τῆς Βηθλεὲμ λέγω, μέμνηται, λέγων· « Καὶ σὺ, Βηθλεὲμ, οὐδαμῶς ἐλαχίστη εἶ. Ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος. » Ἐποίησε δὲ ἔλεος, οὐ μετὰ τῶν ζώντων μόνον, ἀλλὰ καὶ μετὰ τῶν πατέρων ἡμῶν· τοῦ γὰρ Χριστοῦ ἡ χάρις, καὶ εἰς ἐκείνους ἀνέδραμε, τοὺς ἤδη τεθνηκότας· οἷόν τι λέγω· Δέδωκεν ἡμῖν τοῖς ζῶσιν ἐλπίδα ἀναστάσεως, καὶ ἀναστησόμεθα· ἀλλ' οὐ μόνοι ἡμεῖς ταύτης τῆς χάριτος ἀξιωθησόμεθα, ἀλλὰ καὶ οἱ προτετελευτηκότες· πᾶσα γὰρ ἡ φύσις ἔτυχε τοῦ ἀγαθοῦ· καὶ ἄλλως δὲ ἐποίησεν ἔλεος μετὰ τῶν πατέρων, καθὸ τὰς ἐλπίδας ἐπλήρωσεν. Ὅσα γὰρ προσεδόκων, ἐπὶ B τῷ Χριστῷ, εἶδον τελειωθέντα· ἀλλὰ δὴ καὶ τὰ τέκνα αὐτῶν, οἱ πατέρες βλέποντες ἀπολαύοντα τῶν τοσούτων ἀγαθῶν, χαίρουσι, καὶ κοινωνοὶ τῆς εὐφροσύνης γινόμενοι, εἰς ἑαυτοὺς τὸ ἔλεος ἀναδέχονται. Ποίας δὲ διαθήκης ἐμνήσθη, καὶ ποίου ὅρκου πρὸς τὸν Ἀβραὰμ γενομένου; Ἢ πάντως τοῦ, « Εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. » Ἐπληθύνθη γὰρ ὄντως νῦν ὁ Ἀβραὰμ, πάντων ἐθνῶν υἱοθετηθέντων αὐτῷ διὰ τῆς πίστεως· ὡς γὰρ ἐκεῖνος ἐπίστευσεν, οὕτω καὶ ταῦτα διὰ τῆς πίστεως ᾠκειώθησαν· ἐῤῥύσατο δὲ ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἀφόβως· πολλάκις γὰρ τινες ῥύονται μὲν, ἀλλὰ μετὰ φόβου καὶ ἀγώνων πολλῶν καὶ πολέμου· ὁ δὲ Χριστὸς, μηδὲν ἡμῶν κοπιασάντων, ὑπὲρ ἡμῶν ἐσταυρώθη· καὶ ἐῤῥύσατο λοιπὸν ἡμᾶς ἀφόβως, τουτέστιν ἀκινδύνως. Διατί δὲ ἐῤῥύσατο ἡμᾶς, ἆρα διὰ τὸ τρυ- C φᾷν; Οὐχί· ἀλλὰ τοῦ λατρεύειν αὐτῷ, οὐχ ἅπαξ, οὐδὲ δύο ἡμέρας, ἀλλὰ πάσας τὰς ἡμέρας· λατρεύειν δὲ, οὐ διὰ σωματικῆς μόνον προσκυνήσεως καὶ ὑπουργίας, ἀλλ' ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· Ἔστι δὲ ὁσιότης μὲν, τὸ πρὸς Θεὸν δίκαιον· δικαιοσύνη δὲ, τὸ πρὸς ἀνθρώπους· οἷον, ἐάν τις ἀπέχηται μὲν τῶν ἱερῶν, καὶ οὐχ ἐπιχειρῇ τοῖς θείοις ἀθέως, ἀλλὰ πᾶσαν τιμὴν ἀποσώζῃ πρὸς τὰ τίμια, ὁ τοιοῦτος, ὅσιος· ὁμοίως καὶ ὁ τοὺς γονεῖς σεβόμενος, ὅσιος· καὶ οὗτοι γὰρ θεοὶ κατοικίδιοι· εἰ δέ τις οὐ πλεονέκτης εἴη, οὐχ ἅρπαξ, οὐ κλέπτης, οὐ μοιχὸς, οὐ πόρνος· ὁ τοιοῦτος, δίκαιος. Οὕτως οὖν δεῖ λατρεύειν Θεῷ, ἐν ὁσιότητι, τῇ πρὸς τὰ θεῖα λέγω εὐλαβείᾳ, καὶ δικαιοσύνῃ, τῇ πρὸς τὰ ἀνθρώπινα ἐπαινετῇ πολιτείᾳ· λατρεύειν δὲ ἐνώπιον αὐτοῦ, μὴ ἐνώπιον τῶν ἀνθρώπων, ὡς οἱ ἀνθρωπάρεσκοι καὶ ὑποκριταί.

« Καὶ σὺ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ. D Προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν. Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ. » Ξένον φαίνεται τὸ λέγειν τὸν Ζαχαρίαν πρὸς τὸ παιδίον, ἃ

de incarnatione locuti sunt Michæas, etiam domus David, Bethleem dico, mentionem facit dicens : «Et tu Bethleem, neutiquam minima es,ex te enim egredietur dux [10]. » Fecit autem misericodiam non solum cum viventibus, sed et cum patribus nostris. Christi enim gratia etiam in illos qui olim mortui, pertingit, ut verbi gratia : Dedit nobis viventibus spem resurrectionis,et resurgemus: sed non soli nos hanc gratiam assequemur, sed et qui ante nos defuncti fuerant.Omnis enim natura boni particeps fuit. Vel aliter fecit misericordiam cum patribus eo quod spem illorum implevit.Adimpleta enim viderunt quæcunque de Christo exspectarant.Sed et filios suos cum vident patres talibus bonis frui, gaudent et participes sunt lætitiæ, perinde **283** ac si in se collata essent. Cujus autem testamenti et cujus jusjurandi quod Abraham factum, meminit? Vel omnino hujus : « Benndicens benedicam te,et multiplans multiplicabo te[11].«Vere nunc multiplicatus Abraham,cum ei filii ex omnibus gentibus adoptati sunt per fidem. Nam sicut ille credidit, ita isti per fidem appropriarunt ei [12]. Liberavit autem nos de inimicis sine timore.Sæpe liberant quidam, sed non sine nostro timore, agone et certamine : Christus vero, cum nos non laborassemus,pro nobis crucifixus est, et liberavit nos sine timore, hoc est, absque periculo. Quare autem liberavit nos? Num propter cibum et potum? Non : sed ut serviamus illi, non semel, neque duobus diebus, sed omnibus diebus, Serviamus autem non sola corporali adoratione et ministerio sed in sanctitate et justitia. Est autem sanctitas,justitia erga Deum: justitia vero, erga homines : ut exempli gratia, si quis abstineat a sacris et ad divina non accedit impie,sed venerabilibus omnem honorem exhibet, is sanctus est. Similiter et qui honorat parentes,sanctus est:nam et illi dii domestici.At si quis non fuerit avarus, non rapax, non fur, non adulter, non scortator, is justus dicetur. Itaque oportet servire Deo in sanctitate, hoc est, reverentia erga divina : et justitia, hoc,es laudata in rebus humanis vita. Serviendum denique est coram ipso, non coram hominibus, sicut hi qui hominibus placere volunt, ut hypocritæ faciunt.

Vers. 76-80. «Et tu,puer,propheta Altissimi vocaberis, præibis enim ante faciem Domini ad parandum vias ejus; ad dandam scientiam salutis populo ipsius, per remissionem peccatorum ejus. Per viscera misericordiæ Dei nostri, in quibus visitavit nos oriens ex alto. Ut illucesceret his qui in tenebris et umbra mortis sedent, ad dirigendos pedes nostros in viam pacis. Puer autem crescebat,et corroborahatur spiritu, et erat in desertis donec veniret dies quo ostendendus erat apud Israelitas. » Mirum videtur quod Zacharias ad

[10] Mich. v, 2. [11] Gen. xxii, 17. [12] Rom. iv, 1.

puerum loquitur adhuc insensatum ea quæ loquitur. Dicendum igitur quod sicut insolitam et admirabilem habuit nativitatum puer, qui exsultavit et prophetavit in utero ad adventum Mariæ : sic non est mirum si etiam ea quæ a patre dicebantur, post nativitatem intellexerit. Præibis autem, inquit, ante Dominum me paulo post derelicto. Sciebat enim Zacharias quod non multo post privandus esset eo, quando fugiturus erat in desertum. Quare autem præibis? Ut parentur viæ Domini. Viæ autem sunt animæ in quibus incedit Dominus, quas præparavit Præcursor ut in eis ambularet Christus. Quomodo autem illas præparavit? Dando scientiam salutis populo. Salus quidem erat Dominus 284 Jesus. Data est igitur scientia salutis, hoc est, Christi, populo a Joanne. Joannes enim testificabatur de Jesu. Scientia autem erat in remissione peccatorum. Non enim aliter Christus agnitus fuisset esse Deus, nisi remisisset peccata populo. Dei enim est remittere peccata. Remisit autem nobis ista, propter viscera misericordiæ. Non enim propter opera nostra, nihil enim fecimus boni : sed ille visitavit nos ex alto, qui oriens dicitur. Sol enim justitiæ est, et illuxit nobis qui in tenebris eramus, hoc est, et ignorantia, et umbra mortis, hoc est, peccatis, sedentes. Duo enim mala humanum genus invaserunt : ignorantia Dei, quam habebant gentiles : et peccatum, quod habebant Hebræi, licet Deum cognoscerent. Apparuit itaque humanæ naturæ, ut et eos qui in tenebris, hoc est, Dei ignorantia, et umbra mortis, hoc est, peccato, est enim peccatum umbra mortis, erant sedentes, illustraret. Ideo autem umbram mortis dici opinor peccatum, quod sicut umbra sequitur corpus, ita ubi mors, illic et peccatum. Unde quia mortuus est Adam, consentaneum ibi etiam esse peccatum Et neque Christi mortem sine peccato invenies. Mortuus est enim Christus, sed propter peccata nostra. Et ita merito peccatum dicitur esse umbra mortis, quia semper comitatur ipsam mortem. Possent et alia ad hoc dici, et opinor dictum a nobis in Matthæo. Num igitur sufficit solum illuxisse obtenebratis? Minime : sed etiam opus est ut dirigantur pedes nostri in viam pacis, hoc est, justitiæ. Sicut enim peccatum inimicitiæ sunt cum Deo, ita justitia, pax. Via igitur pacis vita est justitiæ, ad quam direxit animarum nostrarum pedes, qui ex summo ortus est Christus. Cæterum puer crescebat juxta staturam corporalem, et corroborabatur Spiritu. Cum corpore simul crescebat et spirituale donum. Et quanto magis crescebat puer, tanto magis et efficaciæ Spiritus in illo se ostendebant, organo illarum capace exsistente. Quare autem erat in desertis? Ut ne multitudinis malitiæ particeps fieret, et ut neminem reveritus libere reprehenderet. Nam si fuisset in mundo, fortassis consuetudine amicorum et societate coinquinatus fuisset : sed et ut fide dignus haberetur, qui prædicaret Christum, utpote eremita, vitaque

A λέγει· πάντως γὰρ ἀναισθήτῳ ὄντι τῷ παιδίῳ, οὐ ἔδει ὁμιλεῖν, Ἔστιν οὖν εἰπεῖν ὅτι, ὥσπερ ξένην ἔσχε τὴν γέννησιν τὸ παιδίον, σκιρτῆσαν καὶ προφητεῦσαν ἐν τῇ μήτρᾳ ἐπὶ τῇ παρουσίᾳ τῆς Μαριάμ, οὕτως οὐδὲν ἄπιστον καὶ τῶν λεγομένων παρά τοῦ πατρὸς αἰσθάνεσθαι μετὰ τὴν γέννησιν. Προπορεύσῃ δὲ, φησὶν, ἔμπροσθεν τοῦ Κυρίου, καταλιπὼν ἐμὲ ὅσον οὔπω. Ἐγίνωσκε γὰρ Ζαχαρίας ὅτι στερηθήσεται μετ' ὀλίγον αὐτοῦ, εἰς τὰς ἐρήμους μέλλοντος φυγεῖν. Διατί δὲ προπορεύσῃ; Διὰ τὸ ἑτοιμάσαι τὰς ὁδοὺς τοῦ Κυρίου· ὁδοὶ δὲ, αἱ ψυχαὶ ἐφ' ὧν ὁδεύει ὁ Κύριος· τὰς οὖν ψυχὰς ἡτοίμασεν ὁ Πρόδρομος, ἵνα ἐν αὐταῖς περιπατήσῃ ὁ Χριστός. Πῶς δὲ ταύτας ἡτοίμασε; Δοὺς γνῶσιν σωτηρίας τῷ λαῷ· σωτηρία μὲν οὖν ὁ Κύριος Ἰησοῦς· ἐδόθη δὲ ἡ γνῶσις τῆς σωτηρίας, τουτέστι,
B τοῦ Χριστοῦ, τῷ λαῷ παρὰ τοῦ Ἰωάννου· ὁ γὰρ Ἰωάννης ἐμαρτύρει περὶ τοῦ Ἰησοῦ· ἡ δὲ γνῶσις, ἐν ἀφέσει ἁμαρτιῶν ἐγένετο. Οὐκ ἂν γὰρ ἄλλως ἐπεγνώσθη Θεὸς εἶναι ὁ Κύριος, εἰ μὴ ἀφῆκε τὰς ἁμαρτίας τῷ λαῷ· Θεοῦ γὰρ τὸ ἀφιέναι ἁμαρτίας. Ἀφῆκε δὲ ἡμῖν ταύτας, διὰ σπλάγχνα ἐλέους· οὐ γὰρ διὰ τὰ ἔργα ἡμῶν· οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθόν· ἀλλ' ἐκεῖνος ἐπεσκέψατο ἡμᾶς ἐξ ὕψους, ἀνατολὴ λεγόμενος· Ἥλιος γὰρ δικαιοσύνης ἐστί. Καὶ ἐπέφανεν ἡμῖν, τοῖς ἐν σκότει, τουτέστι, τῇ ἀγνωσίᾳ· καὶ τῇ σκιᾷ τοῦ θανάτου, τῇ ἁμαρτίᾳ, καθημένοις· δύο γὰρ κακὰ ἐκράτει τῆς τῶν ἀνθρώπων φύσεως· ἀγνωσία Θεοῦ ἣν εἶχον οἱ Ἕλληνες· καὶ ἁμαρτία, ἣν εἶχον οἱ Ἑβραῖοι, εἰ καὶ Θεὸν ἐπεγί-
C νωσκον. Ἐπέφανεν οὖν τῇ ἀνθρωπίνῃ φύσει, ἵνα καὶ τοὺς ἐν τῷ σκότει, τουτέστι, τῇ ἀγνωσίᾳ καὶ ἀθεΐᾳ, καὶ τοὺς ἐν τῇ σκιᾷ τοῦ θανάτου, τῇ ἁμαρτίᾳ, καθημένους φωτίσῃ· ἡ δὲ ἁμαρτία σκιὰ τοῦ θανάτου ἐστὶ κατὰ τοῦτον, ὡς οἶμαι, τὸν λόγον· ὥσπερ ἡ σκιὰ τῷ σώματι ἕπεται, οὕτω καὶ ἔνθα θάνατος, ἐκεῖ καὶ ἁμαρτία. Οἷον, ἀπέθανεν ὁ Ἀδὰμ, ἐκεῖ λοιπὸν καὶ ἁμαρτία· καὶ οὐδὲ τὸν τοῦ Χριστοῦ θάνατον εὑρήσεις χωρὶς ἁμαρτίας· ἀπέθανε γὰρ ὁ Χριστὸς, ἀλλὰ διὰ τὰς ἐμὰς ἁμαρτίας· ὥστε εἰκότως λέγεται σκιὰ εἶναι τοῦ θανάτου ἡ ἁμαρτία, ὡς ἀεὶ παρεπομένη αὐτῷ· καὶ ἄλλα δὲ ἔστιν εἰπεῖν εἰς τοῦτο· καὶ οἶμαι, εἴπομεν ἐξηγούμενοι τὸν Ματθαῖον. Ἆρα δὲ ἀρκεῖ τὸ ἐπιφᾶναι μόνον τοῖς ἐσκοτισμένοις; Οὐχί· ἀλλὰ δεῖ καὶ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς
D ὁδὸν εἰρήνης, τουτέστι, τῆς δικαιοσύνης· ὥσπερ γὰρ ἡ ἁμαρτία, ἔχθρα εἰς Θεὸν, οὕτως ἡ δικαιοσύνη, εἰρήνη. Ὁδὸς οὖν εἰρήνης, ἡ τῆς δικαιοσύνης πολιτεία, πρὸς ἣν κατεύθυνε τοὺς πόδας τῶν ἡμετέρων ψυχῶν, ὁ ἐξ ὕψους ἀνατείλας Χριστός· ηὔξανε δὲ τὸ παιδίον κατὰ τὴν σωματικὴν ἡλικίαν, καὶ ἐκραταιοῦτο Πνεύματι· τῷ γὰρ σώματι συναυξανόμενον ἦν καὶ τὸ πνευματικὸν χάρισμα· καὶ ὅσῳ μᾶλλον ηὔξετο ὁ παῖς, τοσούτῳ καὶ αἱ τοῦ Πνεύματος ἐνέργειαι διεδείκνυντο· τοῦ ὀργάνου δυναμένου χωρεῖν ταύτας. Διὰ τί δὲ ἦν ἐν ταῖς ἐρήμοις; Ἵνα ἔξω τῆς τῶν πολλῶν κακίας διάγῃ, καὶ ἵνα μηδένα αἰδούμενος, ἐλέγχῃ μετὰ παῤῥησίας· εἰ γὰρ ἦν ἐν τῷ κόσμῳ, τυχὸν ἂν ἐμολύνθη φιλίαις καὶ συν-

ηθείαις ἀνθρώπων· ἅμα δὲ καὶ ἵνα ἀξιόπιστος εἴη A μέλλων περὶ Χριστοῦ κηρύττειν, οἷα δὴ ἐρημίτης καὶ ὑπὲρ τοὺς πολλοὺς ὤν· ἐκρύπτετο δὲ ἐν ταῖς ἐρήμοις ἄχρις οὗ εὐδόκησεν ὁ Θεὸς ἀναδεῖξαι αὐτὸν τῷ Ἰσραηλίτῃ λαῷ.

ΚΕΦΑΛ. Β'.

Περὶ τῆς ἀπογραφῆς. Περὶ τοῦ τῆς Μαρίας τοκετοῦ. Περὶ τῶν ποιμένων. Περὶ Συμεῶνος. Περὶ Ἄννης τῆς προφήτιδος. Περὶ Ἰησοῦ εὑρεθέντος ἐν μέσῳ τῶν διδασκάλων.

« Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην· αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου· καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι ἕκαστος εἰς τὴν B ἰδίαν πόλιν. Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲτ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαυῒδ, ἥτις καλεῖται Βεθλεὲμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυῒδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ· ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ· διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. » Διὰ τοῦτο γίνεται ἀπογραφὴ, ἵνα πάντων ἐλθόντων εἰς τὰς οἰκείας πατρίδας, ἀνέλθῃ καὶ ἡ Παρθένος εἰς τὴν Βηθλεὲμ, ὡς οἰκείαν πατρίδα, καὶ οὕτω τεχθῇ ὁ Κύριος ἐν Βηθλεὲμ, καὶ πληρωθῇ ἡ προφητεία· ἔδει δὲ Θεοῦ ἑνὸς μέλλοντος παῦσαι τὴν πολυθεΐαν, καὶ ἕνα βασιλέα κρατῆσαι, τὸν Καίσαρα· ἀπογράφεται δὲ C καὶ ὁ Χριστὸς μετὰ πάντων, ἔδει γὰρ καὶ τὸν Κύριον, τῇ οἰκουμένῃ συναπογραφῆναι, ἵνα ἁγιάσῃ τοὺς ἀπογραφομένους, καὶ καταργήσῃ τὴν δουλείαν· ὥσπερ γὰρ περιτμηθεὶς, κατήργησε τὴν περιτομὴν, οὕτως ἀπογραφεὶς ὡς δοῦλος, κατήργησε τὴν δουλείαν τῆς φύσεως ἡμῶν. Οὐκ ἔτι γὰρ δοῦλοί εἰσιν ἀνθρώπων, οἱ τῷ Κυρίῳ δουλεύοντες, ὡς ὁ Ἀπόστολος λέγει· « Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων· » ἀλλ' εἰ καὶ τῷ σώματι δοῦλοι, ἐλεύθεροι τῷ πνεύματι, μὴ τῇ ἀσεβείᾳ τῶν δεσποτῶν συναπαγόμενοι. Πρωτότοκον δὲ Υἱὸν ὠνόμασε τῆς Παρθένου τὸν Κύριον, καίτοι μὴ δευτέρου τινὸς τεχθέντος, εἰκότως· πρωτότοκος γὰρ λέγεται, ὁ πρῶτος τεχθεὶς κἂν μὴ δεύτερος ἐπιτέχθῃ· ἐν φάτνῃ δὲ κατακλίνεται, τάχα μὲν καὶ εὐτέλειαν ἡμᾶς ἐξ ἀρχῆς παιδεύων. τάχα δὲ καὶ συμβολικῶς δεικνύων, ὅτι ἐπεδήμησε τῷ κόσμῳ τούτῳ, τόπῳ ὄντι ἡμῶν τῶν τοῖς ἀλόγοις κτήνεσιν ὁμοιωθέντων· ὥσπερ γὰρ ἡ D φάτνη τῶν ἀλόγων οἰκεῖος τόπος, οὕτω καὶ ὁ κόσμος οὗτος ἡμῶν· ἔστιν οὖν ἡ φάτνη, ὁ κόσμος· ἡμεῖς, τὰ ἄλογα· ἵνα δὲ ἡμᾶς λυτρώσηται τῆς ἀλογίας, διὰ τοῦτο ἐνταῦθα παρεγένετο.

« Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν, καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς· καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς·

excellens alios. Latuit autem in desertis, donec visum fuit Deo Israelitarum populo illum ostendendum esse.

## 285 CAPUT II.

*De conscripiione orbis. De puerperio Mariæ. De pastoribus. De Symeone. De Anna prophetissa. De Jesu reperto inter doctcres.*

VERS. 1-7. «Factum est autem in diebus illis, exiit decretum a Cæsare Augusto ut censeretur totus orbis. Hæc descriptio prima facta est præside Syriæ Cyreno. Et ibant omnes ut profiterentur, in suam quisque civitatem. Ascendit autem et Joseph a Galilæa de civitate Nazareth in Judæam, in civitatem David, quæ vocatur Bethleem, eo quod esset de domo et familia David, ut profiteretur cum Maria desponsata sibi uxore, quæ erat prægnans. Accidit autem, cum essent ibi, complecti sunt dies pariendi; et peperit Filium suum primogenitum, ac fasciis eum involvit reclinavitque eum in præsepi, quod non esset eis locus in diversorio » Propterea fit descriptio, ut, cum omnes in suas patrias irent, ascenderet et Virgo in Bethleem, quæ ejus patria erat, nasceretur que sic Dominus in Bethleem [13], ac impleretur prophetia. Decebant autem ut, cum Deus unus multorum deorum cultui finem esset impositurus, unus etiam rex, nempe Cæsar, imperaret. Porro Christus cum omnibus describitur. Oportet enim etiam Dominum cum toto orbe censeri, ut sanctificaret eos qui censentur, aboleretque servitutem: quoniam sicut circumcisus circumcisionem abolevit [14], ita descriptus sicut servus, servitutem naturæ nostræ abolevit. Non enim ultra sunt servi hominum, qui Domino serviunt, sicut Apostolus dicit: «Nolite fieri servi hominum [15]: » sed tametsi corpore simus servi, spiritu tamen sumus liberi, neque cum impietate dominorum simul abducimur. Primogenitum vero Filium nominavit Virginis Dominum, quamvis nullum secundum peperit. Idque merito. Primogenitus enim dicitur, qui primus natus est, etiamsi non nascatur postea secundus. In præsepium autem reclinatur, forte ut statim ab initio vitæ frugalitatem nos doceret: forte etiam quodam symbolo declaravit quod peregrinatus sit in hoc mundo, qui locus noster est, qui brutis animantibus comparati sumus. Sicut enim præsepe proprius brutorum locus est, ita nobis locus proprius est mundus; mundus itaque præsepe est, nos vero bruta: ut autem nos redimeret abrutorum sensu et irrationibilitate, propterea et ipse tali loco fuit reclinatus.

VERS. 8-14. «Et pastores erant in regine eadem rusticantes, et excubantes excubias nocte super gregem suum: et ecce angelus Domini astitit illis, et claritas Domini circumfulsit illos, et timuerunt

[13] Mich. v, 2. [14] Galat. v, 3. [15] I Cor. VII, 23.

timore magno. Et dixit illis angelus : Ne timeatis : ecce enim annuntio vobis gaudium 286 magnum, quod futurum est toti populo, quia natus est vobis hodie Servator, qui est Christus Dominus, in civitate David. Et hoc vobis signum : Invenietis infantem fasciis involutum, positum in præsepi. Et subito facta est cum angelo multitudo militiæ cœlestis laudantium Deum, ac dicentium : Gloria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas.» Pastores erant rusticantes, hoc est vel rusticam agentes vitam, vel in agro stabulantes et versantes : quibus apparet angelus, propter simplicitatem et innocentiam morum et quod justorum vitam imitari videantur. Etenim prisci patriarchæ pastores erant, ut Jacob [16], Moses, David. Neque in Jerusalem apparuit Pharisæis vel Scribis, qui omnis malitiæ receptacula erant. Illi autem cum simplices essent, divinis spectaculis potiti sunt : monstrante Deo, quod statim ab initio eos agrestiores præ aliis elegerit, præconesque fecerit. Abierunt enim, et de omnibus illis prædicarunt. Angelus vero magnum illis gaudium evangelizavit, quod erit, inquit, omni populo, qui proprie populus Dei. Non enim omnes Judæi populus Dei. Nam et omnium hominum populo incarnatio Dei facta est gaudium. Quid autem hymnus angelorum declarat? Vel omnino gratiarum actionem supernorum exercituum, et gaudium, eo quod terreni beneficia tanta consequamur. Gloria enim Deo, dicunt : super terram autem pax nunc facta est ; et cum prius humana natura inimica fuerit Deo, nunc ita conciliata est, ut et Deo adjuncta sit, et incarnato unita. Vides igitur pacem Dei cum homine? Et aliter quoque intelligitur : pax est ipse Filius Dei. Ego enim, inquit, Pax. Ista igitur pax, Filius Dei, inquam, super terram facta est. Et in hominibus bona voluntas [17] : hoc est, Dei requies. Requievit enim sive refocillatus est nunc et bene habitus in hominibus : nam prius quidem non sibi complacuit, nec bonum affectum habuit in hominibus.

VERS. 15-20. « Et factum est, ut discesserunt ab eis angeli in cœlum, homines pastores loquebantur inter sese : Transeamus jam Bethleem usque, et videamus hoc quod accidit, quod Dominus aperuit nobis. Et venerunt festinantes, et invenerunt Mariam et Joseph, et infantem positum in præsepi. Cum vidissent autem, divulgaverunt de verbo quod dictum erat ipsis de puero hoc : et omnes qui audierunt, mirati sunt de his quæ dicta erant a pastoribus ad ipsos.» Pastores illi figura sunt spiritualium pastorum et præsulum. Oportet igitur episcopos custodire gregem suum, et ἀγραυλεῖν in agro canere, hoc est, canere sipiritualia, et docere populum, et sic digni fient (*a*) visionibus

A καὶ ἐφοβήθησαν φόβον μέγαν· καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· Μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαβίδ· καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· Εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν τῇ φάτνῃ· καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου, αἰνούντων τὸν Θεὸν καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ· καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.» Ποιμένες ἦσαν ἀγραυλοῦντες, τουτέστιν, ἀγροτικὸν αὐλοῦντες, ἢ ἐν τῷ ἀγρῷ αὐλιζόμενοι καὶ διάγοντες· ἐπιφαίνεται δὲ τούτοις ὁ ἄγγελος, διὰ τὸ ἄπλαστον τοῦ ἤθους καὶ ἄκακον. Ἐπεὶ καὶ τὴν τῶν δικαίων πολιτείαν φαίνονται μιμούμενοι· καὶ γὰρ οἱ παλαιοὶ, ποιμένες, οἱ πατριάρχαι, Ἰακὼβ, Μωσῆς, Δαβίδ. B Οὐ γὰρ ἐν Ἱερουσαλὴμ ἐπεφάνη Φαρισαίοις ἢ Γραμματεῦσι· πάσης γὰρ πονηρίας δοχεῖα ἐκεῖνοι· οὗτοι δὲ ἄδολοι ὄντες, θείων θεαμάτων ἠξιώθησαν· δεικνύντος τοῦ Θεοῦ, ὅτι τοὺς ἀγροικοτέρους τῶν ἄλλων, εὐθὺς ἐξ ἀρχῆς ἐξελέξατο καὶ κήρυκας ἐποίησεν· ἀπελθόντες γὰρ ἐκήρυξαν περὶ πάντων τούτων· εὐηγγελίσατο δὲ ὁ ἄγγελος χαρὰν μεγάλην, ἥτις ἔσται, φησὶ, παντὶ τῷ λαῷ, τῷ κυρίως λαῷ τοῦ Θεοῦ· οὐ πάντες γὰρ οἱ Ἰουδαῖοι, λαὸς τοῦ Θεοῦ. Ἀλλὰ καὶ παντὶ τῷ τῶν ἀνθρώπων λαῷ χαρὰ ἐγένετο ἡ σάρκωσις τοῦ Θεοῦ. Τί δὲ δηλοῖ ὁ ὕμνος τῶν ἀγγέλων; Ἢ πάντως εὐχαριστίαν τῶν ἄνω ταγμάτων καὶ χαρὰν, διότι εὐηργετήθημεν οἱ ἐπὶ τῆς γῆς. Δόξα γὰρ τῷ Θεῷ, φασὶν, C ἐπὶ γῆς γὰρ εἰρήνη νῦν γέγονε· πρώην μὲν γὰρ ἡ ἀνθρωπίνη φύσις ἔχθραν εἶχε πρὸς Θεόν· νυνὶ δὲ τοσοῦτον κατηλλάγη, ὥστε καὶ προσεπλάκη τῷ Θεῷ, καὶ ἡνώθη αὐτῷ σαρκωθέντι. Ὁρᾷς οὖν εἰρήνην τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον; Καὶ ἄλλως δὲ νοηθήσεται· Εἰρήνη ἐστὶν αὐτὸς ὁ Υἱὸς τοῦ Θεοῦ· Ἐγὼ γὰρ, φησὶν, ἡ εἰρήνη· αὕτη οὖν ἡ εἰρήνη, ὁ Υἱὸς τοῦ Θεοῦ, ἐπὶ γῆς γέγονε, καὶ ἐν τοῖς ἀνθρώποις εὐδοκία, τουτέστιν ἐπανάπαυσις τοῦ Θεοῦ, ἐπανεπαύθη γὰρ ὁ Θεὸς νῦν καὶ εὐηρεστήθη ἐν τοῖς ἀνθρώποις, ὃς πρώην γε, οὐκ ηὐδόκει, οὐδὲ ἠρέσκετο ἐν τοῖς ἀνθρώποις.

«Καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ' αὐτῶν οἱ ἄγγελοι εἰς τὸν οὐρανὸν, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους. Διέλθωμεν δὴ ἕως Βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν· καὶ ἦλθον σπεύσαντες· καὶ ἀνεῦρον τήν τε D Μαριὰμ καὶ τὸν Ἰωσὴφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ· ἰδόντες δὲ διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου· καὶ πάντες οἱ ἀκούσαντες, ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς.» Οἱ ποιμένες οὗτοι σύμβολόν εἰσι τῶν πνευματικῶν ποιμένων, τῶν ἀρχιερέων· δεῖ οὖν τοὺς ἀρχιερεῖς φυλάσσειν τὴν ποίμνην αὐτῶν καὶ ἀγραυλεῖν, τουτέστιν, ᾄδειν πνευματικά τινα, καὶ διδάσκειν τὸν λαὸν,

66 Gen. XLVII, 3. 67 Luc. II, 14.

(*a*) Edit. Lut. non exprimit Græcam vocem, ἀξιωθήσονται.

καὶ οὕτως ἀξιωθήσονται θείων θεαμάτων καὶ ἀκουσμάτων. Βηθλεὲμ δὲ ἑρμηνεύεται οἶκος τοῦ ἄρτου· τίς δὲ ἄλλος ἐστὶν ὁ οἶκος τοῦ ἄρτου, ἢ ἡ Ἐκκλησία, ἐν ᾗ ὁ ἄρτος ἀπόκειται; Ἔργον οὖν ἐστι τοῖς λογικοῖς ποιμέσιν ἐπιζητεῖν οὐράνιον ἄρτον· καὶ μεθ' ὃ ἴδωσι τὸν ἄρτον, ὀφείλουσι καὶ τοῖς ἄλλοις κηρύττειν· ὥσπερ καὶ οἱ ποιμένες ἰδόντες τὸ βρέφος, διελάλησαν καὶ τοῖς ἄλλοις.

« Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς· καὶ ὑπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν, οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς. » Ποῖα ῥήματα συνετήρει ἡ Παρθένος; Τινὲς μὲν λέγουσιν ὅτι ὅσα εἰρήκει αὐτῇ ὁ ἄγγελος, καὶ ὅσα οἱ ποιμένες εἶπον, ἐπετήρει γὰρ ταῦτα καὶ συνέβαλλεν ἐν τῇ καρδίᾳ αὐτῆς, τουτέστι, συνέκρινε, καὶ εὕρισκεν ἐκ πάντων μίαν σύμφωνον γνώμην, ὅτι Θεός ἐστιν ὁ Υἱὸς αὐτῆς. Ἐμοὶ δὲ δοκεῖ ῥήματα ἐνταῦθα τὰ πράγματα λέγεσθαι· ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον· ἡ δὲ Μαριὰμ συνετήρει πάντα τὰ ῥήματα, ἤτοι τὰ πράγματα ταῦτα, ἃ νῦν ἐγὼ λέγω καὶ ποιῶ εἶναι ῥήματα· τὸ γὰρ πρᾶγμα ὅταν λεχθῇ, γίνεται ῥῆμα· ὑπέστρεψαν δὲ οἱ ποιμένες εὐχαριστοῦντες τῷ Θεῷ ἐπὶ πᾶσιν· οὐ γὰρ ἦσαν φθονεροί, κατὰ τοὺς Ἰουδαίους.

« Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν αὐτὸν, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ· καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ Κυρίῳ· καθὼς γέγραπται ἐν νόμῳ Κυρίου, ὅτι Πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται, καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. » Τοῦ νόμου δόντος ἐντολὰς, οἱ παραβαίνοντες ταύτας ὑπὸ κατάραν ἦσαν. Ὁ τοίνυν Κύριος περιτέμνεται, ἵνα κἀν τούτῳ πληρώσας τὸν νόμον καὶ μηδὲν ἐλλείψας ὧν ἐκεῖνος ἐντέταλκεν, ἐξέληται ἡμᾶς τῆς κατάρας· ἐντρέπωνται δὲ ἐντεῦθεν οἱ λέγοντες, ὅτι κατὰ φαντασίαν ἐσαρκώθη. Πῶς γὰρ περιετμήθη, εἰ κατὰ φαντασίαν ἐσαρκώθη; Ἀνόνητον δὲ καὶ τὸ ἐξετάζειν ποῦ ἐστι τὸ ἀποτμηθὲν ἐκεῖνο μόριον· ἃ γὰρ ἡ Γραφὴ ἀπεσιώπησεν, οὐ δεῖ ἐξετάζειν, καὶ ταῦτα ἐπὶ μηδεμιᾷ ὠφελείᾳ· ἔστι δὲ εἰπεῖν, ὅτι τότε μὲν ὅτε ἀπετμήθη, τῆς γῆς ψαῦσαν, ἡγίασε ταύτην, ὥσπερ καὶ τὸ αἷμα καὶ τὸ ὕδωρ, ἃ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἔῤῥευσαν· οἷς δὲ οἶδε λόγοις, ἐφύλαξε τοῦτο τὸ μόριον ἀβλαβές· καὶ μετὰ τὴν ἀνάστασιν ἀναλαβόμενος τοῦτο, ἠγέρθη, ἵνα καὶ κατὰ τοῦτο ἀνελλιπῶς ἔχων εὑρεθῇ· ἐπεὶ καὶ ἡμεῖς τέλειον τὸ ἡμέτερον σῶμα ἐν τῇ ἀναστάσει ἀποληψόμεθα. Σημείωσαι δὲ ὅτι οὐχ ἅμα τῷ εἰπεῖν τὸν ἄγγελον, Ἰδοὺ συλλήψῃ υἱὸν, συνελήφθη ὁ Κύριος, ἀλλὰ μετὰ ταῦτα ὅτε ἠθέλησεν· ὅρα γὰρ τί λέγει ἐνταῦθα, Τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ· καὶ ἀπ' αὐτῆς δὲ τῆς λέξεως, δείκνυται τοῦτο· οὐ γὰρ εἶπεν, Ἰδοὺ συλλαμβάνεις· ἀλλ', Ἰδοὺ συλλήψῃ. Ὥστε ἐκ τούτων ἔστι συλλογίσασθαι, ὅτι τῇ ὥρᾳ μὲν ἐκείνῃ συνελήφθη ὁ

A divinis, et auditionibus. Bethleem interpretamur donum panis. Quæ autem alia est domus panis, quam Ecclesia, in qua panis **287** repositus est? Officium itaque spiritualium pastorum fuerit, quærere panem cœlestem, quem cum viderint, debent illum et aliis prædicare : sicut et pastores qui viderunt infantem, locuti sunt de eo et aliis.

VERS. 19, 20. «Maria autem conservabat omnia verba hæc, conferens in corde suo. Et reversi sunt pastores glorificantes ac laudantes Deum super omnibus quæ audierant et viderant ita ut dictum fuerat ipsis. » Quæ verba conservabat Virgo? Quidam dicunt quod ea quæ angelus ei dixerat, et quæ pastores narraverant, conservarit et contulerit secum, B inveneritque in omnibus sententiam consonam unam, quod Deus sit Filius suus. Mihi autem videntur verba hoc loco res vel gesta dici, et id esse quod dicitur : Maria autem conservabat omnia verba hæc, id est, gesta hæc quæ nunc ego dico et facio esse verba. Gesta enim quando narrantur, dicuntur verba. Porro pastores reversi sunt gratias agentes Deo in omnibus. Neque enim erant invidi ut Judæi.

VERS. 22-24. « Et postquam consummati sunt dies octo ut circumcideretur puer, vocatum est nomen ejus Jesus, quod vocatum erat ab angelo priusquam in utero conciperetur. Et postea quam completi fuissent dies purgationis eorum secundum legem Moysi, adduxerunt eum Hierosolymam, ut C sisterent eum Domino, sicut scriptum est in lege Domini : Omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur : et ut darent hostiam secundum quod dictum est in lege Domini, par turturum, aut duos pullos columbarum. » Qui mandata legis prævaricabantur, sub maledictione erant. Dominus igitur circumciditur, ut etiam in hoc adimpleta lege, et nullo prætermisso quod illa mandabat, eripiat nos a maledicto. Revereantur hinc qui dicunt quod Christus incarnatus sit apparenter tantum. Quomodo enim circumcisus fuisset, si apparenter incarnatus fuisset? Inutiliter autem quæritur ubi sit absecta illa particula. Nam quæ Scriptura tacuit, ea quærere non oportet, præsertim ubi nulla utilitas. Dici autem posset quod quando ea absecta terram tetigit, illam quoque sanctificarit, sicut etiam sanguis et aqua quæ ex latere ejus fluxerunt. Et videtur quod servarit particula illæsam, et in resur- D rectione iterum resumpserit, ut hæc particula non inveniatur deesse. Quippe et nos in resurrectione perfectum corpus resumpturi sumus Observa autem quod non statim ut dixit angelus, Ecce concipies Filium, conceptus est Dominus, sed postea, quando voluit. Vide enim quid dicat hoc loco: Quod vocatum est ab angelo priusquam conciperetur in utero. Et hoc verbo ostenditur id quod diximus. Non enim dixit, Ecce concipis, sed, Ecce concipies. Atque ex his animadvertere licet, quod hora quidem illa

conceptus fuerit Dominus: non autem illo momento quo angelus dixit; sed forte posteaquam complevit sermones. 288 Hæc autem non dixerimus definitive. Impleti autem sunt dies purgationis illorum secundum legem Mosi. Bene dixit secundum legem Mosi[68]: nam secundum veritatem nulla necessitate Virgo astringebatur exspectare dies purificationis, qui sunt quadraginta, nato mare. Dictum enim est in lege, Mulier quæ suscepto semine conceperit, et peperit masculum. Virgo autem non concepit de semine, sed ex Spiritu sancto peperit: unde nulla illam necessitas urgebat; sed volens implere legem, venit in templum. Quare autem in masculo septem dies, in muliere vero bis totidem? Mulier enim, inquit, si suscepto semine masculum pepererit, immunda erit septem diebus: sin autem feminam, immunda erit duabus hebdomadibus. Quoniam ea quæ pepererit quod masculum est, secundum Adam in mundum induxit. Quæ vero quod muliebre, secundam Evam pepererit, vas putre et debile, amphoram contritam. baculum deceptionis, inductricem inobedientiæ. Quod autem dicit, Omne adaperiens vulvam sanctum Domino: proprie ad Christum solum pertinet. Ipse enim aperuit vulvam Virginis, cum aliis vir aperiat vulvam. Cæterum par turturum offerri jussit lex, ostendens quod ex casto conjugio procreatus sit. Dicunt enim turturem esse castum animal, cumque conjugem amittit, non secundo se copulet. Cum autem non haberent turtures, offerebant duos pullos columbarum, ut multiplicatio prolis fieret vita pueri illius: fecundum enim animal columba.

VERS. 25-32. « Et ecce homo erat Hierosolymis cui nomen Simeon, et homo iste justus ac pius, exspectans consolationem Israel, et Spiritus sanctus erat super eum: et responsum acceperat a Spiritu sancto, non visurum se mortem, nisi prius videret Christum Domini. Et venit per Spiritum in templum. Et cum inducerent puerum Jesum parentes ut facerent secundum consuetudinem legis pro eo, ipse quoque accepit eum in ulnas suas, et benedixit Deum, ac dixit: Nunc absolvis servum tuum, Domine, secundum verbum tuum, in pace: quia viderunt oculi mei salutare tuum, quod parasti ante faciem omnium populorum: lumen ad revelationem gentium, et gloriam plebis tuæ Israel. Non erat Simeon sacerdos, sed homo Deum amans, et exspectans quando veniat Christus consolaturus Hebræos, et liberaturus a servitute peccati, forte et ea qua Romanis et Herodi serviebant. Nam qui Christo credit, liber est revera, et honoratur a regibus ac hominibus omnibus. Vide apostolos, non fuerunt servi Romanorum? sed nunc venerantur eos Romanorum reges. Itaque hos cum essent Israelitæ, consolatus est Christus. Porro hic Simeon Spiritu sancto motus ascendit in templum quando adduxit Dominum Mater, et suscepto illo, Deum confessus

68 Levit. XII, 3, 4.

Κύριος, οὐ μὴν αὐτῇ τῇ στιγμῇ καθ' ἣν ὁ Ἄγγελος ἔλεγεν, ἀλλὰ τυχὸν, ὅτε συνετέλεσε τοὺς λόγους. Ταῦτα δὲ οὐ δογματικῶς λέγομεν. Ἐπλήσθησαν δὲ αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωσέως. Καλῶς εἶπε κατὰ τὸν νόμον Μωσέως· κατὰ γὰρ τὴν ἀλήθειαν, οὐκ εἶχεν ἀνάγκην ἡ Παρθένος περιμένειν τὰς ἡμέρας τοῦ καθαρισμοῦ, αἵτινες ἦσαν τεσσαράκοντα, ἐπὶ ἄρσενι τεχθέντι. Εἴρηται γὰρ ἐν τῷ νόμῳ· Γυνὴ ἥτις ἐὰν σπερματισθῇ, καὶ τέκῃ ἄρσεν· ἡ δὲ Παρθένος οὐκ ἐσπερματίσθη, ἀλλ' ἐκ Πνεύματος ἁγίου ἔτεκεν· ὥστε οὐκ εἶχεν ἀνάγκην, ἀλλὰ πληρῶσαι τὸν νόμον θέλουσα, ἀνῆλθεν εἰς τὸ ἱερόν. Διὰ τί δὲ ἐπὶ μὲν ἄρσενι ἑπτὰ ἡμέραι, ἐπὶ δὲ θηλείᾳ διπλαῖ; Γυνὴ γὰρ, φησὶν, ἐὰν σπερματισθῇ, καὶ τέκῃ ἄρσεν, ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσται· ἐὰν δε θῆλυ, δὶς ἑπτά. Ἐπειδὴ ἡ μὲν τεκοῦσα τὸ ἄρσεν, δεύτερον Ἀδὰμ εἰς τὸν κόσμον εἰσήγαγεν· ἡ δὲ τὸ θῆλυ, δευτέραν Εὔαν ἔτεκεν· τὸ σαθρὸν σκεῦος, τὸ ἀσθενὲς ἀγγεῖον, τὸ συντετριμμένον κεράμιον, τὴν βακτηρίαν τῆς ἀπάτης, τὴν χειραγωγὸν τῆς παρακοῆς. τοῦ δὲ νόμου λέγοντος· Πᾶν τὸ διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ, εἰς Χριστὸν μόνον κυρίως ἐξέβη τοῦτο· αὐτὸς γὰρ διήνοιξε τὴν μήτραν τῆς Παρθένου, ἐπεὶ ταῖς γε ἄλλαις μητράσιν, ὁ ἀνὴρ διανοίγει τὴν μήτραν. Ζεῦγος δὲ τρυγόνων προσφέρειν ἐκέλευσεν ὁ νόμος, δεικνύων ὅτι ἀπὸ σώφρονος συζυγίας ἡ παιδοποιία· φασὶ γὰρ την τρυγόνα, σῶφρον εἶναι ζῶον, ὥστε καὶ ἀποβαλοῦσαν τὸν σύζυγον, μὴ δευτερογαμεῖν· εἰ δὲ μὴ εἶχον τρυγόνας, προσέφερον δύο νεοσσοὺς περιστερῶν, ἵνα ἐπὶ πολυτοκίᾳ γένηται ἡ ζωὴ τοῦ παιδὸς ἐκείνου· ἡ γὰρ περιστερὰ πολύτοκον ζῶον.

« Καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος, δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραὴλ· καὶ Πνεῦμα ἅγιον ἦν ἐπ' αὐτὸν, καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου· καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατα τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ· καὶ εὐλόγησε τὸν Θεὸν, καὶ εἶπε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. » Οὐκ ἦν ἱερεὺς ὁ Συμεὼν, ἀλλ' ἄνθρωπος θεοφιλὴς, καὶ προσδεχόμενος ὅτι ἐλεύσεται ὁ Χριστὸς, παραμυθησόμενος τοὺς Ἑβραίους, καὶ ἀπολύσων τῆς δουλείας τῆς ὑπὸ τὴν ἁμαρτίαν, τάχα δὲ καὶ τῆς ὑπό τοὺς Ῥωμαίους καὶ τὸν Ἡρώδην· ὁ γὰρ τῷ Χριστῷ πιστεύσας, ἐλεύθερος τῷ ὄντι ἐστὶν, ὑπὸ βασιλέων καὶ πάντων τῶν ἀνθρώπων τιμώμενος. Ἴδε τοὺς ἀποστόλους· οὐκ ἦσαν δοῦλοι τῶν Ῥωμαίων· ἀλλὰ νῦν τιμῶσι καὶ προσκυνοῦσιν αὐτοὺς οἱ Ῥωμαίων βασιλεῖς· ἰδοὺ οὖν τούτοις παράκλησις γέγονεν ὁ Χριστὸς, Ἰσραηλίταις οὖσιν· οὗτος

οὖν ὁ Συμεὼν, Πνεύματι ἁγίῳ κινούμενος, ἀνῆλθεν A εἰς τὸ ἱερὸν, ὅτε ἀνήγαγε τὸν Κύριον ἡ μήτηρ· καὶ δεξάμενος αὐτὸν, Θεὸν ὁμολογεῖ· τὸ γὰρ εἰπεῖν νῦν ἀπολύεις με, Δέσποτα, ὁμολογοῦντός ἐστιν, ὅτι Κύριος αὐτός ἐστι ζωῆς καὶ θανάτου. Ὅρα δὲ πῶς οἱ ἅγιοι, δεσμὸν λογίζονται τὸ σῶμα· διὸ καὶ λέγει· Νῦν ἀπολύεις, ὡς ἀπὸ δεσμοῦ· κατὰ τὸ ῥῆμά σου δὲ εἶπε, διὰ τὸν χρησμὸν ὃν ἔλαβεν, ὅτι οὐ μὴ ἀποθάνῃ ἕως οὗ ἴδῃ τὸν Χριστόν· τὸ δὲ, ἐν εἰρήνῃ, ἀντὶ τοῦ, ἐν ἀναπαύσει· ἕως μὲν γὰρ ζῇ ὁ ἄνθρωπος, ταράττεται, καθὰ καὶ Δαυῒδ λέγει· ἀποθανὼν δὲ, εἰρηνεύει· καὶ ἄλλως δὲ τὸ ἐν εἰρήνῃ νοήσεις, τουτέστιν, ἐν τῇ τῆς ἐλπίδος ἀπολήψει. Πρὶν μὲν γὰρ ἴδω, φησὶ, τὸν Κύριον, οὐκ εἰρήνευον τοῖς λογισμοῖς, προσδοκῶν αὐτὸν καὶ ἀεὶ φροντίζων πότε ἐλεύσεται· νῦν δὲ ἰδὼν αὐτὸν καὶ εἰρηνεύσας καὶ ἀποφροντίσας; ἵν' οὕτως εἴπω, ἀπολύομαι· σωτήριον δὲ εἶπε, τὴν σάρ- B κωσιν τοῦ Μονογενοῦς, ἣν ἡτοίμασεν ὁ Θεὸς πρὸ πάντων τῶν αἰώνων· κατὰ πρόσωπον δὲ πάντων τῶν λαῶν ταύτην τὴν σωτηρίαν ἡτοίμασεν· ἵνα γὰρ σώσῃ τὸν κόσμον, καὶ ἵνα πᾶσιν ἐμφανισθῇ ἡ αὐτοῦ σάρκωσις, τούτου ἕνεκεν ἐσαρκώθη. Τὸ δὲ σωτήριον τοῦτο φῶς ἐστιν εἰς ἀποκάλυψιν ἐθνῶν, τουτέστιν, εἰς φωτισμὸν τῶν ἐσκοτισμένων ἐθνῶν, καὶ δόξαν τῶν Ἰσραηλιτῶν· δόξα γὰρ ὁ Χριστὸς τοῦ ἀληθῶς λαοῦ τοῦ Ἰσραὴλ, καθὸ ἐξ αὐτῶν ἀνατέταλκε· καὶ ἐγκαλλωπίζονται τούτῳ οἱ ὄντως εὐγνώμονες Ταῦτα ὁ Συμεών. Δοκεῖ δέ μοι καὶ τὰ τοῦ Δαυῒδ ἐπὶ τούτῳ ἁρμόζειν τῷ Συμεῶνι· Μακρότητος ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

« Καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ, θαυμάζοντες C ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ· καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. » Εὐλόγησε μὲν ἀμφοτέρους ὁ Συμεών· τὸν δὲ νομιζόμενον πατέρα ἀφεὶς, πρὸς τὴν ἀληθῶς μητέρα ἐφθέγγετο· Ἰδοὺ, φησὶν, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ· πτῶσιν μὲν, τῶν μὴ πιστευόντων· ἀνάστασιν δὲ, τῶν πιστευόντων· ἢ καὶ ἄλλως, εἰς πτῶσιν κεῖται ὁ Κύριος, τῶν ἐν ταῖς ψυχαῖς ἡμῶν κακῶν· εἰς ἀνάστασιν δὲ τῶν ἀγαθῶν. Πίπτει πορνεία, ἀνίσταται σωφροσύνη· καὶ ἄλλως δὲ δύναται νοηθῆναι· κεῖται γὰρ ὁ Χριστὸς εἰς πτῶσιν, ἀντὶ τοῦ Μέλλει παθεῖν αὐτὸς, καὶ πεσεῖν D εἰς θάνατον, καὶ ἀναστῆναι μέλλουσι πολλοὶ, πεσόντος αὐτοῦ. Στίξον οὖν ἐν τῷ, εἰς πτῶσιν· εἶτα ἄρξαι, καὶ ἀνάστασιν πολλῶν· σημεῖον δὲ, ὁ σταυρὸς, ὃς μέχρι τοῦ νῦν ἀντιλέγεται, τουτέστιν οὐ παραδέχεται παρὰ τῶν ἀπίστων. Λέγεται δὲ σημεῖον καὶ ἡ σάρκωσις τοῦ Κυρίου· καὶ ξένον σημεῖον. Θεὸς γὰρ ἄνθρωπος γέγονε· καὶ παρθένος, μήτηρ· τὸ δὲ σημεῖον τοῦτο, ἡ σάρκωσις λέγω τοῦ Χριστοῦ, ἀντιλέγεται· οἱ μὲν γὰρ, ἐξ οὐρανοῦ τὸ σῶμά φασιν· οἱ δὲ, κατὰ φαντασίαν· οἱ δὲ, ἄλλο τι φλυαροῦσι. Καὶ σοῦ δὲ αὐτῆς,

A est. Dicere 289 enim, Nunc absolvis servum tuum, Domine, confitentis est, quod ipse sit Dominus vitæ ac mortis. Vide autem quomodo sancti pro vinculo corpus habent. Idcirco dicit: Nunc absolvis, quasi a vinculo: secundum verbum tuum, propter oraculum quod acceperat quod non esset moriturus, donec videret Christum. In pace autem, hoc est, quiete, nam homo quoad vivit turbatur [19], sicut et David dicit: mortuus vero pacem habet. Vel aliter intellige: In pace, hoc est, spei consecutione. Priusquam, inquit, vidissem Dominum, non pacata mente eram, exspectans illum, et semper sollicitus quando veniat: nunc autem ipso viso, et pacem, consecutus, et sollicitudine liberatus, ut sic dicam, absolvor. Salutare autem, incarnatio Unigeniti est, quam ante sæcula omnia Deus præparavit. Ante B faciem vero omnium populorum istam salutem præparavit, ut salvaret mundum, et ut omnibus liquida fiat ejus incarnatio, cujus gratia et incarnatus est. Salutare quoque hoc, lumen est ad revelationem gentium, hoc est, ad illustrationem gentium obtenebratarum, et gloriam Israelitarum. Christus enim gloria est populi qui vere Israel secundum quod ex illo ortus est, et in hoc ornantur qui sapiunt ac intelligunt. Hæc Simeon. Videntur autem mihi et quæ dicta sunt a David, convenire Simeoni: « Longitudine dierum implebo eum, et ostendam illi salutare meum [20]. »

VERS. 33-35. « Et erant pater et mater ejus mirantes super his quæ dicebantur de illo. Et benedixit illis Simeon: et dixit ad Mariam matrem ejus: Ecce positus est hic in ruinam, et resurrectionem multorum in Israel, et in signum cui contradicetur. Quin et tuam ipsius animam penetrabit gladius ut revelentur ex multis cordibus cogitationes. » Benedixit quidem ambobus Simeon: rejecto autem patre putativo, ad veram matrem locutus est: Ecce hic positus est in ruinam, et resurrectionem multorum in Israel. Ruinam quidem dicit eorum qui non crediderunt, qui vero crediderunt, resurrectionem. Vel etiam aliter: In ruinam positus est Dominus malorum quæ in animabus nostris: in resurrectionem vero bonorum. Cadit fornicatio, surgit continentia. Vel aliter quoque intelligi potest: D Positus est enim Dominus in ruinam, hoc est, ipse passurus est, et casurus est in mortem: et cum ceciderit ipse, resurgent multi. Punctum autem pone cum dixeris, in ruinam: deinde incipe, et resurrectionem multorum. Signum autem, crux, cuiusque in hoc tempus contradicitur, hoc est, non recipitur ab incredulis. Dicitur et incarnatio Domini signum, et mirabile signum. Deus enim homo fuit, et virgo mater; huic autem signo, incarnationi, inquam, Christi contradicitur. Quidam enim dicunt carnem e 290 cœlo, quidam vero apparenter, quidam autem

19 Psal. LXXXIX, 7. 20 Psal. XL, 16.

aliud quiddam nugantur. Et tuam ipsius, Virginis dico, animam pertransibit gladius. Fortassis autem et dolorem quem in passione tulit, fortassis autem et scandalum dicit rhomphæam, quo offensa fuit. videns enim crucifixum, fortassis cogitabat, quomodo qui natus est sine semine, qui miracula fecit, qui mortuos suscitavit, crucifixus est, consputus est, mortuus est? Quod autem dicit, Ut revelentur ex multis cordibus cogitationes, hoc significat, quod Revelabuntur et manifestabuntur multorum cogitationes, qui scandalizantur, et reprehensi repentinum invenient remedinm : sicut et tu, o Virgo, revelaberis, et manifesta eris quid sentias de Christo, deinde confirmata eris fide in illum. Similiter et Petrus revelabitur cum negaverit, verum demonstata est Dei potentia, quæ per pœnitentiam ipsum suscepit. Et aliter : Revelatæ sunt e cordibus cogitationes, cum apparuerit proditor, et apparuerint diligentes illum, qualis fuit Joseph qui accessit ad Pilatum : quales fuerunt mulieres quæ permanebant apud crucem.

VERS. 36-40. « Et erat Anna prophetissa filia Phanuel, de tribu Aser. Hæc processerat in multam ætatem, et vixerat cum viro annis septem a virginitate sua, et hæc vidua annorum ferme octoginta quatuor, quæ non discedebat e templo, jejuniis ac deprecationibus serviens nocte ac die. Et hæc eadem hora superveniens, vicissim confitebatur Domino, et loquebatur de illo omnibus qui exspectabat redemptionem Hierosolymis. Et ut perfecerunt omnia secundum legem Domini, reversi sunt C in Galilæam in civitatem suam Nazareth. Puer autem succrescebat, corroborabaturque spiritu et implebatur sapientia : et gratia Dei erat super illum. » Evangelista Annæ profert genealogiam, enumerans ejus patrem ac tribum, ut sciamus illum vera dicere, tot testibus accersitis, qui patrem tribumque ejus noverunt. Ista igitur vicissim confitebatur Domino, hoc est gratias agebat, et docebat omnes de Domino quod ipse esset Salvator, et consolatio nostri exspectantium redemptionem. Postquam autem perfecerunt hæc omnia, reversi sunt in Galilæam in civitatem suum Nazareth. Erat quidem et Bethleem civitas ipsorum, sed ut patria : Nazareth vero ut habitationis locus. Jesus vero quantum ad corpus crevit, quamvis potuisset ex utero Ma- D tris in statura viri perfecti procedere; visum autem fuisset phantasma, et propterea paulatim crescit. Cum autem cresceret, emicuit Dei Verbi sapientia. Non enim sapiens fuit proficiendo, absit : sed paulatim declaravit insitam sapientiam, et juxta corporis staturam dicitur proficere et corroborari spiritu. Si enim quandiu brevis **291** fuisset statura, ostendisset omnem sapientiam, visus fuisset prodigiosus : nunc autem juxta rationem staturæ, seipsum pro ipsius capacitate ostendens, dispensationem implebat, non præsumens sapientiam (quid enim perfectius eo, qui ab initio fuit perfectus ?) verum paulatim illam denudat.

A τῆς Παρθένου, τὴν ψυχὴν διελεύσεται ῥομφαία· τάχα μὲν καὶ ἡ θλίψις ἡ ἐπὶ τῷ πάθει γενομένη· τάχα δὲ, ῥομφαίαν λέγει καὶ τὸν σκανδαλισμὸν ὃν ἐσκανδαλίσθη ὁρῶσα τὸν Κύριον σταυρούμενον. Ἴσως γὰρ ὑπενόει, Πῶς ὁ τεχθεὶς ἀσπόρως, ὁ θαύματα ποιήσας, ὁ νεκροὺς ἀναστήσας, ἐσταυρώθη, καὶ ἐνεκρώθη, καὶ ἐνεπτύσθη; Τὸ δὲ, Ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοὶ, τοῦτο σημαίνει, ὅτι ἀποκαλυφθήσονται καὶ φανερωθήσονται πολλῶν λογισμοὶ σκανδαλιζομένων, καὶ ἐλεγχθέντες, εὑρήσουσι ταχεῖαν τὴν ἴασιν· οἷον καὶ σὺ, ὦ Παρθένε, ἀποκαλυφθήσῃ καὶ φανερωθήσῃ, τί φρονεῖς περὶ τοῦ Χριστοῦ· εἶτα βεβαιωθήσῃ ἐπὶ τῇ εἰς αὐτὸν πίστει· ὁμοίως καὶ Πέτρος ἀπεκαλύφθη ἀρνησάμενος, ἀλλ' ἐδείχθη ἡ ἰσχὺς τοῦ Θεοῦ, προσλαβομένου αὐτὸν διὰ B τῆς μετανοίας· καὶ ἄλλως δὲ ἀπεκαλύφθησαν ἐκ πολλῶν καρδιῶν διαλογισμοὶ, φανέντος τοῦ προδότου, φανέντων τῶν ἀγαπώντων αὐτόν· οἷος ἦν Ἰωσὴφ ὁ ἐλθὼν πρὸς Πιλάτον· οἷαι αἱ γυναῖκες αἱ τῷ σταυρῷ παραμένουσαι.

« Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ, ἀπὸ τῆς παρθενίας αὐτῆς. Καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοηκοντατεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν. Καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ Κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ· καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ. Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ. » Ἐπιμένει ὁ εὐαγγελιστὴς τῇ περὶ τῆς Ἄννης ἀφηγήσει, καὶ τὸν πατέρα καὶ τὴν φυλὴν καταλέγων, ἵνα μάθωμεν ὅτι ἀληθῆ λέγει, μάρτυρας ὡσανεὶ πολλοὺς προσκαλούμενος, τοὺς εἰδότας καὶ τὸν πατέρα καὶ τὴν φυλήν· αὕτη οὖν ἀνθωμολογεῖτο τῷ Κυρίῳ, τουτέστιν, ηὐχαρίστει, καὶ ἐδίδασκε πάντας περὶ τοῦ Κυρίου, ὅτι αὐτὸς εἴη ὁ Σωτὴρ καὶ ἡ παράκλησις ἡμῶν τῶν προσδοκώντων τὴν ἀπολύτρωσιν· μετὰ δὲ τὸ τελέσαι πάντα, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ· ἦν μὲν γὰρ καὶ ἡ Βηθλεὲμ, πόλις αὐτῶν, ἀλλ' ὡς πατρίς· ἡ δὲ Ναζαρὲτ, ὡς κατοικητήριον· ηὔξανε δὲ ὁ Ἰησοῦς κατὰ τὸ σῶμα, καίτοι δυνάμενος ἐκ μήτρας αὐτῆς, εἰς μέτρον ἡλικίας ἀνδρικῆς ἀναβῆναι, ἀλλ' ἔδοξεν ἂν φαντασία, διὰ τοῦτο κατὰ μικρὸν αὐξάνει· αὐξάνοντος δὲ, ἐξεφαίνετο ἡ τοῦ Θεοῦ Λόγου σοφία· οὐ γὰρ κατὰ προκοπὴν ἐγίνετο σοφὸς, ἄπαγε. Ἀλλὰ κατὰ μικρὸν ἐκφαίνων τὴν ἔμφυτον σοφίαν, ἀκολούθων τῇ σωματικῇ ἡλικίᾳ, λέγεται προκόπτειν καὶ κραταιοῦσθαι τῷ πνεύματι· εἰ γὰρ ἐν ὅσῳ ἦν βραχὺς τὴν ἡλικίαν, ἐξέφηνε πᾶσαν σοφίαν, ἔδοξεν ἂν τέρας· νῦν δὲ ἀναλόγως τῇ ἡλικίᾳ ἐνδεικνὺς ἑαυτὸν ὡς ἐνεχώρει, τὴν οἰκονομίαν ἐπλήρου, οὐ προλαμβάνων σοφίαν (τί γὰρ τοῦ ἀπ' ἀρχῆς τελείου γένοιτ' ἂν τελειότερον ;) ἀλλὰ τὴν οὖσαν κατὰ βραχὺ παραγυμνῶν.

« Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ Πάσχα· καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς, ἀπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ· νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδόν· καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς· καὶ μὴ εὑρόντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες αὐτὸν, καὶ ἐγένετο, μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ, καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ· καὶ ἰδόντες αὐτὸν, ἐξεπλάγησαν· καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; Ἰδοὺ ὁ πατήρ σου κἀγὼ, ὀδυνώμενοι ἐζητοῦμέν σε. Καὶ εἶπε πρὸς αὐτούς· Τί ὅτι ἐζητεῖτέ με; Οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. » Συναναβαίνει τοῖς γονεῦσιν εἰς Ἱερουσαλὴμ, ἵνα διὰ πάντων δείξῃ ὅτι οὐκ ἔστιν ἀντίθεος, οὐδ' ἀντιτάσσεται τοῖς νενομοθετημένοις· τελειωσάντων δὲ τὰς ἡμέρας, τὰς ἑπτὰ δηλαδὴ τοῦ Πάσχα, ἀπέμεινεν ἐν Ἱερουσαλήμ· Συνεζήτει δὲ μετὰ τῶν Γραμματέων, ἀπὸ τοῦ νόμου ἐρωτῶν αὐτούς· καὶ ἐξίσταντο πάντες. Ὁρᾷς πῶς προέκοπτεν ἐπὶ σοφίᾳ, διὰ τοῦ γινώσκεσθαι πολλοῖς καὶ θαυμάζεσθαι; ἡ γὰρ ἔμφανσις τῆς σοφίας αὐτοῦ, αὕτη ἐστὶν ἡ προκοπὴ αὐτοῦ. Πατέρα δὲ τὸν Ἰωσὴφ ὀνομάζει ἡ Θεοτόκος, εἰδυῖα μὲν ὡς οὐκ ἔστι πατήρ· πλὴν διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ νομισθῇ ἐκ πορνείας εἶναι, πατέρα αὐτοῦ λέγει τὸν Ἰωσήφ· ἄλλως τε καὶ πατρὸς κηδεμονίαν ἐνδειξάμενον, καὶ ὑπουργίαν ἐν τῇ ἀνατροφῇ, εἰκότως ὠνόμασεν αὐτὸν πατέρα· ὡσανεὶ τιμῶντος αὐτὸν τοῦ ἁγίου Πνεύματος τῇ τοῦ πατρὸς προσηγορίᾳ. Διὰ τί δὲ ἐζήτουν αὐτόν; Ἆρα ὑπόληψιν ἔχοντες ὅτι ἀπόλωλεν ἢ πεπλάνηται ὡς παῖς; Ἄπαγε. Οὔτε γὰρ τῆς πανσόφου Μαρίας τοῦτο ἦν, μυρίας δεξαμένης περὶ αὐτοῦ ἀποκαλύψεις, οὔτε τοῦ Ἰωσὴφ, τοῦ καὶ αὐτοῦ ἀποκαλυφθέντος ὅτι ἐκ Πνεύματος ἁγίου ἐστίν. Ἀλλ' ἐζήτουν αὐτὸν, μήπως ἀπέστη ἀπ' αὐτῶν, μήπως καταλέλοιπεν αὐτούς. Ἐπεὶ δὲ εὗρον αὐτὸν, ὅρα πῶς αὐτοῖς ἀποκρίνεται· τῆς γὰρ Παρθένου, τὸν Ἰωσὴφ πατέρα εἰπούσης αὐτοῦ, ἐκεῖνός φησιν· Οὐκ αὐτός ἐστιν ὁ ἀληθής μου Πατὴρ, ἢ γὰρ ἂν ἐν τῷ οἴκῳ αὐτοῦ ἦμην· ἀλλ' ὁ Θεός ἐστί μου Πατήρ. Καὶ διὰ τοῦτο ἐν τῷ οἴκῳ αὐτοῦ εἰμι, τουτέστιν ἐν τῷ ναῷ αὐτοῦ. Ἀλλ' αὐτοὶ οὐ συνῆκαν ὃ ἐλάλησεν αὐτοῖς· μυστήριον γὰρ ἦν.

« Καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ. Καὶ ἦν ὑποτασσόμενος αὐτοῖς· καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις. » Ὑπετάσσετο τοῖς γονεῦσι, τύπον διδοὺς καὶ ἡμῖν, ὡς ἂν τοῖς πατράσιν ὑποταττώμεθα· συνετήρει δὲ ταῦτα πάντα ἡ Παρθένος. Θεῖα γὰρ ἦν τά τε πραττόμενα καὶ τὰ

VERS. 41-50. « Et ibant parentes ejus quotannis Hierosolymam in die festo Paschæ. Et cum factus esset annorum duodecim, ascendentibus illis Hierosolymam secundum consuetudinem diei festi, consummatisque diebus cum redirent illi, remansit puer Jesus Hierosolymis, et non cognoverunt parentes ejus. Cæterum rati illum esse in comitatu, venerunt itinere diei, et requirebant eum inter cognatos et inter notos. Et cum non invenissent eum, reversi sunt Hierosolymam, quærentes eum. Et accidit post triduum, invenerunt illum in templo sedentem in medio doctorum, audientem illos, et interrogantem eos. Stupebant autem omnes qui eum audiebant, super intelligentia et responsis ejus, et viso eo, admirati sunt Et dixit mater ejus ad illum : Fili, cur fecisti nobis sic? Ecce pater tuus et ego dolentes quærebamus te. Et ait ad illos : Quid est quod quærebatis me? An nesciebatis quod in his quæ Patris mei sunt, oportet me esse? At illi non intellexerunt sermonem, quem locutus est ipsis. » Simul venit cum parentibus in Jerusalem, ut per omnia ostendat se non adversarium Deo, neque repugnantem his quæ a lege posita fuerunt. Cum perfecissent autem dies septem, Paschæ scilicet, mansit in Jerusalem. Disputabat autem cum Scribis, rogans eos de lege: et obstupuerunt omnes. Vides quomodo profecerit in sapientia, eo quod nosceretur a multis, et in admiratione esset? Emicatio enim sapientiæ ejus, profectus ipse est. Porro ipsum Joseph patrem nominat Dei Genitrix, sciens quidem non esse patrem : verumtamen propter Judæos, ut ne videatur ex fornicatione prognatus, patrem ejus dicit Joseph. Vel aliter : Quoniam velut pater curam pueri gerebat, et simul conversando ministrabat, merito nominavit illum patrem, tanquam honorante illum Spiritu sancto patris vocabulo. Quare autem quærebant illum? Num suspicabantur perditum illum aut quod aberrasset ut puer? Absit! Neque enim hoc sapientissimæ Mariæ fuerit, quæ plurimas de illo acceperat revelationes, neque Joseph, qui et ipsi de illo revelatum erat quod a Spiritu sancto esset. Verum quærebant illum, ne quo pacto ab eis abiisset, neque forte reliquisset illos. Ubi autem invenerunt eum, vide quomodo ipsis respondet. Cum enim Virgo Joseph patrem ejus dixisset, ille dixit : Non hic verus pater meus est, alioqui in domo ejus mansissem : sed Deus est Pater meus, et propterea in domo illius sum, hoc est, in templo illius. Verum ipsi non intellexerunt quid locutus **292** esset eis : sacramentum enim erat.

VERS. 51, 52. « Et descendit cum eis, venitque Nazareth : eratque subditus illis. Et mater ejus conservabat omnia verba hæc in corde suo. Et Jesus proficiebat sapientia et ætate, et gratia apud Deum atque homines » Subditus fuit parentibus, dato etiam nobis exemplo ut patribus simus obedientes. Conservabat autem hæc omnia Virgo. Divina enim erant quæ dicebantur et agebantur a

puero, non quasi duodecim annorum, sed quasi perfecto. Vide autem quomodo hoc loco evangelista interpretatur quid sit proficere sapientia; subdit enim, et ætate. Profectum autem ætatis, sapientiæ profectum esse dicit. Gratiam vero habebat apud Deum et apud homines, hoc est, agebat ea quæ Deo beneplacita erant, et quæ laudata ab hominibus. Primum autem apud Deum, et postea apud homines. Primum enim oportet Deo placere, et deinde hominibus.

## CAPUT III.

*De prædicatione Joannis. De interrogantibus Joannem. De Herode et Joanne. De baptismo Salvatoris. De genealogia Christi.*

VERS. 1-3 « Anno autem decimo quinto imperii Tiberii Cæsaris, Pontio Pilato præside Judææ, tetrarcha vero Galilææ Herode, Philippo autem fratre ejus tetrarcha Ituræææ et Trachonitidis regionis, et Lysania Abilenes tetrarcha, sub pontificibus Anna et Caipha, factum est verbum Dei super Joannem Zachariæ filium in deserto. Et venit in omnem regionem finitimam Jordani, prædicans baptismum pœnitentiæ, in remissionem peccatorum. » Recte memor est et temporis, et principum illorum : ut sic demonstret tempore Christi defecisse Judaicorum principum successionem, præsidiatum quidem Pilato homine alterius gentis, tetrarchatum autem Herodis Ascalonitæ filiis tenentibus : credaturque merito adesse Christus, juxta prophetiam Jacob [21]. « Factum est autem, inquit, verbum Dei super Joannem : » ut discas illum non temere, neque citra vocationem ad testificandum Christo prosiliisse, sed divino motum Spiritu. Per verbum intellige Spiritum sanctum, vel mandatum Dei. Factum est autem in deserto verbum Dei ad Joannem, quandoquidem enim filios desertæ multiplicaturus erat, Ecclesiam dico ex gentibus, magis quam ejus quæ habet virum, hoc est, Judaicæ Synagogæ, merito in deserto fit ad Joannem verbum et mandatum Dei. Prædicavit autem baptisma pœnitentiæ populis, hoc est, confessionis. Porro baptisma cooperabatur illis in remissionem peccatorum, quæ per baptismum Christi datur. Neque **293** enim baptisma Joannis remissionem peccatorum habebat, sed ad remissionem conferebat : hoc est, præparabat homines ut acciperent Christi baptisma, quod habebat remissionem peccatorum.

VERS. 5, 6. « Sicut scriptum est in libro sermonum Isaiæ prophetæ dicentis : Vox clamantis in deserto : Parate viam Domini, rectas facite semitas ejus. Omnis vallis implebitur, et omnis mons et collis humiliabitur, et fient quæ obliqua

96 Gen. XLIX, 3.

A λεγόμενα παρὰ τοῦ παιδὸς, καὶ οὐχ ὡς δωδεκαετοῦς, ἀλλὰ τελείου. Ὅρα δὲ πῶς ἐνταῦθα ὁ εὐαγγελιστὴς ἑρμηνεύων τί ἐστι τὸ προκόπτειν σοφίᾳ, ἐπάγει, καὶ ἡλικίᾳ. Τὴν γὰρ προκοπὴν τῆς ἡλικίας, τῆς σοφίας εἶναι λέγει προκοπήν. Ἐχαριτοῦτο δὲ καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις, τουτέστι, καὶ τῷ Θεῷ εὐάρεστα ἔπραττε, καὶ τοῖς ἀνθρώποις ἐπαινετά. Πρῶτον δὲ τὸ παρὰ Θεῷ, εἶτα τὸ παρὰ ἀνθρώποις. Πρῶτον γὰρ δεῖ τῷ Θεῷ ἀρέσκειν, εἶτα τοῖς ἀνθρώποις.

## ΚΕΦΑΛ. Γʹ.

Περὶ τῆς τοῦ Ἰωάννου κηρύξεως. Περὶ τῶν ἐπερωτησάντων τὸν Ἰωάννην. Περὶ Ἡρώδου καὶ Ἰωάννου. Περὶ τοῦ Βαπτίσματος τοῦ Σωτῆρος. Περὶ γενεαλογίας τοῦ Χριστοῦ.

« Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβε- B ρίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ ἀρχιερέων Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ· καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. » Μέμνηται τοῦ τε χρόνου καὶ τῶν ἀρχόντων δικαίως ὡς ἂν δείξῃ ὅτι ἐκλελοίπει ἡ διαδοχὴ τῶν Ἰουδαϊκῶν ἀρχόντων, ἐπὶ Χριστοῦ, ἡγεμονεύοντος μὲν Πιλάτου ἀνθρώπου ἀλλοεθνοῦς, τετραρχούντων δὲ τῶν Ἡρώ- C δου τοῦ Ἀσκαλονίτου υἱῶν καὶ εἰκότως πιστευθείη ἐπιστῆναι ὁ Χριστὸς, κατὰ τὴν τοῦ Ἰακὼβ προφητείαν. « Ἐγένετο δὲ, φησὶ, ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην· » ἵνα σὺ μάθῃς, ὅτι οὐκ αὐτόκλητος ἦλθε μαρτυρῆσαι περὶ Χριστοῦ, ἀλλὰ θείῳ κινούμενος Πνεύματι· τὸ γὰρ ῥῆμα, ἢ τὸ Πνεῦμα τὸ ἅγιον νοήσεις, ἢ τὴν πρόσταξιν τοῦ Θεοῦ. Ἐν τῇ ἐρήμῳ δὲ ἐγένετο τὸ ῥῆμα τοῦ Θεοῦ πρὸς Ἰωάννην· ἐπεὶ γὰρ ἔμελλε τὰ τέκνα τῆς ἐρήμου, τῆς τῶν ἐθνῶν λέγω Ἐκκλησίας, πλείονα γενέσθαι τῶν τῆς ἐχούσης τὸν ἄνδρα, τουτέστι, τῆς Ἰουδαϊκῆς Συναγωγῆς, εἰκότως ἐν τῇ ἐρήμῳ ὄντι γίνεται τῷ Ἰωάννῃ τὸ ῥῆμα καὶ ἡ πρόσταξις τοῦ Θεοῦ. Ἐκήρυσσε δὲ βάπτισμα μετανοίας τοῖς λαοῖς, τουτέστιν, ἐξαγορεύσεως. Τοῦτο δὲ τὸ βάπτισμα συνήργει αὐτοῖς εἰς τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, τὴν διὰ τοῦ βαπτίσματος τοῦ Χριστοῦ D διδομένην. Οὐ γὰρ δὴ τὸ Ἰωάννου βάπτισμα ἄφεσιν εἶχεν ἁμαρτιῶν, ἀλλ' εἰς ἄφεσιν συνεβάλλετο, τουτέστι, παρεσκεύαζε τοὺς ἀνθρώπους, ἵνα δέξωνται τὸ τοῦ Χριστοῦ βάπτισμα, τὸ ἔχον ἄφεσιν ἁμαρτιῶν.

« Ὡς γέγραπται βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου, λέγοντος· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκο-

λιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ A ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. Ὁδὸς μὲν, ἡ κατὰ Χριστὸν πολιτεία, ἣν κελεύει ἑτοιμασθῆναι. Ἔμελλε γὰρ ὅσον οὔπω κηρύττειν ὁ Κύριος. Τρίβοι δὲ, αἱ τοῦ νόμου ἐντολαὶ, ὡς ἤδη τετριμμέναι. Ἃς εὐθείας ποιεῖν διατάττεται. Διέστρεφον γὰρ τὰς ἐντολὰς οἱ Φαρισαῖοι· δύναται δὲ νοηθῆναι καὶ ὁδὸς, ἡ ψυχή· τρίβοι δὲ, τὰ νοήματα καὶ αἱ πράξεις. Δεῖ οὖν ἡμᾶς καὶ τὴν ψυχὴν ἑτοιμάζειν, καὶ τὰς πράξεις καὶ τὰ νοήματα ἡμῶν εὐθέα ποιεῖν. Εἶτα ὥσπερ ἐρωτῶντός τινος· Καὶ πῶς κατορθώσωμεν τοῦτο; δύσεργος γὰρ ἡ ἀρετὴ, καὶ πολλὰς φάραγγας ἔχουσα καὶ δυσκολίας, καὶ ἀπὸ τῶν πονηρῶν δυνάμεων, καὶ ἀπὸ τῶν ἐνοίκων ἡμῖν παθῶν· φησὶν ὅτι Οὐδὲν ἐργῶδες ἔσται, ἀλλὰ πάντα ῥᾴω· αἵ τε γὰρ φάραγγες πληρωθήσονται, τουτέστιν, αἱ φυσικαὶ ἡμῶν δυνά- B μεις, αἱ πρὸς τὸ καλὸν ἀσθενήσασαι καὶ ταπεινωθεῖσαι, ἀναπληρωθήσονται· καὶ πᾶν ὄρος καὶ βουνὸς, αἱ ἀντικείμεναι λέγω δυνάμεις, αἱ διὰ τὴν ὑπερηφανίαν ἀρθεῖσαι, ταπεινωθήσονται. Ἠσθένησαν γὰρ ὡς ἀληθῶς αἵ τε ἀντικείμεναι δυνάμεις, καὶ αἱ δοκοῦσαι ἡμῖν φυσικῶς ἐγκεῖσθαι ἐπιθυμίαι. Καὶ πάντα λεῖα γεγόνασι· καὶ εἰς εὐθεῖαν τὰ σκολιὰ μετήχθησαν. Ὁ γὰρ Χριστὸς, τάς τε ἀντικειμένας δυνάμεις κατήργησεν, αἵτινες ἐνταῦθα λέγονται ὄρη καὶ βουνοὶ, καὶ τὰς φυσικὰς ἡμῶν πρὸς τὸ καλὸν κινήσεις ἀνεζώωσεν· ἃς εἶπεν ὁ εὐαγγελιστὴς φάραγγας πληρουμένας. Διὰ τοῦτο γὰρ ἐσαρκώθη, ἵνα τὴν φύσιν ἡμῶν εἰς τὸ οἰκεῖον ἀποκαταστήσῃ. Καὶ πᾶσα, φησὶ, σὰρξ ὄψεται τὸ σωτήριον τοῦ Θεοῦ· οὐκ ἔτι Ἰουδαῖοι μόνον καὶ προσήλυτοι, ἀλλὰ καὶ πᾶσα σάρξ· εἰς πᾶσαν γὰρ τὴν γῆν ἔφθασε τὸ Εὐαγγέλιον. Πολλὰ C καὶ ἄλλα ἦν εἰπεῖν, ἀλλὰ διὰ τὸ σαφέστερον ταῦτα λελέχθω.

« Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ. Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς. Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. » Γεννήματα ἐχιδνῶν καλεῖ τοὺς Ἰουδαίους, ὡς τοὺς πατέρας αὐτῶν καὶ τὰς μητέρας θλίβοντας. Καὶ γὰρ τοῦτο τὸ ζῶον λέγουσι τὴν μήτραν διεσθίον, οὕτω τίκτεσθαι· ἀλλὰ καὶ τοὺς προ- D φήτας ἀπέκτεινον, καὶ τοὺς διδασκάλους. Μέλλουσαν δὲ ὀργὴν, τὴν αἰώνιόν φησι κόλασιν. Καρποὶ δὲ ἄξιοι τῆς μετανοίας, οὐ μόνον ἡ ἀποφυγὴ τοῦ κακοῦ, ἀλλὰ καὶ ἡ ἐπεξεργασία τοῦ ἀγαθοῦ. Τοῦτο γὰρ ὄντως καρπὸς καὶ γέννημα τῆς μετανοίας, τὸ ἐργάσασθαι τὸ ἀγαθόν. Μὴ ἄρξησθε δὲ λέγειν ἐν ἑαυτοῖς, ὅτι Εὐγενεῖς ἐσμεν, καὶ θαῤῥοῦντες τοῖς πατράσιν, ἀμελῆτε τῆς ἀρετῆς. Καὶ γὰρ καὶ ἐκ τῶν λίθων τούτων δυνήσεται ὁ Θεὸς τῷ πατριάρχῃ παῖδας δοῦναι, ὥσπερ σχεδὸν καὶ πρώην ἐποίησεν. Ἡ γὰρ μήτρα τῆς Σάῤῥας, λίθων οὖσα σκληροτέρα, ὅμως εἰς παιδοποιίαν ἐχαριτώθη· ἀξίνη δὲ, ἡ θεία κρίσις, ἡ ἐκκό-

A sunt, directa, et aspera in vias planas, et videbit omnis caro salutare Dei. » Via quidem quam jubet parari, vita est Christiana. Paulo post enim prædicaturus erat Dominus. Semitas vero dicit mandata legis jam trita, quæ præcipit recta facere. Pervertebant enim mandata Pharisæi. Potest item per viam anima intelligi; semitæ vero cogitationes et opera. Oportet igitur ut nos præparemus et animam, rectasque faciamus cogitationes ac opera. Deinde quasi interrogante quopiam, Et quo pacto hoc faciemus? virtus enim ardua est ac difficilis, multosque anfractus habet et obliquitates, et propter potestates adversarias, et propter affectionos quæ in nobis habitant: dicit non fore operosum, sed omnino facile. Nam valles, inquit, implebun- B tur, hoc est, naturales nostræ petestates, quæ ad bonum infirmæ factæ sunt et dejectæ, replebuntur, omnisque mons et collis, adversariæ nimirum potestates, quæ propter superbiam se extollunt, humiliabuntur. Vere enim infirmatæ sunt potestates illæ adversariæ, et cupiditates quæ natura nobis videntur insitæ. Facta igitur sunt omnia facilia et obliqua versa sunt in recta. Christus enim adversarias potestates protrivit, quæ hoc loco montes ac colles dicuntur, et naturales nostras inclinationes ad bonum revivificavit, quas dixit evangelista valles quæ implentur. Nam propterea incarnatus est, ut naturam nostram restitueret. Et omnis, inquit, caro videbit salutare Dei, non Judæi tantum et proselyti, sed omnis caro. Etenim in omnem terram pervenit Evange- C lium. Possent quidem et alia multa dici, sed hæc ut manifestiora dicta sint.

VERS. 7-9. « Dicebat ergo ad turbas quæ exibant ut baptizarentur ab ipso: Progenies viperarum, quis vobis submonstravit ut fugeretis a ventura ira? Facite ergo fructus dignos pœnitentiæ, et ne cœperitis dicere intra vosipsos: Patrem habemus Abraham: dico enim vobis, potens est Deus de lapidibus istis suscitare filios ipsi Abrahæ. Jam vero et securis ad radicem arborum posita est. Omnis ergo arbor non faciens fructum bonum, exciditur, et in ignem conjicitur. » Progenies viperarum vocat Judæos, tanquam affligentes patres et matres suas. Tradunt enim de hoc animali, D quod uterum devoret, et sic nascatur, sic et Judæi prophetas et doctores occidebant. Venturam iram 294 dicit perpetuum supplicium. Fructus autem pœnitentiæ non solum est fuga mali, sed etiam elaboratio boni. Hoc enim revera est preferre fructum pœnitentiæ, si bonum operati fuerimus. Ne cœperitis autem dicere intra vos: Nobiles sumus: neve confidentes in patribus, virtutem negligatis. Poterit enim Deus ex lapidibus istis patriarchæ filios dare, sicut fere prius etiam fecit. Vulva enim Sarræ lapidibus erat durior, attamen ad procreandos filios gratiam consecuta est. Porro securis divinum judicium est, indignos e vita rese-

cans. Nisi igitur pœnitentiam egeritis, inquit, excidemini ab hac vita. Securis enim posita est ad radicem vestrarum arborum. Proinde ut diximus, per radicem, vita intelligitur. Intelligitur autem et per radicem, Abrahæ cognatio. Itaque rami illo indigni exciduntur ab ejus cognatione, juxta Apostolum. Cæterum duplex est supplicium. Peccator enim et sterilis non solum exciditur a cognatione justorum, sed et in ignem conjicitur.

VERS. 10-18. « Et interrogabant eum turbæ dicentes: Quid ergo faciemus? Respondens autem dicit illis: Qui habet duas tunicas, impertiat non habenti: et qui habet escas, similiter faciat. Venerunt autem et publicani ut baptizarentur, et dixerunt ad illum: Magister, quid faciemus? At ille dixit ad eos: Ne quid amplius quam quod constitutum est vobis, exigatis. Interrogabant autem eum et milites, dicentes: Et nos quid faciemus? Et ait illis: Ne quem concutiatis, ne quem calumniemini, et contenti estote obsoniis vestris. Exspectante autem populo, et cogitantibus omnibus in corde suo de Joanne, num ipse esset Christus ille, respondit Joannes universis, dicens: Ego quidem aqua baptizo vos, sed veniet fortior me, cujus non sum dignus solvere corrigiam calceamentorum, ipse vos baptizabit Spiritu sancto et igni, cujus ventilabrum in manu ipsius, et purgabit aream suam, et congregabit triticum in horreum suum, paleas autem comburet igni inexstinguibili. Multa quidem et alia exhortans evangelizabat populo. » Admonet et exhortatur tres illos ordines qui ad Joannem accesserant, turbas, publicanos, et milites. Et turbas quidem admonet ut eleemosynæ vacent, præcipiens habenti duas vestes, communicare ei qui non habet. Publicanis vero non plus quam constitutum est ipsis extorquere, hoc est exigere: militibus autem non rapere, sed contentos esse obsoniis, hoc est, his quæ a rege juxta consuetam liberalitatem erogantur. Vide autem quomodo turbis ceu innocentibus dicit, exhortans ut bonum quiddam faciant, hoc est, ut communicent. Publicanis vero militibusque, ut absistant a malo. Neque enim capaces illi erant, neque bonum quidpiam facere poterant, sed sufficiebat eis non facere malum. **295** Quidam anagogiam hic admittunt, et intelligunt quod habentes duas vestes communicare debeant non habenti, dicentes duas vestes, spiritum Scripturæ, et litteram: et exhortatur eum qui duas habet, ut communicet ei qui omnino nudus est: ut si quis sit qui Scripturam bifariam intelligat, et secundum spiritum, et secundum litteram, communicet ei qui non habet, hoc est, doceat ignorantem, et det ei vel litteram. Tanta autem fuit Joannis virtus, ut omnes cogitarent apud se de illo quod esset Christus. Talem itaque suspicionem repellens, inquit: Tantum inter me et Christum interest, ut ego quidem in aqua baptizem, ille autem in Spiritu et igni: et neque ego dignus sum qui corrigiam calceamentorum illius solvam. Quid au-

A πτουσα τοὺς ἀναξίους ἐκ τῆς ζωῆς. Εἰ μὴ οὖν μετανοήσητε, φησὶν, ἐκκοπήσεσθε ἀπὸ τῆς ζωῆς. Ἐπίκειται γὰρ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν ὑμῶν τῶν δένδρων. Νοεῖται μὲν οὖν ῥίζα, ἡ ζωὴ, ὡς εἴπομεν. Νοηθείη δ' ἂν καὶ ῥίζα, ἡ τοῦ Ἀβραὰμ συγγένεια· ἀφ' ἧς συγγενείας τοῦ Ἀβραὰμ ἐκκόπτονται οἱ μὴ ὄντες ἄξιοι κλάδοι εἶναι αὐτοῦ, κατὰ τὸν Ἀπόστολον. Διπλῆ δὲ ἡ τιμωρία. Οὐ μόνον γὰρ ἐκκόπτεται τῆς πρὸς τοὺς δικαίους συγγενείας ὁ ἁμαρτωλὸς καὶ ἄκαρπος, ἀλλὰ καὶ εἰς πῦρ βάλλεται.

« Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες· Τί οὖν ποιήσομεν; Ἀποκριθεὶς δὲ, λέγει αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω. Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτόν· Διδάσκαλε, τί B ποιήσωμεν; Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε· Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· Καὶ ἡμεῖς τί ποιήσομεν; Καὶ εἶπε πρὸς αὐτούς· Μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν. Προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστὸς, ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι, λέγων. Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ, αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. C Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν, εὐηγγελίζετο τὸν λαόν. » Τρία τάγματα προσελθόντα αὐτῷ, ὁ Ἰωάννης νουθετεῖ, τοὺς ὄχλους, τοὺς τελώνας, καὶ τοὺς στρατιώτας· Τοῖς μὲν οὖν ὄχλοις παραινεῖ προσέχειν τῇ ἐλεημοσύνῃ, τὸν ἔχοντα δύο χιτῶνας κελεύων μεταδοῦναι τῷ μὴ ἔχοντι· τοῖς δὲ τελώναις, τὸ μηδὲν πλέον εἰσπράσσειν, τουτέστιν, ἀπαιτεῖν· τοῖς δὲ στρατιώταις, τὸ μὴ ἁρπάζειν, ἀλλ' ἀρκεῖσθαι τοῖς ὀψωνίοις, τουτέστι, ταῖς διδομέναις παρὰ τοῦ βασιλέως κατὰ συνήθειαν φιλοτιμίαις. Ὅρα δὲ πῶς τοῖς μὲν ὄχλοις ὡς ἀκάκοις οὖσι παραινεῖ πρᾶξαί τι ἀγαθὸν, τουτέστι, τὸ μεταδοῦναι, τοῖς δὲ τελώναις καὶ στρατιώταις, ἀποσχέσθαι τοῦ κακοῦ. Οὔπω γὰρ ἐχώρουν οὗτοι, οὐδὲ ἠδύναντο ποιῆσαί τι ἀγαθὸν, ἀλλ' ἀρκετὸν αὐτοῖς τὸ μὴ κακὰ ποιεῖν. D Τινὲς δὲ καὶ κατὰ ἀναγωγὴν νοοῦσι τὸ, τὸν ἔχοντα δύο χιτῶνας μεταδοῦναι τῷ μὴ ἔχοντι· φασὶ γὰρ δύο χιτῶνας εἶναι, τό τε πνεῦμα τῆς Γραφῆς, καὶ τὸ γράμμα. Τὸν ἔχοντα οὖν τὰ δύο, προτρέπεται ὁ Ἰωάννης μεταδοῦναι τῷ παντελῶς γυμνῷ· οἷον, ἔστι τις τὴν Γραφὴν νοῶν διττῶς, κατά τε τὸ γράμμα καὶ κατὰ τὸ πνεῦμα, μεταδότω οὖν τῷ μὴ ἔχοντι, διδαξάτω τὸν ἀγνοοῦντα, καὶ δότω αὐτῷ κἂν τὸ γράμμα. Τοσαύτη δὲ ἦν ἡ τοῦ Ἰωάννου ἀρετὴ, ὥστε πάντας ὑπολογίζεσθαι περὶ αὐτοῦ, μήποτε ἄρα αὐτός ἐστιν ὁ Χριστός. Τὴν τοιαύτην οὖν ὑπόνοιαν ἀποκρουόμενος, φησὶν, Καὶ τοσοῦτον ἐμοῦ Χριστοῦ τὸ διάφορον, ὥστε ἐγὼ μὲν, ἐν ὕδατι βαπτίζω, ἐκεῖνος δὲ ἐν Πνεύματι καὶ πυρί· καὶ ἄλλο, ὅτι οὐδὲ τὸν

ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ ἱκανός εἰμι λῦσαι. Τί δὲ ταῦτα δηλοῦσι; Τὸ μὲν, Βαπτίσει ὑμᾶς ἐν Πνεύματι καὶ πυρὶ, πρόδηλον πάντως· καὶ γὰρ τοῖς ἀποστόλοις ἔπεμψε τὸ πνεῦμα, καὶ πύριναι γλῶσσαι ὤφθησαν μεριζόμεναι αὐτοῖς. Τὸ δὲ μὴ εἶναι ἱκανὸν λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ, κατὰ μὲν τὴν προφανῆ ἔννοιαν, ὅτι Οὐδὲ ἔσχατος δοῦλος αὐτοῦ εἰμι ἄξιος τάττεσθαι. Κατὰ δὲ τὸ κρυφιώτερον, δύο ὑποδήματά εἰσι τοῦ Κυρίου, ἥ τε ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπιδημία, καὶ ἡ ἐκ γῆς ἐπὶ τὸν ᾅδην· τούτων οὖν τῶν δύο ἐπιδημιῶν τοὺς τρόπους, οὐ δύναταί τις λῦσαι, οὐδὲ εἰ κατὰ Ἰωάννην ἐστί. Τίς γὰρ δύναται εἰπεῖν, ἢ πῶς ἐσαρκώθη, ἢ πῶς κατῆλθεν εἰς ᾅδην; Τὸ δὲ Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, τοῦτο σημαίνει, ὅτι, Εἰ καὶ βαπτίσει ὑμᾶς, μὴ νομίζετε ὅτι ἤδη ἀθῷοί ἐστε· ἀλλ' εἰ μὴ τὸν μετὰ ταῦτα βίον ἄμωμον ἐνδείξεσθε, κατακαύσει ὑμᾶς πυρὶ ἀσβέστῳ· ἄχυρον γάρ ἐστιν. ὁ ἄκαρπον ἔχων νοῦν, καὶ μόνον συρφετὸν πολὺν βιωτικῶν πραγμάτων ἐπιφερόμενος. « Πολλὰ δὲ καὶ ἕτερα παρακαλῶν, εὐηγγελίζετο τὸν λαόν. » Παράκλησις γὰρ ὄντως ἐστὶν ἡ ἀγαθὴ διδασκαλία· καὶ εὐαγγέλιον δὲ εἰκότως ἂν λεχθείη.

« Ὁ δὲ Ἡρώδης ὁ Τετράρχης ἐλεγχόμενος ὑπ' αὐτοῦ περὶ Ἡρωδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν ἐποίησε πονηρῶν ὁ Ἡρώδης, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν, καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανὸν καὶ καταβῆναι τὸ Πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰν ἐπ' αὐτὸν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν· Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν σοὶ ηὐδόκησα. » Εἰκότως παρενέβαλεν ὁ εὐαγγελιστὴς ἐνταῦθα τὰ περὶ Ἡρώδου, μονονουχὶ τοιάδε λέγων· Ὁ μὲν ὄχλος, τοιαῦτα περὶ Ἰωάννου διελογίζετο, ὁ δὲ Ἡρώδης ἐλεγχόμενος ὑπ' αὐτοῦ, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, τὸ κατακλεῖσαι αὐτὸν ἐν τῇ φυλακῇ· ὡσανεὶ οὖν σχετλιάζων, ταῦτα διηγεῖται καὶ δεινοπαθῶν, εἴγε τοῦ ὄχλου τοιαύτην ὑπόληψιν ἐπὶ τῷ Ἰωάννῃ ἔχοντος, ὁ Ἡρώδης τοιαῦτα ἐπεδείξατο. Ἀνοίγεται δὲ ὁ οὐρανὸς, ἵνα δειχθῇ ἡμῖν ὅτι τὸ βάπτισμα ἀνοίγει πᾶσι τὸν οὐρανὸν, ὃν ὁ Ἀδὰμ ἔκλεισε. Κάτεισί τε τὸ Πνεῦμα ἐπὶ τὸν Ἰησοῦν, ἵνα καὶ ἐκ τούτου μάθωμεν ὅτι καὶ ἡμῖν βαπτιζομένοις ἔπεισι τὸ Πνεῦμα· οὐ γὰρ δὴ ὁ Κύριος ἐδέετο τοῦ Πνεύματος. Ἀλλὰ πάντα δι' ἡμᾶς ποιεῖ, καὶ ἀπαρχὴ αὐτὸς γίνεται πάντων, ὧν ἐμέλλομεν ἡμεῖς λαμβάνειν ὕστερον, ὡς ἂν πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς γένηται· ὡς περιστερὰ δὲ, ἵνα μάθωμεν ὅτι πράους ἡμᾶς εἶναι δεῖ καὶ καθαρούς· καὶ ὅτι ὥσπερ ἐπὶ τοῦ Νῶε, περιστερὰ ἐμήνυσε τὴν κατάπαυσιν τῆς τοῦ Θεοῦ ὀργῆς, οὕτω καὶ ἐνταῦθα, τὸ Πνεῦμα τὸ ἅγιον κατήλλαξεν ἡμᾶς τῷ Θεῷ, κατακλυσμὸν τῆς ἁμαρτίας ποιησάμενον· καὶ Υἱὸς δὲ ἀκούει, παρὰ τοῦ Πατρὸς ἐνεχθείσης τῆς φωνῆς, δεικνὺς ὅτι καὶ ἡμῖν βαπτιζομένοις, τὴν υἱοθεσίαν ἐχαρίσατο Ἐν σοὶ δὲ εὐδόκησα, ἀντὶ τοῦ, ἐπανεπαύθην.

A tem hæc sibi volunt? Baptizavit vos in Spiritu et igni, manifestum omnino. Etenim apostolis Spiritum misit, et igneæ linguæ apparuerunt dispertitæ illis. Non autem dignum esse ut solvat corrigiam calceamentorum, clara sententia est, quod non sit dignus qui inter extremos servos ordinetur. In sensu autem occultiore, duo calceamenta Domini, sunt perfectiones ejus duæ, una e cœlis in terram, altera e terra in infernum : harum enim duarum profectionum modum non potest quispiam solvere, ne si Joanni quidem similis fuerit. Quis enim explicare poterit, aut quomodo incarnatus sit, aut quomodo in infernum descenderit? Jam ventilabrum in manu ejus, hoc signat, quod Licet baptizavit vos, ne putetis quod jam insontes sitis : sed nisi posthac vitam egeritis immaculatam, exuret vos igni inexstinguiB bili. Palea enim est qui infecundam mentem habet, et tantummodo magnam rerum temporalium curam gerit. « Multa autem et alia exhortans evangelizabat populo. » Consolatio enim et exhortatio, revera est doctrina bona, et jure dicitur evangelium

VERS. 19-22. « Herodes autem Tetrarcha cum corriperetur ab illo de Herodiade uxore fratris sui, deque omnibus malis quæ faciebat Herodes, adjecit et hoc super omnia, et inclusit Joannem in carcerem. Factum est autem cum baptizeretur omnis populus, ut et Jesu baptizato et orante apertum sit cœlum, ac descendit Spiritus sanctus corporali specie quasi columba in ipsum, et vox de cœlo facta est quæ diceret : Tu es Filius ille mens dilectus, in te complacitum est mihi. » Merito interserit hoc loco C evangelista de Herode, quasi in hunc modum dicens: Turba quidem talia de Joanne sentiebat, Herodes autem cum reprehenderetur ab eo, etiam ad omnia alia facinora adjecit ut includeret illum in carcere. Narrat itaque hæc miserum illum et ærumnosum indicans, quandoquidem talia ausus fuerat, turba tantam, opinionem habente de **296** Joanne. Aperitur autem cœlum, ut monstretur nobis quod baptisma aperiat omnibus cœlum, quod Adam clauserat, Descendit autem Spiritus in Jesum, ut ex hoc discamus quod et in nos, cum baptizamur, descendat Spiritus. Neque enim Spiritu Dominus opus habebat, sed omnia propter nos facit, et primitiæ ipse fit omnium quæ nos sumpturi sumus posthac, ut fiat primogenitus in multis fratribus. D In specie autem columbæ descendit, ut discamus quod mansuetos nos esse oporteat, ac mundos. Et sicut tempore Noe columba significavit quievisse iram Dei [22], sic et hoc loco Spiritus sanctus conciliavit nos Deo, facto peccati diluvio. Et Filius audit a Patre vocem allatam, monstrans quod et nobis qui baptizamur, adoptionem filiorum Dei largitus sit. In te bene placitum est mihi, hoc est, in te quietem accepi.

[22] Gen. VIII, 11.

VERS. 23-28. «Et ipse Jesus incipiebat esse ferme A aunorum triginta, ut putabatur, filius Joseph, qui fuit filius Heli, qui fuit Mathat, qui fuit Levi, qui fuit Melchi, qui fuit Janne, qui fuit Joseph, qui fuit Mattathiæ, qui fuit Amos, qui fuit Naum, qui fuit Hesli, qui fuit Naggæ, qui fuit Maath, qui fuit Mattathiæ, qui fuit Semei, qui fuit Josech, qui fuit Juda, qui fuit Joanna, qui fuit Rhesa, qui fuit Zorobabel, qui fuit Salathiel, qui fuit Neri, qui fuit Melchi, qui fuit Addi, qui fuit Cosam, qui fuit Helmadam, qui fuit Her, qui fuit Jeso, qui fuit Eliezer, qui fuit Jorem, qui fuit Mattha, qui fuit Levi, qui fuit Simeon, qui fuit Jnda, qui fuit Joseph, qui fuit Jonam, qui fuit Heliachim, qui fuit Meleah, qui fuit Menna, qei fuit Matthatha, qui fuit Nathan, qui fuit B David, qui fuit Jesse, qui fuit Obed, qui fuit Booz, qui fuit Salmo, qui fuit Naason, qui fuit Aminadab, qui fuit Aram, qui fuit Esrom, qui fuit Phares, qui fuit Judæ, qui fuit Jacob, qui fnit Isaac, qui fuit Abrahæ, qui fuit Tharræ, qui fuit Nachor, qui fuit Saruch, qui fuit Ragau, qui fuit Phalec, qui fuit Heber, qui fuit Sale, qui fuit Cainan, qui fuit Arphaxad, qui fuit Sem, qui fuit Noe, qui fuit Lamech, qui fuit Mathusale, qui fuit Enoch, qui fuit Jared, qui fuit Malalehel, qui fuit Cainan, qui fuit Enos, qui fuit Seth, qui fuit Adam, qui fuit Dei. » Cum triginta annorum esset Dominus, baptizatus est, eo quod ætas illa perfectissima est, et illa homo vel probus vel improbus cognoscitur. Ipsius autem genealogiam recenset Lucas retrogrado ordine a Matthæo, ut ostendat quod is qui nunc natus est in C carne, a Deo sit. Vide enim quomodo recensendo catalogum, recurrat in Deum, ut discamus quod patres omnes intermedios in Deum reducat, et filios faciat, ideo incarnatus est. Possum autem et aliter dicere : Difficilis creditu erat nativitas Christi quod sine semine sit; volens igitur evangelista ostendere, 297 quod et alias sine semine factus sit homo ab inferioribus ascendit ad Adam et Deum, quasi dicens : Si non credis quod secundus Adam sine semine factus sit, ascende, precor, memoria ad priorem Adam, et invenies etiam illum sine semine factum a Deo, et posthac ne sis incredulus. Quærunt autem quidam quomodo Matthæus Josephum dicat filium Jacob, Lucas autem filium Heli : impossibile autem unum habuisse duos patres. Dicunt D itaque ad hoc, quod Jacob et Heli uterini fratres fuerint ex diversis patribus: mortuo autem Heli sine liberis, Jacob ejus uxorem duxerit, ex illa procreaturus filios. Et sic dicitur Joseph esse filius Jacob natura : filius autem Heli, lege. Jacob enim ipsum natura genuit, et vere, denique et naturalis ejus filius est, Heli vero filius legitimus. Lex enim jussit, si quis sine liberis moriatur, ut ejus uxor ipsius fratri copuletur [23], et quod inde nascetur, mortui esse censeatur, tametsi natura sit viventis. Et sic bene dicunt evangelistæ, neque sunt inter se con-

« Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτων τριάκοντα ἀρχόμενος ὤν, ὡς ἐνομίζετο, υἱὸς Ἰωσὴφ, τοῦ Ἡλὶ, τοῦ Ματθὰτ, τοῦ Λευΐ, τοῦ Μελχὶ, τοῦ Ἰαννὰ, τοῦ Ἰωσὴφ, τοῦ Ματταθίου, τοῦ Ἀμὼς, τοῦ Ναοὺμ, τοῦ Ἐσλὶ, τοῦ Ναγγαὶ, τοῦ Μάαθ, τοῦ Ματταθίου, τοῦ Σεμεῒ, τοῦ Ἰωσὴχ, τοῦ Ἰούδα, τοῦ Ἰωαννᾶ, τοῦ Ῥησᾶ, τοῦ, Ζοροβάβελ, τοῦ Σαλαθιὴλ, τοῦ Νηρὶ, τοῦ Μελχεὶ, τοῦ Ἀδδεὶ, τοῦ Κωσὰμ, τοῦ Ἐλμαδὰμ, τοῦ Ἢρ, τοῦ Ἰησὼ, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρὴμ, τοῦ Ματθὰτ, τοῦ Λευεὶ, τοῦ Συμεὼν, τοῦ Ἰούδα, τοῦ Ἰωσὴφ, τοῦ Ἰωνὰμ, τοῦ Ἐλιακεὶμ, τοῦ Μελεᾶ, τοῦ Μαινὰν, τοῦ Ματταθᾶ, τοῦ Ναθὰν, τοῦ Δαυῒδ, τοῦ Ἰεσσαὶ, τοῦ Ὠβὴδ, τοῦ Βοὸζ, τοῦ Σαλμὼν, τοῦ Ναασσὼν, τοῦ Ἀμιναδὰβ, τοῦ Ἀρὰμ, τοῦ Ἐσρὼμ, τοῦ Φαρὲς, τοῦ Ἰούδα, τοῦ Ἰακὼβ, τοῦ Ἰσαὰκ, τοῦ Ἀβραὰμ, τοῦ Θάρα, τοῦ Ναχὼρ, τοῦ Σαροὺχ, τοῦ Ῥαγαῦ, τοῦ Φαλὲκ, τοῦ Ἐβὲρ, τοῦ Σαλὰ, τοῦ Καϊνὰμ, τοῦ Ἀρφαξὰδ, τοῦ Σὴμ, τοῦ Νῶε, τοῦ Λάμεχ, τοῦ Μαθουσάλα, τοῦ Ἐνὼχ, τοῦ Ἰαρὲδ, τοῦ Μαλελεὴλ, τοῦ Καϊνᾶν, τοῦ Ἐνὼς, τοῦ Σὴθ, τοῦ Ἀδὰμ, τοῦ Θεοῦ. » Τριάκοντα μὲν ὢν ἐτῶν, ἐβαπτίσθη ὁ Κύριος, διότι αὕτη ἡ ἡλικία ἐστὶ τελειοτάτη· καὶ κατὰ ταύτην ὁ ἄνθρωπος, ἢ δόκιμος ἢ ἀδόκιμος. Γενεαλογεῖ δὲ αὐτὸν ὁ Λουκᾶς, ἀντιστρόφως τῷ Ματθαίῳ, ἵνα δείξῃ ὅτι ὁ νῦν γεννηθεὶς ἐν σαρκὶ, ἀπὸ τοῦ Θεοῦ ἐστιν. Ὅρα γὰρ τὴν γενεαλογίαν, πῶς καταντᾷ εἰς τὸν Θεὸν, καὶ ἅμα, ἵνα μάθωμεν, ὅτι ἵνα πάντας τοὺς ἐν μέσῳ πατέρας εἰς Θεὸν ἀναγάγῃ καὶ υἱοὺς ποιήσῃ, τούτου ἕνεκεν ἐσαρκώθη. Ἔχω δὲ καὶ ἑτέρως εἰπεῖν· Ἠπιστεῖτο ἡ γέννησις τοῦ Κυρίου, ὡς ἄνευ σπορᾶς οὖσα· θέλων οὖν δεῖξαι ὁ εὐαγγελιστὴς, ὅτι καὶ ἄλλοτε ἄνευ σπορᾶς ἐγένετο ἄνθρωπος, ἀπὸ τῶν κάτω ἀνέρχεται ἐπὶ τὸν Ἀδὰμ καὶ τὸν Θεόν· μονονουχὶ λέγων ἡμῖν· Εἰ ἀπιστεῖς πῶς ὁ δεύτερος Ἀδὰμ ἐγένετο δίχα σπορᾶς, ἄνελθέ μοι τῷ νῷ ἐπὶ τὸν πρότερον Ἀδὰμ, καὶ εὑρήσεις αὐτὸν ἄνευ σπορᾶς γενόμενον ὑπὸ τοῦ Θεοῦ, καὶ λοιπὸν, μὴ ἀπίστει. Ζητοῦσι δέ τινες, πῶς ὁ μὲν Ματθαῖος τὸν Ἰωσὴφ τοῦ Ἰακὼβ λέγει εἶναι παῖδα· ὁ δὲ Λουκᾶς, τοῦ Ἡλί· ἀδύνατον γὰρ, φασὶ, τὸν αὐτὸν δύο πατέρων εἶναι παῖδα. Λέγουσιν οὖν πρὸς τοῦτο, ὅτι ὁ Ἰακὼβ καὶ ὁ Ἡλὶ, ὁμομήτριοι ἀδελφοὶ, ἄλλου δὲ καὶ ἄλλου πατρός· ἀποθανόντος οὖν τοῦ Ἡλὶ ἄπαιδος, ἠγάγετο τὴν γυναῖκα αὐτοῦ ὁ Ἰακὼβ, παιδοποιήσων ἐξ αὐτῆς· καὶ οὕτω λέγεται ὁ Ἰωσὴφ, Ἰακὼβ εἶναι παῖς τῇ φύσει, καὶ τοῦ Ἡλὶ τῷ νόμῳ· ὁ μὲν γὰρ Ἰακὼβ, φύσει αὐτὸν ἐγέννησε καὶ ἀληθῶς, καὶ φυσικὸς λοιπὸν υἱός ἐστιν αὐτοῦ· τοῦ δὲ Ἡλὶ, κατὰ τὸν νόμον μόνον ἦν παῖς· ὁ γὰρ νόμος ἐκέλευεν, ἐὰν τις τελευτήσῃ ἄπαις, τούτου τὴν γυναῖκα συζεύγνυσθαι τῷ ἀδελφῷ αὐτοῦ, καὶ τὸ ἐκ τούτου τεχθησόμενον, νομίζεσθαι εἶναι τοῦ τεθνηκότος, εἰ καὶ φύσει τοῦ ζῶντος ἦν· ὥστε καλῶς λέγουσιν οἱ εὐαγγελισταὶ, καὶ οὐκ ἐναντιοῦνται· ὁ μὲν γὰρ Ματθαῖος, τὸν φυσικὸν πατέρα τοῦ Ἰωσὴφ ἀνεγράψατο· ὁ δὲ Λουκᾶς, τὸν κατὰ τὸν νόμον πατέρα αὐτοῦ λογιζόμενον, τουτέστι, τὸν Ἡλὶ, ἵνα δείξωσιν ἀμφότεροι, ὅτι διὰ

[23] Deut. XXV.

τοῦτο ἐγεννήθη ὁ Κύριος ἵνα καὶ φύσιν καὶ νόμον ἁγιάσῃ.

A trarii. Matthæus enim naturalem patrem Joseph descripsit, Lucas autem legalem et putativum patrem, hoc est, Heli : ut ambo ostendant quod propter hoc natus sit Dominus, ut et naturam et legem sanctificet.

## ΚΕΦΑΛ. Δ'.

Περὶ νηστείας καὶ πειρασμοῦ τοῦ Σωτῆρος. Περὶ Ἰησοῦ ἀχθέντος ὑπὸ τῶν Ἰουδαίων εἰς τὸ ὄρος, καὶ διὰ μέσου αὐτῶν διελθόντος. Περὶ τοῦ ἔχοντος πνεῦμα δαιμονίου. Περὶ τῆς πενθερᾶς Πέτρου. Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.

Ἰησοῦς δὲ Πνεύματος ἁγίου πλήρης, ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου· καὶ ἤγετο ἐν τῷ πνεύματι εἰς τὴν ἔρημον, ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου· καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν, ὕστερον ἐπείνασε· B καὶ εἶπεν αὐτῷ ὁ διάβολος· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ, ἵνα γένηται ἄρτος· καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτὸν, λέγων· Γέγραπται, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι Θεοῦ. Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν, ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου, καὶ εἶπεν αὐτῷ ὁ διάβολος· Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν· σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σου πᾶσα· καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται γάρ· Προσκυνήσεις Κύριον τὸν Θεόν σου, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Καὶ ἤγαγεν αὐτὸν εἰς Ἱερουσαλὴμ, καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτῷ· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω· γέγραπται γὰρ, ὅτι Τοῖς C ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε· καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι Εἴρηται, Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. » Ἐβαπτίσθη μὲν ὁ Κύριος, ἵνα ἁγιάσῃ τὰ ὕδατα, δι' ἡμᾶς τοὺς μέλλοντας τῆς χάριτος ἀπολαύσειν· μετὰ δὲ τὸ βαπτισθῆναι, ἀναφέρεται ὑπὸ τοῦ πνεύματος εἰς ὄρος ἔρημον. Τὸ γὰρ Πνεῦμα τὸ ἅγιον ἐνῆγεν αὐτὸν εἰς τὸν κατὰ τοῦ διαβόλου ἀγῶνα. Εἰς ἔρημον δὲ ἄπεισιν, ἵνα δώσῃ λαβὴν τῷ διαβόλῳ τοῦ ἐπιθέσθαι αὐτῷ· καὶ γὰρ μάλιστα μεμονωμένοις ἐπιτίθεται ἡμῖν· τεσσαράκοντα δὲ ἡμέρας νηστεύει, καὶ οὐχ ὑπερβαίνει τὸ μέτρον τῆς Μωσέως καὶ Ἠλιοῦ νηστείας, ἵνα μὴ δώσῃ τῷ Σατανᾷ ἐντεῦθεν ἤδη ὑπόνοιαν ὅτι μείζων ἐστὶ τούτων· ἀλλὰ προσβάλῃ αὐτῷ, νομίζων ὅτι καὶ αὐτὸς ἄνθρωπός ἐστιν· ἅμα D δὲ καὶ ἵνα μὴ κατὰ φαντασίαν δόξῃ σαρκωθῆναι. Μετὰ τὸ βάπτισμα δὲ πειράζεται, δεικνύων ἡμῖν ὅτι μετὰ τὸ βάπτισμα ἐκδέξονται ἡμᾶς πειρασμοί· νηστεύει δὲ, διότι μέγα ὅπλον ἐν τοῖς πειρασμοῖς ἡ νηστεία, καὶ ὅτι μετὰ τὸ βάπτισμα καὶ ἡμᾶς οὐ τρυφῇ δεῖ διδόναι, ἀλλὰ νηστείᾳ· προβάλει οὖν αὐτῷ ὁ ἐχθρὸς, πρῶτον ἀπὸ τῆς γαστριμαργίας, ἐξ ἧς καὶ τῷ Ἀδάμ· εἶτα ἀπὸ τῆς φιλοχρηματίας, ὑποδείξας αὐτῷ πάσας τὰς βασιλείας· πῶς δὲ ὑπέδειξε; Τινὲς μὲν λέγουσιν ὅτι κατὰ διάνοιαν αὐτῷ ὑπεστήσατο

## CAPUT IV.

*De jejunio et tentatione Salvatoris. De Jesu a Judæis in montem abducto, et per medium eorum transeunte. De obsessa a dæmone. De socru Petri. De iis qui sanati sunt a variis morbis.*

VERS. 1-12. « Jesus autem plenus Spiritu sancto regressus est a Jordane, et actus est per spiritum in desertum, ac diebus quadraginta tentabatur a diabolo : nihilque comedit in diebus illis. Et consummatis illis deinde esuriit. Dixit autem illi diabolus : Si filius es Dei, dic lapidi huic ut panis fiat. Et respondit ad illum Jesus, dicens : Scriptum est, Non in solo pane vivet homo, sed in omni verbo Dei. Et subduxit illum diabolus in montem excelsum, et ostendit illi omnia regna orbis terræ in puncto temporis ; et ait illi diabolus : Tibi dabo potestatem hanc universam et gloriam illorum, quia mihi tradita est, et cuicunque volo do illam : tu ergo si adoraveris provolutus coram me, erunt tua omnia. Et respondens Jesus dixit illi : Abi post me, Satana; scriptum est enim : Adorabis Dominum Deum tuum, et illum solum coles. Et duxit illum Hierosolymam, statuitque eum super pinnam templi ; et dixit illi : Si filius Dei es, mitte te ipsum hinc deorsum scriptum est enim, Angelis suis mandavit de te, et in manibus tollent te, ne offendas ad lapidem pedem 298 tuum Et respondens Jesus ait illi : Dictum est, Non tentabis Dominum Deum tuum. » Baptizatus est Dominus, ut sanctificaret aquas propter nos, qui gratiam consecuturi eramus : verum postquam baptizatus est, fertur a spiritu in montem desertum. Spiritus enim sanctus ducebat eum ad certamen cum diabolo. Unde et in desertum abit, ut diabolo det ansam insidiandi sibi: maxime enim cum soli fuerimus, insidiari solet. At jejunans dies quadraginta, mensuram jejunii Mosis et Eliæ non transgreditur, ut ne det Satanæ hoc loco suspicionem se illis esse majorem, sed accessum ad se, putanti quod et ipse homo sit. Ad hæc, ut ne videatur apparenter tantum incarnatus. Post baptisma autem tentatur, ostendens nobis quod post baptisma tentationes nos sint excepturæ. Jejunavit autem eo quod in tentationibus armorum loco sint jejunia, et tunc debeamus non vacare deliciis, sed jejuniis Accedit igitur ad illum inimicus; et primum de gula tentat, de qua tentaverat et Adam, deinde et per avaritiam, monstratis ei regnis omnibus. Quomodo autem monstravit? Sane quidam dicunt quod imaginationi illius proposuerit; sed non opinor quod imaginationi tantum obtulerit, sed sensibiliter illa monstrata fecerit ei clara. Tertio autem aggreditur. de vana gloria tentans ; dicit enim : Si filius Dei es tu, mittito te deorsum. Adulans autem ei

ita nugabatur, si fortassis adulatione deceptus se Filium Dei ostentare velit, dejiciendo se deorsum, cognosceret quisnam esset. At Dominus illum Scripturis repellit : « Non tentabis, inquit, Dominum Deum tuum. » Neque enim quis se in manifestaria pericula debet objicere, probando num juvet se Deus. Animadverte interim quanta sit utilitas scire Scripturas. Scripturis enim Dominus Satanam repulit. Hoc enim. Non solo pane vivit homo, Mosaicum est de Manna dictum : nam licet non esset panis Manna, eo tamen alebatur populus. Similiter et illa a Mose deprompta sunt, Dominum autem Deum tuum adorabis, et : Non tentabis.

A ταύτας· πλὴν ἀλλ' οὐ κατὰ διάνοιαν οἶμαι, ἀλλ' αἰσθητῶς ταύτας αὐτῷ ὑπέδειξεν, ἐν φαντασίᾳ ποιήσας φανῆναι, τοῦ Κυρίου μὴ φανταζομένου· τρίτον αὐτῷ προσβάλλει, ἀπὸ τῆς φιλοδοξίας· Εἰ υἱὸς γὰρ, φησὶν, εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· κολακεύων δὲ αὐτὸν, τὰ τοιαῦτα ἐλήρει, εἴ πως ἀπὸ τῆς κολακείας ἀπατηθεὶς, καὶ θέλων δεῖξαι ἑαυτὸν Υἱὸν Θεοῦ, βάλῃ ἑαυτὸν κάτω, καὶ οὕτω διαγνωσθῇ αὐτῷ, τίς ἐστιν. Ὁ δὲ Κύριος ὅρα πῶς ἀποκρούεται αὐτὸν ἀπὸ τῆς Γραφῆς· « Οὐκ ἐκπειράσεις γὰρ, φησὶ, Κύριον τὸν Θεόν σου. » Οὐ γὰρ δεῖ εἰς προφανεῖς κινδύνους ἐμβάλλειν τινὰ ἑαυτὸν, δοκιμάζοντα εἰ βοηθήσει αὐτῷ ὁ Θεός. Σημείωσαι δὲ καὶ τοῦτο, ὅτι μέγα ὄφελος τὸ εἰδέναι τὰς Γραφάς· καὶ γὰρ καὶ ὁ Κύριος τὸν Σατανᾶν ἀπὸ τῶν Γραφῶν ἀπεκρούσατο· τό τε γάρ. Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, Μοσαϊκόν ἐστι, περὶ τοῦ Μάννα ῥηθέν· τὸ γὰρ Μάννα ἄρτος μὴ ὂν, ὅμως ἔθρεψε τὸν λαόν· καὶ τὸ, Κύριον δὲ τὸν Θεόν σου προσκυνήσεις, καὶ τὸ, Οὐκ ἐκπειράσεις, καὶ ταῦτα Μωσαϊκά.

VERS. 13-15. « Et consummata omni tentatione diabolus recessit ab illo usque ad tempus. Et reversus est Jesus in virtute spiritus in Galilæam, et fama exiit per universam regionem de illo. Et ipse docebat in synagogis eorum, et glorificabatur ab omnibus. » Omnem tentationem dicit Lucas consummasse Dominum, quamvis tribus duntaxat tentationibus tentatum : eo quod tentationum omnium sint capita tria, avaritia, gula, et inanis gloria. Porro gulæ tentationem repulit, dicens : Non in solo pane vivet homo. Hac enim primo invasit eum, sicut et Adamum. Adam enim non potuit per avaritiam supplantari: non enim poterat plura ille cupere, id **299** quod avaritiæ est, solus exsistens. Neque per iram : cui enim succensuisset? Neque per invidiam. Proinde per gulam supplantavit. Cæterum avaritiæ tentationem repulit non procidens ante diabolum, neque eum adorans. Nam cum demonstrasset omnia regna sensibiliter ejus imaginationi, non ad ea respexit : tametsi nonnulli hoc non de sensibilibus regnis, sed mentalibus intellexerint, ut quod monstraverit ei regnum invidiæ regnum incontinentiæ et in summa omnium peccatorum regna : et quasi talia ei diceret : Si vis regnare affectionibus illis, et in hoc venisti, ut eos qui sub me sunt rapias, procide et adora me : et accipe omnes qui a me gubernantur. Dominus autem regnare quidem vult, et ad hoc venit: regnare autem non cum peccato, neque sine certamine, sed certans et vincens. Sic quidam intellexerunt : quem sensum, si cui placet, recipiat. Porro et inanem gloriam repulit verbo Scripturæ. Eripe igitur et nos, Domine, a tribus illis capitibus draconis. Reversus est autem Jesus in virtute spiritus. Videtur mihi quod divino quodam afflatu correptus redierit : hoc enim est quod ait, in virtute spiritus. Attende quoque Scripturam, quod postquam vicit tentantem, et monstravit virtutem suam, tunc illud scriptum sit, in virtute spiritus. Recessit autem ab illo usque ad tempus, hunc sensum habet : Diabolus affectionibus duabus Dominum adortus est, voluptatis scilicet ac tristitiæ; et accessit ad Dominum de voluptate tentans in

B « Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος, ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ· καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν· καὶ φήμη ἐξῆλθε καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ· καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν δοξαζόμενος ὑπὸ πάντων. » Πάντα πειρασμόν φησιν ὁ Λουκᾶς συντελέσαι τὸν Κύριον, καίτοι τρεῖς πειρασμοὺς πειρασθέντα, διότι κεφάλαια τῶν πειρασμῶν πάντων οἱ τρεῖς οὗτοί εἰσιν, ὁ τῆς φιλοχρηματίας, ὁ τῆς γαστριμαργίας, ὁ τῆς φιλοδοξίας. Τὸν μὲν οὖν τῆς γαστριμαργίας ἀπεκρούσατο διὰ τοῦ εἰπεῖν, ὅτι Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος· πρῶτον γὰρ τὸν πειρασμὸν τοῦτον προσήγαγεν αὐτῷ, ὡς καὶ τῷ Ἀδάμ· τὸν γὰρ Ἀδὰμ οὔτε ἀπὸ πλεονεξίας ἠδύνατο ὑποσκελίσαι, οὐ γὰρ εἶχε τὸν πλεονεκτούμενον, μόνος ὤν. Οὔτε ἀπὸ C ὀργῆς· οὐ γὰρ εἶχεν ᾧ ὀργισθῇ, Οὔτε ἀπὸ φθόνου· ἀπὸ τῆς κοιλίας οὖν ὑπεσκέλισεν αὐτόν. Τὸν δὲ τῆς φιλοχρηματίας ἀπεκρούσατο, διὰ τοῦ μὴ πεσεῖν, μηδὲ προσκυνῆσαι αὐτῷ. Ὑποδείξαντι γὰρ τὰς βασιλείας πάσας αἰσθητῶς κατὰ φαντασίαν, οὐχ ὑπέκυψε· καίτοι γέ τινες οὐ περὶ αἰσθητῶν βασιλειῶν τοῦτο ἐνόησαν, ἀλλὰ περὶ νοουμένων· οἷον, ὑπέδειξεν αὐτῷ τὴν βασιλείαν τῆς ἀκολασίας, τὴν βασιλείαν τοῦ φθόνου, καὶ ἁπλῶς πασῶν τῶν ἁμαρτιῶν τὰς βασιλείας· καὶ ὡσανεὶ τοιαῦτα ἔλεγεν αὐτῷ· Εἰ θέλεις βασιλεῦσαι τούτων τῶν παθῶν, καὶ ἐπὶ τούτῳ ἐλήλυθας, ἵνα τοὺς ὑπ' ἐμοῦ κατεχομένους ἁφαρπάσῃς, πεσὼν προσκύνησόν μοι, καὶ παράλαβε πάντας τοὺς ὑπ' ἐμοῦ βασιλευομένους. Ὁ δὲ Κύριος βασιλεῦσαι D μὲν θέλει, καὶ εἰς τοῦτο ἐλήλυθε, βασιλεῦσαι δὲ οὐ μετὰ ἁμαρτίας, οὐδ' ἄνευ ἀγῶνος, ἀλλὰ παλαίσας καὶ νικήσας. Ταῦτά τινες ἐνόησαν· ὅτῳ δὲ φίλον, παραδεχέσθω ταῦτα. Ἀλλὰ καὶ τὸν τῆς φιλοδοξίας ἀπεκρούσατο, διὰ τοῦ τὸ γραφικὸν εἰπεῖν ῥητόν. Ἐξελοῦ οὖν καὶ ἡμᾶς, Κύριε, τούτων τῶν τριῶν κεφαλῶν τοῦ δράκοντος. Ὑπέστρεψε δὲ ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος· δοκεῖ μοι ὅτι ἐνθουσιῶν ὁ Ἰησοῦς ὑπέστρεψεν· τοῦτο γάρ ἐστι τὸ, ἐν τῇ δυνάμει τοῦ πνεύματος· τάχα δὲ πρόσχες τῇ Γραφῇ, ὅτι μεθ' ὃ ἐνίκησε τὸν πειράζοντα, καὶ ἔδειξε τὴν δύναμιν αὐτοῦ, τότε γέγραπται τὸ, ἐν τῇ δυνάμει τοῦ

πνεύματος · τὸ δὲ, ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ, τοιοῦτον ἔχει νοῦν. Ὁ διάβολος διὰ δύο παθῶν προσβάλλει τῷ Κυρίῳ, ἡδονῆς καὶ λύπης · καὶ γὰρ προσέβαλε τῷ Κυρίῳ διὰ ἡδονῆς, ὥσπερ ἐπὶ τοῦ ὄρους · ἀπέστη δ' ἀπ' αὐτοῦ, ἄχρι καιροῦ, τουτέστιν ἄχρι τοῦ καιροῦ τοῦ σταυροῦ · τότε γὰρ προσβαλεῖν αὐτῷ διὰ λύπης ἔμελλεν.

« Καὶ ἦλθεν εἰς τὴν Ναζαρὲτ, οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν Σαββάτων, εἰς τὴν Συναγωγὴν, καὶ ἀνέστη ἀναγνῶναι, καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου · καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον · Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με · ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν · κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν · ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει · κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν. Καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε · καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ Συναγωγῇ ἦσαν ἀτενίζοντες αὐτῷ. Ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς, ὅτι Σήμερον πεπλήρωται ἡ Γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. » Ἐβούλετο μὲν ὁ Κύριος ἐμφανῆ ἑαυτὸν καταστῆσαι τοῖς Ἰσραηλίταις, καὶ ὅτι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἐχρίσθη εἰς τὸ σῶσαι τοὺς ὑπ' οὐρανόν. Θαυμασίως δὲ καὶ τοῦτο οἰκονομεῖ. Πρὸ τῶν ἄλλων τοῖς ἐν Ναζαρὲτ ἑαυτὸν ἐμφανίζων, οἷς συνανεστράφη · ἵνα καὶ ἡμᾶς διδάξῃ, πρότερον τοὺς οἰκείους εὐεργετεῖν, καὶ τούτους ἐκδιδάσκειν, εἶτα καὶ εἰς τοὺς λοιποὺς τὴν φιλανθρωπίαν ἐκχέειν. Ἐπιδοθὲν δὲ αὐτῷ βιβλίον ἀνέπτυξε, καὶ εὗρεν, οὐχ ὃ παρέτυχεν, ἀλλ' ὃ ἠβούλετο αὐτός. Μὴ γὰρ νόμιζε, ὅτι κατὰ συντυχίαν ἀνοίξαντος αὐτοῦ τὸ βιβλίον, εὑρέθη ὁ τόπος ἐκεῖνος, οὗ ἐγέγραπτο τὰ περὶ αὐτοῦ · ἀλλ' αὐτοῦ θελήσαντος τοῦτο ἐγένετο. Τί δὲ ἐγέγραπτο; Ὅτι πνεῦμα Κυρίου ἔχρισέ με, τουτέστιν, ἀφιέρωσέ με. Κατέστησέ με εἰς τὸ εὐαγγελίσασθαι τοῖς πτωχοῖς, τουτέστι τοῖς ἔθνεσιν, ἃ οὔτε νόμον, οὔτε προφήτας ἔχοντα, τῷ ὄντι ἐν πολλῇ πτωχείᾳ ἦσαν · οἱ δὲ συντετριμμένοι τὴν καρδίαν, ἦσαν τάχα οἱ ἐξ Ἰσραὴλ, ὧν ἡ καρδία πρότερον μεγάλη τε ἦν καὶ ὑψηλὴ, καὶ οἶκος Θεοῦ. Ὕστερον δὲ εἰδωλολατρησάντων, καὶ διαφόρως ἁμαρτόντων, συνετρίβη ἡ καρδία αὐτῶν, καὶ κατελύθη, ἀντὶ τοῦ οἶκος εἶναι Θεοῦ, γενομένη σπήλαιον λῃστῶν. Ἦλθεν οὖν ὁ Κύριος, ἵνα καὶ τούτους ἰάσηται, καὶ τοῖς αἰχμαλώτοις δὲ ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν δῷ, τοῖς τε ἐξ ἐθνῶν καὶ τοῖς ἐξ Ἰσραήλ. Ἀμφότερα γὰρ ταῦτα τὰ μέρη καὶ αἰχμάλωτα ἦσαν ὑπὸ τὸν Σατανᾶν, καὶ τυφλά. Δύνανται δὲ ταῦτα νοηθῆναι καὶ περὶ τῶν νεκρῶν · καὶ οὗτοι γὰρ αἰχμάλωτοι ὄντες καὶ τεθραυσμένοι, ἀπελύθησαν τῆς τοῦ ᾅδου ἐξουσίας διὰ τῆς ἀναστάσεως · ἐκήρυξε δὲ καὶ ἐνιαυτὸν δεκτόν. Τίς δὲ ἦν ὁ ἐνιαυτὸς ὁ δεκτός; Τάχα μὲν καὶ ὁ μέλλων αἰὼν, περὶ οὗ ἐκήρυξεν ὁ Κύριος, λέγων · Ἐν ἐκείνῃ τὴν ἡμέρᾳ οὐκ ἐρωτήσετέ με οὐδέν. Καὶ πάλιν · Ἔρχεται ὥρα ὅτε οἱ νεκροὶ ἀναστήσονται. Δεκτὸς δέ ἐστιν ἐκεῖνος ὁ ἐνιαυτὸς, τουτέστιν, ἐπιθυμητὸς τοῖς δικαίοις καὶ ἐπέραστος · ὃν προσδέχονται πάντες οἱ ἐνταῦθα ἐργαζόμενοι··

monte. recessit vero usque ad tempus, crucis scilicet, tunc illum per adversa ac dura tentaturus.

VERS. 16-21. « Et venit Nazareth, ubi erat nutritus : et intravit secundum consuetudinem suam die Sabbatorum in Synagogam, et surrexit ut legeret. Et traditus est illi liber Isaiæ prophetæ : et ut explicuit librum, invenit locum ubi scriptum erat : Spiritus Domini super me, propterea quod unxit me, ad evangelizandum pauperibus misit me, ut sanem contritos corde, ut prædicem captivis remissionem, et cæcis visum, ut emittam confractos per remissionem, ut prædicem annum Domini acceptum Et complicato libro reddidit ministro, ac resedit. Et omnium in Synagoga oculi erant defixi in eum. Cœpit autem dicere ad illos : Hodie impleta est hæc Scriptura in auribus vestris. » Volebat quidem Jesus manifestum se reddere Israelitis, et quod a Deo ac Patre unctus sit ut salvet eos qui sub cœlo sunt. Cum magna admiratione et hoc agit. Præ aliis autem se Nazarenis cum quibus conversabatur, manifestat : ut et nos doceat, primum et propriis benefacere, atque illos docere, et postea in alios quoque benignitatem transfundere. Porro oblatum sibi librum aperuit, ac invenit, non quod forte occurrit, 300 sed quod ipse voluit. Ne enim existimes forte aperto libro incidisse eum in illum locum in quo hæc de ipso scripta erant : nam ipso volente hoc accidit. Quid autem scriptum erat ? Spiritus Domini unxit me, hoc est, consecravit me, constituit me, ut evangelizarem pauperibus, hoc est, gentibus quæ neque legem, neque prophetas habebant, et revera valde pauperes erant. Contriti autem corde fortassis fuerunt Israelitæ, quorum cor prius fuit magnum et sublime, et domus Dei. Postea autem ubi vacare cœperunt idolis, et variis modis peccarunt, contritum et destructum est cor illorum, hoc est, domus Dei facta est spelunca latronum. Venit igitur Dominus ut et illos sanaret, et captivis remissionem daret, et cæcis visum, hoc est gentibus et Judæis Ambo enim illi populi et captivi erant sub Satana, ac cæci. Possunt autem hæc et de mortuis intelligi. Erant enim et illi captivi atque saucii, liberatique sunt a potestate inferni per resurrectionem. Prædicavit item et annum acceptum. Quis autem fuit annus ille acceptus ? Fortassis sæculum futurum, de quo prædicavit Dominus dicens : In die illa non interrogabitis me quidquam. Et iterum : Venit hora quando mortui resurgent. Acceptus autem est ille annus, hoc est desiderabilis, et justis amabilis : quem exspectant omnes qui hic operantur. Est autem et tempus Dominici adventus in carne annus acceptus : de quo Paulus dicit : « Nunc tempus est acceptabile, nunc dies salutis [24]. » Porro ubi hæc legit, dixit : Hodie

[24] II Cor. VI, 2.

impleta est scriptura hæc in auribus vestris, manifeste se audientibus commendans, quia ipse sit de quo hæc scripta fuerint.

VERS. 22-30. « Et omnes testimonium illi dabant ac mirabantur super gratia sermonum qui procedebant ex ore ipsius, dicebantque : Nonne hic est filius Joseph? Et ait illis : Omnino dicetis mihi hanc similitudinem, Medice, cura teipsum. Quæcunque audivimus facta in Capernaum, fac et hic in patria tua. Ait autem : Amen dico vobis, nemo propheta acceptus est in patria sua. Sed in veritate dico vobis : multæ viduæ erant in diebus Eliæ in Israel quando clausum est cœlum annis tribus et mensibus sex, cum facta esset fames magna per omnem terram : et ad nullam illarum missus est Elias nisi in Sarephtha Sidonis ad mulierem viduam. Et multi leprosi erant in Israel sub Elisæo propheta, et nemo eorum mundatus est nisi Naaman Syrus. Et repleti sunt omnes in Synagoga ira, hæc audientes. Et insurrexerunt, ejeceruntque illum e civitate, et duxerunt illum usque ad supercilium montis, super quem civitas illorum erat ædificata, ut præcipitarent eum. Ipse autem transiens per medium illorum ibat. » Cum audirent turbæ quæ dicebantur a Christo, admirabantur super sermonibus 301
gratiarum. Admirantes autem, dicteriis incessebant eum dicentes : Nonne hic est fabri filius ? Quamvis quid prohiberet ipsum dici admirabilem et adorabilem? Non vides quanta facit? Non audis quœcunque dicit? Deinde conviciis patrem illius lacessis? Revera de illis dicere licet : Ecce populus stultus et absque corde; oculi illorum non vident, aures etiam non audiunt [25]. Dominus igitur quid dicit? Omnino dicetis mihi, Fac et in patria tua mirabilia quæ in Capernaum fecisti. Hoc enim est quod dicit: Medice, cura teipsum. Proverbium enim erat apud Judæos quod ægrotantibus medicis dicebatur. At ego dico vobis quod fecissem multa signa etiam apud vos, patriotas meos : sed scio communem omnium affectum, quod contemnantur etiam res maximæ, nisi cum raræ fuerint, si vulgatæ sint et quotidianæ, et eis omnes copiose fruantur. Semper enim solent homines rara et admirabilia curare, despicere autem communia et familiaria. Et idcirco nullus propheta in patria sua pretiosus: sed si aliunde veniat, admirantur illum. Sic et Eliam Judæorum viduæ non susceperunt : Sarephthana autem suscepit. Et Elisæus alienigenam leprosum purificavit, fide in illum declarata. Nam familiares ejus, qui ejusdem erant patriæ, ei non crediderunt et propterea non sunt purificati. Similiter et ego vobis patriotis non videor admirabilis, sed contemptus : et idcirco neque signa facio. His sane qui in Capernaum, videor admirabilis, et signa facio, et acceptus eis sum. Audientes autem hæc hi qui in Synagoga erant,

[25] Jerem. v, 21.

A ἔστι δὲ καὶ ὁ τῆς τοῦ Κυρίου ἐν σαρκὶ ἐπιδημίας καιρὸς ἐνιαυτὸς δεκτός· Περὶ οὗ ὁ Παῦλος λέγει· « Νῦν καιρὸς εὐπρόσδεκτος· νῦν ἡμέρα σωτηρίας. » Ἀναγνοὺς δὲ ταῦτα, εἶπε, Σήμερον πεπλήρωται ἡ Γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν, φανερῶς ἑαυτὸν παριστῶν τοῖς ἀκούουσιν, ὅτι αὐτός ἐστι περὶ οὗ ταῦτα γέγραπται.

« Καὶ πάντες ἐμαρτύρουν αὐτῷ. Καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ υἱὸς τοῦ Ἰωσήφ; Καὶ εἶπε πρὸς αὐτούς, Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην, Ἰατρέ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναοὺμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου. Εἶπε δέ· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. Ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν,
B πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλιοὺ ἐν τῷ Ἰσραὴλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰ μὴ εἰς Σάραφθα τῆς Σιδῶνος πρὸς γυναῖκα χήραν· καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ προφήτου ἐν τῷ Ἰσραὴλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Νεεμὰν ὁ Σύρος. Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ Συναγωγῇ ἀκούσαντες ταῦτα. Καὶ ἀναστάντες, ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως· καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν· αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύετο. » Ἀκούοντες τὰ ὑπὸ Χριστοῦ λεγόμενα οἱ ὄχλοι, ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος. Θαυμάζοντες δὲ διεκωμῴδουν αὐτὸν, λέγοντες· Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; Καίτοι
C τί τὸ κωλύον εἶναι αὐτὸν θαυμαστὸν καὶ προσκυνητόν; Οὐχ ὁρᾷς ὅσα ποιεῖ; Οὐκ ἀκούεις ὅσα λέγει; Εἶτα κωμῳδεῖς τὸν πατέρα αὐτοῦ; Ὄντως ἀληθὲς ἐπ' αὐτοῖς εἰπεῖν· Ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν· ὦτα, καὶ οὐκ ἀκούουσιν. Ὁ Κύριος οὖν τί φησιν αὐτοῖς; Πάντως ἐρεῖτέ μοι, ὅτι ἐν τῇ πατρίδι σου ποίησον θαυμάσια ὅσα καὶ ἐν Καπερναούμ. Τοῦτο γάρ ἐστι τὸ, Ἰατρὲ, θεράπευσον σεαυτόν· κοινὸς γὰρ ἦν λόγος παρὰ τοῖς Ἰουδαίοις οὗτος, τοῖς ἀῤῥωστοῦσιν ἰατροῖς ἐπιλεγόμενος. Ἀλλ' ἐγὼ λέγω ὑμῖν, ὅτι ἐποίησα ἂν πολλὰ σημεῖα καὶ παρ' ὑμῖν τοῖς ἐμοῖς πατριώταις· ἀλλ' οἶδα τὸ κοινὸν καὶ ἅπασι συμβαῖνον πάθος, ὅτι καταφρονοῦνται καὶ τὰ ἐξαίρετα τῶν πραγμάτων, ὅταν μὴ σπάνια ᾖ, ἀλλὰ κοινὰ καὶ συνήθη, καὶ πάντες ἐπ' ἀδείας ἔχωσιν ἀπολαύειν αὐτῶν· ἀεὶ γὰρ εἰώθα-
D σιν οἱ ἄνθρωποι τῶν μὲν ξένων καὶ σπανίων καὶ φροντίζειν καὶ θαυμάζειν, τῶν δὲ κοινῶν καὶ συνήθων καταφρονεῖν· διὰ τοῦτο οὐδεὶς προφήτης τίμιός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ· ἀλλ' ἐὰν ἄλλοθέν ποθεν ἔλθῃ, θαυμάζουσιν αὐτόν· οὕτω καὶ τὸν Ἠλίαν αἱ μὲν τῆς Ἰουδαίας χῆραι οὐκ ἐδέξαντο, ἡ δὲ Σαραφθία ἐδέξατο· καὶ ὁ Ἐλισσαῖος τὸν ξένον λεπρὸν ἐκαθάρισε, πίστιν εἰς αὐτὸν ἐνδειξάμενον· οἱ γὰρ συνήθεις καὶ συμπατριῶται αὐτοῦ οὐκ ἐπίστευον αὐτῷ, καὶ διὰ τοῦτο οὐκ ἐκαθαρίσθησαν. Ὁμοίως οὖν κἀγὼ ὑμῖν μὲν τοῖς πατριώταις οὐ δοκῶ θαυ-

μαστὸς, ἀλλὰ καταφρονοῦμαι · διὸ οὐδὲ σημεῖα ποιῶ· τοῖς δ' ἐν Καπερναοὺμ δοκῶν θαυμαστὸς, καὶ σημεῖα ποιῶ καὶ δεκτὸς αὐτοῖς εἰμι. Ἀκούοντες δὲ ταῦτα ἐν τῇ συναγωγῇ, ἐπληροῦντο θυμοῦ, δέον θαυμάζειν, καὶ ἐπειρῶντο κατακρημνίσαι αὐτόν. Ἀλλ' αὐτὸς διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύθη · οὐ τὸ παθεῖν φεύγων, ἀλλὰ τὸν καιρὸν ἀναμένων. Εἰς γὰρ τὸ ὑπὲρ ἡμῶν παθεῖν ἐλήλυθεν · ἀλλὰ νῦν ἀρχὴν ἔχοντος τοῦ κηρύγματος, οὐκ ἔδει ἑαυτὸν ἐπιδοῦναι τῷ θανάτῳ, ἀλλ' ἱκανῶς διδάξαντα, οὕτω τελειωθῆναι · ὥστε ἐκ τούτου δῆλον, ὅτι οὐ δ' ὅταν ἐσταυρώθη, ἄκων ἐσταυρώθη, ἀλλ' ἑκὼν ἑαυτὸν ἐξέδωκε τῷ θανάτῳ. Ἴσθι δὲ ὅτι πατρὶς τῶν προφητῶν ἡ Ἰουδαίων Συναγωγὴ, ἐν ᾗ ἀτιμάζονται οἱ προφῆται · οὐδὲ γὰρ δεκτοί εἰσιν · ἡμεῖς δὲ οἱ ἀλλότριοι ἐδεξάμεθα τούτους · ἡ γὰρ χήρα, ἡ ἐξ ἐθνῶν Ἐκκλησία λέγω, ἐδέξατο τὸν Ἠλίαν, τουτέστι, τὸν προφητικὸν λόγον, λιμοῦ γενομένου νοητοῦ ἐν τῇ Ἰουδαίᾳ, λιμοῦ τοῦ ἀκοῦσαι λόγον Θεοῦ · περὶ ταύτης δὲ τῆς χήρας ὁ προφήτης φησὶν, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα · καὶ πάλιν ὅτι στεῖρα ἔτεκεν ἑπτὰ, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησεν.

« Καὶ κατῆλθεν εἰς Καπερναοὺμ, πόλιν τῆς Γαλιλαίας · καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς Σάββασι· καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ · καὶ ἐν τῇ Συναγωγῇ ἦν ἄνθρωπος, ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου · καὶ ἀνέκραξε φωνῇ μεγάλῃ, λέγων · Ἔα, τί ἡμῖν καὶ σοὶ, Ἰησοῦ Ναζαρηνὲ, ἦλθες ἀπολέσαι ἡμᾶς; Οἶδά σε τίς εἶ · Ὁ ἅγιος τοῦ Θεοῦ. Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων · Φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ · καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον, ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. Καὶ ἐγένετο θάμβος ἐπὶ πάντας · καὶ συνελάλουν πρὸς ἀλλήλους, λέγοντες · Τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχονται; Καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου. » Ἐπειδὴ τοὺς ἀπίστους οὔτε διδασκαλία ἐφέλκεται πρὸς πίστιν, διὰ τοῦτο ὁ Κύριος τὰς θαυματουργίας προσάγει, οἷόν τι δραστικώτατον φάρμακον · θαυματουργεῖ οὖν ἐν Καπερναούμ · ἀπιστότατοι γὰρ οὗτοι καὶ πολλῶν δεόμενοι πρὸς πίστιν· ἐπεὶ τοίνυν ἐδίδαξεν ἱκανῶς, καὶ τοῦτο ὡς ἐξουσίαν ἔχων (Οὐ γὰρ ἔλεγε, τάδε λέγει Κύριος, ἀλλ' ἐγὼ λέγω ὑμῖν, ὅτι μηδὲ ὡς εἷς τῶν προφητῶν ἦν, ἀλλ' ἀληθὴς Υἱὸς τοῦ Θεοῦ), μετὰ ταῦτα ἐπάγει καὶ τὸ θαῦμα, καὶ θεραπεύει τὸν δαιμονιζόμενον. Ὁ δὲ δαίμων πρότερον ὁμολογεῖ τὴν ἔχθραν, ἵνα ἡ μαρτυρία ἀξιόπιστος εἴη · εἶτα ἐπάγει τὴν μαρτυρίαν · Οἶδάσε τίς εἶ. Ὁ ἅγιος τοῦ Θεοῦ. Πρότερον οὖν ἐγκαλεῖ αὐτῷ · Τί ἦλθες ὧδε ἀπολέσαι ἡμᾶς; Εἶτα κολακεύει, δοκῶν τὸν Κύριον ὑπὸ τῆς κολακείας μαλακισθέντα, ἐάσειν αὐτόν · οὕτως ἀνόητον ἡ πονηρία · ἀλλ' ὁ Κύριος, διδάσκων ἡμᾶς, ἵνα μὴ χρήζωμεν τῆς ἀπὸ τῶν δαιμόνων μαρτυρίας καὶ συστάσεως, φησί · Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ. Συγχωρεῖ δὲ τῷ δαίμονι ῥίψαι τὸν ἄνθρωπον, ἵνα μάθωσιν οἱ παρεστῶτες, ὅτι ὄντως δαιμόνιον εἶχε. Κἀκείνου ἦν τὰ ῥήματα, εἰ καὶ ἡ γλῶσσα τοῦ ἀνθρώπου ὑπούργει. καὶ δὴ συνελάλουν πρὸς ἀλλήλους ἅπαντες, θαυμά-

A implebantur furore, quod oportet admirari, et præcipitare conabantur. At ipse per medium illorum ivit, non quidem passionem fugiens, sad tempus exspectans. Venit enim ut pro nobis pateretur sed nunc in prædicationis exordio non debebat se morti exponere: sed tunc mori, cum sufficientibus doctrinis nos docuisset. Et ita ex hoc manifestum est quod neque cum crucifigeretur, invitus sit crucifixus, sed sponte mortem obierit. Scias autem quod prophetarum patria, Synagoga Judæorum est, in qua prophetæ despicabiles sunt, et non suscipiuntur: nos autem alienigenæ suscepimus illos. Vidua enim Ecclesia, inquam, quæ ex gentibus collecta, suscepit Eliam, hoc est propheticum sermonem, cum esset fames spiritualis facta in Judæa; fames, inquam, B audiendi sermonem Dei. De hac sane vidua propheta dicit quod plures sunt filii desertæ, quam ejus quæ habet virum. Et rursum quia sterilis peperit septem: et quæ multos habebat filias, infirmata est.

VERS. 31-37. « Et descendit in Capernaum civitatem Galilææ, ibique docebat illos Sabbatis. Et stupebant super doctrina ejus, quia cum potestate conjunctus erat sermo ipsius. Et in **302** Synagoga erat homo habens spiritum dæmonis immundi, et exclamavit voce magna dicens: Eia quid tibi nobiscum est, Jesu Nazarene? venisti ad perdendum nos? Scio te qui sis: Sanctus ille Dei. Et increpavit illum Jesus: Obmutesce, et exi ab eo. Et cum C projecisset illum dæmonium in medium, exiit ab illo nihilque illi nocuit. Et factus est pavor super omnes, et colloquebantur inter sese, dicentes: Quis sermo hic est, quia cum auctoritate et potestate imperat immundis spiritibus, et exeunt? Et divulgabatur fama de illo in omnem locum undique finitimæ regionis. » Postquam neque ratio neque doctrina ad fidem rapuit incredulos, Dominus ad miraculorum operationem se convertit, ceu efficassimum pharmacum. Miracula igitur operatur in Capernaum. Valde enim increduli erant, et multis ad fidem indigebant: idcirco postquam satis docuit, et id tanquam potestate præditus (non enim dicebat, Hæc dicit Dominus, sed, Ego dico vobis: quia non unus ex prophetis erat, sed vere Dei Filius), subdit etiam miraculum, et sanat D dæmonio agitatum. At dæmon inimicitias primum fatetur, quo testimonium ejus fide dignius sit: dein subjicit testimonium: Scio te, qui sis, Sanctus ille Dei. Prius igitur increpat illum: Cur venisti huc perdere nos? Postea adulatur, existimans Dominum adulatione fractum sinere illum: tam stulta res est malitia; sed Dominus docens nos ne utamur dæmonum testimoniis et sententiis: Obmutesce, inquit, et egredere ex illo. Permittit autem dæmoni ut projiciat hominem, ut discerent circumstantes illum vere habuisse dæmonium, cujus erant verba, tametsi lingua hominis ministraret. Propterea colloquebantur inter sese omnes

A admirantes de talibus factis et dicentes: Quis sermo hic, id est mandatum istud quod imperat: Exi ab illo, et obmutesce? Scias autem quod et nunc multi habent dæmonia, qui dæmonum perficiunt concupiscentias, ut iracundus qui habet dæmonium iræ. At si venerit Jesus in Synagogam hoc est, cum mens fuerit coadunata, et non divagatur, tunc dicet dæmonio iræ, quæ coerceri nequibat: Obmutesce; et statim cum projecerit hominem in medium, egredietur ex eo. Quid autem sit in medium projici, disce Oportet hominem non omnino iracundum esse et amarum, crudelis enim hoc et truculentæ bestiæ fuerit, neque omnino ira carentem, nam hoc insensati fuerit, sed mediam incedere viam, et furorem servare contra malitiam. Cum igitur in medium quis a malo spiritu projicitur, relinquitur ab eo.

B VERS. 38-44. « Cum surrexisset autem Jesus de Synagoga, introivit in domum Simonis. Socrus autem Simonis tenebatur febri magna, et rogaverunt illum pro ea. Et astans supra illam, increpavit febrem, et febris dimisit illam: statimque surgens, ministrabat illis Cum autem **303** sol occideret, omnes qui habebant infirmos morbis variis, ducebant illos ad eum. At ille singulis manus imponens, sanabat eos. Exibant autem et dæmonia a multis, clamantia ac dicentia; Tu es Christus Filius Dei. Et increpans non sinebat ea loqui, quia sciebant ipsum esse Christum. Facto autem die egressus ibat in desertum locum, et turbæ quærebant eum. C et venerunt usque ad ipsum, et detinebant illum ne discederet ab eis. Quibus ille ait: Et aliis civitatibus oportet me evangelizare regnum Dei, nam in hoc missus sum. Et prædicabat in synagogis Galilææ.» Dominus omnium a discipulis excipiebatur et pascebatur, quemadmodum nunc quoque et apud Petrum hospitio excipitur, et sanat ejus socrum: ut et te instruat ne rejicias pauperum benevolentiam Non simpliciter autem curat illam a morbo, sed et bonam valetudinem et robur ad ministrandum ei suppeditat. Et nos quoque si illum exceperimus, exstinguet nostram febrim iræ et concupiscentiæ, et eriget ac corroborabit nos, ita ut ei ministrare valeamus, hoc est facere quæ ei placent. Vide autem, obsecro, D et turbæ fidem, quomodo etiam jam occidente sole infirmos afferebat, neque tempore impediebatur. Non sinit autem dæmonia loqui, tum quod non indigebat immundorum laude, neque enim speciosa laus in ore peccatoris [96], tum quod nolebat accendi invidiam Hebræorum, videntium eum ab omnibus celebrari. Turbæ item quærunt eum etiam in locum desertum abeuntem, et detinent. At ille non uno loco circumscribitur, sed, Etiam aliis, inquit, civitatibus oportet me evangelizare regnum Dei. Unde oportet etiam nos non segnes, neque uno loco contentos esse, sed ubique circumire, et prodesse quibusque.

A ζοντες ἐπὶ τοῖς γενομένοις, καὶ λέγοντες· Τίς ὁ λόγος οὗτος, τουτέστι, τίς ἡ πρόσταξις αὕτη, ἐν προστάσσει, ὅτι Ἔξελθε ἐξ αὐτοῦ, καὶ φιμώθητι; Γίνωσκε δὲ ὅτι καὶ νῦν πολλοὶ ἔχουσι δαιμόνια, ὅσοι τὰ τῶν δαιμόνων ἐπιθυμήματα τελοῦσιν· οἷον, ἔστι τις θυμώδης, οὗτος δαιμόνιον ἔχει θυμοῦ· ἀλλ' ἐὰν ἔλθῃ ὁ Ἰησοῦς ἐν τῇ συναγωγῇ, τουτέστιν, ὅταν εἴη ὁ νοῦς συνηγμένος καὶ μὴ διαχεόμενος, τότε ἐρεῖ τῷ δαιμονίῳ τοῦ θυμοῦ, ἀκαθέκτῳ ὄντι· Φιμώθητι· καὶ εὐθὺς ῥίψαν τὸν ἄνθρωπον εἰς τὸ μέσον, ἐξελεύσεται ἀπ' αὐτοῦ. Τί δέ ἐστι τὸ ῥίψαι εἰς τὸ μέσον, μάνθανε· τὸν ἄνθρωπον οὔτε πάντῃ θυμώδη καὶ πικρὸν δεῖ εἶναι· θηριῶδες γάρ· οὔτε πάντῃ ἀόργητον, ἀναίσθητον γάρ, ἀλλὰ τὴν μέσην ὁδὸν βαδίζειν, καὶ τὸν θυμὸν ἔχειν κατὰ τῆς κακίας. Ὅταν οὖν τινα ῥίψῃ B εἰς τὸ μέσον τὸ πονηρὸν πνεῦμα, ἐξέρχεται ἀπ' αὐτοῦ.

« Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος· ἡ πενθερὰ δὲ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ· καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς· καὶ ἐπιστὰς ἐπάνω αὐτῆς, ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν· καὶ παραχρῆμα ἀναστᾶσα διηκόνει αὐτοῖς. Δύνοντος δὲ τοῦ ἡλίου, πάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις, ἤγαγον αὐτοὺς πρὸς αὐτόν· ὁ δὲ, ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς, ἐθεράπευσεν αὐτούς. Ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν, κράζοντα καὶ λέγοντα, ὅτι Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ ἐπιτιμῶν, οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι. Γενομένης δὲ ἡμέρας, ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον C τόπον· καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτὸν, καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν· ὁ δὲ εἶπε πρὸς αὐτοὺς, ὅτι Καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ, ὅτι εἰς τοῦτο ἀπέσταλμαι, καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς τῆς Γαλιλαίας. » Ὁ δεσπότης πάντων παρὰ τοῖς μαθηταῖς ξενιζόμενος ἐτρέφετο· ὥσπερ οὖν καὶ παρὰ Πέτρῳ νῦν ξενιζόμενος, ἰᾶται τὴν ἐκείνου πενθεράν· ἵνα καὶ σὲ παιδεύσῃ μηδὲ τὰς τῶν εὐτελῶν ἀποπέμπεσθαι φιλοφροσύνας· οὐχ ἁπλῶς δὲ θεραπεύει αὐτὴν ἀπὸ τῆς νόσου, ἀλλὰ καὶ εὐρωστίαν αὐτῇ καὶ δύναμιν ἐντίθησιν, εἰς τὸ διακονεῖν. Εἰ καὶ ἡμεῖς οὖν ὑποδεξόμεθα αὐτὸν, κατασβέσει καὶ τὸν ἡμέτερον πυρετὸν, τόν τε τοῦ θυμοῦ D καὶ τὸν τῆς ἐπιθυμίας· καὶ ἐγερεῖ ἡμᾶς ὥστε διακονεῖν αὐτῷ, τουτέστι, τὰ ἀρεστὰ αὐτῷ πράττειν. Ὅρα δέ μοι καὶ τοῦ ὄχλου τὴν πίστιν, πῶς καὶ δύνοντος τοῦ ἡλίου προσέφερον τοὺς ἀῤῥώστους, μηδ' ὑπὸ τοῦ καιροῦ ἐμποδιζόμενοι· οὐκ ἀφίησι δὲ τὰ δαιμόνια λαλεῖν, ἅμα μὲν μὴ δεόμενος τῆς παρὰ τῶν ἀκαθάρτων εὐφημίας· οὐχ ὡραῖος γὰρ αἶνος ἐν στόματι ἁμαρτωλῶν· ἅμα δὲ μὴ θέλων ἀνάπτειν τὸν φθόνον τῶν Ἑβραίων, ἐκ τοῦ παρὰ πᾶσιν εὐφημεῖσθαι· οἱ δὲ ὄχλοι καὶ εἰς ἔρημον τόπον ἀπελθόντα ζητοῦσι καὶ κατέχουσιν αὐτόν· ἀλλ' ἐκεῖνος οὐχ ἑνὶ τόπῳ περιορίζεται. Ἀλλὰ καὶ ταῖς ἑτέραις, φησὶ, πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ. Ὅθεν δεῖ καὶ ἡμᾶς μὴ ὀκνεῖν, μηδὲ ἑνὶ τόπῳ περικλειομένους ἀρκεῖσθαι, ἀλλὰ πανταχοῦ περιιέναι, εἴ πως ὠφελήσομέν τινα.

96 Eccli. xv, 9.

## ΚΕΦΑΛ. Ε'.

Περὶ τῆς ἄγρας τῶν ἰχθύων. Περὶ τοῦ λεπροῦ. Περὶ τοῦ παραλυτικοῦ. Περὶ Λευὶ τοῦ τελώνου. Περὶ τοῦ Ἰησοῦ συνεσθίοντος τοῖς τελώναις. Διὰ τί οἱ τοῦ Ἰωάννου μαθηταὶ νηστεύουσιν, οἱ δὲ τοῦ Χριστοῦ οὐχί;

« Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ, τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ. Καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς, ἀποβάντες ἀπ' αὐτῶν, ἀπέπλυνον τὰ δίκτυα· ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας, ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους. Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· Ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν· καὶ ἀποκριθεὶς ὁ Σίμων, εἶπεν αὐτῷ· Ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλάβομεν, ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον. Καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων πολύ. Διεῤῥήγνυτο δὲ τὸ δίκτυον αὐτῶν· καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. Ἰδὼν δὲ Σίμων Πέτρος, προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων· Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε· θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων, ᾗ συνέλαβον. Ὁμοίως δὲ καὶ Ἰάκωβον, καὶ Ἰωάννην υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι· καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς· Μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν· καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ. » Φεύγει μὲν ὁ Κύριος τὴν δόξαν, ἡ δὲ τόσῳ μᾶλλον καταδιώκει αὐτόν. Τοῦ γοῦν ὄχλου ἐπικειμένου, εἰς τὸ πλοῖον εἰσέρχεται· ὡς ἂν ἀπὸ τοῦ πλοίου, διδάσκῃ τοὺς ἐν τῷ αἰγιαλῷ ἱσταμένους, πάντων κατὰ πρόσωπον αὐτοῦ ὄντων, καὶ μηδενὸς ἐλθόντος κατὰ νώτου. Ἐπεὶ δὲ τὸν ὄχλον ἐδίδαξεν ἐκ τοῦ πλοίου, οὐκ ἄμισθον ἀφίησι τὸν τοῦ πλοίου δεσπότην, ἀλλὰ διπλῶς αὐτὸν εὐεργετεῖ· ὅτι τε ἰχθύων πλῆθος αὐτῷ ἐχαρίσατο, καὶ ὅτι μαθητὴν αὐτοῦ ἐποιήσατο. Θαύμασον δὲ τοῦ Κυρίου τὴν οἰκονομίαν, πῶς ἕκαστον διὰ τῶν οἰκείων καὶ συντρόφων ἐφέλκεται· ὡς γὰρ τοὺς μάγους διὰ τοῦ ἀστέρος, οὕτω καὶ τοὺς ἁλιεῖς διὰ τῶν ἰχθύων. Ὅρα δὲ τοῦ Χριστοῦ τὴν ἐπιείκειαν, πῶς παρακαλεῖ τὸν Πέτρον ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν· τὸ γὰρ, ἠρώτησεν, ἀντὶ τοῦ, παρεκάλεσε νόει· ἀλλὰ καὶ ὁ Πέτρος, πῶς ἦν εὐπειθὴς, ὥστε ἄνθρωπον, ὃν οὐκ ᾔδει, ὑποδέξασθαι τε εἰς τὸ πλοῖον αὐτοῦ, καὶ πάντα αὐτοῦ ὑπακούειν· ὡς γὰρ εἶπεν αὐτῷ ἐπαναγαγεῖν εἰς τὸ βάθος, οὐκ ἀπεδυσπέτησεν, οὐδ' εἶπε, Δι' ὅλης τῆς νυκτὸς κοπιάσας καὶ μηδὲν κερδάνας, νῦν σοὶ πεισθήσομαι, καὶ δευτέροις πόνοις ἐμαυτὸν ἐπιδώσω; Οὐδὲν τούτων εἶπεν, ἀλλὰ μᾶλλον, Ἐπὶ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον· οὕτως ἦν τὴν πίστιν θερμὸς καὶ πρὸ τῆς πίστεως· ὅθεν καὶ τοσούτους ἰχθύας συλλαμβάνει, ὥστε μὴ δυνάμενος τούτους ἑλκύσαι, καὶ τοῖς μετόχοις νεύει, τουτέστι, τοῖς κοινωνοῖς τοῖς ἐν τῷ

A

## CAPUT V.

*De captura piscium. De leproso. De paralytico. De Levi publicano. De Christo cum publicanis comedente. Cur discipuli Joannis jejunant, discipuli vero Christi non?*

Vers. 1-11. « Factum est autem cum turba immineret ei ut audiret verbum Dei, et ipse stabat juxta stagnum Genezareth. Et vidit duas naves stantes ad stagnum : piscatores autem descenderant ex illis, et abluebant retia. Ingressus autem in unam navim quæ erat Simonis, rogavit eum ut a terra abduceret pusillum, et sedens docebat de navi turbas. Ut cessavit autem loqui, dixit ad Simonem : Duc in altum, et laxate retia vestra in B capturam. Et respondens Simon, dixit illi : Præceptor, per totam noctem laborantes **304** nihil cepimus, tamen tuo jussu laxabo rete. Et cum hoc fecissent, concluserunt piscium multitudinem copiosam. Rumpebatur autem rete eorum. Et annuerunt sociis qui erant in altera navi, ut venirent et adjuvarent ipsos. Et venerunt, atque impleverunt ambas naves, ita ut mergerentur. Quod cum videret Simon Petrus, accidit ad genua Jesu, dicens : Discede a me, Domine, quia homo peccator sum. Stupor enim circumdederat eum, et omnes qui cum illo fuerant, super captura piscium quam fecerant : similiter autem Jacobum et Joannem filios Zebedæi, qui erant socii Simoni. Et ait ad Simonem Jesus : Ne metuas, posthac homines capies. Et C subductis in terram navibus, relictis omnibus secuti sunt eum.» Fugit Dominus gloriam, quæ eum ob hoc magis sequebatur. Igitur urgente turba in navim ingreditur, ut vel a nave doceat in littore stantes, omnibus e regione comparentibus, et nullo a tergo veniente. Postquam autem turbam a navi docuit, dominum navis non reliquit irremuneratum, sed bifariam ei benefecit, quia et multitudinem piscium ei donavit, et discipulum suum fecit. Admirare autem Domini dispensationem, quomodo per propria et familiaria sua quemque attrahit : sicut magos per stellam, ita et piscatores per pisces. Porro Christi mansuetudinem vide, quomodo obsecret Petrum ut a terra abducat : rogavit enim, idem est quod obsecravit : sed et quomodo Petrus morigerus fuerit, ita ut hominem quem non D viderat, in navim suam susceperit, et ei in omnibus obedierit. Nam ut dixit ei quod abduceret in profundum, non abnuit, neque dixit. Per totam noctem laboravi, et nihil consecutus sum ; nunc tibi parerem, et aliis fatigandus laboribus incumberem? sed ait, In verbo tuo laxabo rete. Adeo fervebat fide etiam ante fidem : unde et tantos pisces comprehendit, ut illos non potuerit trahere, et annuerit sociis, hoc est participibus in alia navi. Nutu autem illos vocat, quia propter stuporem magnum loqui nequibat. Porro multa reverentia Petrus rogat Jesum ut navi excedat, peccatorem seipsum dicens, et indignum illius conversatione. Hæc etiam

per anagogiam si vis intelligas. Navis est Judæorum Synagoga, et Petrus gerit typum doctorum legis. Laboraverunt autem per totam noctem doctores qui ante Christum fuerunt. Tempus enim ante ejus adventum nox erat, et nihil comprehenderunt: postquam autem venit Christus, diesque factus est, apostoli in locum legis doctorum surrogati, in verbo ejus, hoc est in præcepto ejus, laxant rete Evangelii, et multitudinem hominum venantur. Soli autem apostoli non possunt trahere rete piscium, annuuntque sociis suis, et communicant, et cum eis trahunt. Hi autem **308** sunt pastores et doctores Ecclesiarum in singulis temporibus qui interpretantur et docent apostolica, trahuntque cum apostolis, ut piscentur homines. Animadverte item et dictionem, Laxare rete. Evangelium enim est rete, orationem habens humilem et pedestrem, et ad auditorum infirmitatem se attemperantem: et idcirco dicitur laxari. Si cui autem et sensuum profunditas significari videatur per laxationem retis, neque ipsum a vero abludit. Impletur enim et hoc prophetæ qui dicit: « Ecce ego mitto piscatores multos, dicit Dominus, et postea mittam multos venatores, et venabuntur illos[27]: » piscatores quidem sanctos apostolos vocans, venatores autem eos qui temporibus sequentibus habiti sunt doctores Ecclesiarum et præfecti.

A ἑτέρῳ πλοίῳ· διὰ νεύματος δὲ αὐτοὺς προσκαλεῖται· ἐπειδὴ διὰ τὴν ἐπὶ τῇ ἄγρᾳ ἔκπληξιν, οὐδὲ λαλῆσαι ἠδύνατο· ἀπὸ πολλῆς δὲ εὐλαβείας ὁ Πέτρος παραιτεῖται τὸν Ἰησοῦν τοῦ μὴ εἶναι ἐν τῷ πλοίῳ, ἁμαρτωλὸν ἑαυτὸν λέγων, καὶ οὐκ ἄξιον τοῦ ἐκείνῳ συνεῖναι. Νόησον δὲ ταῦτα καὶ κατὰ ἀναγωγὴν, εἰ θέλεις. Τὸ πλοῖόν ἐστιν ἡ τῶν Ἰουδαίων Συναγωγή· ὁ Πέτρος τύπον ἐπέχει τῶν ἐν τῷ νόμῳ διδασκάλων· ἐκοπίασαν οὖν δι' ὅλης τῆς νυκτὸς οἱ πρὸ τοῦ Χριστοῦ διδάσκαλοι (νὺξ γὰρ ὁ πρὸ τῆς Χριστοῦ ἐπιδημίας καιρὸς), καὶ οὐδὲν ἔλαβον. Ἐλθόντος δὲ τοῦ Χριστοῦ, καὶ ἡμέρας γενομένης, εἰς τὸν τόπον τῶν νομοδιδασκάλων τεθέντες οἱ ἀπόστολοι, ἐπὶ τῷ ῥήματι αὐτοῦ, τουτέστιν ἐπὶ τῇ προστάξει, χαλῶσι τὸ δίκτυον τοῦ Εὐαγγελίου, καὶ πλῆθος ἀνθρώπων ζωγροῦσι. B Μόνοι δὲ οἱ ἀπόστολοι οὐ δύνανται ἑλκύσαι τὸ δίκτυον τῶν ἰχθύων, καὶ νεύουσι καὶ τοῖς μετόχοις αὐτῶν καὶ κοινωνοῖς, καὶ συναίρονται αὐτοῖς. Οὗτοι δέ εἰσιν οἱ καθ' ἑκάστους καιροὺς ποιμένες καὶ διδάσκαλοι τῶν Ἐκκλησιῶν, οἳ τὰ ἀποστολικὰ ἑρμηνεύοντες καὶ διδάσκοντες, συναίρονται τοῖς ἀποστόλοις πρὸς τὸ ζωγρῆσαι ἀνθρώπους· σκόπει δὲ καὶ τὴν λέξιν τοῦ, Χαλῶσι τὸ δίκτυον. Τὸ μὲν γὰρ Εὐαγγελιόν ἐστι τὸ δίκτυον· λέξιν δὲ ἔχον ταπεινὴν καὶ πεζὴν, καὶ συγκαταβατικὴν πρὸς τὴν ἰδιωτείαν τῶν ἀκουόντων, διὰ τοῦτο λέγεται χαλασθῆναι. Εἰ δέ τις καὶ τὸ βάθος τῶν νοημάτων δηλοῦσθαι φαίη διὰ τοῦ χαλᾶσθαι τὸ δίκτυον, οὐδὲ τοῦτο ἀπεικός· πεπλήρωται γοῦν καὶ τὸ τοῦ προφήτου, εἰπόντος· « Ἰδοὺ ἐγὼ ἀποστελῶ ἁλιεῖς πολλοὺς, λέγει Κύριος· καὶ μετὰ ταῦτα ἀποστελῶ πολλοὺς θηρευτὰς, καὶ θηρεύσουσιν αὐτούς· » τοὺς μὲν ἁλιεῖς, τοὺς ἁγίους ἀποστόλους λέγων· θηρευτὰς δὲ, τοὺς κατὰ καιροὺς τῶν Ἐκκλησιῶν ἡγουμένους καὶ διδασκάλους.

VERS. 12-16. « Et factum est, cum esset in quadam civitate, et ecce vir plenus lepra, cumque vidisset Jesum, prostratus in faciem rogavit eum, dicens: Domine, si vis, potes me mundare. Et protensa manu tetigit eum, dicens: Volo, mundus esto. Et confestim lepra discessit ab illo. Et ipse præcepit illi ne cuiquam diceret: sed vade, inquit, ostende teipsum sacerdoti, et offer munus pro emundatione tui, quemadmodum præcepit Moses in testimonium illis. Pervagabatur autem magis rumor de illo, et conveniebant turbæ multæ ut audirent, et sanarentur ab infirmitatibus suis. Ipse autem agebat in secessu in desertis et orabat. » Admiratione dignus est leprosus ille, quia dignam Deo de Christo opinionem habuit et dixit: Si vis, potes me mundare. Hoc enim indicat ipsum sentientem de Christo ut de Deo. Non enim ut ad medicum accesserat, neque enim lepra a medicis curari potest, sed ut ad Deum, cujus solius est sanare id genus morborum. At Jesus tangit illum, nec sine causa, sed quoniam immundus habebatur juxta legem, qui leprosum tangebat, volens ostendere quod non teneatur ad servanda tam exigua legis dicta, et quod ipse sit Dominus legis, et quod mundus non coinquinetur ex eo quod videtur immundum, sed animorum lepra sit quæ coin-

C « Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας, καὶ ἰδὼν τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ, λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. Καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, εἰπὼν, Θέλω, καθαρίσθητι· καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ. Καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν· ἀλλὰ ἀπελθὼν, δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου καθὼς προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς. Διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ. Καὶ συνήρχοντο ὄχλοι πολλοὶ, ἀκούειν καὶ θεραπεύεσθαι ὑπ' αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν. Αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις, καὶ προσευχόμενος. » Ἀξιοθαύμαστος ὁ λεπρὸς, ὅτι θεοπρεπῆ ἔννοιαν περὶ τοῦ Κυρίου ἔχων, φησὶν, Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. Τοῦτο γὰρ δείκνυσιν D αὐτὸν ἐννοοῦντα περὶ τοῦ Χριστοῦ, ὡς περὶ Θεοῦ· οὐ γὰρ ὡς ἰατρῷ προσήρχετο (ἡ γὰρ λέπρα ἰατρῶν χερσὶν ἀνεπιχείρητος), ἀλλ' ὡς Θεῷ· τούτου γὰρ μόνου τὸ τὰ τοιαῦτα ἰᾶσθαι. Ὁ δὲ Κύριος ἅπτεται αὐτοῦ, οὐκ ἀλόγως, ἀλλ' ἐπειδὴ κατὰ τὸν νόμον, ὁ ἁπτόμενος λεπροῦ ἐδόκει ἀκάθαρτος εἶναι, θέλων δεῖξαι, ὅτι τὰς τοιαύτας μικρολογίας τοῦ νόμου οὐκ ἀνάγκην ἔχει φυλάττειν, ἀλλ' αὐτός ἐστιν ὁ τοῦ νόμου Κύριος, καὶ ὅτι οὐδὲν ὁ καθαρὸς μολύνεται ἐκ τοῦ δοκοῦντος ἀκαθάρτου, ἀλλ' ἡ τῶν ψυχῶν λέπρα,

[27] Jerem. XVI, 16.

ἐκείνη ἐστὶν ἡ μολύνουσα· τούτου ἕνεκεν ἅπτεται· ἅμα δὲ, καὶ ἵνα δείξῃ ὅτι ἡ ἁγία αὐτοῦ σὰρξ θείαν ἔχει δύναμιν, καὶ καθαρτικὴ οὖσα καὶ ζωογνοῦσα, ὡς τοῦ Θεοῦ Λόγου οὖσα σάρξ. Παραγγέλλει δὲ τῷ λεπρῷ ἵνα μηδενὶ εἴπῃ, διδάσκων ἡμᾶς μὴ ζητεῖν εὐφημίας παρὰ τῶν εὐεργετουμένων. Ἀπελθὼν δὲ φησὶ, δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον εἰς μαρτύριον αὐτοῖς· νόμος γὰρ ἦν, τὸν ἱερέα δοκιμάζειν τοὺς λεπρωθέντας, καὶ κρίνειν εἰ ἐκαθαρίσθησαν· καὶ ἐὰν μὲν δι' ἑπτὰ ἡμερῶν ἐκαθαρίσθῃ, ἔμενεν ἔσω τῆς πόλεως ὁ λεπρός· εἰ δὲ μὴ, ἐξεβάλλετο. Τοῦτο τοίνυν φησὶν ὁ Κύριος, « Ὕπαγε, δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον. » Τί δὲ ἦν τὸ δῶρον; Δύο ὀρνίθια· τί δέ ἐστι τὸ, εἰς μαρτύριον αὐτοῖς; Τουτέστιν, εἰς ἔλεγχον αὐτῶν καὶ κατηγορίαν, ἵν' ὅταν κατηγορῶσί μου ὡς παραβαίνοντος τὸν νόμον, ἐκ τούτου ἐλέγχωνται ὅτι οὐ παραβαίνω, ἐκ τοῦ προστάξαι σοι προσενεγκεῖν τὸ δῶρον, ὃ προσέταξε Μωσῆς· Πῶς δὲ τὰ δύο ὀρνίθια ἐκεῖνα προσήγοντο τῷ Θεῷ, οὐκ ἄκαιρον εἰπεῖν· ἐσφάζετο τὸ ἓν ὀρνίθιον. Καὶ ὑπεδέχοντο τὸ αἷμα αὐτοῦ, ἐν ἀγγείῳ ὀστρακίνῳ καινῷ· εἶτα τοῦ ἑτέρου ὀρνιθίου ἀμφότερα τὰ πτερὰ ἐβάπτοντο ἐν τῷ αἵματι, καὶ οὕτως ἀπελύετο τὸ ὀρνίθιον ζῶν. Εἰκόνιζον οὖν ταῦτα τὰ κατὰ τὸν Χριστόν· τὰ δύο γὰρ ὀρνίθια, αἱ δύο φύσεις τοῦ Χριστοῦ, ἥ τε θεία καὶ ἡ ἀνθρωπίνη, ὧν τὸ μὲν ἓν ἐσφάγη, τουτέστιν ἡ ἀνθρωπίνη· τὸ δὲ ἕτερον ἀπελύθη ζῶν. Ἡ γὰρ θεία φύσις ἀπαθὴς διέμεινε, χρισθεῖσα τῷ αἵματι τῆς παθούσης φύσεως, καὶ εἰς ἑαυτὴν τὸ πάθος ἀναδεξαμένη· τὸ δὲ αἷμα τοῦ Κυρίου ἐδέξατο ἀγγεῖον ὀστράκινον καινόν· ὁ λαὸς, φημὶ, ὁ καινὸς ὁ ἐξ ἐθνῶν, ὁ τῆς Καινῆς Διαθήκης δεκτικός. Ὅρα δέ ὅτι μεθ' ὅ τις καθαρισθῇ τῆς λέπρας, τότε ἄξιός ἐστι προσφέρειν τὸ δῶρον τοῦτο, τουτέστι, θύειν Χριστὸν καὶ ἱερουργεῖν· λεπρὸς γὰρ ὢν καὶ ἀκάθαρτος τὴν ψυχὴν, οὐκ ἂν ἀξιωθείη τοιαῦτα δῶρα προσφέρειν, ἤτοι προσκομίζειν τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου, τὸ τῇ θείᾳ φύσει ἑνωθέν. Πρόσχες δὲ καὶ τοῦτο, πῶς ἀμύθητον ἔχει τὴν ὑπεροχὴν ὁ Κύριος πρὸς τὸν Μωσῆν. Μωσῆς μὲν γὰρ λεπρωθεῖσαν τὴν ἀδελφὴν αὐτοῦ, καίτοι πολλὰ δεηθεὶς, οὐκ ἠδυνήθη θεραπεῦσαι· ὁ δὲ Κύριος λόγῳ μόνῳ τὸν λεπρὸν ἐκαθάρισεν. Ἐννόει δὲ καὶ τὴν ταπείνωσιν τοῦ Κυρίου, πῶς τοῦ ὄχλου ἐπιθυμοῦντος ἅπτεσθαι αὐτοῦ, αὐτὸς ἐν ταῖς ἐρήμοις μᾶλλον διέτριβεν ἀσμένως, καὶ προσηύχετο· οὕτως ἄρα τύπους ἡμῖν ἐν πᾶσιν ἐδίδου τοῦ τε κατ' ἰδίαν προσεύχεσθαι, καὶ τοῦ τὴν δόξαν ἐκκλίνειν.

« Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν διδάσκων· καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας, καὶ Ἰουδαίας, καὶ Ἱερουσαλήμ· καὶ ἡ δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς. Καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι ἐνώπιον αὐτοῦ· καὶ μὴ εὑρόντες διὰ ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων

A quinat, et ideo tangit : interim et hoc indicans quod sancta ejus caro divinam habeat virtutem, et purificet ac vivificet, utpote quæ sit caro Verbi Dei. Præcepit autem leproso ne cui diceret, nos docens ut ab his, quibus benefecerimus, laudem non quæramus. Abi autem, inquit, et ostende teipsum sacerdoti, et offer munus in testimonium illis. Lex cavebat a sacerdote probandos leprosos, qui judicaret an purificati essent. Et si quidem intra dies septem purificabatur quis, manebat intra civitatem : sin minus, ejiciebatur. Et hoc est, quod dicit Dominus : « Vade, ostende te sacerdoti, et offer munus. » Quod autem erat munus? Duæ aves. Sed quid 306 est, in testimonium illis?
B Hoc est, in reprehensionem et condemnationem illorum, ut quando comdemnant me ceu prævaricatorem legis, ex hoc arguantur me non prævaricari quod mandarim ut illis offeratur donum sicut præcepit Moses. Quomodo autem duæ aves illæ offerebantur Domino, non intempestivum fuerit dixisse. Occidebatur una avis, et suscipiebant sanguinem ejus in vase testaceo novo : deinde alterius avis utræque alæ tingebantur in sanguine, et sic dimittebatur avis viva. Præfigurabant autem hæc res Christi. Duæ enim aves duæ naturæ sunt Christi, divina et humana, quarum una occisa est, nempe humana, altera vero dimissa viva. Divina enim impassibilis permansit, uncta sanguine passibilis naturæ et in se passionem suscipiens. Sanguinem autem Domini vas suscepit figulinum
C novum, populus, inquam, novus ex gentibus, Novi Testamenti capax. Vide autem quod ubi aliquis fuerit a lepra purificatus, tunc denique dignus est offerre Domino donum istud, hoc est, immolare Christum et sacrificare. Nam qui leprosus est et immundus anima, haud dignus fuerit offerre talia dona, hoc est, offerre corpus et sanguinem Domini, quod divinæ naturæ unitum est. Vide autem et hoc quomodo ineffabili excellentia Moysen præcellat Dominus. Moyses enim sororem suam lepra laborantem, quamvis multum oraret, non potuit sanare [28] : Dominus vero sermone solo mundavit leprosum. Observa item et humilitatem Domini, quomodo turba desiderante ut illum tangeret, in solitudinibus magis versabatur placidus, ac orabat : ut nobis in omnibus exemplum præ-
D beret et seorsim orandi, et gloriam declinandi.

VERS. 17-26. « Et factum est quodam die, et ipse docebat, erantque Pharisæi sedentes, ac legis doctores, qui venerant ex omni castello Galilææ, et Judææ, et Jerusalem, et virtus Domini aderat ad sanandum eos. Et ecce viri portantes in lecto hominem qui erat paralyticus, et quærebant eum inferre et ponere ante illum. Et non invenientes qua parte illum inferrent præ turba, ascenderunt supra tectum, ac per tegulas demiserunt eum cum lectulo

[28] Num. XII, 15.

in medium ante Jesum. Quorum fidem ut vidit, dixit illi : Homo, remittantur tibi peccata tua. Et cœperunt cogitare Scribæ et Pharisæi dicentes : Qui est is qui loquitur blasphemias ? Quis potest remittere peccata, nisi solus Deus ? Ut cognovit autem Jesus cogitationes eorum, respondens dixit ad illos : Quid cogitatis in cordibus vestris? Utrum est facilius dicere : Remittantur tibi peccata tua, an dicere : Surge et ambula ? Ut autem sciatis, quod Filius hominis habeat potestatem in terra remittendi peccata, ait paralytico : Tibi dico, Surge, tolle lectulum tuum, et vade in domum 307 tuam. Isque confestim surgens coram illis, tollebat in quo jacuerat, abiitque in domum suam. glorificans Deum. Et stupor corripuit omnes, et glorificabant Deum, et repleti sunt timore, dicentes : Vidimus incredibilia hodie. » Oportebat Dominum rarius quoddam coram inimicis facere miraculum, proinde sanat hominem difficillimi morbi, ut sanando tantum morbum, sanaret et insanabilem Pharisæorum insaniam. Primum igitur animam sanat, dicens: Remittantur tibi peccata; ut discamus multas infirmitates a peccatis nasci ; deinde et corpus sanat, visa afferentium fide. Sæpe enim alios propter aliorum servat fidem. Porro Pharisæi dicunt: Cur ille loquitur blasphemias? Quis potest remittere peccata nisi solus Deus? Hæc autem dicunt, mortis reum condemnantes. Lege enim statutum, ut blasphemans in Deum morte puniretur 29. Dominus igitur monstrans eis se verum Deum, et non arrogantia illud a se dictum, alio signo illis suadet. Sciebat enim quid illi cogitarent. Unde omnino liquidum, eum esse Deum. Dei enim est videre cor; propterea dixit : Quid vobis videtur? faciliusne remittere peccatum, vel sanare corpus? Omnino juxta vestram sententiam videtur facilius remittere peccata, ut obscurum, et non reprehensibile, quamvis difficilius sit : sanare autem corpus, ut oculis conspicuum, difficilius videtur, quamvis natura facilius : attamen ego et hoc et illud faciam : et idcirco, cum sanabo corpus, quæ res vobis difficilior videtur, credibilem vobis faciam et animæ sanationem, quæ revera difficilior est, quamvis vobis, quia non videtur, facilis videatur. Vide autem quod super terram remittantur peccata. Quamdiu enim super terram sumus, poterimus delere peccata nostra: at postquam e terra migraverimus, non ultra nobisipsis poterimus per confessionem peccata delere : clausa euim est janua. Diximus de hac clausula in aliis Evangelistis uberius.

A καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ · καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν αὐτῷ· Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Καὶ ἤρξαντο διαλογίζεσθαι οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, λέγοντες· Τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας; Τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός ; Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε πρὸς αὐτούς · Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν ; Τί ἐστιν εὐκοπώτερον εἰπεῖν, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, Ἔγειραι καὶ περιπάτει ; Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, εἶπε τῷ παραλελυμένῳ · Σοὶ λέγω, ἔγειραι · καὶ ἄρας τὸ κλινίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου. Καὶ παραχρῆμα B ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ' ὃ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ δοξάζων τὸν Θεόν· καὶ ἔκστασις ἔλαβε πάντας. Καὶ ἐδόξαζον τὸν Θεὸν, καὶ ἐπλήσθησαν φόβου, λέγοντες, ὅτι Εἴδομεν παράδοξα σήμερον. » Ἔδει, συνηγμένων τῶν ἐχθρῶν, καινότερόν τι τερατουργῆσαι τὸν Κύριον · θεραπεύει οὖν ἄνθρωπον νοσοῦντα νόσον δυσίατον · ἵνα διὰ τοῦ τὸ τοιοῦτον ἰάσασθαι νόσημα καὶ τὴν δυσθεράπευτον τῶν Φαρισαίων μανίαν ἐξιάσηται. Πρῶτον οὖν τὰ τῆς ψυχῆς θεραπεύει, εἰπών · Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἵνα μάθωμεν, ὅτι τὰ πολλὰ τῶν ἀῤῥωστημάτων ἀπὸ τῶν ἁμαρτιῶν τίκτονται · εἶτα καὶ τὰ τοῦ σώματος θεραπεύει, ἰδὼν τὴν πίστιν τῶν προσενεγκάντων. Πολλάκις γὰρ διὰ τὴν ἑτέρων πίστιν ἑτέρους σώζει. Οἱ δὲ Φαρισαῖοί φασι · Τί οὗτος λαλεῖ βλασφημίας; Τίς C δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ Θεός ; Ταῦτα δὲ λέγουσι, θάνατον αὐτοῦ καταγινώσκοντες. Τὸν γὰρ εἰπόντα βλασφημίαν κατὰ τοῦ Θεοῦ θάνατον ὑπομένειν προσέταττεν ὁ νόμος. Ὁ γοῦν Κύριος δεικνὺς αὐτοῖς, ὅτι ὄντως Θεός ἐστι, καὶ οὐ κομπάζει μάτην, ἀφ' ἑτέρου σημείου πείθει αὐτούς. Ἃ γὰρ ἐκεῖνοι διελογίζοντο, ταῦτα αὐτὸς συνίησιν. Ὅθεν πάντως δῆλον, ὅτι Θεός ἐστι. Θεοῦ γὰρ τὸ εἰδέναι καρδίας. Φησὶν οὖν, Τί δοκεῖ ὑμῖν εὐκοπώτερον, τὸ ἀφιέναι ἁμαρτίας, ἢ τὸ ὑγιάσαι σῶμα ; Πάντως κατὰ τὴν ὑμετέραν ψῆφον τὸ ἀφιέναι ἁμαρτίας δοκεῖ εὐκοπώτερον, ὡς ἀφανὲς καὶ ἀνέλεγκτον, καίτοι δυσκολώτερον ὄν. Τὸ δέ γε θεραπεῦσαι σῶμα δοκεῖ δυσκολώτερον, ὡς φαινόμενον, καίτοι εὐκοπώτερον ὂν τῇ φύσει. Ὅμως ἐγὼ καὶ τοῦτο κἀκεῖνο ποιήσω. Καὶ D διὰ τοῦ θεραπεῦσαι τὸ σῶμα, ὃ δοκεῖ ὑμῖν δυσκολώτερον, πιστώσομαι καὶ τὴν θεραπείαν τῆς ψυχῆς, ἥτις εἰ καὶ δυσκολός ἐστι, δοκεῖ ὑμῖν εὔκολον, διὰ τὸ ἀφανές. Ὅρα δὲ ὅτι ἐπὶ τῆς γῆς ἀφίενται αἱ ἁμαρτίαι. Ἕως οὗ γάρ ἐσμεν ἐπὶ τῆς γῆς, δυνάμεθα ἐξαλεῖψαι τὰς ἁμαρτίας ἡμῶν. Μεθ' ὃ μέντοι τῆς γῆς ἀπαναστῶμεν, οὐκ ἔτι ἡμεῖς αὐτοὶ δυνάμεθα δι' ἐξομολογήσεως ἐξαλεῖψαι τὰς ἁμαρτίας ἡμῶν. Ἀποκέκλεισται γὰρ ἡ θύρα. Εἴπομεν δὲ περὶ ταύτης τῆς περικοπῆς ἐν τοῖς ἑτέροις Εὐαγγελισταῖς πλατύτερον.

VERS. 27-32. « Et post hæc exiit ac vidit publicanum nomine Levi sedentem ad telonium ; et ait illi : Sequere me. Atque is, relictis omnibus, surgens secutus est eum: et fecit ei convivium magnum Levi in demo sua : et erat turba multa publicano-

« Καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθεάσατο τελώνην ὀνόματι Λευΐν, καθήμενον ἐπὶ τὸ τελώνιον. Καὶ εἶπεν αὐτῷ · Ἀκολούθει μοι. Καὶ καταλιπὼν ἅπαντα, ἀναστὰς ἠκολούθησεν αὐτῷ. Καὶ ἐποίησε δοχὴν μεγάλην ὁ Λευΐν αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ ἦν ὄχλος

29 Levit. XXIV; I Paral. XIII.

τελωνῶν πολὺς, καὶ ἄλλων, οἳ ἦσαν μετ' αὐτῶν A κατακείμενοι. Καὶ ἐγόγγυζον οἱ Γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες· Διὰ τί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτούς· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.» Ὁ μὲν Ματθαῖος ἀπαρακαλύπτως τὸ ἑαυτοῦ ὄνομα ἀνακηρύττει, λέγων· «Εἶδε Ματθαῖον τὸν τελώνην ὁ Ἰησοῦς καθήμενον ἐπὶ τὸ τελώνιον.» Ὁ δὲ Λουκᾶς καὶ ὁ Μάρκος, τιμῶντες τὸν εὐαγγελιστὴν, τὸ ἕτερον αὐτοῦ ὄνομα, τὸ Λευΐν, εἰς μέσον προτιθέασι. Θαύμασον δὲ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, πῶς τὰ σκεύη τοῦ πονηροῦ διαρπάζει. Τελώνης γὰρ, σκεῦος τοῦ πονη- B ροῦ, καὶ πονηρὸν θηρίον. Ἴσασιν οἱ πεπειραμένοι τῶν πικρῶν ἀπαιτητῶν. Οὗτοι γὰρ οἱ τελῶναι, οἱ τὰ δημόσια τέλη ὠνούμενοι, ἐφ' ᾧ ἀποκερδῆσαι κατὰ τῶν οἰκείων ψυχῶν· Οὐ μόνον δὲ ἄρα τὸν Ματθαῖον ἐκέρδησεν, ἀλλὰ καὶ τοὺς ἑτέρους τελώνας οἷς συνειστιᾶτο, κερδῆσαι ἐσπούδαζεν ὁ Κύριος. Διὰ γὰρ τοῦτο καταξιοῖ συνεστιαθῆναι, ἵνα κἀκείνους ἐφελκύσηται. Οἱ Φαρισαῖοι δὲ αἰτιώμενοι αὐτὸν, ὅρα τί ἀκούουσιν; Οὐκ ἐλήλυθα, φησὶ, καλέσαι δικαίους, τουτέστιν, ὑμᾶς τοὺς δικαιοῦντας ἑαυτούς· ἀλλὰ ἁμαρτωλοὺς ἦλθον καλέσαι, οὐχ ἵνα τῇ ἁμαρτίᾳ ἐμμένωσιν, ἀλλ' ἵνα μετανοήσωσι. Καὶ ἄλλως· Οὐκ ἦλθον καλέσαι δικαίους. Οὐδὲ γὰρ εὑρίσκω, πάντων ἁμαρτόντων. Ἐπεὶ εἰ ἦν δυνατὸν εὑρεῖν δικαίους, οὐκ ἂν ἦλθον. Ἔστι δὲ τελώνης καὶ πᾶς ὁ τῷ κο- C σμοκράτορι δουλεύων, καὶ τέλη τῇ σαρκὶ προσφέρων. Ὁ γαστρίμαργος τελεῖ τῇ γαστρὶ βρώματα, ὁ πόρνος, τὴν ῥυπαρὰν μίξιν, καὶ ἄλλος ἄλλο. Ὅταν οὖν ἴδῃ αὐτὸν ὁ Κύριος, τουτέστιν ὁ εὐαγγελικὸς λόγος, καθήμενον ἐπὶ τὸ τελώνιον, τουτέστι, μὴ προκόπτοντα μηδὲ προοδεύοντα καὶ κινούμενον εἰς πλείονα κακίαν, ἀλλ' οἱονεὶ ἀργοῦντα, τότε ἀναστήσεται ἀπὸ τοῦ κακοῦ καὶ ἀκολουθήσει τῷ Ἰησοῦ, καὶ ὑποδέχεται ἐν τῷ οἴκῳ τῆς ψυχῆς αὐτοῦ τὸν Κύριον. Οἱ δὲ Φαρισαῖοι, οἱ ἀλαζόνες καὶ ἀποκεκομμένοι δαίμονες, τοῦτο γὰρ ὁ Φαρισαῖος, ἀποκεκομμένος τῶν ἄλλων, γογγύζουσιν, ὅτι τοῖς ἁμαρτωλοῖς συνεσθίει.

«Οἱ δὲ εἶπον πρὸς αὐτόν· Διὰ τί οἱ μαθηταὶ Ἰωάννου νηστεύουσι πυκνὰ καὶ δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν Φαρισαίων, οἱ δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν; Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ μετ' αὐτῶν ἐστιν ὁ νυμ- D φίος, ποιῆσαι νηστεύειν; Ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. Ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς, ὅτι Οὐδεὶς ἐπίβλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μή γε καὶ τὸ καινὸν σχίζει, καὶ τῷ παλαιῷ οὐ συμφωνήσει τὸ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ. Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μή γε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκοὺς, καὶ αὐτὸς ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. Ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότερα συντηροῦνται. Καὶ

rum et aliorum qui cum illis accumbebant. Et murmurabant Scribæ et Pharisæi adversus discipulos ejus, dicentes: Quare cum publicanis et peccatoribus editis et bibitis? Respondens Jesus dixit ad illos: Non egent qui sani sunt medico, sed qui male habent. Non veni vocare justos, sed peccatores ad pœnitentiam.» Matthæus nomen suum non tegit, sed clare invulgat dicens: «Vidit Matthæum publicanum Jesus sedentem in telonio [30];» Lucas vero et Marcus honorantes evangelistam, aliud ejus nomen Levi in medium 308 proponunt. Admirare autem Dei misericordiam, quomodo vasa maligni diripiat. Telones enim vas erat maligni, et mala bestia. Sciunt qui experti sunt quam sint importuni exactores. Publicani enim sunt qui publica vectigalia emunt, quatenus inde damnosum suis animabus quid lucrentur. At non solum Matthæum tunc lucratus est, sed etiam alios publicanos, cum quibus convivabatur, lucrari volebat Dominus. Nam propterea et conviva illorum fit, ut etiam illos attrahat. Vide autem quid dicat Pharisæis ipsum reprehendentibus. Non veni, inquit, vocare justos, hoc est vos, qui vos ipsos justificatis: sed peccatores veni vocare, non ut in peccatis maneant, sed ut pœnitentiam agant. Vel aliter: Non veni vocare justos. Nullos enim invenio, quandoquidem omnes peccant [31]. Quod si possibile esset invenire justos, non venissem. Est autem publicanus omnis, qui mundi domino servit, et tributa carni dat. Gulosus ventri tributa dat cibos, scortator fœdum congressum, et alius aliud. Cum igitur illum viderit Dominus, hoc est evangelicus sermo, sedentem in telonio, hoc est non proficere, neque procedere, neque moveri ad majorem malitiam, sed quasi otiosum, tunc resuscitabit a malo, et sequetur ille Jesum, et excipiet in domo animæ Dominum. Pharisæi autem arrogantes et dæmones absecti. Pharisæus enim dicitur qui ab aliis sequestratur, murmurant quod cum peccatoribus comedit.

Vers. 33-39. «At illi dixerunt ad eum: Quare discipuli Joannis jejunant frequenter, et obsecrationes faciunt, similiter et Pharisæorum: tui vero edunt et bibunt? Quibus ipse ait: Num potestis facere ut filii thalami, dum cum illis est sponsus, jejunent? Venient autem dies, et cum ablatus fuerit ab illis sponsus, tunc jejunabunt in illis diebus. Dicebat autem similitudinem ad illos: Nemo immissuram novi vestimenti immittit in vestimentum vetus: alioqui et novum rumpet et veteri non conveniet immissura ex novo. Et nemo mittit vinum novum in utres veteres, alioquin rumpet vinum novum utres, et ipsum effundetur, et utres peribunt. Sed vinum mustum in utres novos mittendum est, et utraque conservantur. Et nemo qui biberit vetus, statim vult novum; dicit enim: Vetus me-

[30] Matth. IX, 9. [31] Rom. VIII, 20.

lius est. » Diximus de his in Matthæo, et nunc dicemus succinctius. Apostolos vocat filios thalami, Adventus enim Domini assimilatur nuptiis, eo quod Ecclesiam in sponsam duxerit. Proinde apostolos jejunare non oportebat : discipuli autem Joannis debebant jejunare, nimirum quia virtutem magister illorum labore parabat. Venit enim inquit, Joannes neque comedens, neque **309** bibens. Discipuli autem mei qui mecum agunt veluti cum Verbo Dei, non indigent nunc jejunii utilitate : quoniam ex mea conversatione gratiam consecuti sunt, et per me custodiuntur. Ubi autem ego assumptus fuero, et ipsi ad prædicandum missi fuerint, tunc et jejunabun!, et orabunt, utpote ad magna certamina sese præparantes. Vel etiam aliter. Nunc cum infirmi sunt, et a Spiritu sancto nondum innovati, veteribus comparantur utribus et vestimento veteri, haud oportet illos graviori vivendi ratione gravari et onerari, sicut neque veteri vestimento nova addatur immissura. Potes sane, ut dixi, per utres veteres intelligere apostolos, utpote infirmos. Potes etiam Pharisæos intelligere, qui utribus assimilantur : quasi diceret Dominus, Mea quidem doctrina vinum est novum : vos autem cum sitis utres veteres, illud capere non potestis : sed vinum vetus bibentes, hoc est veterem traditionem, meam, quæ nova est, non vultis, sed dicitis : Vetus vinum, hoc est vetus Testamentum, melius est.

οὐδεὶς πιὼν παλαιὸν, εὐθέως θέλει νέον, λέγει γὰρ Ὁ παλαιὸς χρηστότερός ἐστιν. » Εἴπομεν περὶ τούτων ἐν τῷ κατὰ Ματθαῖον. Καὶ νῦν δὲ συντετμημένως ἐροῦμεν, ὅτι τοὺς ἀποστόλους υἱοὺς νυμφῶνος ὀνομάζει. Ἡ γὰρ τοῦ Κυρίου παρουσία γάμῳ ἀπεικάζεται. Διότι τὴν Ἐκκλησίαν μνηστευσάμενος ἠγάγετο. Οὐ δεῖ τοίνυν τοὺς ἀποστόλους νηστεύειν νῦν· οἱ μὲν γὰρ τοῦ Ἰωάννου μαθηταὶ ὀφείλουσι νηστεύειν, ἅτε πόνῳ καὶ καμάτῳ τὴν ἀρετὴν κατορθώσαντος διδασκάλου αὐτῶν. Ἦλθε γὰρ, φησὶν, Ἰωάννης, μήτε ἐσθίων, μήτε πίνων. Οἱ δὲ ἐμοὶ μαθηταὶ, ὡς τῷ Θεῷ Λόγῳ ἐμοὶ συνόντες, οὐ χρῄζουσι τέως τῆς ἀπὸ τῆς νηστείας ὠφελείας, αὐτόθεν χαριτωθέντες καὶ φυλαττόμενοι ὑπ' ἐμοῦ. Ὅταν δὲ ἐγὼ μὲν ἀναληφθῶ, αὐτοὶ δὲ ἐπὶ τὸ κήρυγμα σταλῶσι, τότε καὶ νηστεύσουσι καὶ προσεύξονται, οἷα εἰς ἀγῶνας μεγάλους ἀποδυθέντες. Καὶ ἄλλως δὲ νῦν ἀσθενεῖς ὄντες, καὶ μήπω καινισθέντες ὑπὸ τοῦ Πνεύματος, ἀσκοῖς ἐοίκασι παλαιοῖς καὶ ἱματίῳ παλαιῷ· Οὐ δεῖ οὖν αὐτοῖς βαρυτέραν τινὰ διαγωγὴν ἐπιφορτισθῆναι, ὥσπερ οὐδὲ ἱματίῳ παλαιῷ ἐπιτίθεται νέον ἐπίβλημα. Δύνασαι μὲν οὖν, ὡς ἔφην, τοὺς ἀποστόλους ἐκλαβέσθαι ἐοικότας ἀσκοῖς παλαιοῖς, οἷα ἔτι ἀσθενεῖς ὄντας. Δύνασαι δὲ καὶ τοὺς Φαρισαίους νοῆσαι τούτοις ἀπεικασθέντας, μονονουχὶ λέγοντος αὐτοῖς τοῦ Κυρίου, ὅτι Ἡ μὲν ἐμὴ διδασκαλία οἶνός ἐστι νέος· ὑμεῖς δὲ ἀσκοὶ ὄντες παλαιοὶ, οὐ δύνασθε δέξασθαι ταύτην, ἀλλὰ πιόντες τὸν παλαιὸν οἶνον, τουτέστι τὴν παλαιὰν παράδοσιν, οὐ θέλετε τὴν νέαν τὴν ἐμὴν, ἀλλὰ λέγετε ὅτι ὁ παλαιὸς οἶνος, τουτέστιν ἡ Παλαιὰ Διαθήκη, χρηστοτέρα ἐστίν.

## CAPUT VI.

***De discipulis in Sabbato spicas vellentibus. De eo qui aridum habebat manum. De electione apostolorum. De beatitudinibus. Quod oporteat inimicos diligere. De non contendendo cum proximo. Quod neminem liceat judicare.***

VERS. 1-5. « Accidit autem ut in Sabbato secundo primo transiret per sata, ac vellebant discipuli ejus spicas, edebantque confricantes manibus. Quidam autem Pharisæorum dicebant illis : Quid facitis quod non liceat facere in Sabbatis ? Et respondens Jesus ad eos dixit : Ne hoc quidem legistis quod fecit David cum esurisset ipse, et qui cum illo erant? Quomodo intravit in domum Dei, et panes propositionis sumpsit, editque, ac dedit etiam his qui secum erant : quos non licet edere nisi tantum sacerdotibus? Et dicebat illis : Dominus est Filius hominis etiam Sabbati. » Judæi omne festum Sabbatum nominabant. Sabbatum enim quies dicitur. Sæpe igitur occurrebat festum in Parasceve, et vocabant Parascevem Sabbatum propter festum : deinde quod proprie est Sabbatum, nominabant secundoprimum, eo quod sequatur festum et Sabbatum quod præcesserat. Contigit igitur tunc aliquid tale: et Sabbatum illud vocabatur secundoprimum. Atque cum Pharisæi discipulos carpebant quod in Sabbato comedebant evellentes, hoc est aristas abstrahentes : et confricantes, hoc est terentes ma-

## ΚΕΦΑΛ. Ϛ'.

Περὶ τῶν μαθητῶν τοῦ Χριστοῦ ἐν Σαββάτῳ τιλλόντων τοὺς στάχυας. Περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα. Περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς. Περὶ τῶν μακαρισμῶν. Περὶ τοῦ φιλεῖσθαι τοὺς ἐχθρούς. Περὶ τοῦ πρὸς τὸν πλησίον μὴ φιλονεικεῖν. Περὶ τοῦ μὴ δεῖν τὸν πλησίον κρίνειν.

« Ἐγένετο δὲ ἐν Σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων. Καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας, καὶ ἤσθιον ψώχοντες ταῖς χερσί. Τινὲς δὲ τῶν Φαρισαίων εἶπον αὐτοῖς· Τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς Σάββασι ; Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς· Οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησε Δαυΐδ, ὁπότε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ ὄντες, ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως λαβὼν ἔφαγε, καὶ ἔδωκε τοῖς μετ' αὐτοῦ, οὓς οὐκ ἔξεστι φαγεῖν, εἰ μὴ μόνους τοὺς ἱερεῖς ; Καὶ ἔλεγεν αὐτοῖς ὅτι Κύριός ἐστιν ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου. » Οἱ Ἰουδαῖοι πᾶσαν ἑορτὴν Σάββατον ὠνόμαζον· ἀνάπαυσις γὰρ τὸ Σάββατον· πολλάκις οὖν ἀπήντα ἡ ἑορτὴ ἐν Παρασκευῇ, καὶ ἐκάλουν τὴν Παρασκευὴν Σάββατον διὰ τὴν ἑορτήν. εἶτα τὸ κυρίως Σάββατον ὠνόμαζον δευτερόπρωτον, ὡς δεύτερον ὄν, προηγησαμένης ἄλλης ἑορτῆς καὶ Σαββάτου. Ἔτυχεν οὖν καὶ τότε γενέσθαι τὸ τοιοῦτον, καὶ ὠνομάζετο δευτερόπρωτον τὸ Σάββατον ἐκεῖνο. Αἰτιωμένοις δὲ τοῖς Φαρισαίοις τοὺς μαθητὰς, ὅτι ἐν τῷ Σαββάτῳ ἤσθιον τίλλοντες, τουτέστιν ἀνα-

σπῶντες τοὺς στάχυας, καὶ ψώχοντες, ὅ ἐστι τρί- A βοντες ταῖς χερσὶ, παράγει ὁ Κύριος τὸν Δαυῒδ, πεινάσαντα καὶ φαγόντα τοὺς ἄρτους τῆς προθέσεως. Φεύγων γὰρ τὸν Σαοὺλ, παρεγένετο εἰς Ἀβιάθαρ τὸν ἀρχιερέα, καὶ ἠπάτησεν αὐτὸν λέγων, ὡς ἄρα ὁ βασιλεὺς ἀποστέλλει αὐτὸν ἐπί τι ἀναγκαιότατον ἔργον, καὶ δὴ πεινῶν ἔλαβε μὲν παρὰ τοῦ ἱερέως καὶ τοὺς ἄρτους τῆς προθέσεως, οὓς καθ' ἑκάστην προετίθεσαν δώδεκα ἐπὶ τῆς ἱερᾶς τραπέζης, ἓξ ἐκ δεξιῶν καὶ ἓξ εὐωνύμων. Ἔλαβε δὲ καὶ τὴν ῥομφαίαν τοῦ Γολιάθ. Ταύτην τὴν ἱστορίαν εἰπὼν αὐτοῖς ὁ Κύριος, ἐντρέπει αὐτοὺς ἀπὸ τῆς πράξεως τοῦ Δαυΐδ. Εἰ γὰρ τὸν Δαυΐδ, φησὶ, τιμᾶτε, πῶς τοὺς ἐμοὺς κατακρίνετε μαθητάς; Ἄλλως τε, ὁ Υἱὸς τοῦ ἀνθρώπου, τουτέστιν ἐγὼ, Κύριός εἰμι τοῦ Σαββάτου, ὡς Δημιουργὸς καὶ Ποιητὴς καὶ Δεσπότης, καὶ B νομοθέτης, ἐξουσίαν ἔχων καταλύειν τὸ Σάββατον. Υἱὸς γὰρ ἀνθρώπου οὐκ ἄλλος ἂν κληθείη, εἰ μὴ ὁ Χριστὸς, ὃς Υἱὸς Θεοῦ ὢν, παραδόξως κατηξίωσε, καὶ Υἱὸς ἀνθρώπου δι' ἀνθρώπους γενέσθαι καὶ κληθῆναι. Τὸ γὰρ ἐμὲ καὶ σὲ καλεῖσθαι υἱὸν ἀνθρώπου, οὐδὲν καινόν· ἐκεῖνον δὲ ἄξιον καλεῖσθαι Υἱὸν ἀνθρώπου, τὸν παραδόξως ἀνθρωπισθέντα.

nibus, adducit Dominus David esurientem et comedentem panes propositionis, quas proponebant quotidie. Fugiens enim 310 a Saul veniebat ad Abiathar pontificem, et decepit eum quasi a rege missus esset in opus quoddam necessarium, et esuriens accepit a pontifice etiam panes propositionis, quorum duodecim quotidie super sacram mensam ponebant, sex a dextris, et sex a sinistris. Accepit autem et gladium Goliath. Hanc historiam dixit illis Dominus, et admonet eos a facto David. Nam si Davidem, inquit, honoratis, quomodo meos condemnatis discipulos? Vel aliter, Filius hominis, hoc est, ego, Dominus sum Sabbati, ut Conditor et Factor et Legislator, potestatem habens solvendi Sabbatum. Filius enim hominis non alius vocatus est quam Christus, qui cum esset Filius Dei, mirabiliter dignatus est Filius hominis propter homines et fieri et vocari. At quod ego et tu dicimur filius hominis, nihil novi. Illum autem dignum est vocari Filium hominis, qui miro modo factus est homo.

« Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ Σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν Συναγωγὴν καὶ διδάσκειν. Καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. Παρετήρουν δὲ αὐτὸν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, εἰ ἐν τῷ Σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγορίαν κατ' αὐτοῦ. Αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν. Καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· Ἔγειραι, καὶ στῆθι εἰς τὸ μέσον. Ὁ δὲ ἀναστὰς ἔστη. Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτούς· Ἐπερωτήσω ὑμᾶς τι· ἔξεστι τοῖς Σάββασιν C ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀπολέσαι; Καὶ περιβλεψάμενος πάντας αὐτοὺς, εἶπεν αὐτῷ· Ἔκτεινον τὴν χεῖρά σου. Ὁ δὲ ἐποίησε, καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη. Αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας, καὶ διελάλουν πρὸς ἀλλήλους, τί ἂν ποιήσειαν τῷ Ἰησοῦ. » Ὅσα μὲν εἴπομεν ἐν τῷ κατὰ Ματθαῖον, δῆλα· νῦν δὲ τόδε λέγομεν, ὅτι ξηρὰν ἔχει τὴν χεῖρα, ὃς οὐ πράττει τι τῶν τῆς ἀρετῆς ἔργων. Ἡ μὲν γὰρ χεὶρ ἐνεργείας ὄργανον, ὃς δὲ ἐξήρανται ταύτην, ἀργεῖ πάντως. Ὅστις οὖν θέλει ὑγιασθῆναι τὴν χεῖρα, ἐν τῷ Σαββάτῳ ταύτην ὑγιασθήσεται. Οἷον τί λέγω· Οὐκ ἔστιν ἐνεργῆσαί τι τῶν τῆς ἀρετῆς ἔργων, ἐὰν μὴ παυθῇ τις ἀπὸ τῆς κακίας. Ἔκκλινον γὰρ πρῶτον ἀπὸ τοῦ κακοῦ, καὶ τότε ποίησον τὸ ἀγαθόν. Ὅταν οὖν σαββατίσῃς, τουτέστιν, ἀργήσῃς ἀπὸ τῶν τῆς κακίας ἔργων, τότε D ἐκτενεῖς σου τὴν χεῖρα ἐπὶ τὰ τῆς ἀρετῆς, καὶ ἀποκαταστήσεταί σοι αὕτη. Εἰκότως δὲ εἶπε τό, Ἀποκατεστάθη. Ἦν γὰρ ὅτε ἡ ἀνθρωπίνη φύσις εἶχε τὴν ἐργασίαν τοῦ καλοῦ, καὶ τὴν χεῖρα, τουτέστι τὴν ἐνεργητικὴν δύναμιν, ὑγιᾶ. Εἶτα ἀπολέσασα, χάριτι Χριστοῦ ἀπέλαβε ταύτην, καὶ ἀποκατέστη εἰς τὸ πρώην ἀγαθόν.

VERS. 6-11. « Factum est autem in alio Sabbato ut intraret in Synagogam, ac doceret. Et erat ibi homo, et manus ejus dextra erat arida. Observabant autem eum Scribæ ac Pharisæi an in Sabbato sanaturus esset, ut invenirent unde accusarent eum. Ipse vero sciebat cogitationes eorum, et ait homini qui habebat manum aridam: Surge, et sta in medio. Et surgens stetit. Ait igitur ad illos Jesus : Interrogabo vos, utrum licet Sabbatis benefacere, an malefacere? animam servare an perdere? Et circumspectis omnibus dixit homini, Extende manum tuam. Ille autem fecit, et restituta est manus ejus sana sicut altera. Ipsi autem repleti sunt amentia, et colloquebantur inter sese quidnam facerent Jesu. » Quæ diximus in Matthæo, manifesta sunt: nunc autem hoc dicimus, quod aridam manum habet qui nulla virtutum opera facit. Manus enim operandi organum est: cui autem illa arescit, is omnino otiosus est. Si quis igitur manum sanari vult, in Sabbato illam sanctificet. Neque enim potest quis opera virtutum facere, nisi prius a malitia cesset. Declina enim, inquit, primo a malo, et tunc fac bonum [38]. Itaque quando Sabbatum agis, hoc est, otiosus es ab operibus malis, tunc extendas manum ad opera virtutum, et restituetur ipsa. Et merito dixit, restituta est. Fuit enim quando humana natura habebat vim operandi bonum, ac manum, hoc est operandi efficaciam, sanam : sed posteaquam perdita fuit, gratia Christi illam iterum recepit, et ad priorem sanitatem restituta est.

« Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ. Καὶ ὅτε ἐγένετο ἡμέρα.

VERS. 12-19. » Factum est autem in illis diebus, exiit in montem ad orandum, eratque pernoctans in deprecatione Dei. Et cum dies factus esset, vo-

38 Psal. XXXVI, 27.

cavit discipulos suos, et elegit duodecim ex ipsis
quos et apostolos nominavit: Simonem, quem et
Petrum nominavit, et Andream fratrem ejus, 311
Jacobum et Joannem, Philippum et Bartholomæum,
Matthæum et Thomam, Jacobum Alphæi filium et
Simonem, qui vocatur Zelotes, Judam Jacobi et
Judam Iscariotem, qui idem fuit proditor. Et des-
cendens cum illis stetit in loco campestri, turba-
que discipulorum ejus, et multitudo copiosa plebis
ex omni Judæa et Hierusalem, et a maritima Tyro
et Sidone: qui venerant ut audirent eum, et sa-
narentur a morbis suis; et qui vexabantnr a spi-
ritibns immundis et sanabantur. Et omnis turba
quærebat eum tangere, quia virtus ab illo exibat
et sanabat omnes. » Dominus docet nos ut opera
sua imitemur, et sicut ipse fecit, ita et nos facia-
mus. Ecce oraturus erat, et ascendit in montem.
Etenim oportet etiam nos a negotiis otiosos orare,
et non in medio multorum, sed pernoctantes, ne
statim ut cœperimus, cessemus. Post orationem
autem elegit discipulos, ut doceat etiam nos quando
quempiam in spirituale ministerium sumus ordi-
naturi cum precibus hunc eligamus, ut docti a
Deo et ab illo petentibus revelet quis idoneus sit.
Assumpsit ergo duodecim, descenditque cum illis
de monte; ut eos qui ex urbibus venerant, sanet,
et geminis beneficiis prosequatur, in anima scilicet
ac corpore. Audi enim quid dicat: Venerunt ut
audirent eum, quod ad animæ curam pertinebat:
et sanarentur a morbis suis, hoc de corporibus
dicit. Etenim virtus ab illo egrediebatur, et sanabat
omnes. Nam prophetæ et alii sancti non habebant
virtutem a se egredientem. Non enim fuerunt ipsi
fontes virtutum. At Dominus habuit virtutem a se
egredientem, quandoquidem ipse fons virtutum.
Et ita prophetæ ac sancti virtutem suam superne
acceperunt.

VERS. 20-26. « Et ipse attollens oculos suos in
discipulos, dicebat: Beati pauperes, quia vestrum
est regnum Dei. Beati qui esuritis nunc, quia satu-
rabimini. Beati qui fletis nunc, quia ridebitis. Beati
eritis cum vos oderint homines, et separaverint
vos, et exprobraverint, et ejecerint nomen vestrum
tanquam malum propter Filium hominis. Gaudete
in illo die et exsultate: ecce enim merces vestra
multa est in cœlis. Secundum hæc enim faciebant
prophetis patres eorum. Verumtamen væ vobis
divitibus, quia habetis consolationem vestram. Væ
vobis qui saturati estis nunc, quia esurietis. Væ
vobis qui ridetis nunc, quia lugebitis et flebitis.
Væ cum laudaverint vos omnes homines. Secun-
dum hæc enim faciebant pseudoprophetis patres
eorum. » Postquam ordinavit discipulos, per beati-
tudines et doctrinas in ordinem magis spiritualem
inducit ac componit. Nam ad illos se vertens ser-
monem facit. Et primum beatos dicit pauperes,
312 sive humiles intelligere volueris, sive a pecu-
niæ cupiditate alienos. Et omnes beatitudines

A προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ. Καὶ ἐκλεξάμενος
ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε·
Σίμωνα, ὃν καὶ ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν
ἀδελφὸν αὐτοῦ, Ἰάκωβον, καὶ Ἰωάννην, Φίλιππον,
καὶ Βαρθολομαῖον, Ματθαῖον, καὶ Θωμᾶν, Ἰάκωβον
τὸν τοῦ Ἀλφαίου, καὶ Σίμωνα τὸν καλούμενον Ζη-
λωτὴν, Ἰούδαν Ἰακώβου, καὶ Ἰούδαν Ἰσκαριώτην,
ὃς καὶ ἐγένετο προδότης. Καὶ καταβὰς μετ' αὐτῶν,
ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ,
καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας
καὶ Ἱερουσαλὴμ, καὶ τῆς παραλίου Τύρου καὶ Σι-
δῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν
νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων
ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος
B ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ
ἐξήρχετο. Καὶ ἰᾶτο πάντας. » Πάντα ποιεῖ ὁ Κύριος
διδάσκων ἡμᾶς, ἵνα καὶ ἡμεῖς οὕτω ποιῶμεν. Ἰδοὺ
γοῦν μέλλων εὔξασθαι, ἄνεισί τε εἰς ὄρος Καὶ γὰρ
δεῖ σχολάζοντας προσεύχεσθαι, καὶ μὴ ἐν μέσῳ πολ-
λῶν, ἀλλὰ καὶ διανυκτερεύοντας, μὴ εὐθὺς ἱσταμέ-
νους εἰς προσευχὴν, εἶτα ἀφισταμένους. Μετὰ δὲ τὴν
εὐχὴν ἐκλέγεται τοὺς μαθητὰς, ὡς ἂν διδάξῃ καὶ
ἡμᾶς ὅταν μέλλωμέν τινα εἰς διακονίαν θεῖναι πνευ-
ματικὴν, μετὰ εὐχῆς τοῦτο αἱρεῖσθαι, ὁδηγουμένους
ὑπὸ Θεοῦ, καὶ παρ' ἐκείνου αἰτοῦντας ἀποκαλυφθῆναι
ἡμῖν τὸν δόκιμον. Ἑλόμενος δὲ τοὺς δώδεκα, κάτ-
εισιν ἐκ λοῦ ὄρους, ὡς ἂν τοὺς ἀπὸ τῶν πόλεων
ἐλθόντας ἰάσηται, καὶ διπλῶς εὐεργετήσῃ κατά τε
ψυχὴν καὶ κατὰ σῶμα. Ἄκουε γὰρ, ὅτι Ἦλθον ἀκοῦ-
C σαι αὐτοῦ, τοῦτο ἔστιν ἡ τῶν ψυχῶν θεραπεία, καὶ
ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, τοῦτο, ἡ τῶν σω-
μάτων· δύναμις γὰρ παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο
πάντας. Οἱ μὲν γὰρ προφῆται καὶ οἱ ἄλλοι ἅγιοι οὐκ
εἶχον δύναμιν ἐξερχομένην ἀπ' αὐτῶν· οὐ γὰρ ἦσαν
αὐτοὶ πηγαὶ δυνάμεων. Ὁ δὲ Κύριος δύναμιν εἶχεν
ἐξερχομένην ἀπ' αὐτοῦ· αὐτὸς γὰρ ἦν ἡ πηγὴ τῆς
δυνάμεως. Ὡς οἵ γε προφῆται καὶ οἱ ἅγιοι ἐδέχοντο
μᾶλλον ἄνωθεν δύναμιν.

« Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς
τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί,
ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ
κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε ὅταν
μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ἀφορίσωσιν ὑμᾶς,
καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πο-
D νηρὸν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν
ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε. Ἰδοὺ γὰρ ὁ μισθὸς
ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Κατὰ ταῦτα γὰρ
ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν. Πλὴν
οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παρά-
κλησιν ὑμῶν. Οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι νῦν, ὅτι
πεινάσετε. Οὐαὶ ὑμῖν, οἱ γελῶντες νῦν, ὅτι πενθή-
σετε καὶ κλαύσετε. Οὐαὶ ὅταν καλῶς ὑμᾶς εἴπωσι
πάντες οἱ ἄνθρωποι. Κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς
ψευδοπροφήταις οἱ πατέρες αὐτῶν. » Μετὰ τὸ χειρο-
τονῆσαι τοὺς μαθητὰς, ῥυθμίζει αὐτοὺς διά τε τῶν
μακαρισμῶν καὶ τῆς διδασκαλίας εἰς πνευματικω-
τέραν κατάστασιν. Πρὸς γὰρ αὐτοὺς ἀποτεινόμενος
ποιεῖται τὸν λόγον. Καὶ πρῶτον μακαρίζει τοὺς
πτωχοὺς, εἴτε τοὺς ταπεινόφρονας βούλοιο νοεῖν

εἴτε τοὺς ἀφιλάργυρον ἔχοντας τὸν τρόπον. Ἁπλῶς δὲ πάντες οἱ μακαρισμοὶ εὐτέλειαν ἡμᾶς διδάσκουσι, καὶ ταπείνωσιν καὶ ἐξουδένωσιν καὶ ὀνειδισμόν. Ὥσπερ οὖν καὶ τὸ Οὐαὶ ἐκείνοις ἀποκληροῦται, τοῖς τε πλουσίοις ἐν τῷ νῦν αἰῶνι, οὓς καὶ ἀπέχειν τὴν παράκλησίν φησιν. ἀντὶ τοῦ ὧδε ἐν τῷ παρόντι αἰῶνι ἀπολαμβάνειν τὴν εὐφροσύνην, καὶ τοῖς γελῶσι, καὶ τρυφῶσι, καὶ ἐπαινουμένοις. Φρίξωμεν, ἀδελφοί, πῶς τὸ Οὐαὶ ἔχωσιν οἱ παρὰ τῶν ἀνθρώπων ἐπαινούμενοι. Δεῖ μὲν γὰρ καὶ παρὰ τῶν ἀνθρώπων ἐπαινεῖσθαι, ἀλλὰ πρότερον ἀπὸ Θεοῦ.

« Ἀλλὰ ὑμῖν λέγω τοῖς ἀκούουσιν· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. Καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. Εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην, καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. Παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου. Καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. Καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. Καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσι, ἵνα ἀπολάβωσι τὰ ἴσα. Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε, μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς· καὶ ἔσεσθε υἱοὶ τοῦ Ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν. » Ἐπειδή περ οἱ ἀπόστολοι ἔμελλον σταλῆναι ἐπὶ τὸ κήρυγμα, καὶ προσεδοκῶντο ἐντεῦθεν πολλοὶ αὐτοῖς διῶκται καὶ ἐπίβουλοι· εἰ οὖν ἐπὶ τῷ διωγμῷ ἀχθόμενοι οἱ ἀπόστολοι, εἶτα θέλοντες ἀμύνασθαι τοὺς λυπήσαντας, ἐσίγησαν καὶ οὐκ ἐδίδαξαν, ἔσβεστο ἂν ὁ τοῦ Εὐαγγελίου ἥλιος· διὰ τοῦτο τοίνυν ὁ Κύριος προλαμβάνων, παραινεῖ τοῖς ἀποστόλοις μὴ πρὸς ἄμυναν τῶν ἐχθρῶν χωρεῖν, ἀλλὰ πάντα γενναίως φέρειν τὰ συμβαίνοντα, κἂν ὑβρίζωσί τινες, κἂν ἀνοσίως ἐπιβουλεύωσιν· οὕτω καὶ αὐτὸς ἐν τῷ σταυρῷ ἐποίει, λέγων· Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν. Εἶτα ἵνα μὴ ἔχωσιν εἰπεῖν οἱ ἀπόστολοι ἀδύνατον εἶναι τὸ τοιοῦτον ἐπίταγμα, τὸ ἀγαπᾷν ἀδύνατον εἶναι τὸ τοιοῦτον ἐπίταγμα, τὸ ἀγαπᾷν τοὺς ἐχθρούς, φησίν, Ὃ ἐὰν θέλῃς σὺ ἐπὶ σεαυτοῦ, τοῦτο ἔνδειξαι καὶ τοῖς ἑτέροις. Καὶ γενοῦ τοιοῦτος ἄλλοις, οἵους ἂν θέλῃς περὶ σεαυτὸν γενέσθαι ἑτέρους. Εἰ μὲν σκληροὺς καὶ ἀσυμπαθεῖς καὶ ὀργίλους θέλεις εἶναι τοὺς ἐχθρούς σοι, ἔσο καὶ σὺ τοιοῦτος, εἰ δὲ τοὐναντίον ἀγαθοὺς καὶ συμπαθεῖς καὶ ἀμνησικάκους, μὴ ἀδύνατον εἶναι νόμιζε τὸ τοιοῦτος καὶ αὐτὸς εἶναι. Ὁρᾷς νόμον ἔμφυτον ἐν ταῖς καρδίαις ἡμῶν ἐγγεγραμμένον; Οὕτω καὶ ὁ Κύριος εἶπεν· Ἐν ταῖς ἡμέραις ἐκείναις διδοὺς νόμους μου, εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ τῶν καρδιῶν αὐτῶν ἐπιγράψω αὐτούς. Εἶτα καὶ ἄλλην ἀνάγκην ἐπιτίθησιν ὑμῖν, ὅτι Ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας, ὅμοιοί ἐστε ἁμαρτωλοῖς καὶ ἐθνικοῖς. Ἐὰν δὲ ἀγαπᾶτε τοὺς

A simpliciter frugalitatem nos docent ac humilitatem, et contemptum ac opprobria ferenda: quemadmodum et væ dirigit in divites hujus sæculi, quos et consolationem habere dicit, hoc est, hic in præsenti sæculo lætitiam accipere, et ridere, et in deliciis ac laudibus claros vivere. Horreamus, fratres, quia væ habent qui ab hominibus laudantur. Decet quidem ut et ab hominibus laudemur, sed prius a Deo.

VERS. 27-36. « Sed vobis dico qui auditis: Diligite inimicos vestros, benefacite his qui vos oderunt. Benedicite maledicentibus vobis, et orate pro calumniantibus vos. Percutienti te in maxillam, præbe B et alteram: et ab eo qui aufert tibi pallium, etiam noli tunicam prohibere. Omni autem exigenti abs te, tribue: et ab eo qui aufert quæ tua sunt, ne reposcas: et prout vultis ut faciant vobis homines, vos quoque facite illis similiter. Et si diligitis eos qui vos diligunt, quæ vobis est gratia? Nam et peccatores eos a quibus diliguntur, diligunt. Et si benefeceritis his qui vobis benefaciunt, quæ vobis est gratia? Siquidem et peccatores hoc faciunt. Et si mutuum dederitis his a quibus speratis vos recepturos, quæ gratia est vobis? Nam et peccatores peccatoribus dant mutuum, ut recipiant paria. Quinimo diligite inimicos vestros, et benefacite, et mutuum date, nihil inde sperantes: et erit merces vestra multa, et eritis filii Altissimi: quia ipse benignus C est erga ingratos et malos. Estote ergo misericordes, sicut et Pater vester misericors est. » Quoniam apostoli ad prædicandum mittendi erant, et exspectabantur multi persecutores et insidiatores: si igitur apostoli in persecutione sua dolentes, ad vindicandum eos qui se offenderunt conversi fuissent, siluissent et non docuissent, exstinctus utique fuisset sol Evangelii: propterea Dominus anticipans admonet discipulos ne vindictam de inimicis sumant, sed omnia quæ eveniunt, fortiter ferant, quamvis quidam injuria afficiant, quamvis irreligiose insidientur; sicut et ipse in cruce faciebat, dicens: Pater, dimitte eis; nesciunt enim quid faciunt. Deinde ne apostoli dicere possint impossibile D esse præceptum diligendi inimicos, dicit: Quod tibi vis fieri, hoc et aliis facito: et esto talis aliis, quales alios tibi esse vis. Si quidem duros et incompatientes et iracundos volueris esse tibi inimicos, esto et tu talis, sin illos volueris esse bonos, et compatientes, et injuriarum immemores, ne impossibile credas esse quod et tu talis fias. Vides legem naturalem in cordibus nostris inscriptam? Sic et Dominus dixit: In diebus illis dans leges meas in mentem 313 illorum, et in corda illorum inscribam eas. Postea et alia necessitate nos urget. Si diligitis eos qui vobis bene faciunt, similes estis peccatoribus et gentilibus. Sin diligitis eos qui vobis malefaciunt, similes estis Deo, qui est bonus ingratis et malis. Utrum igitur Deo an peccatoribus similes fieri vultis? Vides divinam doctrinam? Primum a natu-

rali lege te docuit. Nam quod tu tibi vis fieri, hoc etiam alteri fac. Deinde et a fine ac mercede, mercedem enim pollicetur vobis, quod similes fiatis Dei.

Vers. 37-40. « Nolite judicare, et non judicabimini. Nolite condemnare, et non condemnabimini. Remittite, et remittetur vobis. Date, et dabitur vobis. Mensuram bonam et confertam et concussam atque exundantem dabunt in sinum vestrum. Eadem quippe mensura qua metimini, metientur alii vobis. Dicebat autem illis similitudinem. Nunquid potest cæcus cæcum ducere? nonne ambo in foveam cadent? Non est discipulus supra magistrum suum, perfectus autem omnis erit, sicut magister ipsius. » Omnem morbum difficilem ab animabus nostris amove Dominus, radicem dico superbiæ. Nam qui seipsum non considerat, et solum attendit res proximi, illasque taxare vult, certum quod superbia capitur, et obliviscitur sui. Omnino enim de se quod non peccet sentit, et propterea alios peccantes reprehendit. Igitur si vis incondemnatus esse, ne condemnes alios. Dic enim, quæso, quare condemnas alium ut prævaricantem divinas leges? Annon et tu prævaricaris divinam legem? Ut taceam de aliis peccatis, certe in illo ipso quod alios judicas, peccas [33]. Etenim divina lex præcipit tibi ne judices fratrem. Et ita etiam tu prævaricaris legem. Et cum prævaricator es, non debes judicare alium ut prævaricatorem. Judicem enim superiorem esse oportet natura peccante. Remitte igitur, et remittetur tibi: da, et dabitur tibi. Mensuram enim bonam, confertam et concussam et exundantem dabunt in sinum vestrum. Non enim parce remetitur Dominus, sed opulente. Sicut igitur mensurus farinam promis, concutis, exundareque facis, siquidem absque parcimonia metiri vis: ita et Dominus mensuram magnam et exundantem dabit tibi. Ille forte acutior quispiam quæsierit, quomodo postquam dixit, Qua mensura metimini, metientur vobis et alii, iterum dicit quod mensura exundet? Si enim exundet, quomodo mensura hæc eadem est? Dicimus itaque non esse dictum quod tanta mensura metientur vobis et alii, sed eadem. Siquidem dixisset tanta mensura, tunc non defuisset difficultas et contrarietas sermoni. Nunc autem cum eadem dixerit, solvit contrarietatem. Licet enim dare eadem mensura, 314 sed non tanta. Hoc igitur dicit Dominus: Si benefeceris, benefiet tibi. Hoc enim est eadem mensura. Exundantem autem dicit, quod cum semel benefeceris, innumeris modis tibi benefiet. Idem est etiam in condemnatione. Qui enim condemnat et deinde condemnatur, eadem mensura recipit: quatenus autem amplius condemnatur quod similem condemnarit, in hoc exundans est mensura. Hæc autem dixit Dominus a condemnatione nos prohibens.

[33] Rom. II, 1.

A πρὸς ὑμᾶς πονηρευομένους, ὅμοιοί ἐστε τῷ Θεῷ, ὃς ἐστιν ἀγαθὸς ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Ποῖον οὖν θέλετε, ὅμοιοι εἶναι τῶν ἁμαρτωλῶν, ἢ ὅμοιοι εἶναι τοῦ Θεοῦ; Ὁρᾷς διδασκαλίαν θείαν; Ἔπεισέ σε πρῶτον ἀπὸ τοῦ φυσικοῦ νόμου. Ὃ γὰρ θέλεις σὺ γενέσθαι σοι, τοῦτο καὶ αὐτὸς ἄλλοις ποίει. Εἶτα πείθει σε καὶ ἀπὸ τοῦ τέλους καὶ τοῦ μισθοῦ· μισθὸν γὰρ ὑπισχνεῖται ὑμῖν τὸ ὁμοίους γενέσθαι Θεῷ.

« Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. Μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε· ἀπολύετε, καὶ ἀπολυθήσεσθε. Δίδοτε, καὶ δοθήσεται ὑμῖν. Μέτρον καλὸν πεπιεσμένον, καὶ σεσαλευμένον, καὶ ὑπερεκχυνόμενον δώσουσι εἰς τὸν κόλπον ὑμῶν. Τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθεται ὑμῖν. Εἶπε δὲ καὶ παραβολὴν αὐτοῖς. Μή τι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; Οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται; Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ. Κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ. » Παγχάλεπον νόσημα ἀποτέμνει τῶν ἡμετέρων ψυχῶν B ὁ Κύριος, τὴν ῥίζαν λέγω τῆς ὑπεροψίας. Ὁ γὰρ μὴ ἑαυτὸν ἐπισκεπτόμενος, ἀλλὰ τὰ τοῦ πλησίον μόνον ἐφορῶν, καὶ ταῦτα μωμεύειν θέλων, πρόδηλον ὅτι ὑπεροψίᾳ ἁλισκόμενος λέληθεν ἑαυτόν. Οἴεται γὰρ πάντως περὶ ἑαυτοῦ, ὅτι οὐχ ἁμαρτάνει. Καὶ διὰ τοῦτο τοὺς ἄλλους ἁμαρτάνοντας αἰτιᾶται. Εἰ οὖν θέλεις ἀκατάκριτος εἶναι, μὴ κατάκρινε ἑτέρους. Εἰπέ μοι γὰρ διατί κατακρίνεις ἕτερον, ὡς παραβαίνοντα πάντως τοὺς θείους νόμους; Σὺ δὲ αὐτὸς οὐ παραβαίνεις θεῖον νόμον; Ἀφίημι ἐν ταῖς ἄλλαις ἁμαρτίαις, ἀλλ' ἐν αὐτῷ τούτῳ τῷ κρίνειν ἑτέρους, πάντως γὰρ νόμος θεῖος διακελεύεταί σοι μὴ κρίνειν τὸν ἀδελφόν· ὥστε καὶ σὺ παραβαίνεις νόμον. Παραβάτης δὲ ὤν, οὐκ ὀφείλεις ἕτερον κρίνειν ὡς παραβάτην. C Ἀνώτερον γὰρ εἶναι δεῖ τῆς ἁμαρτανούσης φύσεως τὸν κριτήν. Ἀπόλυε οὖν, καὶ ἀπολυθήσῃ· δίδου, καὶ δοθήσεταί σοι. Μέτρον γὰρ καλὸν, πεπιεσμένον καὶ σεσαλευμένον, καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν. Οὐ γὰρ φειδομένως ἀντιμετρεῖ ὁ Κύριος, ἀλλὰ πλουσίως. Ὥσπερ οὖν ἐὰν μέλλῃς μετρήσειν τυχὸν ἄλευρον, πιέζεις τοῦτο καὶ σαλεύεις, καὶ ὑπερεκχεῖσθαι ποιεῖς, εἴγε θέλεις τοῦτο μετρῆσαι χωρὶς φειδωλίας· οὕτω καὶ ὁ Κύριος μέτρον μέγα καὶ ὑπερεκχυνόμενον δώσει σοι. Ζητήσειε δ' ἄν τις ὀξύτερος, πῶς εἰπὼν ὅτι Ὧι μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν, πάλιν λέγει, ὅτι μέτρον ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν; Εἰ γὰρ ὑπερεκχύνεται, πῶς τὸ αὐτό ἐστι; Λέγομεν οὖν ὅτι οὐκ εἶπε, Τοσούτῳ μέτρῳ ἀντιμετρη- D θήσεται ὑμῖν, ἀλλὰ, τῷ αὐτῷ. Εἰ μὲν γὰρ εἶπε, τοσούτῳ μέτρῳ, τότε ἂν εἶχε δυσχέρειαν καὶ ἐναντιότητα ὁ λόγος. Νῦν δὲ, τῷ αὐτῷ εἰπὼν, λύει τὴν ἐναντιότητα. Ἔστι γὰρ διδόναι τῷ αὐτῷ μέτρῳ, οὐ μὴν τοσούτῳ. Τοῦτο γοῦν λέγει ὁ Κύριος, ὅτι Εὐεργέτησας, εὐεργετηθήσῃ τοῦτο τὸ αὐτὸ μέτρον. Τὸ δὲ ὑπερεκχυνόμενον, ὅτι εὐεργέτησας ἅπαξ, μυριοπλασίως εὐεργετηθώσῃ. Τὸ αὐτό καὶ ἐπὶ τῆς κατακρίσεως. Ὁ γὰρ κατακρίνων, εἶτα κατακρινόμενος, τῷ αὐτῷ μέτρῳ ἀντιλαμβάνει· καθὸ δὲ πλεῖον κατακρίνεται, ὅτι τὸν ὅμοιον κατέκρινε, κατὰ τοῦτο

ὑπερεκχυνόμενόν ἐστι τὸ μέτρον. Ταῦτα δὲ εἰπὼν ὁ Κύριος, καὶ κωλύσας ἡμᾶς ἀπὸ τοῦ κατακρίνειν, λέγει καὶ παραβολὴν ἡμῖν, τουτέστιν ὑπόδειγμα. Εἰπέ μοι γὰρ, φησὶν, ὁ ἕτερον κρίνων, καὶ αὐτὸς τὰ αὐτὰ ἁμαρτάνων, οὐκ ἔοικας τυφλῷ τυφλὸν ὁδηγοῦντι; Εἰ γὰρ τὸν ἕτερον κρίνεις, αὐτὸς δὲ τοῖς αὐτοῖς περιπίπτεις, ἀμφότεροι τυφλοί· καὶ δοκεῖς μὲν ὁδηγεῖν ἐκεῖνον ἐπὶ τὸ καλὸν διὰ τοῦ κατακρίνειν, οὐχ ὁδηγεῖς δέ. Πῶς γὰρ ἔσται ἐκεῖνος ἐπὶ τὸ καλὸν ὁδηγούμενος ὑπὸ σοῦ, ὅταν καὶ σὺ πταίῃς; Οὐκ ἔστι γὰρ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον. Εἰ οὖν σὺ ὁ διδάσκαλος δοκῶν καὶ ὁδηγὸς, πταίεις, πάντως που καὶ ὁ μαθητευόμενος καὶ ὁδηγούμενος. Ὁ γὰρ κατηρτισμένος μαθητὴς, τουτέστι τετελειωμένος, ἔσται ὡς διδάσκαλος αὐτοῦ. Ταῦτα εἶπε περὶ τοῦ μὴ δεῖν κατακρίνειν τοὺς ὑποδεεστέρους ἡμῶν, καὶ δοκοῦντας ἁμαρτάνειν. Ἐπάγει δὲ καὶ ἕτερα τῆς αὐτῆς ὑποθέσεως.

Dicit autem et parabolam nobis, hoc est exemplum. Dic enim, quæso, inquit, nonne alterum judicans et ipse eadem peccans, comparatus es cæco cæcum ducenti? Nam si alium condemnas, et ipse in eadem incidis peccata, utrique cæci estis: et videris quidem illi dux esse ad bonum, eo quod condemnas: non est autem dux. Quomodo enim ille a te ad bonum inducetur, cum et tu labaris? Non est enim discipulus super magistrum [34]. Si igitur tu qui videris esse magister et dux, laberis omnibus modis cadet etiam qui docetur ac ducitur. Elaboratus enim discipulus, hoc est perfectus, erit sicut magister ejus. Hæc dicit etiam ut ne condemnentur hi qui sunt inferiores nobis, si videantur peccare. Subdit quoque et aliud ejusdem argumenti.

« Τί δὲ βλέπεις τὸ κάρφος, τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ B
ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς; Ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου, Ἀδελφὲ, ἄφες ἐκβάλω τὸ κάρφος, τὸ ἐν τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων; Ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου. Οὐ γάρ ἐστι δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρὸν, οὐδὲ δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλόν. Ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται. Οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσι σταφυλήν. Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν. Ἐκ γὰρ τοῦ C
περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ. » Τί βλέπεις, φησὶ, τὸ κάρφος, τουτέστι, τὸ μικρὸν ἁμάρτημα τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν, τὸ μέγα ἁμάρτημα τὸ σὸν οὐ κατανοεῖς; Τοῦτο δὲ ἁρμόζει καὶ πρὸς πάντας μὲν, μάλιστα δὲ πρὸς διδασκάλους καὶ ἄρχοντας, οἳ τὰ μὲν τῶν ὑπὸ χεῖρα ἁμαρτήματα, καὶ μικρὰ ὄντα κολάζουσι, τὰ δὲ οἰκεῖα, κἂν μεγάλα ὦσιν, ἐῶσιν ἀκόλαστα. Διὸ καὶ ὑποκριτὰς τούτους καλεῖ ὁ Κύριος, ὡς ἄλλο μὲν φαινομένους, ἐκ τοῦ τὰ τῶν ἄλλων ἁμαρτήματα κολάζειν, φαίνονται γὰρ δίκαιοι, ἄλλο δὲ ὄντας, ἐκ τοῦ καὶ αὐτοὺς χεῖρω ἁμαρτάνειν. Εἶτα καὶ ἀπὸ ὑποδείγματος πιστοῦται τὸν λόγον αὐτοῦ. Ὥσπερ γὰρ, φησὶν, οὐκ ἔστι δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρὸν, οὐδὲ δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλὸν, οὕτω καὶ ὁ τοὺς ἄλλους D
σωφρονίζειν καὶ διορθοῦσθαι ἐπιχειρῶν καὶ μετάγειν ἐπὶ τὸ βέλτιον, οὐκ ἂν εἴη πονηρὸς, εἰ δὲ πονηρὸς εἴη, οὐκ ἂν ἑτέρους βελτίους ἐργάσαιτο. Ἡ γὰρ ἑκάστου καρδία θησαυρός ἐστι, κἂν μὲν ἀγαθὰ ἔχῃ, καὶ ὁ ἄνθρωπος ἀγαθός ἐστι, καὶ ἀγαθὰ λαλεῖ· εἰ δὲ πονηρῶν μεστή ἐστιν ἡ καρδία, καὶ ὁ ἄνθρωπος πονηρός ἐστι, καὶ πονηρὰ λαλεῖ. Δύνασαι δὲ ταῦτα πάντα καὶ ὡς περὶ τῶν Φαρισαίων λεγόμενα νοῆσαι. Πρὸς ἐκείνους γὰρ ἀποτεινόμενος, φησὶν, ὅτι, Ἔκβαλε

VERS. 41-45. Quid autem vides festucam in oculo fratris tui, trabem autem quæ in oculo proprio tuo, non animadvertis? Aut quomodo potes dicere fratri tuo: Frater, sine, ejiciam festucam quæ in oculo tuo est, ipse in oculo tuo trabem non videns? Hypocrita, ejice primum trabem ex oculo tuo, et tunc perspicies ut ejicias festucam quæ est in oculo fratris tui. Non est enim arbor bona quæ facit fructum malum: neque arbor mala faciens fructum bonum. Unaquæque enim arbor ex fructu suo agnoscitur. Neque enim e spinis colligunt ficus, neque e rubo vindemiant uvam. Bonus homo ex bono thesauro cordis sui profert bonum, et malus homo ex malo thesauro cordis sui profert malum. Ex abundatia enim cordis loquitur os ejus. » Quid autem vides, inquit, festucam, hoc est, parvum peccatum fratris tui, trabem autem, magnum peccatum tuum, non advertis? Hoc autem omnibus dici potest, et maxime doctoribus et principibus, qui subditorum peccata quamvis parva puniunt: sua autem etiam maxima impunita sinunt. Idcirco illos et hypocritas vocat Dominus. Sunt alii quidem apparentes, dum aliorum peccata puniunt: in hoc enim justi apparent. Alii autem sunt ex eo quod et ipsi gravius peccent. Postea etiam et exemplo confirmat sermonem suum. Sicut, inquit, non est arbor bona quæ facit fructum putrem, neque arbor putris quæ facit fructum bonum: ita et qui alios castigare et corrigere, et ad bonum
318 transferre attentat, non fuerit malus: si autem malus fuerit, alios non faciet meliores. Uniuscujusque enim cor thesaurus est: et si quidem bona habeat, etiam homo bonus est, et bona loquitur: sin vero malis cor plenum fuerit, etiam homo malus est, et mala loquitur. Potes autem hæc et de Pharisæis sic intelligere. Ad illos enim sermonem dirigens, inquit, Ejice primum trabem ex oculo tuo, et tunc festucam quæ est in oculo fratris tui: sicut etiam alibi dicit, Camelum glutientes, et culicem excolantes. Quomodo igitur vos Pharisæi qui estis arbores putres, poteritis fructus bonos afferre?

[34] Joan. XIII, 16.

Vester enim sermo semper putris est, sicut et vita. Loquimini enim ex abundantia cordis. Quomodo igitur alios corrigetis, et aliorum peccata punietis, ipsi gravius peccantes?

A πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου. Ὥσπερ καὶ ἀλλαχοῦ λέγει, οἱ τὴν κάμηλον καταπίνοντες, καὶ τὸν κώνωπα διϋλίζοντες. Πῶς οὖν, φησὶν, ὑμεῖς, ὦ Φαρισαῖοι, δένδρα ὄντες σαπρὰ, δυνήσεσθε καρποὺς ἀγαθοὺς προενεγκεῖν; Ὑμῶν γὰρ καὶ ὁ λόγος σαπρὸς, ὡς καὶ ὁ βίος, ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λέγετε. Πῶς τοίνυν ἑτέρους διορθώσεσθε· καὶ ἑτέρων ἁμαρτήματα κολάσετε, αὐτοὶ τὰ μείζω ἁμαρτάνοντες;

Vers. 46-49. «Quid autem vocatis me, Domine, Domine, et non facitis quæ dico? Quisquis venit ad me, et audit sermones meos, et facit eos, ostendam vobis cui similis sit. Similis est homini ædificanti domum, qui fodit in altum, et posuit fundamentum super petram. Inundatione autem facta, illisum est flumen domui illi, et non potuit eam movere, fundata enim erat super petram. Qui autem audivit, et non fecit, similis est homini qui ædificavit domum suam super terram absque fundamento, in quam illisus est fluvius, et continuo cecidit, et facta est ruina domus illius magna.» Et hoc necessario nobis dicitur, qui ore quidem Christum confitemur, opere autem negamus [35]. Si enim Dominus sum, inquit, omnino vestrum est facere ea quæ sunt servorum. Servi enim opus est recte facere quod dominus imperat. Deinde, dicit nobis quid lucretur se audiens, et non solum audiens, sed et faciens. Similis est enim homini ædificanti, qui ædificavit super petram. Petra igitur est Christus, sicut Apostolus testatur [36]. Fodit autem in profundum, qui non superficialiter sermones Scripturæ accipit, sed scrutatur profunda illarum in spiritu. Talis igitur et supra petram fundat, et deinde facta tempestate, hoc est persecutione vel tentatione, illidit flumen domui illi, tentator, sive dæmon, sive homo, et non valet movere illam. Flumini sane tentans ille homo confertur, et valde merito; sicut enim flumen inundare facit aqua quæ superne decidit, ita et tentantem illum hominem Satanas, qui e supernis cecidit, crescere facit. Domus autem eorum qui non faciunt sermonem Domini cadit, et fit ruina domus illius magna. Magna enim ruina est eorum qui audiunt et non faciunt. Nam qui non audit, et non facit, non tam graviter cadit, qui autem audit et non facit, gravius peccat.

« Τί δὲ με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; Πᾶς ὁ ἐρχόμενος πρός με, καὶ ἀκούων μου τῶν λόγων, καὶ ποιῶν αὐτοὺς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος. Ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν. Πλημμύρας δὲ γενομένης, προσέῤῥηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσε σαλεῦσαι αὐτήν· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. B Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου· ᾗ προσέῤῥηξεν ὁ ποταμὸς, καὶ εὐθέως ἔπεσε, καὶ ἐγένετο το ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.» Καὶ τοῦτο ἀναγκαῖον προς ἡμᾶς, τοὺς ὁμολογοῦντας μὲν αὐτὸν τοῖς χείλεσι Κύριον, τοῖς δὲ ἔργοις ἀρνουμένους. Εἰ γὰρ Κύριός εἰμι, φησὶ, πάντως ὑμᾶς ἔδει τὸ τῶν δούλων ποιεῖν. Δούλων δὲ ἔργον, τὸ πράττειν ἃ ὁ κύριος ἐπιτάττει. Εἶτα λέγει ἡμῖν τί κερδαίνει ὁ αὐτοῦ ἀκούων, καὶ μὴ μόνον ἀκούων, ἀλλὰ καὶ ποιῶν. Ὅμοιος γὰρ ἐστιν ἀνθρώπῳ οἰκοδόμῳ ὃς ᾠκοδόμησεν ἐπὶ τὴν πέτραν. Πέτρα μὲν οὖν ὁ Χριστὸς, ὡς ὁ Ἀπόστολος μαρτυρεῖ. Σκάπτει δὲ καὶ βαθύνει, ὃς μὴ ἐπιπολαίως δέχεται τοὺς τῆς Γραφῆς λόγους, ἀλλ' ἐρευνᾷ τὰ βάθη τούτων μετὰ τοῦ πνεύματος. Ὁ τοιοῦτος οὖν καὶ ἐπὶ τὴν πέτραν θεμελιοῖ. Εἶτα C πλημμύρας γενομένης, διωγμοῦ τυχὸν ἢ πειρασμοῦ, προσρήσσει ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, ὁ πειραστὴς εἴτε δαίμων εἴτε ἄνθρωπος, καὶ οὐκ ἰσχύει σαλεῦσαι ταύτην. Ποταμῷ δ' ἂν παραβληθείη ὁ πειράζων ἄνθρωπος, καὶ μάλα εἰκότως· ὥσπερ γὰρ τὸν ποταμὸν ἡ ἄνωθεν πίπτουσα βροχὴ πλημμυρεῖν ποιεῖ, οὕτω καὶ τὸν πειραστὴν ἄνθρωπον ὁ ἄνωθεν πεσὼν Σατανᾶς αὔξειν ποιεῖ. Τῶν δὲ μὴ ποιούντων τοὺς τοῦ Κυρίου λόγους ἡ οἰκία πίπτει, καὶ γίνεται τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα. Μεγάλα γὰρ εἰσι τὰ πτώματα τῶν ἀκουόντων μὲν, μὴ ποιούντων δέ. Ὁ μὲν γὰρ μήτε ἀκούσας μήτε ποιήσας, ἐλαφρότερα πταίει, ὁ δὲ ἀκούσας μὲν, μὴ ποιήσας δὲ, χαλεπώτερα ἁμαρτάνει.

## CAPUT VII.

*De centurione. De filio viduæ. De missis a Joanne.*

Vers. 1-10. 316 «Cum autem consummasset omnia verba sua audiente populo, intravit Capernaum. Centurionis autem cujusdam servus male habens agebat animam, qui illi erat charus. Cum audisset autem de Jesu, misit ad eum seniores Judæorum, rogans eum ut veniret et servaret servum suum. At illi cum venissent ad Jesum, rogabant eum studiose, dicentes: Dignus est ut hoc illi

## ΚΕΦΑΛ Ζ'.

Περὶ τοῦ ἑκατοντάρχου. Περὶ τοῦ υἱοῦ τῆς χήρας· Περὶ τῶν σταλέντων παρὰ Ἰωάννου.

D « Ἐπεὶ δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καπερναούμ. Ἑκατοντάρχου δὲ τινος δοῦλος κακῶς ἔχων, ἔμελλε τελευτᾷν ὃς ἦν αὐτῷ ἔντιμος. Ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. Οἱ δὲ, παραγενόμενοι πρὸς τὸν Ἰησοῦν, παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες ὅτι

[35] Tit. I, 16. [36] I Cor. X, 4.

"Ἀξιός ἐστιν ᾧ παρέξει τοῦτο, ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν. Ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. Ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλους, λέγων αὐτῷ· Κύριε, μὴ σκύλλου, οὐ γὰρ εἰμι ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. Διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν. Ἀλλ' εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ. Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, ἐθαύμασεν αὐτόν. Καὶ στραφεὶς, τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπε· Λέγω ὑμῖν ὅτι οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. Καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον, εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα. » Ὁ αὐτός ἐστιν αὐτὸς τῷ παρὰ τῷ Ματθαίῳ. Κἂν γὰρ μὴ λέγῃ ὁ Ματθαῖος ὅτι ἔπεμψε τοὺς Ἰουδαίους ἐρωτῶν καὶ ἱκετεύων αὐτὸν, τί τοῦτο; Εἰκὸς γὰρ πρότερον μὲν πέμψαι τοὺς Ἰουδαίους, εἶτα αὐτὸν ἐκεῖνον ἐλθεῖν· ὃ γοῦν παρέλειψεν ὁ Ματθαῖος, λέγει ὁ Λουκᾶς. Τάχα γάρ τοι καὶ οἱ Ἰουδαῖοι φθόνῳ τηκόμενοι, οὐδὲ εἴασαν ἂν τὸν ἑκατόνταρχον πρὸς τοὺς πόδας τοῦ Ἰησοῦ ἐλθεῖν. Δόξαν γὰρ ἔφερε τῷ Ἰησοῦ τοῦτο, εἰ τελευταῖον αὐτὸς ἀναγκαζόμενος προσῆλθεν ἂν τῷ Ἰησοῦ. Ἀλλ' ἴσως πάλιν ἀπορήσειεν ἄν τις· Πῶς οὖν ὁ μὲν Ματθαῖός φησιν ὅτι αὐτὸς ἐκεῖνος οἰκειοφώνως παρῃτεῖτο ἐλθεῖν τὸν Ἰησοῦν; ὁ δὲ Λουκᾶς ἐνταῦθά φησιν ὅτι πέμψας παρεκάλει αὐτὸν μὴ ἐλθεῖν; Ἔστιν οὖν εἰπεῖν ὅτι οὐδὲν καινὸν καὶ ἑτέρους πέμψαι, καὶ αὐτὸν ἐλθόντα ταῦτα λέγειν, παραιτούμενον μὴ ἐλθεῖν. Ἀξία δὲ ἡ πίστις τοῦ ἀνδρὸς θαυμάζεσθαι, ἀνάξιον ἑαυτὸν καλοῦντος τῆς ἐπιδημίας τοῦ Ἰησοῦ. Διὸ καὶ ὁ Κύριός φησιν, ὅτι, Οὐδὲ ἐν τῷ Ἰσραηλιτικῷ λαῷ τοσαύτην πίστιν εὗρον. Ἐθνικὸς γὰρ ἦν ὁ ἑκατόνταρχος, ἀπὸ τῶν Ῥωμαϊκῶν ἴσως ταγμάτων· ἑκατόνταρχος δέ ἐστι καὶ πᾶς νοῦς ὃς ἄρχει πολλῶν ἐν κακίᾳ, πράγματα πολλὰ ἐν τῷ βίῳ ἔχων. Ἔχει δὲ δοῦλον νοσοῦντα, τὸ ἄλογον μέρος τῆς ψυχῆς, θυμὸν λέγω καὶ ἐπιθυμίαν· δοῦλα γὰρ ταῦτα ἐτάχθησαν εἶναι· καὶ ἐπικαλεῖται τὸν Ἰησοῦν, πέμψας πρὸς αὐτὸν μεσίτας τοὺς Ἰουδαίους, τουτέστι, τοὺς τῆς ἐξομολογήσεως λογισμούς τε καὶ λόγους. Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται. Ἡ γὰρ οὐχ ἐξομολογήσεως ῥήματα καὶ ταπεινώσεως τὸ, Οὐκ εἰμὶ ἄξιος ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, καὶ τὰ ἑξῆς. Πιστεύσας οὖν οὕτως ἐπὶ τὸν Ἰησοῦν, ταχέως ἀπολήψεται τὸν δοῦλον αὐτοῦ ὑγιαίνοντα · τὸν θυμὸν λέγω καὶ τὴν ἐπιθυμίαν.

A præstes : diligit enim gentem nostram, et Synagogam ipse ædificavit nobis. Jesus autem ibat cum illis. Et cum jam non longe abesset a domo, misit ad eum centurio amicos, dicens ei: Domine, noli vexari: non enim sum dignus ut sub tectum meum intres. Quapropter nec dignum meipsum arbitratus sum, ut venirem ad te : sed dic verbo, et sanabitur puer meus. Nam et ego homo sum sub potestate constitutus, habens sub me milites, et dico huic : Vade, et vadit : et alteri : Veni, et venit : et servo meo, Fac hoc, et facit. Auditis autem his Jesus miratus est eum, et conversus sequenti se turbæ dixit : Dico vobis, ne in Israel quidem tantam fidem inveni. Et reversi qui missi fuerant in domum, invenerunt servum qui languerat sanum. » Idem est hic B cum illo quem Matthæus ponit, etiamsi non dicat Matthæus quod miserit Judæos, rogans et orans illum. Verisimile enim est quod primum miserit Judæos, deinde etiam ipse venerit. Quod igitur prætermisit Matthæus, hoc dicit Lucas. Fortassis et Judæi invidia tabescentes non permiserunt centurionem ad pedes Jesu venire: fuisset enim hoc in gloriam Jesu, si denique ipse urgente necessitate accessisset ad Jesum. Sed forte iterum quis interrogarit: Quomodo igitur Matthæus dicit quod ille propria voce obsecrarit ut veniret Jesus, Lucas vero hoc loco dicit quod amici obsecrarint eum ne veniat? Dicendum itaque quod nihil novum etiam alios mittere, et per se venire, et eadem dicere ac deprecari ne veniat. Digna autem viri fides est quam admiremur, indignum se vocantis adventu Jesu. Idcirco et Dominus C dicit quod neque in Israelitico populo tantam fidem invenerit. Gentilis enim erat centurio, forsitan ex Romanorum cohortibus. Centurio quoque omnis mens est quæ præest multis in malitia, cui per vitam multa sunt negotia, et habet servum ægrotantem, partem animæ rationis expertem, iram dico et concupiscentiam: ordinata enim sunt hæc ut serviant : et accesit Jesum mittitque ad illum intercessores Judæos, 317 hoc est cogitationes et verba confessionis. Judas enim interpretatur confessio. Nonne enim confessionis et humilitatis verba sunt : Non sum dignus ut ingrediaris sub tectum meum? etc. Itaque cum hæc crediderit in Jesum, statim recipit servum suum sanum, iram et concupiscentiam.

« Καὶ ἐγένετο ἐν τῷ ἑξῆς, ἐπορεύετο εἰς πόλιν καλουμένην Ναΐν. Καὶ συνεπορεύοντο αὐτῷ μαθηταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος πολύς. Ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκὼς υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη ἦν χήρα· καὶ ὄχλος τῆς πόλεως ἱκανὸς σὺν αὐτῇ. Καὶ ἰδὼν αὐτὴν ὁ Κύριος, ἐσπλαγχνίσθη ἐπ' αὐτῇ, καὶ εἶπεν αὐτῇ· Μὴ κλαῖε. Καὶ προσελθὼν ἥψατο τῆς σοροῦ. Οἱ δὲ βαστάζοντες ἔστησαν. Καὶ εἶπε, Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. Καὶ ἀνεκάθισεν ὁ νεκρὸς, καὶ ἤρξατο λαλεῖν· καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ. Ἔλαβε δὲ φόβος πάντας, καὶ ἐδόξαζον τὸν Θεὸν, λέγοντες, ὅτι

D VERS. 11-16. « Et factum est, deinceps ibat in civitatem quæ vocatur Nain : et ibant cum eo discipuli ejus multi, turbaque copiosa. Cum autem appropinquaret portæ civitatis, ecce defunctus efferebatur filius unicus matri suæ, et hæc vidua erat : et turba civitatis multa cum illa. Quam cum vidisset Dominus, misericordia motus super eam, dixit illi : Noli flere. Et accessit tetigitque loculum. Porro qui portabant, substiterunt. Et ait: Adolescens, tibi dico, surge. Et resedit qui erat mortuus, et cœpit loqui, et dedit illum matri suæ Accepit autem omnes timor, et glorificabant Deum

dicentes : Propheta magnus surrexit inter nos, et Deus visitavit plebem suam.» Postquam centurionis servum etiam absens sanavit, aliud rarius facit miraculum. Ne quis dicat, Et quid novi in hoc servo contigit? fortassis alioqui non fuisset mortuus, propterea mortuum illum qui efferebatur, suscitat. Non solum autem verbo facit miraculum, sed et loculum tangit : ut discamus quod corpus ejus corpus vivificum sit. Quoniam enim caro ejus facta est propria Verbi omnia vivificantis, propterea vivifica est et ipsa, tollitque mortem et corruptionem. Porro resedit mortuus, et cœpit loqui, ut ne apparenter tantum quibusdam suscitatus videatur. Nam veræ resurrectionis signum fuit, residere et loqui. Inanimatum enim corpus neque residere, neque loqui potest. Viduam autem intelligas et animam, quæ virum suum, verbum Dei, qui bonum seminavit semen, amisit : filius vero ejus, mens mortua est, et effertur extra supernam civitatem, Jerusalem ; regio enim viventium illa est. Proinde Dominus misericordia motus tangit loculum. Loculus mentis est corpus. Sepulcrum enim et loculus corpus est, unde et Græci corpus σῶμα vocant, quasi σῆμα, hoc est sepulcrum. Tacto autem corpore Dominus suscitat mentem, juvenilem et fortem illam faciens, quæ residet, et ut suscitata fuerit a sepulcro peccati, incipiet loqui, hoc est, docere alios. Quandiu enim in peccato detinetur, non potest docere et loqui, quis enim ei crederet ?

Vers. 17-29. « Et exiit hic rumor in universam Judæam de eo, et omnem finitimam regionem. Et nuntiaverunt Joanni discipuli ipsius de his omnibus. Et invocavit duos de discipulis suis Joannes, misitque ad Jesum dicens : Tu es qui venturus es, 318 an alium exspectamus? Cum autem venissent ad eum viri, dixerunt : Joannes Baptista misit nos ad te, dicens : Tu es ille qui venturus est, an alium exspectamus? In eadem autem hora multos curavit a morbis ac plagis et spiritibus malis, et cæcis multis donavit visum. Et respondens dixit illis : Euntes renuntiate Joanni quæ vidistis et audistis, quod cæci videant, claudi ambulent, leprosi mundentur, surdi audiant, mortui resurgant, pauperibus annuntietur Evangelium : et beatus est quicunque non fuerit offensus per me. Et cum discessissent nuntii Joannis, cœpit de Joanne dicere ad turbas : Quid existis in desertum ut videretis ? arundinem quæ vento agitatur? Sed quid existis visuri? hominem mollibus vestimentis indutum? Ecce qui vestitu splendido vestiuntur, et in deliciis agunt, in aulis regum sunt. Sed quid existis ad videndum? prophetam? Utique dico vobis, et plus quam prophetam. Hic est de quo scriptum est : Ecce mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te. Dico enim vobis : Major inter natos mulierum propheta Joanne Baptista nemo est : attamen qui minor est in regno

A Προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν, καὶ ὅτι ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. » Ἐπειδή περ τὸν τοῦ ἑκατοντάρχου δοῦλον ὑγιᾶ καὶ μὴ παρὼν ἐποίησεν, ἕτερον καινότερον θαυματουργεῖ. Ἵνα γὰρ μὴ τις εἴπῃ, Καὶ τί καινὸν ἐπὶ τῷ δούλῳ ἐποίησεν ; Ἴσως γὰρ οὐδὲ ἀπέθανεν ἂν δοῦλος, διὰ τοῦτο τὸν ἐκκομιζόμενον ἐκεῖνον νεκρὸν ἀνιστᾷ. Οὐ λόγῳ δὲ θαυματουργεῖ μόνον, ἀλλὰ καὶ τῆς σοροῦ ἅπτεται· ἵνα μάθωμεν ὅτι τὸ σῶμα αὐτοῦ σῶμα ζωῆς ἐστιν. Ἐπειδὴ γὰρ ἰδία γέγονε τοῦ Λόγου ἡ σὰρξ τοῦ πάντα ζωογονοῦντος, διὰ τοῦτο ζωοποιός ἐστι καὶ αὕτη, καὶ θανάτου καὶ φθορᾶς ἀναιρετική. Ἀνεκάθισεν οὖν ὁ νεκρὸς, καὶ ἤρξατο λαλεῖν, ἵνα μὴ κατὰ φαντασίαν δόξῃ τισὶν ἐγηγέρθαι. Καὶ γὰρ ἀληθοῦς ἀναστάσεως σημεῖα, τὸ ἀνακαθίσαι καὶ λαλῆσαι· ἐπεί τοί γε B ἄψυχον σῶμα οὔτε ἀνακαθίσαι, οὔτε λαλῆσαι δύναται. Χήραν δὲ νοήσεις καὶ τὴν ψυχὴν τὴν ἀποβαλοῦσαν τὸν ἄνδρα αὐτῆς, τὸν λόγον τοῦ Θεοῦ, τὸν ἀγαθὰ σπέρματα σπείροντα. Υἱὸς δὲ ταύτης ὁ νοῦς, ὁ τεθνηκὼς καὶ ἔξω τῆς πόλεως, τῆς ἄνω Ἱερουσαλὴμ, κομιζόμενος. Χώρα γὰρ τῶν ζώντων ἐστὶν ἐκείνη· ὁ γοῦν Κύριος σπλαγχνισθεὶς, ἅπτεται τῆς σοροῦ. Σορὸς δὲ τοῦ νοῦ, τὸ σῶμα. Τάφος γὰρ ὄντως καὶ σῆμα τὸ σῶμα. Καθὰ καὶ τινες εἶπον αὐτὸ σῆμα εἶναι, τουτέστι τάφον. Ἁψάμενος οὖν τοῦ σώματος ὁ Κύριος ἐγείρει τὸν νοῦν, νεανικὸν αὐτὸν καὶ γενναῖον ποιῶν. Ἀνακαθίσας δὲ ὁ νεανίσκος, ὁ νοῦς λέγω οὗτος, καὶ ἐγερθεὶς ἀπὸ τοῦ τάφου τῆς ἁμαρτίας, τότε ἄρξεται λαλεῖν, τουτέστι διδάσκειν ἑτέρους. Ἐν ὅσῳ γὰρ τῇ ἁμαρτίᾳ κατέχεται, οὐ δύναται διδάσκειν καὶ λαλεῖν· τίς γὰρ αὐτῷ πιστεύσει ;

C « Καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ περιχώρῳ. Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης, ἔπεμψε πρὸς τὸν Ἰησοῦν, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν ; Παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες, εἶπον· Ἰωάννης ὁ Βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρός σε, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν ; Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ εἴδετε καὶ ἠκούσατε, ὅτι τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται. Καὶ μακάριός ἐστιν, D ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου, ἤρξατο λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· Τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι ; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον ; Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν ; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον ; Ἰδοὺ οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες, ἐν τοῖς βασιλείοις εἰσίν. Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν ; προφήτην ; Ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. Οὗτός ἐστι περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Λέγω γὰρ ὑμῖν, μείζων ἐν γεννητοῖς γυ-

ναικῶν Ἰωάννου οὐδείς ἐστιν. Ο δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, μείζων αὐτοῦ ἐστι. Καὶ πᾶς ὁ λαὸς ἀκούσας ἐδικαίωσαν τὸν Θεὸν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου. Οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς αὐτοὺς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ. » Ἠκούσθη μὲν ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν καὶ τὴν περίχωρον, τὸ ἐν τῇ Ναῒν θαῦμα, ἠκούσθη δὲ καὶ τοῖς τοῦ Ἰωάννου μαθηταῖς· ἐδάκνοντο οὖν ἐπὶ τοῖς τοῦ Κυρίου ἐπαίνοις, οἷα ἔτι ἀτελεῖς (98). Ὁ τοίνυν Ἰωάννης βουλόμενος αὐτοῖς ὑποδεῖξαι τὸ μέγεθος τοῦ Χριστοῦ, καὶ ὅσον ἀφέστηκεν αὐτοῦ, οἰκονομεῖ τὸ πρᾶγμα. Καὶ οὐδὲν μὲν λέγει τοῖς μαθηταῖς περὶ Χριστοῦ συστατικόν. Ὑποκρινόμενος δὲ τὸν ἀγνοοῦντα, ἀποστέλλει αὐτοὺς, ὡς ἂν ἰδόντες τὰ θαύματα, πιστεύσωσιν ἐκ τῶν ἔργων αὐτῶν. Ὅτι πάμπολυ τὸ μέσον τοῦ τε Δεσπότου Ἰησοῦ, καὶ τοῦ δούλου Ἰωάννου. Μὴ γὰρ δὴ νόμιζε ὅτι ἀληθῶς ἀγνοῶν ὁ Ἰωάννης τὰ περὶ Χριστοῦ, ἀπέστειλε τοὺς μαθητὰς αὐτοῦ ἐρωτῶντας. Πῶς γὰρ ὁ καὶ πρὸ γενέσεως ἐν κοιλίᾳ μητρὸς αὐτοῦ σκιρτήσας, ὡς ἐπιγνοὺς αὐτὸν, καὶ ἐν τῷ Ἰορδάνῃ μαρτυρῶν περὶ αὐτοῦ ὡς Υἱοῦ τοῦ Θεοῦ; Πέμπει τοίνυν τοὺς μαθητὰς, λέγων αὐτοῖς ἐρωτῆσαι τὸν Ἰησοῦν. Σὺ εἶ ὁ ἐρχόμενος (99); Ὁρᾷς πῶς τοὺς

Dei, major est illo. Et omnis populus audiens, et publicani, justificaverunt Deum baptizati baptismo Joannis. Pharisæi autem et legisperiti consilium Dei spreverunt adversus semetipsos, non baptizati ab eo. » Increbuit per totam Judæam et finitimam regionem miraculum quod in Nain factum, auditum etiam est a discipulis Joannis, quos gravabant laudes Christi, utpote imperfectos. Itaque Joannes volens eis demonstrare magnitudinem Christi, et quantum se præcelleret, rem hanc comminiscitur, et nihil quidem dicit discipulis de Christo definiens, sed simulans sese ignorantem, mittit illos, ut visis miraculis confirmentur in fide ex operibus ipsis, Dominum esse Christum, et servum Joannem. Ne igitur credas quod Joannes vere ignorans de Christo (a), miserit discipulos interrogantes. Quomodo enim, cum et ante nativitatem in utero matris exsultarit agnoscens illum, et in Jordane testificatus sit eum esse Filium Dei? Mittit igitur discipulos, dicens eis ut interrogent Jesum : Tu es ille venturus? Vides quomodo discipulos inducat ut credant quod Deus sit Jesus. Prophetæ enim missi dicuntur, et ipse Joannes, sicut testatur evangelista, «fuit homo missus a Deo [37]. » Dominus vero venturus.

[37] Joan. I, 6.

### Ex collatione codd. Venet. S. Marci.

(98) Cod. 31 addit : Καὶ δῆλον ἐξ ὧν πρὸς τὸν διδάσκαλον ἔλεγον, Ὅς γὰρ, φησὶ, μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. Καὶ πάλιν ζήτησις ἐγένετο τῶν μαθητῶν Ἰωάννου μετὰ τῶν Ἰουδαίων περὶ καθαρισμοῦ· καὶ αὐτῷ πάλιν προσελθόντες ἔλεγον· Διὰ τί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν; Οὔπω γὰρ εἰδότες, τίς ἦν ὁ Χριστὸς, ἀλλὰ τὸν μὲν ἄνθρωπον ψιλὸν ὑποπτεύοντες, τὸν δὲ Ἰωάννην μείζονα ἢ κατὰ ἄνθρωπον, ἐζηλοτύπουν, εὐδοκιμοῦντα τοῦτον ὁρῶντες, ἐκεῖνον δὲ ὑπολήγοντα. Ὁ τοίνυν Ἰωάννης κ. τ. λ. « Quod manifestum est ex iis quæ magistro suo dixerunt (*Joan.* III, 26) : *Qui tecum*, inquiunt, *erant trans Jordanem cui tu testificatus es, ecce hic baptizat, et omnes veniunt ad ipsum*. Et rursus, cum facta esset quæstio discipulos inter Joannis et Judæos circa purificationem, ii ad eum accedentes dixerunt (*Matth.* IX, 14) : *Cur nos et Pharisæi jejunamus frequenter : discipuli autem tui non jejunant?* Nondum enim scientes, quis esset Christus, sed eum merum hominem esse suspicantes, Joannem vero plus quam hominem, zelotypia percellebantur, videntes eum celebrem fieri, illum autem subminui (*). Itaque Joannes, etc. »

(99) Cod. 31 sequentia addit, quæ forsan propter homœoteleuton omissa fuerant : Ἢ ἕτερον προσδοκῶμεν; Ὁ δὲ Χριστὸς τὴν γνώμην εἰδὼς τοῦ Ἰωάννου, οὐκ εἶπεν, ὅτι, Ἐγώ εἰμι (ἢ γὰρ ἂν καὶ προσέθη τοῦτο τοῖς ἀκούουσι, καίτοι τοῦτο ἀκόλουθον ἦν εἰπεῖν), ἀλλ' ἀπὸ τῶν πραγμάτων αὐτῶν ἀφίησι μανθάνειν. Λέγει γὰρ, ὅτι προσελθόντων αὐτῶν τούτῳ τότε ἐθεράπευσε πολλούς. Καίτοι ποία ἀκολουθία ἦν, ἐρωτηθέντα, Σὺ εἶ, πρὸς μὲν τοῦτο μηδὲν εἰπεῖν, θεραπεῦσαι δὲ εὐθέως τοὺς κακῶς ἔχοντας, εἰ μὴ τοῦτο ἐβούλετο κατασκευάσαι, ὅπερ εἶπον ἐγώ; Εἰδὼς τοίνυν, ἅτε Θεὸς ὤν, τὴν διάνοιαν μεθ' ἧς αὐτοὺς ἔπεμψεν ὁ Ἰωάννης, εὐθὺς ἐθεράπευσε τυφλοὺς, χωλοὺς, καὶ ἑτέρους πολλοὺς, οὐκ ἐκεῖνον διδάσκων, (πῶς γὰρ τὸν πεπεισμένον;) ἀλλὰ τούτους τοὺς ἀμφιβάλλοντας. Καὶ θεραπεύσας φησὶ, Πορευθέντες ἀπαγγείλατε τῷ Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε, καὶ τὰ ἑξῆς· δι' ὧν δείκνυσιν, ὅτι καὶ τὰ ἀπόρρητα αὐτῶν οἶδεν. Εἰ γὰρ εἶπεν, ὅτι Ἐγώ εἰμι, καὶ προσέθη ἂν τοῦτο αὐτοῖς, καὶ ἐνενόησαν, εἰ καὶ μὴ εἶπον, ὅπερ καὶ οἱ Ἰουδαῖοι πρὸς αὐτὸν ἔλεγον, Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, διὰ τοῦτο αὐτὸς μὲν οὐ λέγει, ἀπὸ δὲ τῶν πραγμάτων ἀφίησεν αὐτοὺς πάντα μαθεῖν, ἀνύποπτον τὴν διδασκαλίαν ποιούμενος καὶ σαφῆ. Διὰ τοῦτο καὶ τὸν ἔλεγχον αὐτῶν λανθανόντως ἐπήγαγεν εἰπὼν, Μακάριος, ὃς ἂν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Ὅρα δὲ καὶ διὰ τοῦ εἰπεῖν, Σὺ εἶ ὁ ἐρχόμενος, πῶς τοὺς μαθητὰς ἐμβιβάζει βαθέως εἰς τὸ πιστεῦσαι, κ. τ. λ. « *An alium expectamus?* Christus autem mentem Joannis sciens, non respondit: *Ego sum* (id enim offendisset auditores, tametsi consequens videretur, ut ita diceret), sed ex ipsis rebus id edi-cere sivit. Ait enim, quod, cum illi ad eum accessissent, tunc sanavit multos. At vero quænam consequentia erat, interrogantum, quis esset, nihil respondere; ac statim ægrotos sanare; nisi id quod dixi astruere voluisset? Cognoscens igitur ille, utpote Deus, qua mente Joannes eos misisset, confestim sanavit cæcos, claudos aliosque multos; non ut illum (jam de veritate persuasum), sed ut illos dubitantes edoceret Cum vero sanasset, dixit, *Euntes renuntiate Joanni quæ auditis et videtis*, et quæ sequuntur : quibus palam facit, se eorum secreta nosse. Si enim dixisset : *Ego sum*, hoc et eos offendisset; et cogitassent, fortasse et ore protulissent illud quod Judæi dixere : *Tu testimonium perhibes de te ipso* (*Joan.* VIII, 13) : idcirco hoc ille non dicit; sed sinit ex operibus omnia discere, doctrinam suam claram, et ab omni suspicione immunem hoc

(*) Hæc et sequentia fere omnia quæ amplius habet cod. 31 supra Lucam, desumpta sunt ex Chrysostomo, hom. 37, al. 38, in Matthæum.

(a) Edit. Lut. *ad Christum*.

In potestate enim venit, non invitus. Tu igitur, dicit, es qui exspectabatur ut veniret in mundum? Quidam autem venturum in infernum intelligunt, ut quod dicitur, hunc sensum habeat: Tu es qui venturus es ad infernum? Quid igitur Dominus? Sciens scopum et mentem Joannis quare misisset illos, ut viderent 319 quæ faceret, et ex illis confirmarentur, propterea ad se missis dicit: Renuntiate quæ videtis. Deinde enumerat miraculorum opera, quæ et per prophetas annuntiata fuerant. Nam quod cæci vident, et claudi ambulant, et pauperibus annuntiatur Evangelium, in Isaia scriptum est[38]. Deinde dicit: Et beatus qui non offensus fuerit in me, quasi ita dicens eis: Et vos beati, si non fueritis offensi in me. Quoniam autem verisimile erat multos fuisse offensos in Joanne, qui tantum testimonium perhibuisset de Christo, et nunc misisset illos ad rogandum num esset venturus ille, propterea dicit turbis Christum: Ne quid tale suspicemini de Joanne. Neque enim arundo est, ut nunc huc, nunc illuc moveatur, et nunc quidem

et plangebant illam. At ille dixit: Nolite flere, non est mortua, sed dormit. Et deridebant eum, scientes quod mortua esset. Ipse autem ejectis foras omnibus, apprehensa manu ejus clamavit, dicens : Puella, surge. Et reversus est spiritus ejus, et surrexit continuo, ac jussit illi dari cibum. Et stupuerunt parentes ejus. At ille præcepit eis ne cui dicerent quod factum erat. » Jesus ut audivit quod dixit quidam ad archisynagogum : Ne vexes magistrum, hoc est, ne facias negotium, ne adduc illum : non exspectavit ut princeps synagogæ ipsi loqueretur sed prævenit eum, ne forte diceret archisynagogus : Non opus habeo te, jam enim malum factum est, ecce mortua est quam sperabamus a te sanandam. Igitur ne quid tale diceret : incredulus enim erat et Judæus : præveniens illum Christus, dicit : Ne timeas, tantum crede : respice ad mulierem hanc, quæ sanguinis profluvio laboravit : Illam si imitatus fueris, non aberrabis. Cæterum ex discipulis tantum intrare secum permisit Joannem et Jacobum et Petrum, ut discipulorum præcipuos et taciturnos. Nolebat enim hoc miraculum ante tempus revelari multis, propter Judæorum fortasse invidiam pleraque ex operibus suis occultans, ne invidia succensi judicii fierent rei. Hunc in modum etiam nos quoque facere oportet, quando quis nobis invidet, ne aperiamus ei nostra bona opera, sed curemus ut ignoret, ne ferientes ipsum, ansam præbeamus magis invidendi ac in peccatum ruendi. Sed quoad fieri potest, adniti debemus, ut ipsum lateant. Cum autem Dominus diceret : Non est mortua, sed dormit, et 331 vocaret mortem somnum, eo quod mortuam quasi ex somno suscitaturus esset: deriserunt eum audientes, ut iterum aliquid accederet miraculo. Ut enim postea dicere non possent quod non sit mortua, sed dormierit : propter hoc permisit ut prius derideretur in eo quod diceret, Non est mortua, sed dormit : ut obturarentur ora volentium calumniari. Usque adeo enim certa erat mors, ut deriderent dicentem : Non est mortua. Ejecit autem foras omnes, fortasse docens nos carere inanis gloriæ studio, et nihil ad ostentationem facere : fortasse autem et docens quod, quando quis facturus est miracula, ipse non in medio multorum, sed solus et non impeditus esse debeat. Rediit igitur spiritus puellæ, non enim aliam animam induxit, sed eam quæ a corpore avolarat, iterum in ipsum redire fecit. Præcepit autem ut ei cibum darent, quod confirmaretur fides ac veritas quod illa resurrexisset. Posset etiam et sic intelligi : Sanguinem profluens est omnis anima scaturiens cruentum peccatum et sanguinarium. Omne enim peccatum homicida est, et occisor animæ. At si anima contigerit vestem, hoc est incarnationem Jesu, et crediderit quod incarnatus sit Filius Dei, sanctificabitur Et si quis fuerit princeps Synagogæ, hoc est, mens

A τέρα. Ἔκλαιον δὲ πάντες, καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε· Μὴ κλαίετε, οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. Αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε λέγων· Ἡ παῖς, ἐγείρου. Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα, καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς. Ὁ δε παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός. » Ὁ Ἰησοῦς ἀκούσας, ὡς εἶπέ τις πρὸς τὸν ἀρχισυνάγωγον· Μὴ σκύλλε τὸν διδάσκαλον, τουτέστι, Μὴ εἰς κόπους ἔμβαλε, μὴ μετακίνει, οὐκ ἀνέμεινε τὸν ἀρχισυνάγωγον λαλῆσαί τι πρὸς αὐτὸν, ἀλλὰ προφθάσας, ἵνα μὴ εἴπῃ ὁ ἀρχισυνάγωγος· Οὐ χρείαν σου ἔχω, ἤδη γέγονε τὸ κακὸν, B ἰδοὺ ἀπέθανεν ἣν προσεδοκῶμεν ὅτι θεραπεύσεις, ἵνα γοῦν μηδὲν τοιοῦτον εἴπῃ· ἄπιστος γὰρ ἦν καὶ Ἰουδαῖος· προφθάσας αὐτὸν ὁ Χριστὸς, φησί· Μὴ φοβοῦ, μόνον πίστευε, πρὸς τὴν αἱμόῤῥουν, φησὶν, ἀποσκόπει· ἐκείνην μιμούμενος οὐκ ἀστοχήσεις. Μόνον δὲ Πέτρον, καὶ Ἰωάννην, καὶ Ἰάκωβον ἀφίησιν εἰσελθεῖν, ὡς προκρίτους τῶν μαθητῶν, καὶ ὡς δυναμένους σιωπῆσαι τὸ θαῦμα. Οὐ γὰρ ἤθελεν ἵνα πρὸ καιροῦ ἀποκαλυφθείη τοῖς πολλοῖς, διὰ τὸν φθόνον τάχα τῶν Ἰουδαίων, τὰ πλείω τῶν ἔργων αὐτοῦ συγκαλύπτων, ἵνα μὴ τῷ φθόνῳ διακαιόμενοι, κρίματος ἔνοχοι εἶεν. Ὥσπερ οὖν καὶ ἡμᾶς δεῖ ποιεῖν, ὅταν εἴη τις ἡμῖν φθονῶν, οὐκ ὀφείλομεν πρὸς αὐτὸν ἀπογυμνοῦν τὰ κατορθώματα ἡμῶν, ἵνα μὴ πλήττοντες αὐτὸν, ποιῶμεν πλέον φθονεῖν, καὶ εἰς ἁμάρτημα ἐμβάλλωμεν, ἀλλ' ὡς οἷόν τε C σπουδάζειν ὡς ἂν λανθάνωσιν αὐτόν. Λέγοντος δὲ τοῦ Κυρίου ὅτι οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει, καὶ τὸν θάνατον ὕπνον καλοῦντος, διότι ἔμελλε τὴν τεθνηκυῖαν ἀναστῆσαι ὥσπερ ἐξ ὕπνου, κατεγέλων αὐτοῦ οἱ ἀκούοντες, ἵνα καὶ μᾶλλον τὸ θαῦμα εἴη θαῦμα. Ἵνα γὰρ μὴ ἔχωσι λέγειν ὕστερον ὡς οὐκ ἀπέθανεν, ἀλλ' ὕπνωττε, διὰ τοῦτο ᾠκονόμησε πρότερον καταγελασθῆναι, ἐν τῷ λέγειν ὅτι οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει, ὡς ἂν ἐμφραγῶσι τὰ στόματα τῶν θελόντων συκοφαντεῖν. Τοσοῦτον γὰρ ἀπέθανεν, ὥστε καὶ κατεγέλων αὐτοῦ λέγοντος ὅτι οὐκ ἀπέθανεν. Ἐξέβαλε δὲ ἔξω πάντας, τάχα μὲν παιδεύων ἡμᾶς ἀφιλοδόξους εἶναι, καὶ μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν. Τάχα δὲ καὶ διδάσκων, ὅτι ὅταν μέλλῃ τις D θαυματουργεῖν, οὐ ἐν μέσῳ πολλῶν δεῖ αὐτὸν εἶναι, ἀλλ' ἰδιάζοντα καὶ ἀπερίσπαστον. Ἐπέστρεψεν οὖν τὸ πνεῦμα τῆς παιδός· οὐ γὰρ ἄλλην ψυχὴν εἰσήνεγκεν, ἀλλ' ἐκείνην τὴν ἀπὸ τοῦ σώματος ἀποπτᾶσαν, ταύτην ἐποίησε σταφῆναι ἐπ' αὐτό. Διετάξατο δὲ αὐτῇ δοθῆναι φαγεῖν, πρὸς πίστωσιν πλείονα καὶ βεβαίωσιν τοῦ ἀληθῶς αὐτὴν ἀναστῆναι. Ἔστι δὲ καὶ οὕτω ταῦτα νοῆσαι· αἱμόῤῥους ἐστὶ πᾶσα ψυχὴ βλύζουσα καὶ πηγάζουσα τὴν αἱματώδη ἁμαρτίαν καὶ φονικήν. Πᾶσα γὰρ ἁμαρτία φονεύς ἐστι καὶ σφαγεὺς τῆς ψυχῆς. Αὕτη οὖν ἡ ψυχὴ, ἁψαμένη τῶν ἱματίων τοῦ Ἰησοῦ, τουτέστι τῆς σαρκώσεως αὐτοῦ, καὶ πιστεύσασα ὅτι σεσάρκωται ὁ Υἱὸς τοῦ Θεοῦ, ὑγιάζεται. Κἂν ἀρχισυνάγωγος δέ τις εἴη, τουτέστι

νοῦς πολλῶν ἐν τῷ συνάγειν τὰ ἀπὸ πλεονεξίας κρατῶν· νοσεῖ δὲ αὐτοῦ ἡ θυγάτηρ, ἡ διάνοια λέγω, μόνον προσκαλεσάσθω τὸν Ἰησοῦν καὶ πιστευσάτω, καὶ σωθήσεται.

## ΚΕΦΑΛ. Θ'.

Περὶ τῆς ἀποστολῆς τῶν δώδεκα. Περὶ Ἡρώδου ὅτι ἤκουσε περὶ Ἰησοῦ. Περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων. Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως. Περὶ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ. Περὶ τοῦ σεληνιαζομένου. Περὶ τῶν διαλογιζομένων τίς μείζων. Περὶ τοῦ κωλυομένου δαιμόνια ἐλαύνειν ὑπὸ τῶν μαθητῶν. Περὶ τοῦ μὴ αἰτεῖν τιμωρίαν εἰς τοὺς μὴ δεξαμένους αὐτούς. Περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν.

« Συγκαλεσάμενος δὲ τοὺς δώδεκα, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν, καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας. Καὶ εἶπε πρὸς αὐτούς· Μηδὲν αἴρετε εἰς τὴν ὁδὸν, μήτε ῥάβδον, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν, καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖθεν ἐξέρχεσθε, καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον ἐπ' αὐτούς. Ἐξερχόμενοι δὲ, διήρχοντο κατὰ κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ. » Καὶ ἐντεῦθεν δείκνυται ἡ ὑπεροχὴ τῆς θεότητος τοῦ Ἰησοῦ. Οὐ γὰρ μόνον αὐτὸς ἐθαυματούργει, ἀλλὰ καὶ τοῖς μαθηταῖς ταὐτὸ τοῦτο ἐδίδου, καί τοιγε οὐκ ἀνθρώπου, ἀλλὰ Θεοῦ πάντως ἐστὶ τὸ τοιαῦτα χαρίζεσθαι δῶρα τοῖς αὐτοῦ φίλοις. Δοὺς δὲ αὐτοῖς ἐξουσίαν κατὰ τῶν πονηρῶν πνευμάτων, οὐκ ἄχρι τούτου αὐτοὺς περιώρισεν, ἀλλὰ καὶ κηρύσσειν τὸ Εὐαγγέλιον προσέταξε. Δεῖ γὰρ τὸν διδασκαλίαν ἐγκεχειρισμένον καὶ κηρύσσειν καὶ θαυματουργεῖν. Τό τε γὰρ κήρυγμα διὰ τῶν θαυμάτων βεβαιοῦται, τά τε θαύματα διὰ τοῦ κηρύγματος. Πολλοὶ γὰρ πολλάκις θαύματα ἐποίησαν ἀπὸ δαιμόνων, ἀλλ' οὐκ ἦν τὸ κήρυγμα αὐτῶν ὑγιές. Διὸ οὐδὲ τά θαύματα αὐτῶν ἐκ Θεοῦ· οὕτω δὲ ἀπερίττους αὐτοὺς ἀποστέλλει, ὥστε οὔτε ἄρτον βούλεται αὐτοὺς αἴρειν, οὔτ' ἄλλο τι ὧν οἱ πολλοὶ ἐπαγόμεθα. Παραγγέλλει δὲ αὐτοῖς καὶ τοῦτο, μὴ μεταπηδᾷν ἀπὸ τούτου εἰς ἐκεῖνον, ἀλλ' εἰς ἣν ἂν οἰκίαν εἰσέλθωσιν, ἐκεῖ μένειν, ἵνα μὴ δόξωσιν ἄστατοί τινες εἶναι καὶ εὐμετάβολοι. Ἀποτινάσσειν δὲ τὸν κονιορτόν φησιν, ἐὰν μὴ δέξωνταί τινες ὑμᾶς, εἰς μαρτύριον ἐπ' αὐτούς, τουτέστιν, εἰς ἔλεγχον αὐτῶν καὶ κατάκρισιν, δεικνύντας αὐτοῖς ὅτι πολλὴν ὁδὸν δι' αὐτοὺς ἀνύσαντες, οὐδὲν ἀπ' αὐτῶν κέρδος ἔσχον. Τινὲς δὲ τὸ μὴ βαστάζειν τοὺς ἀποστόλους, μήτε πήραν, μήτε ῥάβδον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν, οὕτω νοοῦσιν, ὅτι Μὴ θησαυρίζετε. Τούτου γὰρ σύμβολον ἡ πήρα, πολλὰ συνάγουσα· μήτε ῥάβδον βαστάζετε, τουτέστι, μὴ θυμώδεις καὶ πληκτικοὶ γένησθε, μήτε ἀνὰ δύο χιτῶνας ἔχετε, ἀντὶ τοῦ, ποικίλοι τινὲς κατὰ τὸ ἦθος καὶ διπλοῖ τὰς γνώμας τυγχάνετε.

« Ἤκουσε δὲ Ἡρώδης ὁ τετράρχης τὰ γενόμενα ὑπ' αὐτοῦ πάντα, καὶ διηπόρει, διὰ τὸ λέγεσθαι ὑπὸ

A quæ præest multis per cupiditatem et habendi studium congregatis, et ægrotaverit filia ejus, cogitatio scilicet : tantum invocet Jesum et credat, ac salvabitur.

## CAPUT IX.

*De missione duodecim apostolorum. De Herode quod de Christo audivit. De quinque panibus et duobus piscibus. De interrogatione Domini. De Transfiguratione Christi. De Lunatico. De disceptantibus, quis major. De eo qni ab apostolis prohibitus est ejicere dæmonia. Quod non deceat vindictam quærere de iis qui excipere hospitio nolunt. De non commissa sequela.*

VERS. 1-6. « Cum autem convocasset duodecim, dedit illis potestatem et auctoritatem super omnia B dæmonia, et ut morbos sanarent. Et misit illos ut prædicarent regnum Dei, et sanarent infirmos: et ait ad illos : Ne quid tuleritis in viam, neque virgam, neque peram, neque panem, neque pecuniam, neque binas tunicas habeatis. Et in quamcunque domum intraveritis, illic manete, atque illinc exetis. Et quicunque non receperint vos, exeuntes de civitate illa, etiam pulverem e pedibus vestris excutite, in testimonium adversus illos. Egressi autem circumibant per castella, evangelizantes et curantes ubique. » Ex hoc loco ostenditur excellentia deitatis Jesu. Non enim ipse 332 tantum miracula facit, sed et discipulis hoc concedit. Utique hoc non hominis, sed Dei fuerit C tanta ac talia dona præstare suis amicis. Dans autem eis potestatem contra malos spiritus, non illo contentus fuit, sed jussit etiam Evangelium prædicare. Docet enim ut is cui concredita est doctrina, et prædicare et miracula agere debeat. Tunc enim prædicatio per miracula confirmatur, miracula autem per prædicationem. Multi enim multa miracula per dæmones fecerunt, quorum prædicatio sana non fuit, et miracula eorum ex Deo non fuerunt. Ita autem ab omni re superflua nudat, ut neque panem eos ferre velit, neque aliud quid, quæ plerique secum tollunt. Porro præcipit eis et hoc, ne a loco in loco transiliant, sed in quamcunque domum intraverint, in illa maneant, ut ne videantur inconstantes et mobiles. Pulverem vero D excutiendum dicit, si non receperint vos, in testimonium illis, hoc est, in reprehensionem ipsorum ac condemnationem, ostendentes eis quod multum itineris propter eos confecerint, nullumque inde lucrum habuerint. Quidam autem sic intelligunt apostolos non gestare vel virgam vel peram, et nec tunicas duas habere: Ne thesaurizetis ; cujus symbolum pera, quæ multa congreget : neque virgam gestetis : hoc est, ne sitis importuni, et ad verberandum proni : neque duas tunicas habeatis, hoc est, ne sitis duplices animo, ac varii moribus.

VERS. 7-9. « Audivit autem Herodes tetrarcha omnia quæ fiebant ab eo, et hæsitabat, eo quod

diceretur a quibusdam quod Joannes surrexisset a mortuis: a quibusdam vero quod Elias apparuisset ab aliis autem quod propheta quispiam ex antiquis surrexisset. Et ait Herodes: Joannem ego decollavi: quis autem iste de quo ego talia audio? Et quærebat videre eum. » Hic Herodes parvus fuit filius Magni qui pueros occiderat. Nam ille quidem rex fuit, hic autem tetrarcha. Dubitabat de Christo quis esset. Joannem quidem, inquit, ego decollavi: et si quidem Joannes excitatus est ex mortuis, omnino visum illum agnoscam. Quærebat enim videre eum. Vide autem quod Hebræi errantes opinabantur, resurrectionem mortuorum in carnali vita futuram, atque in cibo et potu: resurrectio enim non in cibo vel potu vel carnali vita erit, sed qui resurgunt, sicut angeli Dei versantur.

VERS. 10-17. « Et reversi apostoli narraverunt illi quæcunque fecerant. Et assumptis illis secessit seorsum in locum desertum civitatis quæ vocatur Bethsaida. Quod cum cognovisseut turbæ, secutæ sunt illum, et excepit eos, et loquebatur illis de regno Dei, et eos qui curatione indigebant, sanabat. Dies autem cœperat declinare, et accedentes duodecim dixerunt illi: Dimitte turbas, ut euntes in castella villasque vicinas divertant, **333** et inveniant escas, quia hic in loco deserto sumus. Ait autem ad illos: Ves date illis manducare. At illi dixerunt: Non sunt nobis plus quam quinque panes, et duo pisces, nisi nos eamus et emamus in omnem hunc populum escas. Erant autem fere quinquies mille. Ait autem ad discipulos suos: Facite illos discumbere in singulo discubitu quinquagenos: atque ita fecerunt, et fecerunt omnes discumbere. Acceptis itaque quinque panibus, et duobus piscibus, sublatis in cœlum oculis, benedixit illis, et fregit, distribuitque discipulis ut apponerent turbæ. Et comederunt omnes, et saturati sunt. Et sublatum est quod superfuit illis, fragmentorum cophini duodecim. » In desertum locum abit Jesus, quoniam miraculum panum ibi facturus erat, ut ne quis dieere possit, quoniam prope fuerit civitas unde panes allati. Docuit autem turbas et sanavit: ut tu discas quod philosophia nostra verbo et opere constet, et neque dicenda sint quæ facere non licet, neque facienda quæ dictu absurda. Inclinante autem die discipuli incipientes fieri humaniores et officiosiores, miserentur turbis, et dicunt: Dimitte eas, hoc est, sana citius infirmitates illorum, imple petitiones illorum. Dominus autem ad discipulos dicens: Date illis vos quod edant, non ignorans discipulorum inopiam hoc dicit, sed incitare volens ut dicant quot panes sibi sint, ut sic commonstretur miraculum majus, indicantibus illis palam numerum panum. Quod autem dicit, Facite illos discumbere in singulo discubitu quinquaginta, ostendit quod oporteat etiam nos quando aliquem hospitio excipimus, et facere ipsum recumbere, et in eum officiosos esse. Porro suspiciendo in cœlum,

τινων ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν, ὑπό τινων δὲ, ὅτι Ἠλίας ἐφάνη. Ἄλλω δὲ, ὅτι προφήτης εἷς τῶν ἀρχαίων ἀνέστη. Καὶ εἶπεν ὁ Ἡρώδης· Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· τίς δέ ἐστιν οὗτος, περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα; Καὶ ἐζήτει ἰδεῖν αὐτόν. » Οὗτος ὁ Ἡρώδης ὁ μικρὸς ἦν, ὁ υἱὸς τοῦ μεγάλου Ἡρώδου τοῦ τὰ βρέφη ἀποκτείναντος. Ἐκεῖνος μὲν γὰρ βασιλεὺς ἦν, οὗτος δὲ τετράρχης· διηπόρει δὲ περὶ Ἰησοῦ, τίς ἂν εἴη. Ἰωάννην μὲν γὰρ, φησὶν, ἐγὼ ἀπεκεφάλισα, καὶ εἴπερ ὁ Ἰωάννης ἐστὶν ἐγερθεὶς ἐκ νεκρῶν, πάντως ἰδὼν αὐτὸν γνωρίσω. Ἐζήτει γὰρ ἰδεῖν αὐτόν. Ὅρα δὲ ὅτι οἱ Ἑβραῖοι ἐδόξαζον ἀνάστασιν νεκρῶν ἐν ζωῇ σαρκικῇ, καὶ ἐν βρώμασι καὶ πόμασι, κακῶς δοξάζοντες. Ἡ γὰρ ἀνάστασις οὐκ ἐν βρώσει καὶ πόσει, ἢ ζωῇ σαρκικῇ, ἀλλ' ὡς ἄγγελοι Θεοῦ, οὕτω διάγουσιν.

« Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι, διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν. Καὶ παραλαβὼν αὐτοὺς, ὑπεχώρησε κατ' ἰδίαν εἰς τόπον ἔρημον πόλεως καλουμένης Βηθσαϊδά. Οἱ δὲ ὄχλοι γνόντες, ἠκολούθησαν αὐτῷ. Καὶ δεξάμενος αὐτοὺς, ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ Θεοῦ· καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰᾶτο. Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν· προσελθόντες δὲ οἱ δώδεκα, εἶπον αὐτῷ· Ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγροὺς, καταλύσωσι, καὶ εὕρωσιν ἐπισιτισμὸν, ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν. Εἶπε δὲ πρὸς αὐτούς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ εἶπον· Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ ἰχθύες δύο, εἰ μήτι πορευθέντες ἡμεῖς, ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα. Ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι. Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα. Καὶ ἐποίησαν οὕτω, καὶ ἀνέκλιναν ἅπαντας. Λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησεν αὐτοὺς, καὶ κατέκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς παρατιθέναι τῷ ὄχλῳ, καὶ ἔφαγον, καὶ ἐχορτάσθησαν πάντες, καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς, κλασμάτων κόφινοι δώδεκα. » Εἰς ἔρημον τόπον ἄπεισιν ὁ Ἰησοῦς, ἐπειδὴ τὸ τῶν ἄρτων θαῦμα τελέσαι ἔμελλεν, ἵνα μὴ ἔχοι τις λέγειν, ὅτι ἐγγὺς οὔσης πόλεως, ἐκεῖθεν ἄρτοι ἠνέχθησαν. Δεξάμενος οὖν τοὺς ὄχλους, ἐδίδασκέ τε καὶ ἐθεράπευεν, ἵνα σὺ μάθῃς, ὅτι ἡ καθ' ἡμᾶς φιλοσοφία λόγῳ καὶ πράξει μερίζεται, καὶ οὔτε δεῖ λέγειν ἄπρακτα, οὔτε πράττειν ἄλογα. Κλινούσης δὲ τῆς ἡμέρας, οἱ μαθηταὶ φιλανθρωπότερον ἤδη ἀρξάμενοι ἔχειν καὶ ποιμαντικώτερον, κατελοῦσι τοὺς ὄχλους, καί φασιν· Ἀπόλυσον αὐτοὺς, τουτέστι, θεράπευσον τὰς ἀσθενείας αὐτῶν τάχιον. Πλήρωσον τὰς αἰτήσεις αὐτῶν. Ὁ δὲ Κύριος πρὸς τοὺς μαθητὰς λέγων· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν, οὐχ ὡς ἀγνοῶν τὴν ἀπορίαν φησὶν, ἀλλὰ βουλόμενος παρακινῆσαι αὐτοὺς, ἵνα εἴπωσι, πόσους ἄρτους ἔχουσι, καὶ οὕτω δειχθῇ τὸ θαῦμα μέγα, ἐκ τῆς ὁμολογίας ἐκείνων, δειχθείσης τῆς ποσότητος τῶν ἄρτων. Τὸ δὲ, Κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα, δείκνυσιν ὅτι δεῖ ἡμᾶς, ὅταν τινὰ ξενοδοχῶμεν, καὶ κατακλίνειν αὐτόν, καὶ πάσης ἐπιμελείας ἀξιοῦν. Ἀναβλέπει δὲ εἰς τὸν οὐρανὸν, δεικνύων ἡμῖν

ὅταν μέλλωμεν φαγεῖν, εὐχαριστίας τῷ Θεῷ ἀναπέμπειν. Δίδωσι δὲ τοῖς μαθηταῖς, εἶθ' οὕτως ἐκεῖνοι τοῖς ὄχλοις, ἵνα μὴ ἐπιλάθωνται τοῦ θαύματος, ἀλλ' ἀναμιμνήσκωνται τούτου, ἐνθυμουμένοι ὅτι τοὺς ἄρτους εἰς τὰς χεῖρας αὐτῶν ἔλαβον. Τὸ δὲ περίττευμα ἦσαν κόφινοι δώδεκα, ἵνα μάθωμεν πόσον ἡ φιλοξενία δύναται, καὶ πῶς πληθύνονται τὰ ἡμέτερα, ὅταν παρέχωνται τοῖς δεομένοις. Εἴρηται δὲ περὶ τούτων πλατύτερον ἐν τῷ κατὰ Ματθαῖον.

« Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον καταμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί. Καὶ ἐπηρώτησεν αὐτοὺς, λέγων· Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι; Οἱ ἀποκριθέντες εἶπον· Ἰωάννην τὸν Βαπτιστήν· ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δ' ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη. Εἶπε δὲ αὐτοῖς· Ὑμεῖς δὲ, τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε· Τὸν Χριστὸν τοῦ Θεοῦ. Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε μηδενὶ εἰπεῖν τοῦτο, εἰπὼν, ὅτι Δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ Γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. » Ἐρωτῶν τοὺς μαθητὰς ὁ Κύριος, οὐκ εὐθέως ἐρωτᾷ τί λέγουσιν αὐτοὶ, ἀλλὰ πρότερον τὴν τοῦ λαοῦ γνώμην, εἶθ' οὕτω τὴν αὐτῶν ἐκείνων. Τοῦτο δὲ ποιεῖ, ὡς ἂν ἀδόκιμον ἀποδείξας τὴν τῶν πολλῶν περὶ αὐτοῦ φήμην, μεταστήσῃ τοὺς μαθητὰς εἰς τὴν ἀληθῆ ὑπόληψιν. Ὃ δὴ καὶ πέπρακται. Εἰπόντων γὰρ τῶν μαθητῶν, ὅτι Οἱ μὲν Ἰωάννην, οἱ δὲ Ἠλίαν σε λέγουσιν, αὐτὸς ἐρωτᾷ. Ὑμεῖς δὲ, τουτέστιν, Ὑμεῖς οἱ διαφέροντες πάντων, οἱ ἐξειλεγμένοι, οἱ ἐξαίρετοι, τίνα με λέγετε; Ὁ δὲ Πέτρος προπηδᾷ τῶν λοιπῶν, καὶ στόμα πάντων γενόμενος, ὁμολογεῖ αὐτὸν εἶναι τὸν πάλαι κηρυττόμενον Χριστὸν τοῦ Θεοῦ. Οὐ γὰρ εἶπε, Χριστὸν τοῦ Θεοῦ, ἀλλὰ, τὸν Χριστὸν τοῦ Θεοῦ μετὰ τοῦ ἄρθρου, ἵνα δηλώσῃ ὅτι αὐτός ἐστιν ὁ κυρίως Χριστὸς τοῦ Θεοῦ. Πολλοὶ μὲν γὰρ ἐχρίσθησαν, ἀλλ' ὁ Χριστὸς τοῦ Θεοῦ εἷς καὶ μόνος ἐστίν.

« Ἔλεγε δὲ πρὸς πάντας· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν, ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπολέσας ἢ ζημιωθείς; Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ Πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων. Λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἳ οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ. » Ἐπειδὴ περὶ ἑαυτοῦ εἶπεν, ὅτι Δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, ἐπιφέρει καὶ κοινόν τι καὶ καθολικὸν, ὅτι οὐ μόνος ἐγὼ θάνατον ὑποστήσομαι, ἀλλὰ γὰρ καὶ πάντες οἱ βουλόμενοι ἀκολουθεῖν ἐμοί, ὀφείλουσιν ἑαυτοὺς ἀπαρνεῖσθαι, μηδεμίαν κοινωνίαν ἔχοντες πρὸς τὴν σάρκα, ἀλλὰ καταφρονοῦντες ἑαυτῶν. Σταυρὸν δὲ ἐνταῦθα λέγει τὸν θάνατον τὸν ἐπονείδιστον· ἕτερος γὰρ θάνατος οὐκ ἦν οὕτως ἄδοξος ὡς ὁ διὰ σταυροῦ. Δείκνυσιν οὖν

A monstrat quod manducaturi, Deo gratias agere debeamus. Dat autem discipulis, et illi deinde turbis, ut ne obliviscantur miraculi, sed memores ejus sint, cogitantes quod panes in manus sumpserint. Superfuerunt autem cophini duodecim, ut discamus quantum possit hospitalitas, et quod nostra multiplicentur cum suppeditamus indigentibus. Dictum est autem de his latius in his quæ dicta sunt apud Matthæum.

VERS. 18-22. « Et factum est cum solus esset orans, erant cum illo et discipuli, interrogavitque illos dicens : Quem me dicunt esse turbæ ? At illi responderunt et dixerunt, Joannem Baptistam, alii autem Eliam, alii vero quod unus propheta de B antiquis surrexit. Dixit autem illis : Vos autem quem me esse dicitis ? Respondens Simon Petrus dixit, Christum illum Dei. At ille comminatus illis præcepit ne cui dicerent hoc, dicens : Quia oportet Filium hominis multa pati, et reprobari a senioribus et principibus sacerdotum et scribis, et occidi, et tertia die resurgere. » Interrogans discipulos Dominus, non statim interrogat eos quid ipsi **334** dicant, sed prius vulgi et deinde etiam ab eis illorum sententiam. Hoc autem facit ut ostendat improbam multorum de se opinionem, et discipulos in veram transferat : id quod et factum est. Cum enim dixissent discipuli, quod alii quidem Joannem, alii vero Eliam te dicerent, C ipse interrogat : Vos autem, hoc est, qui præcellitis alios, qui electi, quique præcipui, quem me esse dicitis ? Ante alios autem Petrus prosiliit, et factus omnium os, fatetur illum esse Christum Dei, qui olim prædicatus fuerat. Non enim dixit tantum, Christum Dei, sed, Christum illum Dei, cum articulo, ut declaret quod ipse sit proprie Christus Dei. Multi enim uncti fuerunt, sed ille Christus Dei unus et solus est.

VERS. 23-27. « Dicebat autem ad omnes : Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam quotidie, et sequatur me. Qui enim voluerit animam suam salvam facere, perdet illam ; qui vero perdiderit animam suam propter D me, is salvam faciet illam. Quid enim proficit homo, si lucretur universum mundnm, se autem ipsum perdat, aut jacturam sui ipsius faciat ? Nam quem mei puduerit et meorum sermonum, hunc Filius hominis erubescet cum venerit in majestate sua et Patris, et sanctorum angelorum. Dico autem vobis vere, quod sunt quidam hic stantes, qui non gustabunt mortem, donec videant regnum Dei. » Quoniam de seipso dixerat, quod oporteat Filium hominis multa pati, infert commune quoddam ac generale, quod non solus ego mortem sustinebo, sed et omnes qui me volunt sequi, debent seipsos abnegare, nullam communionem cum carne habentes, sed despicientes seipsos. Crucem autem dicit hoc loco mortem contemptissimam : nulla enim mors tam despicabilis fuit sicut crucis.

Ostendit itaque quod si quis voluerit ejus discipulus esse, mori debet non gloriosa morte; sed contemptibili, et sicut condemnatus occidi. Quoniam autem multi ignominiosa morte occiduntur, sed sicut latrones ac malefactores, propterea adjicit hoc, et sequatur me, hoc est, omnem virtutem exerceat. Qui enim voluerit animam suam servare, perdet illam, hoc est, qui voluerit vivere juxta mundum, hic occidit animam. Erubescit Christum qui dicit : Quomodo credam in crucifixum et illusum Deum? et sermones illius erubescit, qui Evangelii simplicitatem irridet : talem autem erubescet et Dominus in gloria sua, hoc est, in secundo adventu. Quod autem dicit, hunc sensum habet : sicut si quis paterfamilias habet servum malum, erubescit nominare illum servum proprium, ita et ego, inquit, erubescam nominare servum meum eum qui abnegaverit me. Et quia supra dixit : Qui perdit animam suam, salvabit illam : volens monstrare quænam bona tales mereantur, dicit : Sunt 335 quidam ex his qui hic sunt, qui non morientur donec viderint regnum Dei, hoc est, gloriam, in qua futuri sunt justi. Hoc autem dixit de transfiguratione sua. Transfiguratio enim figura fuit futuræ gloriæ : et sicut in hac Jesus mirabiliter fulguravit, ita pari forma tunc et justi fulgebunt. Sunt igitur quidam, inquit, Joannes, Jacobus et Petrus, qui non præoccupabuntur morte, donec viderint in qua gloria futuri sunt qui me confitentur. Viderunt autem hoc in transfiguratione.

VERS. 28-36. « Factum est autem post hæc verba fere diebus octo, et assumpsit Petrum et Joannem et Jacobum, et ascendit in montem ut oraret. Et facta est, dum oraret, species vultus ejus alia, et vestitus ejus albus et refulgens. Et ecce duo viri loquebantur cum illo, qui erant Moses et Elias, qui visi in majestate dicebant excessum ejus quem completurus erat. Petrus vero et qui cum illo erant, gravati erant somno. Experrecti autem viderunt majestatem ejus, et duos viros qui stabant cum illo. Et factum est cum discederent ab illo, ait Petrus ad Jesum, Præceptor, bonum est nos hic esse, et faciamus tria tabernacula unum tibi, et unum Mosi, et unum Eliæ, nesciens quid diceret. Hæc autem illo loquente facta est nubes, et obumbravit eos. Timuerunt autem intrantibus illis in nubem : et vox facta est de nube, dicens : Hic est Filius meus dilectus, ipsum audite. Et dum fieret vox, inventus est Jesus solus, et ipsi tacuerunt, et nemini dixerunt in illis diebus quidquam ex his quæ viderant. » Matthæus dicit sex dies transisse post sermones hos, et tunc Jesum ascendisse in montem. Lucas autem dicit octo transisse. Nam ille solas dies intermedias dicit : Lucas autem non intermedias solas, sed et diem qua dicti sunt sermones illi, et diem qua facta est transfiguratio. Assumpsit autem tres solos : Petrum, utpote se diligentem, Joannem autem, ut eum quem dilige-

A ὅτι εἴ τις θέλει μαθητὴς αὐτοῦ εἶναι, ἀποθνήσκειν ὀφείλει οὐκ ἔνδοξον θάνατον, ἀλλ' ἐπονείδιστον, ὡς κατάκριτος φονευόμενος. Ἐπεὶ δὲ πολλοὶ φονεύονται μὲν ἐπονειδίστως, ἀλλ' ὡς λησταὶ καὶ κακοποιοὶ, διὰ τοῦτο προσέθηκε τὸ, Καὶ ἀκολουθείτω μοι, τουτέστι, πᾶσαν ἀρετὴν μετερχέσθω. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτὴν, τουτέστιν, ὃς ἂν θέλῃ ζῆσαι κατὰ κόσμον, οὗτος ἀποθανεῖται κατὰ ψυχήν. Ἐπαισχύνεται δὲ τὸν Χριστὸν, ὁ λέγων, ὅτι, Πῶς πιστεύσω ἐσταυρωμένῳ Θεῷ καὶ ἐμπαιχθέντι; ἀλλὰ καὶ τοὺς αὐτοῦ λόγους ἐπαισχύνεται, ὁ τὴν τοῦ Εὐαγγελίου ἰδιωτείαν διασύρων. Τοιοῦτον οὖν ἐπαισχυνθήσεται ὁ Κύριος ἐν τῇ δόξῃ αὐτοῦ, τουτέστι, τῇ δευτέρᾳ παρουσίᾳ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· B Ὥσπερ ἐάν τις οἰκοδεσπότης ἔχῃ δοῦλον πονηρὸν, αἰσχύνεται ὀνομάσαι τοῦτον δοῦλον οἰκεῖον, οὕτω καὶ ἐγὼ, φησὶν, αἰσχυνθήσομαι ὀνομάσαι δοῦλον ἐμὸν, τὸν ἀρνησάμενόν με. Ἐπεὶ δὲ εἶπεν ἄνω, ὅτι Ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ, σώσει αὐτὴν, θέλων δεῖξαι, ποίων ἀγαθῶν καταξιοῦνται οἱ τοιοῦτοι, φησίν· Εἰσί τινες τῶν ὧδε, οἳ οὐ μὴ ἀποθάνωσιν ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ, τουτέστι, τὴν δόξαν ἐν ᾗ μέλλουσιν ἔσεσθαι οἱ δίκαιοι. Τοῦτο δὲ εἶπε περὶ τῆς μεταμορφώσεως. Ἡ γὰρ μεταμόρφωσις τύπος ἦν τῆς μελλούσης ἄνω δόξης, καὶ ὥσπερ ἐν ταύτῃ ἤστραψεν ὁ Ἰησοῦς παραδόξως, οὕτως ἀναλόγως τότε οἱ δίκαιοι λάμψουσιν. Εἰσὶν οὖν, φησὶ, τινὲς, Ἰωάννης, Πέτρος καὶ Ἰάκωβος, οἳ οὐ μὴ φθάσωσιν ἀποθανεῖν, ἕως ἂν ἴδωσιν ἐν ποίᾳ δόξῃ ἔσονται οἱ ἐμὲ ὁμολο- C γοῦντες. Ἴδωσι δὲ τοῦτο ἐν τῷ καιρῷ τῆς μεταμορφώσεως.

« Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ, καὶ παραλαβὼν Πέτρον, καὶ Ἰωάννην, καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ἐγένετο, ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. Καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς καὶ Ἡλίας, οἳ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ, ἦσαν βεβαρημένοι ὕπνῳ. Διαγρηγορήσαντες δὲ, εἶδον τὴν δόξαν αὐτοῦ. Καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ· καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· D Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ, καὶ μίαν Μωσεῖ, καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη καὶ ἐπεσκίασεν αὐτούς. Ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην, καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε. Καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος, καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν. » Ὁ μὲν Ματθαῖος ἓξ ἡμέρας φησὶ διελθεῖν μετὰ τοὺς λόγους τούτους, καὶ τότε τὸν Ἰησοῦν ἀνελθεῖν εἰς τὸ ὄρος, Λουκᾶς δὲ ὀκτώ φησι διελθεῖν, τὰς μεταξὺ μόνας ἡμέρας λέγει· Λουκᾶς δὲ, οὐ τὰς μεταξὺ μόνας. ἀλλὰ καὶ τὴν ἡμέραν καθ' ἣν ἐλέχθησαν οἱ

λόγοι οὗτοι, κἀκείνην καθ' ἣν ἡ μεταμόρφωσις γέγονε. Παρέλαβε δὲ τοὺς τρεῖς μόνους, τὸν μὲν Πέτρον ὡς ἀγαπῶντα, τὸν δὲ Ἰωάννην ὡς ἀγαπώμενον, καὶ τὸν Ἰάκωβον δὲ, ὡς καὶ αὐτὸν θερμὸν ὄντα τὸν ὑπὲρ αὐτοῦ ζῆλον, ἢ καὶ ὡς δυναμένους κρύψαι τὸ πρᾶγμα, καὶ κατασχεῖν, καὶ μηδενὶ ἀπαγγεῖλαι. Ἀναβαίνει δὲ εἰς ὄρος, ὥστε προσεύξασθαι. Δεῖ γὰρ ἰδιάζοντας ἡμᾶς καὶ ἀναβαίνοντας, καὶ μηδενὶ τῶν γηΐνων ἐγκύπτοντας, προσεύχεσθαι. Ἐγένετο δὲ τὸ εἶδος αὐτοῦ ἕτερον, οὐχ ὡς μεταστάντος αὐτοῦ εἰς ἄλλην φύσιν. Ἔμεινε γὰρ οἷος ἦν· ἀλλὰ τὸ σχῆμα τοῦ προσώπου αὐτοῦ ἐφάνη λαμπρότερον ἢ πρότερον. Ὥσπερ οὖν καὶ ἐπὶ τῶν ἱματίων αὐτοῦ γέγονε. Τούτων γὰρ τὸ εἶδος μόνον ἐξήστραψεν, οὐχὶ τῆς οὐσίας τῶν ἱματίων μεταμειφθείσης, ἀλλὰ τῆς ἐπιφανείας. Μωϋσῆς δὲ καὶ Ἠλίας συνειστήκεισαν αὐτῷ προσευχομένῳ, ἵνα δειχθῇ ὅτι οὐκ ἔστιν ἐναντίος τοῖς προφήταις καὶ τῷ νόμῳ. Εἰ γὰρ ἦν, οὐκ ἂν ὁ τὸν νόμον δοὺς Μωϋσῆς, καὶ ὁ τῶν προφητῶν θερμότατος Ἠλίας, ἠνέσχοντο δορυφορεῖν αὐτὸν, καὶ αὐτῷ συνίστασθαι. Ἔλεγον δὲ τὴν ἔξοδον ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλὴμ, τουτέστι τὸν θάνατον. Ὁ δὲ Πέτρος ὕπνῳ ἐβαρεῖτο, τῇ προσευχῇ σχολάζοντος τοῦ Χριστοῦ. Ἀσθενὴς γὰρ ἦν, καὶ τὸ ἀνθρώπινον ἐπλήρου, ὕπνῳ δουλεύων. Διαγρηγορήσας δὲ, θεωρεῖ τὴν δόξαν, καὶ τοὺς δύο ἄνδρας· ὥσπερ δὲ ἀποδεχόμενος τὴν ἐκεῖσε διατριβὴν, διά τε τὸ φῶς καὶ διὰ τὸ θεωρεῖν τοὺς προφήτας, φησί· Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. Ἐνόμιζε γὰρ ὅτι τότε ἦν ἡ συντέλεια, καὶ ἡ βασιλεία τοῦ Ἰησοῦ· μὴ εἰδὼς ὃ λέγει. Οὔπω γὰρ ἦν τὸ πέρας, οὐδὲ τῆς βασιλείας ἡ ἡμέρα ἐνειστήκει, οὐδὲ τῆς τῶν ἀγαθῶν ἀπολαύσεως ὧν μεθέξουσιν οἱ ἅγιοι. Ἅμα δὲ καὶ φοβούμενος τὸ σταυρωθῆναι τὸν Χριστὸν, ταῦτά φησιν. Ἐπεὶ γὰρ ἤκουσεν αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι, φησὶ ταῦτα, μονονουχὶ λέγων· Μὴ κατέλθωμεν ἐκ τοῦ ὄρους, ἐνταῦθα καταμείνωμεν, ἵνα τὸν σταυρὸν διαδράσωμεν καὶ τὸ πάθος. Ἔχομεν Ἠλίαν βοηθὸν, εἰ ἀπέλθωσιν ἡμῖν οἱ Ἰουδαῖοι, τὸ πῦρ κατενεγκόντα, καὶ τοὺς πεντηκοντάρχους ἀπολέσαντα. Ἔχωμεν Μωϋσῆν τὸν τόσα καὶ τόσα ἔθνη ἀφανίσαντα· ταῦτα δὲ ἔλεγε μὴ εἰδὼς ὃ λέγει. Αὐτὸς μὲν γὰρ ἐνόμιζεν ὅτι παγχάλεπόν τι καὶ κακόν ἐστιν ὁ σταυρὸς, καὶ διὰ τοῦτο ἀποδιδράσκων αὐτὸν, ταῦτα ἔλεγεν. Ὁ δὲ Κύριος ἐδίψα σταυρωθῆναι, ἐπεὶ οὐκ ἐνῆν ἄλλως τοὺς ἀνθρώπους σωθῆναι. Τοῦ δὲ Πέτρου, « Ποιήσωμεν σκηνὰς τρεῖς, » λέγοντος, ὁ Κύριος σκηνὴν ἀχειροποίητον ἐξαίφνης ποιεῖ, καὶ ἐν ταύτῃ εἰσέρχεται μετά γε τῶν προφητῶν, ἵνα δειχθῇ ὅτι οὐδὲν ἐλαττοῦται τοῦ Πατρός. Ὥσπερ γὰρ ἐν τῇ παλαιᾷ ἡ νεφέλη ἐλέγετο ἔχειν τὸν Κύριον, καὶ Μωϋσῆς εἰσήρχετο ἐν αὐτῇ, καὶ οὕτω τὸν νόμον ἐδέχετο, οὕτω καὶ νῦν ἡ νεφέλη τὸν Χριστὸν ἐδέξατο, καὶ νεφέλη οὐ γνοφώδης· παρῆλθε γὰρ ἡ σκιὰ τοῦ νόμου, καὶ τὸ σκοτεινὸν τῆς ἀσαφείας· ἀλλὰ νεφέλη φωτεινή. Ἦλθε γὰρ ἡ ἀλήθεια καὶ ἔλαμψεν ἡ τοῦ Κυρίου χάρις, καὶ οὐδὲν σκοτεινὸν νῦν. Ἐγέ-

41 IV Reg. I, 10.

A bat: Jacobum, qui et ipse fervebat zelo pro Christo: vel ut magis taciturnos et silere valentes. Porro in montem ascendit ut oraret. Oportet enim nos solitarios esse et ascendere, et nullis terrenis rebus intendere orando. Facta est autem species vultus ejus alia, non mutato eo in aliam naturam: mansit enim qualis erat. Sed species vultus ejus splendidior apparuit quam prius, sicut et in vestimentis ejus factum est: horum enim species tantum refulsit, non permutata vestimentorum substantia, sed superficies Moses autem et Elias astiterunt cum eo orante, ut monstretur quod non sit adversarius legi et prophetis. Nam si talis fuisset, non legis dator Moses, et ferventissimus prophetarum Elias
B se illi associassent, vel cum ipso stetissent. Dicebant autem excessum ejus quomodo illum completurus erat Hierosolymis, hoc est mortem. Petrus 336 autem somno gravabatur, orationi vacante Christo. Infirmus enim erat, et humano more somno serviebat. Cum autem evigilasset, spectabat gloriam et duos viros: veluti autem vitam illam approbans, tum propter splendorem, tum prophetas quos videbat, dixit: Bonum est nos hic esse. Putabat enim tunc consummationem fuisse et regnum Jesu, ignorans quid loqueretur. Nondum enim finis, neque regni dies instabat, neque gaudiorum fruitiones sanctis communicandæ erant. Insuper et crucifigi timens Christum, hæc dicebat. Quoniam audierat quod oporteat eum occidi, et tertia die
C resurgere: dicit quasi in hunc modum, Ne descendamus de monte, maneamus hic, ut crucem et passionem effugiamus. Habemus Eliam adjutorem: si invaserint nos Judæi, ignem deducet [41], et sicut quinquagenarios comburet. Habemus Mosen, qui tot et tantas gentes perdidit: hæc autem dicebat nesciens quid loqueretur. Ipse enim putabat malum quiddam et difficillimum esse crucem, et propter hoc illam cupiens vitari, hæc dicebat. Christus autem sitiebat crucifigi, quoniam non aliter salus hominum constabat. Petro autem dicente: « Faciamus tabernacula tria, » Dominus repente tabernaculum non manufactum facit, et in illud ingreditur cum prophetis, ut ostendatur quod in nullo
D minor sit Patre. Sicut enim in veteri lege nubes dicebatur habere Dominum, et Moses ingrediebatur in eam, atque sic legem suscepit: ita et nunc nubes Christum suscipit, nubesque non caliginosa: transiit enim umbra veteris legis, et tenebrosa obscuritas; sed nubes lucida. Venit enim veritas, et illuxit gratia Domini, nihilque nunc tenebrosum est. Facta est et vox de nube, sicut olim vox Dei audiebatur de nube. Inventus est autem Jesus solus: ut ne quis putet, quod. « Hic est Filius meus, » de Mose vel Elia dictum sit. Fortassis etiam hoc significat, quod usque ad tempus quoddam apparebant lex et prophetæ, sicut et hoc loco Moses et Elias: deinde solus,

præteritis illis, apparuit : nunc enim Evangelium servatur, legalibus abolitis. Siluerunt autem apostoli, et nulli annuntiaverunt quidquam de his quæ viderant. Nam ante crucem non oportebat divinum quiddam dici de Jesu. Nam qui audivissent hæc, si deinde eum crucifigi vidissent, qualem putas de eo habuissent opinionem? Nonne impostorem et præstigiatorem existimassent? Et idcirco ante crucem nullum opus admirabile vel Deo dignum prædicant apostoli. De hoc autem loco multa et jucunda diximus apud Matthæum.

A νετο δὲ καὶ φωνὴ ἐκ τῆς νεφέλης, ὥσπερ καὶ τὸ παλαιὸν φωνὴ τοῦ Θεοῦ ἠκούετο ἐκ τῆς νεφέλης. Εὑρέθη δὲ Ἰησοῦς μόνος, ἵνα μή τις νομίσῃ ὅτι τὸ, « Οὗτός ἐστιν ὁ Υἱός μου, » περὶ Μωϋσέως ἢ Ἠλίου ἐλέχθη. Τάχα μέντοι καὶ τοῦτο σημαίνει, ὅτι μέχρι μέν τινος καιροῦ ἐφαίνοντο ὁ νόμος καὶ οἱ προφῆται, ὥσπερ καὶ ἐνταῦθα Μωσῆς καὶ Ἠλίας, εἶτα μόνος Ἰησοῦς, ἐκείνων παρελθόντων· τὸ γὰρ Εὐαγγέλιον νῦν κρατεῖ, τῶν νομικῶν παρελθόντων. Ἐσίγησαν δὲ καὶ οὐδὲν ἀπήγγειλαν οἱ ἀπόστολοι, ὧν ἑωράκασι. Πρὸ γὰρ τοῦ σταυροῦ οὐκ ἔδει λέγεσθαί τι θεοπρεπὲς περὶ Ἰησοῦ. Οἱ γὰρ ἀκούσαντες ταῦτα, εἶτα ὁρῶντες αὐτὸν σταυρούμενον, ποίαν δόξαν ἔσχον ἂν περὶ αὐτοῦ; Ἆρ' οὐχὶ πλάνον αὐτὸν καὶ φαντασιοσκόπον αὐτὸν ἐνόμισαν; Διὰ τοῦτο τοίνυν οὐδὲν ἔργον παράδοξον καὶ θεοπρεπὲς πρὸ τοῦ σταυροῦ κηρύττουσιν οἱ ἀπόστολοι. Περὶ δὲ ταύτης τῆς περικοπῆς εἴρηται ἡμῖν ἐν τῷ κατὰ Ματθαῖον πολλὰ καὶ χαρίεντα.

**VERS. 37-43.** « Factum est autem sequenti die descendentibus illis de monte, occurrit illi turba multa. Et ecce vir de turba exclamavit, dicens : Magister, obsecro te, respice ad filium meum, quia unicus est mihi, 337 et ecce spiritus apprehendit eum, et subito clamat ac discerpit eum cum spuma, et vix discedit ab eo dilanians eum : et rogavi discipulos tuos ut ejicerent illum, et non potuerunt. Respondens autem Jesus dixit : O natio infidelis et perversa, usquequo ero apud vos; usquequo patiar vos? Adduc huc filium tuum. Cum autem accederet, laniavit illum dæmonium et dissipavit. Increpavit autem Jesus spiritum immundum, et sanavit puerum, et reddidit illum patri suo. » Valde incredulus erat vir ille : propterea enim hoc dæmonium non egressum est a puero ejus, quia vincebat infidelitas ejus apostolorum virtutem. Insuper et hinc ostenditur ejus incredulitas et pervicacia, quod coram omnibus accedit et accusat discipulos : et propterea Dominus ostendens incredulitatem ejus in causa fuisse, quia non fuerit sanatus filius ejus, coram omnibus exprobrat ei et non soli ipsi, sed et aliis omnibus incredulitatem. Dicendo enim, o natio incredula, omnes complectitur Judæos. Cum autem perversam dicit, declarat quod non a principio, neque a natura sit malitia. Natura enim recti fuerant : semen enim sanctum erant Abraham et Isaac : perversi autem facti sunt præ malitia. Porro illud : Usquequo ero apud vos? Usquequo patiar vos? hoc significat, quod in votis habebat mortem, et cupiebat statim ab illis liberari. Usquequo enim, inquit, feram incredulitatem vestram? Ostendens itaque quod virtutem habeat quæ vincat incredulitatem Judæorum, dicit : Adduc filium tuum huc, et cum sanasset illum, reddidit ipsum patri suo. Prius enim qui a dæmonio possidebatur, non erat patris sui, sed mali spiritus, qui detinebat eum : tunc autem Dominus reddidit eum ei qui illum perdiderat et invenerat patri.

B « Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ, κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς. Καὶ ἰδοὺ ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε λέγων· Διδάσκαλε, δέομαί σου, ἐπίβλεψον ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενός ἐστί μοι, καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐξαίφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ' αὐτοῦ, συντρίβον αὐτόν· καὶ ἐδεήθην τῶν μαθητῶν σου, ἵνα ἐκβάλλωσιν αὐτὸ, καὶ οὐκ ἠδυνήθησαν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς, ἕως πότε ἀνέξομαι ὑμῶν; Προσάγαγε τὸν υἱόν σου ὧδε. Ἔτι δὲ προσερχομένου αὐτοῦ, ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον καὶ συνεσπάραξεν. Ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα, καὶ ἀπέδωκεν C αὐτὸν τῷ πατρὶ αὐτοῦ. » Σφόδρα ἄπιστος ἦν ὁ ἀνὴρ οὗτος· διὰ τοῦτο γάρ τοι οὐδὲ τὸ δαιμόνιον ἐξήρχετο ἀπὸ τοῦ παιδὸς αὐτοῦ, νικώσης τῆς ἀπιστίας τὴν τῶν ἀποστόλων δύναμιν. Ἀλλὰ δὴ κἀντεῦθεν δείκνυται ἡ ἀπιστία αὐτοῦ καὶ αὐθάδεια, ἐκ τοῦ ἐνώπιον πάντων προσελθόντα κατηγορεῖν τῶν μαθητῶν· ὁ γοῦν Κύριος, δεικνύων ὅτι παρὰ τὴν ἀπιστίαν αὐτοῦ ἐστι τὸ μὴ ἰαθῆναι τὸν παῖδα, ἐνώπιον πάντων ὀνειδίζει αὐτῷ, καὶ οὐ μόνῳ αὐτῷ, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσι κοινῶς. Ἐν γὰρ τῷ εἰπεῖν, ὦ γενεὰ ἄπιστος, σύμπαντας περιλαμβάνει τοὺς Ἰουδαίους. Τὸ δὲ, διεστραμμένη, ἐμφαίνει ὅτι οὐκ ἐξ ἀρχῆς, οὐδὲ ἐκ φύσεως ἡ πονηρία. Ἀλλὰ φύσει μὲν ἦσαν ὀρθοί· σπέρμα γὰρ ἅγιον ἦν τὸ τοῦ Ἀβραὰμ καὶ Ἰσαάκ· διεστράφησαν δὲ ὑπὸ κακίας. Τὸ δὲ, Ἕως πότε ἔσομαι πρὸς ὑμᾶς, ἕως πότε ἀνέξομαι ὑμῶν; D τοῦτο δηλοῖ, ὅτι ἀπαστὸν ἔχει τὸν θάνατον, καὶ βούλεται αὐτῶν τάχιον ἀπαλλαγῆναι. Ἕως γὰρ πότε, φησὶν, ἀνέξομαι τῆς ἀπιστίας ὑμῶν; Δεικνύων οὖν ὅτι ἔχει δύναμιν νικῶσαν τὴν ἀπιστίαν τῶν Ἰουδαίων, φησί· Προσάγαγε τὸν υἱόν σου ὧδε. Καὶ ὑγιάσας αὐτὸν, ἀπέδωκε τῷ πατρὶ αὐτοῦ. Πρότερον γὰρ ὁ δαιμονῶν οὐκ ἦν τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ τοῦ κατέχοντος αὐτὸν πονηροῦ πνεύματος. Τότε δὲ ὁ Κύριος ἀπέδωκεν αὐτὸν τῷ ἀπολέσαντι αὐτὸν, εἶτα εὑρόντι πατρί.

**VERS. 44, 45.** « Stupebant autem omnes super magnificentia Dei. Sed omnibus mirantibus super omnibus quæ faciebat, dixit ad discipulos suos :

« Ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ Θεοῦ. Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ·

Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους. Ὁ γὰρ Υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτό. Καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου. » Οἱ μὲν ἄλλοι πάντες ἐθαύμαζον ἐπὶ πᾶσιν οἷς ἐποίει ὁ Ἰησοῦς, οὐκ ἐπὶ τῷ ἑνὶ τούτῳ θαύματι. Ὁ δὲ ἀφεὶς τοὺς ἄλλους, πρὸς τοὺς μαθητὰς διαλέγεται, καί φησι· Θέσθε ὑμεῖς ταῦτα πάντα, τά τε θαύματα καὶ τοὺς ἐπὶ τοῖς θαύμασι λόγους, εἰς τὰ ὦτα ὑμῶν. Διὰ τί; Διότι μέλλω παραδοθῆναι καὶ σταυρωθῆναι, ἵν' ὅταν σταυρωθέντα με ἴδητε, μὴ νομίσητε ὅτι ἀπὸ ἀδυναμίας τοῦτο πέπονθα. Ὁ γὰρ τοιαῦτα θαυματουργῶν, ἠδύνατο ἂν μηδὲ σταυρωθῆναι. Οἱ δὲ, ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν. Διὰ τί δὲ τοῦτο ἐγένετο; Ἵνα μὴ πρὸ καιροῦ λυπῶνται, καὶ τῷ φόβῳ ἐκταράττωνται. Συγκαταβαίνων οὖν ὁ Θεὸς τῇ ἀσθενείᾳ αὐτῶν, καὶ οἷον παιδία τινὰ διακυβερνῶν αὐτοὺς, οὐ συνεχώρει νοῆσαι αὐτοὺς τὸ περὶ τοῦ σταυροῦ λεγόμενον. Ὅρα δὲ καὶ τὴν ἐκείνων εὐλάβειαν, πῶς εὐλαβοῦντο ἐρωτῆσαι, μᾶλλον δὲ ἐφοβοῦντο. Ὁ γὰρ φόβος ἐπίτασίς ἐστιν εὐλαβείας, ὥσπερ καὶ ἡ εὐλάβεια συνεσταλμένος φόβος.

« Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ, τίς ἂν εἴη μείζων αὐτῶν. Ὁ δὲ Ἰησοῦς, ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου, ἔστησεν αὐτὸ παρ' ἑαυτῷ, καὶ εἶπεν αὐτοῖς· Ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με. Ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτος ἔσται μέγας. Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης εἶπεν· Ἐπιστάτα, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς· Μὴ κωλύετε. Ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν. » Πάθος διακένου δόξης ὑπέδραμε τοὺς ἀποστόλους. Ἐπεὶ δοκεῖ ἐκ τοῦ τὸν δαιμονιζόμενον μὴ θεραπευθῆναι ἐπεγερθέντος αὐτοῖς τοῦ πάθους. Εἰκὸς γὰρ ἦν αὐτούς διαφιλονεικῆσαι περὶ τούτου, λέγοντα ἕκαστον, ὅτι οὐ διὰ τὴν ἐμὴν ἀδυναμίαν, ἀλλὰ διὰ τὴν τοῦ δεῖνος οὐκ ἐθεραπεύθη ὁ παῖς, κἀντεῦθεν ἀναφθῆναι τὴν περὶ τοῦ, τίς ἂν εἴη μείζων, ἔριν. Ἀλλ' ὁ Κύριος, εἰδὼς τὰς καρδίας ἑκάστου, φθάνει, καὶ πρὶν ἡ αὐξηθείη τὸ πάθος τοῦτο, σπουδάζει πρόῤῥιζον ἐκτεμεῖν. Ἀρχόμενα μὲν γὰρ τὰ πάθη νικῶνται ῥᾳδίως, αὐξηθέντα δὲ δυσαπόβλητα γίνεται. Πῶς οὖν ἐκτέμνει τὸ κακόν; Ἐπιλαβόμενος, φησὶ, παιδίου, δείκνυσι τοῦτο τοῖς μαθηταῖς· δηλῶν αὐτοῖς διὰ τούτου, ὅτι τοιαύτην γνώμην δεῖ ἡμᾶς ἐν ἑαυτοῖς κατασκευάζειν, οἵαν τοῖς παιδίοις ἡ ἡλικία δέδωκε. Ταῦτα γὰρ ἀπειρόκακά τέ εἰσι καὶ ἁπλούστατα, μήτε φιλοδοξίας λογισμοῖς ἐνοχλούμενα, μήτε φιλοπρωτίας. Ὃς οὖν, φησὶ, δέξεται τοιοῦτον παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ὑμεῖς μὲν νομίζετε, ὅτι ἐὰν σοβαροὶ φαίνησθε καὶ φιλόδοξοι, τότε ἀρέσετε τοῖς πολλοῖς, καὶ τότε πλείονες ὑποδέξονται ὑμᾶς. Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι τοσοῦτον τῇ ἁπλό-

A Ponite vos in auribus vestris sermones istos. Futurum est ut Filius hominis tradatur in manus hominum. At illi ignorabant verbum istud, et erat absconditum ab illis, ut non intelligerent illud. Et timebant eum interrogare de hoc verbo. » Alii quidem omnes admirabantur in omnibus quæ faciebat Jesus, non in uno hoc miraculo. Verum ipse relictis aliis cum discipulis loquitur, et dicit: Ponite vos hæc omnia, et miracula, et miraculorum sermones, in aures vestras. Quare? Quia tradendus sum et crucifigendus: ut quando crucifixum videritis, ne existimetis, quod præ infirmitate talia passus sim. Nam qui talia miracula facit, potest et non crucifigi. Illi autem ignorabant verbum hoc, et
B erat absconditum ab eis. Et quare hoc fuit? Ut ne ante tempus tristitia afficerentur, et timore exterrerentur. Itaque Deus condescendens infirmitati 338
illorum, et quasi pueros moderatur illos, neque concedit eis, ut intelligant hoc quod de cruce dicebatur. Vide autem et illorum reverentiam, quomodo præ reverentia interrogare non audebant, imo præ timore: nam timor augmentum est pietatis et reverentiæ sicut et reverentia vel pietas contractus timor est.

VERS. 46-50. « Intravit autem cogitatio inter eos, quis eorum major esset. At Jesus videns cogitationem cordis illorum, apprehendit puerum, et statuit illum juxta se, et ait illis: Quicunque receperit
C puerum hunc in nomine meo, me recipit: et quicunque me receperit, recipit eum qui me misit. Nam qui minor est inter omnes vos, hic erit magnus. Respondens autem Joannes, dixit: Præceptor, vidimus quemdam sub nomine tuo ejicientem dæmonia, et prohibuimus eum, quia non sequitur nobiscum. Et ait ad illum Jesus: Nolite prohibere: qui enim non est adversum nos, pro nobis est. » Morbus inanis gloriæ apostolos invasit. Mihi videtur ortum id inter illos, eo quod dæmoniacum non sanarint. Verisimile enim quod super hoc contenderint, dicentibus singulis quod non propter suam, sed alterius cujusdam infirmitatem puer ille sanatus non fuerit: et inde accensa lis est, quis eorum major esset. At Dominus visis singulorum cordibus, prævenit: et priusquam morbus incrudesceret, curavit radicitus ejici. Morbi enim ab initio facile
D vincuntur: cum vero incruduerint, curatu difficiles sunt. Itaque quomodo malum hoc emendat? Apprehensum puerum ostendit discipulis, manifestans eis per hoc, quod talem mentem oportet nos in nobis parare, qualis est in pueris. Illi enim malitiæ expertes sunt et simplicissimi, neque inanis gloriæ neque ambitionis cogitationibus divexantur. Qui igitur, inquit, susceperit talem puerum in nomine meo, me suscipit. Quod autem dicit, hunc sensum habet: Vos quidem opinamini, quod si pompatici et gloriosi fueritis, multis placeatis, pluresque vos suscepturi sint Ego autem dico vobis, quod tantopere gaudeo simplicitate, et quod ea discipulos meos ita discernit, ut quisquis simplicissimum virum et

innocentem susceperit ut meum discipulum : hoc enim est quod dicit, in nomine meo : me suscipit. Qui autem arrogantem suscipit, neque meum discipulum suscipit, neque me. Respondens autem Joannes dixit : Domine, vidimus quemdam in nomine tuo ejicientem dæmonia, et prohibuimus eum. Quænam sermonis illius consequentia quem dixit Joannes, ad ea quæ dixit Dominus? Utique magna. Quia enim dixerat Dominus quod Minor in vobis hic erit magnus, timere cœpit Joannes ne forte malum quid fecissent, homine per arrogantiam et superbiam prohibito. Nam prohibere aliquem ab aliquo, non minorem arguit 339 eum qui prohibet, sed majus quiddam de se sentientem, quam de eo qui prohibetur ab ipso. Proinde Joannes timebat ne forte superbius egisset prohibito homine. Cujus igitur gratia prohibuerunt hominem? Non invidentes, sed indignum illum judicantes qui miraculum operaretur: non enim aderat cum illis gratia agendorum miraculorum daretur, neque ad hoc a Domino emissus erat, sicut alii, neque Christum usquam sequebantur. Quid igitur Dominus? Sinite, inquit, eum hoc facere. Conterit enim et ipse Satanæ caput: et quia non obstabat vobis ad prædicationem, non cooperatur diabolo. Proinde pro nobis est. Qui enim non est contra Deum, pro Deo est : quemadmodum qui non congregat cum Deo, ille cum diabolo est. Admirare autem, obsecro, virtutem nominis Christi, quomodo et per indignos, et eos qui non erant ejus discipuli, gratia operetur, et solum nominati, ita et per sacerdotes, etiamsi indigni fuerint, operatur gratia, et sanctificantur omnes, etiamsi impurus fuerit sacerdos.

VERS. 51-56. « Factum est autem dum complerentur dies assumptionis ejus, et ipse faciem suam obfirmaverat, ut iret Hierosolymam, et misit nuntios ante conspectum suum, et euntes intraverunt in civitatem Samaritanorum, ut pararent illi. Et non receperunt eum, quia facies ejus erat euntis Hierosolymam. Cum vidissent autem discipuli ejus Jacobus et Joannes, dixerunt : Domine, vis dicamus ut ignis de cœlo descendat, et consumat illos, quemadmodum et Elias fecit? Conversus autem Jesus increpavit illos, dicens : Nescitis cujus spiritus estis vos. Filius enim hominis non venit ad perdendum animas hominum, sed ad servandum. Et abierunt in aliud castellum. » Quid est quod dicit, dum complerentur dies assumptionis ejus? hoc est, cum instabat tempus quo postquam sustinuisset salutarem passionem pro nobis, oportebat assumi in cœlum, et considere Deo et Patri. Tunc igitur cum appropinquabat tempus passionis ejus, et assumptionis ex hoc mundo, decrevit non ultra hinc et inde obambulare, sed ascendere Hierosolymam. Itaque quod obfirmavit faciem suam, hoc declarat, quod stabilierit et firmarit sententiam quod velit ascendere Hierosolymam. Porro nuntios

A τητι χαίρω, καὶ οὕτω χαρακτηρίζει αὕτη τοὺς ἐμοὺς μαθητὰς, ὥστε ὅστις ἂν δέξηται τὸν ἀπλούστατον ἄνδρα καὶ ἄκακον, ὡς ἐμὸν μαθητὴν (τοῦτο γάρ ἐστι τὸ, ἐπὶ τῷ ὀνόματί μου), ἐμὲ δέχεται. Ὁ γὰρ ἀλαζόνα δεχόμενος, οὔτε ἐμὸν μαθητὴν δέχεται, οὔτε ἐμέ. Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης εἶπε· Κύριε, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, καὶ ἐκωλύσαμεν αὐτόν. Ποία ἀκολουθία τοῦ λόγου, ὃν εἶπεν ὁ Ἰωάννης, πρὸς ἃ εἶπεν ὁ Κύριος; Πολλὴ μὲν οὖν. Ἐπεὶ γὰρ εἶπεν ὁ Κύριος, ὅτι Ὁ μικρότερος ἐν ὑμῖν ὑπάρχων, οὗτος ἔσται μέγας, ἐφοβήθη λοιπὸν ὁ Ἰωάννης, μήπως κακόν τι ἐποίησαν κωλύσαντες ἄνθρωπον ἐξουσιαστικῶς καὶ ἀλαζονικῶς. Τὸ γὰρ κωλύειν τινὰ ἀπό τινος, οὐκ
B ἐλάττονα ἐμφαίνει τὸν κωλύοντα, ἀλλὰ κρεῖττόν τι φρονοῦντα ἐκείνου τοῦ κωλυομένου παρ' αὐτοῦ. Ὁ τοίνυν Ἰωάννης ἐφοβήθη τοῦτο, μήπως ἀλαζονικὸν ἔργον ἐποίησε, κωλύσας τὸν ἄνθρωπον. Τίνος δὲ ἕνεκεν ἐκώλυον τὸν ἄνθρωπον; Οὐ φθονοῦντες, ἀλλὰ κρίνοντες αὐτὸν ἀνάξιον τοῦ θαυματουργεῖν· οὐ γὰρ ἦν μετ' αὐτῶν δεξάμενος τὴν χάριν τοῦ θαυματουργεῖν, οὐδ' ἀπέστειλεν αὐτὸν ἐπὶ τοῦτο ὁ Κύριος, ὥσπερ καὶ αὐτούς· οὐδὲ ἠκολούθει ὅλως τῷ Ἰησοῦ. Τί οὖν ὁ Κύριος; Ἄφετε, φησὶν, αὐτὸν τοῦτο ποιεῖν· Συντρίβει γὰρ καὶ αὐτὸς τὴν Σατανᾶ δύναμιν, καὶ ἐπεὶ οὐκ ἐμποδίζει ὑμῖν εἰς τὸ κήρυγμα, οὐδὲ συμπράττει τῷ διαβόλῳ, λοιπὸν ὑπὲρ ἡμῶν ἐστιν. Ὃς γὰρ οὐκ ἔστι κατὰ τοῦ Θεοῦ, ὑπὲρ τοῦ Θεοῦ ἐστιν, ὥσπερ ὅστις οὐ συνάγει μετὰ τοῦ Θεοῦ, ἐκεῖνος μετὰ
C τοῦ διαβόλου ἐστί. Θαύμασον δέ μοι τὴν δύναμιν τοῦ ὀνόματος τοῦ Χριστοῦ, πῶς καὶ διὰ τῶν ἀναξίων καὶ μὴ ὄντων μαθητῶν αὐτοῦ, ἐνήργει ἡ χάρις, καὶ ψιλῶς ὀνομαζομένου, οὕτω καὶ διὰ τῶν ἱερέων, κἂν ἀνάξιοι ὦσιν, ἐνεργεῖ ἡ χάρις καὶ ἁγιάζονται πάντες, κἂν ἄναγνος εἴη ὁ ἱερεύς.

« Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστήριξε τοῦ πορεύεσθαι εἰς Ἱερουσαλὴμ, καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ, καὶ πορευθέντες, εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ. Καὶ οὐκ ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ. Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, Ἰάκωβος καὶ Ἰωάννης, εἶπον· Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ
D τοῦ οὐρανοῦ, καὶ ἀναλῶσαι αὐτοὺς ὡς καὶ Ἠλίας ἐποίησε; Στραφεὶς δὲ ὁ Ἰησοῦς, ἐπετίμησεν αὐτοῖς, καὶ εἶπεν· Οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς. Ὁ γὰρ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. Καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. » Τί ἐστιν ὅπερ φησὶν, ὅτι ἐγένετο ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ; Τουτέστιν, ὅτι ἐνειστήκει ὁ καιρὸς, καθ' ὃν ἔδει λοιπὸν τὸ σωτήριον ὑπὲρ ἡμῶν ὑπομείναντα πάθος, ἀναληφθῆναι εἰς οὐρανὸν καὶ συνεδρεῦσαι τῷ Θεῷ καὶ Πατρί. Τότε τοίνυν ὅτε ἐνειστήκει ὁ καιρὸς τοῦ πάθους αὐτοῦ, καὶ τῆς ἐκ τοῦ κόσμου ἀναλήψεως, ἔκρινε μηκέτι ὧδε κἀκεῖσε περιέρχεσθαι, ἀλλ' ἀνελθεῖν εἰς Ἱεροσόλυμα. Τὸ γοῦν, ἐστήριξε τὸ πρόσωπον αὐτοῦ, τοῦτο δηλοῖ ὅτι ἀφώρισεν, ἐκύρωσεν, ἔστησε

βουλὴν, ὥστε ἀπελθεῖν εἰς Ἱερουσαλήμ. Ἐκπέμπει δὲ ἀγγέλους πρὸ προσώπου αὐτοῦ, ἵνα ἑτοιμάσωσι δοχήν τινα αὐτῷ, γινώσκων μὲν ὅτι οὐχ ὑποδεχθήσεται ὑπὸ τῶν Σαμαρειτῶν, ὅμως δ' οὖν ἀποστέλλει αὐτοὺς, ὡς ἂν πᾶσαν πρόφασιν τῶν Σαμαρειτῶν περιέλῃ, καὶ μὴ ἔχωσι λέγειν ὕστερον, ὅτι, Ἐδεξάμεθα ἂν αὐτὸν εἰ ἀπέστειλέ τινας πρὸ αὐτοῦ. Ἅμα δὲ καὶ τοὺς μαθητὰς αὐτοῦ ὠφελῶν, ἵνα μὴ σκανδαλισθῶσιν, ἐν τῷ σταυρῷ αὐτὸν ὁρῶντες ὑβριζόμενον. Ἀλλ' ἀπὸ τούτου τοῦ νῦν μάθωσιν, ὅτι ὥσπερ νῦν καταφρονηθεὶς παρὰ τῶν Σαμαρειτῶν, ἀνεξικάκως ἤνεγκε, μᾶλλον δὲ καὶ αὐτοῖς ἐπετίμησε τοῖς μαθηταῖς παροξύνουσιν αὐτὸν κατὰ τῶν ὑβριστῶν, οὕτω καὶ τότε σταυρούμενος, οὐχ ὡς ἀδύνατος, ἀλλ' ὡς μακρόθυμος φέρει. Ὠφελεῖ δὲ τοὺς μαθητὰς, καὶ καθὸ διδάσκει αὐτοὺς ἐκ τοῦ καθ' αὐτὸν ὑποδείγματος, ἀνεξικάκους εἶναι. Αὐτοὶ μὲν γὰρ πρὸς τὸν Ἠλίαν ἀφορῶντες, ὃς κατέφλεξε δὶς πεντήκοντα ἄνδρας μετὰ τῶν πεντηκοντάρχων, παρώξυνον τὸν Κύριον κατὰ τῶν ὑβρισάντων· ἔτι γὰρ ἀτελεῖς ἦσαν. Αὐτὸς δὲ δεικνύων αὐτοῖς, ὅτι ὑψηλότερός ἐστιν ὁ αὐτοῦ νόμος ἢ ὁ κατὰ τὸν Ἠλίαν βίος, ἐπιτιμᾷ αὐτοῖς, καὶ ἀφίστησιν ἀπὸ τῆς τοιαύτης γνώμης, Διδάξας πράως φέρειν τοὺς ὑβρίζοντας. Τί δὲ ἐστιν ὅπερ λέγει, Οὐκ ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ; Ἆρα τοῦτο λέγει, ὅτι οὐκ ἐδέξαντο αὐτὸν, διότι ἀφώρισεν αὐτὸς ἀπελθεῖν εἰς Ἱερουσαλήμ; Καὶ λοιπὸν ἐὰν οὕτω νοήσωμεν, ὅτι διὰ τοῦτο αὐτὸν οὐκ ἐδέξαντο, διότι αὐτὸς ἀφώρισεν ἀπελθεῖν εἰς Ἱερουσαλήμ, εὑρίσκονται ἐκεῖνοι ἀναίτιοι, οἱ μὴ δεξάμενοι; Ἔστιν οὖν εἰπεῖν ὅτι τοῦτο λέγει ὁ εὐαγγελιστὴς, ὅτι οὐκ ἐδέξαντο αὐτόν· οὐδὲ εἰσῆλθεν εἰς Σαμάρειαν. Εἶτα ὥσπερ τινὸς ἐρωτήσαντος, καὶ διατί οὐχ ὑπεδέξαντο αὐτὸν καὶ ἄκοντες, οὐδὲ εἰσῆλθεν, ἆρα διότι ἀδύνατος ἦν, ἢ οὐκ ἴσχυε κἂν ἐκεῖνοι μὴ ἐβούλοντο, εἰσελθεῖν; Λύων τοῦτο, φησίν· οὐχὶ διὰ τὸ ἀδύνατος εἶναι, ἀλλὰ διότι οὐκ ἐβούλετο ἐκεῖ εἰσελθεῖν, ἀλλὰ ἀπελθεῖν εἰς Ἱεροσόλυμα, ἐπεὶ εἰ μὴ τοῦτο ἦν, καὶ μὴ βουλομένων ἐκείνων εἰσῆλθεν ἂν εἰς τὴν κώμην.

A ante faciem suam emittit, ut parent ipsi diversorium, et sciens quod a Samaritanis non essent suscipiendi, nihilominus tamen illos emittit, ut omnem Samaritanorum auferat excusationem, ne dicere possent; Suscepissemus illum si quosdam præ se misisset. Interim et discipulis ejus utile hoc erat, ut videntes, postea in cruce illi opprobrari, minus scandalizarentur, sed ex hoc facto magis discerent quod, sicut nunc contemptus a Samaritanis patienter tulit, atque discipulos **340** increpavit exasperantes eum contra contumeliosos, ita et tunc cum crucifigeretur, non ut impotens, sed ut longanimis ferat. Prodest etiam in hoc discipulis, quod illos suo exemplo docet patientes esse. Illi quidem ad Eliam respicientes, qui bis quinquaginta viros cum B quinquagenariis principibus exusserat, exasperabant Dominum contra eos qui se injuria affecerant: erant enim adhuc imperfecti. Cæterum Christus docens legem suam sublimiorem quam vitam Eliæ, increpat eos, atque a tali sententia abducit, cum docuisset mansuete ferendos illos qui injuria afficiebant. Quid autem est quod dicit, non susceperunt eum, quia facies ejus erat euntis Hierosolymam? Nunquid dicit quod non susceperint eum, eo quod definierat abire Hierosolymam? et cum hoc sic intellexerimus, quod eum propterea non susceperint, eo quod definierat abire Hierosolymam, inveniuntur illi excusati non suscipientes? Est igitur dicendum, quod evangelista hoc dicit, quod non susceperunt eum, neque intravit in Samariam: C deinde quasi interrogasset quispiam, quare non susceperunt (*a*) vel inviti eum, neque intravit? nunquid impotens erat? an non valebat etiam illis nolentibus ingredi? Solvens hoc, dicit : non ideo quia impotens fuit, sed quia noluit illuc ire, sed Hierosolymam : quoniam nisi hoc fuisset, etiam invitis illis in castellum ingressus fuisset.

« Ἐγένετο δὲ πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ, εἶπέ τις πρὸς αὐτόν· Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, Κύριε. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. Εἶπε δὲ πρὸς ἕτερον· Ἀκολούθει μοι. Ὁ δὲ εἶπε· Κύριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου. Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκροὺς, σὺ δὲ ἀπελθὼν, διάγγελλε τὴν βασιλείαν τοῦ Θεοῦ. Εἶπε δὲ καὶ ἕτερος· Ἀκολουθήσω σοι, Κύριε, πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου. Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς αὐτόν· Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. » Οὗτος ὁ προσελθὼν τῷ Ἰησοῦ, καὶ αἰτησάμενος ἵνα ἀκολουθῇ αὐτῷ, μετὰ πονηρᾶς γνώμης προσῆλθεν. Ἐπεὶ γὰρ εἶδε τὸν Κύριον πολὺν

VERS. 57-62. « Factum est autem, ambulantibus illis in via, dixit quidam ad illum : Sequar te, Domine, quocunque ieris. Dixit illi Jesus : Vulpes foveas habent, et volucres cœli nidos: Filius autem hominis non habet ubi caput suum reclinet. Ait autem ad alterum : Sequere me. Ille autem dixit: Domine, permitte mihi primum abire, et sepelire D patrem meum. Dixit autem ei Jesus: Sine ut mortui sepeliant mortuos suos: tu vero vade et annuntia regnum Dei. Et ait alius : Sequar te, Domine, sed permitte mihi prius ut dicam vale iis, qui sunt domi meæ. Ait ad illum Jesus : Nemo qui manu sua admota aratro, respexit a tergo, aptus est regno Dei. » Hic qui accessit ad Jesum, et petiit ut sequeretur illum, mala mente accessit. Quia enim vidit magnam turbam sequi Dominum, suspicatus est, quod pecuniam ab illa colligeret Dominus, et speravit etiam ipse sequendo pecunias se congrega-

(*a*) Edit. Lut. omittit, *quare non susceperunt*, etc.

turum : idcirco repellit eum Dominus, quasi talia dicens ei : Tu quidem putas quod pecuniam collecturus sis, si me sequaris, et quod vita mea talis sit quam doceo sed non est. Enimvero usque adeo paupertatem doceo et induco, ut cum alia quidem animalia foveas habeant, ego ne domum quidem, et sic illum repulit Alium autem qui non rogaverat, permittit sequi : et cum peteret ut abire ei liceret, et sepelire patrem **341** suum, ei non concedit, dicens : Sine mortuos sepelire mortuos suos, quo insinuat incredulum fuisse patrem illius, et propterea indignum cujus curam gereret filius qui crediderat. Sine enim mortuos cognatos, hoc est incredulos, increduli patris curam gerere, et illum pascere usque ad sepulturam. Sepelire enim hoc loco significat curam gerere usque ad sepulturam : quia et communis sermo ita habet, cum dicimus, ille filius sepeliit patrem suum, non intelligimus quod tantum sepelierit eum, et nihil boni aliud illi fecerit, sed quod diligentem ejus curam habuerit usque ad mortem et sepulturam. Igitur illi quidem mortui, hoc est increduli, sepeliant mortuum suum, dico patrem tuum. Tu autem quia credidisti, annuntia velut meus dispulus Evangelium Dei. Hoc autem dixit Dominus, non prohibens nos ab alendis parentibus, sed docens pietatem præferendam incredulis parentibus, eo quod nullum ad virtutem obstaculum esse debeat : et contemnendam etiam naturam propriam, ideo petenti sequi illum, prius autem renuntiare his quæ domi suæ, non concessit, ire scilicet in domum suam, et renuntiare domesticis, et ut magis proprie dicam, dicere vale. Insinuabat enim homo ille quod familiaritatem quamdam adhuc habeat cum mundo, et non affectus sit ut apostoli, qui mox ut audierunt, Christum secuti sunt, nihil aliud curiosius perquirentes, et ne vale quidem necessariis dicentes. Sæpe enim contingit quando quis vale dicit amicis suis, ut inveniantur aliqui qui illum a vita sancta abducant et prohibeant : ideo bonum est ut cum quis rem bonam facere vult, non moretur, sed statim perficiat. Nullus enim qui mittit manum suam ad aratrum spirituale, et respicit iterum ad mundum, idoneus est ad regnum cœlorum. Intellige autem per vulpes etiam malignos dæmones, qui et volatilia cœli dicuntur, hoc est aeris Juxta principem enim, inquit, potestatis aeris. Dicit igitur Dominus ad hominem : Quia dæmones in te foveas habent, propterea ego Filius hominis non habeo ubi caput reclinem, hoc est, in me fidei, non video locum in corde tuo, quod impletum est dæmonibus. Caput enim Christi, fides in illum. Quando enim quis credit Deum esse Christum, tunc caput Christi tenet Mortuus autem peccator est, qui et sepelit suos mortuos, hoc est malas cogitationes, quas non confitetur. Proinde Dominus prohibet secuturum, ne sepeliat malas cogitationes et occultet : vult enim eas per confessionem manifestari.

A ὄχλον ἐπαγόμενον, ἐνόμισεν, ὅτι ἀπὸ τούτων χρήματα συλλέγει ὁ Κύριος, καὶ ᾤετο καὶ αὐτὸς, εἰ ἀκολουθήσει τῷ Ἰησοῦ, συναγαγεῖν χρήματα, διὰ τοῦτο οὖν ἀποκρούεται αὐτὸν ὁ Κύριος, μονονουχὶ λέγων αὐτῷ τοιαῦτα· Σὺ μὲν νομίζεις χρήματα συνάξειν ἀπὸ τοῦ ἀκολουθεῖν ἐμοὶ, οἴει γὰρ ὅτι ὁ ἐμὸς βίος τοιοῦτός ἐστιν, ἀλλ' οὐχ οὕτως ἔχει. Τοσοῦτον γὰρ πτωχείαν εἰσηγοῦμαι καὶ διδάσκω, ὥστε τἄλλα μὲν ζῶα φωλεοὺς ἔχειν, ἐμὲ δὲ μηδὲ οἰκίαν, καὶ τοῦτον μὲν οὕτως ἀπεκρούσατο. Ἑτέρῳ δὲ μηδὲ ἀξιώσαντι ἐπιτρέπει τὸ ἀκολουθεῖν· τοῦ δὲ αἰτησαμένου ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα αὐτοῦ, οὐ συγχωρεῖ τοῦτο, εἰπών· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκροὺς, ὅπερ αἰνίττεται, ὅτι ἄπιστος ἦν ὁ πατὴρ αὐτοῦ, καὶ διὰ τοῦτο ἀνάξιος γηροβοσκηθῆναι ὑπὸ τοῦ πιστεύσαντος αὐτοῦ παιδός. Ἄφες γὰρ, φησὶ, B τοὺς νεκροὺς συγγενεῖς, τουτέστι τοὺς ἀπίστους, γηροτροφῆσαι τὸν ἄπιστόν σου πατέρα ἄχρι καὶ ταφῆς· τὸ γὰρ θάψαι ἐνταῦθα τοῦτο σημαίνει, τὸ ἐπιμελείας ἀξιῶσαι, ἄχρι καὶ τῆς ταφῆς, ἐπεὶ καὶ ἐν τῇ κοινῇ ὁμιλίᾳ οὕτως εἰώθαμεν λέγειν· Ὁ δεῖνα υἱὸς ἔθαψε τὸν πατέρα αὐτοῦ, οὐ τοῦτο λέγοντες, ὅτι μόνον ἔθαψεν αὐτὸν, ἄλλο δὲ οὐδὲν ἀγαθὸν ἐποίησεν, ἀλλ' ὅτι ἐπεμελήσατο αὐτοῦ ἄχρι καὶ τῆς τελευτῆς καὶ ταφῆς. Ἐκεῖνοι μὲν οὖν οἱ νεκροὶ, τουτέστιν οἱ ἄπιστοι, θαψάτωσαν τὸν νεκρὸν αὐτῶν, λέγω δὴ τὸν σὸν πατέρα, σὺ δὲ ἐπεὶ ἐπίστευσας, διάγγελε, ὡς ἐμὸς μαθητὴς, τὸ Εὐαγγέλιον τοῦ Θεοῦ. Τοῦτο δὲ εἶπεν ὁ Κύριος, οὐ κωλύων ἡμᾶς ἀπὸ τοῦ τρέφειν τοὺς γονεῖς, ἀλλὰ διδάσκων ἡμᾶς, ὅτι τῶν ἀπίστων γονέων προτιμητέον τὴν θεοσέβειαν, καὶ C ὅτι οὐδὲν ἐμπόδιον ἔχειν δεῖ πρὸς τὸ ἀγαθόν. Ἀλλὰ καὶ αὐτῆς τῆς φύσεως καταφρονεῖν. ὥσπερ οὖν καὶ τῷ ἀκολουθῆσαι ἀξιοῦντι αὐτῷ, πρότερον ἀποτάξασθαι τοῖς ἐν τῷ οἴκῳ αὐτοῦ, οὐ συγχωρεῖ τοῦτο. Λέγω δὴ τὸ ἀπελθεῖν εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀποτάξασθαι, τουτέστιν, ἵνα ἰδιωτικώτερον εἴπω, ἀποχαιρετίσαι. Ἐμφαίνει γὰρ ὁ τοιοῦτος ἄνθρωπος, ὅτι σχέσιν ἔχει πρὸς τὸν κόσμον· καὶ οὐχὶ κατὰ τοὺς ἀποστόλους διάκειται, οἳ ἀκούσαντες αὐτοῦ, εὐθὺς ἠκολούθησαν αὐτῷ· μηδὲν ἄλλο περιεργασάμενοι, ἀλλ' ἀφέντες καὶ τὴν πρὸς τοὺς οἰκείους ἀποταγήν. Πολλάκις γὰρ συμβαίνει ἐν ὅσῳ τις ἀποτάσσεται τοῖς συγγενέσιν αὐτοῦ, εὑρίσκεσθαί τινας ἐκ τούτων κωλύοντας αὐτὸν ἀπὸ τοῦ κατὰ Θεὸν βίου, διὸ καλόν D ἐστιν ἅμα τῷ θελῆσαι τὸ ἀγαθὸν, ἐπιτελεῖν αὐτὸ μηδὲν ἀναδυομένους. Οὐδεὶς γὰρ ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸ ἄροτρον τὸ πνευματικόν. Καὶ βλέπων πάλιν ἐπὶ τὸν κόσμον, ἐπιτάδειός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Νοήσεις δὲ ἀλώπεκας καὶ τοὺς πανούργους δαίμονας, οἳ καὶ πετεινὰ τοῦ οὐρανοῦ λέγονται, τουτέστι τοῦ ἀέρος. Κατὰ τὸν ἄρχοντα γὰρ, φησὶ, τῆς ἐξουσίας τοῦ ἀέρος. Φησὶν οὖν ὁ Κύριος πρὸς τὸν ἄνθρωπον, ὅτι, Οἱ δαίμονες ἐν σοὶ φωλεοὺς ἔχουσι, καὶ διὰ τοῦτο ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐγὼ οὐκ ἔχω ποῦ τὴν κεφαλὴν κλίνω, τουτέστι, τῆς εἰς ἐμὲ πίστεως οὐχ ὁρῶ τόπον ἐν τῇ καρδίᾳ σου, τῇ πληρωθείσῃ δαιμόνων· Κεφαλὴ γὰρ τοῦ Χριστοῦ, ἡ πίστις εἰς αὐτόν ἐστιν. Ὅταν γὰρ τις αὐτὸν πιστεύσῃ Θεὸν ὄντα, τότε τὴν κεφαλὴν

τοῦ Χριστοῦ κρατεῖ. Νεκρὸς δέ ἐστιν ὁ ἁμαρτωλός. Ὃς καὶ θάπτεται τοὺς ἑαυτοῦ νεκρούς, τουτέστι, τοὺς πονηροὺς λογισμούς, μὴ ἐξαγορεύων τούτους. Κωλύει τοίνυν ὁ Κύριος τὸν μέλλοντα ἀκολουθεῖν αὐτοῦ, ἀπὸ τοῦ θάπτειν τὸν πονηρὸν λογισμὸν, καὶ κρύπτειν αὐτόν· βούλεται γὰρ φανεροῦν αὐτὸν διὰ τῆς ἐξαγορεύσεως.

## ΚΕΦΑΛ. Ι'.

A

Περὶ τῶν ἀναδειχθέντων ἑβδομήκοντα. Περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ. Περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς. Περὶ Μάρθας καὶ Μαρίας τῆς ἀδελφῆς αὐτῆς.

« Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον, οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι· ἔλεγεν οὖν πρὸς αὐτούς· Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. Δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. Ὑπάγετε· ἰδοὺ ἀποστέλλω ὑμᾶς, ὡς ἄρνας ἐν μέσῳ λύκων· » Γέγραπται ἐν τῇ Ἐξόδῳ ὅτι ἦλθον οἱ υἱοὶ Ἰσραὴλ εἰς Ἐλεὶμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στελέχη φοινίκων. Τοῦτο τοίνυν τότε μὲν ἱστορικῶς τε καὶ τυπικῶς ἐγένετο, νῦν δὲ ἀληθῶς ἐξέβη. B Ἐλεὶμ γὰρ ἑρμηνεύεται ἀνάβασις· ὅπερ οὐδὲν ἄλλο, ἢ τοῦτο, ὅτι ἀναβαίνοντες ἡμεῖς εἰς τελειοτέραν σύνεσιν καὶ αὔξησιν πνευματικὴν. καὶ μὴ κατὰ τοὺς Ἑβραίους ἐναπομένοντες τῷ νόμῳ, ἀλλ' εἰς τὸν Χριστιανισμὸν ἀνατρέχοντες, εὑρήσομεν τὰς δώδεκα πηγάς, τοὺς κορυφαίους λέγω δώδεκα ἀποστόλους, οἳ πηγαὶ πάσης διδασκαλίας γλυκυτάτης εἰσίν. Εὑρήσομεν δὲ καὶ τὰ ἑβδομήκοντα στελέχη τῶν φοινίκων, τοὺς ἑβδομήκοντα λέγω· οἳ πηγαὶ μὲν οὐ λέγονται, φοίνικες δὲ, ὡς ἀπὸ τῶν ἀποστόλων ἐκτρεφόμενοι καὶ διδασκόμενοι. Εἰ γὰρ καὶ ὁ Χριστὸς αὐτοὺς ἐξελέξατο, ἀλλ' οὖν ὑποδεέστεροι ἦσαν τῶν δώδεκα, καὶ μαθηταὶ αὐτῶν ὕστερον καὶ ἀκόλουθοι γεγόνασιν. Οἱ φοίνικες οὖν οὗτοι ὑπὸ μὲν τῶν πη- C γῶν, τῶν ἀποστόλων λέγω, ἀνετράφησαν. Ἡμῖν δὲ καρπὸν γλυκὺν ἅμα καὶ στύφοντα μετρίως ἐχορήγησαν. Τοιαύτη γὰρ τῶν ἁγίων ἡ διδασκαλία, οὔτε πάντη γλυκαίνουσα καὶ κολακεύουσα, οὔτε πάντη στύφουσα καὶ πλήττουσα, ἀλλ' ἀμφοτέρων μετέχουσα, καὶ ὄντως ἠρτυμένη μὲν ἅλατι, ἀλλὰ καὶ χάριν ἔχουσα, καθὼς ὁ Παῦλος βοᾷ· « Ὁ λόγος ὑμῶν ἐν χάριτι, ἅλατι ἠρτυμένος. » Ἀναδείκνυσι δὲ τοὺς ἑβδομήκοντα μαθητὰς ὁ Κύριος διὰ τὸ πλῆθος τῶν δεομένων διδασκαλίας. Ὥσπερ γὰρ ἀγροὶ εὐφορήσαντες πολλοὺς ζητοῦσι τοὺς θεριστὰς, οὕτως οἱ μέλλοντες πιστεύειν, πολλοὶ ὄντες καὶ ἀναρίθμητοι, πολλῶν ἐδέοντο διδασκάλων. Ἀνὰ δύο δὲ πέμπει αὐτοὺς ὡς ἀσφαλεστέρους, ἵνα ὁ ἕτερος τῷ ἑτέρῳ συνεργῇ, πρὸ προσώπου δὲ αὐτοῦ πορευόμενοι, δη- D λονότι ἐδίδασκον, ὡς Ἰωάννης. « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. » Σκόπει δὲ πῶς εἰπὼν, ὅτι, « Δεήθητε τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλλῃ ἐργάτας, » ὕστερον αὐτὸς οἰκείᾳ ἀποστέλλει αὐτούς. Ἀληθῶς γὰρ αὐτός ἐστιν ὁ Κύριος τοῦ θερισμοῦ, ἤτοι τῶν πιστευόντων, ὡς Θεὸς ἀληθής. Προλέγει δὲ αὐτοῖς καὶ διωγμούς, καὶ ὅτι ὡς ἐν μέσῳ λύκων ἄρνες ἔσονται, ὡς ἂν μὴ ἀπροσδόκητοι αὐτοῖς ἐπελθόντες, ταράξωσι τῷ αἰφνιδίῳ.

## 342 CAPUT X.

*De septuaginta designatis discipulis. De interrogatione Legisperiti. De eo qui incidit in latrones. De Martha et Maria sorore ejus.*

VERS. 1-3. « Post hæc autem designavit Dominus et alios septuaginta, misitque illos binos ante faciem suam in omnem civitatem et locum quo erat ipse venturus; dicebat ergo illis : Messis quidem multa, sed operarii pauci. Rogate ergo Dominum messis ut extrudat operarios in messem suam. Ite : Ecce ego mitto vos sicut agnos inter lupos. » Scriptum est in Exodo quod filii Israel venerint in Elim, et duodecim fontes aquarum fuerint illic, et septuaginta palmæ. Qued igitur tunc per historiam et in figura factum, nunc vere evenit. Elim ascensus interpretatur : quod nihil aliud vult, quam quod si non simus cum Judæis in littera legis permanentes, sed ascendentes in Christianismum ad perfectiorem intelligentiam et incrementum spirituale, inveniemus duodecim fontes, præcipuos illos duodecim apostolos dico. qui omnis doctrinæ dulcissimi fontes sunt: inveniemus item et septuaginta palmas, nimirum septuaginta discipulos, qui fontes quidem non dicuntur, palmæ tamen sunt, veluti qui ab apostolis educandi et docendi erant. Nam quamvis Christus illos elegerit, fuerunt tamen inferiores illis duodecim, et discipuli illorum postea ac comites. Palmæ igitur illæ a fontibus, apostolis dico, educatæ fuerunt. Nobis autem fructum dulcem quodammodo et austerum suppeditarunt. Talis enim sanctorum doctrina est, non omnino dulcis et adulans, neque omnino austera et verberans, sed utriusque particeps, et re vera condita sale, gratiamque habens : unde et Paulus dicit : « Sermo vester in gratia sale sit conditus[42]. » Designat autem septuaginta discipulos Dominus, propter eorum multitudinem qui doctrina opus habebant. Sicut enim agri frugiferi multos quærunt messores, sic cum multi et innumerabiles essent credituri, multis indigebant magistris. Porro binos mittit, ut tutiores essent et alius alium adjuvaret. Ibant et ante faciem ejus, eo quod docebant, sicut Joannes : « Parate viam Domini[43]. » Considera autem quomodo dixerit : « Rogate Dominum messis ut extrudat operarios[44]; » deinde ipse propria auctoritate illos emittit. Ipse enim est vere Dominus messis, hoc est, verus credentium Deus. Prædicit autem eis et persecutiones, quod sicut agni in medio luporum futuri essent, ut ne si repente in adversa talia inciderent, magis turbarentur.

[42] Col. IV, 6. [43] Matth. II, 3. [44] Matth. IX, 38.

VERS. 4-11. « Nolite portare sacculum, neque A
343 peram, neque calceamenta: et neminem per viam salutaveritis. In quamcunque domum intraveritis, primum dicite: Pax huic domui. Et si ibi fuerit filius pacis, requiescet super illum pax vestræ sin minus, ad vos revertetur. In eadem autem domo manete edentes et bibentes quæ dantur ab illis. Dignus est enim operarius mercede sua. Nolite transire de domo in domum. Et in quamcunque civitatem intraveritis, et susceperint vos, edite quæ apponuntur vobis: et sanate infirmos qui in illa sunt: et dicite illis: Appropinquavit in vos regnum Dei.» Quia ipsos missurus erat prædicatores Evangelii, dicit: Ne portetis sacculum, neque hoc vel illud: sufficit enim vobis quod curam habeatis
B verbi. Nam si sacculum portaveritis, manifestum quod illius vobis cura est, et verbum contemnitis. Vel aliter: Quoniam alendi estis ab his quos docetis, quid vobis sacculo opus, vel pera, vel calceamentis? Omnem enim illorum usum suppeditabunt hi qui a vobis docebuntur. Porro quod nullum per viam salutent, hac de causa eis injungit, ut ne occuparentur in hominum salutationibus et curiositatibus, quibus a prædicatione impedirentur. Verisimile enim est ut cum quis salutaverit quempiam, ab eodem resalutetur, et de majori familiaritate interpelletur: ut fieri solet in his qui simul vadunt. Simul enim ut amici facti, etiam amplius et curiosius quiddam scrutantur: et sic paulatim in humana
C negotia apostoli inciderent, verbumque negligerent. In itinere igitur salutare quempiam ea de causa prohibet. In domum autem ingressi, inquit, dicite: Pax huic domui, hoc est, salutate eos qui in domo sunt. Et deinde ostendens quod hoc non solum sit salutare, sed et benedicere, dicit: Si quidem dignus fuerit paterfamilias, benedicitur: si autem contumeliosus, et non capax pacis, pugnans et adversarius sermoni vestro et doctrinæ, benedictio non veniet super illum, sed ad vos revertetur. Præcipit quoque non transeundum de domo in domum, ut ne videantur gulosi, et scandalo sint multis, et contristent eos a quibus primum suscepti sunt. Insuper dicit: Comedite ea quæ apud illos sunt: hoc est, quæ proponunt vobis, etiamsi vilia et parva sint,
D nihil amplius inquirentes. Pro mercede autem habete cibum. Et ne quæretis et pasci, et mercedem insuper accipere, sed cibum pro mercede habetote. Vide igitur quomodo discipulos adversus inopiam instruat, et securos faciat. Sanare autem et infirmos qui in civitatibus, præcipit, ut miraculorum operatione attrahant homines ad verbum quod prædicant. Et vide quid dicat: Et dicite eis: Appropinquavit in vos regnum Dei. Nam si primum sanaveritis, ac deinde docueritis, feliciter curret sermo
344 vester, et credent homines quod regnum Dei pervenerit in ipsos. Non enim sanati fuissent, nisi divina quædam virtus fuisset hæc operans. Sed et quando quis animo ægrotans sanatus fuerit, tunc appropinquavit in eum regnum Dei. Ab ægrotante

« Μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα, καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· Εἰρήνη τῷ οἴκῳ τούτῳ. Καὶ ἐὰν μὲν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν, εἰ δὲ μή γε, ἐφ' ὑμᾶς ἀνακάμψει. Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν. Ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι. Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν. Καὶ εἰς ἣν ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν. Καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς· Ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. » Ἐπειδὴ ἔμελλεν αὐτοὺς ἀποστέλλειν κήρυκας τοῦ Εὐαγγελίου, φησί· Μὴ βαστάζετε βαλάντιον, μήτε τὸ καὶ τό· ἀρκεῖ γὰρ ὑμῖν τὴν φροντίδα τοῦ
B λόγου ἔχειν. Εἰ γὰρ βαλάντιον βαστάζετε, πρόδηλον, ὅτι ἐπ' ἐκεῖνο ἀσχοληθήσεσθε, καὶ τοῦ λόγου καταφρονήσετε. Ἄλλως τε· Ἐπειδὴ μέλλετε τρέφεσθαι ὑπὸ τῶν διδασκομένων, τίς χρεία βαλαντίου ὑμῖν ἢ πήρας, ἢ ὑποδημάτων; Πᾶσαν γὰρ ὑμῖν τὴν χρείαν τούτων οἱ διδασκόμενοι ἀποθεραπεύουσι. Τὸ δὲ, Μηδένα κατὰ τὴν ὁδὸν ἀσπάζεσθε, διὰ τοῦτο αὐτοῖς ἐπιτίθησι, διὰ τὸ μὴ ἀπασχολεῖσθαι περὶ ἀνθρωπίνους ἀσπασμοὺς, καὶ φιλοφρονήσεις, καὶ ἐκ τούτου πρὸς τὸ κήρυγμα ἐμποδίζεσθαι. Εἰκὸς γὰρ τὸν τυχόντα τοῦ ἀσπασμοῦ, πάλιν καὶ αὐτὸν ἀντασπάσασθαι, καὶ τυχὸν καὶ μακροτέρας ὁμιλίας ἀξιῶσαι, οἷα τὰ τῶν συνοδοιπορούντων, εἶτα ὡς ἤδη φίλον γενόμενον, καὶ φιλοφρονήσασθαί τι περιττότερον,
C καὶ οὕτω κατὰ μικρὸν εἰς ἀνθρωπίνας σχέσεις τὸν ἀπόστολον ἐκπεσεῖν, καὶ ἀμελῆσαι τοῦ λόγου. Κατὰ μὲν οὖν τὴν ὁδὸν ἀσπάζεσθαί τινα κωλύει διὰ τὴν εἰρημένην αἰτίαν. Εἰς δὲ οἰκίαν εἰσερχόμενοι, φησὶ, λέγετε· Εἰρήνη τῷ οἴκῳ τούτῳ· τουτέστιν, ἀσπάζεσθε τοὺς ἐν τῇ οἰκίᾳ. Εἶτα δεικνὺων, ὅτι οὐ μόνον ἀσπασμός ἐστι τοῦτο, ἀλλὰ καὶ εὐλογία· φησὶν, ὅτι Ἐὰν μὲν ᾖ ἄξιος ὁ οἰκοδεσπότης, εὐλογηθήσεται, εἰ δὲ ὑβριστὴς καὶ ἀνεπίδεκτος εἰρήνης, μαχόμενος καὶ ἐναντιούμενος τῷ λόγῳ ὑμῶν καὶ τῇ διδασκαλίᾳ, ἡ εὐλογία οὐχ ἐπ' αὐτὸν ἥξει, ἀλλ' εἰς ὑμᾶς ἐπαναστρέψει. Μὴ μεταβαίνειν δὲ εἰς πολλὰς οἰκίας παραγγέλλει, ἵνα μὴ δοκῶσι γαστρίμαργοι, καὶ σκανδαλίζωσι πολλοὺς, καὶ λυπῶσι τοὺς ἐξ ἀρχῆς ὑποδεξαμένους. Ἀλλὰ καὶ ἐσθίετε, φησὶ, τὰ παρ'
D αὐτῶν, τουτέστιν, ἃ προσάγουσιν ὑμῖν, κἂν μικρὰ ὦσιν κἂν εὐτελῆ, μηδὲν πλέον ἐπιζητοῦντες. Ἀντὶ μισθοῦ δὲ ἔχετε τὴν τροφὴν, καὶ μὴ ζητεῖτε καὶ τρέφεσθαι, καὶ μισθὸν πάλιν παρὰ μέρος λαμβάνειν, ἀλλ' αὐτὸν τὴν τροφὴν ἀντὶ μισθοῦ ἔχετε. Ὅρα οὖν, πῶς τοὺς μαθητὰς ἐξασφαλίζεται πρὸς ἀκτημοσύνην, καὶ θεραπεύειν δὲ τοὺς ἐν ταῖς πόλεσιν ἀσθενεῖς παραγγέλλει, ἵνα ἐντεῦθεν θαυματουργοῦντες, ἐφελκύωνται τοὺς ἀνθρώπους ἐπὶ τὸ κήρυγμα. Ὅρα γὰρ τί φησι, Καὶ λέγετε αὐτοῖς, ὅτι Ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. Εἰ γὰρ πρῶτον θεραπεύετε, εἶτα διδάσκετε, εὐδρομήσει ὑμῖν ὁ λόγος, καὶ πιστεύσουσιν οἱ ἄνθρωποι, ὅτι ἡ βασιλεία τοῦ Θεοῦ ἔφθασεν ἐπ' αὐτούς. Οὐκ ἂν γὰρ ἐθεραπεύοντο, εἰ μή τις θεία δύναμις ἦν ἡ ταῦτα τελοῦσα. Ἀλλὰ γὰρ

καὶ ὅταν κατὰ ψυχὴν ἀσθενοῦντες θεραπευθῶσι, τότε A ἤγγικεν ἐπ' αὐτοὺς ἡ βασιλεία τοῦ Θεοῦ. Ἀπὸ γὰρ τοῦ ἀσθενοῦντος μακράν ἐστιν αὕτη, βασιλευομένου ὑπὸ τῆς ἁμαρτίας ἔτι.

« Εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε καὶ μὴ δέχονται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας, αὐτοῖς εἴπατε· Καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν, ἀπομασσόμεθα ὑμῖν, πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ· Λέγω δὲ ὑμῖν ὅτι Σοδόμοις ἀνεκτότερον ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἢ τῇ πόλει ἐκείνῃ. » Ὅταν, φησί, μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες διαμαρτύρασθε αὐτοῖς, ὅτι Οὐδὲν κοινὸν ἡμῖν πρὸς ὑμᾶς, οὐδὲ ἔχομέν τι ἀπὸ τῆς ὑμετέρας πόλεως· ἀλλὰ καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἀπομασσόμεθα, τουτέστιν ἀποτινάσσομεν, ἀποσπογγίζομεν, ἀποῤῥίπτομεν B ὑμῖν· πλὴν γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. Ἐνταῦθα ζητήσει τις· Πῶς φησιν ὁ Κύριος καὶ τοῖς ὑποδεχομένοις τοὺς ἀποστόλους ἐγγίσαι τὴν βασιλείαν, καὶ τοῖς μὴ ὑποδεχομένοις; Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐδὲν ἐναντίον φησί. Καὶ γὰρ τοῖς μὲν τοὺς ἀποστόλους δεχομένοις, ἐγγίζειν τὴν βασιλείαν ἐπ' εὐεργεσίᾳ, τοῖς δὲ μὴ ὑποδεχομένοις, ἐπὶ κατακρίσει. Ὑπόθου γάρ μοι ἐν θεάτρῳ τινὶ κατακρίτους εἶναι πολλούς, καὶ ἑτέρους ἀκατακρίτους· συγκλητικούς τέ φημι, στρατηγούς τε καὶ ἀριστέας τυχόν, εἶτα λέγειν τινὰ κήρυκα πρὸς πάντας ὁμοῦ τούς τε κατακρίτους, καὶ τοὺς ἐντίμους, ὅτι ἤγγικεν ὁ βασιλεὺς ὑμῖν, ἆρ' οὐ τοῖς μὲν ἐπὶ κολάσει, τοῖς δὲ ἐπὶ τιμῇ καὶ εὐεργεσίᾳ ἐγγίζειν C τὸν βασιλέα λέγει; Οὕτως οὖν ἐνταῦθα νόει. Ἀνεκτότερον δὲ ἔσται Σοδόμοις, φησί, ἢ τῇ μὴ παραδεξαμένῃ ὑμᾶς πόλει. Διατί; Διότι εἰς Σόδομα ἀπόστολοι οὐκ ἀπεστάλησαν· οἱ τοίνυν τοὺς ἀποστόλους μὴ δεξάμενοι, χείρους Σοδομιτῶν εἰσιν. Παρατήρησον δέ, ὅτι ἡ πόλις ἡ μὴ παραδεχομένη τοὺς ἀποστόλους, πλατείας ἔχει. Πλατεῖα γάρ ἐστιν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν· ὅστις οὖν πλατείας ὁδοὺς ἔχει ἀπαγούσας εἰς ἀπώλειαν, ἐκεῖνος ἀποστολικὸν λόγον καὶ θεῖον οὐ παραδέχεται.

« Οὐαί σοι, Χωραζείν, οὐαί σοι, Βηθσαϊδᾶ, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις, αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἄν, ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι, μετενόησαν. Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει, ἢ ὑμῖν. Καὶ σύ, D Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ. Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. » Ἡ Τύρος καὶ ἡ Σιδὼν πόλεις ἦσαν Ἑλληνίδες, ἡ δὲ Βηθσαϊδὰ καὶ ἡ Χωραζείν, Ἰουδαϊκαί. Λέγει τοίνυν, ὅτι Ἐν τῇ κρίσει ἀνεκτότερον ἔσται τοῖς Ἕλλησιν, ἢ ὑμῖν τοῖς ἰδοῦσι θαύματα, καὶ μὴ πιστεύσασιν. Ἐκεῖνοι γὰρ εἰ εἶδον, ἐπίστευσαν ἄν. Ἀλλὰ καὶ σύ, Καπερναούμ, ὑψώθης μὲν ἕως οὐρανοῦ, δοξαζομένη διὰ τὰ ἐν σοὶ θαύματα πολλὰ γεγονότα, καταβιβασθήσῃ δὲ ἕως ᾅδου, κατακριθησομένη δι' αὐτὸ τοῦτο, ὅτι καὶ μετὰ τοσαῦτα θαύματα ἀπιστεῖς. Εἶτα ἵνα μὴ λέγωσιν οἱ πεμπόμενοι ἐπὶ τὸ κήρυγμα, ὅτι ποῦ ἀποστέλλεις

A enim longe istud est, quandoquidem peccatum in illo regnat ac dominatur.

VERS. 5-12. « In quamcunque autem civitatem intraveritis, et non susceperint vos, exeuntes in plateas eis dicite : Etiam pulverem qui adhæsit nobis de civitate vestra, extergimus in vos : tamen hoc scitote quod appropinquavit in vos regnum Dei. Dico vobis quod Sodomis in die illo remissius erit quam illi civitati. » Quando, inquit, non susceperint vos, egressi testemini eis quod nihil commune nobis vobiscum, neque habemus aliquid de civitate vestra : sed etiam pulverem qui adhæsit nobis, extergimus, hoc est excutimus, spongia emundamus, B abjicimus in vos. Verumtamen scitote quod appropinquavit in vos regnum Dei. Hoc loco quæsiverit quispiam : Quomodo dicit Dominus appropinquasse regnum Dei et his qui susceperunt et qui non susceperunt apostolos? Appropinquare dicit regnum cœlorum his qui apostolos suscepere, propter beneficia quæ in eos collocantur, his autem qui non susceperunt, propter condemnationem. Finge in spectaculo quodam multos condemnatos, et alios non condemnatos : Senatores, inquam, ac exercitus duces et optimates : deinde dicere præconem ad omnes tam condemnatos quam venerabiles: Appropinquavit rex vester : nonne his quidem ad supplicium, aliis vero ad gloriam et beneficentiam C appropinquare dicit regem? Sic igitur et hoc loco intellige. Tolerabilius erit Sodomis, inquit, quam civitati quæ vos non susceperit. Quare? Ego quod in Sodoma apostoli non fuerunt missi. Igitur, qui apostolos non susceperunt, deteriores sunt Sodomitis. Observa civitatem non suscipientem apostolos plateas habere. Lata enim via est quæ ducit ad interitum : quam quisquis ingreditur, ille apostolicum et divinum verbum non suscipit.

VERS. 13-16. « Væ tibi, Corozain, væ tibi, Bethsaida: quia si in Tyro et Sidone factæ fuissent virtutes quæ factæ sunt in vobis, olim in cilicio et cinere sedentes pœnituissent. Verumtamen Tyro D et Sydoni remissius erit in judicio, quam vobis. Et tu, Capernaum, quæ usque ad cœlum elata es, usque ad infernum deprimeris Qui vos audit, me audit ; et qui vos spernit, me spernit. Qui autem me spernit, spernit eum qui me misit. » Tyrus et Sidon civitates fuerunt gentilium, Bethsaida autem et Corozain Judaicæ. Dicit igitur quod in judicio tolerabilius erit gentilibus quam vobis, qui vidistis miracula, et non credidistis. Illi enim si vidissent, credidissent utique. Sed et 345 tu, Capernaum, quæ exaltata quidem fuisti usque ad cœlum, et glorificata multis, quæ in te facta sunt, miraculis, detraheris usque ad infernum, condemnanda propter istuc ipsum, quod et post tanta miracula incredula manes. Deinde ut ne dicant qui mittuntur ad præ-

dicationem, Quo mittis nos, si civitates quædam non sunt nos suscepturæ? dicit: Ne sitis animo tristi: qui spernit vos, me spernit, et Patrem meum: et ita injuria non vestra est, sed in Deum transit. Consolatio igitur sit vobis, quod hæc Dei sit injuria. Sicut contra, ne gloriemini, vel sapite sublime, quod quidam vos audiant. Non enim vestrum est opus, sed meum et gratiæ.

VERS. 17-20. « Reversi autem snnt septuaginta cum gaudio, dicentes: Domine, etiam dæmonia subjiciuntur nobis per nomen tuum. Ait autem illis: Videbam Satanam sicut fulgur de cœlo cadentem. Ecce do vobis potestatem calcandi super serpentes et scorpiones, et super omnem virtutem inimici, et nihil vobis nocebit. Verumtamen in hoc nolite gaudere quod spiritus vobis subjiciuntur, sed gaudete potius quod nomina vestra scripta sunt in cœlis. » Prius dixit quod miserit septuaginta, nunc autem dicit quod reversi sint gaudentes quod non solum alios morbos fugarint, sed, quod majus malum erat, effugarint etiam dæmones. Vide autem quomodo non superbiunt. Dicunt enim quod in nomine tuo subjiciuntur nobis dæmonia, tua gratia, non nostra virtute. Dicit autem illis Dominus: Ne miremini si dæmones vobis subjiciantur. Princeps enim ipsorum olim de cœlo decidit, et nullam fortitudinem habet. Nam licet hoc homines non viderint, ego tamen invisibilium spectator vidi. Decidit autem sicut fulgur, quia lux erat, et archangelus et lucifer, etiamsi in tenebras versus sit. Si igitur de cælo ille decidit, servi ejus, dæmonia dico, quid non patientur? Quidam autem sic intelligunt, de cœlo, hoc est de gloria. Nam quia dixerant ei septuaginta quod dæmonia sibi subjiciantur, dicit: Hoc et ego sciebam, Videbam enim satanam de cœlo, id est, de gloria sua, et de honore quem habebat, cadentem. Ante Christum enim ut Deus colebatur, nunc autem de cœlo decidit, hoc est, de gloria sua, ne colatur ut Deus, neque habeatur perinde ac si in cœlo habitet Ecce igitur do vobis potestatem conculcandi virtutem illorum. Serpentes et scorpiii dæmonum sunt catervæ, quæ deorsum trahuntur. Et qui manifeste percutiunt, serpentes, qui vero occultius, scorpii, ut dæmon libidinis et cædis est serpens: in manifestaria enim mala compellit: at qui propter morbos persuadet hominem lavacris, unguentis, et aliis effeminantibus uti, scorpius vocatur, non manifestum habens aculeum, sed clam carnem offendens, ut obedientem in magnum 346 casum injiciat. Gratia autem Demino, qui dedit potestatem calcandi super illos. Cæterum docens eos ne superbiant, dicit: Verumtamen in hoc non gaudete quod dæmonia vobis subjiciuntur: alii enim sunt qui ex hoc beneficia capiunt, nempe qui sanitatem consequuntur: sed magis quod nomina vestra scripta sut in cœlis, non atramento, sed memoria Dei et gratia. Et diabolus decidit e cœlo, homines autem qui infra sunt, scribuntur supra. Verum ita-

A ἡμᾶς, εἰ μὴ μέλλουσιν ἡμᾶς πόλεις τινὲς ὑποδέχεσθαι; φησί· Μὴ λυπεῖσθε· ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ καὶ τὸν Πατέρα μου, ὥστε ἡ ὕβρις οὐκ εἰς ὑμᾶς ἵσταται, ἀλλ' εἰς Θεὸν ἀνατρέχει. Παραμυθία τοίνυν ἔστω ὑμῖν, τὸν Θεὸν ὑβρίζεσθαι· ὥσπερ πάλιν μὴ καυχᾶσθε. Ἢ ὑψηλοφρονεῖτε, ὅτι ἀκούουσί τινες ὑμῶν. Οὐ γὰρ ὑμέτερον τὸ ἔργον, ἀλλ' ἐμοῦ καὶ τῆς χάριτος.

« Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται. Χαίρετε δὲ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς B οὐρανοῖς. » Προεῖπεν ὅτι ἀπέστειλε τοὺς ἑβδομήκοντα. Νῦν οὖν λέγει ὅτι ὑπέστρεψαν χαίροντες, ὅτι οὐ μόνον τὰς ἄλλας νόσους ἐδίωκον, ἀλλ' ὅτι καὶ τὸ μεῖζον κακὸν, τοὺς δαίμονας ἐξήλαυνον. Ὅρα δὲ πῶς οὐχ ὑψηλοφρονοῦσι. Φασὶ γὰρ, ὅτι Ἐν τῷ ὀνόματί σου ὑποτάσσονται ἡμῖν οἱ δαίμονες. Ἐν τῇ σῇ χάριτι, οὐ τῇ ἡμετέρᾳ ἰσχύϊ. Εἶπε δὲ αὐτοῖς ὁ Κύριος· Μὴ θαυμάζετε, εἰ δαίμονες ὑμῖν ὑποτάσσονται· ὁ γὰρ ἄρχων αὐτῶν, πάλαι κατέπεσεν ἀπ' οὐρανοῦ. Καὶ οὐδεμίαν ἰσχὺν ἔχει. Εἰ γὰρ καὶ τοῖς ἀνθρώποις οὐχ ἑωρᾶτο τοῦτο, ἀλλ' οὖν ἐμοὶ ἐθεωρεῖτο τῷ τῶν ἀοράτων θεωρῷ. Ὡς ἀστραπὴ δὲ κατέπεσεν, ἐπεὶ φῶς ἦν, καὶ ἀρχάγγελος, καὶ ἑωσφόρος, εἰ καὶ σκότος γέγονεν. Εἰ τοίνυν οὗτος κατέπεσεν ἀπ' ὠρανοῦ, C οἱ δοῦλοι αὐτοῦ, τὰ δαιμόνια λέγω, τί οὐ πείσονται; Τινὲς δὲ τὸ, ἀπ' οὐρανοῦ, οὕτω νοοῦσι, τουτέστιν, ἀπὸ δόξης. Ἐπεὶ γὰρ εἶπον αὐτῷ οἱ ἑβδομήκοντα, ὅτι τὰ δαιμόνια ὑποτάσσεται, φησὶν, ὅτι, Καὶ ἐγὼ τοῦτο ἐγίνωσκον. Ἔβλεπον γὰρ τὸν Σατανᾶν ἐξ οὐρανῶν, τουτέστιν, ἀπὸ τῆς δόξης ἧς εἶχε, καὶ τῆς τιμῆς πεσόντα. Πρὸ γὰρ Χριστοῦ ὡς Θεὸς ἐτιμᾶτο. Νῦν δὲ ἐξέπεσε τοῦ οὐρανοῦ, τουτέστι, τοῦ τιμᾶσθαι ὡς Θεὸς, καὶ νομίζεσθαι ὅτι ἐν τῷ οὐρανῷ ἐστιν. Ἰδοὺ οὖν δίδωμι ὑμῖν ἐξουσίαν καταπατεῖν τὰς δυνάμεις αὐτοῦ. Ὄφεις γὰρ καὶ σκορπίοι αἱ τῶν δαιμόνων φάλαγγες κάτω συρόμεναι· καὶ ὅσοι μὲν ἐμφανέστερον πλήττουσιν, οὗτοι ὄφεις. Ὅσοι δὲ ἀφανέστερον, οὗτοι σκορπίοι, οἷον ὁ μὲν τῆς πορνείας καὶ τοῦ φόνου δαίμων, ὄφις. Εἰς προφανῆ γὰρ κακὰ D συνωθεῖ. Ὁ δὲ διὰ νόσον δῆθεν πείθων τὸν ἄνθρωπον λουτροῖς χρᾶσθαι καὶ μυρίσμασι καὶ ταῖς ἄλλαις βλακείαις, ὁ τοιοῦτος δαίμων σκορπίος ἂν κληθείη, Μὴ ἐμφανὲς ἔχων τὸ κέντρον, ἀλλὰ λεληθότως τὴν σάρκα περιποιεῖσθαι σπεύδων, ἵνα ῥίψῃ τὸν πειθόμενον εἰς πτῶμα μέγα. Χάρις δὲ τῷ Κυρίῳ τῷ διδόντι δύναμιν πατεῖν ἐπάνω τούτων. Παιδεύων δὲ αὐτοὺς μὴ ὑψηλοφρονεῖν, φησί· Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται. Ἄλλοι γάρ εἰσιν οἱ ἐκ τούτου εὐεργετούμενοι, οἱ τῆς ἰάσεως καταξιούμενοι. Ἀλλὰ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς, οὐ μέλανι, ἀλλὰ μνήμῃ

Θεοῦ, καὶ χάριτι. Καὶ ὁ μὲν διάβολος ἄνωθεν καταπίπτει, οἱ δὲ ἄνθρωποι κάτω ὄντες γράφονται ἄνω. Ἡ ἀληθινὴ οὖν χαρὰ, τὸ γράφεσθαι ὑμῶν τὰ ὀνόματα ἄνω καὶ μνημονεύεσθαι ὑπὸ Θεοῦ.

« Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ, ὁ Πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. » Ὥσπερ πατὴρ ἀγαθὸς παῖδας ἰδὼν κατορθώσαντάς τι, οὕτω καὶ ὁ Σωτὴρ ἀγάλλεται, ὅτι τοιούτων ἀγαθῶν ἠξιώθησαν οἱ ἀπόστολοι. Εὐχαριστεῖ οὖν τῷ Πατρὶ, ὅτι ἀπεκρύβησαν τὰ τοιαῦτα μυστήρια ἀπὸ σοφῶν, τῶν Φαρισαίων δηλαδὴ καὶ Γραμματέων τῶν ἑρμηνευόντων τὸν νόμον, καὶ συνετῶν τῶν μαθητευομένων ὑπὸ τούτων δὴ τῶν Γραμματέων. Σοφὸς μὲν γάρ ἐστιν ὁ διδάσκων, συνετὸς δὲ ὁ διδασκόμενος καὶ συνιεὶς τὰ λεγόμενα. Οἷον ὑποδείγματος χάριν, σοφὸς ὁ Γαμαλιὴλ, συνετὸς δὲ ὁ Παῦλος. Ὁ μὲν γὰρ διδάσκαλος, ὁ δὲ συνιεὶς τὰ λεγόμενα παρ' ἐκείνου. Νηπίους δὲ ὀνομάζει τοὺς οἰκείους μαθητὰς ὁ Κύριος, οἷα μὴ νομομαθεῖς ὄντας, ἀλλὰ τοὺς πλείους ἐκ τοῦ ὄχλου καὶ τῶν ἁλιέων συνηρανισμένους. Ἀλλὰ μὲν καὶ ὡς ἄκακοι, νήπιοι ἂν κληθεῖεν. Ἐκεῖνοι δὲ δοκοῦντες συνετοὶ καὶ σοφοὶ, οὐ μὴν ὄντες. Ἀπεκρύβη οὖν τὰ μυστήρια ἀπὸ τῶν δοκούντων σοφῶν καὶ συνετῶν, οὐ μὴν ὄντων. Εἰ γὰρ ἦσαν, ἀπεκαλύφθη ἂν αὐτοῖς. Ναὶ, ὁ Πατὴρ, εὐχαριστῶ σοι, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου, τουτέστιν, ὅτι τοιαύτη εὐδοκία καὶ θέλησις ἐγένετο ἔμπροσθέν σου, καὶ οὕτως ἤρεσέ σοι.

« Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς, εἶπε· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου. Καὶ οὐδεὶς γινώσκει, τίς ἐστιν ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ, καὶ τίς ἐστιν ὁ Πατὴρ, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς, κατ' ἰδίαν εἶπε· Μακάριοι οἱ ὀφθαλμοὶ, οἱ βλέποντες ἃ ὑμεῖς βλέπετε. Λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. » Πάντα παραδίδονται τῷ Υἱῷ ὑπὸ τοῦ Πατρὸς, καθ' ὃ ἔμελλον ὑποταγῆναι τῷ Υἱῷ τὰ πάντα. Δύο γὰρ τρόποι εἰσὶ καθ' οὓς βασιλεύει τῶν πάντων ὁ Θεός· ὁ μὲν, καὶ μὴ βουλομένων, ὁ δὲ, βουλομένων. Οἷόν τι λέγω, Δεσπότης ἐστὶν ὁ Θεὸς ἐμοῦ, κἂν μὴ θέλω, καθὸ Δημιουργός μού ἐστιν. Ἔστι δὲ Δεσπότης ἐμὸς πάλιν, ὅταν διὰ τῆς τῶν ἐντολῶν ἐργασίας τὸ θέλημα αὐτοῦ πληρῶ ὡς δοῦλος εὐγνώμων. Πρώην μὲν γὰρ ἡ τῶν ἀνθρώπων φύσις δούλη ἦν, καὶ ὑποχείριος τῷ Θεῷ, κἂν μὴ ἤθελε, κἂν τῷ Σατανᾷ ὑπούργει. Ἐπεὶ δὲ ὁ Χριστὸς τὸν ὑπὲρ ἡμῶν ἀνεδέξατο πόλεμον, καὶ ἐκσπάσας ἡμᾶς ἀπὸ τῆς τυραννίδος τοῦ διαβόλου, ὑπηρέτας ἡμᾶς καὶ ἐργάτας τῶν ἐντολῶν ἐποίησεν, ἔκτοτε δοῦλοι γεγόναμεν εὐγνώμονες καὶ φύσει καὶ προαιρέσει. Ἡ μὲν γὰρ πρὶν δουλεία φύσει μόνον ἦν, ἡ δευτέρα δὲ, καὶ προαιρέσει. Τοῦτο οὖν ἐστιν ὃ λέγει νῦν ὁ Κύριος, ὅτι Πάντα μοι παρεδόθη ὑπὸ

A que gaudium nomina vestra in cœlis scribi, et esse in memoria Dei.

VERS. 21. « In eadem hora exsultavit spiritu Jesus, et dixit : Confiteor tibi, Pater, Domine cœli et terræ, quod abscondisti hæc a sapientibus et prudentibus, et revelasti ea parvulis : etiam, Pater, quoniam sic complacitum est coram te. » Sicut pater bonus cum viderit filios recta quædam opera gessisse, ita Salvator exsultat, quia talia bona asseculi erant apostoli. Itaque Patri gratias agit quod occultaverit quidem talia mysteria a sapientibus, Pharisæis scilicet et Scribis qui legem B interpretantur, et intelligentibus, hoc est discipulis horum Scribarum. Sapiens enim est qui docet, intelligens autem qui docetur et intelligit quæ dicuntur ; ut, exempli gratia, sapiens Gamaliel, intelligens Paulus : ille enim docebat, hic intelligebat quæ ab illo docebantur. Parvulos autem nominabat Dominus suos discipulos, utpote eos qui in lege docti non erant, sed plerique ex turba et piscatoribus congregati. Verumtamen et parvuli dicti sunt ob puerilem simplicitatem. Illi autem sapientes dicti, quia videbantur sapientes, cum sapientes non essent. Abscondit igitur mysteria ab his qui videbantur sapientes et intelligentes, cum utique non essent. Nam si fuissent, revelata fuissent eis. Etiam, Pater, gratias ago tibi, quia C sic beneplacitum fuit ante te, hoc est, fuit talis approbatio et volitio ante te, et sic placuit tibi.

VERS. 23, 24. « Et conversus ad discipulos, dixit : Omnia mihi tradita sunt a Patre meo, et nemo scit quis sit Filius nisi Pater, et quis sit Pater nisi Filius, et cui voluerit Filius aperire. Et conversus ad discipulos seorsum, dixit : Beati oculi qui vident quæ vos videtis. Dico enim vobis quod multi prophetæ et reges voluerunt videre quæ vos videtis, et non viderunt : et audire quæ auditis, et non audierunt. » Omnia traduntur Filio a Patre, sicut subjicienda fuerunt Filio omnia. Duo enim modi sunt quibus regnat in nobis Deus : unus quo regnat in his qui nolunt ; alius, in his qui volunt : ut exempli D gratia quid dicam, Deus Dominus meus est etiamsi nolim, quia Conditor meus est. Est autem iterum Dominus meus, quando servando mandata ejus, voluntatem ejus impleo, gratus servus factus. Prius quidem humana natura serviebat, et subdita erat 347 Deo etiamsi nollet, etiamsi Satanæ ministraret. Postquam autem Christus pro nobis suscepit bellum, et nos a diaboli tyrannide extractos, ministros suos et mandatorum suorum operarios fecit, tunc facti sumus servi grati et natura et voluntate. Prior enim servitus naturæ tantum erat, secunda vero etiam voluntatis. Hoc igitur est quod nunc dicit Dominus, quia Omnia mihi tradita sunt a Patre meo, hoc est, omnia mihi subjicienda sunt, et sub potestatem meam redigenda. Simile autem est hoc ei quod

alicubi dictum : « Data est mihi omnis potestas in cœlo et in terra [45]. » Quia enim pacificavit omnia tam quæ in cœlo quam quæ in terra, talia dicit. Et aliter : « Omnia traduntur Filio a Patre [46], » omnia opera quæ incarnatus pro nobis fecit. Quia enim neque Pater neque Spiritus pro nobis vel incarnatus est, vel passus, vel resurrexit, sed Filius hæc omnia tulit, et dux salutis nostræ factus est : idcirco dixit omnia tradita ipsi esse : veluti si dixisset, Pater meus mihi concredidit omnia, incarnari, pati, resurgere, salvare naturam repulsam. Et nullus scit Filium nisi Pater, et quis sit Pater, nisi Filius. Postquam autem dicit : Omnia mihi concredita sunt, quasi dubium quoddam nunc solvit. Ne enim quis dubitet, Et cujus gratia tibi tradita sunt omnia, et non alteri, fortassis angelo vel archangelo? dicit, quod Propterea mihi tradidit, eo quod ejusdem naturæ et substantiæ sum cum eo. Et sicut illum nullus scit, ita neque me nisi Pater solus : et ita merito mihi tradidit omnia ut ejusdem naturæ secum, omnemque cognitionem transcendenti, sicut etiam ipse supra omnem cognitionis vim est. Etenim Pater, inquit, a solo Filio cognoscitur, et cui Filius voluerit revelare. Vide autem quod Filius quidem non per revelationem cognoscat Patrem, creaturæ autem per revelationem: gratia enim accipiunt scientiam : non igitur creatus est Filius. Conversus vero ad discipulos, beatos illos dicit, et omnes quoque qui cum fide ipsum in carne ambulantem vident et miracula operantem. Etenim prophetæ prisci et reges desideraverunt quidem in carne videre Dominum et audire eum; sed non contingit eis. Et aliter, Quia supra dixit : Cui Filius revelaverit, ille scit Patrem: beatos nunc dicit discipulos, quod sua revelatione ista eis contingant. Revelavit enim eis Patrem per se. Ipsum enim videns, videt Patrem : quod bonum nullus ex sanctis qui ante incarnationem ejus fuerunt, obtinuit, quia non viderunt Dominum in carne, per quem Pater cognosceretur; unde neque Patrem sic viderunt ut apostoli.

A τοῦ Πατρός μου, τουτέστι, πάντα μοι ὑποταγῆναι μέλλει, καὶ ὑπὸ τὴν ἐμὴν δεσποτείαν μεταπεσεῖν. Ὅμοιον δὲ τοῦτο τῷ ἀλλαχοῦ ῥηθέντι, « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. » Ἐπεὶ γὰρ εἰρηνοποίησε τὰ πάντα τά τε ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, διὰ τοῦτο τοιαῦτα λέγει. Καὶ ἄλλως δὲ, Πάντα παραδίδονται τῷ Υἱῷ ὑπὸ τοῦ Πατρὸς, πάντα τὰ τῆς ὑπὲρ ἡμῶν οἰκονομίας ἔργα. Ἐπειδὴ γὰρ ὑπὲρ ἡμῶν οὔτε ὁ Πατὴρ, οὔτε τὸ Πνεῦμα ἢ ἐσαρκώθη, ἢ ἔπαθεν, ἢ ἀνέστη, ἀλλ' ὁ Υἱὸς ταῦτα πάντα ἐνήργησε, καὶ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν ἐγένετο, διὰ τοῦτο εἶπε πάντα παραδεδόσθαι αὐτῷ, ὥσπερ ἂν εἰ ἔλεγεν· Ὁ Πατήρ μου ἐμοὶ ἐνεπίστευσε πάντα, τὸ σαρκωθῆναι, τὸ παθεῖν, τὸ ἀναστῆναι, τὸ σῶσαι τὴν ἀπωσθεῖσαν φύσιν, καὶ οὐδεὶς γινώσκει τὸν Υἱὸν εἰ
B μὴ ὁ Πατὴρ, καὶ τίς ἐστιν ὁ Πατὴρ, εἰ μὴ ὁ Υἱός; ἐπειδὴ εἶπεν ὅτι, Πάντα μοι παρεδόθη, ὡσανεὶ ἀπορίαν τινὰ λύει νῦν. Ἵνα γὰρ μὴ ἀπορῇ τις, Καὶ τίνος ἕνεκά σοι παρέδωκε πάντα καὶ οὐχ ἑτέρῳ, τυχὸν ἀγγέλῳ, ἢ ἀρχαγγέλῳ; φησὶν, ὅτι Διὰ τοῦτό μοι παρέδωκε, διότι ὁμοφυὴς αὐτῷ εἰμι καὶ ὁμοούσιος. Καὶ ὥσπερ ἐκεῖνον οὐδεὶς γινώσκει, οὕτως οὐδὲ ἐμὲ, εἰ μὴ ὁ Πατὴρ μόνος, ὥστε εἰκότως μοι παρέδωκε πάντα, ὡς ὁμοφυεῖ αὐτῷ, καὶ πᾶσαν ὑπερκειμένῳ γνῶσιν, ὥσπερ καὶ αὐτὸς πάσης γνώσεως ἐπέκεινα. Καὶ γὰρ καὶ ὁ Πατὴρ, φησὶ, ὑπὸ τοῦ Υἱοῦ μόνου γινώσκεται, καὶ ᾧ ἂν βουληθῇ ἀποκαλύψαι ὁ Υἱός. Ὅρα δὲ πῶς ὁ μὲν Υἱὸς οὐ δι' ἀποκαλύψεως γινώσκει τὸν Πατέρα, οἱ δὲ κτιστοὶ δι' ἀποκαλύψεως· χάριτι γὰρ λαμβάνουσι τὴν γνῶσιν· οὐκ
C ἄρα κτιστὸς ὁ Υἱός. Στραφεὶς δὲ πρὸς τοὺς μαθητὰς, μακαρίζει αὐτοὺς, καὶ πάντας ἁπλῶς τοὺς βλέποντας, μετὰ πίστεως δηλονότι, ἐν σαρκὶ περιπατοῦντα αὐτὸν καὶ θαυματουργοῦντα. Καὶ γὰρ οἱ πάλαι προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν μὲν ἰδεῖν ἐν σαρκὶ τὸν Κύριον, καὶ ἀκοῦσαι αὐτοῦ, ἀλλ' οὐκ ἔτυχον τούτου. Καὶ ἄλλως δὲ, Ἐπεὶ εἶπεν ἄνω, ὅτι Ὧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ, ἐκεῖνος γινώσκει τὸν Πατέρα, μακαρίζει λοιπὸν τοὺς μαθητὰς ὡς τῆς ἀποκαλύψεως ταύτης τυχόντας. Ἀπεκάλυπτε γὰρ αὐτοῖς τὸν Πατέρα δι' αὐτοῦ. Ὁ γὰρ αὐτὸν ὁρῶν, ἑώρα τὸν Πατέρα. Τούτου δὲ τοῦ ἀγαθοῦ οὐδεὶς τῶν πρὸ τῆς ἐνσάρκου οἰκονομίας ἁγίων ἐπέτυχεν· ἐπεὶ γὰρ οὐκ εἶδον τὸν Κύριον ἐν σαρκὶ, δι' οὗ ὁ Πατὴρ ἐγνωρίζετο, λοιπὸν οὐδὲ τὸν Πατέρα εἶδον οὕτως ὡς οἱ ἀπόστολοι.

VERS. 25-28. « Et ecce quidam legisperitus surrexit tentans illum, et dicens : Magister, quid faciendo vitam æternam possidebo? At ille dixit 348 ad eum : In lege quid scriptum est? quomodo legis? Ille respondens dixit : Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex totis viribus tuis, et ex tota mente tua : et proximum tuum sicut teipsum. Dixitque illi : Recte respondisti, hoc fac, et vives. » Arrogans quidam legisperibus fuit, imo superbus, ut ex his quæ sequuntur manifestum est, insuper et dolosus. Accedit itaque tentans Dominum. Opinabatur enim quod ex responsis supplantare Dominum posset. Sed Dominus illum ad legem ducit, in qua mire

D « Καὶ ἰδοὺ νομικός τις ἀνέστη, ἐκπειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιαν κληρονομήσω; Ὁ δὲ εἶπε πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. Εἶπε δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, καὶ ζήσῃ. » Ἀλαζών τις ἦν ὁ νομικὸς, μᾶλλον δὲ ὑπερήφανος, ὡς ἐκ τῶν ἑξῆς δείκνυται, οὐ μόνον δὲ, ἀλλὰ καὶ δόλιος. Πρόσεισι γοῦν ἐκπειράζων τὸν Κύριον. Ὤετο γὰρ ὡς ὑποσκελίσει αὐτὸν, ἐξ ὧν ἂν πρὸς αὐτὸν ἀποκριθείη. Ἀλλ' ὁ Κύριος ἐπὶ τὸν νόμον αὐτὸν ἀπάγει, ἐφ' ᾧ

[45] Matth. XXVIII, 18. [46] Matth. XIII, 3.

μέγα ἐβρενθύετο. Ὅρα δὲ τὴν τοῦ νόμου ἀκρίβειαν, A πῶς κελεύει ἀγαπᾷν τὸν Θεόν. Ὁ ἄνθρωπος τελειότερον ἐστι πάντων τῶν κτισμάτων, μετέχων μὲν καὶ αὐτῶν πάντων, ἔχων δέ τι καὶ ἐξαίρετον, οἷόν τι λέγω· Μετέχει καὶ τοῦ λίθου· ἔχει γὰρ τρίχας, ὄνυχας, ἀναίσθητα ὄντα, ὥσπερ ὁ λίθος. Μετέχει καὶ τοῦ φυτοῦ, καθὸ αὔξεται, καὶ τρέφεται, καὶ γεννᾷ τὸ ὅμοιον, ὥσπερ καὶ τὰ φυτά. Μετέχει καὶ τῶν ἀλόγων, καθὸ ἔχει τὰς αἰσθήσεις, καὶ θυμοῦται, καὶ ἐπιθυμεῖ. Μετέχει δὲ καὶ Θεοῦ παρὰ πάντα τὰ ἄλλα ζῶα, κατὰ τὴν νοερὰν ψυχήν. Θέλων οὖν δεῖξαι ὁ νόμος, ὅτι δεῖ τὸν ἄνθρωπον ὅλον δι' ὅλου ἑαυτὸν, δοῦναι Θεῷ, καὶ πάσας τὰς ψυχικὰς δυνάμεις εἰς τὴν ἀγάπην τοῦ Θεοῦ ἀναλῶσαι, διὰ μὲν τοῦ εἰπεῖν, ἐξ ὅλης τῆς καρδίας, τὴν σωματικωτέραν καὶ τὴν B τοῖς φυτοῖς οἰκείαν ἐδήλωσε δύναμιν. Διὰ δὲ τοῦ ἐξ ὅλης τῆς ψυχῆς, τὴν μέσην καὶ τοῖς αἰσθητικοῖς ἁρμόζουσαν. Διὰ δὲ τοῦ ἐξ ὅλης τῆς διανοίας, τὸ ἰδιαίτατον τοῦ ἀνθρώπου τὴν νοερὰν ψυχὴν κατεμήνυσε. Τὸ δὲ ἐξ ὅλης τῆς ἰσχύος, εἰς πάντα ταῦτα δεῖ ἡμᾶς ἕλκειν. Δεῖ γὰρ ἡμᾶς καὶ τὴν φυτικὴν δύναμιν τῆς ψυχῆς ὑποτάττειν τῇ ἀγάπῃ τοῦ Χριστοῦ. Ἀλλὰ πῶς; Ἰσχυρῶς, ἀλλὰ μὴ ἐκλελυμένως. Καὶ τὴν αἰσθητικὴν, καὶ ταύτην ἰσχυρῶς, καὶ τὴν νοερὰν, καὶ ταύτην ἐξ ὅλης τῆς ἰσχύος. Ὥστε ὅλους ἑαυτοὺς ὀφείλομεν διδόναι Θεῷ, καὶ ὑποτάττειν, καὶ τὴν θρεπτικὴν, καὶ τὴν αἰσθητικὴν καὶ διανοητικὴν ἡμῶν δύναμιν τῇ ἀγάπῃ τοῦ Θεοῦ. Καὶ τὸν πλησίον σου ὡς σεαυτόν. Ὁ νόμος οὔπω τὰ τέλεια δυνάμενος διδάσκειν διὰ τὸ νηπιῶδες τῶν ἀκουόντων, τὸν C πλησίον ἀγαπᾷν προτρέπεται ὡς ἑαυτόν. Ὁ δὲ Χριστὸς καὶ ὑπὲρ ἑαυτὸν ἀγαπᾷν τὸν πλησίον ἐδίδαξε· Μείζονα γὰρ ταύτης ἀγάπην, φησὶ, οὐκ ἔχει τις δεῖξαι, ἢ ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Λέγει οὖν πρὸς τὸν νομικόν· Ὀρθῶς ἀπεκρίθης. Ἐπεὶ γὰρ, φησὶν, ἔτι τῷ νόμῳ ὑπόκεισαι ὀρθῶς ἀποκρίνῃ· κατὰ τὸν νόμον γὰρ φρονεῖς.

« Ὁ δὲ θέλων δικαιοῦν ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν. Καὶ τίς ἐστι μου πλησίον; Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ λησταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς περιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα. Κατὰ συγ- D κυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. Ὁμοίως δὲ καὶ Λευΐτης γενόμενος κατὰ τὸν τόπον ἐλθὼν, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθε. Σαμαρείτης δὲ ὁδεύων ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον. Ἐπιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. Καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ· Ἐπιμελήθητι αὐτοῦ καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι. Τίς οὖν τῶν τριῶν πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; Ὁ

gloriabatur. Vide autem quanto studio jubeat lex Deum amare. Homo creaturarum omnium est perfectissimus et particeps naturæ omnium, et præterea quiddam sublimius habens. Et exempli gratia quid dicam : Particeps est naturæ lapidis : habet enim capillos et ungues, quæ insensata sunt, quemadmodum lapis. Particeps est et naturæ plantarum, secundum quod crescit et nutritur, ac gignit sibi simile (a), sicut et plantæ. Particeps est et naturæ brutorum, secundum quod habet sensus, et irascitur, et concupiscit. Particeps est autem et Dei juxta rationalem animam, supra omnia alia animantia. Itaque lex ostendere volens quod homo debeat sese totum tradere Deo, et omnes animales virtutes insumere in dilectionem Dei, eo quidem quod dixit, ex toto corde, crassiorem et plantis propriam declaravit virtutem. Dicendo autem ex tota anima, mediam ostendit, et sensatis congruentem. Per hoc autem quod dicit, ex tota mente, homini maxime propriam vim significavit, animam rationalem. Porro quod dicit, ex tota fortitudine, ad omnia hæc trahendum. Oportet enim nos et naturalem ac vegetativam virtutem subjicere dilectioni Christi. Sed quomodo? Fortiter et non dissolute. Et sensitivam, atque illam fortiter. Denique et rationalem, atque illam ex tota virtute. Atque ita debemus nos totos dare Deo, subjicereque et nutritivam, et sensitivam, et rationalem nostram virtutem dilectioni Dei. Et proximum tuum sicut teipsum. Lex nondum valens perfecta docere ob auditorum puerilitatem, proximum diligere hortatur ut seipsum. Christus autem et plusquam seipsum diligere proximum docuit. Majorem enim hac dilectionem, inquit, nemo exhibere potest, quam ut animam suam ponat quis pro amicis suis. Dicit igitur ad legisperitum, Recte respondisti. Quia enim, dicere vult, legi adhuc subjectus es, recte respondisti; juxta legem enim sapis.

VERS. 29-37. « Ille autem volens justificare seipsum, dixit ad Jesum: Et quis est meus proximus? Respondens autem Jesus, dixit: Homo quidam descendebat ab Hierosolymis in Hiericho, et incidit in latrones, qui etiam despoliaverunt eum vestibus, ac vulneribus inflictis abierunt semimortuo **349** relicto. Accidit autem ut sacerdos quidam descenderet eadem via, visoque illo præteriit. Similiter et Levita cum iret juxta locum, ac vidisset eum, præteriit. Samaritanus autem quidam iter faciens, venit ad eum : et viso eo, misericordia motus est, et accedens alligavit vulnera ejus, infundens oleum ac vinum : et imponens illum in suum jumentum, duxit in diversorium, et curam ejus egit. Et postero die egrediens, depromptos duos denarios dedit hospiti, et ait ei : Curam illius habe; et quodcunque præterea insumpseris, ego cum rediero reddam tibi. Quis ergo horum trium videtur tibi proximus fuisse illi qui incidit in latrones? At ille dixit: Qui exer-

(a) Edit. Lut non habet, *ac gignit sibi simile.*

cuit misericordiam in illum. Ait igitur illi Jesus: Vade, et tu fac similiter. » Laudatus a Salvatore legisperitus, prodidit insolentiam animi. Dixit enim: Et quis est meus proximus? Existimabat enim se justum esse, nullumque habere sibi similem et proximum virtute: putans solum justum justo proximum esse. Proinde volens justificare seipsum, et extolli super omnes homines, insolescens, inquit: Et quis est proximus meus? Salvator autem, quoniam Conditor ipse erat, sciens nos omnes unam creaturam, non operibus neque dignitatibus, sed natura definit proximum. Ne igitur putes, inquit, quia justus es, quod nullus tibi similis sit. Omnes enim qui ejusdem naturæ sunt, proximi tui sunt. Sis igitur vicissim et tu illis proximus: non loco, sed affectione et studio erga illos. Idcirco et Samaritanum introducit in exemplum, ut tibi monstret quod licet hic vita discreparet, proximus tamen ei erat qui miseratione dignus. Sic et tu compassione proximum te illi exhibe, et sponte ac non vocatus in illius subsidium curre. Docemur igitur et hoc loco per parabolam ut parati simus ad misericordiam, et conemur esse proximi his qui indigent nostro subsidio. Docet autem et quanta Dei bonitas erga homines. Descendebat enim humana natura a Hierusalem, hoc est, a tranquilla et pacifica vita. Hierusalem enim interpretatur visio pacis. Quo autem descendebat? In Hiericho humilem, concavam, et æstu suffocantem, hoc est, vitam affectionibus plenam. Vide autem quod non dixerit, descendit, sed descendebat. Semper enim humana natura ad inferiora proclivis est, non semel, sed semper vitæ affectionibus deditæ vacans. Incidit autem in latrones, hoc est dæmones. Nisi quis a cogitationibus sublimibus descenderit, non incidit in dæmones, qui exuto homini et spoliato vestibus virtutum, tunc plagas inferunt peccati. Primum enim denudant nos omni bona cogitatione et visitatione Dei: deinde plagas peccati inferunt. Porro naturam humanam semimortuam reliquerunt: vel quod anima immortalis, corpus autem mortale, **350** et ita dimidium hominis morti subditum est: vel quod non omnino desperata erat humana natura. In Christo enim salutem se habituram esse sperabat. Itaque non mortua erat omnino: sed propter ruinam Adæ mors in mundum intravit [47]: propter Christi autem justificationem mors abolenda erat. Per sacerdotem vero et Levitam, legem intellige, et prophetas. Illi enim volebant justificare humanam naturam, sed non potuerunt. Impossibile enim, inquit Paulus, sanguinem taurorum et hircorum tollere peccatum [48]. Miserti itaque sunt hominis, et de ejus sanitate cogitarunt. Deinde plagarum magnitudine victi, ad posteriora iterum regressi sunt. Hoc enim significat ἀντιπαρελθεῖν. Venit enim, inquit, lex, et astitit jacenti: deinde non valens sanare, reversa est, hoc enim significat ἀντιπαρ-

A δὲ εἶπεν· Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, καὶ σὺ ποίει ὁμοίως. » Ἐπαινεθεὶς ὑπὸ τοῦ Σωτῆρος ὁ νομικὸς, τὴν ἀλαζονείαν ἐξέῤῥηξεν. Εἶπε γάρ· Καὶ τίς ἐστί μου πλησίον; Ὤετο γὰρ ὅτι δίκαιος ὢν, οὐδένα ἔχειν ὅμοιον ἑαυτῷ, καὶ πλησιάζοντα κατὰ τὴν ἀρετήν. Πλησίον γὰρ μόνον ἤλπιζεν εἶναι τὸν δίκαιον τῷ δικαίῳ. Θέλων οὖν δικαιοῦν ἑαυτὸν καὶ ὑπεραίρειν πάντων ἀνθρώπων, ἀλαζονευόμενός φησι· Καὶ τίς ἐστί μου πλησίον; Ὁ δὲ Σωτὴρ, ἅτε δὴ Ποιητὴς ὢν, καὶ εἰδὼς πάντας ἓν πλάσμα, οὐ ταῖς πράξεσιν, οὐδὲ τοῖς ἀξιώμασιν, ἀλλὰ τῇ φύσει ὁρίζεται τὸν πλησίον. Μὴ γὰρ νόμιζε, φησὶν, ὅτι ἐπειδὴ δίκαιος εἶ, οὐδείς σοί ἐστιν ὅμοιος. Πάντες γὰρ οἱ τῆς αὐτῆς φύσεως γε
B κοινωνηκότες πλησίον σού εἰσι. Γενοῦ τοίνυν καὶ αὐτὸς πλησίον αὐτοῖς, οὐ τῷ τόπῳ, ἀλλὰ τῇ διαθέσει καὶ τῇ εἰς αὐτοὺς ἐπιμελείᾳ. Διὸ καὶ τὸν Σαμαρείτην εἰσάγω σοι πρὸς ὑπόδειγμα, ἵνα σοι δείξω, ὅτι ὥσπερ οὗτος διαφέρων τῷ βίῳ, ὅμως πλησίον γέγονε τοῦ ἀξίου ἐλεηθῆναι, οὕτω καὶ σὺ δεῖξον σεαυτὸν πλησίον τῇ συμπαθείᾳ, καὶ αὐτόκλητος ἐπὶ τὴν βοήθειαν βάδιζε. Διδασκόμεθα οὖν καὶ ταῦτα διὰ τῆς παραβολῆς ταύτης, τὸ ἑτοίμους εἶναι πρὸς ἔλεον, καὶ σπεύδειν πλησίον γίνεσθαι τῶν δεομένων τῆς παρ' ἡμῶν βοηθείας. Διδασκόμεθα δὲ καὶ τὴν περὶ τὸν ἄνθρωπον ἀγαθότητα τοῦ Θεοῦ. Κατέβαινε γὰρ ἡ ἀνθρωπίνη φύσις ἀπὸ Ἱερουσαλὴμ, τουτέστι τῆς ἀστασιάστου καὶ εἰρηναίας διαγωγῆς. Ὅρασις γὰρ εἰρήνης ἑρμηνεύεται ἡ Ἱερουσαλήμ. Ποῦ δὲ κατέβαινεν; Εἰς τὴν Ἱεριχὼ, τὴν κοιλὴν καὶ χθα-
C μαλὴν καὶ τῷ καύματι πνιγηρὰν, τουτέστι, τὴν ἐμπαθῆ ζωήν. Ὅρα δὲ, οὐκ εἶπεν ὅτι Κατέβη, ἀλλὰ, Κατέβαινεν. Ἀεὶ γὰρ ἡ ἀνθρωπίνη φύσις ἐπὶ τὰ κάτω ἔνευεν, οὐχ ἅπαξ, ἀλλὰ δι' ὅλου τῷ ἐμπαθεῖ βίῳ προσέχουσα. Περιέπεσε δὲ λῃσταῖς, τοῖς δαίμοσιν. Εἰ μὴ γὰρ καταβῇ τις ἀπὸ τοῦ ὕψους τῆς διανοίας, οὐ περιπίπτει τοῖς δαίμοσιν· οἱ ἐκδύσαντες τὸν ἄνθρωπον, καὶ στερήσαντες τῶν τῆς ἀρετῆς ἱματίων, τότε τὰς πληγὰς ἐπέθηκαν τῆς ἁμαρτίας. Πρότερον γὰρ ἀπογυμνοῦσιν ἡμᾶς παντὸς ἀγαθοῦ λογισμοῦ, καὶ τῆς τοῦ Θεοῦ σκέπης, εἶθ' οὕτως τὰς πληγὰς τῆς ἁμαρτίας ἐπιβάλλουσιν. Ἡμιθανῆ δὲ κατέλειψαν τὴν ἀνθρωπίνην φύσιν, ἢ διότι ἡ ψυχὴ ἀθάνατος, τὸ δὲ σῶμα θνητόν· ὥστε τὸ ἥμισυ τοῦ
D ἀνθρώπου τῷ θανάτῳ ὑπαχθῆναι· ἢ διότι οὐ πάντη ἦν ἀπεγνωσμένη ἡ ἀνθρωπίνη φύσις· ἐν γὰρ Χριστῷ τὴν σωτηρίαν ἕξειν ἠλπίζετο. Ὥστε οὐκ ἐτεθανάτωτο παντελῶς, ἀλλ' ὅσον μὲν ἐπὶ τῷ τοῦ Ἀδὰμ παραπτώματι θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν· ὅσον δὲ ἐπὶ τῷ τοῦ Χριστοῦ δικαιώματι ὁ θάνατος ἔμελλε καταργεῖσθαι. Ἱερέα δὲ καὶ Λευΐτην, τὸν νόμον μοι νόει καὶ τοὺς προφήτας. Οὗτοι γὰρ ἠβούλοντο μὲν δικαιῶσαι τὴν ἀνθρωπίνην φύσιν, οὐκ ἠδυνήθησαν δέ. Ἀδύνατον γὰρ, φησὶν ὁ Παῦλος, αἷμα ταύρων καὶ τράγων ἀφελεῖν ἁμαρτίας. Ἠλέησαν μὲν οὖν τὸν ἄνθρωπον, καὶ θεραπεῦσαι διενοήθησαν. Εἶτα τῇ τῶν πληγῶν ἐπικρατείᾳ νικηθέντες, εἰς τοὐπίσω

47 Rom. v, 12. 48 Hebr. x, 4.

πάλιν ὑπεχώρησαν. Τοῦτο γὰρ σημαίνει τὸ ἀντί- A παρελθεῖν. Ἦλθε μὲν γὰρ ὁ νόμος, καὶ ἐπέστη τῷ κειμένῳ, εἶτα μὴ ἰσχύων θεραπεῦσαι, ἀπεστράφη. Ὅπερ ἐστὶ τὸ ἀντιπαρῆλθεν. Ὅρα δὲ τὸ κατὰ συγκυρίαν, τίνα νοῦν ἔχει. Τῷ ὄντι γὰρ ὁ νόμος οὐ προηγουμένως ἐδόθη, ἀλλὰ διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, μὴ δυναμένην ἐξ ἀρχῆς δέξασθαι τὸ κατὰ Χριστὸν μυστήριον. Διὰ τοῦτο φησιν, ὅτι Ὁ ἱερεὺς, τουτέστιν ὁ νόμος, κατὰ συγκυρίαν, ὅπερ εἰώθαμεν λέγειν κατὰ σύμβαμα, ἀλλ' οὐ προηγουμένως, ἦλθεν εἰς τὸ θεραπεῦσαι τὸν ἄνθρωπον. Ἀλλ' ὁ Κύριος καὶ Θεὸς ἡμῶν, ὁ δι' ἡμᾶς κατάρα γενόμενος, καὶ Σαμαρείτης ἀκούσας, ὁδεύων, τουτέστιν, αὐτὸ τοῦτο πρόφασιν ὁδοῦ ποιησάμενος, καὶ τὸν σκοπὸν θέμενος, τὸ ἡμᾶς θεραπεῦσαι, ἀλλ' οὐ παροδεύων, καὶ ἐκ παρέργου ἐπισκεψάμενος ἡμᾶς, B ἦλθεν εἰς ἡμᾶς, συναναστραφεὶς ἡμῖν, καὶ ὁμιλήσας ἀφαντάστως. Κατέδησεν οὖν εὐθὺς τὰ τραύματα, μὴ ἐάσας τὴν κακίαν ἐπὶ πλέον ἄνετον εἶναι, ἀλλὰ καταδήσας αὐτὴν, ἐπέχεεν δὲ ἔλαιον καὶ οἶνον· ἔλαιον μὲν τὸν λόγον τῆς διδασκαλίας, τὸν διὰ τῶν ἀγαθῶν προτρεπόμενον· οἶνον δὲ, τὸν διὰ τῶν φοβερωτέρων ἐνάγοντα πρὸς ἀρετήν. Οἷον ὅταν ἀκούῃς τοῦ Κυρίου λέγοντος· Δεῦτε πρός με, κἀγὼ ἀναπαύσω ὑμᾶς, τοῦτο τὸ ἔλαιον· ἱλαρότητα γὰρ καὶ ἀνάπαυσιν ὑποδείκνυσι. Καὶ πάλιν· Δεῦτε, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. Ὅταν δὲ λέγῃ, ὅτι Πορεύεσθε εἰς τὸ σκότος, τοῦτο ὁ οἶνος, ἡ στυπτικὴ διδασκαλία. Νοήσεις δ' ἂν καὶ ἄλλως· ἔλαιον τὴν κατὰ ἄνθρωπον διαγωγὴν, οἶνον τὴν C κατὰ Θεὸν, οἷόν τι λέγω· Ὁ Κύριος τὰ μὲν ἀνθρωπίνως ἐνήργει, τὰ δὲ, θεϊκῶς. Τὸ μὲν γὰρ ἐσθίειν καὶ πίνειν, καὶ τὸν ἄνετον βίον μεταδιώκειν, ἀλλ' οὐχὶ σκληραγωγίαν ἐνδείκνυσθαι, ὥσπερ ὁ Ἰωάννης, τοῦτό ἐστι τὸ ἔλαιον. Ἡ δὲ ξένη νηστεία καὶ ὁ ἐν θαλάσσῃ περίπατος, καὶ ὅσα ἄλλα τῆς θείας δυνάμεως, ταῦτά ἐστιν ὁ οἶνος. Οἴνῳ γὰρ ἀπεικαστέον τὴν θεότητα, ἣν ἄκρατον ὑπενεγκεῖν οὐδεὶς ἂν ἠδυνήθη, εἰ μὴ καὶ τὸ ἔλαιον ἦν, τουτέστιν ἡ κατὰ ἄνθρωπον διαγωγή. Ἐπεὶ οὖν δι' ἀμφοτέρων ἡμᾶς ἔσωσε, θεότητός φημι καὶ ἀνθρωπότητος, διὰ τοῦτο λέγεται οἶνον καὶ ἔλαιον ἐπιχέαι. Καὶ καθ' ἑκάστην δὲ οἱ βαπτιζόμενοι, τῶν τραυμάτων τῆς ψυχῆς ἀπαλλάττονται, ἐλαίῳ μὲν τοῦ μύρου χριόμενοι, εὐθὺς δὲ κοινωνοῦντες, καὶ τοῦ θείου αἵματος μεταλαμβάνοντες. D Ἀνεβίβασε δὲ ὁ Κύριος τὴν τραυματισθεῖσαν ἡμῶν φύσιν ἐπὶ τὸ ἴδιον ὑποζύγιον, τουτέστιν, ἐπὶ τὸ σῶμα αὐτοῦ· μέλη γὰρ αὐτοῦ ἡμᾶς ἐποίησε, καὶ κοινωνοὺς τοῦ σώματος αὐτοῦ, κάτω τε κειμένους ἀνεβίβασεν ἐπὶ τὴν ἀξίαν ἐκείνην, ὥστε συσσώμους αὐτῷ εἶναι. Πανδοχεῖον δὲ ἡ Ἐκκλησία, ἡ πάντα ὑποδεχομένη· ὁ μὲν γὰρ νόμος, οὐ πάντας ἐδέχετο. Μωαβίτης γὰρ, φησὶ, καὶ Ἀμμανίτης οὐκ εἰσελεύσεται εἰς Ἐκκλησίαν Θεοῦ. Νῦν δὲ ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Θεὸν δεκτὸς αὐτῷ ἐστι, θέλων πιστεῦσαι, καὶ μέρος γενέσθαι τῆς Ἐκκλησίας. Πάντας γὰρ ὑποδέχεται, καὶ ἁμαρτωλοὺς καὶ τελώνας. Ὅρα δὲ τὴν ἀκρίβειαν, πῶς φησιν, ὅτι ἀπαγαγὼν εἰς τὸ πανδοχεῖον, ἐπεμελήθη αὐτοῦ· πρὶν

ἦλθεν. Attende item quod verbum, accidit, sensum quemdam habet. Nam revera lex non ob res in primis intentas, sed propter humanam infirmitatem, quæ non potuit ab initio sacramentum Christi suscipere, data est. Propterea dicit, Accidit quod sacerdos, hoc est lex, ita enim dicere solemus de his quæ fortuito obveniunt, et citra operam nostram, venit ut sanaret hominem, sed Dominus et Deus noster, qui propter nos factus est maledictum, et vocatus Samaritanus, iter faciens, hoc est, hanc potissimum sui itineris causam esse volens, et hunc scopum observans, ut nos sanaret, non præteriens et obiter nos visitans venit ad nos, sed conversatus nobiscum, et locutus non apparenter, sed vere. Proinde statim alligat vulnera, neque permittit maB litiam amplius laxari, sed alligat eam. Infundit oleum ac vinum : oleum, hoc est sermonem doctrinæ, qui per suavia nos adhortatur : vinum vero, sermonem qui per austeriora inducit ad virtutem. Exempli gratia, quando audis Dominum dicentem : Venite ad me, et ego refocillabo vos : hoc oleum, hilaritatem enim et quietem ostendit. Et iterum : Venite, possidete præparatum vobis regnum. Quando autem dicit : Ite in tenebras : vinum est, hoc est austerior doctrina : Intelligere potes et aliter. Oleum humanam significat conversationem, vinum divinam, ut tale quid dicam : Dominus alia humano more operabatur, alia autem divino. Humanum erat comedere et bibere, et vitam laxiorem sectari, et C non austeritatem præ se ferre, ut Joannes : atque hoc fuerit oleum. Jejunium vero mirabile, et ambulatio in mari, et aliæ divinæ virtutes, vinum sunt. Vino enim assimilata est deitas, quam meracam sustinere ac ferre nullus posset, nisi et oleum adesset, hoc est humanior conservatio. Et proinde quia per utraque nos servavit, divinitatem inquam et humanitatem : propterea dicit vinum et oleum **351** infudisse. Et quotidie qui baptizantur liberantur a vulneribus animæ, oleo quidem unguenti uncti : statim autem communicantes et divini sanguinis participes fiunt. Porro Dominus imposuit sauciam nostram naturam super proprium jumentum, hoc est, super corpus suum. Membra enim sua nos fecit et participes sui corporis : nosque infimo loco sitos posuit in dignitatem illam, ut et D ejusdem corporis simus. Diversorium autem Ecclesia est, quæ omnes suscipit ; lex enim non omnes suscipiebat. Moabita enim, dicit, et Ammonita non intrabunt in Ecclesiam Dei. Nunc autem in omni gente qui timet Deum, acceptus est ei, modo velit credere et pars fieri Ecclesiæ, quæ omnes peccatores et publicanos suscipit. Vide item et diligentiam, quomodo ducens, inquit, in diversorium, curam ejus egerit. Nam prius quam in hoc duceret, soluta alligavit vulnera. Quid igitur est quod dico ? Quia cum constituta est Ecclesia, et factum est diversorium, hoc est, ex omnibus ferme gentibus fide aucta, tunc fuerunt et Spiritus sancti dona, et dilatata est gratia Dei : id quod ex Actis apostolorum disces.

Tenet autem figuram hospitis omnis apostolus et doctor et pastor : quibus dedit Dominus duos denarios, duo Testamenta, Vetus et Novum. Unius enim regis imaginem utraque tenent, nempe quod eloquia Dei sint. Itaque denarios illos Dominus in cœlum ascendens reliquit apostolis, et episcopis aliis atque doctoribus. Dixit autem : Quidquid ex tuo insumpseris, ego dabo tibi. Revera enim de suo apostoli multa insumpserunt, multum laborantes, et ubique doctrinam seminantes. Sed et doctores qui explanant Vetus et Novum Testamentum, multa e suo insumunt, pro quibus mercedem accipient, Domino redituro in secundo adventu. Tunc enim singuli dicent ei : Domine, duos denarios dedisti mihi, ecce alios duos præterea impendi. Cui dicet et ipse : Euge, serve bone, etc.

A γὰρ ἢ ἀπαγαγεῖν εἰς τοῦτο, μόνον κατέδησε τὰ τραύματα. Τί οὖν ἐστιν ὅ φημι; Ὅτι τῆς Ἐκκλησίας συστάσης, καὶ γενομένου τοῦ πανδοχείου, τουτέστιν, ἐκ πάντων σχεδὸν τῶν ἐθνῶν τῆς πίστεως αὐξηθείσης, τότε ἐγένετο καὶ Πνεύματος ἁγίου δωρεὰ, καὶ ἡ χάρις τοῦ Θεοῦ ἐπλατύνετο. Καὶ τοῦτο μαθήσῃ ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων. Ἐπέχει δὲ τύπον πανδοχέως πᾶς ἀπόστολος, καὶ διδάσκαλος, καὶ ποιμὴν, οἷς δέδωκεν ὁ Κύριος δύο δηνάρια, τὰς δύο Διαθήκας, τὴν Παλαιὰν καὶ τὴν Νέαν. Ἑνὸς γὰρ εἰκόνα βασιλέως φέρουσιν ἀμφότεραι, τοῦ αὐτοῦ Θεοῦ λόγια οὖσαι. Ταῦτα γοῦν τὰ δηνάρια εἰς οὐρανοὺς ἀνερχόμενος ὁ Κύριος κατέλιπε τοῖς ἀποστόλοις, καὶ τοῖς κατὰ καιροὺς ἐπισκόποις, καὶ διδασκάλοις. Εἶπε δὲ, ὅτι Ὃ ἂν προσδαπανήσῃς οἴκοθεν, B ἐγὼ δώσω σοι. Τῷ ὄντι γὰρ προσεδαπάνησαν οἴκοθεν οἱ ἀπόστολοι, πολλὰ κοπιάσαντες, καὶ πανταχοῦ τὴν διδασκαλίαν σπείροντες. Ἀλλὰ καὶ οἱ κατὰ καιροὺς διδάσκαλοι ἐξηγούμενοι τὴν Παλαιὰν καὶ τὴν Νέαν, πολλὰ προσεδαπάνησαν οἴκοθεν, ὑπὲρ ὧν τὸν μισθὸν ἀπολήψονται ἐν τῷ ἐπανέρχεσθαι τὸν Κύριον, τουτέστιν ἐν τῇ δευτέρᾳ παρουσίᾳ. Τότε γὰρ ἂν εἴποι ἕκαστος αὐτῶν αὐτῷ· Κύριε, δύο δηνάρια δέδωκάς μοι, ἰδοὺ ἄλλα δύο προσεδαπάνησα. Πρὸς ὃν ἐρεῖ καὶ αὐτός· Εὖ, δοῦλε ἀγαθέ.

VERS. 38-42 « Factum est autem dum irent, ut ipse intraret in quoddam oppidulum, ac mulier quædam Martha nomine excepit illum in domum suam : et huic erat soror nomine Maria, quæ etiam assidens ad pedes Jesu audiebat sermonem illius. Martha autem distrahebatur circa frequens ministerium ; quæ assistens, ait : Domine, non est tibi curæ quod soror mea reliquit me ut sola ministrem ? Dic ergo illi ut me adjuvet. Et respondens dixit illi Jesus : Martha, Martha, sollicita es, et tumultuaris circa multa : atqui unum est necessarium. Maria autem bonam partem delegit, quæ non auferetur ab ea. » Magna quidem hospitalitatis virtus est, id quod Martha ostendit, et non rejicienda : major autem attendere verbis magis spiritualibus : per 352 illam enim corpus pascitur, per hoc anima vivificatur Non enim propter hoc assumus inquit, o Martha, ut ventrem impleamus variis cibis, sed ut animabus utiles simus. Vide item et Domini sententiam. Nihil prius dixit Marthæ, quam ab illa perstringendi sumeret occasionem. Postquam enim illa avellere tentavit sororem ab auditu, tum denique Dominus, arrepta occasione, illam verberat. Eatenus enim hospitalitas veneratione digna est, quatenus non abstrahit et abducit nos a magis necessariis. Sed si cœperit nos arcere a rebus gravioribus, tunc illi præferendus divinorum auditus : imo si accuratius dicendum, non hospitalitatem prohibet Dominus, sed varietatem ac turbam, hoc est distractionem et turbationem. Laudat enim frugale hospitium. Quare enim, inquit, Martha, sollicita es, et turbaris circa multa hoc est, distraheris, turbaris ? Uno nobis opus est, nempe ut comedamus qualitercunque, non variis. Quidam autem exponunt, uno est opus, non de esu, sed attentione doctrinæ. Porro dictis illis docet Dominus apostolos, ut cum venerint in domum cujusdam, non varia inquirant, sed contenti sint frugali hospitalitate,

« Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτοὺς, καὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινὰ, γυνὴ δέ τις, ὀνόματι Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τῶν λόγων αὐτοῦ. Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν. Ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; Εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δὲ C εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς, καὶ τυρβάζῃ περὶ πολλά. Ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. » Μέγα μὲν τὸ τῆς φιλοξενίας ἀγαθὸν, ὅπερ ἡ Μάρθα ἐπεδείκνυτο, καὶ οὐκ ἀπόβλητον· μεῖζον δὲ τὸ προσέχειν τοῖς πνευματικωτέροις λόγοις. Δι' ἐκείνου μὲν γὰρ τὸ σῶμα τρέφεται, διὰ δὲ τούτου ἡ ψυχὴ ζωοῦται. Οὐ γὰρ διὰ τοῦτο, φησὶ, πάρεσμεν, ὦ Μάρθα, ἵνα τὴν γαστέρα ἐμπλήσωμεν ποικίλων βρωμάτων, ἀλλ' ἵνα ψυχὰς ὠφελήσωμεν. Ὅρα δὲ τὴν τοῦ Κυρίου γνώμην. Οὐ πρότερον εἶπέ τι πρὸς τὴν Μάρθαν, πρὶν ἢ παρ' ἐκείνης λαβεῖν τὰς ἀφορμὰς τῆς ἐπιπλήξεως. Ἐπεὶ γὰρ ἐκείνη ἀποσπάσασθαι ἐπειρᾶτο τὴν ἀδελφὴν αὐτῆς ἀπὸ τῆς ἀκροάσεως, τότε ὁ Κύριος δραξάμενος D ἀφορμῆς, ἐπιπλήττει αὐτήν. Μέχρι γὰρ τότε ἡ φιλοξενία τιμητέα, μέχρις ὅτου οὐ περισπᾷ ἡμᾶς, καὶ ἀπαγάγει τῶν ἀναγκαιοτέρων. Ἐπὰν δὲ ἄρξηται κωλύειν ἡμᾶς ἀπὸ τῶν σπουδαιοτέρων, τηνικαῦτα ταύτης προτιμητέον τὴν τῶν θείων ἀκρόασιν, μᾶλλον δὲ εἰ δεῖ τὸ ἀκριβέστερον εἰπεῖν, οὐ τὴν φιλοξενίαν κωλύει ὁ Κύριος, ἀλλὰ τὴν ποικιλίαν καὶ τύρβην, τουτέστι τὸν περισπασμὸν, καὶ τὴν ταραχήν· ἐπεὶ τὴν λιτὴν ὑποδοχὴν ἐπαινεῖ. Ἵνα τί γὰρ, φησὶ, Μάρθα μεριμνᾷς, καὶ τυρβάζῃ πολλὰ, τουτέστι, περισπᾷ, ταράττῃ; Ἑνὸς ἔχομεν χρείαν τοῦ φαγεῖν ὅ τι δή ποτε, οὐχὶ ποικιλίας. Τινὲς δὲ τὸ, Ἑνός ἐστι χρεία, οὐ περὶ τοῦ φαγεῖν ἐνόησαν, ἀλλὰ τοῦ προσέχειν τῇ διδασκαλίᾳ. Δι' ὧν δὲ λέγει, διδάσκει τοὺς

ἀποστόλους ὁ Κύριος, ἵνα ὅταν εἰσέλθωσιν εἰς οἰκίαν τινός, μηδὲν ποικίλον ζητῶσιν, ἀλλ' ἀρκῶνται τῇ λιτῇ ὑποδοχῇ, μηδὲν πλέον ζητοῦντες, ἢ τὸ προσέχειν τῇ διδασκαλίᾳ· νόει δέ μοι, Μάρθαν μὲν τὴν πρακτικὴν ἀρετὴν, Μαρίαν δὲ τὴν θεωρίαν. Ἡ μὲν οὖν πρακτικὴ περισπασμοὺς ἔχει καὶ ὀχλήσεις, ἡ δὲ θεωρία, κυρία γενομένη τῶν παθῶν· Μαρία γὰρ, κυρία, ἑρμηνεύεται· εἰς τὴν τῶν θείων λόγων καὶ τῶν κριμάτων ἐποψίαν ἐνασχολεῖται μόνην. Πρόσχες δὲ καὶ τὸ, Παρακαθίσασα παρὰ τοὺς πόδας αὐτοῦ, ἤκουε τῶν λόγων αὐτοῦ. Οἱ μὲν γὰρ πόδες νοοῖντο ἂν εἰς τὴν πρακτικὴν ἀρετήν. Κινήσεως γὰρ καὶ πορείας εἰσὶν ἐνδεικτικοί. Τὸ δὲ καθίσαι, τῆς ἑδραιότητος σύμβολον. Ὅστις οὖν καθίσει παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, τουτέστιν, ὅστις ἑδραιωθῇ ἐν τῇ πρακτικῇ, καὶ τὴν τοῦ Ἰησοῦ πορείαν καὶ διαγωγὴν μιμησάμενος ἐν ταύτῃ στερεωθῇ, ἐκεῖνος μετὰ ταῦτα φθάνει εἰς τὴν ἀκοὴν τῶν θείων λογίων, ἤγουν τὴν θεωρίαν. Ἐπεὶ καὶ ἡ Μαρία πρῶτον καθίσασα, εἶθ' οὕτως ἤκουε τῶν λόγων. Σὺ τοίνυν, εἰ μὲν δύνασαι, εἰς τὴν τῆς Μαρίας τάξιν ἀνάβηθι, κυρία γενομένη τῶν παθῶν, καὶ εἰς θεωρίαν φθάσασα. Εἰ δὲ μή τοῦτό σοι δυνατὸν, Μάρθα γενοῦ, τῷ πρακτικῷ μέρει προσκειμένη, καὶ διὰ τούτου Χριστὸν ὑποδεχομένη. Ὅρα δὲ καὶ τὸ, «ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.» Ὁ μὲν γὰρ πρακτικὸς ἔχει ὃ ἀφαιρεθήσεται ἀπ' αὐτοῦ, τουτέστιν, αὐτὸ τοῦτο τὴν ἀσχολίαν, καὶ τὸν περισπασμόν· προκόπτων γὰρ καὶ φθάνων εἰς θεωρίαν, τοῦ περισπασμοῦ καὶ τῆς τύρβης ἐλευθεροῦται· ὥστε ἀφαιρεῖταί τι ἀπ' αὐτοῦ. Ὁ δὲ θεωρητικὸς οὐ στερεῖταί ποτε τῆς ἀγαθῆς ταύτης μερίδος, λέγω δὴ τῆς θεωρίας. Εἰς γὰρ ποῖον ἄλλο μεῖζον προκόψει, φθάσας εἰς αὐτὸ τὸ ἀκρότατον, λέγω δὴ τὸ Θεὸν βλέπειν, ὅπερ ἐστὶ θεουργεῖσθαι; Ὁ γὰρ Θεὸν βλέπειν ἀξιωθεὶς, θεὸς γίνεται· Τῷ ὁμοίῳ γὰρ τὸ ὅμοιον καταλαμβάνεται.

A nihil plus quærentes quam ut attendant doctrinæ. Intellige quoque per Martham virtutem practicam, per Mariam, contemplationem. Practice enim distractiones et turbationes fert : contemplatio vero domina fit affectionum. Maria enim domina interpretatur, ac in sola divinorum eloquiorum et judiciorum contemplatione occupata est. Animadverte autem et hoc, quod assidet juxta pedes Jesu, et audit sermones ejus. Etenim per pedes intelligunt virtutem practicam; motum enim et incessum ostendunt. Porro sessio, firmitatis symbolum est. Quisquis igitur sederit juxta pedes Jesu, et confirmatus fuerit in practica, ac imitatur vitam et conversationem Jesu, ille postea venit ad auditum divinorum sermonum, videlicet contemplationem: B quia et Maria primum sedet, deinde audit sermones. Tu igitur si quidem potes, in ordinem Mariæ ascende, et fias domina affectionum, et ad contemplationem veniens. At si hoc tibi non fuerit possibile, Martha esto, practicæ parti addictus, et per hoc Christum suscipiens. Vide autem hoc : « Quæ non auferetur ab ea. » Practicus enim habet quod a se auferatur, hoc est, distractionem et occupationem: proficiendo enim venit ad contemplationem, liberaturque a turbatione et distractione, et ita auferetur aliquid ab eo. Contemplator vero non privatur hac bona parte, contemplatione scilicet. In quod enim majus aliud proficeret, ubi in hoc venerit fastigium, divinam dico visionem, id quod est C deificari? Qui enim Dei visionem **353** assequitur, Deus fit. Simile enim simili comprehenditur.

## ΚΕΦΑΛ. ΙΑ'.

Περὶ προσευχῆς. Περὶ τοῦ ἔχοντος δαιμόνιον κωφόν. Περὶ τῆς ἐκ τοῦ ὄχλου ἐπαράσης φωνήν. Περὶ τῶν αἰτούντων σημεῖον. Περὶ τοῦ Φαρισαίου τοῦ καλέσαντος τὸν Ἰησοῦν. Περὶ τοῦ ταλανισμοῦ τῶν νομικῶν.

«Καὶ ἐγένετο, ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶπέ τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξε τοὺς μαθητὰς αὐτοῦ. Εἶπε δὲ αὐτοῖς· Ὅταν προσεύχησθε, λέγετε· Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέραν, καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.» Ζηλοῖ ὁ μαθητὴς Χριστοῦ τοὺς μαθητὰς Ἰωάννου, διὸ καὶ ζητεῖ διδαχθῆναι τρόπον προσευχῆς. Ὁ γοῦν Σωτὴρ διδάσκει, μὴ παρωσάμενος τὴν ἀξίωσιν τοῦ μαθητοῦ. Πάτερ ἡμῶν, φησὶν, ὁ ἐν τοῖς οὐρανοῖς. Ὅρα τὴν τῆς εὐχῆς δύναμιν. Εὐθὺς ἄνω σε ἀνάγει, καὶ πείθει σε, ἐπειδὴ ὀνομάζεις πατέρα τὸν Θεὸν, μὴ πάντη τῆς ὁμοιότητος ἀπολείπεσθαι, ἀλλὰ σπου-

## CAPUT XI.

*De oratione. De eo qui habebat dæmonium surdum. De muliere quæ vocem de turba extulit. De petentibus signum. De Pharisæo interpellante Jesum. De miseria legisperitorum.*

VERS. 1-4. « Et factum est cum oraret quodam in loco, ut cessavit, dixit quidam ex discipulis ejus ad eum : Domine, doce nos orare, sicut Joannes docuit discipulos suos. Et ait illis: Cum oratis, dicite : Pater noster, qui es in cœlis, sanctificetur D nomen tuum, veniat regnum tuum; fiat voluntas tua, quemadmodum in cœlo, sic etiam in terra; panem nostrum quotidianum da nobis quotidie; et remitte nobis peccata nostra, siquidem et nos remittimus omni debenti nobis. Et ne nos inducas in tentationem, sed libera nos a malo. » Imitatur discipulus Christi discipulos Joannis : idcirco et quærit ut doceatur modum orationis. Salvator autem, non repulsa discipuli prece, docet : Pater noster, inquit, qui es in cœlis. Vide orationis vim. Statim sursum te ducit, tibique persuadet, quoniam nominas Deum patrem, ne omnino similitudine ejus careas; sed enitaris fieri similis Patri. Non dixit autem, Pater meus, sed, Pater noster, ad

fraternitatis amorem te cohortans, et compellens omnes diligere tanquam communes fratres. Porro cum dixit, in cœlis, non Deum illic circumscribit, sed auditorem in cœlos subvehit, et a terrenis abducit. Sanctificetur vero nomen tuum, pro eo quod est, glorificetur, hoc est, fac vitam nostram in tuam esse gloriam. Nam sicut nomen Dei propter malos blasphematur, ita propter eos qui bonam agunt vitam glorificatur. Veniat regnum tuum. Malus deprecatur regnum Dei, nolens illud venire propter judicia quæ illic erunt : justus vero orat ut cito veniat, quo a tentationibus quæ hic sunt, liberetur et quiescat. Fiat autem voluntas tua, quemadmodum in cœlo ab angelis, ita et a nobis hominibus super terram. Angeli enim omnino juxta voluntatem Dei operantur. Docet quoque quotidianum panem solum quærendum, hoc est, eum qui substantiæ nostræ et vitæ conservandæ conducit : non superfluum, sed necessarium. Porro non intrare in tentationes; significat non temere prosiliendum in tentationes. Neque enim orare debemus Deum, ut immittat in nos tentationem, sed deprecandæ sunt, et si nobis acciderint, ferendæ fortiter. Dicere autem possumus, quod duo sint 384 genera tentationum. Aliæ enim sunt voluntariæ, ut ebrietas, homicidium, adulterium, aliæque affectiones: hisce enim tentationibus sponte nos submittimus. Involuntariæ vero sunt, quibus tyranni et validiores nos subjiciunt. Igitur a voluntariis tentationibus, hoc est, affectionibus, fugere nos oportet, et eas deprecari, et dicere, Ne inducas nos, hoc est, ne permittas nos incidere in tentationem, hoc est voluntariam tentationem. Sed libera nos a malo. Hic enim est qui et voluntarias et involuntarias infert tentationes. Ideo qui tentaris ab homine et vim pateris, ne putes hominem esse tibi auctorem tentationis, sed malignum. Ille enim est qui fratri persuadet ut in te sæviat et insaniat.

A δάζειν πρὸς τὸν Πατέρα ἐξομοιοῦσθαι. Οὐκ εἶπε δὲ, Πάτερ μου, ἀλλὰ Πάτερ ἡμῶν, εἰς φιλαδελφίαν σε διεγείρων, καὶ καταναγκάζων πάντας ἀγαπᾷν, ὡς κοινοὺς ἀδελφούς. Ἐν τοῖς οὐρανοῖς δὲ εἰπὼν, οὐ περιγράφει ἐκεῖ τὸν Θεὸν, ἀλλὰ τὸν ἀκροατὴν ἀνάγει εἰς οὐρανοὺς, καὶ ἀπάγει τῶν γηΐνων. Ἁγιασθήτω τὸ ὄνομά σου, ἀντὶ τοῦ, δοξασθήτω, τουτέστι, ποίησον ἡμῶν τὸν βίον εἰς δόξαν εἶναι σήν. Ὥσπερ γὰρ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται διὰ τοὺς κακοὺς, οὕτω δοξάζεται διὰ τοὺς ἀγαθὸν βίον ἔχοντας. Ἐλθέτω ἡ βασιλεία σου. Ὁ μὲν ἁμαρτωλὸς ἀπεύχεται τὴν βασιλείαν τοῦ Θεοῦ, μὴ βουλόμενος ταύτην ἐλθεῖν, διὰ τὰ ἐκεῖ δικαιωτήρια. Ὁ δὲ δίκαιος τοὐναντίον τάχιον αὐτὴν ἐλθεῖν εὔχεται, ὡς ἂν ἀπαλλαγεὶς τῶν ἐνταῦθα πειρατηρίων, ἀναπαύσηται. Γενέσθω δὲ B καὶ τὸ θέλημά σου, ὥσπερ ἐν οὐρανῷ ὑπὸ τῶν ἀγγέλων, οὕτω καὶ ὑφ' ἡμῶν τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς. Οἱ γὰρ ἄγγελοι πάντες κατὰ τὸ τοῦ Θεοῦ θέλημα πάντα ἐνεργοῦσι. Διδάσκει δὲ τὸν ἐπιούσιον ἄρτον ζητεῖν μόνον, τουτέστι, τὸν ἐπὶ τῇ οὐσίᾳ ἡμῶν, καὶ τῇ συστάσει τῆς ζωῆς συμβαλλόμενον· οὐ τὸν περιττὸν πάντως, ἀλλὰ τὸν ἀναγκαῖον. Τὸ δὲ, μὴ εἰσελθεῖν εἰς πειρασμὸν, τὸ μὴ ἐπιπηδᾷν τοῖς πειρασμοῖς σημαίνει. Οὐ γὰρ δεῖ ἡμᾶς παρακαλεῖν τὸν Θεὸν, ἵνα ἡμᾶς εἰς πειρασμὸν ἐμβάλῃ, ἀλλ' ἀπεύχεσθαι μὲν τοῦτο· ἐπὰν δὲ ἔλθῃ, γενναίως φέρειν. Ἔστι δὲ εἰπεῖν, ὅτι διττὸν τὸ εἶδος τῶν πειρασμῶν. Οἱ μὲν γὰρ ἑκούσιοι· οἷον μέθη, φόνος, μοιχεία, καὶ τἄλλα πάθη· τούτοις γὰρ τοῖς πειρασμοῖς ἑκόντες ἑαυτοὺς C ὑπεμβάλλομεν. Ἀκούσιοι δὲ πειρασμοὶ, οἷς οἱ τύραννοι καὶ βίαιοι ἡμᾶς ὑποβάλλουσιν. Ἀπὸ τοίνυν τῶν ἑκουσίων πειρασμῶν, τουτέστι τῶν παθῶν, φεύγειν δεῖ ἡμᾶς, καὶ τούτους ἀπεύχεσθαι, καὶ λέγειν, Μὴ εἰσενέγκῃς ἡμᾶς, τουτέστι, μὴ συγχωρήσῃς ἡμᾶς ἐμπεσεῖν εἰς πειρασμὸν, ἤγουν εἰς πάθος ἑκούσιον, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Οὗτος γάρ ἐστι καὶ τοὺς ἀκουσίους καὶ τοὺς ἑκουσίους πειρασμοὺς ἐπάγων. Διὸ μὴ ἀκουσίως πειραζόμενος ὑπὸ ἀνθρώπου, νόμιζε τὸν ἄνθρωπον εἶναί σοι αἴτιον τοῦ πειρασμοῦ, ἀλλὰ τὸν πονηρόν. Ἐκεῖνος γάρ ἐστιν ὁ πείθων τὸν ἄνθρωπον κατὰ σοῦ λυττᾷν καὶ μαίνεσθαι.

VERS. 5-8. « Et ait illis : Quis vestrum habebit amicum, et ibit ad illum media nocte, et dicet illi : Amice, da mihi mutuo tres panes, quoniam amicus meus venit de via ad me, et non habeo quod apponam illi. Et ille intus respondens dicat : Noli mihi molestus esse, jam ostium clausum est, et pueri mei mecum sunt in cubili : non possum surgere, et dare tibi. Dico vobis, etiam si non daturus sit illi surgens eo quod amicus ejus sit, propter improbitatem tamen ejus surget, ac dabit illi quotquot habet opus. » Parabolam hanc et exemplum dicit Dominus, erudiens nos ne segniter oremus. Quid igitur vult parabola? Mediam noctem quidem inquit esse extremum vitæ, ad quod cum homines pervenerint sensum boni accipiunt, et ad Deum festinant : qui amicus est, omnes diligens, et omnes volens salvos fieri. Igitur multi accedunt in media nocte, hoc est, in extrema vita, ad Deum, ut ad amicum, et dicunt ei : Da mihi tres panes,

« Καὶ εἶπε πρὸς αὐτούς· Τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου, καὶ εἴπῃ αὐτῷ· Φίλε χρῆσόν μοι τρεῖς ἄρτους, ἐπειδὴ φίλος παρεγένετο ἐξ ὁδοῦ πρὸς μὲ, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ. Κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ· Μή μοι D κόπους πάρεχε, ἤδη ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ' ἐμοῦ εἰς τὴν κοίτην εἰσίν, οὐ δύναμαι ἀναστὰς δοῦναί σοι. Λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς διὰ τὸ εἶναι αὐτοῦ φίλον, διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς δώσει αὐτῷ ὅσων χρῄζει. » Παραβολήν τινα καὶ ὑπόδειγμα λέγει ὁ Κύριος, παιδεύων ἡμᾶς ἀόκνως προσεύχεσθαι. Τί οὖν σημαίνει ἡ παραβολή; Μεσονύκτιον μέν φησιν εἶναι τὰ ἔσχατα τοῦ βίου, ἐν οἷς οἱ ἄνθρωποι γενόμενοι πρὸς συναίσθησιν ἔρχονται τοῦ καλοῦ, καὶ προστρέχουσι Θεῷ. Οὗτος γάρ ἐστιν ὁ φίλος, ὁ πάντας φιλῶν, καὶ θέλων σωθῆναι. Προσέρχονται τοίνυν πολλοὶ ἐν τῷ μεσονυκτίῳ, τουτέστιν ἐν τῷ ἐσχάτῳ βίῳ, τῷ Θεῷ, ὡς φίλῳ, καὶ λέγουσι· Δὸς τρεῖς ἄρτους, τὴν εἰς

Τριάδα πίστιν. Φίλος γὰρ παραγένετο τουτέστιν, ὁ ἄγγελος ὁ τὴν ψυχὴν παραλαμβάνων. Φίλος δὲ καὶ πᾶς ἄγγελος, καθὰ δὴ καὶ ὁ Κύριός φησι· Χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ σωτηρίᾳ ἀνθρώπου. Τὰ δὲ παιδία τὸ ἐπὶ τῆς κλίνης ἀναπαυόμενα, εἰσὶν οἱ στραφέντες, καὶ γεγονότες ὡς τὰ παιδία, καὶ ἠξιωμένοι τῷ Κυρίῳ συναναπαύεσθαι. Ἀναίδειαν δὲ λέγει τὴν μεθ' ὑπομονῆς ἐπιτεταμένην προσευχήν. Νόει δὲ καὶ ἄλλως, μεσονύκτιον μὲν, τὴν ἀκμὴν, καὶ τὸ μεσαίτατον τῶν πειρασμῶν. Νὺξ μὲν γὰρ πᾶς πειρασμὸς, μεσονύκτιον δὲ πάντως τὸ μέσον τῶν πειρασμῶν. Ὅταν οὖν τις ἐν μέσοις τοῖς πειρασμοῖς γένηται, προσέρχεται τῷ φιλοῦντι ἡμᾶς Θεῷ, καὶ λέγει· Χρῆσόν μοι τρεῖς ἄρτους, τὴν σωτηρίαν τοῦ σώματος, καὶ τῆς ψυχῆς, καὶ τοῦ πνεύματος. Ἀπὸ γὰρ τῶν πειρασμῶν δέος, μὴ κινδυνεύσῃ ταῦτα τὰ τρία. Τίς δὲ ὁ φίλος ὁ παραγενόμενος ἐξ ὁδοῦ; Ἢ πάντως ὁ Κύριος ὁ δοκιμάζων ἡμᾶς ἐν τοῖς πειρασμοῖς, καὶ θέλων φαγεῖν τὴν ἡμετέραν σωτηρίαν; Οὐκ ἔχει δὲ τί παραθήσει τούτῳ ὁ ἐν τοῖς πειρασμοῖς ἐμπεσὼν, καὶ ἀσθενῶν ἀφ' ἑαυτοῦ ἀντιστῆναι τούτοις, καὶ θεραπεῦσαι Θεόν. Τὸ δὲ κλεισθῆναι τὴν θύραν, τοῦτο σημαίνει, ὅτι δεῖ πρὸ τῶν πειρασμῶν ἡμᾶς εἶναι ἡτοιμασμένους, ἐπὰν δὲ ἐμπέσωμεν, κέκλεισται ἡ τῆς ἑτοιμασίας θύρα, καὶ ἀνέτοιμοι εὑρισκόμενοι, εἰ μὴ ὁ Θεὸς βοηθήσει κινδυνεύσωμεν. Παιδία δὲ, καθὰ προαπεδόθησαν, εἶεν ἂν οἱ γενόμενοι υἱοὶ τοῦ Θεοῦ δι' ἀρετῆς, καὶ ἀνακλινόμενοι, καὶ ἀναπαυόμενοι ἐν Θεῷ.

« Κἀγὼ ὑμῖν λέγω· Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; Ἢ καὶ ἰχθὺν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ; Ἢ καὶ ἐὰν αἰτήσῃ ὠὸν, μὴ ἐπιδώσει αὐτῷ σκορπίον; Εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὁ ἐξ οὐρανοῦ δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν! » Ὅρα τὸ ἀκριβὲς τῆς λέξεως. Οὐκ εἶπεν, ὅτι Αἰτήσασθε, καὶ δοθήσεται, ἀλλ', Αἰτεῖτε, ἀντὶ τοῦ, διηνεκῶς ζητεῖτε. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει. Ἆρα οὖν ὁ ἀσύμφορα αἰτῶν λαμβάνει; Οὐχί· πρῶτον μὲν γὰρ ἡ τῶν ἀσυμφόρων αἴτησις οὐδὲ αἴτησις ἂν κληθείη πρὸς τὸν Θεόν. Ὁ γὰρ τῷ Θεῷ προσευχόμενος, ὀφείλει αἰτεῖσθαι ἃ ἐκεῖνος δίδωσιν. Ὅταν δέ τις τὰ ἀσύμφορα αἰτεῖται, οὐ πρὸς τὸν Θεὸν ποιεῖται τὴν αἴτησιν· οὗτος γὰρ ἀσύμφορα οὐ δίδωσιν. Ἔπειτα ἄκουε καὶ αὐτοῦ τοῦ Κυρίου, πῶς διδάσκει ἡμᾶς αἰτεῖσθαι ἃ δεῖ. Ἄρτον γὰρ, φησὶν, ὁ υἱὸς καὶ ἰχθὺν καὶ ὠὸν αἰτεῖται. Ὥσπερ οὖν ταῦτα ἀνθρώπου ἐστὶ βρῶσις, οὕτω καὶ τὰ αἰτήματα ἡμῶν ὀφείλουσιν εἶναι συμφέροντα καὶ συμβαλλόμενα ἡμῖν. Νόει δέ μοι, ὅτι ἄρτον μὲν αἰτεῖται πᾶς ὁ τὴν εἰς Τριάδα πίστιν ἀποκαλυφθῆναι αὐτῷ, καὶ τὴν ὀρθότητα τῶν δογμάτων αἰτῶν· ἄρτος γὰρ ταῦτά εἰσιν ὡς στηρίζοντα καρδίαν. Ἰχθὺν δὲ αἰτεῖ ὁ ἐν τῷ πελά-

hoc est, fidem in Trinitatem. Amicus enim meus advenit, hoc est, angelus qui animam assumit. Amicus autem est omnis angelus, sicut et Dominus dixit quod gaudium factum est in cœlo de salute hominis. Pueri autem qui in lecto quiescunt, sunt hi qui conversi sunt, et facti sunt ut pueri, et digni habiti sunt qui quiescerent cum Domino. Impudentiam autem et improbitatem dicit orationem attentam cum sustinentia. Intellige et aliter, per mediam noctem, ingentem tentationem. Nox enim omnis tentatio : media autem nox, omnis tentationis fervor. Igitur cum quis in medias tentationes pervenerit, accedit ad Deum nos diligentem et dicit : Commoda mihi tres panes, salutem corporis scilicet, et animæ, et spiritus. Timetur enim ne tria hæc per tentationes periclitentur. Quis autem amicus est qui venit de via? Omnino Dominus, qui probat nos in tentationibus, et avidus est edendi de salute nostra? 356 Non habet autem quod apponat amico, is qui in tentationes inciderat, et infirmus per se ut obsistat illis, et curet ea quæ sunt Dei. Claudi januam signat quod oporteat ante tentationes nos esse præparatos. Cum autem inciderimus, clausa est præparationis janua, et qui inveniuntur impræparati, nisi Deus adjuverit, periclitabuntur. Pueri autem, sicut prius dictum, hi sunt, qui per virtutem facti sunt filii Dei, et recumbunt ac quiescunt cum Deo.

VERS. 9-13. « Et ego dico vobis : Petite, et dabitur vobis ; quærite, et invenietis ; pulsate, et aperietur vobis. Omnis enim qui petit, accipit : et qui quærit, invenit : et pulsanti aperietur. Quis autem ex vobis pater, a quo si filius petierit panem, num lapidem dabit illi ? Aut si piscem, num pro pisce serpentem dabit illi? Aut si petierit ovum, num porriget illi scorpium ? Si ergo vos, cum sitis mali, nostis data bona dare filiis vestris : quanto magis Pater vester qui in cœlis est, dabit Spiritum sanctum poscentibus se! » Videte verborum diligentiam. Non dixit, petetis, et dabitur, sed, petite, hoc est, continuo quærite. Omnis enim qui petit, accipit. Nunquid ergo et qui petit quæ non expediunt accipit ? Non. Primo igitur rerum noxiarum petitio non vocatur petitio apud Deum. Nam qui Deum orat, debet petere quæ ille dat. Quando autem quis noxia petit, non ad Deum petitionem facit : ipse enim noxia non dat. Insuper audi etiam ipsum Dominum quomodo doceat nos petere quæ oportet. Panem, inquit, et piscem et ovum filius petit. Sicut igitur hæc hominis sunt cibus [49], ita et petitiones nostræ utiles nobis esse debent. Intellige hic quod panem petat omnis qui fidem in Trinitatem et rectitudinem dogmatum revelari sibi petit. Hæc enim cor sicut panis confirmant. At piscem petit, qui in mari vitæ hujus est, et quærit a Deo adjutorium, ut in mediis tentationibus non submergatur, sed vivat,

[49] Psal. CIII, 14.

et sicut piscis custodiatur. Ovum autem petit, qui sibi virtuosarum animarum fructus dari petit. Quæ sane animæ avibus conferuntur, quæ alas sumpserunt, et spiritu alleviatæ super terrena sese extulerunt.

A γει μὲν τοῦ βίου ὤν, ζητῶν δὲ τὴν παρὰ τοῦ Θεοῦ συνέργειαν, ἵνα ἐν μέσῳ τῶν πειρασμῶν ἀκαταβάπτιστος, καὶ ζῶν ὥσπερ ἰχθὺς διαφυλαχθῇ. Ὠὸν δὲ αἰτεῖ ὁ τὰ γεννήματα τῶν ἐναρέτων ψυχῶν δοθῆναι αὐτῷ ζητῶν, αἵτινες δηλαδὴ ψυχαὶ ὄρνισιν ἂν εἰκότως παραβάλλοιντο πτέρυγας λαβοῦσαι, καὶ πνεύματι κουφισθεῖσαι, καὶ ὑπερανιπτᾶσαι τὴν γῆν.

VERS. 14-20. « Et erat ejiciens dæmonium, et istud erat mutuum: cumque ejecisset dæmonium, locutus est mutus: et admiratæ sunt turbæ. Quidam autem ex eis dixerunt: Per Beelzebul principem dæmoniorum ejecit dæmonia. Et alii tentantes, signum de cœlo quærebant ab eo. Ipse autem cum sciret cogitationes eorum, dixit eis: Omne regnum adversus seipsum divisum desolatur, et domus super domum cadit. Quod si Satanas quoque adversus seipsum divisus est, quomodo stabit regnum ejus, quia dicitis me per Beelzebul ejicere dæmonia? Quod si ego Beelzebul præsidio dæmonia ejicio, filii 356 vestri cujus præsidio ejiciunt? Ideo ipsi judices vestri erunt. Porro si digito Dei ejicio dæmonia, profecto pervenit ad vos regnum Dei. » Κωφὸς, mutus, frequenter dicitur qui non loquitur (*a*); dicitur autem et qui non audit: proprie vero, qui neque audit, neque loquitur. Et sane qui a nativitate non audiunt, iidem etiam necessario non loquuntur. Illa enim loquimur, quæ per auditum loqui didicimus. Quando autem quis non audit, non mirum si neque loquatur. Verum secus est si casu cujuspiam auditus offendatur. Nam eum qui talis est, loqui nihil prohibet. Unde qui ad Dominum adductus est, et lingua et auribus impeditus erat. Figura autem hic est humanæ naturæ, quæ, a dæmonibus detenta, audire non potest sermonem Dei, multoque minus eloqui valet. At Dominus postquam venerit, dæmonesque effugarit, dæmoniacas inquam affectiones et opera, fecit nos audire et eloqui veritatem: non solum enim sermones Dei audire oportet, sed etiam aliis loqui. Audiamus igitur qui habemus in nobis diabolica opera, et putamus nos docere alios et cupimus ab hominibus salutari Rabbi. Egresso enim dæmonio, verus sermo et doctrina fit. Quandiu autem intra nos fuerit dæmonis operatio, etiamsi videamur loqui, non loquimur. Pharisæi sane miraculum arguunt, et Dominum ut magum contumelia afficiunt. Dicunt enim habere eum amicum principem dæmoniorum, atque illius cooperatione ejicere dæmonia. Ad quos Dominus, Quomodo, inquit, potest dæmon ejicere alium dæmonem? Hoc enim esset destructio regni ejus Siquidem regnum illi putant et quietem, habitare in hominibus: et si ejicit eos princeps ipsorum, manifestum quod seipsum destruit. Etenim omne regnum divisum et seditiosum destruitur, et domus divisa cadit. Domum autem sive ædificium intellexeris bene: nam ædificium quandiu cohibet se, et servat continuitatem, consistit: postquam autem etiam muri dispescunt, cadit: sive eos qui domum inhabitant intellexeris. Nam hi quandiu

« Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κωφόν. Ἐγένετο δὲ, τοῦ δαιμονίου ἐξελθόντος, ἐλάλησεν ὁ κωφὸς, καὶ ἐθαύμασαν οἱ ὄχλοι. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. Ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ. Αὐτὸς δὲ εἰδὼς τὰ διανοήματα αὐτῶν, εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται, καὶ οἶκος ἐπὶ οἶκον πίπτει. Εἰ δὲ καὶ Σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ, ὅτι λέγετε B ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια; Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; Διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται. Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. » Κωφὸς λέγεται μὲν ὡς ἐπὶ τὸ πολὺ ὁ μὴ λαλῶν, λέγοιτο δ' ἂν καὶ ὁ μὴ ἀκούων, κυριώτερον δὲ ὁ μήτε ἀκούων, μήτε λαλῶν. Καὶ οἵ γε ἐκ γενετῆς μὴ ἀκούοντες, οὐδὲ λαλοῦσιν· ἐξ ἀνάγκης γὰρ τοῦτο συμβαίνει αὐτοῖς. Ἐκεῖνα γὰρ λαλοῦμεν, ὅσα διὰ τοῦ ἀκούειν μανθάνομεν δηλαδή. Ὅταν δὲ τις οὐκ ἀκούῃ, εἰκότως οὐδὲ λαλεῖ, πλὴν εἰ μὴ πολλάκις ὑπὸ πάθους ὕστερον ἐβλάβη τὰς ἀκοάς· τὸν τοιοῦτον γὰρ οὐδὲν κωλύει λαλεῖν. Ὁ τοίνυν τῷ Κυρίῳ προσαχθεὶς ἀμφότερα ἦν, καὶ τὴν γλῶτταν καὶ τὰ C ὦτα κωφός. Σύμβολον δὲ οὗτος τῆς ἀνθρωπίνης φύσεως, ἥτις ὑπὸ δαιμόνων κατεχομένη, οὔτε ἀκούειν ἠνείχετο λόγων Θεοῦ, οὔτε πολλῷ μᾶλλον ἐκλαλεῖν ἠδύνατο. Ἀλλ' ὁ Κύριος ἐλθὼν, καὶ τὰ δαιμόνια ἐξελάσας, τὰς ἐμπαθεῖς καὶ δαιμονιώδεις πράξεις, ἐποίησεν ἡμᾶς λαλεῖν, καὶ κηρύττειν τὴν ἀλήθειαν· δεῖ γὰρ οὐ μόνον ἀκούειν Θεοῦ λόγους, ἀλλὰ καὶ ἑτέροις λαλεῖν. Ἀκούσωμεν οὖν οἱ ἔχοντες μὲν ἐν ἑαυτοῖς τὰς δαιμονιώδεις πράξεις, οἰόμενοι δὲ καὶ ἑτέρους διδάσκειν, καὶ ἐφιέμενοι ὑπὸ τῶν ἀνθρώπων καλεῖσθαι Ῥαββί. Ἐξελθόντος γὰρ τοῦ δαιμονίου, τότε ἡ ἀληθὴς λαλιὰ ἤτοι διδασκαλία γίνεται· ἕως δ' ἂν ἔσω ἡμῶν εἴη ἡ τοῦ δαίμονος πρᾶξις, κἂν δοκῶμεν λαλεῖν, οὐ λαλοῦμεν. Οἱ Φαρισαῖοι δὲ διαβάλλουσι τὸ θαῦμα, καὶ ὡς γόητα τὸν Κύριον ὑβρίζουσι. Τὸν γὰρ ἄρχοντα, φασὶ, τῶν δαιμονίων ἔχων φίλον, D τῇ συνεργίᾳ ἐκείνου ἐκβάλλει τὰ δαιμόνια. Πρὸς οὓς ὁ Κύριος, Πῶς φησὶ, δυνατὸν δαίμονα ἐκβάλλειν ἄλλον δαίμονα; Τοῦτο γὰρ κατάλυσις ἂν εἴη τῆς βασιλείας αὐτοῦ. Εἰ γὰρ βασιλείαν μὲν αὐτοὶ ἡγοῦνται καὶ ἀνάπαυσιν τὸ κατοικεῖν ἐν ἀνθρώποις, ἐκβάλλει δὲ αὐτοὺς ὁ ἄρχων αὐτῶν, πρόδηλον ὅτι ἑαυτὸν καταλύει. Καὶ γὰρ πᾶσα βασιλεία μερισθεῖσα καὶ στασιάζουσα καταλύεται, καὶ οἶκος μερισθεὶς πίπτει. Οἶκον δὲ εἴτε τὸ οἰκοδόμημα νοήσεις καλῶς. Καὶ γὰρ ἡ οἰκοδομὴ ἕως μὲν φυλάττει τὴν

(*a*) In edit. Lut. desunt verba, *qui non loquitur*.

συνέχειαν, ἵσταται, ἐπὰν δὲ διαστῶσιν ἀπ' ἀλλήλων A οἱ τοῖχοι, πίπτει, εἴτε οἶκον νοήσεις τοὺς ἐν τῇ οἰκίᾳ, καὶ οὗτοι ἕως μὲν εἰρηνεύουσι, συνεστήκασι, ὁπὰν δὲ διαστῶσι κατ' ἀλλήλων, πίπτουσιν. Ἔστω δὲ, ὅτι ἐκβάλλω ἐγὼ τὰ δαιμόνια ἐν τῷ Βεελζεβοὺλ, οἱ υἱοὶ ὑμῶν, τουτέστιν οἱ ἀπόστολοι, ἐν τίνι ἐκβάλλουσιν; Ἢ δῆλον, ὅτι ἐν τῷ ἐμῷ ὀνόματι; Πῶς οὖν ἐμὲ λέγετε, ὅτι ἐν τῷ Βεελζεβοὺλ ἐκβάλλω ἐγὼ, ὡς χρείαν ἔχων τῆς ἐκείνου δυνάμεως, ὅπου γε οἱ ὑμέτεροι υἱοὶ, ἤγουν οἱ ἀπόστολοι, ἐν τῷ ὀνόματί μου ἐκβάλλουσιν; Ἄρα αὐτοὶ κατακρινοῦσιν ὑμᾶς. Πρόδηλον γὰρ ὡς ἐὰν ἐκεῖνοι ἐκβάλλωσιν ἐν τῷ ὀνόματί μου, ἐγὼ τῆς ἑτέρου δυνάμεως οὐ χρήζω. Ἐν δακτύλῳ γοῦν Θεοῦ, τουτέστιν ἐν Πνεύματι ἁγίῳ, ἐκβάλλω, καὶ οὐκ ἐν πνεύματι πονηρῷ. Δάκτυλον δὲ B τὸ Πνεῦμα λέγει, ἵνα μάθῃς ὅτι ὥσπερ ὁ δάκτυλος ὁμοούσιός ἐστι τῷ ὅλῳ σώματι, οὕτω καὶ τὸ Πνεῦμα ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Μήποτε δὲ ἐπειδὴ χεὶρ Θεοῦ λέγεται ὁ Υἱὸς, ἐπανεπαύσαντο δὲ ἐπ' αὐτὸν αἱ τοῦ Πνεύματος ἑπτὰ ἐνέργειαι οὐχ ὡς ἐνεργούμενον, ἀλλ' ὡς ὁμοούσιον τῷ Πνεύματι. Ἓν δὲ τῶν τοῦ Πνεύματος χαρισμάτων καὶ ἐνεργειῶν ἐστι τὸ ἰᾶσθαι· διὰ τοῦτο λέγεται ἐν δακτύλῳ Θεοῦ ἐκβάλλειν τὰ δαιμόνια, τουτέστι τῷ πνευματικῷ χαρίσματι. Ὥσπερ γὰρ ὁ δάκτυλος μέρος τῆς χειρὸς, οὕτω καὶ τὸ πνεῦμα τῶν ἰάσεων μέρος ἦν ὧν εἶχεν ὁ Ἰησοῦς πνευμάτων, ἤτοι τῶν τοῦ πνεύματος ἐνεργειῶν. Ἐὰν οὖν ἐκβάλλω, φησὶ, τὰ δαιμόνια θείᾳ ἐνεργείᾳ, ἔφθασεν ἄρα ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. Ὅπερ τοιοῦτον ἔχει τὸν νοῦν, ὅτι καταλύεται λοιπὸ ἡ βασιλεία τοῦ διαβόλου, καὶ βασιλεύει ὁ Θεὸς ὁ τοὺς δαίμονας ἐκδιώκων. Ἄκουε γὰρ τί διὰ τῶν ἑξῆς λέγει.

pacifici sunt, conservantur : cum autem inter se dissident, cadunt. Esto autem quod ego ejiciam dæmonia in Beelzebul, filii vestri, hoc est apostoli, in quo ejiciunt? Nonne manifestum quod in meo nomine? Quomodo igitur dicitis quod ego ejiciam in Beelzebul, quasi opus habeam illius virtute, cum filii vestri, sancti scilicet apostoli, in meo nomine dæmonia ejiciant? Igitur ipsi condemnabunt vos. Manifestum enim quod si illi in meo nomine ejiciunt dæmonia, mihi non opus sit virtute alterius. In digito ego Dei, hoc est, in Spiritu sancto ejicio, et 387 non in malo spiritu. Digitum autem Spiritum dicit, ut scias quod sicut digitus ejusdem substantiæ est cum toto corpore, ita et Spiritus ejusdem substantiæ est cum Patre et Filio. Fortassis autem et ideo, quia Filius dicitur manus Dei, et requieverunt super eum septem efficaciæ Spiritus, non quod per Spiritum agatur, sed quia consubstantialis est Spiritui. Unum autem ex donis et efficaciis Spiritus sancti est sanare : propterea dicitur in digito Dei, hoc est, in spirituali dono ejicere dæmonia. Nam sicut digitus pars est manus, ita spiritus sanationum pars fuit spirituum quos habuit Christus, hoc est operationum spiritus. Propterea si ejicio, inquit, dæmonia efficacia divinæ virtutis, pervenit utique in vos regnum Dei. Quod talem habet sensum : Destructum nunc est regnum diaboli, regnatque Deus qui dæmones effugat. Audi enim quid deinceps dicat.

« Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν C ἑαυτοῦ αὐλὴν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτῷ. Ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτὸν, τὴν πανοπλίαν αὐτοῦ αἴρει, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν. Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρίσκων λέγει· Ὑποστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον. Καὶ ἐλθὼν εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον, τότε πορεύεται, καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. » Ἦν μὲν, φησὶ, πρὸ τῆς ἐμῆς παρουσίας ἰσχυρὸς ὁ Σατανᾶς, D καὶ ἐφύλασσε τὴν ἑαυτοῦ αὐλὴν, τουτέστι, κατεκράτει τῆς ἀνθρωπίνης φύσεως βεβαίως καὶ ἀσφαλῶς· ἐπὰν δὲ ἦλθον ἐγὼ ὁ ἰσχυρότερος αὐτοῦ, καὶ νενίκηκα τὸν κόσμον, καὶ τὴν πανοπλίαν αὐτοῦ, ἐφ' ᾗ ἐπεποίθει, ὅπερ ἐστὶ πάντα τὰ εἴδη τῆς ἁμαρτίας· αὕτη γὰρ ὅπλα τοῦ διαβόλου, καὶ ταύτῃ θαῤῥῶν ἐνίσχυε κατὰ τῶν ἀνθρώπων· ταύτην οὖν τὴν πανοπλίαν αὐτοῦ διέῤῥηξα ἀναμάρτητος εὑρεθεὶς, καὶ ἔκτοτε ἠσθένησε. Καὶ τὰ σκῦλα αὐτοῦ, ἤτοι τοὺς ἀνθρώπους, οὓς εἶχεν ὡς λάφυρα, ἀπέσπασα ἀπ' αὐτοῦ, καὶ διαδίδωμι ἄλλον ἄλλῳ ἀγγέλῳ πιστῷ φύλακι, ἵνα ἀντὶ τοῦ δαίμονος, ᾧ ἐτυραννεῖτο, ἔχῃ αὐτὸν ὁ ἄγγελος. Καὶ ἄλλως δέ· Τίνα κοινωνίαν ἔχω ἐγὼ πρὸς τὸν Βεελζε-

VERS. 21-26. « Cum fortis armatus custodit atrium suum, in pace sunt ea quæ possidet. Ubi vero fortior eo superveniens vicerit eum, universa arma ejus aufert, in quibus confidebat, et spolia ejus distribuit. Qui non est mecum, contra me est : et qui non colligit mecum, dispergit. Cum immundus spiritus exierit ab homine, ambulat per loca arentia, quærens requiem, et non inveniens, dicit: Revertar in domum meam unde exivi. Et cum venerit, invenit eam scopis mundatam atque ornatam: tunc vadit, et assumit septem alios spiritus nequiores ipso, et ingressi habitant ibi, et fiunt extrema hominis illius pejora primis. » Fuit quidem, inquit, ante adventum meum fortis Satanas, et custodiebat atrium suum, hoc est, prævalebat et imperabat humanæ naturæ fortiter et secure. Postquam autem ego veni illo fortior, et vici mundum omniaque arma ejus in quibus fidebat, omnia scilicet peccatorum genera : illa enim arma sunt diaboli in quibus fidebat et prævalebat adversus homines : arma igitur, inquam, illa ejus diripui ego, qui sine peccato inventus, et ex eo tempore debilis factus est, et spolia ejus, hoc est homines quos habebat quasi spolia, ab eo rapui, et trado ea, aliud alii angelo fido custodi, ut pro dæmone, cujus tyrannidem tulerat, habeat angelum. Vel aliter : Egone communionem cum Beelzebul habeo? Meum opus est congregare filios Dei dispersos, illius vero congregatos disper-

gere. Quomodo igitur de me cogitatis quod communionem habeam cum Satana? Et profecto hæc cogitatio hinc oritur quod dæmones magis nunc vos quam olim premant. Etenim habuistis etiam olim immundum spiritum, qui habitabat in vobis quando idola colebatis, et prophetas occidebatis; et visus est postea 358 exire a vobis: at nunc rediit in domum suam, hoc est animas vestras, cum septem spiritibus, hoc est multis: Scriptura enim septem pro multis usurpat: fecitque vobis extrema pejora primis. Cum enim idola coleretis, prophetas occidebatis, nondum aperte injuria afficiebatis Filium Dei, qui nunc propter vos in carne apparuit. Nunc autem quæ spes salutis quando in incarnato Filio Dei, qui et propter vos miracula operatus est, in tantam ingratitudinem et contumeliam prorupistis? Porro loca inaquosa, animæ sunt eorum qui nihil aquosum et dissolutum habent, sed aridæ et sollicitæ sunt, in quibus nullam quietem invenit spiritus immunditiæ. Et quoniam in talibus animabus malignus nullum domicilii locum invenit, ad Judæos revertitur, et fiunt ipsi posteriora deteriora primis: neque adhuc habent prophetas: occiderunt enim Verbum: neque unctionem: Christum enim crucifixerunt. Hæc enim in illis olim apparebant, quamvis idola colerent: nunc autem quia in Filium Dei peccarunt, omnibus illi privati sunt.

A βούλ; Ἐμὸν ἔργον ἐστὶ, τὸ συνάγειν τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα, ἐκείνου ἔργον, τὸ τὰ συνηγμένα σκορπίζειν. Πῶς οὖν τοιαῦτα περὶ ἐμοῦ λογίζεσθε, ὅτι κοινωνίαν ἔχω πρὸς τὸν Σατανᾶν; Ἀλλ' ὄντως ὁ τοιοῦτος λογισμὸς ὑμῖν συνέβη ἀπὸ τοῦ μᾶλλον ὑμᾶς δαιμονᾷν. Καὶ γὰρ εἴχετε μὲν καὶ πρώην τὸ ἀκάθαρτον πνεῦμα ἐνοικοῦν ἐν ὑμῖν, ὅτε εἰδωλολατρεῖτε, καὶ τοὺς προφήτας ἐφονεύετε· εἶτα ἔδοξεν ἐξελθεῖν ἐξ ὑμῶν, εἶτα νῦν ὑποστρέψαν εἰς τὸν ἑαυτοῦ οἶκον, τουτέστι τὰς ὑμετέρας ψυχὰς, μετὰ πνευμάτων ἑπτὰ, ἤγουν πολλῶν· τὸ γὰρ ἑπτὰ, ἀντὶ τοῦ, πολλὰ, νοεῖται παρὰ τῇ Γραφῇ· ἐποίησεν ὑμῖν τὰ ἔσχατα χείρονα τῶν πρώτων. Ὅσῳ τότε μὲν ὅταν εἰδώλοις ἐλατρεύετε, τοὺς προφήτας ἀπεκτιννύετε, B καὶ οὔπω οὐδὲν εἰς τὸν τοῦ Θεοῦ Υἱὸν προδήλως δι' ὑμᾶς ἐν σαρκὶ φανέντα ὑβρίζετε. Νῦν δὲ ποία ἐλπὶς σωτηρίας, ὅτε καὶ σαρκωθέντος τοῦ Υἱοῦ, καὶ δι' ὑμᾶς θαυματουργοῦντος, ἐπὶ τῆς αὐτῆς ἀγνωμοσύνης καὶ ὕβρεως ἑστήκατε; Ἄνυδροι δὲ τόποι, αἱ τῶν μηδὲν ὑδαρὲς ἐχόντων ψυχαὶ μηδὲ ἔκλυτον, ἀλλὰ καὶ ξηραὶ, καὶ μεμεριμνημέναι, ἐν αἷς οὐδεμίαν εὑρίσκει τὸ πνεῦμα τῆς ἀκαθαρσίας ἀνάπαυσιν. Ἐπεὶ τοίνυν ἐν ταῖς τοιαύταις ψυχαῖς οὐδεμίαν ἐνοικήσεως χώραν ἔχει ὁ πονηρὸς, ἐπὶ τοὺς Ἰουδαίους τρέπεται, καὶ γίνεται αὐτῶν τὰ ἔσχατα χείρονα τῶν πρώτων· οὐκέτι γὰρ παρ' αὐτοῖς προφῆται· ἀπέκτειναν γὰρ τὸν λόγον· οὐκέτι χρίσμα· τὸν γὰρ Χριστὸ ἐσταύρωσαν. Ταῦτα δὲ ἐν αὐτοῖς ὡρῶντο πρώην, εἰ καὶ εἰδωλολάτρουν, νῦν δὲ ἐπεὶ εἰς τὸν Υἱὸν τοῦ Θεοῦ ἥμαρτον πάντων ἐστέρηνται.

VERS. 27-32. « Factum est autem, cum hæc diceret, extollens vocem quædam mulier de turba, dixit illi: Beatus venter qui te portavit, et ubera quæ suxisti. At ille dixit: Quinimo, beati qui audiunt sermonem Dei, et custodiunt illum. Turbis autem condensantibus se cœpit dicere: Natio hæc mala est: signum quærit, et signum non dabitur ei, nisi signum Jonæ prophetæ. Nam sicut Jonas signum fuit Ninivitis, ita etiam Filius hominis erit nationi isti. Regina austri surget in judicio cum viris nationis hujus, et condemnabit illos: quia venit a finibus terræ ut audiret sapientiam Solomonis, et ecce plus quam Solomon hoc in loco. Viri Ninivitæ surgent in judicio cum natione hac, et condemnabunt illam, quia ad pœnitentiam adducti sunt prædicatione Jonæ: et ecce plus quam Jona hoc in loco. » Pharisæis et Scribis miracula taxantibus, mulier simplex doloque carens illa celebrat. Ubi autem sunt qui dicunt Dominum apparenter tantum apparuisse? Hæc igitur testis sit quod et ubera suxerit. Ipse vero beatos dicit illos qui custodiunt sermonem Dei, non destituens beatitudine Matrem suam, absit: sed ostendit quod etiam illi nulla utilitas futura sit ex eo quod peperit et lactaverit ipsum, nisi virtutes alias omnes habeat. Insuper et hæc tempestive dicit. Quia enim invidi et inobedientes arguebant alios qui sermones ejus audiebant, ideo Christus contra beatos eos dicit qui audiunt. Fortassis autem et propter sabbatum surdum hæc dicit: ut et ipse cum audierit, faciat sermonem, et non fiat ei in

C Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ, οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε· Μενοῦνγε, μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν. Τῶν δὲ ὄχλων ἐπαθροιζομένων, ἤρξατο λέγειν· Ἡ γενεὰ αὕτη πονηρά ἐστι, σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Καθὼς γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευΐταις, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύτῃ. Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτοὺς, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος, καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε. Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν D τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτὴν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. » Τῶν Φαρισαίων καὶ Γραμματέων διαβαλλόντων τὰ θαύματα, ἡ γυνὴ τὸ ἄδολον χρῆμα καὶ ἁπλοῦν εὐφημεῖ. Ποῦ δέ εἰσιν οἱ λέγοντες φαντασίᾳ φανῆναι τὸν Κύριον; Ἰδοὺ γὰρ καὶ μαστοὺς θηλάσαι μαρτυρεῖται. Αὐτὸς δὲ μακαρίζει τοὺς φυλάσσοντας τὸν λόγον τοῦ Θεοῦ, οὐκ ἐκβάλλων τοῦ μακαρισμοῦ τὴν Μητέρα αὐτοῦ, ἄπαγε, ἀλλὰ δεικνύων, ὅτι οὐδὲν οὐδὲ ἐκείνη ὠφεληθήσεται ἀπὸ τοῦ τεκεῖν αὐτὸν καὶ θηλάσαι, εἰ μὴ καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν ἔχοι. Ἅμα δὲ καὶ πρὸς τὸν καιρὸν ταῦτά φησιν. Ἐπεὶ γὰρ οἱ βάσκανοι καὶ ἀνήκοοι τῶν λόγων αὐτοῦ διέβαλλον τοὺς ἀκούοντας, αὐτὸς τὸ ἐναντίον ποιῶν, μᾶλλον μακαρίζει τοὺς ἀκούοντας. Τάχα δὲ

καὶ διὰ τὸν ἰαθέντα κωφὸν ταῦτά φησιν, ἵνα καὶ αὐ- A τὸς ἀκούσας φυλάξῃ τὸν λόγον, καὶ μὴ γίνηται αὐτῷ ἡ πρὸς τὸ ἀκούειν δύναμις εἰς κατάκρισιν. Τῶν δὲ ὄχλων ἐπαθροιζομένων, ἤρξατο ὁ Κύριος ἐλέγχειν τοὺς ἀγνώμονας. Ἐπειδὴ γὰρ ἦσάν τινες παρ' αὐτοῖς οἱ ζητοῦντες σημεῖον ἐξ οὐρανοῦ γενέσθαι παρὰ τοῦ Ἰησοῦ· ἔλεγον γὰρ, ὅτι Ὅσα ποιεῖ σημεῖα, ἀπὸ γῆς εἰσι, καὶ ἐν Βεελζεβοὺλ ταῦτα ποιεῖ τῷ κοσμοκράτορι, ὡς ἔχοντι τῆς γῆς ἐξουσίαν, ἐξ οὐρανοῦ δὲ οὐ δύναται ποιῆσαι, οἷα μὴ τοῦ οὐρανίου Πατρὸς Υἱὸς ὤν. Ἐπεὶ οὖν ἦσάν τινες οἱ ταῦτα λέγοντες, τούτου ἕνεκεν ἐλέγχει αὐτοὺς ὁ Κύριος, καί φησιν, ὅτι Δοθήσεται ὑμῖν σημεῖον, ὅπερ δείξει με ἀληθινὸν Υἱὸν τοῦ οὐρανίου Πατρός. Ποῖον τοῦτο; Τὸ τοῦ Ἰωνᾶ, ἤγουν τὸ τῆς ἀναστάσεως. Ὥσπερ γὰρ ἐκεῖνος τρεῖς B ἡμέρας ἐποίησεν ἐν τῇ κοιλίᾳ τοῦ κήτους, οὕτω κἀγὼ τρεῖς ἡμέρας ποιήσας ἐν τῇ κοιλίᾳ τοῦ κήτους, τοῦ μεγάλου θηρὸς, τοῦ ᾅδου, ἀναστήσομαι. Ἀλλ' Ἰωνᾷ μὲν μετὰ τὴν ἐκ τοῦ κήτους οἷον ἀναβίωσιν κηρύσσοντι ἐπείσθησαν οἱ Νινευῖται, ἐμοὶ δὲ καὶ ἀναστάντι οὐ πιστεύσει ἡ γενεὰ αὕτη· ὅθεν κατακριθήσονται, ὅτι Νινευΐτας οὐκ ἐμιμήσαντο, καίτοι γε πλεῖον Ἰωνᾶ ὧδε. Τό τε γὰρ ἀξίωμα τὸ ἐμὸν καὶ τὸ τοῦ κηρύγματος εἶδος πολλὴν διαφορὰν ἐνδείκνυται. Ἐγὼ Δεσπότης, ἐκεῖνος δοῦλος. Ἐγὼ βασιλείαν οὐρανῶν κηρύσσω, ἐκεῖνος σωτηρίαν τὴν ἀπὸ τῆς καταστροφῆς. Ἐγὼ μετὰ θαυμάτων, ἐκεῖνος οὐδὲν ποιήσας θαῦμα. Ὁμοίως καὶ ἡ βασίλισσα τοῦ νότου κατακρινεῖ τὴν γενεὰν ταύτην, ὅτι ἐκ περάτων γῆς ἦλθεν ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος. Νόει δέ μοι καὶ πᾶσαν ψυχὴν ἐν τῷ καλῷ κρατοῦσαν καὶ ἱστα- C μένην βασίλισσαν τοῦ νότου. Οἷόν τί φημι. ὁ βοῤῥᾶς παρὰ τῇ Γραφῇ διαβάλλεται, ὡς τοῦ ἀντικειμένου τόπος· ψυχρὸς γὰρ καὶ νεκροποιὸς καὶ ναρκώδης· ὁ δὲ νότος ἐπαινεῖται ὡς πνεῦμα θερμὸν καὶ ζωογόνον, καὶ τῶν νεναρκηκότων μελῶν θαλπτικόν. Διὸ καὶ ἡ ἐν τῷ Ἄσματι νύμφη τὸν βοῤῥᾶν διώκουσα, Ἐξεγέρθητι, φησὶ, βοῤῥᾶ, καὶ ἔρχου, νότε. Καὶ πάλιν ὁ προφήτης φησί· Καὶ τὸν ἀπὸ βοῤῥᾶ ἐξολοθρεύσῃ Κύριος, δηλονότι τὸν Σατανᾶν. Ἡ τοίνυν ψυχὴ ἡ βασιλεύουσα ἐν τῷ νότῳ, τῇ ἀγαθῇ μερίδι καὶ τῷ πνευματικῷ βίῳ, καὶ διὰ τῆς πρακτικῆς τὸ κράτος ἔχουσα, ἔρχεται εἰς τὸ ἀκοῦσαι τὴν σοφίαν, ὅπερ ἐστιν, εἰς θεωρίαν ἀναβαίνει. Ἡ γὰρ σοφία τοῦ Σολομῶντος τοῦ εἰρηνικοῦ βασιλέως, τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν ἡ θεωρία ἐστὶν, εἰς ἣν ἄλλως οὐκ ἂν εἰσέλθῃ τις, εἰ μὴ διὰ τοῦ βασιλεῦσαι ἐν τῷ ἀγαθῷ βίῳ, καὶ κρατῆσαι διὰ τῆς πρακτικῆς.

« Οὐδεὶς δὲ λύχνον ἅψας, εἰς κρυπτὴν τίθησιν, D οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φῶς βλέπωσιν. Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. Ὅταν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν. Ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν ἐστι. Σκόπει οὖν, μὴ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν. Εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινὸν, μὴ ἔχον τι μέρος σκοτεινὸν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. » Ἐπειδήπερ οἱ βάσκανοι Ἰουδαῖοι τὰ θαύματα βλέποντες ἐσυκοφάντουν ταῦτα νοὸς κακίᾳ, τούτου ἕνεκεν ὁ Κύριος ταυτά φησι· Ὅτι λύχνον λαβόντες οἱ ἄνθρωποι παρὰ τοῦ Θεοῦ, τὴν

A condemnationem recepta audiendi 560 virtus. Congregantibus autem se turbis, cœpit Jesus reprehendere ingratos. Nam quoniam erant quidam apud eos qui quærebant signum de cœlo fieri a Jesu, dicebant enim: Signa quæ fecit de terra sunt, et facit ea in Beelzebul mundi principe, qui potestatem habet terræ: de cœlo autem non poterit, eo quod non sit Filius Patris cœlestis: quia, inquam, fuerunt quidam hæc dicentes, ejus gratia arguit eos Dominus, et dicit: Dabitur vobis signum, quod ostendet me verum Filium cœlestis Patris. Quale hoc? Jonæ signum, hoc est resurrectionis. Sicut enim ille tribus diebus fuit in ventre ceti, ita et ego tres dies faciam in ventre magni ceti, B hoc est inferni, et resurgam. At Jonæ quidem, postquam velut revixit ex ventre ceti, prædicanti crediderunt Ninivitæ: mihi autem etiam cum resurrexero, non credet generatio ista: unde condemnabuntur, quod neque Ninivitas sint imitati, quamvis major nunc hic adsit quam Jona. Nam ob meam dignitatem et prædicationis genus, major monstratur excellentia. Ego Dominus, ille servus: ego regnum cœlorum prædico, ille salutem ne perirent: ego cum miraculis, ille absque miraculis. Similiter et regina austri condemnabit nationem hanc, quia ex finibus terræ venit ut audiret sapientiam Solomonis. Intelligas quoque, obsecro, per reginam austri, omnem animam quæ in bono valida est et perseverat. Et ut tale quid dicam, aquilo in Scriptura infamatur tanquam adversarii regio. C Gelida enim est et rigida, ac mortua facit. Auster vero laudatur ut ventus calidus et vivificans, et stupida membra confovens. Ideo et in Canticis sponsa aquilonem fugans dicit: Surge, aquilo; et veni auster. Et iterum propheta dicit: Et eum qui ab aquilone est, exterminabit Dominus, Satanam scilicet. Igitur anima quæ regnat in austro, in bona parte spiritualis vitæ, et imperium habet in operibus, venit ut audiat sapientiam, hoc est, ad contemplationem ascendit. Sapientia enim Solomonis pacifici regis, Domini et Dei nostri contemplatio est: ad quam non veniet quis aliter, nisi regnaverit in bona vita, et per activam imperaverit.

D VERS. 33-36. « Nemo lucernam accendit, et in abscondito ponit, neque subter modium, sed super candelabrum, ut qui ingrediuntur, lumen videant. Lucerna corporis est oculus. Cum igitur oculus tuus fuerit simplex, totum quoque corpus tuum lucidum erit; quod si malus fuerit, etiam corpus tuum tenebrosum erit. Vide ergo ne lumen quod in te est, tenebræ sint. Si ergo corpus tuum totum lucidum fuerit, non habens aliquam partem tenebrosam, sic erit lucidum 360 totum, ut cum lucerna fulgore illuminat te. » Quoniam invidi Judæi miracula videntes, ea calumniabantur ob mentis malitiam, ejus gratia Dominus hæc dicit: quod lucernam adepti a

Deo, intellectus scilicet ac mentis beneficium, per quam videmus, veluti si nobis datum esset lumen, homines abscondunt mentis judicium, et præ invidia obtenebrati, miracula et beneficia non vident, quamvis in hoc acceperimus mentem, ut super candelabrum ponamus, ut etiam alii lumen videant. Videtur autem mihi hoc dicere: O Pharisæe, habes scientiam, istud est lucerna: oportet te scientia illa uti, ut per eam agnoscas miracula, et aliis quoque ostendere et monstrare possis quod sint opera Filii Dei, et non Beelzebul: ut hi qui ingrediuntur, hoc est novitii et qui instruuntur, lumen videant. Nam qui sapiens est, jam ingressus est: qui autem discit, adhuc ingreditur. At Pharisæi vos hoc facere non vultis, sed oculum mentis vestræ, qui simplex erat, fecistis obliquum et obscurum. Etenim sicut oculus corporis si quid habet, hoc et corpus habere facit: si quidem lucem habet ac lucidus fuerit, erit et corpus in luce: sin tenebrosus fuerit, erit et illud in tenebris: simili modo eumdem affectum habet anima, quem habet mens Et si invenerit oculum quem accepit a D o et lucem obtenebrari vel ab invidia, vel ab avaritia, vel ut in summa, dicam, carnalitate, obtenebratur et ipsa.

Vers. 37-41. «Et cum loqueretur, rogavit illum quidam Pharisæus ut pranderet apud se. Jesus autem ingressus accubuit. Pharisæus autem cum vidisset, admiratus est quod non prius lavasset ante prandium; et ait Dominus ad illum: Nunc vos Pharisæi exteriora poculi catinique mundatis, et quod intus est vestri, plenum est rapina et malitia: stulti, nonne qui fecit quod foris est, etiam id quod intus est fecit? Verumtamen quod superest, date eleemosynam, et ecce omnia munda sunt vobis.» Sciebat quidem Pharisæorum livorem Dominus, et nihilominus comedit cum eis propter istud ipsum, quod mali erant, et correctione opus habebant. Nam propter hoc comedit cum eis, ut occasionem apprehendat, et eorum mores emendet. Proinde et nunc stultam eorum consuetudinem taxat, nempe lotionem antequam comedant: docens quod oporteat animam per bona opera purificare; nam lavari aqua, non animam, sed corpus purificat. At stulti illi putabant quod cum corpore quando baptizabatur et lavabatur, simul et anima purgaretur. Dominus igitur pulchro calicis exemplo usus est. Quia enim tempus erat mensæ, calicis et catini meminit, ab his quæ ob oculos sita erant, testimonium afferens, et persuadens Pharisæis quod sicut nulla quidem utilitas est extrinsecus mundum esse **361** poculum, intrinsecus autem impletum esse sordibus: sic neque si corpus baptizetur, anima autem omni plena sit immunditia, utpote rapina et malitia. Insinuavit autem duas affectiones quibus laborabant Judæi, avaritiam per rapinam, invidiam autem et quæ ex invidia proveniunt, per malitiam. Nulla igitur utilitas est quando sic habet anima. Stulti nonne qui fecit corpus, quod multa cura dignaris, etiam animam fecit? Debetis igitur et illam purgare. Deinde

τοῦ νοὸς χάριν, δι' ἧς βλέπομεν ὡσανεὶ φωτὸς δοθέντος ἡμῖν, κατέκρυψαν ταύτην τὴν διάκρισιν τοῦ νοῦ, καὶ ἀπὸ βασκανίας σκοτισθέντες, τὰ θαύματα καὶ τὰς εὐεργεσίας οὐχ ὁρῶσι. Καίτοι ἐπὶ τούτῳ ἐλάβομεν τὸν νοῦν, ἵνα ἐπὶ τὴν λυχνίαν τιθῶμεν, ὡς ἂν καὶ ἄλλοι βλέπωσι το φῶς. Δοκεῖ δέ μοι τοῦτο λέγειν, ὅτι, Ὦ Φαρισαῖε, ἔχεις γνῶσιν, τοῦτο ὁ λύχνος. Ἔδει σε τῇ γνώσει ταύτῃ κεχρῆσθαι πρὸς τὴν τῶν θαυμάτων ἐπίγνωσιν, καὶ τοῖς ἄλλοις δὲ φαίνειν καὶ δεικνύειν ταῦτα, ὅτι ἔργα εἰσὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ οὐχὶ τοῦ Βεελζεβούλ, ὡς ἂν οἱ εἰσπορευόμενοι, τουτέστιν οἱ εἰσαγωγικοὶ καὶ ἀρχάριοι, τὸ φῶς βλέπωσιν. Ὁ μὲν γὰρ σοφὸς ἤδη ἐπορεύθη, ὁ δὲ ἔτι μανθάνων πορεύεται. Ἀλλ' οὐ τοῦτο ἠβουλήθητε ὑμεῖς οἱ Φαρισαῖοι, ἀλλὰ τὸν ὀφθαλμὸν τῆς ψυχῆς τὸν νοῦν ἁπλοῦν ὄντα, ἐποιήσατε λοξὸν καὶ σκολιόν. Ὥσπερ γὰρ ὁ ὀφθαλμὸς τοῦ σώματος, ὅπως ἂν ἔχῃ, οὕτω καὶ τὸ σῶμα ποιεῖ, εἰ μὲν φωτεινὸς εἴη, ἔσται καὶ τὸ σῶμα ἐν φωτί· εἰ δὲ σκοτεινὸς, ἔσται κἀκεῖνο ἐν σκότει. Τὸν αὐτὸν τρόπον καὶ τῷ νοΐ ἡ ψυχὴ συνδιατίθεται. Καὶ ὃν ἔλαβεν ἐκ Θεοῦ ὀφθαλμόν καὶ φῶς, τοῦτον εἰ εὕροι σκοτιζόμενον ἢ ὑπὸ βασκανίας, ἢ φιλοχρηματίας, καὶ ἁπλῶς εἰπεῖν φιλοϋλίας, σκοτίζεται καὶ αὐτή.

«Ἐν δὲ τῷ λαλῆσαι, ἠρώτα αὐτόν Φαρισαῖος τις, ὅπως ἀριστήσῃ παρ' αὐτῷ· εἰσελθὼν δὲ ἀνέπεσεν. Ὁ δὲ Φαρισαῖος ἰδὼν ἐθαύμασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου. Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· Νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας· ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησεν; Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν.» Ἤδει μὲν τὴν τῶν Φαρισαίων σκαιότητα ὁ Κύριος, ἀλλ' ὅμως συνεστιᾶται αὐτοῖς δι' αὐτὸ τοῦτο, ὅτι πονηροὶ ἦσαν, καὶ διορθώσεως ἔχρῃζον. Διὰ τοῦτο γάρ τοι συνεσθίει, ὡς ἂν δράξηται ἀφορμῆς, καὶ βελτιώσῃ τὰ ἤθη αὐτῶν. Ὥσπερ οὖν καὶ νῦν τὸ ἀνόητον αὐτῶν ἔθος ἐπισκώπτων, φημὶ δὴ τὸ πρὸ τοῦ φαγεῖν καθαρίζεσθαι αὐτοὺς, διδάσκει, ὅτι δεῖ τὴν ψυχὴν κεκαθάρθαι δι' ἔργων ἀγαθῶν, ὡς τόγε νίπτεσθαι δι' ὕδατος, οὐ ψυχὴν, ἀλλὰ σῶμα καθαίρει. Ἐκεῖνοι γὰρ ἐνόμιζον οἱ ἀνόητοι, ὅτι ἅμα τῷ σώματι καὶ ἡ ψυχὴ αὐτῶν καθαίρεται διὰ τοῦ βαπτίζεσθαι καὶ νίπτεσθαι τὸ σῶμα. Ὁ τοίνυν Κύριος χαρίεντι παραδείγματι κέχρηται τῷ τοῦ ποτηρίου. Ἐπεὶ γὰρ καιρὸς ἦν τραπέζης, ποτηρίου καὶ πίνακος μνημονεύει, ἀπὸ τῶν ἐν ὄψει κειμένων μαρτυρίαν παράγων, καὶ συμπείθων τὸν Φαρισαῖον, ὅτι ὥσπερ οὐδὲν ὄφελος ἔξωθεν μὲν καθαρὸν εἶναι τὸ ποτήριον, ἔσωθεν δὲ ῥύπου παντὸς πεπληρωμένον, οὕτως οὐδὲ σώματος βαπτιζομένου, ψυχῆς δὲ γεμούσης πάσης ἀκαθαρσίας, οἷον ἁρπαγῆς καὶ πονηρίας. Ἠνίξατο δὲ τὰ δύο πάθη τὰ ἐπικρατοῦντα τῶν Ἰουδαίων, πλεονεξίαν διὰ τῆς ἁρπαγῆς, φθόνον δὲ καὶ τὰ ἐκ φθόνου διὰ τῆς πονηρίας. Οὐδὲν οὖν ὄφελος, ὅταν οὕτως ἔχῃ ἡ ψυχή. Ἄφρονες, οὐχ ὁ ποιήσας τὸ σῶμα, ὃ πολλῆς ἐπιμελείας ἀξιοῖς, καὶ τὴν ψυχὴν ἐποίησεν; Ὀφείλετε οὖν καὶ ταύτην καθαίρειν. Εἶτα

διδάσκει αὐτοὺς, πῶς καθαρίζεται τὸ ἔσω. Διὰ τῆς ἐλεημοσύνης, φησίν. Ὅρα δὲ μοι πῶς τὰ δύο πάθη αὐτῶν θεραπεύει, τὸν φθόνον λέγω, καὶ τὴν ἁρπαγὴν, διὰ τοῦ ὑποθέσθαι τὴν ἐλεημοσύνην. Ὁ γὰρ ἐλεῶν ἀληθῶς, οὐχ ἁρπάσει τὰ τοῦ ἐλεουμένου (4), οὐ φθονήσει τῷ ἐλεουμένῳ, Ἐπεὶ τοίνυν δύο τούτοις πάθη ὠνείδισε, δι' ἑνός φαρμάκου ταῦτα ἐκμοχλεύει, τῆς ἐλεημοσύνης, ἥτις πρώτη θύρα τῆς θεοποιοῦ ἀγάπης· ἀγάπης δὲ παρούσης ποῦ πλεονεξία καὶ φθόνος; Τὰ ἐνόντα οὖν, τουτέστι, τὰ ὑπάρχοντα ὑμῖν· καλῶς δὲ εἶπε τὰ ἐνόντα, καὶ οὐκ εἶπεν, ὄντα, διότι τὰ χρήματα ἔνεισιν ἐν τῇ καρδίᾳ τοῦ φιλοχρημάτου, καὶ ἐγκάθηνται αὐτῇ, διὸ καὶ Δαυὶδ φησι. μὴ προστίθεσθαι τὴν καρδίαν τῷ πλούτῳ, τουτέστι, μὴ προσηλοῦν αὐτὴν καὶ συνδεσμεῖν.

« Ἀλλ' οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ πήγανον, καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν, καὶ τὴν ἀγάπην τοῦ Θεοῦ· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. Οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς. Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν. Ἀποκριθεὶς δέ τις τῶν νομικῶν, λέγει αὐτῷ· Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις. Ὁ δὲ εἶπε· Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις. Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς· ἄρα μαρτυρεῖτε, καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτοὺς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα. Διὰ τοῦτο καὶ ἡ σοφία τοῦ Θεοῦ εἶπεν· Ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ διώξουσιν, ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης, ἀπὸ τοῦ αἵματος Ἄβελ ἕως τοῦ αἵματος Ζαχαρίου, τοῦ ἀπολομένου μεταξύ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου. Ναὶ λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. » Οἱ Φαρισαῖοι ἵνα μὴ παραβῶσι δῆθεν τὸν νόμον, ἀπεδεκάτουν καὶ τὰ ἐλάχιστα, εἰ δέ τις αὐτοῖς ἐμέμψατο τυχὸν ὡς μικρολογουμένοις, τὸν νόμον προὔφερον, ὃς ἀπὸ πάντων δεκάτας προσφέρεσθαι τοῖς ἱερεῦσιν ἐκέλευεν· Ὁ γοῦν Κύριός φησιν, ὅτι Ὥσπερ τούτων οὐκ ἀμελεῖτε, ἔδει ὑμᾶς καὶ τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ περιποιεῖσθαι. Ἐπειδὴ γὰρ ἄδικοι ἦσαν, καὶ χήραν καὶ ὀρφανὸν ἀπεκτίννυον, φησὶν, ὅτι Δεῖ ὑμᾶς ἔχειν τὴν κρίσιν, ἤγουν τὴν δικαιοκρισίαν. Ἐπεὶ δὲ καὶ καταφρονηταὶ ἦσαν τοῦ Θεοῦ, ἀδιαφόρως τοῖς ἱεροῖς ἔργοις ἐπιχειροῦντες, διὰ τοῦτο αὐτοῖς τὴν τοῦ Θεοῦ ἀγάπην ἔχειν ἐντέλλεται. Ὁ γὰρ ἀγαπῶν τὸν Θεὸν, οὐ καταφρονητικῶς μέτεισι τὰ ἔργα αὐτοῦ. Τάχα δέ μοι δοκεῖ, ἐπειδὴ δύο εἴδη τῆς ἀγάπης, τό τε πρὸς

A docet eos quomodo purgandum sit quod interius: Per eleemosynam, inquit. Vide autem quomodo duas illorum affectiones sanet, invidiam dico et rapinam, per hoc quod subjicit eleemosynam. Nam qui vere miseretur, non rapiet ejus bona cujus miseretur, neque illi invidebit. Et quia duos morbos eis exprobravit, uno remedio eleemosynæ utrumque sanat, quæ prima est janua deificantis charitatis. Si enim affuerit dilectio, ubi manebit avaritia et invidia? Ea igitur quæ insunt, hoc est, facultates vestræ. Bene dixit, ea quæ insunt, et non dixit, ea quæ sunt, eo quod divitiæ insunt in corde avari et sedent in eo. Ideo et David dicit non apponendum cor divitiis, hoc est, ne agglutinetur nec colligetur.

B VERS. 42-51. «Sed væ vobis Pharisæis, quia decimatis mentam et rutam, et quodvis olus, et præteritis judicium et charitatem Dei: imo hæc oportuit facere, et illa non omittere. Væ vobis Pharisæis, quia diligitis primas cathedras in synagogis, et salutationes in foro. Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia estis ut monumenta quæ non apparent, et homines ambulantes super nesciunt. Respondens autem quidam ex legisperitis, ait illi: Magister, hæc dicens etiam nos afficis contumelia. At ille ait: Et vobis legisperitis væ, quia oneratis homines oneribus quæ portare non possunt, et ipsi uno digito vestro non attingitis sarcinas. Væ vobis, quia ædificatis monumenta prophetarum: patres C autem vestri occiderunt illos. Profecto testamini quod comprobatis facta patrum vestrorum, quoniam illi quidem eos occiderunt; vos autem ædificatis eorum sepulcra. Propterea et sapientia Dei dixit: Mittam ad illos prophetas et apostolos, et ex illis occident et persequentur, ut requiratur sanguis omnium prophetarum qui effunditur a constitutitutione mundi a natione ista, a sanguine Abel usque ad sanguinem Zachariæ, qui periit inter altare et ædem; profecto dico vobis, requiretur ab hac natione.» Pharisæi, ne transgrederetur legem videlicet, decimas etiam ex minimis dabant: et si quis illos reprehendat tam parvarum rerum rationem habentes, legem proferebant, quæ de omnibus decimas offerri sacerdotibus præcipiebat. Itaque Do- D minus dicit: Sicut illa non negligitis, ita oportet vos et judicium **362** et dilectionem Dei facere. Quoniam injusti erant, viduasque et orphanos pessumdabant, dicit quod oporteat eos habere judicium, hoc est, justum judicium. Et quia contemptores Dei erant temere sacra opera tractantes, idcirco præcipit eis ut charitatem Dei habeant. Nam qui diligit Deum, non contemptim facit opera ejus. Fortassis autem, ut mihi videtur, quoniam duæ sunt dilectionis species, una erga Deum, altera erga proximum, duas illas insinuat. Dicendo enim judicium, indicat dilectionem ega proximum. Juste enim judicare

**Ex collatione codd. Venet. S. Marci.**

(4) Cod. 26, τοῦ ἐλεουμένου (πῶς γὰρ ὁ ἐλεῶν ἀληθῶς;) οὐ φθονήσει, κ. τ. λ. — Cod 32, Ὁ γὰρ ἐλεῶν ἀληθῶς, οὐχ ἁρπάσει τὰ τοῦ ἐλεουμένου. Πῶς γὰρ ὁ ἐλεῶν ἀληθῶς φθονήσει τῷ ἐλεουμένῳ; κ. τ. λ.

proximum, et non conculcare eum, ex dilectione fit. Dicendo vero dilectionem Dei, omnino significat generalem affectionem erga Deum. Et quando quis diligit proximum, non propter sæculare quiddam, vel turpem affectionem, sed juxta Deum, ea quidem Dei dilectio dici potest, quam scilicet mandat Deus ac probat. Volebant autem Pharisæi ab omnibus hominibus honorari et salutari ut doctores in foro. Hoc enim vult salutatio et appellatio. Similes igitur estis, inquit, monumentis, quæ plena quidem sunt omni putredine, extrinsecus autem marmore fulgere vident homines, nescientes quid calcent, alioquin abominarentur abominationem quæ intra est. Legisperitus vero stulte seipsum reprehensioni subjicit. Sane alii erant legisperiti, et alii Pharisæi. Nam Pharisæi videbantur ut monachi, et qui ab aliis se segregabant. Legisperiti vero Scribæ erant et doctores, qui solvebant quæstiones legis. Onerabant itaque homines gravibus et intolerabilibus, mandantes ea quæ in lege observatu difficilia, et ipsi neque digito attingebant onera: hoc est, ipsi nihil ex his quæ aliis imperabant, faciebant. Nam quando docens facit quæ docet, alleviat onera, exemploque suo consolationem affert discipulis. Quando autem nihil horum facit quæ docet, tunc quæ docet graviora onera videntur discipulis, tanquam quæ ne a doctore quidem perfici queant. Declarat quoque Dominus Judæos nepotes esse ac hæredes malitiæ Cain, eo quod dicit quod omnis sanguis, effusus ab Abel usque ad Zachariam, a natione illa expetetur. Etenim vos prophetas, qui erant fratres vestri, occidistis, sicut ille Abel. Unde quidam non absurde numeraverunt Cain inter eos qui prophetas occiderunt, a quo vindictæ exquisitæ sunt septem supplicio scilicet leviore: Lamech[49*] autem inter eos qui occiderunt Christum. Et ideo septuagies septem ultiones dederunt, dispersi in captivitatem, a qua non redibunt. Quis autem fuit Zacharias, quem occiderunt inter templum et altare? Alii quidem dicunt fuisse priscum Zachariam filium Joiadæ, quem 363 lapidarunt, ut discimus ex libro Regum. Alii vero patrem Præcursoris, eo quod ille ordinaverat Dei Genitricem cum virginibus etiam postquam peperisset Christum, et constituerat eam in loco quo illæ stant: hic enim locus est inter templum et altare, quod est extra æneum, et propterea occiderunt eum. Nam quia exspectabant quidam Christum regem suum futurum, nolebant autem regem ferre, ideo occiderunt sanctum, qui asseruerat virginem peperisse, et Christum natum esse regnaturum super eos, quod adversabantur: absque enim rege volebant esse.

τὸν Θεὸν, καὶ τὸ πρὸς τὸν πλησίον, τὰ δύο ταῦτα αἰνίττεσθαι, διὰ μὲν τοῦ εἰπεῖν τὴν κρίσιν, ὑποδηλῶν τὴν εἰς τὸν πλησίον ἀγάπην· τὸ γὰρ δικαίως κρίνειν τὸν πλησίον, καὶ μὴ καταδυναστεύειν αὐτοῦ, ἐκ τοῦ ἀγαπᾷν αὐτὸν γίνεται. Διὰ δὲ τοῦ εἰπεῖν τὴν ἀγάπην τοῦ Θεοῦ, τὴν πρὸς τὸν Θεὸν πάντως μηνύουσι ὁλικὴν διάθεσιν. Καὶ ὅταν δέ τις ἀγαπᾷ τὸν πλησίον οὐ διά τι κοσμικὸν, ἢ αἰσχρὸν πάθος, ἀλλὰ κατὰ Θεὸν, λεχθείη ἂν καὶ αὕτη ἀγάπη τοῦ Θεοῦ, ἤγουν ἣν ἐντέλλεται ὁ Θεὸς, ἣν ἀποδέχεται. Ἤθελον δὲ παρὰ παντὸς ἀνθρώπου τιμᾶσθαι καὶ προσαγορεύεσθαι ὡς διδάσκαλοι ἐν ταῖς ἀγοραῖς· τοῦτο γὰρ ὁ ἀσπασμὸς, ἡ προσηγορία. Ἐοίκατε γοῦν, φησὶ, μνήμασι, ἃ γέμουσι μὲν πάσης σαπρίας, ἔξωθεν δὲ λάμπουσιν μαρμάροις· ἃ ὁρῶντες οἱ ἄνθρωποι, οὐκ οἴδασι ποῦ περιπατοῦσιν, ἢ γὰρ ἂν ἐμυσάχθησαν τὴν ἔσωθεν βδελυγμίαν. Ὁ δὲ νομικὸς ἀνοήτως ὑπάγει ἑαυτὸν τῷ ἐλέγχῳ. Ἄλλοι δὲ ἦσαν οἱ νομικοὶ παρὰ τοὺς Φαρισαίους. Οἱ μὲν γὰρ Φαρισαῖοι ὡς ἀσκηταὶ ἐδόκουν, καὶ ἀποκεχωρισμένοι τῶν ἄλλων. Οἱ δὲ νομικοὶ Γραμματεῖς ἦσαν καὶ διδάσκαλοι, τοῖς βουλομένοις τὰ τοῦ νόμου ζητήματα λύοντες. Ἐφόρτιζον οὖν τοὺς ἀνθρώπους βαρέα καὶ δυσβάστακτα οἱ νομικοὶ, ἐντελλόμενοι αὐτοῖς τὰ τοῦ νόμου δυσφύλακτα παρατηρήματα, αὐτοὶ δὲ τῷ δακτύλῳ αὐτῶν οὐ προσέψαυον τοῖς φορτίοις, τουτέστιν, αὐτοὶ οὐδὲν, ἐξ ὧν τοῖς ἄλλοις ἐπέταττον, ἔπραττον. Ὅταν μὲν γὰρ ὁ διδάσκων πράττῃ ἃ διδάσκει, ἐπελαφρύνει τὰ φορτία, ὑπόδειγμα διδοὺς ἑαυτὸν, καὶ παρηγορίαν ἐμποιῶν τοῖς διδασκομένοις. Ὅταν δὲ οὐδὲν ὧν λέγει πράττῃ, τηνικαῦτα βαρέα ὄντως τὰ φορτία δοκεῖ τοῖς διδασκομένοις, ὡς μηδὲ παρὰ τοῦ διδασκάλου δυνάμενα κατορθωθῆναι. Ἐμφαίνει δὲ ὁ Κύριος τοὺς Ἰουδαίους ἀπογόνους καὶ κληρονόμους τῆς κακίας τοῦ Κάϊν, διὰ τοῦ λέγειν ὅτι πᾶν αἷμα ἐκχυθὲν ἀπὸ Ἄβελ ἕως τοῦ Ζαχαρίου ἀπαιτηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. Καὶ γάρ, φησὶν, ὑμεῖς ἀδελφοὺς ὄντας ὑμῶν τοὺς προφήτας ἐφονεύσατε, ὡς κἀκεῖνος τὸν Ἄβελ. Ὅθεν οὐκ ἀλόγως τινὲς τὸν μὲν Κάϊν εἰς τὸν τοὺς προφήτας ἀποκτείναντα λαὸν ἐξελάβοντο, ἀφ' οὗ ἐκδεδίκηνται ἑπτὰ, ἐλαφροτέρᾳ δηλαδὴ τιμωρίᾳ· τὸν δὲ Λάμεχ εἰς τοὺς ἀποκτείναντας τὸν Χριστόν, διὸ καὶ ἑβδομηκοντάκις ἑπτὰ ἐκδεδίκηνται, εἰς αἰχμαλωσίαν διασπαρέντες ἀνυπόστροφον. Τίς δὲ ἦν ἄρα Ζαχαρίας, ὃν ἐφόνευσαν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου; Οἱ μὲν λέγουσι τὸν ἀρχαῖον Ζαχαρίαν τὸν τοῦ Ἰωάδε, καὶ ὃν ἐλιθοβόλησαν, ὡς ἔστι μαθεῖν ἐκ τῆς βίβλου τῶν Βασιλειῶν· οἱ δὲ τὸν πατέρα τοῦ Προδρόμου, τοῦτον γὰρ τάξαντα τὴν Θεοτόκον μετὰ τῶν παρθένων μετὰ τὸ τεκεῖν τὸ Χριστόν, καὶ στήσαντα ταύτην ἐν τῷ τόπῳ ἐν ᾧ ἐκεῖναι ἵσταντο· ὁ δὲ τόπος ἦν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου τοῦ ἔξω τοῦ χαλκοῦ. Διὰ τοῦτο τοίνυν ἐφόνευσαν αὐτόν. Ἐπεὶ γὰρ προσεδόκων τινὲς τὸν Χριστὸν βασιλέα αὐτῶν ἐσόμενον, οὐκ ἤθελον δὲ βασιλευθῆναι, τούτου ἕνεκα ἐφόνευσαν τὸν ἅγιον, ὡς βεβαιοῦντα ὅτι παρθένος ἔτεκεν, καὶ ὁ Χριστὸς ἐγεννήθη ὁ μέλλων αὐτῶν βασιλεύειν, ὅπερ ἀπεστρέφοντο· ἀβασίλευτοι γὰρ ἤθελον εἶναι.

VERS. 52-54. « Væ vobis legisperitis, quia tulistis clavem scientiæ: ipsi non introistis, et eos qui introibant, vetuistis. Cum autem hæc ad illos

« Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. Λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς

49* Gen. IV.

αὐτοὺς, ἤρξαντο οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν, καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων, ἐνεδρεύοντες αὐτὸν, ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ. » Κλεῖδα γνώσεως ὠνόμασεν ὁ Κύριος τὴν διδασκαλίαν, καὶ τὴν διὰ τοῦ νόμου χειραγωγίαν δυναμένου προσάγειν τῷ Χριστῷ. Ὁ γὰρ νόμος χειραγωγὸς πάντως εἰς Χριστόν. Οἱ τοίνυν νομικοὶ τὸν νόμον δοκοῦντες ἑρμηνεύειν, τὴν κλεῖδα τῆς γνώσεως κατεῖχον ἐθελοκάκως, καὶ οὐκ ἤνοιγον τὰς τοῦ νόμου θύρας, ἵνα δι' αὐτῶν εἰσέλθωσιν αὐτοί τε καὶ ὁ λαὸς πρὸς Χριστόν. Ἔστι δὲ ὁ νόμος θύρα εἰς Χριστόν· πλὴν ἡ θύρα αὕτη κεκλεισμένη ἐστὶν, ἐὰν μή τις τὴν ἀσάφειαν τοῦ νόμου σαφηνίζῃ καὶ διανοίγῃ. Καὶ γὰρ ὁ Κύριος εἶπεν· « Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί. » Καὶ πάλιν· « Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ ὑμεῖς οὐ θέλετε ἐλθεῖν πρός με. » Οἷον ὡς ἐπὶ ἑνὸς ὑποδεῖξαι, ἀμνὸς ἐσφάζετο τοῖς Ἰουδαίοις, ἐχρίοντο αἱ φλιαὶ, καὶ τὰ κρέα ἤσθιον, καὶ ἦν αὐτοῖς νίκη τοῦτο κατὰ τοῦ ὀλοθρευτοῦ. Τοῦτο δὲ ἅπαν τὸ τοῦ Χριστοῦ μυστήριον ἐδήλου, οὗ ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου σφαγέντος, ἐχρίσθησαν αἱ ἡμέτεραι φλιαὶ, θυμὸς καὶ ἐπιθυμία, καὶ τὸ τούτων ὑπέρθυρον τὸ λογιστικόν· καὶ τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐφάγομεν, καὶ νενικήκαμεν τὸν τὰς ψυχικὰς ἡμῶν δυνάμεις ὀλοθρεύοντα. Καὶ τὰ πλείω δὲ τοῦ νόμου τὸν Χριστὸν ὑπεδήλουν. Κεκλεισμένος πέντοι ἦν ὁ νόμος τῇ τοῦ γράμματος ἀσαφείᾳ, ὥσπερ τινὶ θύρᾳ. Ἐὰν δέ τις διδασκαλίαν ἐνεκεχείριστο, οὗτος εἶχε τὴν κλεῖδα τῆς γνώσεως· καὶ εἰ ἠβούλετο, ἤνοιξεν ἂν, καὶ αὐτός τε εἰσῆλθε, καὶ ἄλλοις ὁδηγὸς ἐγένετο, ὅπερ οἱ νομικοὶ οὐκ ἐποίησαν, ἀλλ' ἦραν τὴν κλεῖδα τῆς γνώσεως, τουτέστιν ἀπέκρυψαν, ἠφάνισαν, καὶ λοιπὸν ὡς τῆς κλειδὸς ἀρθείσης ἐκ μέσου, ἤτοι τῆς ἑρμηνείας τοῦ νόμου ἔμεινε κεκλεισμένη ἡ τούτου θύρα. Νοήσεις δ' ἂν καὶ τὴν πίστιν κλεῖδα τῆς γνώσεως. Διὰ γὰρ τῆς πίστεως προσγίνεται ἡ τῆς ἀληθείας γνῶσις· καὶ γοῦν ὁ προφήτης Ἡσαΐας φησί· « Καὶ, Ἐὰν οὐ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε. » Οἱ τοίνυν νομικοὶ τὴν κλεῖδα ταύτης, ἤτοι τὴν πίστιν, ἦραν ἐκ μέσου, καὶ ἀπέκρυψαν. Οὐ γὰρ εἴων πιστεύειν τινὰς εἰς τὸν ὅλων Σωτῆρα Χριστόν. Ἐθαυματούργει ἐκεῖνος καὶ ὁ λαὸς διὰ τῶν θαυμάτων πιστεύων, ἔμελλεν ἐπιγινώσκειν αὐτὸν Θεόν· οἱ δὲ ἐν Βεελζεβοὺλ ἔλεγον ἐπιτελεῖν αὐτὸν τὰ θαύματα. Ὁρᾷς πῶς ἦραν τὴν κλεῖδα τῆς γνώσεως, οὐκ ἐῶντες πιστεύειν τῷ δι' οὗ ἡ γνῶσις αὐτοῖς ἔμελλεν ἐπιγίνεσθαι; Ἐδίδασκεν ἐν ταῖς Συναγωγαῖς τὸ θέλημα τοῦ Θεοῦ, οἱ δὲ ἔλεγον, Δαιμόνιον ἔχει, καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε; Ἦραν οὖν κατὰ τὸ ἀληθὲς τὴν κλεῖδα τῆς γνώσεως, αὐτοί τε οὐκ εἰσῆλθον, καὶ ἑτέρους κεκωλύκασι, καὶ ταῦτα εἰσερχομένους, τουτέστιν ἐπιτηδείους ὄντας πρὸς θεογνωσίαν. Ἔτι δὲ αὐτοῦ ταῦτα λέγοντος, ἐκεῖνοι ὥσπερ ἐπιμαρτυροῦντες τοῖς λόγοις αὐτοῦ, δέον ἐπιγνῶναι τὴν οἰκείαν ἀσθένειαν, ἐπεδείκνυον ἑαυτοὺς δῆθε σοφωτέρους αὐτοῦ, καὶ δὴ ἀποστοματίζειν αὐ-

A dicerel, cœperunt legisperiti et Pharisæi graviter insistere et captiose eum interrogare de multis, insidiantes ei, et quærentes aliquid venari ex ore ejus, quo accusarent eum. » Clavem scientiæ nominavit Dominus doctrinam et legis manuductionem, quæ valebat adducere ad Christum. Lex enim omnino nos ad Christum manuducit. Legisperiti igitur, qui sibi recte legem interpretari videbantur, scientiæ clavem maligne tenebant, et non aperiebant januas legis, per quas intrarent et ipsi et populus ad Christum, quandoquidem lex janua est ad Christum. Verumtamen janua ista clausa est, nisi quis obscuritatem legis manifestet et aperiat, faciatque manifestam. Etenim Dominus dixit: « Si B credidissetis Mosi, credidissetis utique mihi [50]. » Et iterum: Scrutamini Scripturas, quoniam istæ sunt quæ testimonium perhibent de me. Et vos non vultis venire ad me. Et ut exempli gratia unum ostendam: agnus immolabatur a Judæis, et ungebantur superliminaria, et carnes comedebant, et erat eis hoc victoria contra exterminatorem. Significabat hoc plane mysterium Christi, quo ut agno immaculato et puro occiso perfusi sunt nostri postes, ira et concupiscentia, et horum superliminare, rationalis vis: carnemque Filii hominis comedimus, et vicimus quidem animales virtutes nostras perdentem. Et pleraque in lege Christum significabant Clausa enim erat lex obscuritate litteræ, quasi janua quadam. Si autem cuipiam C doctrina concredita fuerit, hic habet clavem scientiæ: si voluerit aperire, et ipse intrabit, et aliis dux erit: id quod legisperiti non fecerunt, sed tulerunt clavem scientiæ, hoc est absconderunt, obscurarunt, et jam quasi clavi e medio sublata, hoc est legis interpretatione, mansit clausa ejus janua. Intelligas item et fidem clavem esse scientiæ. Per fidem enim datur veritatis scientia: unde propheta Isaias dicit: « Nisi credideritis, non intelligetis [51]. » Igitur legisperiti clavem hanc, hoc est fidem, e 364 medio abstulerunt et absconderunt. Non enim sinebant quosdam credere in Christum omnium Salvatorem. Ille miracula faciebat, et populus per miracula credens agniturus erat Deum: at hi in Beelzebul dicebant ejicere dæmonia [52]. D Vides quomodo abstulerunt clavem scientiæ, non sinentes credere id per quod scientiam illi acquisituri erant. Docebat enim in Synagogis voluntatem Dei: illi autem dicebant: Dæmonium habet, et insanit: quid illum auditis? Tulerunt igitur vere clavem scientiæ, et ipsi ingressi non sunt, et alios prohibuerunt maxime ingredientes, hoc est studiosos cognitionis divinæ. Illo autem adhuc loquente hæc, illi quasi attestarentur dicta ejus, cum oporteret propriam agnoscere imbecillitatem, ostentarunt se illo videlicet sapientiores, atque occludere illi os, quod Græci dicunt ἀποστοματίζειν, incipiebant, hoc est frequenter interrogare, et perplexum

[50] Joan. v, 46. [51] Isa. vii, 9. [52] Matth. xii, 24.

facere : id quod fieri solet quando plures interrogant unum de aliis atque aliis argumentis : tunc enim qui omnibus respondere non valet, suspicionem apud insipientes exhibet, quod perplexus sit redditus. Hoc igitur struebant etiam maledicti illi contra Christum. Multi enim interrogantes unum videbantur illi os occludere, et perplexum reddere, ita ut non posset eis respondere, id quod verisimiliter accidisset. Quomodo enim unus posset multis respondere alia atque alia interrogantibus? Potest autem et ἀποστοματίζειν sic intelligi, hoc est illaqueare, et ab ore apprehendere. Quando enim apprehenditur ac capitur ex his quæ ipse dicit, videtur ab ore capi, et ab ore suo rapi atque condemnari. Porro et sequentia hoc declarant. Quærentes enim, inquit, venari quidpiam ex ore illius : quod enim paulo ante dixerat ἀποστοματίζειν, hoc nunc dicit venari quidpiam ex ore ejus. Interrogabant autem ipsum aliquando quidem de lege, ut eum blasphemum arguant, qui Mosen taxasset : hoc enim suspicabantur. Aliquando vero interrogant de his quæ ad Cæsarem attinebant, ut eum denuntient seditiosum, et tyrannidis studiosum, et omnino talia, qualia animæ pessimæ et malignissimæ ac omni iniquitate plenæ excogitarent.

## CAPUT XII.

*De fermento Pharisæorum. De eo qui volebat dividere hæreditatem. De divite, cujus ager fructificavit. De contemptu terrestrium. Quod fugienda sit avaritia. De vigili servo. Quod non oporteat cum proximo contendere.*

VERS. 1-3. « Cum autem convenisset innumera turbæ multitudo, adeo ut se invicem 365 conculcarent, cœpit dicere ad discipulos suos : In primis cavete vobisipsis a fermento Pharisæorum, quod est hypocrisis. Nihil enim opertum est, quod non revelabitur; neque absconditum, quod non scietur: quoniam quæ in tenebris dixistis, in lumine audientur ; et quod in aurem locuti estis in conclavibus, prædicabitur in tectis. » Pharisæi quidem ipsum illaqueare tentabant in sermone, ut turbas ab illo abarcerent. At res in contrarium evenit, magisque adierunt turbæ, et in turbas innumeras colligebantur, et ita singuli cupiebant appropiare ei, ut et se invicem conculcarent. Sic igitur fortis est veritas, et dolus ubivis terrarum infirmus. Jesus itaque, visa fraude Pharisæorum, et quod figuram quidem interrogantium gererent, re autem vera illaqueare conarentur, dixit discipulis suis de simulatione Pharisæorum, arguens omnino illos, et denudans corda illorum simulatione plena. Fermentum vocat hypocrisin et simulationem, quod acerba sit, et plena veteris malitiæ, et transformet corrumpatque secum hominum mentes quibus admista fuerit. Nihil enim sic mores alterat, uti hypocrisis. Qui igitur Christum discunt, hypocrisin fugiunt. Christus enim cum sit veritas, mendacio adversatur. Porro omnis hypocrisis mendacio plena est, et aliud qui-

A τὸν ἤρξαντο, τουτέστι πυκνῶς ἐρωτᾶν αὐτὸν, καὶ ἀπορεῖν. Γίνεται γὰρ τὸ ἀποστοματίζειν, ὅταν πλείονες ἐρωτῶσιν ἕνα περὶ ἄλλων καὶ ἄλλων ὑποθέσεων. Τότε γὰρ μὴ δυνάμενος πᾶσιν ἀποκρίνεσθαι, ἔμφασιν δίδωσι τοῖς ἀνοήτοις τοῦ ἐξαπορηθῆναι. Τοῦτο τοίνυν ἐσοφίζοντο καὶ οἱ κατάρατοι ἐκεῖνοι κατὰ Χριστοῦ. Πολλοὶ γὰρ ἐρωτῶντες ἕνα, ἐδόκουν ἀποστοματίζειν, καὶ εἰς ἀπορίαν ἄγειν αὐτὸν, ὡς μὴ δυνάμενον αὐτοῖς ἀποκρίνεσθαι, ὅπερ εἰκότως ἐγίνετο· πῶς γὰρ ὁ εἷς δύναται πολλοῖς ἀποκρίνεσθαι ἄλλα καὶ ἄλλα ἐρωτῶσι; Δύναται δὲ τὸ ἀποστοματίζειν καὶ οὕτω νοηθῆναι, ἀντὶ τοῦ παγιδεύειν αὐτὸν, καὶ ἀπὸ τοῦ στόματος κρατεῖν. Ὅταν γάρ τις κρατηθῇ ἀφ' ὧν λέγει, ἀποστοματίζεσθαι B δοκεῖ, τουτέστιν, ἀπὸ τοῦ στόματος ἕλκεσθαι, καὶ κατακρίνεσθαι. Δηλοῖ δὲ τοῦτο καὶ τὰ ἐφεξῆς. Ζητοῦντες γὰρ, φησὶ, θηρᾶσαί τι ἐκ τοῦ στόματος αὐτοῦ· ὅπερ γὰρ πρὸ ὀλίγου εἶπεν ἀποστοματίζειν, τοῦτο νῦν λέγει θηρεῦσαι ἐκ τοῦ στόματος αὐτοῦ. Ἠρώτων δὲ αὐτὸν, ποτὲ μὲν περὶ τοῦ νόμου, ὡς ἂν βλάσφημον ἐλέγξωσιν αὐτὸν κατηγορήσαντα τοῦ Μωσέως· Τοῦτο γὰρ ὑπενόουν. Ποτὲ δὲ περὶ τῶν τοῦ Καίσαρος, ἵνα ὡς στασιαστὴν αὐτὸν καὶ τυραννῶντα προσαγγείλωσι, καὶ ὅλως, οἷα ἂν ψυχαὶ πονηραὶ καὶ πάσης κακοηθείας ἐννοήσαιεν.

## ΚΕΦΑΛ. ΙΒ'.

Περὶ τῆς ζύμης τῶν Φαρισαίων. Περὶ τοῦ θέλοντος μερίσασθαι τὴν κληρονομίαν. Περὶ οὗ εὐφόρησεν ἡ χώρα πλουσίου. Περὶ τοῦ τῶν γηΐνων καταφρονεῖν. C Περὶ τοῦ φεύγειν τὴν φιλαργυρίαν. Περὶ τοῦ ἀγρύπνου δούλου. Περὶ τοῦ πρὸς τὸν πλησίον μὴ φιλονεικεῖν.

« Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον· Προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις. Οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. Ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων. » Φαρισαῖοι μὲν παγιδεύειν αὐτὸν ἐπειρῶντο ἐν λόγῳ, ὡς ἂν τοὺς ὄχλους ἀποστήσωσιν ἀπ' αὐτοῦ. Τὸ δὲ εἰς τοὐναντίον περιΐστατο. μᾶλλον γὰρ προσίεσαν οἱ ὄχλοι, καὶ εἰς μυριάδας D συλλεγόμενοι, καὶ οὕτως ἐφιέμενοι ἕκαστος πλησιάζειν αὐτῷ, ὥστε καὶ συμπατεῖν ἀλλήλους. Οὕτως ἄρα ἰσχυρὸν ἡ ἀλήθεια, καὶ ὁ δόλος πανταχοῦ ἀσθενής. Ἰησοῦς οὖν ἰδὼν τὸν δόλον τῶν Φαρισαίων, καὶ ὅτι σχηματίζονται μὲν ἐρωτᾶν, τῇ δὲ ἀληθείᾳ παγιδεύουσιν, εἶπε τοῖς μαθηταῖς αὐτοῦ περὶ τῆς ὑποκρίσεως τῶν Φαρισαίων, ἐλέγχων πάντως αὐτοὺς, καὶ τὰς καρδίας αὐτῶν μεστὰς ὑποκρίσεως ἀπογυμνῶν. Ζύμην δὲ καλεῖ τὴν ὑπόκρισιν ὡς ἐξώδη, καὶ τῆς παλαιᾶς κακίας οὖσαν, καὶ μεταποιοῦσαν καὶ συμφθείρουσαν ἑαυτῇ τὰς τῶν ἀνθρώπων γνώμας, οἷς ἂν προσμιγείη. Οὐδὲν γὰρ οὕτως ἀλλοιοῖ τὰ ἤθη, ὡς ἡ ὑπόκρισις. Δεῖ οὖν τοὺς τῷ Χριστῷ μαθητευθέντας τὴν ὑπόκρισιν φεύγειν. Ἀλήθεια γὰρ ὢν ὁ Χριστὸς, προδήλως τῷ ψεύδει ἀντίκειται. Ψεύδους δὲ μεστὴ

πᾶσα ὑπόκρισις, ἄλλο μὲν πλαττομένη, ἄλλο δὲ οὖσα. Οἱ μὲν οὖν Φαρισαῖοι, φησὶν, οἴονται λανθάνειν διὰ τῆς ὑποκρίσεως, τὸ χρηστόηθες αὐτοῖς περιποιούμενοι. Πλὴν οὐδὲν συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυφθήσεται. Πάντα γὰρ καὶ ῥήματα καὶ διανοήματα γυμνὰ παραστήσονται τῷ τελευταίῳ μὲν πάντως κριτηρίῳ, πλὴν κἂν τῷ παρόντι βίῳ πολλὰ τῶν κρυπτομένων γυμνοῦσθαι φιλεῖ· ὅσα οὖν εἴπατε ἐν τῇ σκοτίᾳ καὶ ἐν τοῖς ταμείοις, καὶ κρυφίως ἐλαλήσατε, κηρυχθήσεται ἐπὶ τῷ φωτὶ καὶ ἐπὶ τῶν δωμάτων. Ταῦτα δὲ φαίνεται μὲν πρὸς τοὺς μαθητὰς λέγων, πρὸς δὲ τοὺς Φαρισαίους ἀποτείνεται, τὰς αὐτῶν ἐπιβουλὰς αἰνιττόμενος, καὶ μονονουχὶ τοῦτο δηλῶν αὐτοῖς, κἂν δοκῇ πρὸς τοὺς μαθητὰς ταῦτα λέγειν. Ὅτι, ὦ Φαρισαῖοι, ὅσα ἐν τῇ σκοτίᾳ, τουτέστιν ἐν ταῖς σκοτειναῖς ὑμῶν καρδίαις, ἐμελετήσατε παγιδεῦσαί με θέλοντες, ἐν τῷ φωτὶ ἀκουσθήσεται καὶ γνωσθήσεται· ἐγὼ γάρ εἰμι τὸ φῶς, καὶ οὐ δύνασθέ με λαθεῖν, ἀλλ' ἐν ἐμοὶ τῷ φωτὶ πᾶν ὃ ἡ ὑμετέρα σκοτία βουλεύεται, διαγινώσκεται. Καὶ ὃ πρὸς τὸ οὖς ἀλλήλους συνεβουλεύσασθε, ἀκουστόν μοι γέγονεν οὕτως, ὥσπερ ἂν εἰ ἐπὶ τῶν ὑψηλῶν δωμάτων ἐκηρύχθη. Ταῦτα δὲ δύνασαι νοῆσαι, καὶ ὅτι φῶς μέν ἐστι τὸ Εὐαγγέλιον, καὶ δώματα ὑψηλὰ, αἱ τῶν ἀποστόλων ὑψηλαὶ ψυχαί. Ὅσα δὲ οἱ Φαρισαῖοι ἐβουλεύοντο, ἐκηρύχθησαν ὕστερον, καὶ ἠκούσθησαν ἐν τῷ φωτὶ τοῦ Εὐαγγελίου, ἐπὶ τῶν ἀποστολικῶν ψυχῶν ἱσταμένου τοῦ μεγάλου κήρυκος τοῦ Πνεύματος.

« Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι. Ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε. Φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι, ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν. Ναὶ λέγω ὑμῖν, τοῦτον φοβήθητε. Οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο; Καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. Μὴ οὖν φοβεῖσθε, πολλῶν στρουθίων διαφέρετε. » Ἐπειδὴ τῆς ὑποκρίσεως τῶν Φαρισαίων κατηγόρησεν ὁ Κύριος, καὶ ἀπέστησεν αὐτῆς τοὺς αὐτοῦ μαθητὰς, καὶ ἐν τῷ μέσῳ δὲ πάλιν τοὺς Φαρισαίους ἔπληττε διὰ τοῦ λέγειν· « Ὃ εἴπατε ἐν τῇ σκοτίᾳ, ἀκουσθήσεται ἐν τῷ φωτὶ, » νῦν πρὸς τοὺς φίλους αὐτοῦ τὰ τελειότερα διαλέγεται. Τὰς γὰρ ἀκάνθας ἐξελὼν ἤδη, σπείρει τὸ ἀγαθὸν σπέρμα. Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου· τὰ γὰρ πρότερον λεγόμενα οὐ πρὸς αὐτοὺς ἦσαν, ἀλλὰ πρὸς τοὺς Φαρισαίους· ὑμῖν οὖν λέγω τοῖς φίλοις μου· οὐ πᾶσι γὰρ ἁρμόζει ὁ λόγος οὗτος, ἀλλ' οἳ ἐξ ὅλης ψυχῆς ἠγάπησαν αὐτὸν, καὶ οἳ δύνανται λέγειν· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; Τοῖς τοιούτοις ἁρμόζει αὕτη ἡ παραίνεσις. Μὴ φοβηθῆτε, φησὶν, ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ μηδὲν τούτου πλέον βλάπτειν ἐχόντων. Εἰς γὰρ μικρὸν ἡ ἀφ' αὐτῶν ζημία περιίσταται, σῶμα βλαπτόντων, ὃ τὸ οἰκεῖον πείσεται, κἂν αὐτοὶ μὴ βλάψωσιν. Ἐκεῖνον δὲ ἄξιον φοβεῖσθαι τὸν οὐ μόνον σῶμα κολάζοντα, ἀλλὰ καὶ ψυχὴν, τὸ ἀθάνατον χρῆμα ἀνθανάτοις

A dem est, et aliud fingit. Pharisæi itaque, inquit, latere se putant per hypocrisin, bonos mores sibi effingentes. Atqui nihil occultum est, quod non revelabitur. Omnia enim et verba et cogitationes nudæ ante judicium omnino quidem in supremo illo die apparebunt: quin et in præsenti vita multa eorum quæ occultantur, manifestari solent. Quæcunque igitur in tenebris dixistis, et in promptuariis et occulte locuti estis, prædicabuntur in lumine et in tectis. Et hæc quidem videtur ad discipulos dicere, sed ad Pharisæos dirigit, insidias illorum insinuans: et quasi hoc eis manifestat, quamvis ad discipulos videatur loqui. Quoniam, o Pharisæi, quæcunque in tenebris, hoc est in tenebrosis B vestris cordibus, cogitatis, tentantes me illaqueare, in luce audientur et cognoscentur. Ego enim sum lux, et non potestis a me occultari, sed in meo lumine omnia tenebrarum vestrarum consilia internoscuntur. Et quod inter vos in aures consultatis, ita mihi cognitum est et auditum, perinde ac super summa tecta prædicatum fuisset. Poteris autem illa etiam sic intelligere, quod lux sit Evangelium, et tecta summa apostolorum summæ animæ. Quæcunque autem Pharisæi consultarunt, prædicata sunt postea et audita in lumine Evangelii, stante super apostolicas animas magno prædicatore Spiritu.

VERS. 4-7. « Dico autem vobis amicis meis, ne terreamini **366** ab his qui occidunt corpus, et post C hæc non habent quod amplius faciant. Ostendam autem vobis quem timeatis. Timete eum qui postquam occiderit, habet potestatem conjiciendi in gehennam. Certe dico vobis, hunc timete. Nonne quinque passerculi veneunt minutis assibus duobus? et unus ex illis non est in oblivione coram Deo. Quin et capilli capitis vestri omnes numerati sunt: nolite ergo timere: multis passeribus pluris estis. » Postquam Dominus hypocrisin Pharisæorum accusavit, et discipulos suos ab illa deterruit, et interim Pharisæos iterum perstrinxit per hoc quod dixit: « Quod dixistis in tenebris, audietur in lumine: » nunc ad amicos suos perfectiora loquitur. Ubi enim spinas exsecuit, jam et bonum semen seminat. Dico autem vobis amicis meis. Ea enim D quæ prius dixerat, non ad ipsos, sed ad Pharisæos dicta fuerant. Vobis igitur dico amicis meis. Non enim omnibus sermo ille congruit, sed his qui ex toto corde diligunt et dicere possunt: Quis nos separabit a dilectione Christi[53]? Talibus enim admonitio illa convenit. Ne timeatis, inquit, ab his qui occidunt corpus, et nihil amplius nocere possunt. Parvum enim damnum ab illis eveniat, qui corpori nocent, quod alioqui passurum esset, etiam illis non lædentibus. Ille autem dignus qui timeatur, qui non solum corpus punit, sed et animam, immortalem possessionem, immortalibus subjicit

[53] Rom VIII, 35.

pœnis, iisque ardentibus. Itaque in spiritualem fortitudinem ungit et præparat amicos suos Christus, testesque suos facit, ac humano metu exuit. Homines enim, inquit, iram suam ultra corruptibile corpus extendere nequeunt, finisque insidiarum illorum contra nos carnis mors est. Deo autem puniente, non carnis solum damnum est, sed et misera anima cum suppliciis vadit. Scito autem hoc loco, quod peccatoribus mors ad supplicium infertur, et in hac vita puniuntur cum occiduntur, et in alia dum in gehennam conjiciuntur. Perscrutans autem verbum, etiam aliud quiddam simul intelliges. Vides enim quod non dixit: Metuatis eum, qui postquam occiderit, mittit in gehennam, sed, habentem potestatem mittendi. Non enim semper qui moriuntur peccatores, mittuntur in gehennam, sed sunt in potestate Dei, ut etiam dimitti possint. Hoc autem dico propter oblationes et distributiones quæ fiunt pro defunctis, quæ non parum conducunt etiam his qui in gravibus peccatis mortui sunt. Non omnino igitur postquam occidit mittit in gehennam, sed potestatem habet mittendi. Ne igitur cessemus per eleemosynas et intercessiones propitium reddere eum qui potestatem habet mittendi, non semper autem potestate hac utentem, sed et valentem 367 remittere quiddam. Quoniam autem multi putant morientes pro veritate a Deo derelictos: Ne hoc existimetis vos, inquit; non enim moriemini quasi a me derelicti. Si enim nullus ex passerculis qui venduntur, in oblivione est, multum abest ut vestra mors, qui amici mei estis, talis sit, quasi ego non provideam vobis. Equidem tantam vestri curam gero, ut et omnia vestra subtiliter perspecta sint, et numerati capilli vestri. Quamvis igitur vos in tentationem cadere permittam, suppeditabo tamen ubertim sufferendi vires. Sæpe autem si quem infirmiorem videro, non permitto illum in tentationes incidere. Nam qui sum curator, et omnia bene scio, et numerata habeo etiam minutissima, distribuo unicuique quod suæ mensuræ congruit. Porro si observaveris, in Scriptura invenies numerari omnia virilia et quæ ad mensuram virilis ætatis perveniunt, dignaque divina enumeratione. Per caput autem uniuscujusque Christi fidelium, intelligenda vita Christo grata; per capillos vero ejus, particularia opera, et quibus corpus mortificatur, quæ numerantur apud Deum et supputantur. Talia enim vestra opera divinam visitationem merentur. Jam quidam intelligunt per quinque passerculos, quinque sensus, qui duobus minutis assibus venundantur, hoc est Novo et Veteri Testamento, non sunt in oblivione apud Deum. Quorum enim sensus recte componuntur, et sobrii sunt, et rationi subduntur, ita ut non sint inutiles, sed valde utiles in spiritualem cibum, hi non sunt in oblivione apud Dominum.

VERS. 8-12. « Dico autem vobis, omnis quicunque confessus fuerit in me coram hominibus, et Filius hominis confitebitur in illo coram angelis Dei. Qui

A ὑποβάλλοντα τιμωρίαις, καὶ ταύταις ἐν πυρί, εἰς ἀνδρίαν οὖν πνευματικὴν ἀλείφει τοὺς αὐτοῦ φίλους ὁ Χριστὸς, μάρτυρας αὐτοὺς ἐργαζόμενος, καὶ τὸν τῶν ἀνθρώπων φόβον ἀπ' αὐτῶν ἐκβάλλων. Ἄνθρωποι γὰρ, φησὶ, μέχρι τοῦ φθαρτοῦ σώματος ἐκτείνουσι τὰς ὀργὰς, καὶ πέρας αὐτῶν τῆς καθ' ἡμῶν ἐπιβουλῆς ὁ τῆς σαρκὸς θάνατος· Θεοῦ δὲ κολάζοντος, οὐ μέχρι μόνης σαρκὸς ἡ ζημία στήσεται, ἀλλὰ καὶ αὐτὴ συνυπάγεται ταῖς αἰκίαις ἡ ἀθλία ψυχή. Σημείωσαι δὲ ἐντεῦθεν, ὅτι τοῖς ἁμαρτωλοῖς ὁ θάνατος πρὸς τιμωρίαν ἐπάγεται, κἀνταῦθα κολαζομένοις διὰ τοῦ ἀποκτείνεσθαι, κἀκεῖσε μετὰ ταῦτα εἰς γέενναν ἐμβαλλομένοις. Ἐξετάζων δὲ τὴν λέξιν, καὶ τι ἕτερον ἐννοήσεις. Ὅρα γὰρ ὅτι οὐκ εἶπε· Φοβήθητε τὸν μετὰ B τὸ ἀποκτεῖναι βάλλοντα εἰς τὴν γέενναν, ἀλλ', ἐξουσίαν ἔχοντα βαλεῖν. Οὐ γὰρ πάντως οἱ ἀποθνήσκοντες ἁμαρτωλοὶ βάλλονται εἰς τὴν γέενναν, ἀλλ' ἐν τῇ ἐξουσίᾳ κεῖται τοῦτο τοῦ Θεοῦ, ὥστε καὶ τὸ συγχωρεῖν. Τοῦτο δὲ λέγω διὰ τὰς ἐπὶ τοῖς κεκοιμημένοις γενομένας προσφορὰς καὶ τὰς διαδόσεις, αἳ οὐ μικρὰ συντελοῦσι τοῖς καὶ ἐν ἁμαρτίαις βαρείαις ἀποθανοῦσιν. Οὐ πάντως οὖν μετὰ τὸ ἀποκτεῖναι βάλλει εἰς τὴν γέενναν, ἀλλ' ἐξουσίαν ἔχει βαλεῖν. Μὴ τοίνυν ἐλλείψωμεν ἡμεῖς, σπουδάζοντες δι' ἐλεημοσυνῶν καὶ πρεσβειῶν ἐξιλεοῦσθαι τὸν ἐξουσίαν μὲν ἔχοντα βαλεῖν, οὐ πάντως καὶ τῇ ἐξουσίᾳ ταύτῃ χρώμενον, ἀλλὰ καὶ συγχωρεῖν δυνάμενον. Ἐπεὶ δὲ πολλοὶ τὸν ὑπὲρ τῆς ἀληθείας θάνατον ἐγκατάλειψιν οἴονται Θεοῦ· Μὴ τοῦτο, φησὶν, ὑμεῖς οἰηθῆτε. Οὐ γὰρ ὡς ἐγκαταλιμπανόμενοι ὑπ' ἐμοῦ, μέλλετε θνήσκειν. Εἰ C γὰρ καὶ τῶν στρουθίων τῶν πωλουμένων οὐδὲν ἀνεπίληστον, πολλοῦ δεῖ ὁ ὑμέτερος θάνατος τῶν ἐμῶν φίλων γενέσθαι, ὡς μὴ προνοουμένου ὑμῶν ἐμοῦ. Τοσαύτην γὰρ ὑμῶν ποιοῦμαι τὴν πρόνοιαν, ὥστε ἕκαστα τῶν ὑμετέρων εἰδέναι λεπτῶς, καὶ οἷον ἠριθμημένας ἔχειν τὰς τρίχας ὑμῶν· κἂν τοίνυν εἰς πειρασμὸν ἐάσω ὑμᾶς εἰσελθεῖν, χορηγήσω πάντως καὶ τὴν εἰς τὸ ὑπομεῖναι δύναμιν. Πολλάκις δὲ εἴ τινα ἀσθενῆ ἴδω, οὐδὲ ἐμπεσεῖν αὐτὸν συγχωρήσω πειρατηρίῳ. Κηδεμὼν γὰρ ὢν, καὶ πάντα εἰδὼς, καὶ ἠριθμημένα ἔχων καὶ τὰ λεπτότατα, ἑκάστῳ τὸ κατ' ἀξίαν καὶ τὸ πρόσφορον οἰκονομῶ. Ἐπιτηρήσας δὲ εὑρήσεις ἐν τῇ Γραφῇ ἀριθμούμενα πάντα τὰ ἀνδρεῖα, καὶ εἰς μέτρον ἡλικίας φθάσαντα, καὶ ἄξια ἁπλῶς θείας ἀπαριθμήσεως. Κεφαλὴν οὖν ἑκάστου D τῶν πιστῶν τὴν χριστοπρεπῆ πολιτείαν νοητέον. Τρίχας δὲ ταύτης τὰς κατὰ μέρος νεκροτέρας τοῦ σώματος πράξεις, αἳ ἀριθμοῦνται παρὰ Θεῷ, καὶ ἐν λόγῳ τίθενται. Αἱ γὰρ τοιαῦται ὑμῶν πράξεις θείας ἐπισκοπῆς ἀξιοῦνται. Νοοῦσι δέ τινες, πέντε στρουθία, τὰς πέντε αἰσθήσεις, αἳ δύο ἀσσαρίων πωλούμεναι, τουτέστι διὰ Καινῆς καὶ Παλαιᾶς Διαθήκης, ἀνεπίληστοί εἰσι παρὰ τῷ Θεῷ. Ὧν γὰρ αἱ αἰσθήσεις ῥυθμίζονται καὶ προσάγονται τῷ λόγῳ, ὥστε μὴ εἶναι ἀχρεῖαι εἰς πνευματικὴν βρῶσιν, οὗτοι ἀνεπίληστοι τῷ Κυρίῳ.

« Λέγω δὲ ὑμῖν, πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσῃ ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων

τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὅς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεταί αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅτ' ἂν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς Συναγωγὰς, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε, πῶς ἢ τί ἀπολογήσησθε, ἢ τί εἴπητε· τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.» Νῦν τὸ ἔπαθλον τῆς μαρτυρίας προτίθησιν. Ἐπεὶ γὰρ εἶπε, Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ προσεῖπεν, ὅτι, Καὶ αἱ τρίχες ὑμῶν ἠρίθμηνται, ἵνα μή τις εἴπῃ· Δός μοι καὶ μισθόν τινα· τί γάρ μοι μέλλει εἰ τὰς τρίχας ἔχεις ἠριθμημένας; φησί· Θέλεις καὶ μισθόν; ἄκουε· Ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ, ὁμολογηθήσεται ἐνώπιον τοῦ Θεοῦ. Τὸ δὲ, Ὁμολογήσῃ ἐν ἐμοὶ, εἶπεν, ἀντὶ τοῦ, Μετὰ τῆς ἐμῆς συνεργείας, καὶ ἐν τῇ ἐμῇ δυνάμει· Ὁμολογήσω γοῦν κἀγὼ ἐν αὐτῷ, τουτέστιν, ὑπ' αὐτοῦ συνεργούμενος. Χρήζομεν γὰρ καὶ ἡμεῖς, προηγουμένως τοῦ Θεοῦ· οὐδὲν γὰρ χωρὶς ἐκείνου δυνάμεθα· καὶ ὁ Θεὸς πάλιν χρήζει ἡμῶν· ἐὰν γὰρ μὴ εὕρῃ ἐν ἡμῖν ἔργα ἄξια, οὐδὲ προσλαμβάνεται ἡμᾶς, ἢ γὰρ ἂν προσωπολήπτης εἴη. Ὁμολογοῦμεν οὖν ἡμεῖς ἐν αὐτῷ, τουτέστιν ἐν τῇ αὐτοῦ συνεργείᾳ. Καὶ αὐτὸς ἐν ἡμῖν, τουτέστιν ἐν τῇ ἡμῶν συνεργείᾳ. Εἰ μὴ γὰρ δώσομεν αὐτῷ ἀφορμὴν, οὐδὲ ὁμολογήσει ὑπὲρ ἡμῶν. Ὁ δὲ ἀρνούμενος, οὐκ ἐν τῇ τοῦ Θεοῦ δυνάμει ἀρνεῖται. Διὸ οὐδὲ προσέθηκε τὸ, ἐν ἐμοὶ, ἀλλ', ὁ ἀρνησάμενός με, μήποτε δὲ καθὸ πᾶς ἅγιος ἐν τῷ Χριστῷ μένει, καὶ ὁ Χριστὸς ἐν αὐτῷ, κατὰ τοῦτο εἴρηται τό· Ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ, τουτέστι μένων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ μένων· καὶ πᾶς ὃς ἂν ἐρῇ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ. Τοῦτ' ἔστι, ὃς βλασφημήσει εἰς ἐμὲ τὸν φαινόμενον Υἱὸν ψιλὸν τοῦ ἀνθρώπου, καὶ ἐσθίοντα, καὶ πίνοντα, καὶ μετὰ τελωνῶν διάγοντα καὶ πορνῶν, συγγνωστὸς, κἂν μετανοήσῃ, κἂν μή. Οὐ γὰρ λογίζεται αὐτῷ ἁμαρτία μὴ πιστεύοντι. Τί γὰρ εἶδεν, ἵνα πιστεύσῃ; Τί δὲ μᾶλλον οὐκ εἶδεν ἄξιον δυσφημίας; Εἶδεν ἄνθρωπον, πόρναις συνδιάγοντα, καὶ βλασφημεῖ εἰς αὐτόν· οὐ λογίζεται οὖν αὐτῷ ἁμαρτία. Εἰκὸς γὰρ ἔπαθε· πῶς γὰρ Υἱὸς Θεοῦ, ὁ πόρναις συνδιάγων; βλασφημήσει τοίνυν καὶ πλάνον ἀποκαλέσει τὸν οὕτω μὲν διάγοντα, Υἱὸν δὲ Θεοῦ ἑαυτὸν ποιοῦντα. Ὅταν δέ τις εἰς τὸ ἅγιον Πνεῦμα βλασφημῇ, ἀσύγγνωστος. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ὅταν θεοσημείας βλέπων, καὶ ἔργα μεγάλα καὶ ἐξαίρετα ἀπιστῇ καὶ συκοφαντῇ, τὰς τοῦ ἁγίου Πνεύματος ἐνεργείας τῷ Βεελζεβοὺλ προσανατιθεὶς, τότε βλασφημῶν εἰς τὸ ἅγιον Πνεῦμα, καὶ ἐν πνεύματι πονηρῷ καὶ οὐ θείῳ τὰ σημεῖα γίνεσθαι λέγων, ἀσύγγνωστός ἐστι, καὶ οὐκ ἔσται ἀθῷος, εἰ μὴ μετανοήσει. Τῷ μὲν εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου βλασφημοῦντι, οὐδὲ ἁμαρτία ἐλογίζετο, διὸ καὶ μὴ μετανοῶν συγγνωστέος. Τῷ δὲ θείου Πνεύματος ἔργα ὁρῶντι, καὶ βλασφημοῦντι, χωρὶς μετανοίας οὐκ ἀφεθήσεται. Ἁμάρτια γὰρ

A autem negaverit me coram hominibus, negabitur coram angelis Dei. Et quisquis loquitur dictum in Filium hominis, remittetur illi: ei vero qui in Spiritum sanctum convicium dixerit, non remittetur. Cum autem adduxerint vos ad Synagogas, et ad magistratus ac potestates, nolite solliciti esse qualiter aut quid respondeatis, aut quid dicatis. Spiritus enim sanctus docebit vos in eadem hora quid oporteat vos dicere.» Nunc autem præmium martyrii adjicit. Postquam enim dixit, Ne timeatis ab his qui occidunt corpus: et adjecit quod Capilli vestri numerati sunt: ne quis dicat: Da mihi etiam mercedem aliquam: quid enim mihi profuerit si capillos numeraveris? Vis, inquit, etiam mercedem? audi: Quisquis confitebitur in me, agnoscetur coram Deo. In me, B dicit, confitebitur, hoc est meo adjutorio adjutus, et mea virtute: confitebor igitur et ego in illo, hoc est sub ipso cooperans. Opus enim habemus et nos Deo duce, sine quo nihil possumus: et Deus quoque opus habet nobis. **368** Si enim non invenerit in nobis opera digna, neque nos assumet: alioqui personarum acceptor esset. Confitemur igitur et nos in illo, hoc est in ejus cooperatione: et ipse in nobis, hoc est in nostra cooperatione. Si enim non dederimus ei occasionem, non confitebitur pro nobis. Qui autem negaverit, non in virtute Dei negat: ideo non apponit, in me, sed, qui negaverit me. Quid autem si etiam juxta id quod omnis sanctus manet in Christo, et Christus C manet in eo, istud quoque dictum est: « Quisquis confitebitur in me, hoc est in me manens, confitebor utique et ego in illo manens[54]. Et omnis qui dixerit sermonem in Filium hominis, remittetur ei.» Hoc est, qui blasphemaverit in me, qui videor purus Filius hominis, et comedo, et bibo, et cum publicanis et scortis versor, veniam consequi poterit, sive pœnituerit, sive non. Non enim imputatur ei peccatum si non credat. Quid enim vidit ut credat? vel potius, qui non vidit convicio dignum? Vidit hominem versantem cum scortis, et ideo blasphemat eum: non igitur imputatur ei peccatum. Verisimile enim visum est: nam quomodo Filius Dei, qui cum scortis versatur? Blasphemat igitur et impostorem vocat eum, qui sic conversatur, et facientem se Filium Dei. Quando autem D quis convicium dixerit in Spiritum sanctum, non remittetur ei. Quod vero dicit, hunc sensum habet: Quando videns divina miracula, et opera magna et præcellentia discredit, et calumniatur Spiritus sancti operationes, illas Beelzebul attribuens, is blasphemat et convicium dicit in Spiritum sanctum; et in spiritu maligno et non divino miracula fieri dicens, veniam non consequetur, et non erit innocens, si non pœnituerit. Ei enim qui Filium hominis blasphemat, peccatum non imputatur: ideo etsi non agat pœnitentiam, veniam consequetur. Videnti autem divini Spiritus opera, et blas-

[54] Matth. x, 32.

phemanti, absque pœnitentia peccatum non remittetur: peccatum enim maximum habetur. Cum autem adduxerint vos ad magistratus et potestates, etc. Quia infirmitas nostra duplex est, et vel propter timorem pœnarum fugimus martyrium, vel propter simplicitatem, eo quod non possumus reddere rationem nostræ fidei: sanavit quidem metum qui ex pœnis, quia dixit: Ne timeatis eos a quibus occiditur corpus. Sanat quoque nunc metum qui ex simplicitate; nam quoniam non multi sapientes secundum carnem crediderunt, sed plures laici: Ne timeas, inquit, qui simplex es, et agrestis ac idiota, neque sollicitus sis quomodo vel quid respondeas tyranno, cum interrogatus fueris, vel quid dicas: alius concionandi modus erit. Spiritus enim sanctus docebit vos in illa hora quæ
369 loqui oporteat: atque ita quid fuerit opus sollicitudine, si quidem in illa hora a Spiritu sancto docendus eris? Sic igitur utroque modo nos ad martyrium instruit: sanat metum qui est ex corporali infirmitate, et qui ex simplicitate.

Vers. 13-15. « Ait autem ei quidam de turba: Magister, dic fratri meo ut dividat mecum hæreditatem. At ille dixit ei: Homo, quis me constituit judicem aut divisorem super vos? Dixitque ad illos: Videte et cavete ab avaritia, quia non in abundatia cujusquam vita ejus est ex iis quæ possidet. » Docens nos Dominus quomodo oporteat contemnere temporalia, et quod non opus sit multum occupari in terrenis, dimittit a se eum qui vocaverat se ut partiretur hæreditatem paternam; ideo et dicit: Quis me constituit judicem vel divisorem super vos? Quoniam enim ille omiserat petere utilia, et animæ saluti conferentia, in terrenis et temporalibus negotiis quærebat ipsum facere divisorem: cujus gratia quasi obstreperum, et nihil ex utilibus discere volentem, dimittit, idque mansuete et non austere faciens. Docet autem omnino per hoc omnes et qui tunc et qui nunc audiunt, omnia quidem terrena negligenda, et ob temporalia negotia non contendendum cum fratribus, cedendum autem magis illis, etiamsi velint avari esse. Ab eo enim, inquit, qui aufert tua, ne repetas. Quærenda igitur quæcunque utilia et necessaria sunt ad salutem animæ; ideo et subdidit dicens: Videte et custodite vos ab avaritia, ut a diabolica quadam fovea admonet nos ut fugiamus. Ad quos autem dixit: Videte et custodite vos ab avaritia? Ad duos illos fratres, quoniam de hæreditate illi contendebant. Verisimile autem erat, unum ex illis duobus alterum injuria affecisse, et propterea de avaritia cum illis loquitur. Magnum enim hoc malum: idcirco et Paulus idololatriam ipsam vocat: forte quod ad solos pertineat qui Deum ignorant: vel, id quod etiam verius, quia idola gentium, argentum et aurum. Igitur qui colit argentum et aurum, similis est idolorum cultoribus. Eamdem enim materiam adorant et amplexantur uterque. Supervacua itaque fugienda. Quare?

A μεγίστη λογισθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ τὰ ἑξῆς. Ἐπειδὴ ἡ ἀσθένεια ἡμῶν διττὴ, καὶ ἢ διὰ φόβον κολάσεων ἀποφεύγομεν τὸ μαρτύριον, ἢ δι' ἀγροικίαν, καὶ τὸ μὴ δύνασθαι δοῦναι λόγον τῆς ἐν ἡμῖν πίστεως· ἰάσατο μὲν τὸν ἐπὶ ταῖς κολάσεσι φόβον διὰ τοῦ εἰπεῖν, Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, ἰᾶται δὲ νῦν καὶ τὸν ἐπὶ τῇ ἀγροικίᾳ. Ἐπεὶ γὰρ οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα ἐπίστευσαν, ἀλλ' οἱ πλείους ἰδιῶται, Μὴ φοβοῦ, φησὶ, ὁ ἄγροικος καὶ ἰδιώτης, μηδὲ μερίμνα πῶς ἢ τί ἀπολογήσῃ τῷ τυράννῳ ἐρωτώμενος ἢ τί εἴπῃς· ἄλλον τρόπον δημηγορῶν· τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν. Ὥστε,
B τίς χρεία τοῦ φροντίζειν, εἴγε ἐν αὐτῇ τῇ ὥρᾳ μέλλεις ὑπὸ τοῦ Πνεύματος διδάσκεσθαι; οὕτως οὖν ἀμφοτέρωθεν εἰς τὸ μαρτύριον ἡμᾶς ἐπαλείφει, τόν τε ἐπὶ τῇ σωματικῇ ἀσθενείᾳ φόβον, τόν τε ἐπὶ τῇ ἀγροικίᾳ ἰώμενος.

« Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου· Διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονομίαν. Ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπε, τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς; Εἶπε δὲ πρὸς αὐτούς· Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτῷ. » Διδάσκων ἡμᾶς ὁ Κύριος, πῶς δὲ καταφρονεῖν τῶν βιωτικῶν, καὶ ὅτι οὐ δεῖ περισπᾶσθαι περὶ τὰ γήϊνα, ἀποπέμπεται τὸν προσκαλούμενον αὐτὸν εἰς τὸ μερίσασθαι τὴν πατρῴαν
C κληρονομίαν. Διὸ καὶ φησι· Τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς; Ἐπειδὴ γὰρ ἐκεῖνος, καταλιπὼν αἰτεῖν τὰ χρήσιμα καὶ πρὸς ψυχικὴν σωτηρίαν συμφέροντα, περὶ γηΐνων καὶ προσκαίρων πραγμάτων μεριστὴν αὐτὸν γενέσθαι ᾐτεῖτο, τούτου χάριν ὡς ὀχληρὸν καὶ οὐδὲν ἐθέλοντα μαθεῖν τῶν δεόντων ἀποπέμπεται, καὶ τοῦτο πράως ποιῶν καὶ οὐκ ἐπιπληκτικῶς. Πείθει δὲ πάντως διὰ τούτου πάντας τοὺς καὶ τότε καὶ νῦν ἀκούοντας παντὸς μὲν ἀμελεῖν προσκαίρου καὶ γηΐνου πράγματος, μὴ φιλονεικοῦντας ἀδελφοῖς, εἴκοντας δὲ μᾶλλον αὐτοῖς, κἂν βούλωνται πλεονεκτεῖν. Ἀπὸ γὰρ τοῦ αἴροντος, φησὶ, τὰ σὰ μὴ ἀπαίτει, ζητοῦντας ὅσα πέρ ἐστι χρήσιμα καὶ ἀναγκαῖα πρὸς σωτηρίαν ψυχῆς. Διὸ καὶ ἐπήγαγε λέγων· Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς
D πλεονεξίας, ὡς βόθρον τινὰ διαβολικὸν παραινῶν ἡμῖν ταύτην ἀποφεύγειν. Πρὸς τίνας δὲ τοῦτο εἶπε, Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας; Πρὸς τοὺς δύο τούτους ἀδελφούς· ἐπεὶ γὰρ περὶ κληρονομίας ἦν αὐτοῖς ἡ ἀμφιβολία, εἰκὸς δὲ ἦν τῶν δύο τούτων τὸν ἕνα ἀδικεῖν τὸν ἕτερον, διὰ τοῦτο περὶ πλεονεξίας αὐτοῖς διαλέγεται. Μέγα γὰρ τοῦτο κακόν· διὸ καὶ Παῦλος, εἰδωλολατρείαν τοῦτο καλεῖ, τάχα ὡς μόνοις πρέπον τοῖς μὴ εἰδόσι Θεόν· ἢ ὅπερ καὶ ἀληθέστερον, ἐπεὶ τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον. Ὅμοιος τοῖς εἰδωλολάτραις ὁ τιμῶν τὸ ἀργύριον καὶ τὸ χρυσίον· τὴν γὰρ αὐτὴν ὕλην προσκυνοῦσι καὶ περιέπουσιν ἀμφότεροι. Δεῖ

οὖν φεύγειν τὸ περιττόν. Διατί; Διότι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστι, τουτέστιν, οὐ συνεκτείνεται τὸ τῆς ζωῆς μέτρον τῇ περιουσίᾳ· οὐ γὰρ δὴ ὁ ἔχων πολλὰ, ἤδη που καὶ ἐς μακρὸν ζήσεται, οὐδὲ ἀκολουθεῖ τῷ πλήθει τοῦ πλούτου ἡ μακροζωΐα. Τοῦτο δὲ λέγει ὁ Κύριος, ἀνατρέπων τοὺς τῶν φιλοπλούτων λογισμούς· ἐπειδὴ γὰρ οἱ φιλόπλουτοι δοκοῦσιν ὡς φιλόζωοι περιέπειν τὸν πλοῦτον, καὶ ὡς ἐπὶ μακρὸν μέλλοντες βιώσεσθαι, πανταχόθεν συνάγειν, φησίν· Ἄθλιε καὶ ταλαίπωρε, μὴ γὰρ ἐκ τοῦ ἔχειν, πολλὰ προσγενήσεταί σοι καὶ τὸ μακρόβιον; τί τοίνυν κακοπαθεῖς προδήλως ὑπὲρ τῆς ἀδήλου ἀναπαύσεως; Ἄδηλον μὲν γὰρ, εἴγε φθάσεις εἰς γῆρας, οὗ εἵνεκα θησαυρίζεις. Πρόδηλον δὲ ὅτι νῦν δαπανᾷ περὶ τὸν πορισμὸν τῶν χρημάτων.

« Εἶπε δὲ παραβολὴν πρὸς αὐτοὺς λέγων· Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα, καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων· Τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου; Καὶ εἶπε· Τοῦτο ποιήσω, καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου, καὶ τὰ ἀγαθά μου, καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλὰ, ἀναπαύου, φάγε, πίε, εὐφραίνου. Εἶπε δὲ αὐτῷ ὁ Θεός· Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν. » Εἰπὼν ὅτι οὐ τῇ περισσείᾳ τῶν χρημάτων καὶ ἡ τοῦ ἀνθρώπου ζωὴ συμπαρεκτείνεται, πρὸς βεβαίωσιν τούτου ἐπιφέρει καὶ παραβολήν. Καὶ ὅρα πῶς ὑπογράφει ἡμῖν ἀνοήτου πλουσίου ἀπλήστους λογισμούς. Ὁ μὲν γὰρ Θεὸς τὰ ἑαυτοῦ ἐποίει, καὶ τὴν οἰκείαν εὐσπλαγχνίαν ἐπεδείκνυτο· οὐ γὰρ ἓν γήδιον τοῦ πλουσίου, ἀλλ' ὅλη ἡ χώρα εὐφόρησεν. Ὁ δὲ οὕτως ἦν ἄκαρπος περὶ τὴν εὐσπλαγχνίαν, ὥστε πρὶν ἢ λαβεῖν, συνεῖχεν. Ὅρα δὲ καὶ τὰς τοῦ πλουσίου ἡδονὰς, Τί ποιήσω; Τοιαύτας φωνὰς οὐχὶ καὶ ὁ πένης λέγει, τί ποιήσω, ὅτι οὐκ ἔχω πῶς τραφήσομαι, πῶς ἐνδύσομαι; Ἴδε μοι καὶ τὰς τοῦ πλουσίου φωνάς· Τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου; Καλή γε ἀνάπαυσις. Εἴγε καὶ ὁ πένης φησί· Τί ποιήσω, ὅτι οὐκ ἔχω; καὶ ὁ πλούσιος, Τί ποιήσω, ὅτι οὐκ ἔχω; τί τοίνυν συνάγομεν ἐκ τοῦ πλείω συνάγειν; ἀνάπαυσιν μὲν γὰρ οὐ κερδαίνομεν. Καὶ δῆλον ἀπὸ τῶν φροντίδων, ἁμαρτιῶν δὲ μόνον πλῆθος ἑαυτοῖς ἐπισωρεύομεν Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. Ἐὰν δὲ πλέον εὐφορήσῃ εἰς τὸ μέλλον ἡ χώρα, πάλιν καθαιρήσεις, καὶ πάλιν οἰκοδομήσεις· καὶ τίς χρεία καθαιρεῖν καὶ οἰκοδομεῖν; Ἔχεις ἀποθήκας τῶν πτωχῶν τὰς γαστέρας, πολλὰ δυναμένας χωρεῖν, καὶ ἀκαταλύτους καὶ ἀφθάρτους· οὐράνιοι γὰρ εἰσι καὶ θεῖαι, εἴπερ ὁ τρέφων πένητα, Θεὸν τρέφει. Ὅρα δὲ καὶ ἕτερον ἀνόητον. Τὰ γεννήματά μου, καὶ τὰ ἀγαθά μου. Οὐ γὰρ ἐνόμιζε ταῦτα ἔχειν ἐκ Θεοῦ, ἢ γὰρ ἂν, ὡς Θεοῦ οἰκονόμος, περὶ ταῦτα διέκειτο. Ἀλλ' οἰκείων πόνων γεννήματα ταῦτα ᾤετο, διὸ καὶ ἑαυτῷ ταῦτα σφετεριζόμενος, Τὰ γεννήματά μου καὶ τὰ ἀγαθά μου, ἔλεγεν· οὐδένα γάρ, φησιν, ἔχω κοινωνὸν, οὐδένα

A Quia non in abundanti quodam vita illis est : id est, vitæ mensura non simul extenditur cum ipsa abundantia, neque enim qui multa possidet, diutius vivit : neque comitatur divitiarum multitudinem vitæ longævitas. Hoc autem dicit Dominus confutans cogitationes amantium divitias. Quoniam enim divitiarum amatores existimant quod multo tempore divitias possessuri sint, et quasi diu victuri, undequaque opes colligunt, dicit : Miser et ærumnose, nunquid ex multorum possessione vita tua productior erit? cur igitur affligeris manifeste pro 370 incerta quiete? Incertum enim num ad senectutem pertingas, cujus gratia thesaurizas : manifestum autem quod nunc insumis in opes B conquirendas.

Vers. 16-21. « Dixit autem similitudinem ad illos, dicens : Hominis cujusdam divitis uberes fructus ager attulit, et cogitabat intra se, dicens : Quid faciam, quod non habeam quo congregem fructus meos? Et dixit : Hoc faciam, destruam horrea mea, et majora exstruam, et congregabo illuc omnia bona mea quæ mihi nata sunt, et dicam animæ meæ : Anima, habes multa bona reposita in annos multos, requiesce, comede, bibe, gaude. Dixit autem illi Deus : Stulte, hac nocte animam tuam repetent abs te : quæ vero parasti, cui cedent? Sic qui recondit sibi, nec est erga Deum dives. » Postquam dixit vitam hominis non produci cum divitiarum abundantia, ad confirmationem ejus affert C etiam parabolam : et vide quomodo describit nobis insatiabiles stulti divitis cogitationes. Deus enim sua faciebat, et solitam ostendebat misericordiam, ut non unus tantum divitis agellus, sed tota regio uberes illi fructus afferret : verum hic tam immisericors erat, ut antequam reciperet ea, clauderet. Vide item et divitis voluptates. Quid faciam? Neutiquam pauper ita loqueretur. quid faciam, quia non habeo quomodo induar, quomodo alar? Vide autem et divitis voces: Quid faciam, quia non habeo ubi congregem fructus meos? Bona quidem est quies. Siquidem et pauper dicit: Quid faciam, quia non habeo? et dives dicit : Quid faciam quia non habeo? Quid igitur lucramur ex eo quod plura D congregamus? Quietem enim non lucramur, et manifestum id, quod a curis : tantum autem peccatorum multitudinem nobis accumulamus. Destruam horrea mea, et majora exstruam : quod si regio plures in posterum fructus attulerit, iterum illa destrues, et alia ædificabis. Et quæ utilitas destruendi et exstruendi? Habes horrea, pauperum ventres, quæ multa capere possunt, quæque incorruptibila sunt : cœlestia enim sunt, et divina : quandoquidem qui pascit pauperem, Deum pascit. Vide item et aliam insipientiam. Proventus meos, hoc est quæ mihi nata sunt, et bona mea. Non enim putabat hæc se habere ex Deo, alioquin ut dispensator Dei aliter hæc disposuisset : sed suis laboribus parta putabat, idcirco et sibi hæc tribuens, bona sua et sibi nata dicebat, quasi diceret :

**Nullum habeo socium, nullum divisorem facio : non Dei sunt, sed mea : solus igitur fruar, et ad fruitionem illorum Deum non assumam. Quia autem ista stulta, videamus et reliqua. Anima, habes multa bona reposita in multos annos. Longam sibi præstituit vitam, quasi et illam, terram colendo excoluisset : non enim et illa tibi inde nata est, neque hoc tuum 371 bonum. Comede, bibe, lætare. Euge qualia animæ bonæ affectiones: nam comedere et bibere, irrationalis animæ bonum est : igitur cum etiam ipse talem animam sortitus sis, merito illi hæc tribuis. Rationalis vero animæ bonum est, intelligere, ratiocinari, lætari in lege Dei et bonis cogitationibus. Non sufficit autem tibi et comedere et bibere, o stulte, sed et abominabilem voluptatem et turpissimam, quæ hanc consequitur, animæ imperas? Clare enim Dominus per hoc quod dicit, Lætare, affectiones declaravit libidinosas et intemperatas, quæ satietatem ciborum et potuum comitantur. Dixit autem ei Deus : Stulte, hac nocte animam tuam repetent. Non hoc dicitur quasi Deus familiare colloquium habeat cum divite, Dixit ei Deus; sed sensum hunc habet quod dicit, Cum hæc ille in mente haberet, dixit Deus (fingitur enim hæc parabola) : Stulte. Stultum igitur illum vocat, ut qui prorsus insulsa cogitet, quemadmodum declaravimus. Insipiens enim est et vanus omnis qui talis est, sicut et David dicit : Vane omnis homo,[55] et causa est : thesaurizat et nescit cui congreget ea. Nam quo pacto non est insipiens, qui ignorat quod vitæ mensura apud solum Deum, nec sibi quisquam suam vitam definire possit? Observa item et verbum, Repetent. Angeli enim sicut crudeles tributorum exactores et terribiles, tuam repetent animam, te etiam invito, utpote propter vitæ præsentis immodicum amorem, obluctante. Nam a justo non repetitur anima, sed ille gaudens et exsultans commendat eam Deo Patri spirituum, neque mortem ægre fert. Corpore enim circumamictus est ut onere, quod leviter deponit. Peccator vero qui animam carni subdidit corpori nimium affectus, etiam illam fecit carnem, indivulsam eam habere vult : idcirco dicitur ab eo repetita, sicut ab inobediente quodam debitore qui traditur crudelibus exactoribus. Vide quoque quod non dixit : Repeto animam tuam : sed, Repetent. Justorum enim animæ in manu Dei. Et profecto in nocte ab hujusmodi repetitur anima. Non enim habet lumen divinæ scientiæ sibi fulgens, sed cum est in nocte cupiditatis divitiarum, et ab illa obtenebratur, morte comprehenditur. Sic utique stultus est qui sibi thesaurizat, et insipiens dicitur, et non perficit cogitationem suam, sed in ipso cogitationis momento ex tota vita abscinditur. At si pauperibus et Deo congregasset, non sic se habuisset, curemus igitur, ut divites fiamus in Deo, hoc est ut in illo fiduciam habeamus et ut illum habeamus divitias**

A μεριστὴν ποιοῦμαι, οὐ τοῦ Θεοῦ εἰσιν, ἀλλ' ἐμὰ, μόνος οὖν ἀπολαύσω· οὐ τὸν Θεὸν προσλήψομαι εἰς τὴν τούτων ἀπόλαυσιν. Ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἀνόητα, ἴδωμεν καὶ τὰ ἑξῆς. Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά. Μῆκος ἑαυτῷ ὁρίζει ζωῆς, ὥσπερ καὶ τοῦτο ἐκ τῆς γεωργήσας· μὴ γὰρ καὶ τοῦτο γέννημα σὸν, μὴ γὰρ καὶ τοῦτο ἀγαθὸν σόν. Φάγε, πίε, εὐφραίνου. Εὖγε τῶν ἀγαθῶν τῆς ψυχῆς· τὸ γὰρ φαγεῖν καὶ τὸ πιεῖν, ἀλόγου ψυχῆς ἀγαθόν· τοιαύτην οὖν ἔχων καὶ αὐτὸς ψυχὴν, εἰκότως αὐτῇ ταῦτα προσανατίθης. Λογικῆς δὲ ψυχῆς ἀγαθὸν, νοῆσαι, λογίσασθαι, εὐφρανθῆναι νόμῳ Θεοῦ καὶ διανοήμασιν ἀγαθοῖς. Οὐκ ἀρκεῖ δέ σοι το φαγεῖν καὶ πιεῖν, ὦ ἄφρον, ἀλλὰ καὶ τὴν ἐπακολουθοῦσαν B τούτοις αἰσχίστην καὶ μυσαρὰν ἡδονὴν ἐπιτάττεις τῇ ψυχῇ; Εὐφήμως γὰρ ὁ Κύριος διὰ τοῦ, Εὐφραίνου, τὰ ἀσελγέστατα πάθη ἐδήλωσεν, ἃ τῇ πλησμονῇ τῶν βρωμάτων καὶ πομάτων παρέπεται. Εἶπε δὲ αὐτῷ ὁ Θεός· Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σου. Οὐχ ὡς τοῦ Θεοῦ τῷ πλουσίῳ ὁμιλήσαντος λέγεται τὸ, Εἶπε δὲ αὐτῷ ὁ Θεὸς, ἀλλὰ τοιοῦτόν τι λέγει, ὅτι ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου, εἶπεν ὁ Θεὸς (πλάττεται γὰρ ταῦτα ἡ παραβολή)· Ἄφρον. Ἄφρονα μὲν οὖν αὐτὸν ὀνομάζει, ὡς πάντη ἀνόητα βουλευσάμενον, καθὰ δὴ ἀπεδείξαμεν. Ἄφρων γὰρ καὶ μάταιος πᾶς τοιοῦτος, κατὰ καὶ Δαυὶδ λέγει· Μάτην πᾶς ἄνθρωπος· καὶ ἡ αἰτία, θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά· πῶς γὰρ οὐκ ἄφρων, ὁ μὴ γνοὺς ὅτι ζωῆς μέτρα παρὰ μόνῳ τῷ Θεῷ, καὶ C οὐκ αὐτός τις ἕκαστος ἑαυτῷ ὁριστὴς τῆς ζωῆς, Ὅρα δὲ καὶ τὴν λέξιν τοῦ, Ἀπαιτοῦσιν. Ὥσπερ γάρ τινες ἀπηνεῖς φορολόγοι, φοβεροὶ ἄγγελοι τὴν ψυχήν σου ἀπαιτοῦσιν ἄκοντος, οἷα διὰ φιλοζωΐαν ἀντιποιουμένου τῶν ἐνταῦθα· ὁ μὲν γὰρ δίκαιος οὐκ ἀπαιτεῖται τὴν ψυχὴν, ἀλλὰ παρατίθεται ταύτην τῷ Θεῷ καὶ Πατρὶ τῶν πνευμάτων, χαίρων καὶ ἀγαλλόμενος, καὶ οὐδὲ δυσφορεῖ περὶ τὴν ἀπόθεσιν· ἐλαφρὸν γὰρ φορτίον τὸ σῶμα περίκειται· ὁ δέ γε ἁμαρτωλὸς κατασαρκώσας τὴν ψυχὴν, καὶ προσσωματοποιώσας αὐτὴν, καὶ γῆν ποιήσας, δυσαποσπάστως αὐτὴν ἔχειν παρεσκεύασε, διὸ καὶ ἀπαιτεῖσθαι ταύτην λέγεται, ὥσπερ τις χρεώστης ἀπειθὴς πράκτορσιν ἀπηνέσι παραδιδόμενος. Ὅρα δὲ πῶς D οὐκ εἶπεν· Ἀπαιτῶ τὴν ψυχήν σου, ἀλλ', Ἀπαιτοῦσι· τῶν δικαίων γὰρ αἱ ψυχαὶ ἐν χειρὶ Θεοῦ. Τῷ ὄντι οὖν ἐν νυκτὶ ἀπαιτεῖται τὴν ψυχὴν ὁ τοιοῦτος. Οὐ γὰρ ἔχει φῶς θείας ἐπιγνώσεως ἐπιλάμπον αὐτῷ, ἀλλ' ἐν νυκτὶ τῆς φιλοπλουτίας ὤν, καὶ ὑπὸ ταύτης ἐσκοτισμένος, θανάτῳ καταλαμβάνεται· οὕτως ἄρα ὁ θησαυρίζων ἑαυτῷ, ἄφρων δηλαδὴ καλούμενος, καὶ μὴ περαίνων τὰς αὐτοῦ βουλὰς, ἀλλ' ἐν αὐτῷ τῷ καιρῷ τῆς βουλῆς ἐκτεμνόμενος ὅλως τοῦ βίου. Εἰ δέ γε τοῖς πένησι καὶ τῷ Θεῷ ἐθησαύριζεν, οὐκ ἂν εἶχεν οὕτως· σπουδάσωμεν οὖν εἰς Θεὸν πλουτεῖν, τουτέστιν, ἐπ' ἐκείνῳ πεποιθέναι, καὶ ἐκεῖνον ἡμέτερον ἔχειν πλοῦτον, καὶ τοῦ πλούτου ταμείαν, καὶ μὴ λέγειν ὅτι τὰ ἀγαθά μου, ἀλλὰ, τὰ ἀγαθὰ τοῦ Θεοῦ·

55 Psal. XXXVIII, 12.

εἰ δὲ Θεοῦ εἰσιν ἀγαθὰ, μὴ ἀποστερώμεθα τὸν Θεὸν A τῶν ἀγαθῶν αὐτοῦ· τοῦτο ἔστι τὸ εἰς Θεὸν πλουτεῖν, τὸ πιστεύειν ὅτι ἐὰν πάντα δώσω καὶ κενώσω, οὐδέν μοι τῶν ἀναγκαίων ἐπιλείψει· ταμεῖον γάρ μοι τῶν ἀγαθῶν ἐστιν ὁ Θεός· ἀνοίγω καὶ αἴρω τὰ χρειώδη.

« Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Διὰ τοῦτο ὑμῖν λέγω, μὴ μεριμνᾶτε τῇ ψυχῇ τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. Ἡ γὰρ ψυχὴ πλείων ἐστὶ τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος· κατανοήσατε τοὺς κόρακας ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει αὐτούς. Πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν; Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Εἰ B οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε; » Κατὰ μικρὸν ἐπὶ τὰ τελεώτερα προάγει τὴν διδασκαλίαν ὁ Κύριος. Ὅρα γὰρ τὴν τάξιν. Ἐδίδαξε φυλάσσεσθαι ἀπὸ τῆς πλεονεξίας, καὶ προσέθηκε παραβολὴν, τὴν περὶ τοῦ πλουσίου, διὰ ταύτης δεικνὺς, ὅτι ἄφρων ὁ τοῦ πλείονος ὀρεγόμενος. Εἶτα προκόπτων τῷ λόγῳ, οὐδὲ περὶ τῶν ἀναγκαίων ἡμᾶς μεριμνᾷν ἐᾷ. Ὥσπερ οὖν ὁ διάβολος ἀπὸ τῶν μικρῶν ἀρχόμενος περιπίπτειν ἡμᾶς τοῖς μείζοσι ποιεῖ (διὸ καὶ μυρμηκολέων ὠνόμασται παρὰ τῷ Ἰὼβ), οὕτως ἐκ τοῦ ἐναντίου ὁ Κύριος ἀναλύων αὐτοῦ τὰ ἔργα, πρότερον τὰ μεγάλα ἁμαρτήματα φεύγει, εἶτα καὶ τὰς ἀρχὰς τούτων ὑποδείκνυσι. Τὴν οὖν πλεονεξίαν ὑποδείξας ἡμῖν φυλάττεσθαι, ἔρχεται καὶ ἐπὶ τὴν ῥίζαν ταύτης, ἵνα καὶ ταύτην ὑποτέμῃ, φημὶ δὴ τὴν μέριμναν, καί φησι· C Διὰ τοῦτο λέγω ὑμῖν, ἐπειδὴ, φησὶν, ἄφρων ἐστὶν ὁ πλείονα ζωῆς μέτρα ἑαυτῷ διαγράφων, καὶ ἀπατώμενος τοῦ πλείονος ἐντεῦθεν ὀρέγεσθαι, οἷος ἦν ὁ πλούσιος, διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνήσετε τῇ ψυχῇ ὑμῶν τί φάγητε, οὐχ ὡς τῆς νοερᾶς ψυχῆς ἐσθιούσης, ἀλλ' ἐπεὶ δοκεῖ ἡ ψυχὴ μὴ ἄλλως ἀνέχεσθαι τῷ σώματι συνδεδέσθαι, εἰ μὴ τρεφομένων ἡμῶν· διὰ τοῦτο οὕτως εἶπεν. Ἄλλως τε· τὸ μὲν σῶμα καὶ νεκρὸν ἐνδύεται, οὐ τρέφεται δέ. Ἐπεὶ οὖν τοῦ ἐμψύχου τὸ τρέφεσθαι, εἰκότως ἀνέθηκε τῇ ψυχῇ τὸ τρέφεσθαι. Ἢ οὐχὶ καὶ ἡ θρεπτικὴ δύναμις ψυχὴ λέγεται; Μὴ μεριμνήσητε οὖν τῷ θρεπτικῷ μέρει τῆς ἀλόγου ψυχῆς, τί φάγητε, μηδὲ τῷ σώματι, τί ἐνδύσησθε. Εἶτα ἐπιφέρει λογισμόν· ὁ γὰρ τὸ μεῖζον D δοὺς, τὴν ψυχὴν, οὐ δώσει καὶ τὴν τροφήν; Ὁ τὸ σῶμα δοὺς, οὐχὶ καὶ τὸ ἔνδυμα δώσει; Εἶτα ἀπὸ παραδείγματος τῶν κοράκων, ὡς ἂν ἐνθρέψῃ ἡμᾶς, τὰ πετεινὰ εἰς μέσον ἄγει. Ἠδύνατο μὲν γὰρ ἁγίους προφήτας παραγαγεῖν, οἷον τὸν Ἠλίαν καὶ τὸν Μωϋσῆν, ἀλλὰ πρὸς πλείω δυσωπίαν τὰ πετεινὰ φέρει. Εἶτα καὶ ἕτερον λογισμὸν ἐπιφέρει. Εἰπέ μοι, τί μεριμνῶν κερδαίνεις; Προστίθης τῇ ἡλικίᾳ σου κἂν τὸ ἐλάχιστον; Οὐχὶ, μᾶλλον μὲν οὖν ὑφαιρεῖς τῶν σαρ-

A nostras (a) et divitiarum dispensatorem. Nec dicamus, bona nostra, sed bona Dei: si autem Dei sunt bona, ne privemus Deum bonis suis. Hoc est ditari in Deo, credere quod 372 si omnia dedero et evacuavero, nihil eorum quibus mihi opus fuerit deficiet (b). Promptuarium enim bonnorum Deus est: aperiam et tollam necessaria.

VERS. 22-26. « Dixitque ad discipulos suos: Ideo dico vobis: Nolite solliciti esse animæ quid edatis, neque corpori vestro quid induamini; anima enim plus est quam esca, et corpus plus quam indumentum. Considerate corvos quia non seminant, neque metunt, quibus non est penuarium neque horreum, et Deus pascit illos. Quanto magis vos præstatis volucribus? Quis autem vestrum sollici- B tudine sua potest adjicere ad staturam suam cubitum unum? Si ergo ne id quidem, quod minimum est, potestis, quid de cæteris solliciti estis? » Paulatim in sublimiora subducit doctinam Dominus. Vide enim ordinem. Docuit cavere ab avaritia, et apposuit parabolam illam de divite, per illam monstrans quod insipiens sit qui plura desiderat. Deinde proficiens sermone, neque de necessariis sollicitos nos esse sinit. Quemadmodum igitur diabolus a parvis incipit, ut nos in graviora mala faciat incidere, quamobrem et myrmicoleon a Job nominatur 56: ita e diverso Dominus resolvit ejus opera. Primum enim magna peccata fugat, deinde etiam principia eorum ostendit. Cum igitur indicasset ut ab avaritia caveremus, venit et ad ipsam radicem, ut et ipsam amputet, sollicitudinem inquam, et dicit: C Propter hoc dico vobis, quoniam insipiens est, qui plura quam vitæ necessitas exigat, inquirit, et plus in hac vita appetit, qualis erat dives; idcirco dico vobis, ne solliciti sitis animæ vestræ quid comedatis: non quod mentales animæ comedant, sed quia apparet animam non aliunde corpori colligari, nisi nos alamur. Propterea sic dicit. Et aliter, corpus quidem mortuum induitur, non pascitur autem. Proinde quia animatorum est pasci, merito adludit animæ pasci. Annon et nutritiva vis anima dicitur? Igitur ne solliciti sitis vegetativæ parti animæ non rationalis, quid comedatis, neque corpori quo induamini. Deinde affert rationem: Nam qui majus dedit, nempe animam, nonne et cibum dabit? Qui D dedit corpus, nonne et indumentum dabit? Postea etiam ab exemplo corvorum probat quod nos nutriet, et volatilia in medium afferens. Potuerat enim sanctos prophetas in medium afferre, utpote Eliam vel Mosen, sed ad majorem pudorem volatilia affert. Deinde et aliam rationem adducit. Dic, quæso, quid sollicitudine proficis? adjicis staturæ tuæ vel minimum quid? Non, imo aufers potius quidpiam e carnalibus. Sollicitudo enim tabefacit. Si igitur adjicere non potest id quod minimum, quid de reliquis

56 Job IV, *juxta* LXX.

(a) Ed Lut. *divitiarum cellam.*
(b) Ibid. *Evacuavero me totum, me aliquid rerum necessarium defecturum est,*

Nullum habeo socium, nullum divisorem facio : non Dei sunt, sed mea : solus igitur fruar, et ad fruitionem illorum Deum non assumam. Quia autem ista stulta, videamus et reliqua. Anima, habes multa bona reposita in multos annos. Longam sibi præstituit vitam, quasi et illam, terram colendo excoluisset : non enim et illa tibi inde nata est, neque hoc tuum 371 bonum. Comede, bibe, lætare. Euge qualia animæ bonæ affectiones: nam comedere et bibere, irrationalis animæ bonum est : igitur cum etiam ipse talem animam sortitus sis, merito illi hæc tribuis. Rationalis vero animæ bonum est, intelligere, ratiocinari, lætari in lege Dei et bonis cogitationibus. Non sufficit autem tibi et comedere et bibere, o stulte, sed et abominabilem voluptatem et turpissimam, quæ hanc consequitur, animæ imperas? Clare enim Dominus per hoc quod dicit, Lætare, affectiones declaravit libidinosas et intemperatas, quæ satietatem ciborum et potuum comitantur. Dixit autem ei Deus : Stulte, hac nocte animam tuam repetent. Non hoc dicitur quasi Deus familiare colloquium habeat cum divite, Dixit ei Deus; sed sensum hunc habet quod dicit, Cum hæc ille in mente haberet, dixit Deus (fingitur enim hæc parabola) : Stulte. Stultum igitur illum vocat, ut qui prorsus insulsa cogitet, quemadmodum declaravimus. Insipiens enim est et vanus omnis qui talis est, sicut et David dicit : Vane omnis homo, 55, et causa est : thesaurizat et nescit cui congreget ea. Nam quo pacto non est insipiens, qui ignorat quod vitæ mensura apud solum Deum, nec sibi quisquam suam vitam definire possit? Observa item et verbum, Repetent. Angeli enim sicut crudeles tributorum exactores et terribiles, tuam repetent animam, te etiam invito, utpote propter vitæ præsentis immodicum amorem, obluctante. Nam a justo non repetitur anima, sed ille gaudens et exsultans commendat eam Deo Patri spirituum, neque mortem ægre fert. Corpore enim circumamictus est ut onere, quod leviter deponit. Peccator vero qui animam carni subdidit corpori nimium affectus, etiam illam fecit carnem, indivulsam eam habere vult : idcirco dicitur ab eo repetita, sicut ab inobediente quodam debitore qui traditur crudelibus exactoribus. Vide quoque quod non dixit : Repeto animam tuam : sed, Repetent. Justorum enim animæ in manu Dei. Et profecto in nocte ab hujusmodi repetitur anima. Non enim habet lumen divinæ scientiæ sibi fulgens, sed cum est in nocte cupiditatis divitiarum, et ab illa obtenebratur, morte comprehenditur. Sic utique stultus est qui sibi thesaurizat, et insipiens dicitur, et non perficit cogitationem suam, sed in ipso cogitationis momento ex tota vita abscinditur. At si pauperibus et Deo congregasset, non sic se habuisset, curemus igitur, ut divites fiamus in Deo, hoc est ut in illo fiduciam habeamus et ut illum habeamus divitias

A μεριστὴν ποιοῦμαι, οὐ τοῦ Θεοῦ εἰσιν, ἀλλ' ἐμὰ, μόνος οὖν ἀπολαύσω· οὐ τὸν Θεὸν προσλήψομαι εἰς τὴν τούτων ἀπόλαυσιν. Ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἀνόητα, ἴδωμεν καὶ τὰ ἑξῆς. Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά. Μῆκος ἑαυτῷ ὁρίζει ζωῆς, ὥσπερ καὶ τοῦτο ἐκ τῆς γεωργήσας· μὴ γὰρ καὶ τοῦτο γέννημα σὸν, μὴ γὰρ καὶ τοῦτο ἀγαθὸν σόν. Φάγε, πίε, εὐφραίνου. Εὖγε τῶν ἀγαθῶν τῆς ψυχῆς· τὸ γὰρ φαγεῖν καὶ τὸ πιεῖν, ἀλόγου ψυχῆς ἀγαθόν· τοιαύτην οὖν ἔχων καὶ αὐτὸς ψυχὴν, εἰκότως αὐτῇ ταῦτα προσανατίθης. Λογικῆς δὲ ψυχῆς ἀγαθὸν, νοῆσαι, λογίσασθαι, εὐφρανθῆναι νόμῳ Θεοῦ καὶ διανοήμασιν ἀγαθοῖς. Οὐκ ἀρκεῖ δέ σοι τὸ φαγεῖν καὶ πιεῖν, ὦ ἄφρον, ἀλλὰ καὶ τὴν ἐπακολουθοῦσαν
B τούτοις αἰσχίστην καὶ μυσαρὰν ἡδονὴν ἐπιτάττεις τῇ ψυχῇ; Εὐφήμως γὰρ ὁ Κύριος διὰ τοῦ, Εὐφραίνου, τὰ ἀσελγέστατα πάθη ἐδήλωσεν, ἃ τῇ πλησμονῇ τῶν βρωμάτων καὶ πομάτων παρέπεται. Εἶπε δὲ αὐτῷ ὁ Θεός· Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ. Οὐχ ὡς τοῦ Θεοῦ τῷ πλουσίῳ ὁμιλήσαντος λέγεται τὸ, Εἶπε δὲ αὐτῷ ὁ Θεὸς, ἀλλὰ τοιοῦτόν τι λέγει, ὅτι ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου, εἶπεν ὁ Θεὸς (πλάττεται γὰρ ταῦτα ἡ παραβολή)· Ἄφρον. Ἄφρονα μὲν οὖν αὐτὸν ὀνομάζει, ὡς πάντη ἀνόητα βουλευσάμενον, καθὰ δὴ ἀπεδείξαμεν. Ἄφρων γὰρ καὶ μάταιος πᾶς τοιοῦτος, κατὰ καὶ Δαυῒδ λέγει· Μάτην πᾶς ἄνθρωπος· καὶ ἡ αἰτία, θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά· πῶς γὰρ οὐκ ἄφρων, ὁ μὴ γνοὺς ὅτι ζωῆς μέτρα παρὰ μόνῳ τῷ Θεῷ, καὶ
C οὐκ αὐτός τις ἕκαστος ἑαυτῷ ὁριστὴς τῆς ζωῆς, Ὅρα δὲ καὶ τὴν λέξιν τοῦ, Ἀπαιτοῦσιν. Ὥσπερ γάρ τινες ἀπηνεῖς φορολόγοι, φοβεροὶ ἄγγελοι τὴν ψυχήν σου ἀπαιτοῦσιν ἄκοντος, οἷα διὰ φιλοζωΐαν ἀντιποιουμένου τῶν ἐνταῦθα· ὁ μὲν γὰρ δίκαιος οὐκ ἀπαιτεῖται τὴν ψυχὴν, ἀλλὰ παρατίθεται ταύτην τῷ Θεῷ καὶ Πατρὶ τῶν πνευμάτων, χαίρων καὶ ἀγαλλόμενος, καὶ οὐδὲ δυσφορεῖ περὶ τὴν ἀπόθεσιν· ἐλαφρὸν γὰρ φορτίον τὸ σῶμα περίκειται· ὁ δέ γε ἁμαρτωλὸς κατασαρκώσας τὴν ψυχὴν, καὶ προσσωματοποιώσας αὐτὴν, καὶ γῆν ποιήσας, δυσαποσπάστως αὐτὴν ἔχειν παρεσκεύασε, διὸ καὶ ἀπαιτεῖσθαι ταύτην λέγεται, ὥσπερ τις χρεώστης ἀπειθὴς πράκτορσιν ἀπηνέσι παραδιδόμενος. Ὅρα δὲ πῶς
D οὐκ εἶπεν· Ἀπαιτῶ τὴν ψυχήν σου, ἀλλ', Ἀπαιτοῦσι· τῶν δικαίων γὰρ αἱ ψυχαὶ ἐν χειρὶ Θεοῦ. Τῷ ὄντι οὖν ἐν νυκτὶ ἀπαιτεῖται τὴν ψυχὴν ὁ τοιοῦτος. Οὐ γὰρ ἔχει φῶς θείας ἐπιγνώσεως ἐπιλάμπον αὐτῷ, ἀλλ' ἐν νυκτὶ τῆς φιλοπλουτίας ὢν, καὶ ὑπὸ ταύτης ἐσκοτισμένος, θανάτῳ καταλαμβάνεται· οὕτως ἄρα ὁ θησαυρίζων ἑαυτῷ, ἄφρων δηλαδὴ καλούμενος, καὶ μὴ περαίνων τὰς αὐτοῦ βουλὰς, ἀλλ' ἐν αὐτῷ τῷ καιρῷ τῆς βουλῆς ἐκτεμνόμενος ὅλως τοῦ βίου. Εἰ δέ γε τοῖς πένησι καὶ τῷ Θεῷ ἐθησαύριζεν, οὐκ ἂν εἶχεν οὕτως· σπουδάσωμεν οὖν εἰς Θεὸν πλουτεῖν, τουτέστιν, ἐπ' ἐκείνῳ πεποιθέναι, καὶ ἐκεῖνον ἡμέτερον ἔχειν πλοῦτον, καὶ τοῦ πλούτου ταμείαν, καὶ μὴ λέγειν ὅτι τὰ ἀγαθά μου, ἀλλὰ, τὰ ἀγαθὰ τοῦ Θεοῦ·

55 Psal. xxxviii, 12.

εἰ δὲ Θεοῦ εἰσιν ἀγαθὰ, μὴ ἀποστερώμεθα τὸν Θεὸν A τῶν ἀγαθῶν αὐτοῦ · τοῦτο ἔστι τὸ εἰς Θεὸν πλουτεῖν, τὸ πιστεύειν ὅτι ἐὰν πάντα δώσω καὶ κενώσω, οὐδέν μοι τῶν ἀναγκαίων ἐπιλείψει · ταμεῖον γάρ μοι τῶν ἀγαθῶν ἐστιν ὁ Θεός · ἀνοίγω καὶ αἴρω τὰ χρειώδη.

« Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Διὰ τοῦτο ὑμῖν λέγω, μὴ μεριμνᾶτε τῇ ψυχῇ τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. Ἡ γὰρ ψυχὴ πλείων ἐστὶ τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος· κατανοήσατε τοὺς κόρακας ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει αὐτούς. Πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν; Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Εἰ B οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε; » Κατὰ μικρὸν ἐπὶ τὰ τελεώτερα προάγει τὴν διδασκαλίαν ὁ Κύριος. Ὅρα γὰρ τὴν τάξιν. Ἐδίδαξε φυλάσσεσθαι ἀπὸ τῆς πλεονεξίας, καὶ προσέθηκε παραβολὴν, τὴν περὶ τοῦ πλουσίου, διὰ ταύτης δεικνὺς, ὅτι ἄφρων ὁ τοῦ πλείονος ὀρεγόμενος. Εἶτα προκόπτων τῷ λόγῳ, οὐδὲ περὶ τῶν ἀναγκαίων ἡμᾶς μεριμνᾷν ἐᾷ. Ὥσπερ οὖν ὁ διάβολος ἀπὸ τῶν μικρῶν ἀρχόμενος περιπίπτειν ἡμᾶς τοῖς μείζωσι ποιεῖ (διὸ καὶ μυρμηκολέων ὠνόμασται παρὰ τῷ Ἰὼβ), οὕτως ἐκ τοῦ ἐναντίου ὁ Κύριος ἀναλύων αὐτοῦ τὰ ἔργα, πρότερον τὰ μεγάλα ἁμαρτήματα φεύγει, εἶτα καὶ τὰς ἀρχὰς τούτων ὑποδείκνυσι. Τὴν οὖν πλεονεξίαν ὑποδείξας ἡμῖν φυλάττεσθαι, ἔρχεται καὶ ἐπὶ τὴν ῥίζαν ταύτης, ἵνα καὶ ταύτην ὑποτέμῃ, φημὶ δὴ τὴν μέριμναν, καί φησι · C Διὰ τοῦτο λέγω ὑμῖν, ἐπειδὴ, φησὶν, ἄφρων ἐστὶν ὁ πλείονα ζωῆς μέτρα ἑαυτῷ διαγράφων, καὶ ἀπατώμενος τοῦ πλείονος ἐντεῦθεν ὀρέγεσθαι, οἷος ἦν ὁ πλούσιος, διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνήσετε τῇ ψυχῇ ὑμῶν τί φάγητε, οὐχ ὡς τῆς νοερᾶς ψυχῆς ἐσθιούσης, ἀλλ' ἐπεὶ δοκεῖ ἡ ψυχὴ μὴ ἄλλως ἀνέχεσθαι τῷ σώματι συνδεδέσθαι, εἰ μὴ τρεφομένων ἡμῶν· διὰ τοῦτο οὕτως εἶπεν. Ἄλλως τε· τὸ μὲν σῶμα καὶ νεκρὸν ἐνδύεται, οὐ τρέφεται δέ. Ἐπεὶ οὖν τοῦ ἐμψύχου τὸ τρέφεσθαι, εἰκότως ἀνέθηκε τῇ ψυχῇ τὸ τρέφεσθαι. Ἢ οὐχὶ καὶ ἡ θρεπτικὴ δύναμις ψυχὴ λέγεται; Μὴ μεριμνήσητε οὖν τῷ θρεπτικῷ μέρει τῆς ἀλόγου ψυχῆς, τί φάγητε, μηδὲ τῷ σώματι, τί ἐνδύσησθε. Εἶτα ἐπιφέρει λογισμόν · ὁ γὰρ τὸ μεῖζον D δοὺς, τὴν ψυχὴν, οὐ δώσει καὶ τὴν τροφήν; Ὁ τὸ σῶμα δοὺς, οὐχὶ καὶ τὸ ἔνδυμα δώσει; Εἶτα ἀπὸ παραδείγματος τῶν κοράκων, ὡς ἂν ἐνθρέψῃ ἡμᾶς, τὰ πετεινὰ εἰς μέσον ἄγει. Ἠδύνατο μὲν γὰρ ἁγίους προφήτας παραγαγεῖν, οἷον τὸν Ἠλίαν καὶ τὸν Μωϋσῆν, ἀλλὰ πρὸς πλείω δυσωπίαν τὰ πετεινὰ φέρει. Εἶτα καὶ ἕτερον λογισμὸν ἐπιφέρει. Εἰπέ μοι, τί μεριμνῶν κερδαίνεις; Προστίθης τῇ ἡλικίᾳ σου κἂν τὸ ἐλάχιστον; Οὐχὶ, μᾶλλον μὲν οὖν ὑφαιρεῖς τῶν σαρ-

A nostras (a) et divitiarum dispensatorem. Nec dicamus, bona nostra, sed bona Dei : si autem Dei sunt bona, ne privemus Deum bonis suis. Hoc est ditari in Deo, credere quod 372 si omnia dedero et evacuavero, nihil eorum quibus mihi opus fuerit deficiet (b). Promptuarium enim bonnorum Deus est : aperiam et tollam necessaria.

VERS. 22-26. « Dixitque ad discipulos suos: Ideo dico vobis: Nolite solliciti esse animæ quid edatis, neque corpori vestro quid induamini; anima enim plus est quam esca, et corpus plus quam indumentum. Considerate corvos quia non seminant, neque metunt, quibus non est penuarium neque horreum, et Deus pascit illos. Quanto magis vos præstatis volucribus? Quis autem vestrum sollici- B tudine sua potest adjicere ad staturam suam cubitum unum? Si ergo ne id quidem, quod minimum est, potestis, quid de cæteris solliciti estis? » Paulatim in sublimiora subducit doctinam Dominus. Vide enim ordinem. Docuit cavere ab avaritia, et apposuit parabolam illam de divite, per illam monstrans quod insipiens sit qui plura desiderat. Deinde proficiens sermone, neque de necessariis sollicitos nos esse sinit. Quemadmodum igitur diabolus a parvis incipit, ut nos in graviora mala faciat incidere, quamobrem et myrmicoleon a Job nominatur 56: ita e diverso Dominus resolvit ejus opera. Primum enim magna peccata fugat, deinde etiam principia eorum ostendit. Cum igitur indicasset ut ab avaritia caveremus, venit et ad ipsam radicem, ut et ipsam amputet, sollicitudinem inquam, et dicit : C Propter hoc dico vobis, quoniam insipiens est, qui plura quam vitæ necessitas exigat, inquirit, et plus in hac vita appetit, qualis erat dives; idcirco dico vobis, ne solliciti sitis animæ vestræ quid comedatis : non quod mentales animæ comedant, sed quia apparet animam non aliunde corpori colligari, nisi nos alamur. Propterea sic dicit. Et aliter, corpus quidem mortuum induitur, non pascitur autem. Proinde quia animatorum est pasci, merito adlidit animæ pasci. Annon et nutritiva vis anima dicitur? Igitur ne solliciti sitis vegetativæ parti animæ non rationalis, quid comedatis, neque corpori quo induamini. Deinde affert rationem: Nam qui majus dedit, nempe animam, nonne et cibum dabit? Qui D dedit corpus, nonne et indumentum dabit? Postea etiam ab exemplo corvorum probat quod nos nutriet, et volatilia in medium afferens. Potuerat enim sanctos prophetas in medium afferre, utpote Eliam vel Mosen, sed ad majorem pudorem volatilia affert. Deinde et aliam rationem adducit. Dic, quæso, quid sollicitudine proficis? adjicis staturæ tuæ vel minimum quid? Non, imo aufers potius quidpiam e carnalibus. Sollicitudo enim labefacit. Si igitur adjicere non potest id quod minimum, quid de reliquis

56 Job IV, *juxta* LXX.

(a) Ed Lut. ***divitiarum cellam.***
(b) Ibid. ***Evacuavero me totum, me aliquid rerum necessarium defecturum esl,***

sollitus es? Perspicuum enim, quod sicut Deus, incrementum dat, ita et alia dabit.

VERS. 27-31. « Considerate **373** lilia quomodo crescunt: non laborant, neque nent. Dico autem vobis, nec Solomon in omni gloria sua vestiebatur sicut unum ex istis. Si autem gramen quod hodie est in agro, et cras in clibanum mittitur, Deus sic vestit· quanto magis vos vestiet, o parum fidentes? Et vos nolite quærere quid esuri sitis, aut quid bibituri: et nolite in sublime tolli. Hæc enim omnia gentes mundi quærunt. Pater autem vester scit quod istis indigeatis. Quin potius quærite regnum Dei, et hæc omnia adjicientur vobis.» Et hoc liliorum exemplum posuit, ut nos magis pudore suffunderet. Si enim hæc sic vestit Deus, ut neque Salomon in omnibus deliciis suis possit sic vester ut unum ex istis, quorum nulla quidem est necessitas pulchritudinis; quanto magis nos, honorabiles præ cæteris creaturas, vestiet, præsertim cum necessitas corporis indumentum postulet? Quid igitur, dicet quispiam, jubes ut non colamus agros? Non dixit, Ne colatis agros: sed, Ne solliciti sitis. Etenim non prohibeo ne labores, sed ne sollicitus sis, interdico: hoc est, ne spem ponas in te ipso. Sic qui laborat, et spem habet in Deo, is citra sollicitudinem vivit. Quod enim sollicitudinem ut a Deo abducentem resecet, manifestum est. Proinde dicit: Ne quæratis quid comedatis, vel quid bibatis, et nolite in sublime tolli. In sublime tolli prorsus nihil aliud dicit quam distractionem, et mentis instabilem versionem, nunc hoc, nunc illud cogitantis et ab hoc in illud, salientis, et semper sublimius quiddam imaginantis secum. Annon fuerit in sublime tolli? Hanc igitur sollicitudinem, hoc est ita in sublime tolli, quia a Deo abducit, prohibet Dominus. dicens hæc omnia gentes inquirere. Sollicitudo enim non solis necessariis contenta est, sed, ut dixi, semper altius et majus quid requirit, et propterea dicitur μετεωρισμὸς elatio in sublime. Et ut aliquid exempli gratia dicam: non habemus panem, solliciti sumus unde habeamus: et non in hoc subsistimus, sed et ut adipem frumenti, deinde et vinum, idque fragrantissimum, et ad hæc assas carnes, et ad has attagines et phasianos. Vides sollicitudinem, et in sublime ac amplius extollentiam quam dicit μετεωρισμόν? Eapropter Dominus amputat hæc omnia: gentiles enim hæc quærunt. Insuper et aliam affert rationem: quia Pater noster scit quia his opus habetis, imo non unam rationem, sed multas. Pater est, inquit, et si Pater, quomodo non dabit? Sed et scit, nec enim ignorat: sed et vos opus habetis (a), nec enim superflua sunt, sed vobis necessaria. Igitur cum et ipse sit Pater, et vos opus habeatis, et sciat ille, quomodo non daturus esset? Quærite igitur regnum Dei ante omnia, **374** et tempora-

A κῶν· τηκεδὼν γὰρ ἡ μέριμνα. Εἰ τοίνυν τὸ ἐλάχιστον οὐ δύνασαι προσθῆναι, τί περὶ τῶν λοιπῶν μεριμνᾷς; Πρόδηλον γὰρ ὅτι, ὥσπερ τὴν αὔξησιν ὁ Θεὸς δίδωσιν, οὕτω καὶ τἄλλα δώσει.

« Κατανοήσατε τὰ κρίνα πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει. Λέγω ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. Εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε ἢ καὶ τί πίητε, καὶ μὴ μετεωρίζεσθε. Ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. Ὑμῶν δὲ ὁ Πατὴρ οἶδεν, ὅτι χρῄζετε τούτων· πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. » Καὶ τὸ τῶν κρίνων ὑπόδειγμα, πρὸς B τὸ ἐντρέψαι ἡμᾶς πλεῖον ἔθηκεν· εἰ γὰρ ταῦτα οὕτως ἀμφιέννυσιν ὁ Θεὸς, ὡς μηδὲ τὴν τοῦ Σολομῶντος δόξαν ἰσχῦσαι περιβαλέσθαι ποτὲ ὡς ἓν τούτων, καὶ ταῦτα τοῦ κάλλους τῶν κρίνων μὴ ἀναγκαίου ὄντος, πόσῳ μᾶλλον ἡμᾶς, τὸ τίμιον πλάσμα, οὐκ ἀμφιέσει, καὶ ταῦτα ἀναγκαίου ὄντος τῷ σώματι ἡμῶν τοῦ ἐνδύματος; Τί οὖν, φησὶ, κελεύεις ἡμᾶς μὴ γεωργεῖν; Οὐκ εἶπε· Μὴ γεωργεῖτε, ἀλλὰ, Μὴ μεριμνᾶτε. Ἐργάζεσθαι μὲν γὰρ οὐ κωλύω, μεριμνᾷν δὲ, ὅπερ ἐστι· τὴν ἐλπίδα ἔχειν ἐν ἑαυτοῖς, τοῦτο ἀπαγορεύω. Ὡς γε ἐργαζόμενος μὲν, ἐλπίζων δὲ εἰς Θεὸν, οὕτως ἀμερίμνως διάγει. Ὅτι γὰρ τὴν μέριμναν ὡς ἀπάγουσαν Θεοῦ ἐκκόπτει, δῆλον. Φησὶ γάρ· Μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε, καὶ μὴ μετεωρίζεσθε. Μετεωρισμὸν γὰρ πάντως οὐδὲν ἄλλο λέγει, ἢ τὸν περισπασμὸν, καὶ τοῦ λογισμοῦ τὴν ἄστατον περιφορὰν, C ἄλλοτε ἄλλο ἐνθυμουμένου, καὶ ἀπὸ τούτου πηδῶντος ἐπ' ἐκεῖνο, καὶ ἀεὶ τὰ ὑψηλότερα φανταζομένου· οὐχὶ τοῦτό ἐστιν ὁ μετεωρισμός; Ὡς οὖν ἀπάγουσαν ἡμᾶς τοῦ Θεοῦ τὴν τοιαύτην μέριμναν, ἤτοι τὸν μετεωρισμὸν, ἀπαγορεύει ὁ Κύριος, εἰπὼν, ὅτι Ταῦτα πάντα τὰ ἔθνη ἐπιζητεῖ. Οὐ γὰρ μέχρι τῶν ἀναγκαίων ἡ μέριμνα ἵσταται, ἀλλ' ὅπερ εἶπον, ἀεὶ τὰ ὑψηλότερα ζητεῖ· διὸ καὶ μετεωρισμὸς λέγεται, οἷόν τί φημι· Οὐκ ἔχομεν ἄρτον, μεριμνῶμεν πόθεν ἕξωμεν, καὶ οὐκ ἄχρι τούτου ἱστάμεθα, ἀλλὰ καὶ ὁποῖον στέαρ πυροῦ· εἶτα καὶ οἶνον, καὶ τοῦτον ἀνθοσμίαν, καὶ ὄψον πρὸς τούτοις, Καὶ τοῦτο ἀτταγῆνος ἢ φασιανοῦ. Ὁρᾷς τὴν μέριμναν, καὶ τὸν μετεωρισμόν; Διὰ τοῦτο ὁ Κύριος παντελῶς ταύτην ἀποκόπτει· οἱ ἐθνικοὶ γὰρ ταῦτα ζητοῦσιν. Εἶτα καὶ D ἕτερον ἐπάγει λογισμὸν, ὅτι ὁ Πατὴρ ἡμῶν οἶδεν ὅτι χρῄζετε, καὶ οὐχ ἕνα λογισμὸν, ἀλλὰ καὶ πλείους. Πατὴρ γάρ ἐστι, φησὶ, καὶ εἰ Πατὴρ, πῶς οὐ δώσει; Ἀλλὰ καὶ οἶδε, μὴ γὰρ ἀγνοεῖ, ἀλλὰ καὶ χρῄζετε, μὴ γὰρ περιττά ἐστιν, ἀλλά χρειώδη. Εἰ οὖν καὶ Πατὴρ, καὶ ὑμεῖς χρῄζετε, καὶ οἶδεν ἐκεῖνος, πῶς οὐ δώσει; Ζητεῖτε οὖν τὴν βασιλείαν τοῦ Θεοῦ προηγουμένως, καὶ τὴν περὶ τὰ βιωτικὰ μέριμναν ἀποποιήσασθε, ὡς ἐκκόπτουσιν ἡμᾶς ἀπὸ τούτου. Καὶ τότε ταῦτα πάντα προστεθήσεται ὑμῖν. Ὁρᾷς Θεόν;

(a) Edit. Lut. *Sed et scit: quomodo enim ignoraret? Sed et quod opus habetis.*

A εἰ ζητεῖς τὰ μικρὰ, οὐκ ἀρεστὸν αὐτῷ ποιεῖς· καταισχύνεις γὰρ τὸ αὐτοῦ μεγαλόδωρον. Εἰ ζητεῖς τὰ μεγάλα, ἐκεῖνά τε λήψῃ, καὶ πρός γε προσθήκην ἕξεις καὶ τὰ μικρά· εἰ γὰρ ἴδοι σε ἀσχολούμενον περὶ τὴν βασιλείαν αὐτοῦ, ἀναγκαῖον πάντως, ὅτι προνοήσεταί σου ἐν τοῖς σοῖς. Ἢ οὐχὶ καὶ ἡμεῖς ἐν ταῖς οἰκείαις οὕτω ποιοῦμεν, μᾶλλον ἐκείνων φροντίζοντες τῶν ὅλους ἑαυτοὺς ἐπιδεδωκότων τῇ ἡμετέρᾳ θεραπείᾳ, καὶ τούτων προνοούμενοι, ὡς μὴ προνοουμένων αὐτῶν; οὐ πολλῷ οὖν μᾶλλον ὁ Κύριος; Ἐκκόπτει τοίνυν τὴν περὶ τῶν βιωτικῶν μέριμναν ὁ Κύριος, ἵνα πείσῃ ἡμᾶς ζητεῖν τὴν βασιλείαν αὐτοῦ· μεριμνῶσι γὰρ τοῦτο οὐκ ἔνεστιν. Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ Πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν.

B « Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην· ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει· ὅπου γὰρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. » Μικρὸν ποίμνιον ὀνομάζει τοὺς αὐτῷ μαθητεύειν θέλοντας ὁ Κύριος, ἢ διότι ἐν τῷ κόσμῳ τούτῳ οἱ ἅγιοι μικροὶ καὶ ἐλάχιστοι διὰ τὴν ἑκούσιον ἀκτημοσύνην καὶ ἀχρηματοσύνην, ἢ διὰ τὸ ἡττᾶσθαι τῆς τῶν ἀγγέλων πληθύος ἀμετρήτου οὔσης, καὶ ἀσυγκρίτως ὑπερεχούσης τὰ καθ' ἡμᾶς· ὅτι γὰρ πλείους οἱ ἄγγελοι, δῆλον ἐκ τῆς παραβολῆς, ἣν εἶπεν ὁ Κύριος· ὅτι χαίρει ὁ ποιμὴν ἐπὶ τῷ ἑνὶ πλανηθέντι καὶ εὑρεθέντι, ἢ ἐπὶ τοῖς ἐννενηκονταεννέα τοῖς μὴ πεπλανημένοις· ἔδειξε γὰρ ἐντεῦθεν,
C ὅτι ὥσπερ τὸ ἓν πρὸς τὰ ἐννενηκονταεννέα, οὕτω καὶ ἡ ἀνθρωπίνη φύσις πρὸς τὴν ἀγγελικήν. Μὴ φοβοῦ, φησὶ, ὦ μικρὸν ποίμνιον, ἀντὶ τοῦ, Μὴ ἀπιστήσῃς, ὅτι προνοήσεταί σου ὁ Θεὸς, κἂν μὴ σὺ μεριμνᾷς. Διὰ τί; Διότι εὐδόκησεν ὁ Πατὴρ δοῦναι ὑμῖν τὴν βασιλείαν. Ἐπεὶ οὖν τὴν βασιλείαν δίδωσι, πολλῷ μᾶλλον τὰ τῆς γῆς. Μὴ τοίνυν ἀπίστει, ὅτι ἐὰν ἀκτημοσύνην ἐπιτηδεύσῃ, οὐχ ἕξεις τὸν προνοησόμενόν σου, ἀλλὰ πώλησον τὰ ὑπάρχοντα, καὶ δὸς ἐλεημοσύνην, καὶ ποίησον θησαυρὸν ἀνέκλειπτον. Εἶτα πείθει ἡμᾶς καὶ ἀπὸ λογισμῶν ἀναντιῤῥήτων. Ἐνταῦθα μὲν γὰρ, φησὶ, σὴς διαφθείρει, ἐν οὐρανοῖς δὲ οὐ τοῦτο. Οὐκ ἆρα οὖν ἀνόητον τὸ θησαυρίζειν ἐν τόπῳ, ἐν ᾧ διαφθορά; Εἶτα ἐπειδὴ τὸν χρυσὸν οὐ διαφθείρει σὴς, εἶπε καὶ τὸ, Ὅπου κλέπτης οὐκ ἐγγίζει.
D Σὴς μὲν γὰρ οὐ διαφθείρει χρυσὸν, ἀλλὰ κλέπτης συλᾷ. Εἶτα ἐπειδὴ οὐ πάντες κλέπτονται, προστίθησι τὸν μείζω πάντη καὶ ἀναντίῤῥητον λογισμόν. Ὅπου γὰρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. Ἔστω γὰρ, φησὶν, ὅτι οὔτε σὴς διαφθείρει, οὔτε κλέπτης ἐγγίζει, αὐτὸ τοῦτο τὸ ἔχειν τὴν καρδίαν προσηλωμένην τῷ κατορωρυγμένῳ θησαυρῷ, καὶ τὸ θεῖον χρῆμα τῆς ψυχῆς τῇ γῇ ἐμβαλεῖν, πόσης ἄξιον τιμωρίας; Μᾶλλον δὲ πῶς οὐ μεγίστη τιμωρία τῷ γε νοῦν ἔχοντι; Ὅπου ὁ θησαυρός σου, ἐκεῖ καὶ ἡ καρδία σου· εἰ ἐν τῇ γῇ, καὶ αὕτη, εἰ ἐν τῷ οὐρανῷ ἐκεῖνος, ἄνω καὶ αὕτη. Τίς οὖν οὐκ ἂν ἕλοιτο εἶναι ἄνω

A lium sollicitudinem abjicite, quæ ab illo abducit, adjicienturque vobis tunc omnia. Vides quod si parva quæsieris a Deo, nihil illi gratum facias: munificentiam enim ejus dehonestas. Sin quæsiveris magna, et illa accipies et cum illis accipies etiam parva. Nam cum te viderit occupatum regno suo, plane necessarium ut et tibi in rebus tuis prospiciat. Annon et nos in rebus propriis sic facimus, et magis curam illorum agimus, qui se totos nobis manciparunt, deque illis solliciti sumus tanquam seipsos ipsi negligant? quanto magis id agit Dominus? Propterea Dominus omnium temporalium curam rejicit, ut quæramus regnum ejus, id quod de temporalibus solliciti non faciunt. Noli timere, pusillus grex, quia complacitum est Patri vestro dare
B vobis regnum.

VERS. 33, 34. « Vendite quæ possidetis et date eleemosynam. Parate vobis sacculos qui non veterascunt, thesaurum non deficientem in cœlis, quo fur non accedit, neque tinea corrumpit. Ubi enim thesaurus vester est, ibi et cor vestrum erit » Dominus nominat discipulos et doctrinam suam suscipientes pusillum gregem: vel quod perpauci sunt sancti in mundo qui sponte paupertatem illam obeant: vel quod si ad angelos conferantur, numero incomparabiliter inferiores sint, quia multo plures sunt angeli. Et manifestum est hoc ex parabola quam dixit Dominus, quod gaudeat pastor plus super una ove inventa quæ perierat, quam super nonaginta novem quæ non erraverunt. Quo loco monstratur quod sicut unum se habet ad nonaginta no-
C vem, ita humana natura ad angelicam. Ne timeas igitur, dicit, o pusille grex, hoc est, ne sis incredulus. Gerit enim tui curam ac providentiam Deus, etiam si tu sollicitus non sis. Quare? Quia bonum visum est, et placet Patri ut det vobis regnum. Qui igitur vobis regnum dat, multo magis terrena concedet. Ne igitur diffidas, quod si divitiarum sollicitudinem abjeceris, non sis habiturus aliquem qui tibi provideat: sed vende ea quæ habes, et da eleemosynam, et fac tibi thesaurum indeficientem. Ad hæc persuadet nobis rationibus quibus contradicere non possumus. In hac enim vita, inquit, tinea corrumpit, in cœlis autem non sic. Non ergo insipientis esset colligere thesauros in loco in quo
D corrumpuntur? Postea quia aurum a tinea corrumpitur, dixit, et quo fur non accedit. Tinea quidem non corrumpit aurum, sed fur diripi. Denique quia non omnia furto pereunt, adjicit rationem majorem, et contradictione superiorem. Ubi enim est thesaurus vester, inquit, illic et cor vestrum erit. Esto enim, inquit, quod neque tinea corrumpat, neque fur accedat: istuc ipsum tamen habere cor addictum thesauro defosso, et animam quæ divina possessio est, injicere terræ, 375 per se quanto supplicio fuerit dignum? imo quomodo non summo, si quis animadvertat? Ubi enim thesaurus tuus, illic et cor tuum: si in terra ille, et in terra hoc:

sin autem in cælo ille, sursum est et hoc. Quis igitur non sursum esse et non sub terra, mallet? Quis non diligeret potius esse angelus, quam talpa semper in subterraneis latebris agens?

VERS. 35-40. « Sint lumbi vestri præcincti, et lucernæ accensæ, et vos similes hominibus exspectantibus dominum suum quando revertatur a nuptiis: ut cum venerit et pulsaverit, confestim aperiant ei. Beati servi illi, quos cum venerit dominus, invenerit vigilantes. Amen dico vobis quod præcinget se, et faciet illos discumbere, et transiens ministrabit illis. Et si venerit in secunda vigilia, et in tertia vigilia venerit, atque ita invenerit, beati sunt servi illi. Hoc autem scito, quod si scisset paterfamilias qua hora fur venturus fuisset, vigilasset utique, nec passus fuisset perfodi domum suam. Et vos igitur estote parati, quia qua hora non putatis, Filius hominis veniet. » Dominus postquam discipulum suum absque superfluis fecit et nudavit ab omni sollicitudine et cupiditate temporalium, et ita plane levem reddidit, nunc et ministrum suum facit. Eum enim qui minister esse voluerit, levem et expeditum esse oportet; ideo dicit: Sint lumbi vestri præcincti, hoc est, omnibus modis parati estote ad opera Domini vestri. Et lucernæ ardentes in manibus vestris, hoc est, ne in tenebris et absque judicio versemini, sed sit vobis lumen verbi, quod monstrabit vobis quæ facienda et quæ non facienda. Est igitur hic mundus nox. Porro succincti lumbis sunt, qui activam vitam agunt: ejusmodi enim habitibus utuntur operarii, quibus et ardentibus candelis opus est. Opus enim habet vita activa etiam judicii dono, ut is qui activam vitam agit, non solum sciat quid oporteat facere, sed et quomodo. Multi enim bonum quidem fecerunt, sed non bene, et tales quidem succincti fuerunt lumbis, et opera quidem fecerunt, sed non bene: nec habuerunt ardentes lucernas in manibus, hoc est, non habuerunt rectum judicium, sed vel in fastum inciderunt, vel in aliud arrogantiæ præcipitium. Consideres autem et hoc, quod primum lumbi nostri succincti sint, deinde lucernæ ardeant. Primum enim operatio, et deinde contemplatio, quæ mentis est illustratio. Lucerna enim est mens nostra, quæ cum habet lumen Dei in se fulgens, tum dicitur ardere. Demus igitur operam, ut virtute simus præditi duas habentes lucernas ardentes, et sermonem internum in affectibus et quem pronuntiamus: et internum quidem ut per omnia animam illustret: eum autem quem proferimus, ut in
376 lingua refulgeat lucidus. Internus nos illuminet, doctorum autem sermo, et qui pronuntiatur, alios. Et nos similes simus hominibus exspectantibus dominum suum quando revertatur a nuptiis. Quis autem autem hic dominus alius quam Christus Jesus? qui humanam quidem assumpsit naturam, et sicut sponsam copulavit sibi, et nuptias fecit, in carnem unam ei se adjungendo: imo non unas fecit nuptias, sed multas. Quotidie enim nuptiæ fiunt in cœlo sanctarum animarum, quas ei com-

A καὶ μὴ ὑπὸ γῆν; ἄγγελος εἶναι καὶ μὴ ἀσπάλαξ ὑπὸ γῆν ἀεὶ ἐν τοῖς ὀρύγμασι διαιτώμενος

« Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τόν κύριον ἑαυτῶν πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ· μακάριοι οἱ δοῦλοι ἐκεῖνοι οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας. Ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ ἐν τῇ τρίτῃ φυλακῇ, καὶ εὕρῃ οὕτως, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι. Τοῦτο δὲ γινώσκετε,
B ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ. Καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. » Ἀπέριττον ποιήσας τὸν μαθητὴν αὐτοῦ ὁ Κύριος, καὶ γυμνώσας αὐτὸν πάσης βιωτικῆς μερίμνης καὶ μετεωρισμοῦ, καὶ κοῦφον ἀπεργασάμενος, ἤδη καὶ ὑπηρέτην αὐτὸν ποιεῖ. Δεῖ γὰρ τὸν ὑπηρετεῖν θέλοντα, κοῦφον εἶναι καὶ εὐθαλῆ, διό φησιν· Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, ὅπερ ἐστὶν, Ἕτοιμοι πάντοτε φαίνεσθε πρὸς τὰ ἔργα τοῦ Δεσπότου ὑμῶν. Καὶ οἱ λύχνοι καιόμενοι· ὅπερ ἐστὶ, Μὴ ἐν σκότει καὶ ἀκρισίᾳ διάγετε, ἀλλ' ἔστω ὑμῶν τὸ τοῦ λόγου φῶς, πάντα ὑποδεικνύον τὰ πρακτέα καὶ μὴ πρακτέα. Ἔστιν οὖν νὺξ ὁ κόσμος οὗτος. Ἐζωσμένοι δὲ τὰς
C ὀσφύας, οἱ τὴν πρακτικὴν μετιόντες. Τοιοῦτον γὰρ τὸ σχῆμα τῶν ἐργατικῶν, οἷς δεῖ καὶ τοὺς λύχνους προσεῖναι καιομένους. Δεῖ γὰρ τῇ πρακτικῇ προσεῖναι καὶ τὸ τῆς διακρίσεως χάρισμα, ἵν' ἔχοι διαγινώσκειν ὁ πρακτικὸς, οὐ μόνον τί χρὴ ποιεῖν, ἀλλὰ καὶ τὸ πῶς. Πολλοὶ μὲν γὰρ τὸ καλὸν ἐποίησαν, οὐ καλῶς δέ· οἱ τοιοῦτοι οὖν τὰς μὲν ὀσφύας ἦσαν περιεζωσμένοι· ἔπραττον γὰρ, τοὺς δὲ λύχνους οὐκ εἶχον καιομένους, τουτέστιν, οὐκ εἶχον τὴν ἐκ τοῦ λόγου διάκρισιν, ἀλλ' ἢ εἰς τῦφον ἐνέπεσον, ἢ εἰς ἄλλον ἀπονοίας κρημνόν. Νοήσεις δὲ καὶ τοῦτο, ὅτι πρῶτον αἱ ὀσφύες ἡμῶν περιζώννυνται, εἶτα οἱ λύχνοι καίονται. Πρῶτον γὰρ πρᾶξις, εἶτα θεωρία, ἥτις ἐστὶ τοῦ νοῦ ἔλλαμψις. Λύχνος γὰρ ὁ νοῦς ἡμῶν, ὃς ὅταν ἔχῃ τὸ φῶς τοῦ Θεοῦ ἐν
D αὐτῷ λάμπον, τότε λέγεται καίεσθαι· σπουδάσωμεν οὖν ἀρετὴν ἀσκεῖν, ἵνα τοὺς δύο λύχνους ἡμῶν καιομένους ἔχωμεν, τόν τε ἐνδιάθετον λόγον, καὶ τὸν προφορικὸν, τὸν μὲν ἐνδιάθετον διὰ παντὸς ἀστράπτοντα ἐν τῇ ψυχῇ, τὸν δὲ προφορικὸν ἐν τῇ γλώσσῃ. Ὁ μὲν γὰρ ἔνδον ἡμᾶς φωτίζει, ὁ δὲ διδασκαλικὸς καὶ προφορικὸς λύχνος τοὺς ἄλλους. Καὶ ἡμεῖς ὦμεν ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν Κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων· τίς δὲ οὗτος ὁ Κύριος, ἢ ὁ Χριστὸς ὁ Ἰησοῦς; Ὃς τὴν ἀνθρωπίνην φύσιν ἀναλαβὼν ὡς νύμφην, καὶ ἑνώσας ἑαυτῷ, γάμον ἐποίησεν εἰς σάρκα μίαν αὐτῇ κολληθεὶς, μᾶλλον δὲ, οὐχ ἕνα γάμον ποιεῖται, ἀλλὰ πολλούς· καθ' ἑκάστην γὰρ ἡμέραν νυμφεύεται ἐν οὐρανῷ τὰς τῶν ἁγίων ψυχὰς, ἃς παριστάνει αὐτῷ Παῦλος, ἢ εἴ τις κατὰ

Παῦλον, παρθένους ἁγνάς. Ἀναλύει δὲ ἐκ τῶν ἐν οὐρανοῖς γάμων, τάχα μὲν καθολικῶς ἐν τῇ καθόλου συντελείᾳ, ὅτε ἀπ' οὐρανοῦ ἐλεύσεται ἐν τῇ δόξῃ τοῦ Πατρός. Τάχα δὲ καὶ καθ' ἑκάστην ὥραν ἐν τῇ μερικῇ τοῦ καθ' ἕνα συντελείᾳ ἀοράτως καὶ ἀπροσδοκήτως ἐφιστάμενος. μακάριος οὖν ἐκεῖνος, ὃν εὑρήσει περιεζωσμένον μὲν τὴν ὀσφὺν, οἷα δὴ τῷ πρακτικῷ μέρει τῆς κατὰ Χριστὸν φιλοσοφίας θεραπεύειν τὸν Θεὸν ἑτοιμασθέντα, ἔχοντα δὲ τὸν λύχνον τοῦ λόγου καὶ τῆς διακρίσεως καιόμενον, καὶ μὴ μόνον πράττοντα τὸ καλὸν, ἀλλὰ καὶ καλῶς· οὐ μὴν ἀλλὰ καὶ τὴν θεωρίαν. οἷόν τινα λύχνον δεξάμενον· διὰ γὰρ τοῦ τὴν ὀσφὺν περιεζῶσθαι περιγίνεται ἡμῖν καὶ ὁ καιόμενος λύχνος τῆς θεωρίας, μᾶλλον δὲ οἱ δύο λύχνοι, ὅ τε ἐνδιάθετος καὶ ὁ προφορικός· τῷ τοιούτῳ οὖν θεράποντι θεράπων ὁ Κύριος γίνεται. Περιζώσεται γάρ, φησί, καὶ ἀνακλινεῖ αὐτούς. Καὶ παρελθὼν διακονήσει αὐτοῖς· περιζώννυται μὲν οὖν ὁ Θεὸς καθὸ οὐχ ἅπασαν τὴν τῶν ἀγαθῶν χύσιν ἡμῖν ἐπιχορηγεῖ, ἀλλ' ἀναστέλλει ταύτην· τίς γὰρ δύναται χωρῆσαι Θεὸν, ὅσος ἐστί; Καὶ δῆλον ἐκ τῶν Σεραφὶμ καλυπτομένων διὰ τὴν ὑπερβολὴν τοῦ θείου φωτός· ἀνακλίνει δὲ τοὺς καλοὺς δούλους· ὅλους γὰρ δι' ὅλων ἀναπαύει· ὡς γὰρ ὁ ἀνακεκλιμένος ὅλον τὸ σῶμα ἀναπαύει, οὕτω καὶ ἐν τῇ μελλούσῃ παρουσίᾳ ὅλοι δι' ὅλων οἱ ἅγιοι ἀναπαύονται. Ἐνταῦθα μὲν γὰρ τῷ σώματι ἄνεσιν οὐχ εὑρίσκουσιν, ἐκεῖσε δὲ σὺν ταῖς ψυχαῖς καὶ τὰ πνευματικὰ αὐτῶν καὶ τὰ θεῖα σώματα ἀφθαρσίαν κληρονομήσαντα, πάσης ἀναπαύσεως ἀπολαύουσιν, καὶ ἔσται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν αὐτοῖς· διακονεῖ δὲ τοῖς ἀξίοις, ἀμειβόμενος αὐτοὺς τοῖς ἴσοις· καὶ ὥσπερ αὐτοὶ αὐτῷ διηκόνησαν, οὕτω καὶ αὐτὸς αὐτοῖς ὑπηρετῶν καὶ δαψιλῆ αὐτοῖς παρέχων τράπεζαν, καὶ τὴν τῶν πνευματικῶν χαρισμάτων τρυφὴν χαριζόμενος. Φυλακὴν δὲ δευτέραν καὶ τρίτην νοήσαις ἂν τὰς διαφόρους ὥρας τῆς ζωῆς ἡμῶν. Οἷόν τι λέγω· Ὥσπερ ὁ ἀγρυπνῶν ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ φυλακῇ, δοκεῖ ἐγρηγορώτατος εἶναι (αὗται γὰρ αἱ ὧραι τῆς νυκτὸς μάλιστα ὕπνου παρεκτικαὶ τοῖς ἀνθρώποις καὶ πρώτου ὕπνου), οὕτω νόει μοι καὶ ἐν τῇ διαφόρῳ καταστάσει τῆς ζωῆς ἡμῶν εἶναι ὥρας τὰς μακαρίους ἡμᾶς ποιούσας, ἐὰν εὑρεθῶμεν γρηγοροῦντες. Ἥρπασέ τις τὰ χρήματά σου, τεθνήκασί σοι παῖδες, ἐσυκοφαντήθης· ἐὰν ἐν τοῖς τοιούτοις καιροῖς οὐ καταπέσῃς, ἀλλ' ἐγρηγορὼς εὑρεθεὶς τῷ Θεῷ καὶ Δεσπότῃ, καὶ μηδὲν ἔξω τῶν αὐτοῦ ἐντολῶν ἀναγκασθῇς πρᾶξαι, ὄντως ἐγρηγορότα σε εὗρεν ἐν δευτέρᾳ καὶ τρίτῃ φυλακῇ, τουτέστιν, ἐν καιρῷ δεινῷ, καὶ ὕπνον θανατώδη καὶ κατάπτωσιν ταῖς χαύναις ψυχαῖς παρέχοντι· δεῖ οὖν ἐγρηγόρσεως· οἰκοδεσπότῃ γὰρ ἐοίκαμεν, ὃς εἰ μὲν ἀγρυπνεῖ, οὐ δύναται οὐδὲν κατὰ τῶν αὐτοῦ χρημάτων ὁ κλέπτης· εἰ δὲ ὑπνώδης ἐστὶ, πάντα ἄρας οἰχήσεται. Κλέπτην δὲ ἐνταῦθα νοοῦσι μέν τινες καὶ τὸν διάβολον, ὥσπερ καὶ οἶκον τὴν ψυχὴν, οἰκοδεσπότην τὸν ἄνθρωπον· οὐ μὴν ἔοικε πρόσφορος εἶναι τῇ

mendat Paulus, vel si quis similis Paulo, virgines castas [56]. Redit autem autem ex cœlestibus nuptiis, fortassis in universali consummatione mundi, quando de cœlis veniet in gloria Patris Fortassis autem et in uniuscujusque propria morte inexspectatus adveniens. Beatus igitur ille quem invenerit succinctis lumbis, hoc est, verum Christianum philosophum agentem, et ad ministerium Dei præparatum, et habentem lucernam rationis et judicii ardentem : et non solum facientem quod bonum, sed bene etiam : accipientemque et contemplationis lucernam. Habendo enim lumbos præcinctos (*a*), nobis advenit lucerna contemplationis: imo potius lucernæ duæ, una quæ est in corde, et altera sermonis. Ejusmodi ministri etiam Dominus minister erit. Præcingetur enim, inquit, et recumbere illos faciet, et præteriens ministrabit illis. Præcingitur itaque Deus secundum quod non omnium bonorum effusionem nobis suppeditat, sed illam restringit. Quis enim potest capere quantus sit Deus? et manifestum est ex Seraphim, qui se obtegunt propter excellentiam divini luminis. Porro recumbere facit bonos servos : totos enim per omnia quiescere facit. Nam sicut qui recumbit, toto corpore quiescit : ita in secundo adventu omnes sancti per omnia quiescent. Etenim in hac vita quietem corporis non inveniunt. Alibi autem cum animabus spiritualia et divina eornm corpora incorruptionem hæreditabunt, et omni quiete fruentur, et erit Deus omnia in omnibus illis [57]. Ministrat vero dignis, par eis retribuens : et sicut ipsi et ministraverunt, ita etiam ipse eis vicissim ministrat, et dapsilem eis mensam præstat, exhibens spiritualium donorum lautitias. At per secundam et tertiam vigiliam intelligas varia vitæ notræ tempora : ut exempli gratia aliquid dicam : Quemadmodum qui in secundam aut tertiam vigiliam vigilat, vigilantissimus esse videtur (istis enim horis homines maximo et primo somno tenentur) sic, obsecro, etiam intelligas in diversis vitæ nostræ statibus esse horas, quæ beatos nos faciant, si vigilantes inventi fuerimuns. Rapuit quis divitias tuas, mortui sunt 377 tibi filii, calumniam passus es: si in illiusmodi temporibus non fueris lapsus, sed vigilans inventus a Deo et Domino, et nihil aliud præter mandata Domini feceris: utique vigilantem te in secunda et tertia vigilia invenerit, hoc est in periculoso et gravi tempore, quod mortiferum somnum et casum dissolutis animabus præbet. Opus itaque vigilantia. Patrifamilias enim assimilamur, qui si vigilaverit, nihil ex rebus ejus auferre poterunt fures; sin autem somniculosus fuerit, ablatis omnibus fur evadit. Per furem quidam hoc loco intelligunt diabolum, sicut et per domum animam, et patremfamilias, hominem; sed non apparet expositio satis accommodata textui. Furi enim hoc loco Domi-

56* II Cor. xi, 2. 57 I Cor. xv, 28.

(a) Edit. Lut. omittit, ***habendo enim lumbos præcinctos.***

nicus adventus comparatur, eo quod repente et inopinato veniet : sicut et apostolorum quidam dicit : Dies enim Domini quasi fur in nocte[58]. Et hoc loco vide quomodo interpretatur Dominus quis sit fur. Nam dicit : Et vos igitur vigilate, quia qua hora non putatis, Filius hominis veniet. Dicunt quidam quod per primam vigiliam intelligantur hi qui aliis sunt diligentiores : per secundam vero, qui aliquantum profecerunt : per tertiam autem, qui etiam illis sunt inferiores. At alii diversas ætates exposuerunt, et primam, qua adolescentes sumus: secundam, qua viri : tertiam, qua senes. Beatus igitur quisquis quacunque ætate inventus fuerit vigilans, nec in operando bonum negligenter se gerens.

VERS. 41-44. « Dixit autem ei Petrus: Domine, ad nos dicis istam parabolam, an etiam ad omnes? Ait autem Dominus: Quisnam est fidelis dispensator ac prudens quem constituet dominus super famulitium suum, ut det illis in tempore dimensum cibum? Beatus ille servus, quem cum venerit dominus, invenerit ita facientem. Vere dico vobis, quod omnibus quæ possidet, præficiet illum. » Interrogavit Petrus ceu curam omnium habens, et pro auditoribus sollicitus, tanquam fratrum amator, et cui jam concredita Ecclesia, num ad omnes parabolam dicat. Dominus vero non manifeste ad interrogationem respondet, sed occulto quodam modo indicat quod dicta parabola communis sit, et ad omnes quidem pertineat fideles, et ad vos apostolos, et in primis eos qui vel doctrina vel dignitate præsunt. Verum audi quisnam sit fidelis ac prudens dispensator. Parabola enim prædicta multis, inquit, congruit. Nunc autem de his qui præfecti sunt aliis, inquiro, quis inveniatur duo hæc habens, fidem dico et prudentiam ; rarus enim hic et inventu difficilis. Nam sicut in dispensationibus divitiarum si quis fidelis fuerit domino suo, non autem prudens, dispersit res domini, nesciens 378 illas dispensare sicut convenit, sed non dat quando oportet, et damnum facit domino majus : iterum si prudens quis fuerit, et expendat, infidelis autem sit, fur utique fuerit, et tanto magis difficilis deprehensu, quando prudentior: ita et in divinis opus est fide ac prudentia. Scio enim multos qui videntur virtute ac pietate ac fide præditi, propterea quod ecclesiastica prudenter administrare nequeant, damnosos esse Ecclesiæ, et non solum facultates, sed etiam animas perdere: ut exempli gratia, peccavit quispiam peccato quod animam offendit : nisi prudens sit qui præsidet, sed tantum habeat fidem, hoc est virtutem absque judicio, vel ex immodica increpatione, vel ex intempestiva illius mansuetudine corrumpitur is qui lapsus est, et non sanatur, sed conteritur. Quisquis igitur fidelis et prudens inventus fuerit, constituetur in ministerio

[58] II Petr. III, 10.

A ἀκολουθίᾳ αὕτη ἡ ἐκδοχή· κλέπτῃ γὰρ ἐνταῦθα παραβάλλεται ἡ παρουσία τοῦ Κυρίου διὰ τὸ ἀπροσδόκητον, ὥς καί τις τῶν ἀποστόλων λέγει· Ἡ γὰρ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί. Καὶ ἐνταῦθα δὲ ὁ Κύριος ἴδε πῶς ἑρμηνεύει ἡμῖν, τίς ἐστιν ὁ κλέπτης· φησὶ γάρ· Καὶ ὑμεῖς οὖν γρηγορεῖτε, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Φασὶ δέ τινες, ὅτι περὶ τὴν πρώτην φυλακὴν ἐγρηγοροῦντες νοοῦνται οἱ τῶν ἄλλων ἐπιμελέστεροι· περὶ δὲ τὴν δευτέραν οἱ ὑποβεβηκότες· περὶ δὲ τὴν τρίτην, οἱ ἔτι τούτων ἧττους. Ἄλλοι δὲ τὰς διαφόρους ἡλικίας ἐξηγήσαντο. Πρώτην μὲν καθ' ἣν νέοι ἐσμὲν, δευτέραν δὲ, καθ' ἣν ἄνδρες, τρίτην δὲ, καθ' ἣν πρεσβῦται. Μακάριος οὖν ὅστις εὑρεθῇ ἐν ὁποιᾳδηποτοῦν ἡλικίᾳ
B ἐγρηγορὼς, καὶ μὴ ἀμελῶς περὶ τὴν ἐργασίαν τοῦ καλοῦ διακείμενος.

« Εἶπε δὲ αὐτῷ ὁ Πέτρος· Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας; Εἶπε δὲ ὁ Κύριος· Τίς ἄρά ἐστιν ὁ πιστὸς οἰκονόμος, καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ, εὑρήσει ποιοῦντα οὕτως· ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ καταστήσει αὐτόν. » Ἠρώτησεν ὁ Πέτρος. οἷα πάντων φροντίζων, καὶ ὑπὲρ τῶν ἀκουόντων διακαιόμενος ὡς φιλάδελφος, καὶ ὡς ἤδη τὴν Ἐκκλησίαν πιστευθεὶς, εἰ πρὸς πάντας τὴν παραβολὴν ταύτην λέγει· ὁ δὲ Κύριος φανερῶς μὲν οὐδὲν ἀποκρίνεται αὐτῷ πρὸς τὴν
C ἐρώτησιν, ἐπικεκρυμμένως δέ δείκνυσιν, ὅτι ἡ μὲν ῥηθεῖσα παραβολὴ κοινὴ ἦν, καὶ εἰς πάντας φθάνουσα καὶ τοὺς τυχόντας πιστοὺς, τῆς δὲ πρὸς ὑμᾶς, φησὶ, τοὺς ἀποστόλους, καὶ ἁπλῶς τοὺς διδασκαλίας ἢ προστασίας ἀξιωθέντας, ἤδη ἄκουε. Τίς ἄρα ἐστὶν ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος. Ἡ μὲν προῤῥηθεῖσα παραβολὴ πολλοῖς, φησὶν, ἁρμόζει, νῦν δὲ περὶ τῶν προστασίας ἀξιωθέντων φησὶ, λέγων· Διαπορῶ τίς εὑρεθήσεται ταῦτα ἔχων, καὶ πίστιν καὶ φρόνησιν· σπάνιος γὰρ οὗτος καὶ δυσεύρετος. ὥσπερ γὰρ ἐπὶ τῶν χρηματικῶν οἰκονομιῶν εἰ πιστὸς εἴη τις τῷ δεσπότῃ αὐτοῦ, μὴ φρόνιμος δὲ, ἀπόλλυται τά δεσποτικὰ, μὴ δυναμένου διοικῆσαι ταῦτα ὡς δεῖ, ἀλλ' ὅταν χρεία δοῦναι, μὴ διδόντος, καὶ πλειόνων ἀπώλειαν ποιοῦντος· πάλιν, εἰ φρόνι-
D μος μὲν εἴη, καὶ ποριστικὸς, ἄπιστὸς δὲ, κλέπτης ἂν εἴη, καὶ τόσῳ μᾶλλον δυσφώρατος, ὅσῳ καὶ φρονιμώτατος· οὕτω δὴ καὶ ἐπὶ τῶν θείων, δεῖ ἐν ταυτῷ καὶ πίστεως καὶ φρονήσεως· οἶδα γὰρ ἐγὼ πολλοὺς σπουδαίους μὲν δοκοῦντας κατ' ἀρετὴν, καὶ θεοσεβεῖς, καὶ πίστιν ἔχοντας, ἐν τῷ μὴ δύνασθαι δὲ φρονίμως διαθέσθαι τὰ ἐκκλησιαστικὰ, οὐ μόνον χρήματα, ἀλλὰ καὶ ψυχὰς ζημιώσαντας· οἷον ἔπταισέ τις ἐν ψυχικῷ προσπταίσματι, εἰ μὴ φρόνιμος εἴη ὁ προεστὼς, ἀλλὰ μόνον πίστιν ἔχων, τουτέστιν ἀρετὴν ἀδιάκριτον, ἢ ἐξ ἀμέτρου ἐπιτιμήσεως, ἢ ἐκ πραότητος ἀκαίρου διαφθαρείη ὁ πταίσας, καὶ οὐκ ἰαθήσεται, ἀλλ' ἐπιτριβήσεται. Ὅστις οὖν πιστὸς

A εὑρεθῇ καὶ φρόνιμος, κατασταθήσεται ἐπὶ τῆς θεραπείας τοῦ Κυρίου, τουτέστιν ἐπάνω πάντων τῶν δούλων, ὥστε ἑκάστῳ ἐν καιρῷ διδόναι τὸ σιτομέτριον, εἴτε δογματικὸς λόγος ἐστὶν, ᾧ τρέφονται αἱ ψυχαὶ, εἴτε πράξεων ὑποτύπωσις, καὶ διαταγὴ πῶς δεῖ βιοῦν· ὁ τοιοῦτος, εἰ οὕτως εὑρεθείη ποιῶν, μακάριος, καὶ ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ καταστήσει αὐτὸν ὁ Κύριος, οὐ μόνον ἐπὶ τοῖς δούλοις, ἀλλ' ἤδη καὶ ὑψηλοτέρου βαθμοῦ ἀξιώσας, ἐπὶ πᾶσιν αὐτὸν καταστήσει, ὥστε καὶ τὰ ἐπίγεια ἔχειν ὑπακούοντα καὶ τὰ οὐράνια, οἷος Ἰησοῦς ὁ τοῦ Ναυῆ, οἷος Ἠλίας, ὁ μὲν ἡλίῳ, ὁ δὲ νεφέλαις οὐρανοῦ ἐπιτάττοντες, καὶ πάντες ἁπλῶς οἱ ἅγιοι ὡς Θεοῦ φίλοι τοῖς τοῦ φίλου χρώμενοι· κοινὰ γὰρ τὰ τῶν φίλων· καὶ πᾶς ὁ τὴν πρακτικὴν μετιὼν B ἀρετὴν ἐν τῷ ἡσύχῳ βίῳ, καὶ τὰ δοῦλα πάθη, θυμὸν καὶ ἐπιθυμίαν, οἰκονομῶν, καὶ ἑκάστῳ ἐν καιρῷ τὸ σιτομέτριον παρέχων, θυμῷ μὲν, ὥστε μισεῖν τοὺς μισοῦντας τὸν Κύριον, καὶ ἐπὶ τοῖς ἐχθροῖς αὐτοῦ ἐκτήκεσθαι, ἐπιθυμίᾳ δὲ, ὥστε πρόνοιαν τῆς σαρκὸς ποιεῖν ἀναγκαίαν, καὶ ὅλην αὐτὴν πρὸς Θεὸν ἀναπέμπειν· πᾶς οὖν ὁ τοιοῦτος μακάριος, καὶ δὴ ἐπιτεύξεται καὶ θεωρίας, καὶ ἐπὶ πᾶσι τοῖς τοῦ Κυρίου ὑπάρχουσι κατασταθήσεται, πάντα τῷ θεωρητικῷ νῷ ἀξιωθεὶς βλέπειν καὶ ἐπισκοπεῖν· καὶ οὐ μόνον ταῦτα τὰ μὴ Κυρίως ὑπάρχοντα, ἀλλὰ καὶ τὰ κυρίως ὑπάρχοντα, λέγω δὴ τὰ αἰώνια.

Domini, hoc est super omnes servos, ut unicuique det mensuram frumenti in tempore suo, sive hoc est sermo doctrinæ quo aluntur animæ, sive operum exemplum, et mandatum quomodo vivere oporteat. Beatus qui talis fuerit inventus, et super omnia sua constituet illum Dominus. Non solum inter servos, sed et sublimiori gradu provehens, super omnia constituet, ut ei et terrena subsint et cœlestia. Talis erat Jesus Nave, talis Elias. Ille enim soli, hic autem nubibus cœli imperabat. Et omnes simpliciter sancti, ut amici Dei, his quæ amici sunt utuntur. Communia enim sunt omnia amicorum. Et omnis qui in solitaria vita activam vitam agit, et serviles affectiones, iram et concupiscentiam, gubernat, et suam cuique mensuram tritici in tempore distribuit, iram quidem ita, ut odio habeat odio habentes Dominum, et super inimicos suos tabescat, concupiscentiam vero ita, ut necessariam carnis gerat curam, et eam totam in Deum dirigat : omnis, inquam, talis beatus est, et assequetur etiam contemplationem, et super omnia quæ Domini sui sunt, constituetur, merebiturque contemplativo oculo perspicere et eas quæ non proprie dicuntur facultates, et eas quæ proprie, æternas dico.

« Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ Κύριός μου ἐλθεῖν, καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν, καὶ μεθύσκεσθαι, ἥξει ὁ κύριος τοῦ δούλου C ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. » Οὐαὶ τοῖς τοιούτοις δούλοις, οἳ χάρισμα λαβόντες πνευματικῆς ἐπιστασίας, διαφθείρουσι τὴν ἐμπιστευθεῖσαν αὐτοῖς οἰκονομίαν, καὶ πίνουσι μὲν, καὶ μεθύσκονται, εἴτε αἰσθητῶς ταῦτα βούλοιο νοεῖν· συμβαίνει γὰρ καὶ τοῦτο τοῖς κακοῖς τῶν Ἐκκλησιῶν ἡγεμόσι, κατασπαταλῶσι τῶν πτωχικῶν χρημάτων· εἴτε καὶ μέθην νοεῖν θέλεις τὴν παραφορὰν τοῦ νοῦ, καὶ ἐν δόγμασι καὶ ἐν χρήμασι. Τύπτουσι δὲ οἱ τοιοῦτοι προστάται τοὺς παῖδας καὶ τὰς παιδίσκας, φημὶ δὴ, τοὺς ἐν τῇ Ἐκκλησίᾳ ἀσθενεστέρους σκανδαλίζοντες, τύπτουσιν αὐτῶν τὴν συνείδησιν. Ὁ γὰρ ἀσθενὴς καὶ μικρόψυχος ἰδὼν ἐμὲ τὸν ἀρχιερέα κακῶς διεξάγοντα D τὴν ζωὴν, τύπτεται τὴν συνείδησιν σκανδαλιζόμενος, καὶ πληγὰς δέχεται ἐν τῇ καρδίᾳ, καὶ ἀσθενέστερος γίνεται. Ταῦτα δὲ πάντα συμβαίνει τῷ πονηρῷ δούλῳ ἐκ τοῦ εἰπεῖν, ὅτι, Ὁ Κύριός μου χρονίζει ἐλθεῖν· ἀπὸ ῥᾳθυμίας γάρ. καὶ τοῦ μὴ ἐνθυμεῖσθαι τὴν ὥραν τῆς τελευτῆς, τὰ τοιαῦτα γίνονται. Εἰ γὰρ ἐνενοοῦμεν, ὅτι ἥκει ὁ Κύριος, καὶ ἐπὶ θύραις ἡ τελευτὴ καὶ συντέλεια τῆς ζωῆς ἡμῶν, ἧττον ἂν ἡμαρτάνομεν. Ἀλλ' ὅρα καὶ τὴν τιμωρίαν. Διχοτομήσει, φησὶν, αὐτὸν, τουτέστι, στερήσει τοῦ χαρίσματος τοῦ διδασκαλικοῦ. Ἵνα γὰρ μή τις νομίσῃ ὅτι συμβαλεῖται αὐτῷ τὸ χάρισμα, πρὸς τὸ μὴ σφοδρότερον κολασθῆναι, Πῶς, φησὶ, συμβαλεῖται αὐτῷ τὸ χάρισμα, ὅπου γε γυμνὸς τούτου

VERS. 45, 46. «Quod si servus ille in corde suo dixerit: Differt Dominus meus reditum, cœperitque percutere servos et ancillas, et edere bibereque, et inebriari : venit dominus servi illius in die quo non sperat, et hora qua nescit, et dissecabit eum, partemque ejus cum infidis ponet. » Væ talibus servis, qui donum spiritualis præsidentiæ acceperunt, et dispensationem sibi commissam infideliter gerunt, et bibunt ac inebriantur : sive ebrietatem sensibiliter intelligere volueris : contingit enim et hoc malis Ecclesiarum præsidibus, 379 qui deliciose vivunt de bonis pauperum : sive etiam per ebrietatem intelligere placet perversionem status mentis per falsas doctrinas, vel amorem divitiarum. Verberant enim tales præsides servos et ancillas, hoc est, offendiculo sunt infirmioribus Ecclesiæ, quorum percutiunt conscientiam. Etenim infirmus et pusillanimis, cum viderit me episcopum vitam male transigere, percutitur conscientia offensus, et plagam accipit in corde, fitque infirmior. Hæc autem omnia contingunt infideli servo ex eo quod dicit : Differt domiuus meus reditum : præ ignavia enim hoc facit, non cogitans horam mortis. Nam si cogitaremus venturum Dominum, et in foribus finem et consummationem vitæ nostræ esse, minus utique peccaremus. Verum vide et supplicium. Dissecabit, inquit, illum, hoc est, privabit illum docendi gratia. Ne quis enim putet quod ipsi conferat donum ad hoc ne gravius puniatur. Quomodo, inquit, conferat ei donum cum illo nunc nudatus inveniatur? dissecari enim significat gratia privari. Enimvero ille tunc miserabilis invenitur, quod sit caro et non spiritus, quia tunc sumus in spiritu,

secundum Apostolum, quando Spiritus Dei habitat in nobis 59. Qui autem non ambulat spiritu, sed in carne est, et expers inventus fuerit vitæ spiritualis, cum incredulis ordinatur, utpote qui cum incredulo mundo condemnatur: quoniam nihil utilitatis ab apparente fide percipit. Vera enim fides in ipso non fuit. Nam si in eo fuisset vera fides, dispensator fidelis fuisset Verum nunc quia bibens et se inebrians fuit, et res Domini corrumpens, fidem veram non habuit, quæ exigitur a dispensatoribus: bene ergo cum infidis ponitur portio ejus. Privatus enim dono et nudatus, mutilus invenitur, et non integer.

εὑρίσκεται τότε; τὸ γὰρ διχοτομηθῆναι, τοῦτο σημαίνει, Τὸ στερηθῆναι τῆς χάριτος. Εὑρίσκεται γὰρ ὁ ἐλεεινὸς τότε σὰρξ ὢν καὶ οὐ πνεῦμα· ἐπεὶ τότε ἐσμὲν ἐν πνεύματι, κατὰ τὸν Ἀπόστολον, ὅτε Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ἡμῖν· ὁ δὲ μὴ πνεύματι στοιχήσας, ἀλλ' ἐν σαρκὶ ὤν, καὶ ἄμοιρος εὑρεθεὶς πνευματικῆς πολιτείας, μετὰ τῶν ἀπίστων τάττεται, οἷα σὺν τῷ ἀπίστῳ κόσμῳ κατακρινόμενος, ὡς μηδὲν ὠφεληθεὶς ἀπὸ τῆς δοκούσης πίστεως· ἡ γὰρ ἀληθὴς πίστις ἐν αὐτῷ οὐκ ἦν· εἰ γὰρ ἀληθὴς πίστις ἐν αὐτῷ ἦν, οἰκονόμος ἂν ἦν πιστός· νῦν δὲ ἐπεὶ πίνων ἦν, καὶ μεθύων, καὶ διαφθείρων τὰ δεσποτικὰ, οὐκ εἶχε τὴν ἀληθῆ πίστιν, ἣν ἀπαιτοῦνται οἱ οἰκονόμοι· καλῶς ἄρα μετὰ τῶν ἀπίστων τίθεται τὸ μέρος αὐτοῦ· στερηθεὶς γὰρ τοῦ χαρίσματος καὶ γυμνωθεὶς, κολοβὸς εὑρίσκεται καὶ οὐχ ὁλόκληρος.

VERS. 47, 48. « Ille autem servus qui cognovit voluntatem domini sui, nec se præparavit, neque secundum voluntatem ejus fecit, plagis vapulabit multis; qui autem non cognovit, et fecit digna plagis, vapulabit paucis. Porro cuicumque multum datum est, multum quæretur ab eo: et cui commendaverunt multum, plus petent ab eo. » Hoc loco amplius quiddam ac terribilius nobis demonstrat Dominus. Non solum enim enim, inquit, gratia nudabitur qui talis est, et nihil sibi proderit hoc ut liberetur a pœnis, sed et majoris condemnationis causa erit dignitatis magnitudo. Quo plus enim scit qui peccat, tanto graviorem pœnam sibi accersit. Et in sequentibus hoc manifestius fit. Cui enim datum est multum, ab eo requiretur etiam multum: et cui commendaverunt multum, plus petent ab eo. Per hoc enim signatur, pœnam quam merentur doctores, 380 futuram majorem. Datur igitur et commendatur doctoribus: datur quidem, ut gratia sanandi morbos, et faciendi miracula, commendatur autem eis verbi et doctrinæ donum. Et cum dixit, Datur, non subjungit, Amplius exigent: sed cum dixit, Commendatur, et profecto donum verbi opus habet labore, et amplius exigitur a doctoribus Oportet enim eum non esse desidem ac ignavum, sed multiplicare talentum verbi. Igitur, cui commendaverunt, intelligere debes, cui multum datum ad usuram. Usuram enim commendatum et depositum hic signat. At sunt qui quærant: Esto, bene, puniatur is qui scit voluntatem Domini, et non facit: qui autem nescit, quare punitur? Eo quod potuisset etiam ipse discere, et noluit, sed piger fuit, ipse in causa fuit quominus didicerit: quapropter puniendus est quod sponte non didicit.. Timeamus, fratres. Nam si his qui nihil scit, omnino dignus est plagis: quæ excusatio liberabit eos qui scienter de delinquunt, maxime si doctores fuerint? Gravior enim est hæc condemnatio.

« Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας· παντὶ δὲ ᾧ ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ, καὶ ᾧ παρέθεντο πολὺ, περισσότερον αἰτήσουσιν αὐτόν. » Ἐνταῦθα καὶ πλεῖόν τι καὶ φοβερώτερον ὑποδείκνυσιν ἡμῖν ὁ Κύριος. Οὐ μόνον γὰρ, φησὶ, τοῦ χαρίσματος γυμνωθήσεται ὁ τοιοῦτος, καὶ οὐδὲν αὐτῷ συμβαλεῖται πρὸς ἀπαλλαγὴν τῶν κολάσεων, ἀλλὰ καὶ μείζονος αὐτῷ κατακρίσεως αἴτιον γενήσεται τὸ τοῦ ἀξιώματος μέγεθος. Ὅσῳ γὰρ γινώσκων ἔπταισε, τοσούτῳ μείζονα τὴν τιμωρίαν ἑαυτῷ περιποιεῖται. Καὶ διὰ τῶν ἐφεξῆς δὲ σαφέστερον τοῦτο ποιεῖ. Ὧ γὰρ ἐδόθη, φησὶ, πολὺ, καὶ πολὺ ζητηθήσεται παρ' αὐτοῦ, καὶ ᾧ παρέθεντο πολὺ, περισσότερον αἰτήσουσιν αὐτόν. Διὰ τούτων γὰρ αἰνίττεται τὴν τοῖς διδασκάλοις ὀφειλομένην τιμωρίαν μείζονα ἐσομένην. Καὶ δίδοται οὖν τοῖς διδασκάλοις καὶ παρακατατίθεται· δίδοται μὲν, οἷον τὸ χάρισμα τοῦ θαυματουργεῖν καὶ ἰᾶσθαι νόσους, παρακατατίθεται δὲ αὐτοῖς τὸ τοῦ λόγου καὶ τῆς διδασκαλίας χάρισμα. Ἐπὶ μὲν οὖν τοῦ, Δίδοται, οὐκ εἶπεν ὅτι Περισσότερον ἀπαιτήσουσιν· ἐπὶ δὲ τοῦ, Παρακατατίθεται· καὶ γὰρ ὄντως τὸ τοῦ λόγου χάρισμα ἐπεργασίας δεῖται, καὶ ἀπαιτεῖται ὁ διδάσκαλος περισσότερον. Δεῖ γὰρ αὐτὸν μὴ ῥαθυμεῖν, ἀλλὰ πλεονάζειν τὸ τοῦ λόγου τάλαντον· τὸ τοίνυν, παρετέθη, ἀντὶ τοῦ, ᾧ ἐδανείσθη πολὺ, ὀφείλεις νοεῖν· τὸ γὰρ δάνειον παρακαταθήκην ἐνταῦθα ὠνόμασεν. Ἀλλὰ ζητοῦσί τινες, Ἔστω, καλῶς τιμωρεῖται ὁ γνοὺς τὸ θέλημα τοῦ δεσπότου, καὶ μὴ ποιῶν, ὁ δὲ μὴ γνοὺς, διατί τιμωρεῖται; Διότι δυνάμενος μαθεῖν καὶ αὐτὸς, ὅμως οὐκ ἠθέλησεν, ἀλλ' ἀπὸ ῥαθυμίας αὐτὸς ἑαυτῷ αἴτιος τοῦ μὴ μαθεῖν γέγονεν, ὥστε διὰ τοῦτο κολαστέος, ὅτι ἑκὼν οὐκ ἔμαθε. Φρίξωμεν, ἀδελφοί· εἰ γὰρ ὁ μηδ' ὅλως γνοὺς, ἄξιος πληγῶν, ποῖος ἀπαλλάξει λόγος τοὺς ἐν γνώσει πλημμελοῦντας, καὶ μάλιστα εἰ καὶ διδάσκαλοι εἶεν; Φορτικώτερον γὰρ τὸ τούτων κατάκριμα.

VERS. 49, 50. « Ignem veni missurus in terram: et quid volo, si jam accensus est? Sed baptismo

« Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν· καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη; Βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ

59 Rom. VIII, 9.

πῶς συνέχομαι ἕως οὗ τελεσθῇ; » Πῦρ νοεῖται μὲν A καὶ τὸ κήρυγμα, ὁ λόγος γὰρ πῦρ κατεσθίων πᾶν ὑλῶδες καὶ συρφετῶδες νόημα, καὶ τὰ εἴδωλα ἐξαφανίζων ὁποίας ἂν ὕλης εἶεν. Νοεῖται δὲ καὶ ὁ ζῆλος ὁ ὑπὲρ τοῦ καλοῦ ἐν ἑκάστῳ ἡμῶν ἀναπτόμενος· τάχα δὲ καὶ οὗτος διὰ τὸν λόγον τοῦ Θεοῦ γινόμενος, οὐκ ἀπέοικε τοῦ προτέρου· τούτῳ δὴ τῷ πυρὶ βούλεται ὁ Κύριος ἀνάπτεσθαι τὰ καρδίας ἡμῶν· δεῖ γὰρ ἡμᾶς ζῆλον διάπυρον ὑπὲρ τοῦ καλοῦ ἔχειν· τὸ γὰρ, τί θέλω, ἀντὶ τοῦ, πόσον θέλω, εἰ ἤδη ἀνήφθη; Ἐπιστεύδει γὰρ τὴν ἄναψιν τούτου τοῦ πυρὸς, καθὼς καὶ ὁ Παῦλος λέγει· Τῷ πνεύματι ζέοντες. Καὶ πάλιν· Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. Βάπτισμα δὲ τὸν θάνατον ἑαυτοῦ λέγει. Ἐπειδὴ γὰρ τὸ πῦρ τοῦτο οὐκ ἄλλως ἔμελλεν ἀναφθῆναι, εἰ μὴ μετὰ τὸν θάνατον αὐτοῦ· καὶ γὰρ ἔκτοτε τὸ κήρυγμα B καὶ ὁ ζῆλος ηὐξήθη· διὰ τοῦτο ἐπάγει καὶ περὶ τοῦ θανάτου ὀνομάζων αὐτὸν βάπτισμα. Ἐπιθυμῶν δὲ τούτου σφόδρα, φησί· Καὶ πῶς συνέχομαι, ἀντὶ τοῦ, πόσον φροντίζω καὶ θλίβομαι, ἕως οὗ τελεσθῇ; Διψῶ γὰρ τὸν ὑπὲρ τῆς πάντων σωτηρίας θάνατον. Πῦρ δὲ ἦλθε βαλεῖν ὁ Κύριος, οὐ μόνον ἐπὶ πᾶσαν τὴν γῆν, εἰς ἣν ὁ λόγος καὶ ἡ πίστις ἡπλώθη, ἀλλὰ καὶ ἐπὶ τὴν ἑκάστου ψυχὴν, γῆν μὲν οὖσαν ἀκανθηφόρον καὶ ἄκαρπον, ὑπὸ δὲ τοῦ θείου λόγου ὥσπερ πυρὸς διακαιομένην, καὶ δεκτικὴν γινομένην τῶν θείων σπερμάτων, καὶ καρποφοροῦσαν πνευματικῶς. Ὅταν γὰρ ἅψηταί τινος ψυχῆς ἀοράτως ἡ θεία χάρις, δοκεῖ φλέγεσθαι τῷ Θεοῦ πόθῳ, ὡς οὐκ ἔστιν εἰπεῖν, ὥσπερ ἀμέλει καὶ οἱ περὶ Κλεόπαν τῷ τοιούτῳ πυρὶ τῆς τοῦ Θεοῦ ὑποφλεγόμενοι ἀοράτως χάρι- C τος. Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ἔλεγον. Εἴτις οὖν ἔπαθε τὸ τοιοῦτον πάθος, εἴσεται τὸ λεγόμενον. Πάσχουσι δὲ πολλοὶ καὶ πολλάκις ἀναγινωσκομένων θείων Γραφῶν, ἢ βίων ἁγίων Πατέρων, ἢ παραινούντων τινῶν καὶ διδασκόντων, διακαιόμενοι πρὸς τὸ καλὸν τὰς ψυχὰς, καὶ οἱ μὲν ἄχρι τέλους, οἱ δὲ παραυτίκα ἀποψυχραίνονται.

« Δοκεῖτε, ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; Οὐχὶ, λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν· ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ, καὶ δύο ἐπὶ τρισὶν διαμερισθήσονται, πατὴρ ἐπὶ υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί· μήτηρ ἐπὶ θυγατρὶ, καὶ θυγάτηρ ἐπὶ μητρί· πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς. » Χριστὸς μέν ἐστιν, ἡ εἰρήνη ὑμῶν, πλὴν, D Οὐκ ἦλθον, φησὶν, εἰρήνην δοῦναι. Ὅθεν αἰνίγματι ἔοικε τὸ λεγόμενον. Λέγομεν οὖν, ὡς οὐ πᾶσα εἰρήνη ἄψογος καὶ καλὴ, ἀλλ' ἔστιν ἐπισφαλὴς πολλάκις, καὶ πόῤῥω τῆς θείας ἀγάπης βάλλουσα· οἷον ὅταν εἰρηνεύωμεν, καὶ συμφωνῶμεν ἐπὶ καταλύσει τῆς ἀληθείας· ταύτην οὖν τὴν εἰρήνην οὐκ ἦλθε δοῦναι Χριστὸς, τοὐναντίον μὲν οὖν βούλεται ἡμᾶς διαφέρεσθαι πρὸς ἀλλήλους ὑπὲρ τοῦ καλοῦ, ὃ καὶ ἐν τῷ διωγμῷ γέγονεν· ἐν ἑνὶ γὰρ οἴκῳ πατὴρ Ἕλλην υἱῷ πιστῷ διεφέρετο, καὶ μήτηρ θυγατρὶ, καὶ τὸ ἔμπαλιν. Πῶς δὲ εἰπὼν πέντε ἐν ἑνὶ οἴκῳ

A habeo baptizari, et quomodo constringor donec perficiatur? » Per ignem quidem et prædicatio intelligitur. Sermo enim ignis est, qui consumit omnem materialem et imperfectam cogitationem, et simulacra abolet cujuscunque fuerint materiæ. Intelligitur etiam et zelus pro virtute in unoquoque nostrum accensus: fortassis autem et is est qui propter verbum Dei fit, non dissimilis autem est a priore: hoc enim igne vult Deus accendi corda nostra. Debemus ignitum pro virtute zelum habere. Unde, quid volo, id est, quantum volo, si jam accensus est? Urget enim ut accendatur ignis ille, sicut et Paulus dicit: Spiritu ferventes. Et rursum: Æmulor enim vos æmulatione Dei. Baptisma autem mortem suam dicit. Quoniam enim ignis ille B non aliter accendendus erat, quam post mortem ejus: nam ex eo tempore prædicatio et zelus creverunt, propterea subdit etiam de morte, baptismum illam vocans. Hanc autem valde desiderans, inquit: Et quomodo constringor, hoc est, quam sollicitus sum ac premor, donec perficiatur? Sitio enim mortem pro omnium salute. Ignem venit missurus non solum in omnem terram, in quam prædicatio et fides explanata sunt, sed uniuscujusque animam, quæ terra quidem spinosa est et sterilis, a verbo autem Dei quasi igne succensa, et divinorum seminum capax, et spiritualium frugum ferax facta. Ubi enim alicujus animæ invisibiliter divina gratia contigerit, videtur desiderio Dei supra quam 381 dici queat flagrare, quemadmodum et Cleopas flaC grabat divino igne cum diceret: Nonne cor nostrum accensum erat in nobis [60]? Quisquis igitur hanc affectionem expertus est, scit quid dicamus: Experiuntur autem multi etiam quando leguntur divinæ Scripturæ, vel vitæ sanctorum Patrum, vel si admoneantur vel doceantur, quomodo accendantur animæ ad faciendum bonum. Et alii quidem usque ad finem flagrant, alii vero statim frigescunt.

Vers. 51-53. « Putatis quod pacem venerim missurus in terram? Non, dico vobis, imo separationem. Erunt enim ex hoc quinque in domo una divisi, tres adversus duos, et duo contra tres dividentur, pater adversus filium, et filius adversus patrem: mater adversus filiam, et filia adversus matrem: socrus adversus nurum suam, et nurus D adversus socrum suam. » Christus quidem est pax nostra, sed, Non veni, inquit, missurus pacem: unde ænigmatice hoc dictum est. Dicimus igitur quod non omnis pax vituperio caret, et bona est, sed est sæpe pax periculosa, et procul a divina charitate rejiciens, utpote quando pacem habemus et conspiramus in destructionem veritatis. Hanc enim pacem non venit Christus ut daret, sed contrarium vult: nempe ut dissideamus propter bonum, quod et in persecutione factum est. In una enim domo pater gentilis a filio fideli differebat, et mater a filia, et contra. Quomodo autem di-

[60] Luc. XXIV, 32.

cendo. Quinque in domo una divisi erunt, in enumeratione sex personas posuit? Dicimus igitur quod una persona his assumpta est. Filia et nurus eadem est persona. Filia enim dicitur, si ad matrem referatur: nurus vero, si ad socrum. Tres igitur erunt divisi, pater et mater et socrus, adversus duos, filium et filiam. Filia enim cum una persona sit, duas relationes suscipit, et secundum hoc videtur duplex persona matri et socru collata. Intellige autem simpliciter per patrem et matrem et socrum, vetera omnia: per filium autem et filiam, omnia nova. Itaque Dominus vult ut sua nova et divina præcepta et dogmata pugnent cum antiquis nostris sceleratis moribus et dogmatibus. Intellige autem etiam sic: Pater quidem mens, filius vero ratio. Divisio horum fit in unaquaque domo, hominis inquam, ut manifestius dicam, illustrata fuit mens Dionysii Areopagitæ, et prædicationem suscepit, repugnavit autem ejus menti, quæ tam alacriter fidem suscepit, gentilis ratio, tentans ostendere dialecticis tendiculis, ut illas sequeretur. Vides divisionem patris et filii inter se repugnantium propter Christum et prædicationem? Matrem quoque et socrum vocabis mentem, filium vero et nurum sensum: **382** et inter has est pugna propter Christum, insurgente mente contra sensum: quando mens suadet præferenda non fluxa fluxis, invisibiliaque visibilibus, habetque ad hoc demonstrationes multas adjutrices. Committitur autem et bellum sensus contra mentem. Sensus enim per miracula et signa quæ videntur perductus ad fidem, non credit mentis cogitationibus: neque enim gentilium demonstrationes vult sequi, quæ compellunt illis attendentes non credere quod Deus factus sit homo, vel quod virgo peperit. Hujusmodi sunt gentilium deliramenta, naturæ servientia. At sensus per miracula quæ videntur, præstantior omni demonstratione est, ad Dei cognitionem manuducens. Non omnis igitur pax et concordia bona est, sed est quando et pugna et dissidium divina quædam res videtur. Nullus igitur amet malos, et quamvis pater et mater adversentur legi Christi, repugnandum est eis perinde ac hostibus veritatis.

A διαμεμερισμένους ἔσεσθαι, ἐν τῇ ἀπαριθμήσει ἓξ πρόσωπα τέθεικε; Λέγομεν οὖν ὅτι ἓν πρόσωπον δὶς ἐλήφθη. Ἡ θυγάτηρ γὰρ καὶ ἡ νύμφη τὸ αὐτὸ πρόσωπόν ἐστιν, ὡς πρὸς μὲν οὖν τὴν μητέρα προσλαμβανόμενον, θυγάτηρ ὠνομάσθη, ὡς δὲ πρὸς τὴν πενθερὰν, νύμφη. Τρεῖς οὖν ἔσονται διαμεμερισμένοι, ὁ πατὴρ, καὶ ἡ μήτηρ, καὶ ἡ πενθερὰ, ἐπὶ δυσὶ, τουτέστι τῷ υἱῷ καὶ τῇ θυγατρί. Ἡ γὰρ θυγάτηρ, ὡς ἔφαμεν, ἓν πρόσωπον οὖσα, καθὸ δύο σχέσεις ἀναδέχεται, κατὰ τοῦτο δοκεῖ εἶναι δύο πρόσωπα, τῇ μητρὶ προστεθημένη καὶ τῇ πενθερᾷ. Νόει δέ μοι ἁπλῶς πατέρα καὶ μητέρα καὶ πενθερὰν πάντα τὰ παλαιὰ, υἱὸν δὲ καὶ θυγατέρα, πάντα τὰ νέα· ὁ τοίνυν Κύριος πᾶσι τοῖς παλαιοῖς ἡμῶν καὶ ἁμαρτωλοῖς ἔθεσι καὶ δόγμασι μάχεσθαι τὰ νέα καὶ θεῖα αὐτοῦ ἐντάλματα καὶ δόγματα βούλεται. Νόει
B δὲ καὶ οὕτως· Πατὴρ μὲν ὁ νοῦς, υἱὸς δὲ ὁ λόγος, μερισμὸς οὖν τούτων ἐγένετο ἐν τῷ ἑνὶ οἴκῳ, τῷ ἀνθρώπῳ φημὶ, οἷον ἵνα σαφέστερον εἴπω, ἐνελάμφθη ὁ νοῦς τοῦ Ἀρεοπαγίτου Διονυσίου, καὶ τὸ κήρυγμα ἐδέξατο· ἀνθίστατο δὲ τούτου τῷ νοῒ τῷ ἀναποδείκτως δεξαμένῳ τὴν πίστιν ὁ λόγος ὁ Ἑλληνικὸς, ἀποδεικνύειν πειρώμενος, καὶ διαλεκτικαῖς ἐφόδοις ἀκολουθεῖν ἀναγκάζων. Ὁρᾷς μερισμὸν πατρὸς καὶ υἱοῦ μαχομένων ἀλλήλοις διὰ Χριστὸν καὶ τὸ κήρυγμα; Καὶ μητέρα δὲ καὶ πενθερὰν καλέσαις ἂν τὴν διάνοιαν, θυγατέρα δὲ καὶ νύμφην τὴν αἴσθησιν. Καὶ ταύταις οὖν μάχη ἵσταται διὰ Χριστὸν, τῇ μὲν διανοίᾳ κατὰ τῆς αἰθήσεως, ὅταν ἡ διάνοια πείθῃ προτιμᾷν τὰ μὴ ῥευστὰ τῶν ῥευστῶν, τὰ ἀόρατα τῶν ὁρατῶν καὶ ἔχῃ πρὸς τοῦτο πολλὰς
C ἀποδείξεις συνεργούς. Ἔστι δὲ ὅτε καὶ τῇ αἰσθήσει κατὰ τῆς διανοίας πόλεμος συγκροτεῖται· ἡ γὰρ αἴσθησις διὰ τῶν θαυμάτων καὶ τῶν ὁρωμένων σημείων χειραγωγουμένη πρὸς πίστιν, οὐ πείθεται τοῖς τῆς διανοίας λογισμοῖς, οὐδὲ ταῖς Ἑλληνικαῖς ἀποδείξεσιν ἕπεσθαι βούλεται, συναναγκαζούσαις τοὺς προσέχοντας αὐταῖς μὴ πιστεύειν, ὅτι Θεὸς γέγονεν ἄνθρωπος, ἢ ὅτι παρθένος ἔτεκε. Τοιαῦτα γὰρ τὰ τῶν φύσει δουλευόντων Ἑλληνικῶν λογισμῶν ληρήματα. Ἡ μέντοι αἴσθησις διὰ τῶν ὁρωμένων θαυμάτων κρείττων πάσης ἀποδείξεώς ἐστι πρὸς θεογνωσίαν χειραγωγός· οὐ πᾶσα οὖν εἰρήνη καὶ συμφωνία καλὸν, ἀλλ' ἔστιν ὅτε καὶ μάχη καὶ διάστασις θεῖόν τι χρῆμα δοκεῖ· μηδεὶς τοίνυν φιλιαζέτω τοῖς πονηροῖς, ἀλλὰ κἂν πατὴρ, κἂν μήτηρ ἐναντίοι εὑρίσκωνται τῷ Χριστοῦ νόμῳ, πολεμητέον αὐτοῖς ὡς τῆς ἀληθείας ἐχθροῖς.

VERS. 54-59. « Dicebat autem ad turbas: Cum videritis nubem orientem ab occasu, statim dicitis, imber venit, et ita fit: et cum austrum flantem, dicitis quod æstus erit, et fit. Hypocritæ, faciem cœli et terræ nostis probare, hoc autem tempus qui fit ut non probetis? Cur autem ex vobisipsis non judicatis quod justum est? Cum enim vadis cum adversario tuo ad magistratum, in via da operam, ut libereris ab illo, ne forte pertrahat te ad judicem, et judex tradat te exactori, et exactor conjiciat te in carcerem. Dico tibi, non exibis inde, donec ultimum etiam minutum reddas. » Postquam de prædicatione disseruit, ignemque et

D « Ἔλεγε δὲ τοῖς ὄχλοις, Ὅταν ἴδητε νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε, ὅτι Ὄμβρος ἔρχεται, καὶ γίνεται οὕτως· καὶ ὅταν νότον πνέοντα, λέγετε ὅτι Καύσων ἔσται, καὶ γίνεται. Ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε; Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ, μή ποτε κατασύρῃ σε πρὸς τὸν κριτὴν, καὶ ὁ κριτής σε παραδῷ τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε βάλῃ εἰς φυλακήν· λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν

ἀποδῷς. » Ἐπειδὴ περὶ τοῦ κηρύγματος διελέχθη, καὶ πῦρ αὐτὸ καὶ μάχαιραν ὠνόμασεν· εἰκὸς δὲ ἦν τοὺς ἀκούοντας ταράσσεσθαι, μὴ συνιέντας τί ἐστι τὸ λεγόμενον, φησίν· ὅτι Ὥσπερ τὰς τοῦ ἀέρος ποιότητας ἀπό τινων σημείων διαγινώσκετε, οὕτως ἔδει καὶ τὴν ἐμὴν παρουσίαν ἐπιγινώσκειν ἀπό τε τῶν λεγομένων, ἀπό τε τῶν πραττομένων ὑπ' ἐμοῦ. Καὶ γὰρ οἱ λόγοι μου δεικνύουσί με ἐναντιούμενον ὑμῖν, καὶ τὰ ἔργα δὲ ὁμοίως. Ὑμεῖς μὲν γὰρ τελῶναι καὶ ἅρπαγες, ἐγὼ δὲ οὐκ ἔχω ποῦ τὴν κεφαλὴν κλίναι. Ἔδει οὖν ὑμᾶς, ὥσπερ ἀπὸ τῆς νεφέλης τεκμαίρεσθαι τὸν ὄμβρον, καὶ ἀπὸ τοῦ νότου τὸν καύσωνα, οὕτω καὶ τὸν καιρὸν τῆς ἐμῆς δηλαδὴ παρουσίας δοκιμάζειν, καὶ τεκμηριοῦσθαι, ὅτι οὐκ εἰρήνην ἦλθον δοῦναι, ἀλλ' ὄμβρον καὶ ταραχήν. Νεφέλη γάρ εἰμι καὶ αὐτὸς, καὶ ἀπὸ δυσμῶν ἔρχομαι, τῆς ἀνθρωπίνης φύσεως λέγω, τῆς πρώην χθαμαλῆς τε καὶ πολὺν τὸν ἐκ τῆς ἁμαρτίας ζόφον ἐχούσης. Ἀλλὰ καὶ πῦρ ἦλθον βαλεῖν, καὶ καύσωνα ποιῆσαι· νότος γάρ εἰμι, πνεῦμα θερμὸν, καὶ τῆς τοῦ βοῤῥᾶ ψυχρότητος ἀντίθετον· ἐπεὶ καὶ ἀπὸ τῆς Βηθλεὲμ ἐφάνην, ἥτις πρὸς νότον κεῖται. Ταῦτα εἰπὼν, διδάσκει αὐτοὺς καὶ περὶ εἰρήνης λοιπὸν ἐπαινετῆς· ἐπεὶ γὰρ ἔδειξε τὴν ἐπαινετὴν διάστασιν, δείκνυσι καὶ τὴν ἀμώμητον εἰρήνην· καί φησιν, ὅτι Ἐπειδὰν ὁ ἀντίδικος ἕλκῃ σε εἰς δικαστήριον, ἐν τῇ ὁδῷ σπούδασον, ἀγώνισαι· τὸ γὰρ Δὸς ἐργασίαν, τοῦτο δηλοῖ· τὸ πάντα τρόπον ἐπινοήσασθαι, ὡς ἂν ἀπαλλαγῇς ἀπ' αὐτοῦ· καὶ ἄλλως δὲ, τὸ Δὸς ἐργασίαν· νοεῖται, ἀντὶ τοῦ, κἂν μηδὲν ἔχῃς, δανείσθητι, καὶ δὸς ἐργασίαν, τουτέστι, τόκον, ὑπὲρ τοῦ ἀπηλλάχθαι αὐτοῦ. Μήποτε κατασύρῃ σε πρὸς τὸν κριτὴν, καὶ ὁ κριτής σε παραδῷ τῷ πράκτορι, τουτέστι τῷ ἀπαιτητῇ, κἀκεῖνος βάλῃ σε εἰς φυλακὴν, ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς. Ταῦτα δὲ λέγει ὁ Κύριος, ἐκφοβῶν διὰ τούτων τοὺς παχυτέρους, καὶ πρὸς τὸ εἰρηνεύειν συνάγων· εἰδὼς γὰρ ὅτι τοὺς γεωδεστέρους ὁ τῆς ζημίας φόβος καὶ τῶν κολάσεων συστέλλει, διὰ τοῦτο ταῦτά φησι· Νοοῦνται δὲ ταῦτα καὶ διὰ τὸν διάβολον· ἀντίδικος γὰρ οὗτος ἡμῶν· ἐν τῇ ὁδῷ οὖν, τῷ βίῳ τούτῳ λέγω, ὄντες, σπουδάσωμεν ἐργαζόμενοι τὴν ἀρετὴν, ἀπηλλάχθαι ἀπ' αὐτοῦ, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς αὐτὸν μήποτε ἐν τῇ μελλούσῃ κρίσει παραδῷ ἡμᾶς τῷ κριτῇ. Τὰ γὰρ ἔργα αὐτοῦ ἃ ἐνταῦθα ἐποιήσαμεν, αὐτὰ παραδιδόασιν ἡμᾶς τῇ κρίσει, καὶ ὁ κριτὴς τῷ πράκτορι παραδίδωσιν ἡμᾶς, τιμωρητικῇ τινι καὶ κακοποιῷ δυνάμει· καὶ λοιπὸν τιμωρεῖται ἡμᾶς, ἄχρις ἂν καὶ τῶν λεπτῶν ἁμαρτημάτων δίκας δῶμεν, καὶ τὸ τῆς κολάσεως μέτρον ἐκπληρώσωμεν. Οὐδέποτε πληροῦται τὸ τῆς κολάσεως μέτρον, ἀεὶ ἄρα κολασθησόμεθα. Εἰ γὰρ ἄχρι τότε εἰς φυλακὴν ἐσόμεθα, ἄχρις ἂν τὸ ἔσχατον λεπτὸν ἀποδῶμεν, οὐδέποτε δὲ μέλλομεν ἀποδοῦναι, πρόδηλον ὡς ἀΐδιος ἡ κόλασις ἔσται.

A gladium nominavit: quia verisimile erat audientes turbari, non intelligentes id quod dicebatur, inquit: Quemadmodum aeris qualitates a quibusdam signis cognoscitis, sic oportebat et meum adventum cognoscere ex his quæ dicuntur, et ex his quæ a me fiunt. Etenim sermones mei demonstrant me contrarium vobis, similiter et opera. Nam vos quidem publicani et raptores, ego autem non habeo ubi caput reclinem. Oportebat igitur vos, veluti a nubibus imbrem, et ab austro æstum conjectatis, sic etiam tempus hujus mei adventus probare et conjectare quod non venerim mittere pacem, sed imbrem et turbationem. Nubes enim et ipse sum, et ab occidente humanæ naturæ venio quæ prius fuit humilis, et magnam ex peccato caliginem habuit.
B Sed etiam veni ignem mittere, et æstum facere. Auster enim sum, spiritus fervidus, et frigiditati aquilonis contrarius: quandoquidem in Bethlehem apparui, quæ ad austrum sita est. Et ubi hæc dixit, docet eos etiam de laudabili pace. Quia enim ostenderat laudatum 383 discidium, ostendit et irreprehensibilem pacem, et inquit: Cum adversarius rapuerit te ad tribunal, in via da operam, festina et labora, id enim significat δὸς ἐργασίαν, da operam, hoc est, omnes modos cogita, quibus ab eo libereris. Vel aliter: Da operam, hoc est, etiam si nihil habeas, fenerare, et da operam, hoc est usuram, ut libereris ab illo, nequando trahat te ad judicem, et judex tradat te exactori, et exactor projiciat te in carcerem, donec ultimum minutum
C reddas. Hæc autem dicit Dominus exterrens per hæc crassiores, et ad pacem faciendam cogens sciens quod eos qui magis terrestres sunt, metus damni et suppliciorum plus emendet, et propterea dicit hæc. Intelliguntur autem hæc etiam de diabolo, qui noster adversarius est. Cum igitur in via hujus vitæ sumus, demus operam, virtutibus vacando, ut ab eo liberemur, et nihil commune cum eo habeamus, nequando in futuro judicio tradat nos judici. Opera enim ejus quæ in hac vita facimus, illa tradunt nos judici, et judex tradit nos exactori, dæmoni cuidam nos torquenti et affligenti, et postea punit nos donec etiam minutorum peccatorum pœnam luamus, et mensuram pœnæ
D impleamus. Nunquam autem impleta est pœnæ mensura, semper ergo puniemur. Si enim in carcere manebimus donec extremum minutum reddamus, et nunquam reddituri sumus, manifestum quod æternum sit futurum supplicium.

## ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τῶν Γαλιλαίων, καὶ τῶν ἐν τῷ Σιλωάμ. Περὶ τῆς συκῆς καρπὸν μὴ ἐνεγκούσης. Περὶ τῆς ἐχούσης Πνεῦμα ἀσθενείας. Περὶ τοῦ κόκκου σινάπεως παραβολή, καὶ τῆς ζύμης. Περὶ τοῦ ἐπερωτήσαντος, εἰ ὀλίγοι οἱ σωζόμενοι. Περὶ τῶν εἰπόντων τῷ Ἰησοῦ διὰ Ἡρώδην.

« Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλ-

## CAPUT XIII.

*De Galilæis et iis qui erant in Siloa. De ficu fructum non ferente. De muliere spiritus infirmi. Parabola de grano sinapi et fermento. De interrogante, num pauci salvandi sint De nuntiatis Jesu ob Herodem.*

VERS. 1-5. « Aderant autem quidam eodem in

A tempore, nuntiantes illi de Galilæis quorum sanguinem Pilatus miscuerat cum sacrificiis ipsorum. Et respondens Jesus dixit illis : Putatis quod hi Galilæi præ cunctis Gælilæis peccatores fuerint, quia talia passi sunt ? Non, dico vobis : imo nisi resipueritis, omnes similiter peribitis. Aut illi decem et octo supra quos cecidit turris in Siloe, et occidit eos, putatis quod debitores fuerint ultra cunctos homines habitantes Jerosolymis ? Non, dico vobis, imo nisi resipueritis, omnes similiter peribitis. » Judas Galilæus, cujus et in Actis ipse evangelista noster meminit, cum et ipse aliquantum doctus esset in lege, docuit etiam alios Galilæos suo dogmati adhærere. Docebat autem neque ore tenus ferendum ullum omnino hominem 384 dominum dici, neque honoris vel modestiæ gratia, et ne regem quidem ipsum. Unde et multi ipsorum propterea quod Cæsarem non dicerent dominum, graviter feriebantur : qui et docebant non esse offerenda sacrificia præter ea quæ a Mose essent constituta. Ideoque prohibebant ea quæ pro Cæsare et Romanorum gente fierent sacrificia. Verisimile igitur Pilatum ob hæc indignantem jussisse occidi Galilæos illos super sacrificia quæ ab eis prohibebantur fieri pro Romanorum gente, et ita sanguinem eorum commisceri sanguini sacrificiorum. Annuntiaverunt igitur quidam hæc Salvatori ut aliqua ex parte pie facta, volentes per hoc dicere quid in eo sibi placeret. Putabant enim quidam illos justissime passos, utpote peccatores et seditiosos, et irritantes Pilatum in odium Judæorum, eo quod urgebant Cæsarem non appellandum dominum : id quod in totius Judæorum gentis incommodum cedebat. Igitur Salvator non negans eos esse peccatores, dicit non ipsos passos esse quasi essent majores peccatores iis qui nihil passi sunt. Nisi enim et vos resipueritis, et a seditionibus intestina bella succendentes cessaveritis, et Deum operibus placare festinaveritis, graviora patiemini. Non oportet enim prætextu pietatis suam gloriam quærere, et intestinas seditiones excitare. Porro turris quæ ceciderat in Siloe, præsagium erat eorum quæ postea populo eventura erant : per paucos enim qui tunc perierunt multos erudiebat, quod et ipsi graviora essent passuri. Turris enim totius civitatis figura est : at decem et octo illi, totius populi. Cum enim sub Tito civitas rueret, omnis populus in incredulitate permanens simul periit. Sit et hoc nobis in his quæ quotidie eveniunt, admonitio. Cum enim quidam in tentationes incidunt, nobis extra tentationem positis, ne nos sollicitudinem et metum ut justi abjiciamus, quasi tanquam justi non simus obnoxii : sed e diverso magis doceamur quod in hoc puniantur illi, ut nos meliores efficiamur : quod si nos negligentes fuerimus, patiemur gravissima.

λοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν· καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν; Οὐχὶ, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε. Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ, καὶ ἐπέκτεινεν αὐτούς· δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντες ἀνθρώπους τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ; Οὐχὶ, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὁμοίως ἀπολεῖσθε. » Ἰούδας ὁ Γαλιλαῖος, οὗ καὶ ἐν ταῖς Πράξεσιν ὁ αὐτὸς οὗτος εὐαγγελιστὴς μέμνηται, νομομαθὴς δῆθεν ὢν, ἔπεισε πολλοὺς καὶ ἄλλους Γαλιλαίους συναπαχθῆναι τῷ αὐτοῦ δόγματι. Ἐδογμάτιζε δὲ μηδένα ἀνθρώ-B πων μηδὲ μέχρι στόματος ἀνέχεσθαι λέγειν Κύριον, μηδὲ κατά τινα τιμὴν καὶ φιλοφροσύνην, μηδ' αὐτὸν τὸν βασιλεύοντα· ὅθεν καὶ πολλοί γε αὐτῶν ὑπὲρ τοῦ μὴ εἰπεῖν κύριον τὸν Καίσαρα χαλεπῶς ᾐκίζοντο, οἳ καὶ ἐδίδασκον μηδὲν παρὰ τὰς διατεταγμένας τῷ Μωσεῖ θυσίας δεῖν ἀναφέρεσθαι· διόπερ ἐκώλυον τὰς ὑπὲρ τοῦ Καίσαρος καὶ τοῦ Ῥωμαίων ἔθνους γινομένας θυσίας. Εἰκὸς οὖν ἐπὶ τούτοις ἀγανακτοῦντα τὸν Πιλάτον κελεῦσαι τοὺς Γαλιλαίους τούτους ἀποσφάττεσθαι παρ' αὐταῖς δὴ ταῖς θυσίαις ταῖς ὑπ' αὐτῶν κωλυομέναις ὑπὲρ τοῦ Ῥωμαίων ἔθνους γίνεσθαι, ὥστε ἀναμιγῆναι τὸ αἷμα αὐτῶν τῷ τῶν θυσιῶν αἵματι. Ἀπήγγελλον οὖν τινες ταῦτα τῷ Σωτῆρι ὡς ὑπὲρ εὐσεβείας δῆθεν γινόμενα, βουλόμενοι τὸ ἐπὶ τούτοις ἀρέσκον αὐτῷ μαθεῖν. Ἐνόμιζον γάρ C τινες δικαιότατα αὐτοὺς παθεῖν ὡς ἁμαρτωλοὺς, ἅτε στάσιν κινήσαντας, καὶ τὸν Πιλάτον ἐρεθίσαντας ἐπὶ τῷ μισεῖν τοὺς Ἰουδαίους· ἡ γὰρ αὐτῶν ἔνστασις ἡ ὑπὲρ τοῦ μὴ καλεῖν τὸν Καίσαρα κύριον, παντὸς τοῦ ἔθνους τῶν Ἰουδαίων ἥπτετο. Ὁ τοίνυν Σωτὴρ τὸ μὲν εἶναι αὐτοὺς ἁμαρτωλοὺς οὐκ ἀρνεῖται, οὐ μήν φησι ταῦτα πεπονθέναι αὐτοὺς ὡς ἁμαρτωλοτέρους τῶν λοιπῶν τῶν μὴ πεπονθότων· ἐὰν γὰρ καὶ ὑμεῖς μὴ μετανοήσητε, καὶ ἀφέμενοι τοῦ στασιάζειν καὶ ἐμφυλίους μάχας ἀνάπτειν, Θεὸν τοῖς ἔργοις θεραπεύειν σπεύσητε, χείρονα πείσεσθε· δεῖ γὰρ μὴ προφάσει εὐσεβείας δόξαν ἑαυτοῖς περιθέντας, εἰς ἐμφυλίους στάσεις ἀπονεύειν. Ὁ δὲ πύργος ὁ πεσὼν ἐν τῷ Σιλωὰμ, δεῖγμα ἦν τῶν μετὰ ταῦτα συμβησομένων τῷ λαῷ· διὰ γὰρ τῶν τότε ἀναιρεθέν-D των ὀλίγων τοὺς πολλοὺς ἐπαίδευσεν, ὅτι καὶ αὐτοὶ τὰ χείρω πείσονται· ὁ μὲν γὰρ πύργος τῆς ὅλης πόλεως ἐστι προτύπωσις. οἱ δὲ δέκα καὶ ὀκτὼ τοῦ ὅλου ἔθνους. Πεσούσης οὖν τῆς πόλεως ὑπὸ Τίτου, πᾶν τὸ ἔθνος συναπώλετο τῇ ἀπιστίᾳ ἐναπομείναντες. Τοῦτο ἔστω ἡμῖν πρὸς πάντα τὰ καθ' ἡμέραν προσπίπτοντα νουθεσία. Μὴ γὰρ ἐπειδή τινες περιπίπτουσιν, ἡμῶν ἀπειράστων καταλιμπανομένων, ἤδη τοῦτο ἡμῖν εἰς ἀμεριμνίαν παντελῆ ἔστω, ὅτι ὡς δίκαιοι ἀπείραστοι καταλιμπανόμεθα, ἀλλὰ τοὐναντίον μᾶλλον παιδευόμεθα, ὅτι ἐπὶ τούτῳ κολάζονται ἐκεῖνοι, ἵνα ἡμεῖς βελτιωθῶμεν, εἰ δὲ μή, τὰ χείριστα πεισόμεθα.

**VERS. 6-9.** « Dicebat et hanc similitudinem : Arborem fici habebat quidam plantatam in vinea sua,

« Ἔλεγε δὲ ταύτην τὴν παραβολήν· Συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην, καὶ ἦλθε ζη-

τῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν· εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν, ἵνα τί καὶ τὴν γῆν καταργεῖ; Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κοπρίᾳ, κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν. » Ἀκολούθως εἰσάγει τὴν παραβολὴν ταύτην· ἐπειδὴ γὰρ εἶπεν, ὅτι Ἐὰν μὴ μετανοήσητε, ἀπολεῖσθε, Εἰκότως ἐπισυνάπτει τὴν παραβολὴν ταύτην. Ἔστιν οὖν συκῆ ἡ γενεὰ τῶν Ἰουδαίων φύλλα μόνα πικρὰ ποιοῦσα, καρπὸν δὲ μὴ παρέχουσα. Ἐν τῷ ἀμπελῶνι δὲ τοῦ Θεοῦ ἵστατο, τῇ πολιτείᾳ τῇ Ἰουδαϊκῇ. Ὁ οἰκοδεσπότης ὁ Χριστὸς ἐλθών, καὶ ζητῶν καρπὸν πίστεως καὶ ἀγαθοεργίας ἐν αὐτῇ, οὐχ εὗρε. Τρία δὲ ἔτη, ἦλθε, διὰ Μωσέως, διὰ προφητῶν, καὶ τὸ τρίτον δι' ἑαυτοῦ· ὕστερον μέντοι μὴ μετανοήσαντας ἐξέκοψε τῆς τοῦ Θεοῦ ἀγάπης· οὐκ ἔτι γὰρ ἔθνος Κυρίου, καὶ λαὸς ἅγιος καλοῦνται· εἰς τὸν τόπον δὲ αὐτῶν ἀντεισήχθησαν τὰ ἔθνη τὰ δυνάμενα καρποφορεῖν. Νοηθείη δ' ἂν καὶ ἡ σύμπασα ἀνθρωπότης συκῆ· οἰκοδεσπότης, ὁ Θεὸς καὶ Πατήρ· ἀμπελουργὸς δὲ ὁ Υἱὸς τοῦ Θεοῦ· φιλοπονῆσαι δὲ καὶ ἐκκαθᾶραι τὸν ἀμπελῶνα ἡμῶν ἐνδημήσας· ἐκκοπῆναι ταύτην τὴν συκῆν ὡς ἄκαρπον οὐκ ἐᾷ ὁ Χριστὸς τοιαῦτα λέγων· « Ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος. » Εἰ διὰ νόμου καὶ προφητῶν οὐκ ἐβελτιώθησαν, καὶ μετανοίας καρπὸν οὐκ ἐπέδωκαν, ἀλλά γε κἀγὼ τοῖς ἐμοῖς ἀρδεύσω τούτους δόγμασι καὶ παθήμασι, κἂν μὲν ποιήσωσι καρπὸν εὐπειθείας, εἰ δὲ μή γε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν, τῆς τῶν δικαίων μερίδος ἐκτεμὼν αὐτούς. Ἐκ τρίτου δὲ καρπὸν ζητηθεῖσα ἡ φύσις ἡμῶν, οὐκ ἐπέδωκεν· ἅπαξ μέν, ὅτε ἐν τῷ παραδείσῳ τὴν ἐντολὴν παρέβημεν· δεύτερον δέ, ὅτε ἐν τῷ νόμῳ ἐμοσχοποίησαν, « καὶ ἠλλάξαντο τὴν δόξαν τοῦ Θεοῦ ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον. » Καὶ τρίτον, ὅτε τὸν Σωτῆρα καὶ Κύριον παρῃτήσαντο, εἰπόντες· Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. Καὶ ὁ καθ' ἕνα δὲ ἡμῶν, συκῆ ἐστιν ἐν τῷ ἀμπελῶνι τοῦ Θεοῦ, τῇ Ἐκκλησίᾳ, ἢ ἁπλῶς εἰπεῖν, τῷ κόσμῳ τούτῳ πεφυτευμένος. Ἔρχεται οὖ ζητῶν καρπὸν ὁ Θεός, καὶ ἐὰν εὕρῃ σε ἄκαρπον, ἐκκοπῆναι τοῦ βίου τούτου προστάττει· ὁ δὲ ἀμπελουργὸς ἱκετεύει φείσασθαι. Τίς δὲ ὁ ἀμπελουργός; Ἢ ὁ ἄγγελος ὁ ἑκάστου φύλαξ, ἢ καὶ αὐτὸς ὁ ἄνθρωπος· ἕκαστος γὰρ αὐτὸς ἑαυτῷ ἀμπελουργός. Πολλάκις οὖν ἀῤῥωστίαις θανατώδεσιν, ἢ ἄλλοις κινδύνοις περιπεσόντες, Ἄφες, ὦ Κύριε, λέγομεν, καὶ τοῦτο τὸ ἔτος, καὶ μετανοήσομεν· τοῦτο γὰρ δηλοῖ τὸ σκάψαι, καὶ περιβαλεῖν κοπρίᾳ. Σκάπτεται μὲν γὰρ ἡ ψυχή, ὅταν τὸν χοῦν τῶν βιωτικῶν φροντίδων ἀποτινάσσηται, καὶ κουφίζηται. Κόπρια δὲ αὐτῇ περιβάλλονται, ἡ τῆς ἀτιμοτέρας ἀγωγῆς καὶ παρὰ πάντων καταπατουμένης θερμότης· ὅταν γάρ τις ἀπὸ δόξης εἰς ἄδοξον βίον ἑαυτὸν ἐπιῤῥίψῃ διὰ τὴν τῆς ψυχῆς σωτηρίαν, κόπρια λέγεται περι-

A et venit quærens fructum in illa, et non invenit. Dixit autem ad cultorem vineæ: Ecce anni tres sunt in quo venio, quærens fructum in ficu hac, et non invenio: succide illam: ad quid vel terram occupat? At ille respondens dixit illi: Domine, sine illam et hoc anno donec fodero circum illam, et misero stercus, et si quidem fecerit fructum: sin minus, in posterum succides illam.» Bona consequentia parabolam hanc jungit: postquam enim dixit, Nisi resipueritis, peribitis, merito et istam parabolam adjicit. Est **385** igitur ficus, Judæorum generatio folia tantum amara faciens, et nullum fructum proferens. In vinea autem Dei stetit, nempe in Judaica vivendi ratio- B ne. Paterfamilias autem Christus venit et quæsivit fructum fidei bonorumque operum in ea, ac non invenit. Tribus autem annis venit, per Mosen, per prophetas, et per seipsum tertio: et quia pœnitentiam non egerunt, a dilectione Dei eos absecuit: non ultra enim gens Domini et populus sanctus vocatur. In locum autem eorum introductæ sunt gentes, quæ fructum facere valent. Intelligitur et per ficum totum humanum genus: per patremfamilias Pater et Deus: per cultorem vineæ, Filius Dei, qui nobiscum peregrinatus est ut coleret et purgaret vineam. Christus autem ficum illam ut sterilem exsecari non sinit, dicens: « Sine illam et hoc anno. » Licet enim per legem et prophetas non fuerint facti meliores, neque C pœnitentiæ fructum fecerint: attamen me irrigante meis doctrinis et passionibus fortassis facient fructum obedientiæ. Sin minus, in postremum exsecabis illam, exsectis illis a justorum regione. Ter autem quæsitum in se fructum natura nostra non dedit. Primum enim in paradiso mandatum prævaricati sumus: deinde cum daretur lex, vitulo facto, « mutata est gloria Dei in similitudinem vituli comedentis fenum [61] ». Tertio quando Dominus et Salvator abnegatus est a dicentibus, Non habemus regem nisi Cæsarem. Et unusquisque nostrum ficus est in vinea Domini, in Ecclesia scilicet, vel simpliciter dicendo, in mundo hoc plantata Venit igitur Deus quærens fructum: et D si invenerit te absque fructu, jubet ut ex hac vita exseceris; at cultor vineæ supplicat ut tibi parcatur Quis autem ille cultor vineæ? Vel suus cujusque custos angelus, vel etiam homo ipse: suæ enim vineæ quisque cultor est. Sæpe igitur cum in lethales morbos vel alia pericula incidimus: Sine, o Domine, dicimus, etiam hoc anno, et pœnitentiam agemus. Hoc enim significat fodere et mittere circa illam stercus. Foditur quippe anima, quando decutitur temporalium curarum pulvis, et alleviatur ipsa. Stercus vero circumponi signat fervorem et severitatem in via viliori, pœnitentiæ scilicet, quæ ab omnibus contemnitur. Quando enim quis a gloria in vitam ingloriam se dimittit

[61] Psal. cv, 20.

propter salutem animæ, stercus circa animam mittere dicitur ad hoc ut fructum faciat. Si quidem fecerimus fructum: sin minus, non ultra relinquit nos in vinea sua, sed exsecat a mundo, ut ne frustra occupemus locum. Peccatorem enim quis videns diu differentem, offenditur, et pejor fit; et sic invenitur peccator neque ipse fructum faciens, et alium quoque impediens ne 386 fructum faciat. Quod si exsecetur ex hac vita, fortassis ii qui exsectum viderint, hoc animo secum perpendentes, mutabuntur et fructum facient. Tribus autem annis dicitur paterfamilias venire ad ficum, fortassis propter tres leges quas nobis dedit et quibus ad nos venit Dominus, quæ sunt naturalis, legalis, et spiritualis. Oportebat sane nos naturali lege commonitos fructum facere: nam natura docet quid facere oporteat: at quia in nobis naturalem invenit inutilem, dedit et Mosaicam legem naturæ adjutricem: quæ cum et ipsa inventa est infrugifera propter nostram desidiam, addidit et spiritualem. Ubi igitur tres illæ non meliorem reddiderint cujuspiam animam, neque longanimitate et misericordia Dei fit emendatior, tunc postea monere non ultra sinitur: non enim Deus sæpe procrastinationibus illuditur. Quid autem si per tres annos ætatum status intelligas? Pueritiam, hoc est adolescentiam octo et decem annorum: virilem, et tertiam eorum qui jam incipiunt fieri vetuli. Quando igitur in tertio anno, hoc est senecta, non damus fructus, et adhuc permittimur vivere ut adjiciamus stercus, vilem pœnitentiæ vitam propter Christum accipientes, et deinde etiam tunc mentimur, non ultra nobis parcet Dominus, sed excidet, ut ne frustra occupemus terram, et alios offendamus. Et hæc expositio proposito textui consona mihi videtur.

VERS. 10-17. « Docebat autem in una synagogarum Sabbatis: et ecce mulier quæ habebat spiritum infirmitatis annis decem et octo, eratque contracta, nec omnino poterat exigere caput: quam cum videret Jesus, vocavit eam ad se, et ait illi: Mulier, liberata es ab infirmitate tua. Et imposuit illi manus, et confestim erecta est, et glorificabat Deum. Respondens autem princeps Synagogæ indignans quod Sabbato sanasset Jesus, dicebat turbæ: Sex dies sunt in quibus oportet operari: in iis ergo venite ut sanemini, et non in die Sabbati. Respondens autem ad illum Dominus dixit: Hypocrita, unusquisque vestrum Sabbato nonne solvit bovem suum aut asinum a præsepi, et ducit aquatum? Hanc autem filiam Abrahæ, quam alligavit Satanas ecce decem et octo annis, non oportuit solvi a vinculo isto die Sabbati? Et cum hæc diceret, erubescebant omnes adversarii ejus, et omnis populus gaudebat super universis quæ gloriose fiebant ab eo. » Morbus illa mulieri diabolo affligente acciderat, sicut et Dominus dicit, quam alligavit Satanas decem et octo annis. Nam fortassis propter peccata derelictam a Deo punivit Satanas. Omnia enim

A βαλεῖν τῇ ψυχῇ πρὸς τὸ καρποφορῆσαι· ἐὰν μὲν οὖν ποιήσωμεν καρπὸν, εἰ δὲ μήγε, οὐκέτι ἀφίησιν ἡμᾶς ἐν τῷ ἀμπελῶνι αὐτοῦ, ἀλλ' ἐκκόπτει τοῦδε τοῦ κόσμου, ἵνα μὴ καταργῶμεν τὸν τόπον· τὸν γὰρ ἁμαρτωλὸν πολυχρονοῦντα βλέπων τις, βλάπτεται, καὶ χείρων γίνεται· καὶ οὕτως εὑρίσκεται ὁ ἁμαρτωλὸς μήτε αὐτὸς καρποφορῶν, καὶ ἄλλῳ ἐμποδίζων δυναμένῳ καρποφορεῖν. Εἰ δὲ ἐκκοπῇ τοῦδε τοῦ βίου, τάχα οἱ ἐκκοπέντα αὐτὸν ἰδόντες, εἰς συναίσθησιν ἐρχόμενοι, μεταβαλοῦνται καὶ καρποφορήσουσι. Τρία δὲ ἔτη λέγεται ἔρχεσθαι ὁ οἰκοδεσπότης ἐπὶ τὴν συκῆν, τάχα μὲν καὶ διὰ τὸ τρεῖς εἶναι τοὺς δεδομένους ἡμῖν νόμους, δι' ὧν ἔρχεται πρὸς ἡμᾶς ὁ Κύριος· εἰσὶ δὲ οὗτοι, ὁ φυσικὸς, ὁ B νομικὸς, καὶ ὁ πνευματικός. Ἔδει μὲν γὰρ τῷ φυσικῷ νόμῳ παιδευομένους ἡμᾶς καρποφορεῖν· ἡ γὰρ φύσις αὐτὴν διδάσκει τὸ δέον· ἐπεὶ δὲ ἄχρηστον εὗρεν ἐν ἡμῖν τὸν φυσικὸν, ἔδωκε τὸν Μωσαϊκὸν βοηθὸν τοῦ φυσικοῦ νόμου· ὡς δὲ καὶ οὗτος ἄχρηστος διὰ τὴν ῥαθυμίαν ἡμῶν εὑρίσκετο, δίδωσι τὸν πνευματικόν· ὅταν οὖν οἱ τρεῖς οὗτοι μὴ βελτιώσουσι τήν τινος ψυχὴν, μηδὲ ὑπὸ τῆς μακροζωίας καὶ φιλανθρωπίας βελτιωθείη, τότε δὴ εἰς τὸ μέλλον οὐκέτι ἐᾶται· οὐ γὰρ πολλάκις ἐξαπατᾶται ὁ Θεὸς ταῖς ὑπερημερίαις. Μήποτε δὲ καὶ τρία ἔτη νοήσῃς τὰς τρεῖς καταστάσεις τῶν ἡλικιῶν; Τὴν παιδικὴν, ἤτοι τῶν μειρακίων, ἥτις περὶ τὰ ὀκτωκαίδεκα ἔτη λογίζεται· τὴν ἀνδρικὴν, καὶ τὴν τρίτην τῶν ἤδη ἀρξαμένων πολιοῦσθαι. Ὅταν οὖν ἐν τῷ γήρᾳ, τῷ C τρίτῳ ἔτει, οὐ δῶμεν καρποὺς, καὶ ἔτι συγχωρηθῶμεν ζῆσαι πρὸς τὸ περιβαλεῖν κοπρία, τὴν ἄτιμον διὰ Χριστὸν ζωὴν ἐπανῃρημένοι, εἶτα καὶ οὕτως ψευσόμεθα, οὐκ ἔτι φείσεται ἡμῶν ὁ Κύριος, ἀλλ' ἐκκόψει, ἵνα μὴ καταργῶμεν τὴν γῆν καὶ ἄλλους βλάπτοντες. Αὕτη ἡ ἐξήγησις δοκεῖ μοι εἶναι προσφυεστέρα τῷ σκοπῷ τῷ προκειμένῳ.

« Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς Σάββασι· καὶ ἰδοὺ γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτὼ, καὶ ἦν συγκύπτουσα, καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές· ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησε, καὶ εἶπεν αὐτῇ· Γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου· καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας, καὶ παραχρῆμα ἀνωρθώθη, καὶ ἐδόξαζε τὸν Θεόν. Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος D ἀγανακτῶν, ὅτι τῷ Σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ· Ἓξ ἡμέραι εἰσὶν, ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ Σαββάτου. Ἀπεκρίθη δὲ αὐτῷ ὁ Κύριος, καὶ εἶπεν· Ὑποκριτὰ, ἕκαστος ὑμῶν τῷ Σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ, ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης, καὶ ἀπαγαγὼν ποτίζει; Ταύτην δὲ θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ Σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ Σαββάτου; Καὶ ταῦτα λέγοντος αὐτοῦ, κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ. » Ἐξ ἐπηρείας διαβολικῆς τὸ πάθος τοῦτο τῇ γυναικὶ συνέβη, καθὰ δὴ καὶ ὁ Κύριός φησιν· ἣν ἔδησεν ὁ Σατανᾶς ἔτη δέκα καὶ

ὀκτώ. Ἴσως γὰρ διὰ πταίσματά τινα ἐγκαταλειφθεῖσαν ὑπὸ Θεοῦ ἐτιμωρεῖτο ὁ Σατανᾶς. Παραίτιος γάρ ἐστι τοῖς τῶν ἀνθρώπων σώμασι πάντων τῶν δυσχερῶν, ὅταν ἄνωθεν παρὰ Θεοῦ συγχωρηθείη· ἐπεὶ καὶ ἐξ ἀρχῆς αὐτὸς ἡμῖν πρόξενος γεγόνει τοῦ ἐκπεσεῖν μὲν τῆς ἀφθαρσίας, ἐφ' ᾗ ἐκτίσθημεν, νοσερῷ δὲ σώματι καὶ παθῶν δεκτικῷ προσδεθῆναι· τοὺς δερματίνους γὰρ χιτῶνας τοῦτο νοοῦμεν πάντως. Ὁ μέντοι Κύριος θεοπρεπεστάτῃ φωνῇ καὶ ἐξουσίας γεμούσῃ τῆς γυναικὸς ταύτης τὴν νόσον ἐλαύνει. Ἐπιτίθησι δὲ καὶ τὰς χεῖρας αὐτῇ, ἵνα μάθωμεν, ὅτι τὴν τοῦ λόγου δύναμίν τε καὶ ἐνέργειαν ἡ ἁγία πεφόρηκε σάρξ· ἰδία γὰρ ἦν αὐτοῦ, καὶ οὐχ ἑτέρου τινὸς παρ' αὐτὸν ὄντος καταμόνας καὶ ἰδιοϋποστάτως κεχωρισμένου, καθὰ δὴ Νεστορίῳ τῷ δυσσεβεῖ δοκεῖ. Ἡ μὲν οὖν ἀγαθότης τοῦ Κυρίου τοιαύτη, καὶ οὕτω τὸ οἰκεῖον πλάσμα ἠλέησεν. Ὁ δὲ ἐξ ἀρχῆς τὴν γυναῖκα δεσμήσας Σατανᾶς, ἀχθόμενος τῇ ταύτης λύσει, οἷα θέλων ἐπὶ πλεῖον κακουχεῖσθαι αὐτὴν, δεσμεῖ τὸν ἀρχισυνάγωγον τῷ φθόνῳ, καὶ διὰ τοῦ στόματος τούτου ἐπηρεάζει τῷ θαύματι· οὕτως ἄρα πανταχοῦ τοῖς καλοῖς ἐπιτίθεται. Ἀγανακτεῖ οὖν ὅτι ἐν Σαββάτῳ ἡ θεραπεία γέγονε, ὃν ὁ Κύριος χαριεστάτῳ ὑποδείγματι τῶν ἀλόγων ζώων ἐλέγχει· ὅθεν οὐ μόνος αὐτὸς τοῖς τοιούτοις λόγοις, ἀλλὰ καὶ πάντες οἱ ἄλλοι ἀντικείμενοι τῷ Ἰησοῦ ἀπὸ τῶν λόγων κατῃσχύνοντο· Λίαν γὰρ ἦν ἀνόητον τὸ κωλύειν θεραπευθῆναι ἄνθρωπον ἐν Σαββάτῳ, διὰ τὴν ἀργίαν δῆθεν τὴν ὑπὸ τοῦ νόμου τῷ Σαββάτῳ προστεταγμένην. Οἱ μὲν οὖν ἀντικείμενοι τῷ Ἰησοῦ ἀπὸ τῶν λόγων κατῃσχύνοντο, οἱ δὲ ὄχλοι ἔχαιρον ἐπὶ τοῖς ἔργοις, ὡς ἐκεῖνοι γε τοῖς ἔργοις οὐκ ἔχαιρον, ἀλλ' ἐξεστήκοντο θαυματουργοῦντος τοῦ Χριστοῦ. Οἱ δὲ τοῦ ὄχλου οἷα ὠφελούμενοι ἐκ τῶν σημείων, ἔχαιρον, ἰάσεως ἀπολαύοντες. Ταῦτα δέ μοι λάμβανε τὰ θαύματα καὶ ἐπὶ τὸν ἐντὸς ἄνθρωπον· συγκύπτει γὰρ ἡ ψυχὴ, ὅταν ἐπὶ τὰς γηΐνας μόνας φροντίδας νεύῃ, καὶ μηδὲν οὐράνιον ἢ θεῖον φαντάζηται· διὸ καὶ ὀκτὼ καὶ δέκα ἔτη νοσεῖν λέγεται. Ὅταν γάρ τις περὶ τὴν τήρησιν τῶν ἐντολῶν τοῦ θείου νόμου, αἵτινές εἰσι δέκα, καὶ περὶ τὴν ἐλπίδα τοῦ ὀγδόου αἰῶνος ἀσθενῇ, δέκα καὶ ὀκτὼ ἔτη συγκύπτειν λέγεται· ἢ οὐχ ὁ τῇ γῇ προσκείμενος, καὶ ἁμαρτάνων ἀεὶ τάς τε ἐντολὰς ἀθετεῖ, καὶ τὸν μέλλοντα αἰῶνα οὐ προσδέχεται; Ἀλλ' ὁ Κύριος ἐν Σαββάτῳ καὶ Συναγωγῇ θεραπεύει τὴν τοιαύτην ψυχήν. Ὅταν γὰρ συναγάγῃ τις ἐν ἑαυτῷ τοὺς τῆς ἐξομολογήσεως λογισμούς· Ἰούδας γὰρ ἐξομολόγησις λέγεται· καὶ Σάββατον σχολὴ, τουτέστιν ἀργίαν ἀπὸ τῶν κακῶν, τότε θεραπεύει αὐτὸν ὁ Ἰησοῦς, οὐ λόγῳ μόνῳ λέγων αὐτῷ Ἀπολέλυσαι τῆς ἀσθενείας σου, ἀλλὰ καὶ τὰς χεῖρας ἐπιθείς· δεῖ γὰρ ἡμᾶς καὶ τὴν τῶν θείων χειρῶν συνεργίαν πρὸς τὸ πράττειν τὰ τῆς ἀρετῆς ἔργα δέξασθαι, καὶ μὴ διὰ λόγου μόνου καὶ κατηχήσεως τὴν θεραπείαν λαβεῖν δοκοῦντας ἀρκεσθῆναι.

A mala humanis corporibus Satan infert, quando ei a Domino permittitur: quandoquidem nobis et ab initio auctor fuit 387 ut ab incorruptione in qua conditi fuimus, excideremus, et infirmo passionumque capaci corpori alligati essemus. Hoc enim per pelliceas tunicas intelligimus. At Dominus voce Deo dignissima potestateque plena mulieris istius morbum fugat. Imponit autem ei et manus ut discamus quod Dei sermonem virtutemque et operationem sancta caro habuerit. Sua enim propria erat, et non alterius cujuspiam sibi assistentis, et proprietate personæ separati, sicut impio Nestorio videtur. Igitur tanta quidem Domini benignitas, ut proprio figmento misericors esset. Satanas vero qui prius B mulierem alligaverat, morbi solutionem dolens, et eam amplius affligere cupiens, alligat principem Synagogæ invidia, et per os ejus miraculum calumniatur: more enim suo bonis ubique imponit. Indignatur ergo quod in Sabbato sanatur: quem Dominus pulcherrimis exemplis brutorum animalium arguit. Unde non ipse tantum talibus sermonibus, sed et omnes alii qui adversabantur Jesu, confundebantur. Magnæ enim stultitiæ erat. prohibere hominem sanari in Sabbato propter otium quod aliqua ex parte in Sabbato lex præceperat. Igitur qui adversabantur Jesu, confundebantur. Turbæ autem gaudebant in operibus, sicut illi operibus non gaudebant, sed insaniebant, Christo faciente miracula. At turbæ ex miraculis utilitatem percipientes, gaudebant, maxime quod sanationibus fruerentur. Intelligas autem, oro, miraculum C istud etiam de interno homine. Incurvatur anima quando ad terrenas tantum curas vergit, et nihil cœleste vel divinum secum concipit. Idcirco decem et octo annis ægrotare dicitur. Quando enim quis in observatione mandatorum divinæ legis quæ sunt decem, et in spe octavi sæculi infirmus fuerit, decem et octo annis dicitur incurvari. Annon incurvatur et contrahitur qui terrenis addictus peccat semper, mandata reprobat, et futurum sæculum non exspectat? Sed Dominus in Sabbato et Synagoga sanat talem animam. Quando enim quis in seipso colligit confessionis cogitationes: Judas enim confessio dicitur, et Sabbatum tenet, hoc est, feriatur a malis: tunc eum sanat Jesus, non D sermone tantum dicens ei: Liberatus esto ab infirmitate tua: sed et manus imponens. Opus enim est nobis ut ad operandum opera virtutis suscipiamus et divinarum manuum cooperationem, et non per solum verbum et instructiones erudiri contenti, putemus nos sanitatem consecutos.

• Ἔλεγε δὲ, Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ τίνι ὁμοιώσω αὐτήν; Ὁμοία ἐστὶ κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ, καὶ ηὔξησε, καὶ ἐγένετο εἰς δένδρον μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσαν ἐν τοῖς κλάδοις

VERS. 18-22. ª Dicebat ergo: Cui simile est regnum Dei? et cui simile faciam illud? Simile est grano sinapi quod acceptum homo misit in hortum suum, et crevit, et evasit in arborem magnam, et volucres 388 cœli nidulabantur in ramis ejus. Et

iterum dixit : Cui simile faciam regnum Dei? Simile est fermento, quod acceptum mulier abscondit in farinæ sata tria, donec fermentetur totum. Et ibat per civitates et castella doccus, et iter faciens Hierosolymam. » Grano sinapi comparat regnum Dei. Regnum autem Dei prædicatio est, et verbum Dei. Per prædicationem enim regnavit in animabus hominum. Enimvero sicut sinapi videtur quidem parvum esse, multam autem habet virtutem, ita et sermo Evangelii contemnitur quidem a multis, et apparet esse stultitia : cum vero illum homo susceperit, et miserit in hortum suæ animæ, arborem magnam facit, ita ut et ramos dilatet, ac volatilia cœli, hoc est, homines qui in sublime volare nituntur, nidos habeant in ramis. Qui enim supergressi sunt terrestria, in ramis prædicationis hic est, dilatatis sententiis quiescunt ; ut exempli gratia quid dicam : Granum sumpsit Paulus, parvam Ananiæ[62] instructionem, sed plantatum hoc granum in horto ejus pingui, ramos fecit, multas, inquam, et bonas doctrinas ac epistolas, in quibus nidulabantur non solum hi qui tunc sublimes mente et sapientia, uti Corinthii, Dionysius, Hierotheus et alii plurimi, sed et qui reliquis temporibus. Potest per granum sinapis intelligi et Dominus ipse, vilis enim videbatur, nam fabri filius, et pauperrimus. At ubi cecidit in cor terræ, cum mortuus esset, et sepultus in horto, ramos pulchros apostolos fecit, in quibus quiescunt omnes qui prius agitabantur et vexabantur a spiritu erroris, nempe gentiles ; qui comparabantur volatilibus, propter mentem facile mobilem, et illusioni obnoxiam, magnæque levitatis. Tales enim sunt omnes qui errant, volatilibus cœli, hoc est aeris, assimilati. Iterum assimilatur fermento divinus sermo, quod sumptum mulier, hoc est humana natura, occultavit in farinæ sata tria, hoc est, in corpus, spiritum, et animam, ita ut illi sanctificentur, sicut dicit beatus Paulus, fiatque una contemperatio communione cum Spiritu sancto. Intellige autem per mulierem animam : sata vero tria tres partes ejus, rationalem, concupiscibilem, et irascibilem. Si quis igitur in tribus illis partibus sermonem Dei occultarit, faciet illam totam spiritualem, ita ut rationalis non labatur in doctrinis, neque irascibilis et concupiscibilis absque ratione ferantur, sed fermententur et assimilentur sermoni Dei Perambulabat vero Jesus per pagos et civitates docens. Neque ita in parva venit oppida et pagos, ut magnas civitates negligeret : id quod faciunt qui volunt simpliciores decipere, neque ita venit in civitates, **389** ut ostentator et gloriosus parvas negligens : sed ut communis Dominus, imo ut pater qui omnium curam agit, ubique circuit. Nunquid autem ita transit per externas civitates, in quibus non tot erant legisperiti : a Jerusalem autem fugit, utpote formidans reprehendi a legisperitis, vel suspicans ne ab eis

[62] Act. IX, 11, 12.

A αὐτοῦ. Πάλιν εἶπε· Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ; Ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψε εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ. » Κόκκῳ σινάπεως παραβάλλει τὴν βασιλείαν τοῦ Θεοῦ· βασιλεία δὲ Θεοῦ ὁ λόγος καὶ τὸ κήρυγμα. Διὰ γὰρ τοῦ κηρύγματος ἐβασίλευσεν ἐπὶ τὰς ψυχὰς τῶν ἀνθρώπων. Ὥσπερ οὖν τὸ σίνηπι δοκεῖ μὲν εἶναι μικρὸν, πολλὴν δὲ τὴν δύναμιν ἔχει, οὕτω καὶ ὁ λόγος τοῦ Εὐαγγελίου καταφρονεῖται μὲν τοῖς πολλοῖς, καὶ δοκεῖ μωρία εἶναι, λαβὼν δὲ αὐτὸν ἄνθρωπος, καὶ βαλὼν εἰς κῆπον αὐτοῦ, ἤγουν τῇ ἑαυτοῦ ψυχῇ, δένδρον μέγα ποιεῖ, ὥστε κλάδους αὐτῷ προσεῖναι, B καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅπερ ἐστὶ τοὺς τὰ ὑψηλὰ θέλοντας πέτεσθαι ἀνθρώπους, κατασκηνοῦν ἐν τούτοις τοῖς κλάδοις. Οἱ γὰρ τῶν γηΐνων ὑπερκείμενοι, ἐν τοῖς κλάδοις τοῦ κηρύγματος, ἤτοι τοῖς ἡπλωμένοις νοήμασιν ἀναπαύονται· οἷόν τί φημι, κόκκον ἔλαβεν ὁ Παῦλος, τὴν μικρὰν τοῦ Ἀνανίου κατήχησιν· ἀλλὰ φυτεύσας τοῦτον τὸν κόκκον ἐν τῷ πίονι αὐτοῦ κήπῳ, κλάδους ἐποίησε, τὰς πολλὰς, φημι, καὶ καλὰς διδασκαλίας, καὶ ἐπιστολὰς, ἐν αἷς κατεσκήνουν οὐ μόνον οἱ τότε ὑψηλοὶ καὶ σοφοὶ κατὰ νοῦν καὶ σοφίαν, οἷοι οἱ Κορίνθιοι, ὁ Διονύσιος, ὁ Ἱερόθεος καὶ ἄλλοι πλεῖστοι, ἀλλὰ καὶ οἱ καθ' ἑκάστους καιρούς. Δύναται κόκκος σινάπεως νοηθῆναι καὶ αὐτὸς ὁ Κύριος, εὐτελὴς μὲν τὸ φαινόμενον· τέκτονος C γὰρ υἱὸς, καὶ πενέστατος· πεσὼν δὲ ἐν τῇ καρδίᾳ τῆς γῆς διὰ τοῦ νεκρωθῆναι, καὶ ἐν τῷ κήπῳ ταφεὶς, κλάδους ὡραίους τοὺς ἀποστόλους ἐποίησεν, οἷς ἐπαναπαύονται πάντες οἱ πρώην περιφερόμενοι παντὶ πνεύματι τῆς πλάνης, οἷον οἱ ἐξ ἐθνῶν πετεινοῖς παραβαλλόμενοι διὰ τὸ τοῦ λογισμοῦ εὐπεριάγωγον καὶ εὐεξαπάτητον, καὶ πολλῆς γέμον κουφότητος. Τοιοῦτοι γὰρ πάντες οἱ πλανώμενοι, πετεινοῖς τοῦ οὐρανοῦ, τουτέστι τοῦ ἀέρος ἐοικότες. Πάλιν ἔοικε ζύμῃ ὁ θεῖος λόγος, ἣν λαβοῦσα γυνὴ, τουτέστιν ἡ ἀνθρωπεία φύσις, ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, τουτέστιν εἰς σῶμα, ψυχὴν, πνεῦμα, ὥστε ἁγιασθῆναι ταῦτα, καθά φησιν ὁ μακάριος Παῦλος, καὶ γενέσθαι ἓν φύραμα τῇ πρὸς τὸ ἅγιον Πνεῦμα κοινωνίᾳ. Νοήσαις δ' ἂν γυναῖκα τὴν ψυχὴν, D σάτα δὲ τρία τὸ τριμερὲς αὐτῆς, λογικὸν, θυμικὸν, καὶ ἐπιθυμητικόν. Εἰ οὖν τις ἐν τῷ τριμερεῖ τούτῳ κατακρύψει τὸν λόγον τοῦ Θεοῦ, ποιήσει ὅλον τοῦτο πνευματικὸν, ὥστε μήτε τὸ λογιστικὸν ἐν τοῖς δόγμασι σφάλλεσθαι, μήτε θυμὸν καὶ ἐπιθυμίαν ἀλόγιστα φέρεσθαι, ἀλλὰ ζυμωθῆναι, καὶ ἐξομοιωθῆναι τῷ λόγῳ τοῦ Θεοῦ. Διεπορεύετο δὲ ὁ Ἰησοῦς κατὰ πόλεις καὶ κώμας διδάσκων· οὔτε γὰρ τῶν μικρῶν μὲν ἐπέβαινεν, οἷαι αἱ κῶμαι, τῶν δὲ πόλεων ἠμέλει, ὅπερ ποιοῦσιν οἱ τοὺς ἀφελεστέρους ἐξαπατᾷν βουλόμενοι, οὔτε τῶν πόλεων ἐπιβαίνων ὡς φιλενδείκτης καὶ φίλος δόξης, τῶν μικρῶν ἠμέλει, ἀλλ' ὡς κοινὸς δεσπότης, μᾶλλον δὲ πατὴρ πάντων προνοούμενος πανταχοῦ περιῄει. Ἆρ' οὖν τὰς μὲν ἔξω πόλεις

περιήρχετο, ἐν αἷς οὐ τοσοῦτοι ἦσαν νομομαθεῖς, τὴν δὲ Ἱερουσαλὴμ ἀπεδίδρασκεν, ἅτε δεδιὼς τοὺς παρὰ τῶν νομομαθῶν ἐλέγχους, ἢ τὸν ἐκ τούτων θάνατον ὑφορώμενος; Οὐκ ἔστιν εἰπεῖν, ἀλλὰ καὶ πορείαν, φησὶ, ποιούμενος εἰς Ἱερουσαλήμ· ἔνθα γὰρ πλείους οἱ νοσοῦντες, ἐκεῖσε μᾶλλον εἰσωθείτω ὁ ἰατρός.

« Εἶπε δέ τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σωζόμενοι; Ὁ δὲ εἶπε πρὸς αὐτούς· Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, ὅτι πολλοὶ, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν. Ἀφ' οὗ δ' ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι, καὶ κρούειν τὴν θύραν, λέγοντες· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν· καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· τότε ἄρξεσθε λέγειν· Ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας. Καὶ ἐρεῖ, Λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστὲ, ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ὅταν ὄψησθε Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω· καὶ ἥξουσιν ἀπὸ Ἀνατολῶν καὶ Δυσμῶν, καὶ ἀπὸ Βοῤῥᾶ καὶ Νότου, καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Καὶ ἰδοὺ εἰσὶν ἔσχατοι οἳ ἔσονται πρῶτοι, καί εἰσι πρῶτοι οἳ ἔσονται ἔσχατοι. » Ὀλίγοι οἱ σωζόμενοι διὰ τὸ μὴ ἐγχωρεῖν πολλοὺς δέξασθαι τὴν στενήν· ἔστιν οὖν ὁ οἰκοδεσπότης ὁ Κύριος, συγκαλεῖται δὲ πάντας ἀνθρώπους εἰς ἑστίασιν, καὶ ἀπόλαυσιν τῶν ἀδαπανήτων ἀγαθῶν· ὅσοι μὲν οὖν σπουδαῖοι ἄχρι καὶ τῆς τοῦ ἀρίστου ὥρας σπουδάζουσιν εἰσελθεῖν. Ὅσοι δὲ νωθρέστεροι, καὶ μετὰ τὴν τοῦ ἀρίστου ὥραν ἐρχόμενοι, ἀποκλείονται. Τίς δὲ ἡ ὥρα τοῦ ἀρίστου, ἢ ὁ παρὼν βίος; Οὗτος γὰρ ὄντως ὁ καιρὸς ἄριστον εἰς τὴν πρὸς τὸ ἑστιαθῆναι πνευματικὴν ἑτοιμασίαν. Ἀφ' οὗ τοίνυν ἐγερθῇ ὁ οἰκοδεσπότης, τουτέστιν, εἰς κρίσιν ἐξαναστῇ, καὶ ἀποκλείσῃ τὴν θύραν, τὴν τῆς ἀρετῆς, φημὶ, ὁδὸν, ἥτις μετὰ τὴν ἐντεῦθεν ἀποβίωσιν οὐχ ὁδεύεται· ἐν τῷ βίῳ γὰρ οὖσιν ἡμῖν ὁδεύεται ἡ τῆς ἀρετῆς ὁδός· ἄρχονται μὲν οἱ ἀμελέστερον ἐνταῦθα ζήσαντες κρούειν τὴν θύραν· τότε γὰρ δὴ τότε διὰ τῆς ἀνονήτου μετανοίας τὴν τῆς ἀρετῆς ὁδὸν ἀναζητοῦσι λόγοις ψιλοῖς, οἷόν τισι κρότοις καὶ κτύποις ἀνακαλούμενοι ταύτην, τῶν ἔργων ἀπόντων. Ὁ δὲ οἰκοδεσπότης ἤδη δικαίως ἀποκλείσας, προσποιεῖται μηδὲ εἰδέναι πόθεν εἰσίν· εἰκότως, εἰσὶ μὲν γὰρ ἐκ τοῦ διαβόλου, ὁ δὲ Κύριος τοὺς ὄντας αὐτοῦ γινώσκει. Τὸ δὲ, Ἐφάγομεν καὶ ἐπίομεν ἐνώπιόν σου, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας, καὶ ἁπλῶς μὲν οὕτως πρὸς τοὺς ἐξ Ἰσραὴλ λέγεται. Καὶ γὰρ ἐξ αὐτῶν ὁ Χριστὸς κατὰ σάρκα, καὶ αὐτοῖς συνήσθιε καὶ συνέπινε. Πλὴν ἀλλὰ καὶ ὑψηλότερον δύναται νοηθῆναι τὸ, Ἐνώπιόν σου ἐφάγομεν καὶ ἐπίομεν· τὴν γὰρ νομικὴν τελοῦντες λατρείαν, καὶ προσκομίζοντες τῷ Θεῷ τὰς δι' αἵματος θυσίας, ἤσθιον καὶ ηὐφραίνοντο, ἠκροῶντο δὲ καὶ τῶν θείων βίβλων ἐν ταῖς συναγωγαῖς. Πάντως γὰρ ὁ Κύριος καὶ διὰ τῶν προφητῶν ἐδίδασκεν· οὐ γὰρ τὰ ἑαυτῶν οἱ προφῆται προετίθεσαν, ἀλλὰ τὰ τοῦ Θεοῦ ὑπηγόρευον, διὸ καὶ ἔλεγον, Τάδε λέγει Κύριος. Οὔκουν ἤρκεσε τοῖς Ἰουδαίοις εἰς δικαίωσιν ἡ δι' αἵ-

A occidatur? Non est hoc dicendum, sed et iter, inquit, faciens in Hierosolymam. Ubi enim plures ægrotant, eo magis festinat medicus.

VERS. 23-30. «Ait autem illi quidam : Domine, an pauci sunt qui salutem consequuntur? Ille vero dixit ad illos: Contendite intrare per angustam portam, quia multi, dico vobis, quærent intrare, et non poterunt. Cum autem experrectus fuerit paterfamilias, et clauserit ostium, et cœperitis foris stare, et pulsare ostium, dicentes: Domine, Domine, aperi nobis: et respondens dicet vobis : Nescio vos unde sitis : tunc incipietis dicere : Edimus coram te, et bibimus, et in plateis nostris docuisti. Et dicet: Dico vobis, nescio vos unde sitis Discedite a me, omnes B qui patratis iniquitatem. Ibi erit fletus, et stridor dentium, cum videbitis Abraham, et Isaac, et Jacob, et omnes prophetas in regno Dei, vos autem expelli foras. Et venient ab Oriente et Occidente, et Aquilone et Austro, et accumbent in regno Dei. Et ecce sunt postremi, qui erunt primi : et sunt primi, qui erunt postremi.» Pauci sunt qui salvantur, eo quod augusta via multos non recipiat. Est autem Dominus paterfamilias, qui convocat omnes homines ad prandium et fruitionem æternorum bonorum. Omnes itaque virtute præditi usque ad prandii tempus studuerunt intrare : omnes autem desidiosi et ignavi, qui post tempus prandii venerunt, excluduntur. Hora autem prandii præsens vita est. Hoc enim tempus utique prandium C et, quo præparamur ut spirituali convivio excipiamur. Cum autem expergefactus fuerit paterfamilias, hoc est, ad judicium surrexerit, ac clauserit januam, virtutis dico viam, quam ingredi non possumus postquam hinc emigraverimus: quando enim in vita sumus, iniri potest via virtutis: incipiunt quidem tunc hi qui negligentius in hac vita vixerint, pulsare januam, tunc, inquam, tunc per inutilem pœnitentiam virtutis viam requirunt, nudis verbis quasi pulsationibus et strepitibus quibusdam revocantes illam, operibus tamen carentes. Pater vero familias cum eos juste excluserit, dissimulat scire unde sint, et merito : sunt enim ex diabolo : Dominus autem cognoscit suos. Hoc autem quod dicit : Comedimus et bibimus coram te, et in pla- D teis nostris docuisti : simpliciter quidem ad Israelitas dicitur. Etenim Dominus ex 390 ipsis natus est secundum carnem, et cum eis comedit ac bibit. Et potest etiam sublimius intelligi : Coram te comedimus et bibimus. Legalem enim perficientes cultum, et offerentes Deo cruenta sacrificia, comederunt et lætati sunt: audierunt autem divinos libros in synagogis. Omnino enim et per prophetas Dominus docuit. Neque enim prophetæ sua ipsorum dicta proferebant, sed divina prædicabant : quapropter et dicebant: Hæc dicit Dominus. Non igitur sufficiebat Judæis ad justificationem cultus ille per sanguinis effusionem, non accedente fide, quæ justificat

impium. Et meis quoque Christianis quidem, vitæ autem dissolutæ, hæc congruunt. An non et manducamus corpus divinum, et bibimus sanguinem Dei coram eo, quotidia ad mysticam mensam accedentes, et docet in latis animabus nostris Dominus? Atqui multa inde utilitas, si auditores divinæ quidem legis fiamus, et non factores: imo contra ad majorem tormentorum occasionem audivisse cedet, sicut et divinarum sanctificationum sumptio ad judicium. Observa quod rejecti sunt illi, quorum in plateis docet Dominus: verum si ipsum habuerimus docentem, non in plateis, sed in angustis et tritis et compunctis cordibus, non erimus rejecti. Jam hoc quod inquit, Illic erit ploratus, quando videbitis Abraham, et Isaac, et Jacob, congruit quidem et Israelitis quibus ista dicebat, et his qui hodie sunt increduli. Judæi sane tanto magis torquebantur audiendo alios ex gentibus requiescere, et quietem habituros cum Abraham et patribus, se autem expellendos. Pertinet item et ad nos, qui non bene operamur cum fide: et nos quidem in lege Christi gloriamur, quam mox postea transgredimur et reprobamus. Primi quidem esse videmur, utpote a cunabulis instructi, et nomen Christi ferentes: postremi autem erimus, prælatis gentilibus quibusdam, qui fine vitæ suæ credunt, et Deo placentes parvum vitæ tempus agunt.

A μάτων λατρεία, μὴ προσηκαμένοις τὴν πίστιν τὴν δικαιοῦσαν τὸν ἀσεβῆ. Καὶ τοῖς κατ' ἐμὲ δὲ Χριστιανοῖς μὲν, ἀμελέσι δὲ τὴν ζωὴν, ἁρμόσειεν ἂν ταῦτα· ἢ οὐχὶ καὶ ἡμεῖς τρώγομεν τὸ θεῖον σῶμα, καὶ πίνομεν τὸ αἷμα τοῦ Θεοῦ ἐνώπιον αὐτοῦ καθ' ἑκάστην τῇ μυστικῇ τραπέζῃ προσιόντες, καὶ διδάσκει ἐν ταῖς πλατείαις ψυχαῖς ἡμῶν ὁ Κύριος; Ἀλλ' οὐδὲν ὄφελος, εἰ ἀκροαταὶ τοῦ θείου νόμου γινόμεθα, καὶ οὐ ποιηταί· τοὐναντίον μὲν οὖν μᾶλλον εἰς μειζόνων βασάνων ὑπόθεσιν ἡμῖν ἡ ἀκρόασις, ὥσπερ καὶ ἡ τῶν θείων ἁγιασμάτων μετάληψις εἰς κρῖμα καθίσταται. Παρατήρησον δὲ ὅτι ἀπόβλητοί εἰσιν ἐκεῖνοι, ὧν ἐν ταῖς πλατείαις διδάσκει ὁ Κύριος· ὡς ἐάν γε διδάσκοντα αὐτὸν ἔχωμεν οὐκ ἐν πλατείαις, ἀλλ' ἐν στεναῖς καὶ τεθλιμμέναις καὶ κατανενυγμέναις καρ-
B δίαις, οὐκ ἀπόβλητοι ἐσόμεθα. Τὸ δὲ Ἐκεῖ ἔσται ὁ κλαυθμὸς, ὅταν ὄψησθε Ἀβραὰμ, καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἁρμόζει μὲν καὶ τοῖς Ἰσραηλίταις, πρὸς οὓς ταῦτα διελέγετο, καὶ ἔτι τοῖς κατὰ καιροὺς ἀπίστοις. Οἱ γὰρ Ἰουδαῖοι τούτῳ μάλιστα ἐδάκνοντο τῷ ἀκούειν, ὅτι ἄλλοι μὲν οἱ ἐξ ἐθνῶν ἀναπαύσονται μετὰ Ἀβραὰμ καὶ τῶν πατέρων, αὐτοὶ δὲ ἐξωθήσονται· ἁρμόζει δὲ καὶ ἡμῖν τοῖς μὴ ἀκόλουθα τῇ πίστει πράττουσι· καὶ ἡμεῖς γὰρ ἐν τῷ νόμῳ τοῦ Χριστοῦ καυχώμενοι, εἶτα διὰ τῆς παραβάσεως τούτου ἀθετοῦντες αὐτὸν, πρῶτοι μὲν τῷ δοκεῖν ἐσμεν, ὡς κατηχηθέντες ἐκ σπαργάνων αὐτῶν τὸν λόγον καὶ τὸν Χριστὸν φορέσαντες, ἔσχατοι δὲ ἐσόμεθα ἐθνικῶν τυχὸν προτιμηθέντων, τῶν πρὸς τῷ τέλει τοῦ βίου πιστευσάντων, καὶ ἀρεστῶς τῷ Θεῷ διαγαγόντων τὸν ὀλίγον τῆς ζωῆς χρόνον.

Vers. 31-33 « Eodem die accesserunt quidam Pharisæorum dicentes illi: Exi, et vade hinc: quia Herodes vult te occidere. Et ait illis: Ite, et dicite vulpi huic: Ecce ejicio dæmonia, et sanitates perficio hodie, et cras, et tertia die consummor. Verumtamen oportet me hodie et cras et proximo die proficisci, quia fieri non potest ut propheta pereat extra Jerusalem. » Invidia tabescebant maledicti Judæi et Dominum terrere nituntur, et minantem ei faciunt Herodem: nolebant enim eum videre facientem miracula ne multitudine miraculorum turbas sibi conciliaret, et virtute verbi ad se alliceret. Prætexunt igitur Herodem, et fingunt sibi Salvatoris curam esse. Ipse 391 autem corda illorum sciens mansuete et adumbrate pro more suo eis respondet: Dicite vulpi huic. Et videtur quidem Herodem appellare vulpem, sed Pharisæos notat, si quis diligenter consideret. Non enim dixit, vulpi illi, sed huic, media quadam voce usus, idque scite. Singulari numero dicendo vulpem, Herodem illos suspicari fecit: dicendo autem, huic, quod est pronomen demonstrativum, insinuavit istos ipsos esse dolosos illos. Et profecto Pharisæi præ se ferebant malignos versipellesque vulpium mores. Vide autem, oro, quomodo malitiæ eorum respondeat. Quia enim illi propter sanitates invidebant, et incutiebant ei metum ex Herode, idcirco ipse id quod sciebat illis potissimum dolere, dicit: Ecce enim ego, inquit, sanitates perficio, et dæmonia ejicio. Nam, sicut prædictum est, propterea insectabantur eum, ut ne miraculis os-

C « Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν τινες Φαρισαῖοι λέγοντες αὐτῷ· Ἔξελθε, καὶ πορεύου ἐντεῦθεν, ὅτι Ἡρώδης θέλει σε ἀποκτεῖναι. Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ, Ἰδοὺ ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι. Πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ. » Φθόνῳ διατηκόμενοι οἱ κατάρατοι Φαρισαῖοι ἐκφοβεῖν πειρῶνται τὸν Κύριον καὶ τὸν Ἡρώδην ἐπαπειλοῦσιν αὐτῷ· οὐ γὰρ ἤθελον αὐτὸν ὁρᾷν θαυματουργοῦντα, ἵνα μὴ τῷ πλήθει τῶν σημείων ἐφέλκηται τοὺς ὄχλους, καὶ τῇ τοῦ λόγου δυνάμει διδάσκων ἐπιστρέφῃ πρὸς ἑαυτόν. Προφασίζονται οὖν τὸν Ἡρώδην καὶ κήδεσθαι τοῦ Σωτῆρος σχηματίζονται. Ἐκεῖνος δὲ
D εἰδὼς τὰς καρδίας αὐτῶν, πράως τε καὶ συνεσκιασμένως, ὡς ἔθος αὐτῷ, ἀποκρίνεται αὐτοῖς, καὶ φησιν, Εἴπατε τῇ ἀλώπεκι ταύτῃ· καὶ δοκεῖ μὲν ἀλώπεκα τὸν Ἡρώδην ὀνομάζειν, τοὺς Φαρισαίους δὲ μᾶλλον, εἴ τις ἀκριβῶς σκοποίη· Οὐ γὰρ εἶπε, τῇ ἀλώπεκι ἐκείνῃ, ἀλλὰ ταύτῃ, μέσῃ, τινὶ χρώμενος φωνῇ, καί γε εὐφυῶς. Διὰ μὲν γὰρ τοῦ ἑνικῶς εἰπεῖν ἀλώπεκι, τὸν Ἡρώδην δέδωκεν ἐκείνοις ὑπολαβεῖν, διὰ δὲ τοῦ δεικτικῶς φάναι ταύτῃ, αὐτοὺς ἐκείνους τοὺς δολεροὺς ᾐνίξατο· τῷ ὄντι γὰρ τὸ τῆς ἀλώπεκος πανοῦργον καὶ δύστροπον οἱ Φαρισαῖοι ἐπεδείκνυντο. Ὅρα δέ μοι πῶς πρὸς τὴν κακουργίαν αὐτῶν ἀποκρίνεται αὐτοῖς. Ἐπεὶ γὰρ ἐκεῖνοι διὰ τὰς ἰάσεις φθονοῦντες τὸν ἐκ τοῦ Ἡρώδου φόβον αὐτῷ ἐπέσειον, αὐτὸς, ὅπερ ἠπίστατο λυπεῖν ἐκείνους, τοῦτο λέγει.

Ἰδοὺ γὰρ, φησὶν, ἐπιτελῶ ἰάσεις, καὶ δαιμόνια ἐκβάλλω· ὡς γὰρ προείρηται, διὰ τοῦτο ἐδίωκον αὐτὸν, ἵνα μὴ τῇ τῶν παραδόξων ἐπιδείξει χρώμενος σαγηνεύῃ πολλοὺς εἰς τὸ πιστεύειν αὐτῷ. Τὸ δὲ, σήμερον καὶ αὔριον, πλείονας ἡμέρας δηλοῖ. Ὥσπερ οὖν καὶ ἡμεῖς εἰώθαμεν ἐν τῇ συνήθει ὁμιλίᾳ λέγειν, Σήμερον καὶ αὔριον γίνεται τόδε, οὐ πάντως τοσούτῳ διαστήματι τὸ ἔργον περικλείοντες, ἀλλὰ τὸ ταχέως γενήσεσθαι δηλοῦντες. οὕτως οὖν καὶ ὁ Χριστὸς εἰπὼν, ὅτι Ἰάσεις ἐπιτελῶ σήμερον, καὶ αὔριον, καὶ τῇ τρίτῃ ἡμέρᾳ τελειοῦμαι, οὐ πάντως τοῦτο ἐδήλωσε, τὸ ἐν τῇ τρίτῃ ἡμέρᾳ ἀναγκαίως τελειωθῆναι, ἀλλὰ τὸ συντόμως τὸν θάνατον αὐτοῦ γενήσεσθαι δηλοῖ. Πλὴν δεῖ με σήμερον καὶ αὔριον, τουτέστι χρόνον τινὰ, προσμεῖναι ἐνταῦθα θαυματουργοῦντα, καὶ τῇ ἐχομένῃ πορεύεσθαι εἰς Ἱερουσαλήμ· ἐκεῖσε γὰρ ἀφώρισα ἐμαυτῷ τὸ πάθος. Ἐπειδὴ γὰρ ἐκεῖνοι ἔλεγον αὐτῷ· Ἔξελθε, ὅτι Ἡρώδης μέλλει σε φονεύειν, ἐν τῇ Γαλιλαίᾳ δὲ ταῦτα ἔλεγον, ἐκείνης γὰρ Ἡρώδης ἦρχε, δείκνυσιν αὐτοῖς, ὅτι καὶ πολλὰ βουλευομένῳ Ἡρώδῃ οὐκ ἔσται αὐτὸν ἀνελεῖν· οὐ γὰρ ἐν Γαλιλαίᾳ, ἀλλ' ἐν Ἱερουσαλὴμ προώρισται αὐτῷ παθεῖν. Ἵνα δὲ σοι καὶ τὸ ῥητὸν τοῦ Εὐαγγελίου σαφέστερον ἐκθῶμαι, μὴ νοήσῃς ὅτι δεῖ με σήμερον καὶ αὔριον πορεύεσθαι, ἀλλὰ στῆθι ἄχρι τοῦ σήμερον καὶ αὔριον· καὶ οὕτως εἰπὲ τὸ, τῇ ἐχομένῃ πορεύεσθαι, οἷον πολλάκις ἀριθμοῦντες εἰώθαμεν λέγειν, Ἐγὼ Κυριακῇ δευτέρᾳ καὶ τρίτῃ ἐξέρχομαι, οὐχ ὡς μέλλων καὶ ἐν τῇ Κυριακῇ, καὶ ἐν τῇ δευτέρᾳ ἐξελθεῖν, ἀλλ' ἀπαριθμούμενος μόνον τὰς δύο, ἵνα δηλώσω τὴν τρίτην. Οὕτως οὖν καὶ ὁ Κύριος ἐνταῦθα ὥσπερ ἀπαριθμούμενός φησι, Δεῖ με σήμερον καὶ αὔριον, εἶτα τῇ τρίτῃ πορεύεσθαι εἰς Ἱερουσαλήμ· ἐκεῖσε γάρ μοι τὸ τέλος ἀφώρισται. Καθάπερ δὲ ἀνωτέρω ἐξείπομεν, οὐχὶ ὡς ἐν τρισὶν ἡμέραις περικλείων τὴν ἑαυτοῦ ζωὴν ὁ Κύριος, ταῦτά φησιν, ἀλλὰ πλείονας μὲν ἡμέρας, πλὴν οὐ πάνυ μακρόν τινα χρόνον ὑποσημαίνει· ὡσανεὶ γὰρ τοιαῦτά φησι πρὸς τοὺς αὐτῷ διαφθονουμένους· Τί τὸν ἐμὸν μελετᾶτε θάνατον; ἰδοὺ μετ' ὀλίγον τοῦτο γίνεται. Ὅταν δὲ ἀκούσῃς, ὅτι οὐκ ἐνδέχεται ἔξω Ἱερουσαλὴμ ἀπολέσθαι προφήτην, μὴ νόμιζε βίαν ἀναγκαστικὴν Ἰουδαίοις ἐπάγεσθαι εἰς τὸ τοιαῦτα δρᾷν, ἐκ τοῦ τὰ τοιαῦτα γράφειν, ἀλλὰ τῇ μιαιφόνῳ αὐτῶν προαιρέσει ἀκολούθως λέγεσθαι τοῦτο· ὥσπερ ἂν εἰ λῃστὴν ὁρῶν μιαιφονώτατον ὁδοστατοῦντα εἴποιέν τις, Οὐκ ἐνδέχεται τὴν ὁδὸν ταύτην, ἐν ᾗ ὁ λῃστὴς τοὺς ὁδεύοντας ἐνεδρεύει, καθαρὰν αἱμάτων εἶναι· πάντως γὰρ τοῖς ἔργοις τοῦ λῃστοῦ τὸ ἀκόλουθόν φησιν. Οὕτως οὖν κἂν τῇ Ἱερουσαλὴμ λῃστῶν ἐγκαθημένων τῶν Φαρισαίων καὶ Γραμματέων, οὐκ ἐνεδέχετο ἐν ἄλλῳ χωρίῳ, ἢ πάντως ἐν τῷ τῶν λῃστῶν, ἀπολέσθαι τὸν τῶν προφητῶν Δεσπότην· ἐνεθισθέντες γὰρ τοῖς αἵμασι τῶν δούλων, καὶ τὸν Κύριον ἀποκτενοῦσι.

A tensis multos ad credendum sibi alliceret. Hodie vero et cras plures dies significat: quemadmodum et nos familiari sermone consuevimus dicere: Hodie et cras fiet hoc: non omnino intra tam breve temporis intervallum rem circumscribentes, sed statim fieri significantes, ita etiam Christus, dicens: Sanitates perficio hodie et cras, et tertio die consummor: non omnino significare voluit quod tertio die necessario sit consummandus, sed brevi mortem suam futuram declarat. Verumtamen oportet me hodie et cras, hoc est aliquo tempore, manere hoc loco, et operari miracula, et sequenti in Jerusalem proficisci: illic enim elegi mortem. Quia enim illi dicebant ei: Egredere, quia Herodes te occisurus est. In Gali- B læa autem hæc dicebant, cui præerat Herodes: monstrat eis, etiamsi plurimum vellet, non posse ab illo se interimi: non enim in Galilæa, sed Jerusalem præfinitum erat Christum esse passurum. Et ut tibi Evangelii dictum manifestius exponam, cum legeris, hodie et cras, punctum facito, et tunc dic, proximo die proficisci: quomodo numerantes sæpe dicere consuevimus: Ego Dominico secundo et tertio die egredior: non quod egressurus sim Dominico et secundo, sed solum duos illos dies enumeramus, ut manifestemus diem tertium. Ita sane et Dominus hoc loco prius enumerans, inquit: Oportet me hodie et cras, deinde tertio proficisci in Jerusalem: illic enim finis meus. Sicut autem supra diximus, non quod tribus diebus vitam suam circumscribat, sed pluribus quidem C diebus, verumtamen non valde longo tempore se mansurum significat: quasi hæc dicat ad eos qui sibi invidebant: Quid meam meditamini mortem? ecce paulo post ipsa instabit. Cum vero audis quod fieri non possit extra **392** Jerusalem perire prophetam, ne putes Judæos vi quadam ac necessitate ad hoc faciendum compelli, sed scias consentanee ad sanguinariam illorum voluntatem istud dici: ut si quis videns crudelissimum maximeque sanguinarium latronem vias obsidere, diceret: Fieri non potest, viam hanc in qua latro prætereuntibus insidiatur, a sanguine puram esse. Omnino enim hoc loco quod consentaneum est ad opera latronum, dicit. Sic igitur et in Hierosolyma, quam occuparunt D latrones Pharisæi et Scribæ, fieri non potest in alio loco quam in illo in quo sunt latrones, perire prophetarum Dominum: assueti enim effundere servorum sanguinem, etiam Dominum ipsum occident.

« Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος· Ἀμὴν λέγω ὑμῖν, οὐ μή με ἴδητε ἤδη, ἄχρις ἂν εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. » Τῷ διπλασιασμῷ τοῦ ὀνόματος δείκνυσι

Vers. 34, 35. « Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidas eos qui mittuntur ad te, quoties volui congregare filios tuos, quemadmodum avis nidum suum sub pennas, et noluistis? Ecce relinquitur vobis domus vestra deserta. Dico autem vobis quod non videbitis me, donec venerit tempus cum dicetis: Benedictus qui venit in nomine Domini. » Duplicatione nominis ostendit amorem quem erga

nes illos habet Dominus. Quemadmodum enim amator quis ab amica contemptus, ita revocat adulteram Synagogam. Ostendit item suam misericordiam, quod sæpenumero voluerit congregare illos: et illorum significat arrogantiam, dicendo, Quia noluistis, relinquo vos postea. In tantum enim odio habui malitiam vestram, ut neque templum domum meam esse dicam, sed domum vestram. Nam quandiu vitam vestram bene gerebatis, et templum meum erat: quia autem illud contaminastis, et negotiationis domum, et speluncam latronum fecistis, variisque negotiationibus et avaris vestris studiis vicissim vos exstinguitis (negotiatio enim latrocinium est, supplantans fratres, et rapiens quæ illorum: id quod et latrones faciunt: invadunt enim viatores, ut illorum bona rapiant), et quoniam speluncam latronum templum fecistis per negotiationum speciem quas in ipso orationis loco faciebatis: non ultra mea erit domus, sed vestra. Non solum autem templum intelligas domum, sed et omnem generationem Judæorum. Solet enim Scriptura et genus domum appellare, ut: « Domus Levi, benedicite Dominum 65. » Et hoc loco potest intelligi, Domus vestra relinquitur, hoc est, genus vestrum relinquitur a me: sicut et per prophetam alibi dicit, Dereliqui domum meam, hæreditatem meam reliqui. Domum enim illic dicit Israelitas. Ostendit autem quod et ante hoc ipse eos conservarit, et ab inimicis liberarit. Denique dicens: Non me videbitis donec dicatis, Benedictus qui venit in nomine Domini: secundum significat 393 adventum; involuntarii enim tunc confitebuntur et Salvatorem et Dominum, quando ipsis nulla inde utilitas eveniet. Quid igitur? Non viderunt illum a quo tempore hæc dixit? Utique. Dicens enim: Non me videbitis ex illo tempore, non horam quæ tunc erat significat, sed tempus quod post crucem: sicut si dixisset: A tempore quo me crucifixeritis, non ultra me videbitis, donec redeam.

## CAPUT XIV.

*De hydropico. Quod non liceat ambire primos accubitus. Quod deceat magis vocare ad cœnam pauperes quam amicos. De vocatis ad cœnam. Parabola de ædificio turris.*

VERS. 1-6. « Et factum est cum introiret in domum cujusdam principis Pharisæorum Sabbato ad capiendum cibum, et ipsi observabant eum. Et ecce homo quidam hydropicus erat ante illum. Et respondens Jesus dixit ad legisperitos et Pharisæos, dicens: Num licet Sabbato sanare? At illi tacuerunt. Ipse vero apprehensum sanavit eum, ac dimisit. Et respondens ad illos dixit: Cujus vestrum asinus aut bos in puteum cadet, et non continuo extrahet illum in die Sabbati? Et non poterant ad hæc respondere illi. » Dominus satis sciens Pharisæorum morositatem, ingreditur in eorum domos. Curæ

A τὴν στοργὴν, ἣν ἔχει περὶ αὐτοὺς ὁ Κύριος· ὥσπερ γάρ τις ἐραστὴς παρὰ τῆς ἐρωμένης καταφρονούμενος, οὕτως ἀνακαλεῖται τὴν μοιχαλίδα Συναγωγήν· δείκνυσι δὲ καὶ τὴν οἰκείαν φιλανθρωπίαν, ὅτι πολλάκις ἠθέλησεν ἐπισυναγαγεῖν αὐτοὺς, καὶ τὴν ἐκείνων ἀπόνοιαν σημαίνει, ἐν τῷ εἰπεῖν, ὅτι Οὐκ ἠθελήσατε· ἀφίημι λοιπὸν ὑμᾶς. Τοσοῦτον γὰρ ἐμίσησα τὴν πονηρίαν ὑμῶν, ὥστε οὐδὲ τὸν ναὸν λέγω οἶκόν μου εἶναι, ἀλλ' οἶκον ὑμῶν· ἄχρι γὰρ ἐνεπολιτεύετο ὑμῖν ἡ ἀρετὴ, καὶ ὁ ναὸς ἐμὸς ἦν· ἐπεὶ δὲ καὶ αὐτὸν ἐμιάνατε, καὶ ἐμπόριον καὶ σπήλαιον λῃστῶν πεποιήκατε ταῖς πολλαῖς καπηλείαις, καὶ τῷ φιλοχρηµάτῳ τῆς γνώμης ἀλλήλους ἀποκτιννύοντες· τοῦτο γάρ ἐστιν ἡ πραγματεία τῆς λῃστείας ὑποσκελίζουσα τὸν ἀδελφὸν καὶ ἁρπάζουσα τὰ αὐτοῦ· ὃ καὶ οἱ
B λῃσταὶ ποιοῦσι, συμποδίζοντες γὰρ τοὺς ὁδίτας, οὕτως ἤδη τὰ αὐτῶν ἀφαιροῦνται· ἐπεὶ οὖν τὸν ναὸν σπήλαιον λῃστῶν πεποιήκατε διὰ τὸ τῶν πραγματειῶν εἶδος, ἃς ἐν αὐτῷ τῷ τῆς προσευχῆς οἴκῳ ἐποιεῖτε, οὐκέτι ἐμός ἐστιν οἶκος, ἀλλ' ὑμῶν· Οὐ μόνον δὲ τὸν ναὸν νοήσεις οἶκον, ἀλλὰ καὶ τὴν ἅπασαν γενεὰν τῶν Ἰουδαίων· οἶδε γὰρ ἡ Γραφὴ καὶ τὸ γένος οἶκον ὀνομάζειν· ὡς τὸ, « Οἶκος Λευῒ, εὐλογήσατε τὸν Κύριον. » Κἀνταῦθα οὖν δύναται νοηθῆναι τὸ, οἶκος ἀντὶ τοῦ τὸ γένος ὑμῶν ἀφίεται παρ' ἐμοῦ, ὡς καὶ διὰ τοῦ προφήτου ἀλλαχοῦ φησιν, Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου· οἶκον γὰρ ἐκεῖ τοὺς Ἰσραηλίτας φησί· δείκνυσι δὲ, ὅτι καὶ πρὸ τούτου αὐτὸς ἦν ὁ συνέχων αὐτοὺς, καὶ
C τῶν ἐχθρῶν ῥυόμενος· τὸ δὲ, Οὐ μή με ἴδητε ἄχρις ἂν εἴπητε, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· τὴν δευτέραν σημαίνει παρουσίαν. Τότε γὰρ καὶ ἄκοντες ὁμολογήσουσιν αὐτὸν Σωτῆρα καὶ Κύριον, ὅτε αὐτοῖς οὐδὲν ὄφελος. Τί οὖν; οὐκ εἶδον αὐτὸν ἀφ' οὗ ταῦτα εἶπε; Καὶ μάλα· ὅταν οὖν λέγῃ, ὅτι Οὐ με ἴδητε ἀπὸ τοῦ νῦν, οὐχὶ τὴν τότε ὥραν σημαίνει, ἀλλὰ τὸν μετὰ τὸν σταυρὸν χρόνον· ὥσπερ ἂν εἰ εἶπεν, Ἀφ' οὗ με σταυρώσετε, οὐκέτι οὐ μή με ἴδητε, ἄχρις ἂν πάλιν ἔλθω.

## ΚΕΦΑΛ. ΙΔ'.

Περὶ τοῦ ὑδρωπικοῦ. Περὶ τοῦ μὴ ἀγαπᾷν τὰς πρωτοκλισίας. Περὶ τοῦ πτωχοὺς μᾶλλον εἰς τὸ δεῖπνον καλεῖν, ἢ φίλους. Περὶ τῶν καλουμένων ἐν τῷ δείπνῳ. Περὶ οἰκοδομῆς πύργου
D παραβολή.

« Καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν Φαρισαίων Σαββάτῳ, φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν. Καὶ ἰδοὺ ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς Φαρισαίους καὶ νομικοὺς, λέγων· Εἰ ἔξεστι θεραπεύειν ἐν Σαββάτῳ; Οἱ δὲ ἡσύχασαν· Καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν, καὶ ἀπέλυσε. Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε· Τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ Σαββάτου; Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα. » Εἰ καὶ ἐγίνωσκε τὸ δύστροπον τῶν

65 Psal. CXXXIV, 20.

Φαρισαίων ὁ Κύριος, ὅμως εἰσίει εἰς τοὺς οἴκους αὐτῶν· ὠφελείας γὰρ ψυχῶν ἐφρόντιζε, καὶ διὰ τοῦτο εἰσήρχετο· ἢ γὰρ ἐκ λόγου καὶ διδασκαλίας, ἢ ἐκ σημείων ἐπιδείξεως δυνατὸν ἦν αὐτοὺς ὠφελεῖσθαι, εἴγε ἠβούλοντο. Παρελθόντος οὖν εἰς μέσον τοῦ ὑδρωπικοῦ, ὁ Κύριος οὐ τοῦτο ἐσκόπησεν, ὅπως μὴ σκανδαλίσῃ αὐτούς, ἀλλ' ὅπως εὐεργετήσῃ τὸν θεραπείας δεόμενον. Δεῖ γὰρ ἡμᾶς, ἔνθα ὠφέλεια ἀνακύπτει μάλα πολλή, μὴ φροντίζειν τῶν ἀνοήτως σκανδαλιζομένων. Ἐλέγχει δὲ τὴν ἀφροσύνην τῶν ἐγκαλεῖν μελλόντων αὐτῷ, διὸ καὶ ἐρωτᾷ, Εἰ ἔξεστι τῷ Σαββάτῳ θεραπεύειν, ἢ οὔ; Ἆρα γὰρ οὐ προφανῶς καταγελᾷ αὐτῶν ὡς ἀνοήτων; εἴγε τοῦ Θεοῦ τὸ Σάββατον εὐλογήσαντος, αὐτοὶ κωλύουσιν ἀγαθοποιεῖν ἐν τούτῳ, καὶ ποιοῦσιν αὐτὸ πάντως ἐπικατάρατον; Ἡ γὰρ ἡμέρα ἡ μηδὲν ἔργον ἀγαθὸν ἐπιδεχομένη, οὐκ εὐλογημένη. Ἀλλ' οὗτοί γε γνόντες ὅποι φέρει τὸ ἐρώτημα, ἡσύχασαν· τότε δὴ ὁ Ἰησοῦς τὸ οἰκεῖον B ποιεῖ, καὶ διὰ τῆς ἀφῆς ἰᾶται τὸν ἄνθρωπον· εἶτα καὶ τοὺς Φαρισαίους ἐντρέπει διὰ τούτου, μονονουχὶ τοιαῦτα λέγων αὐτοῖς· Εἰ κεκώλυκεν ὁ νόμος ἐλεεῖν ἐν Σαββάτῳ, μὴ φροντίσῃς υἱοῦ κινδυνεύοντος ἐν Σαββάτῳ; Καὶ τί λέγω υἱοῦ; ὅπου οὐδὲ βοῦν ἀβοήθητον καταλείψεις εἰ κινδυνεύοντα ὄψει; Πῶς οὖν οὐκ ἀνόητον παρατηρεῖσθαι τὴν τοῦ ὑδρωπικοῦ θεραπείαν ἐν Σαββάτῳ; Ὑδρωπικός ἐστι καὶ πᾶς ὅς διὰ τοῦ ἀνειμένου βίου καὶ ὑγροῦ κατὰ ψυχὴν νοσήσας δεινῶς, δεῖται Χριστοῦ, οὐκοῦν καὶ θεραπευθήσεται, εἰ ἔμπροσθεν Χριστοῦ γένηται. Ὁ γὰρ ἔμπροσθεν Θεοῦ εἶναι ἐννοῶν ἀεί, καὶ παρ' αὐτοῦ ὁρᾶσθαι, ἐλάχιστα ἁμαρτήσεται.

« Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, C ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς· Ὅταν κληθῇς ὑπό τινος εἰς γάμον, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ, καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι, Δὸς τούτῳ τόπον, καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν· ἀλλ' ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσον εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ σοι· Φίλε, προσανάβηθι ἀνώτερον· τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. » Ὁρᾷς τὰ δεῖπνα τοῦ Χριστοῦ ποῖά τινά εἰσιν, εἰς ὠφέλειαν ψυχῶν, οὐκ εἰς κόρον γαστρὸς κατεστρέφοντα; Ἴδε γάρ, ἰάσατο τὸν ὑδρωπικόν, ἐδίδαξε τοὺς D Φαρισαίους, ὅτι καλὸν τὸ ἐν Σαββάτῳ εὐεργετεῖν. Ἐπεὶ δὲ εἶδεν αὐτοὺς καὶ περὶ τῆς πρωτοκλισίας θορυβουμένους, ἰᾶται καὶ τοῦτο τὸ πάθος οὐκ ἀπὸ σμικρᾶς ἀρχόμενον προφάσεως, ἀλλ' ἀπὸ μεγάλης καὶ δυσδιαφεύκτου, τῆς κενοδοξίας φημί· καὶ μή τις νομιζέτω τὴν περὶ τούτου διδασκαλίαν μικρὰν εἶναι, καὶ ἀναξίαν τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας· μάλιστα μὲν γὰρ οὐδὲ ἰατρὸν φιλάνθρωπον εἴποις ἄν, τὸν ποδάγρας μὲν ἰᾶσθαι ἐπαγγελλόμενον, καὶ ὅσα τῶν νοσημάτων ἀξιόλογα, δακτύλου δὲ σύντριμμα ἢ ὀδόντος ἄλγος μὴ δεχόμενον θεραπεύειν. Ἔπειτα πῶς μικρὸν τὸ τῆς κενοδοξίας πάθος, ὃ ἠνώχλει πάντως τοῖς τὰς πρωτοκλισίας ζητοῦσιν; Ἐχρῆν οὖν, ἐχρῆν

A enim ei erat animarum utilitas, et propterea ingressus est. Potuissent enim vel ex doctrina et sermone, vel ex ostensione miraculorum utilitatem percepisse, si quidem voluissent. Porro cum in medium venisset hydropicus, non hoc consideravit Dominus, quomodo non offenderet ipsos, sed quomodo sanaret eum qui cura sua indigebat. Oportet enim nos ubi magna prospectat utilitas non curare insipientes qui scandalizantur. Arguit autem insipientiam eorum qui reprehensuri erant, ideoque interrogat: Licetne Sabbato sanare an non? Nonne manifeste irridet eos ut insipientes? Siquidem cum Deus Sabbatum benedixerit, ipsi benefacere prohibent in eo, et per hoc faciunt omnino maledictum? Non enim benedictus est dies in quo nihil boni fieri soleat. At cum hi scientes quo tenderet interrogatio, siluerunt, tunc Jesus quod suum erat facit, et contactu sanat hominem: deinde etiam Pharisæos erubescere facit, quasi talia diceret eis: Si prohibuisset lex misereri in Sabbato, non curæ tibi fuisset si filius tuus periclitatus fuisset in Sabbato? Et quid dico filius? neque hovem reliquisses absque adjutorio, si periclitantem vidisses. Quomodo igitur non stultum fuerit quod observatis sanationem hydropici in Sabbato? 394 Hydropicus est omnis qui per dissolutam vitam et lubricam anima sua graviter ægrotat, qui et Christo indiget: et sanabitur plane, si ante Christum fuerit. Nam qui se ante Christum esse considerat, cogitans semper quomodo ab ipso videatur, minime peccabit.

Vers. 7-11. «Dicebat autem ad invitatos parabolam intenden, quomodo primos accubitus eligerent, dicens ad illos: Cum invitatus fueris ab aliquo ad nuptias, ne accumbas in primo loco, ne forte honoratior te ab illo sit invitatus, et veniens is qui te et illum vocavit, dicat tibi: Da huic locum: et tunc incipias cum rubore extremum locum tenere: quin potius cum vocatus fueris, vade, accumbe in novissimo loco, ut cum venerit qui te invitavit, dicat tibi: Amice, ascende superius: tunc erit tibi gloria coram simul discumbentibus: quia omnis qui se extollit, humiliabitur, et qui se humiliat, extolletur. » Vides cœnas Christi quales sint, nempe in utilitatem animæ, et non in satietatem ventris vertuntur. Ecce enim sanavit hydropicum: docuit Pharisæos quod bonum sit in Sabbato benefacere. Et postea videns eos de primo accubitu tumultuari, sanat et hanc affectionem, quæ non a parva, sed magna et vix effugabili causa incipit, inani inquam gloria. Et ne quis existimet hoc docere minus et indignum esse magnificentia verbi Dei, imo maxime: quia medicus qui pollicetur sanare podagram, omnesque morbos memoratu dignos neque digitorum attritiones, vel dentis dolorem sanare detractat. Deinde quomodo parvus inanis gloriæ morbus, quo omnino turbantur qui primos accubitus quærunt? Oportebat igitur humilitatis doctorem et principem et consummatorem Christum om-

ramos inanis gloriæ amputare. Et hoc quoque expende, si non fuisset tempus mensæ, et de hoc disseruisset Dominus relicto de aliis rebus sermone, esset forte reprehensioni locus: nunc autem quia hora cœnæ et ambitionis morbus miseros turbans ante oculos Salvatoris versabatur, tempus erat admonitionis. Vide enim et aliter quomodo a culpa hominem liberet, et quomodo ipsum civilem faciat. Quanta enim confusione plenus, cum requisiveris locum te indignum, et deinde cum supervenerit dignior, is qui te vocavit, dicat: Da huic locum, id quæ sæpe? Descendes enim tu, illi autem primum locum occupabunt. Contra, quanta laude dignus, quando prima sella dignus, principio sedet in humili loco, et postea præ aliis sedere comperitur, omnibus illi primo loco cedentibus? Num igitur parva tibi videtur illa admonitio Domini, quæ maximam virtutum humilitatem docet, et in auditorum animabus collocat, et ad honestam vitæ observationem **395** ducit? id quod Christi dilectus discipulus Paulus postea dixit: «Omnia honeste et secundum ordinem, inquit, fiant.» Quo pacto igitur hoc fiet? Nullus quærat quod suum est, sed unusquisque quod alterius. Vides discipulum eadem loqui, quæ magister ejus? Istud vero: «Omnis qui seipsum exaltat humiliabitur [64],» quo pacto intelligam? Etenim multi in vita hac se exaltantes, honore fruuntur. Igitur hoc quidem humiliari est quando quis fruitur magno honore in mundo, tum miser et humilis fit apud Deum. Insuper non usque ad finem, neque apud omnes in tali honore est, sed quantum a quibusdam observatur, tantum ab aliis irridetur, et nonnunquam ab his a quibus honoratur. Vera igitur est sententia. Et omnis indignus hanc sibi sublimitatem vindicans, humiliabitur, et apud Deum quidem, quando ultimum judicium, in vita vero hac maxime. Natura enim omnis homo indignus sublimitate. Nullus igitur extollatur, ut ne extreme humilietur.

Vers. 12-15. «Dicebat autem et ei qui se invitaverat: Cum facis prandium aut cœnam, noli vocare amicos tuos, neque fratres tuos, neque cognatos tuos, neque vicinos divites, nequando et ipsi te vicissim invitent, ac rependatur tibi beneficium. Imo cum facis convivium, voca pauperes, debiles, claudos, cæcos, et beatus eris: quia non possunt rependere tibi: rependetur enim tibi in resurrectione justorum. Hæc cum audisset quidam de simul accumbentibus, dixit illi: Beatus qui comedit prandium in regno Dei.» Ex duobus generibus constabat convivium, ex vocatis, et his qui vocabant. Vocatorum genus salubri admonitione ad humilitatem induxerat, et convivium minime sumptuosum illis proposuerat. Nunc et in eum qui vocaverat, vicissim liberalitatem suam exercet: et admonitione redinvitat, abducens eum ne convivia instituat humani

[64] Luc. XVIII, 14.

A τὸν τῆς ταπεινώσεως διδάσκαλον, καὶ ἀρχηγὸν, καὶ τελειωτὴν Χριστὸν πάντα κλάδον τῆς πονηρᾶς ῥίζης τῆς κενοδοξίας ἐκτέμνειν. Καὶ τοῦτο δέ μοι προσλογίζου· εἰ μὲν οὐκ οὐχ ἦν καιρὸς τραπέζης, καὶ διελέγετο περὶ τούτων ὁ Κύριος, ἀφεὶς τοὺς περὶ ἄλλων λόγους, εἶχεν ἂν λόγον ἡ μέμψις, νῦν δὲ δείπνου ὄντος, καὶ τοῦ τῆς φιλοπρωτείας πάθους πρὸ ὀφθαλμῶν τοῦ Σωτῆρος ἐνοχλοῦντος τοῖς ἐλεεινοῖς, καιρὸν εἶχεν ἡ παραίνεσις. Ἴδε γὰρ καὶ ἄλλως πόσου μώμου τὸν ἄνθρωπον ἀπαλλάττει, καὶ πῶς κόσμιον αὐτὸν ποιεῖ. Πόσης γὰρ αἰσχύνης ἀνάμεστον, ὅταν τὸν μὴ πρέποντά σοι τόπον ζητήσαντι, εἶτα ἐλθόντος τοῦ ἐντιμοτέρου, ὁ καλέσας σε εἴπῃ· Δὸς τούτῳ τόπον, καὶ ταῦτα πολλάκις, καὶ ὑποβαίνῃς μὲν αὐτὸς, ἐκεῖνοι δὲ προεδρεύωσι; Πόσου δὲ ἐπαίνου ἄξιον τοὐναντίον, ὅταν ὁ τῆς πρώτης καθέδρας ἄξιος, ὑποβὰς ἐξ ἀρχῆς, εἶτα προεδρεύων εὑρεθῇ, πάντων ἐξισταμένων αὐτῷ τῶν πρωτείων; Ἆρα μικρά σοι δοκεῖ ἡ τοιαύτη τοῦ Κυρίου παραίνεσις, τὴν μεγίστην τῶν ἀρετῶν, τὴν ταπείνωσιν ὑπογράφουσα, καὶ ταῖς τῶν ἀκροωμένων ψυχαῖς ἐγκαθιστῶσα, καὶ πρὸς τὸ εὔσχημον ἄγουσα τόνγε αὐτῆς ἀκούοντα: ὅπερ οὖν καὶ ὁ Χριστοῦ μαθητὴς Παῦλος ὕστερον εἶπε, «Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν, φησί, γινέσθω.» Πῶς οὖν τοῦτο γενήσεται; Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. Ὁρᾷς τὸν μαθητὴν τὰ αὐτὰ τῷ διδασκάλῳ φθεγγόμενον; Τὸ δὲ, «Πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται,» πῶς νοήσομεν; Καὶ γὰρ πολλοὶ ἐν τῷ βίῳ τούτῳ ὑψοῦντες ἑαυτοὺς, τιμῆς ἀπολαύουσι· τοῦτο μὲν οὖν ἔστι τὸ ταπεινοῦσθαι, ὅταν τις ἀπολαύῃ πλείονος τιμῆς ἐν τῷ κόσμῳ· τότε γὰρ ἄθλιος καὶ ταπεινὸς παρὰ Θεῷ. Ἔπειτα δὲ οὐκ ἄχρι τέλους, οὐδὲ παρὰ πᾶσιν ὁ τοιοῦτος τιμᾶται, ἀλλ' ἐν ὅσῳ τούτοις τιμᾶται, ἐκεῖνοι διασύρουσιν αὐτὸν, ἢ καὶ αὐτοὶ οἱ τιμῶντες. Ἀληθὴς οὖν ἡ τῆς ἀληθείας ἀπόφασις. Καὶ πᾶς ὁ ἀνάξιος ὕψους, σφετεριζόμενος τοῦτο, ταπεινωθήσεται, καὶ παρὰ τῷ Θεῷ μὲν, ὅτε ἡ τελευταία κρίσις, κἀν τῷ βίῳ δὲ τούτῳ πάντων μάλιστα· φύσει δὲ πᾶς ἄνθρωπος ἀνάξιος ὕψους. Μηδεὶς οὖν ἐπαιρέσθω, ἵνα μὴ ἐσχάτως ταπεινωθῇ.

«Ἔλεγε δὲ τῷ κεκληκότι αὐτὸν, Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα, ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλεσον πτωχοὺς, ἀναπήρους, χωλοὺς, τυφλοὺς, καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων. Ἀκούσας δέ τις τῶν συνανακειμένων εἶπεν αὐτῷ· Μακάριος ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.» Ἐκ δυοῖν μεροῖν συγκειμένου τοῦ δείπνου, τῶν τε καλούντων καὶ τῶν καλουμένων, τὸ μὲν τῶν καλουμένων μέρος ἔφθη διὰ παραινέσεως εἰς τὴν σωτήριον ταπεινοφροσύνην χειραγωγήσας, καὶ ὄψον αὐτοῖς ἀδαπάνητον παραθεὶς, λοιπὸν δὲ τὸν καλέσαντα ἀντιφιλοτιμεῖται, καὶ διὰ παραινέσεως ἀνθεστιᾷ, ἀπάγων αὐτὸν τοῦ διά τινα χάριν ἀνθρω-

πίνην τὰς ἐπιστάσεις ποιεῖσθαι, καὶ τὴν παραυτίκα ἀντιμισθίαν ἐκδέχεσθαι. Οἱ γὰρ μικρόψυχοι φίλους καλοῦντες ἢ συγγενεῖς διὰ τὴν ἐν τῷ παρευθὺ χάριν τοῦτο ποιοῦσι, κἂν μὴ τύχωσι, δυσχεραίνουσιν. Οἱ δὲ μεγαλόψυχοι τὸ μέλλον ἀναμένοντες παρὰ τοῦ ὄντος πλουσίου, τὰς ἀμοιβὰς ἐκδέχονται. Ταῦτα δὲ λέγων ὁ Κύριος, οὐ τῆς πρὸς τοὺς φίλους τιμῆς ἀπείργει ἡμᾶς, ἀλλὰ μὴ πιπράσκειν τὴν φιλοφροσύνην παιδεύει. Ἀκούσας δέ τις ταῦτα, καὶ νομίσας, ὅτι ὁ Θεὸς ἀντιφιλοτιμήσεται, καὶ ἀνθεστιάσει σωματικαῖς τραπέζαις τοὺς δικαίους, εἶπεν· ὅτι Μακάριος ὅστις φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Οὐ γὰρ ἦν πνευματικὸς, ἵνα νοήσῃ τὰ ὑπὲρ αἴσθησιν, ἀλλ' ἔτι ψυχικὸς, τουτέστιν ἀνθρωπίνοις λογισμοῖς διοικούμενος· τοιοῦτος γὰρ ὁ ψυχικὸς ὁ B μηδὲν ὑπὲρ φύσιν πιστεύων, ἀλλὰ πάντα κατὰ φύσιν νοῶν. Τρεῖς γάρ εἰσι καταστάσεις, σαρκικὴ, ψυχικὴ, καὶ πνευματική. Καὶ σαρκικὴ μέν ἐστιν, ὅταν τις ἥδεσθαι βούληται, καὶ χαίρειν μετὰ τοῦ καὶ ἄλλους κακοποιεῖν, οἷόν ἐστι πάντων τὸ τῶν πλεονεκτῶν φῦλον· ψυχικὴ δὲ κατάστασις, ὅταν τις μήτε βλάπτειν μήτε βλάπτεσθαι βούλοιτο· τοῦτο γὰρ τὸ κατὰ φύσιν ζῆν· ἐπεὶ καὶ ἡ φύσις αὐτὴ τοῦτο ἡμῖν εἰσηγεῖται· πνευματικὴ δὲ, ὅταν τις καὶ βλάπτεσθαι βούλοιτο διὰ τὸ καλὸν καὶ κακουχεῖσθαι. Ἔστιν οὖν ἡ μὲν πρώτη παρὰ φύσιν, ἡ δὲ μέση κατὰ φύσιν, ἡ δὲ τρίτη ὑπὲρ φύσιν. Πᾶς οὖν ἀνθρώπινα φρονῶν, καὶ μηδὲν τῶν ὑπὲρ φύσιν δυνάμενος νοῆσαι, ψυχικὸς λέγεται, ὡς ψυχῇ καὶ πνεύματι διοικούμενος· ὅταν δέ τις πνεύματι ἄγηται, καὶ οὐκέτι ζῇ αὐτὸς, ζῇ δὲ C ἐν αὐτῷ Χριστὸς, οὗτος ἐστιν ὁ πνευματικὸς, ὁ τὴν φύσιν ὑπεραναβάς· ψυχικὸς οὖν ἦν ὁ νομίσας αἰσθητὰς ἔσεσθαι τὰς ἀμοιβὰς τοῖς ἁγίοις, οἷα μηδὲν τῶν ὑπὲρ φύσιν δυνάμενος νοῆσαι.

« Ὁ δὲ εἶπεν αὐτῷ, Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλοὺς, καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου, εἰπεῖν τοῖς κεκλημένοις· Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὁ πρῶτος εἶπεν αὐτῷ· Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν, καὶ ἰδεῖν αὐτὸν, ἐρωτῶ σε, ἔχε με παρῃτημένον. Καὶ ἕτερος εἶπε· Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτὰ, ἐρωτῶ σε, ἔχε με παρῃτημένον. Καὶ ἕτερος εἶπε· Γυναῖκα ἔγημα, καὶ διὰ D τοῦτο οὐ δύναμαι ἐλθεῖν. » Τοῦ συνανακειμένου εἰπόντος, ὅτι μακάριος ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὁ Κύριος διδάσκει αὐτὸν πλατύτερον, πῶς δεῖ νοεῖν ἡμᾶς τὰς τοῦ Θεοῦ ἑστιάσεις. Καὶ δή φησι παραβολὴν τοιάνδε, ἄνθρωπον μὲν ὀνομάζων τὸν φιλάνθρωπον αὐτοῦ Πατέρα. Ὁ γὰρ Θεὸς ὅταν μὲν τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν αἰνίττηται, παρὰ τῇ Γραφῇ πάνθηρ, καὶ πάρδαλις, καὶ ἄρκτος ὀνομάζεται· ὅταν δὲ φιλανθρωπίαν τινὰ αἰνίττεσθαι μέλλῃ, ἄνθρωπος εἰσάγεται, ὥσπερ οὖν καὶ νῦν· ἐπειδὴ περὶ τῆς φιλανθρωποτάτης οἰκονομίας διαλαμβάνει ἡ παραβολὴ, ἣν ἐνήργησεν ἐν ἡμῖν, κοινωνοὺς ἡμᾶς ποιήσας τῆς σαρκὸς τοῦ Υἱοῦ αὐτοῦ,

A favoris vel remunerationis mox recepiendæ gratia. Qui pusillo sunt animo, amicos vel cognatos ob præsentis vitæ beneficium vocant : quod si minus consequantur, gravatim ferunt. Qui autem magni sunt animi, futurum præmium exspectantes, a vere divite renumerationes accipiunt. Hæc autem dicens Dominus, non nos ab amicis arcet, sed benignitatem non esse vendendam docet. Itaque postquam hæc quidam audisset, et sentiret quod Deus corporali- qridam audisset, et sentiret qued Deus corporalibus mensis renumeraret et redinvitaret justos, dixit: Beatus qui comedit panem in regno Dei Non enim spiritualis erat, ut intelligeret ea quæ supra sensum: sed animalis adhuc erat, hoc est, humanas cogita- B tiones sectabatur. Animalis enim est, qui nihil super naturam credit, sed omnia secundum naturam intelligit Tres enim sunt ordines, carnalium, animalium 396 et spiritualium. Carnalis quidem est, qui vult lætari et gaudere cum aliis malefecerit, ut est omne genus avarorum. Animalis, qui neque furari neque nocere vult, hoc est enim juxta naturam vivere, quandoquidem hoc nobis natura indidit. Spiritualis vero, qui et affligi et damnum ferre vult propter virtutem. Est igitur primus præter vel citra naturam. secundus juxta naturam, tertius supra nanaturam. Omnis igitur qui humana sapit, et non valet intelligere ea quæ supra naturam, animalis dicitur, uti qui anima et spiritu gubernetur. Quando autem quis spiritu agitur, et non jam vivit ipse, vi- C vit autem in eo Christus[65], hic est spiritualis, naturam supergressus. Animalis igitur erat et hic, qui putabat fore sensibiles sanctorum retributiones, quoniam nihil super naturam poterat intelligere.

VERS. 16-20. « At ipse dixit ei : Homo quidam paraverat cœnam magnam, et vocavit multos, misit servum illum suum hora cœnæ ut diceret invitatis : Venite, quia jam parata sunt omnia. Et cœperunt simul omnes excusare. Primus dixit ei : Villam emi, et necesse est mihi exire, et videre illam : rogo te, habe me excusatum. Et alter dixit: Juga bonum emi quinque, et eo ad probandum illa: rogo te, habe me excusatum. Et dixit alius: Uxorem D duxi, et ideo non possum venire.» Cum dixisset is qui simul accubuerat, beatum eum qui comedit prandium in regno Dei, Dominus docet eum latius quomodo oporteat non intelligere convivium Dei, et parabolam hanc dicit : hominem quidem nominans misericordem suum patrem. Quando enim vindicativam Dei virtutem Scriptura significat, pantheram, et ursum, et pardum eum vocat; quando autem misericordia vult insinuare, hominem inducit : sicut et nunc misericordissimam ejus dispensationem intelligens, quam operatur in nobis, qua nos facit participes carnis Filii sui, hominem eum nominat. Cœnam enim magnam vocavit dispensationem hanc. Cœnam quidem, eo quod in novissimis temporibus,

65 Galat. II, 20.

et quasi ad vesperam sæculi venit Dominus Magna autem cœna hæc, quoniam ex confesso magnum est salutis nostræ mysterium. Et misit servum illum suum hora cœnæ. Quis est servus ille? Is qui forma servi assumpta, Filius homo Dei factus et ut homo missus esse dicitur Attende quomodo non dixerit, servum, sed cum articulo, servum illum suum. Illum proprie dixit, qui juxta formam humanam ei placuit, et servivit. Non enim ut Filius et Deus tantum beneplacitus est Patri, sed et sicut homo ipse solus sine peccato, omnibus paternis consiliis et mandatis ministravit et paruit : et 397 implens omnem justitiam, servire dicitur Deo et Patri: ideo et ipse solus proprie servus Dei dicitur. Hora autem cœnæ missus est, hoc est definito et opportuno tempore Non enim aliud tempus commodius fuit saluti nostræ, quam quo regnabat Cæsar Augustus, cum in summo esset malitia, quam destrui oportebat. Sicut enim medici sinunt in sævi morbi ulceribus malum omnem humorem erumpere, et deinde remedia apponunt: ita et peccatum oportebat omnes suas species indicare, et deinde magnum medicum imponere pharmaca. Et propterea exspectavit Christus donec diabolus malitiæ mensuram impleret, et tunc demum incarnatus est, et omne genus malitiæ per sanctam vitam suam sanavit. Missus est igitur hora, hoc est opportuno et accommodo tempore, sicut et David dicit : « Accingere gladio tuo super femur tuum [66] potenter » tempestivitate tua Omnino enim gladius, verbum Dei : per femur autem nativitas in carne significatur, quæ contingit in tempestivitate, hoc est in tempore opportuno. Missus vero est ut diceret invitatis. Qui sunt hi qui vocati sunt? Fortassis omnes homines. Omnes enim vocavit Deus ad sui agnitionem, partim per ordinatam visibilium constitutionem, partim per naturalem legem: fortassis autem magis proprie Israelitas, qui per legem et prophetas vocati fuerunt. Ad illos igitur missus est primum Dominus, uti ad oves domus Israel. Ipse enim dicebat : Venite, quia parata jam sunt omnia Prope enim esse regnum Dei [67], omnibus evangelizabat Dominus, et intra vos. At illi cœperunt simul, id est ex composito, excusare. Omnes enim principes Judæorum detrectabant Jesum habere regem, et cœnam non meruerunt : alius quidem propter divitiarum cupiditatem, alius autem propter voluptatem. Nam ille quidem villam emerat, et alius juga boum, qui signant divitiarum cupidos. At alius qui uxorem duxerat, voluptuarius erat. Insuper et is villam comparat, qui propter mundanam sapientiam non accipit mysterium. Villa enim est mundus hic, et natura simpliciter. Qui autem naturam observat, non recipit hoc quod super naturam. Igitur pharisæus qui villam forte comparaverat, hoc est, qui respexerat ad naturæ leges, non recipit virginem parere Deum, quod super naturam est : sed et omnes qui in externa sapientia gloriantur,

A ἄνθρωπον αὐτὸν ὠνόμασε· δεῖπνον δὲ μέγα ἐκάλεσε τὴν οἰκονομίαν ταύτην, δεῖπνον μὲν, ἐπειδὴ ἐν ἐσχάτοις καιροῖς, καὶ οἷον ἐπὶ δυσμαῖς τοῦ αἰῶνος ἦλθεν ὁ Κύριος. Μέγας δὲ ὁ δεῖπνος οὗτος, ἐπειδὴ καὶ ὁμολογουμένως μέγα τὸ τῆς σωτηρίας ἡμῶν μυστήριον· καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου. Τίς ἐστιν οὗτος ὁ δοῦλος; Ὁ τὴν μορφὴν τοῦ δούλου ἀναλαβὼν ὁ Υἱὸς τοῦ Θεοῦ, ἄνθρωπος γενόμενος, καὶ ὡς ἄνθρωπος ἀποσταλῆναι λεγόμενος. Πρόσχες δὲ πῶς οὐκ εἶπε, δοῦλον, ἀλλὰ μετὰ τοῦ ἄρθρου, τὸν δοῦλον, τὸν κυρίως, φησὶν, αὐτῷ κατὰ τὸ ἀνθρώπινον εὐαρεστήσαντα καὶ εὖ δουλεύσαντα. Οὐ μόνον γὰρ καθὸ Υἱὸς καὶ Θεὸς εὐάρεστος τῷ Πατρὶ, ἀλλὰ καὶ καθὸ ἄνθρωπος, αὐτὸς μόνος ἀναμαρτήτως B πάσαις ταῖς τοῦ Πατρὸς βουλαῖς καὶ ἐντολαῖς ὑπηρετήσας, καὶ πληρώσας πᾶσαν δικαιοσύνην, δουλεῦσαι λέγεται τῷ Θεῷ καὶ Πατρὶ, διὸ καὶ κυρίως δοῦλος τοῦ Θεοῦ αὐτὸς ἂν λέγοιτο μόνος. Τῇ ὥρᾳ δὲ τοῦ δείπνου ἀπεστάλη, τουτέστιν, ἐν τῷ ὡρισμένῳ καὶ ἐπιτηδείῳ καιρῷ. Οὐδὲ γὰρ ἄλλος καιρὸς ἦν τῆς σωτηρίας ἡμῶν ἐπιτηδειότερος, ἢ ἐκεῖνος ὁ κατὰ τὴν τοῦ Αὐγούστου Καίσαρος βασιλείαν, ὅτε κορυφωθεῖσαν τὴν κακίαν ἔδει καθαιρεθῆναι. Ὥσπερ γὰρ νόσημα ὕπουλον, καὶ κακόηθες ἐῶσιν οἱ ἰατροὶ πάντα τὸν πονηρὸν χυμὸν ἐκρῆξαι, εἶθ' οὕτως τὰς φαρμακείας ἐπάγουσιν, οὕτως καὶ τὴν ἁμαρτίαν ἔδει πάντα τὰ οἰκεῖα ἑαυτῆς εἴδη ἐπιδείξασθαι, εἶτα τὸν μέγαν ἰατρὸν ἐπιθεῖναι τὸ φάρμακον. Διὰ τοῦτο δὴ περιέμεινεν ὁ Κύριος τὸ μέτρον τῆς κακίας πληρῶσαι τὸν C διάβολον, καὶ οὕτως σαρκωθεὶς πᾶν εἶδος κακίας διὰ πάσης τῆς ἁγίας αὐτοῦ πολιτείας ἐξιάσατο. Ἀπεστάλη οὖν ἐν ὥρᾳ, τουτέστι, τῷ ὡραίῳ καὶ ἐπιτηδείῳ καιρῷ, κατὰ καὶ Δαυῒδ λέγει· « Περίζωσαι τὴν ῥομφαίαν σου, ἐπὶ τὸν μηρόν σου, δυνατὲ » τῇ ὡραιότητί σου· πάντως γὰρ ῥομφαία μὲν ὁ λόγος τοῦ Θεοῦ, διὰ τοῦ μηροῦ δὲ ἡ ἐν σαρκὶ γένεσις σημαίνεται, ἥτις τῇ ὡραιότητι ἐγένετο, τουτέστιν, ἐν τῷ ἐπιτηδείῳ καιρῷ. Ἀπεστάλη δὲ εἰπεῖν τοῖς κεκλημένοις. Τίνες δὲ εἰσιν οὗτοι οἱ κεκλημένοι; Τάχα μὲν καὶ πάντες ἄνθρωποι· πάντας γὰρ ἐκάλεσεν ὁ Θεὸς εἰς τὴν ἐπίγνωσιν αὐτοῦ, τοῦτο μὲν διὰ τῆς τῶν ὁρωμένων εὐταξίας, τοῦτο δὲ διὰ τοῦ φυσικοῦ νόμου· τάχα δὲ οἰκειότερον οἱ ἐξ Ἰσραὴλ, οἳ διὰ τοῦ νόμου καὶ τῶν D προφητῶν ἐκλήθησαν· εἰς τούτους οὖν ἀπεστάλη προηγουμένως ὁ Κύριος, εἰς τὰ πρόβατα οἴκου Ἰσραήλ. Αὐτὸς μὲν οὖν ἔλεγε· Ἔρχεσθε ὅτι ἤδη ἕτοιμά ἐστι πάντα· ἐγγὺς γὰρ εἶναι τὴν βασιλείαν τῶν οὐρανῶν, ἅπασιν εὐηγγελίζετο ὁ Κύριος, καὶ ἐντὸς ὑμῶν. Οἱ δὲ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι, τουτέστιν, ὡς ἐξ ἑνὸς συνθήματος· πάντες γὰρ οἱ ἄρχοντες τῶν Ἰουδαίων παραιτησάμενοι ἔχειν τὸν Ἰησοῦν βασιλέα, οὐδὲ τοῦ δείπνου ἠξιώθησαν· ὁ μὲν διὰ φιλοπλουτίαν, ὁ δὲ διὰ φιληδονίαν. Ὁ μὲν γὰρ τὸν ἀγρὸν ἀγοράσας, καὶ ὁ τὰ ζεύγη τῶν βοῶν, φιλόπλουτοι ἂν νοηθεῖεν· ὁ δὲ τὴν γυναῖκα γήμας, φιλήδονος· εἰ βούλει δέ μοι, ἀγρὸν ἀγοράζει ὁ διὰ τὴν τοῦ κόσμου σοφίαν μὴ παραδεχόμενος τὸ μυστή-

66 Psal. XLI, 4. 67 Matth. III, 2.

ριον. Ἀγρὸς μὲν γὰρ ὁ κόσμος, καὶ ἡ φύσις ἁπλῶς, ὁ δὲ τὴν φύσιν βλέπων, τὸ ὑπὲρ φύσιν οὐ παραδέχεται. Ἰδὼν οὖν ὁ Φαρισαῖος τυχὸν τὸν ἀγρὸν, τουτέστι, πρὸς τοὺς τῆς φύσεως νόμους ἀποβλέψας, οὐ παρεδέξατο τὸ τεκεῖν παρθένον Θεὸν, ὡς ὑπὲρ φύσιν ὄν· ἀλλὰ καὶ οἱ τῇ ἔξω σοφίᾳ ἐγκαυχώμενοι πάντες, διὰ τὸν ἀγρὸν τοῦτον, τουτέστι τὴν φύσιν, ἠγνόησαν τὸν καινοτομήσαντα τὴν φύσιν Ἰησοῦν. Ὁ δὲ ζεύγη βοῶν ἀγοράσας πέντε, καὶ δοκιμάζων αὐτὰ, νοηθείη ἂν καὶ ὁ φιλόϋλος ἄνθρωπος, ὃς τὰς πέντε τῆς ψυχῆς αἰσθήσεις ταῖς σωματικαῖς συνέζευξε, καὶ τὴν ψυχὴν σάρκα ἐποίησε· διὰ τοῦτο οἷα δὴ περὶ γῆν ἐνησχολημένος, οὐ βούλεται τοῦ λογικοῦ δείπνου μεταλαβεῖν, φησὶ γὰρ καὶ σοφός· « Τί σοφισθήσεται ὁ κρατῶν ἀρότρου; » Ὁ δὲ διὰ τὴν γυναῖκα ἐκπίπτων, ὁ φιλήδονος εἴη ἂν, ὃς τῇ σαρκὶ τῇ συζύγῳ τῆς ψυχῆς προστετηκὼς, καὶ ἐν αὐτῇ ὢν, ὡς κολληθεὶς αὐτῇ, Θεῷ ἀρέσαι οὐ δύναται. Νοήσαις δ' ἂν ταῦτα πάντα καὶ κατὰ τὸ ῥητόν· καὶ γὰρ ἐκπίπτομεν τοῦ Θεοῦ καὶ δι' ἀγροὺς, καὶ διὰ ζεύγη βοῶν, καὶ διὰ γάμους, προσκείμενοι μὲν τούτοις, καὶ τὸν ἅπαντα βίον εἰς ταῦτα δαπανῶντες, καί που καὶ ἄχρις αἱμάτων διὰ ταῦτα ἐκτραχηλιζόμενοι· θεῖον δὲ μηδὲν ἢ νόημα ἢ ῥῆμα διανοούμενοι, ἢ μετερχόμενοι.

A propter villam hanc, hoc est, naturam, ignoraverunt eum qui condiderat et innovarat naturæ ordinem. Jesum. Porro qui juga boum quinque emit et probat ea, signat carnalem hominem, qui quinque sensus enimæ corporalibus 398 conjunxit et animam carnem fecit: et propter hoc, utpote circa terrena occupatus, non vult spiritualis cœnæ particeps esse. Dicit enim Sapiens: « In quo erit sapiens, qui tenet aratrum[68]? » At qui propter uxorem excidit, voluptuarius utique fuerit, qui carni ut conjugi animæ alligatus est, et cum est in illa, quasi ei adhærens, Deo placere non potest. Intelligas autem hæc omnia et juxta litteram. Etenim excidimus a Deo et propter villas, et propter juga B boum, et propter nuptias. Adhærentes enim illis, et totam vitam in ea impendentes, et usque ad sanguinem vexati et excoriati, nullum divinum vel sensum vel verbum cogitamus vel attendimus.

« Καὶ παραγενόμενος ὁ δοῦλος, ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης, εἶπε τῷ δούλῳ αὐτοῦ· Ἔξελθε ταχέως εἰς τὰς πλατείας, καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς, καὶ ἀναπήρους, καὶ χωλοὺς, καὶ τυφλοὺς εἰσάγαγε ὧδε. Καὶ εἶπεν ὁ δοῦλος· Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί· καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον· Ἔξελθε εἰς τὰς ὁδοὺς, καὶ φραγμοὺς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου· λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου. » Ἀπερρίφησαν μὲν οἱ ἄρχοντες τῶν Ἰουδαίων, καὶ οὐδεὶς ἐκ τούτων ἐπίστευσε τῷ Χριστῷ, ὡς καὶ αὐτοὶ ἐνεκαυχῶντο τῇ κακίᾳ. Μὴ γὰρ, φησὶ, τῶν ἀρχόντων τις ἐπίστευσεν εἰς αὐτόν; Οὗτοι μὲν οὖν οἱ νομομαθεῖς, καὶ Γραμματεῖς, ὥς φησιν ὁ προφήτης, μωρανθέντες ἐξέπεσον τῆς χάριτος· οἱ δὲ ἐκ τῶν Ἰουδαίων ἰδιῶται χωλοῖς, καὶ τυφλοῖς, καὶ ἀναπήροις ἀπεικαζόμενοι, τὰ μωρὰ τοῦ κόσμου, καὶ οἱ ἐξουδενωμένοι, οὗτοι ἐκλήθησαν. Ὁ γὰρ ὄχλος ἐθαύμαζεν ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος τοῦ Ἰησοῦ, καὶ ἔχαιρον τῇ διδασκαλίᾳ. Μεθ' ὃ δὲ εἰσῆλθον οὗτοι οἱ ἐξ Ἰσραὴλ, ἡ ἐκλογὴ, φημὶ, οὓς ὁ Θεὸς προώρισεν εἰς δόξαν αὐτοῦ, οἳ ἦσαν Πέτρος, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ αἱ λοιπαὶ μυριάδες τῶν πιστευσάντων, ἡ ἀγαθότης τοῦ Θεοῦ καὶ εἰς τὰ ἔθνη ὑπερεκχεῖται· οἱ γὰρ ἐν ταῖς ὁδοῖς, καὶ τοῖς φραγμοῖς, τὰ ἔθνη νοηθεῖεν. Οἱ μὲν Ἰσραηλῖται ἐντὸς ἦσαν τῆς πόλεως ἅτε καὶ νομοθεσίαν δεξάμενοι, καὶ ἀστειοτέραν διαγωγὴν λαχόντες· τὰ δὲ ἔθνη ξένα τῶν διαθηκῶν ὄντα, καὶ ἀπηλλοτριωμένοι τῆς νομοθεσίας τοῦ Χριστοῦ, καὶ μὴ συμπολῖται ὄντες τῶν ἁγίων οὐκ ἐν μιᾷ ὁδῷ, ἀλλὰ πολλαῖς τῆς ἀνομίας καὶ ἀγροικίας διέτριβον, καὶ ἐν τοῖς φραγμοῖς, ταῖς ἁμαρτίαις, φημί· ἡ γὰρ ἁμαρτία μέγας φραγμὸς, καὶ μεσότοιχον διϊστῶν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ.

VERS. 21-24. « Et veniens servus ille renuntiavit hæc domino suo. Tunc iratus paterfamilias dixit servo suo: Exi cito in plateas et vicos civitatis, et pauperes ac debiles, claudosque et cæcos introduc huc. Et ait servus: Domine, factum est ut imperasti, et adhuc locus est. Et ait dominus servo: Exi in vias et sepes, et compelle intrare, ut impleatur domus mea. Dico enim vobis, quod nemo virorum C illorum qui vocati sunt gustabit cœnam meam. » Abjecti sunt principes Judæorum, et nullus ex illis credidit Christo qui gloriabantur in malitia. Nam quis, inquit, principum credidit in eum? Proinde docti in lege ac Scribæ, ut propheta dicit, infatuati gratiam amiserunt: idiotæ autem ex Judæis, qui cæcis et claudis et debilibus comparantur, et stulti sunt hujus mundi, et mire contempti, hi vocati sunt. Turbæ enim admirabantur super gratia quæ de ore Jesu procedebat, et gaudebant in doctrina. Postquam autem intraverunt Israelitæ, electi, inquam, quos in gloriam suam prædestinarat Deus, quales fuerunt Petrus et filii Zebedæi, et multa alia millia eorum qui crediderunt, benignitas Dei etiam in gentes diffusa est. Per hos enim qui in via et apud sepes, D gentes intelligendæ sunt. Israelitæ enim fuerunt intra civitatem, ut qui legem susceperant, civiliorem vitam sortiti. Gentiles vero a testamentis et a lege Dei alieni erant, et non facti cives sanctorum, nec in una via, sed in multis iniquitatis viis et rusticitatis versabantur· et apud sepes, peccata dico: peccatum enim magna sepes est, et interstitium dividens nos a Deo. Per vias itaque, pecuniam gentilium vitam et in multas dissectam opiniones intelligit: per sepes vero, vitam illorum in peccatis. Non simpliciter autem jubet illos vocare: sed, Compelle, inquit: quamvis voluntarium sit omnibus credere. Cæterum ut sciamus magnæ virtutis

[68] Eccli. XXXIII, 26.

Dei esse credidisse gentes in tanta versantes ignorantia, ideo dixit : Compelle. Nisi enim magna 398 fuisset ejus qui prædicabatur virtus, et magna verbi veritas, quomodo persuasi essent homines in idolorum cultu insanientes et fœda operantes, ut repente agnoscerent verum Deum, et spiritualem diligerent vitam ? Igitur admirabilem translationem significare volens, necessitatem nominavit, quasi diceret quis : Gentiles etiam idola et delicias relinquere nolentes, a prædicatione tamen veritatis ea relinquere coacti sunt. Vel aliter : Virtus signorum magnam afferebat necessitatem ut transferrentur ad fidem Christi. Et quotidie cœna illa præparatur, et vocamur omnes ad regnum quod Deus præparavit ante mundi originem hominibus: sed alii quidem propter sapientiæ curiositatem, alii vero propter rerum terrenarum cupiditatem, alii autem propter carnalitatem non meremur illud. At Dei misericordia aliis peccatoribus hoc largitur, qui cæci mentalibus oculis sunt, et non intelligunt quæ sit voluntas Dei, vel intelligunt quidem, sed claudi sunt, et ad operandum tardi ac immobiles, et omnino debiles ac pauperes, eo quod superna gloria exciderint, neque immaculata vita conspicui fuerint. Illis igitur peccatoribus in latis ac spatiosis peccatorum viis errantibus, mittit Pater Filium suum ad cœnam invitantem, qui secundum carnem servus fuit, qui non venit ut vocet justos, sed peccatores, invitatque eos liberaliter præ doctis illis et divitibus, et carni indulgentibus. Multis autem morbos et pericula immittendo, facit eos etiam involuntarios renuntiare huic vitæ, quibus novit judiciis, et inducit illos ad cœnam suam, necessitatem eis faciens periclitationem ; et hujus exempla multa sunt. Docet autem nos parabola hæc simplicius, pauperibus et debilibus potius dandum quam divitibus, id quod et paulo antea admonuerat, propterea istud videtur parabola dicere, per hoc credibilius faciens pauperes convivio excipiendos. Discimus et aliud, debere nos ita esse alacres et liberales ad fratrum susceptionem, ut etiam nolentes cogamus ut participes fiant nostrorum bonorum. Hoc et magistri admoneantur, quod operæ pretium sit discipulos etiam nolentes docere ea quæ ipsis conveniant.

A Τὴν κτηνώδη οὖν τῶν ἐθνῶν διαγωγὴν, καὶ εἰς τὰς πολλὰς δόξας μεμερισμένην αἰνίττεται διὰ τῶν ὁδῶν, τὴν δὲ ἐν ἁμαρτίαις αὐτῶν ζωὴν διὰ τῶν φραγμῶν· οὐχ ἁπλῶς δὲ κελεύει τούτους καλέσαι, ἀλλὰ ἀναγκάσαι, καίτοι προαιρετικὸν ἅπασι τὸ πιστεύειν· ἀλλ' ἵνα μάθωμεν, ὅτι μεγάλης τοῦ Θεοῦ δυνάμεως σημεῖόν ἐστι τὸ πιστεῦσαι τὰ ἔθνη τοσαύτην ἀγνωσίαν ἔχοντα, διὰ τοῦτο εἶπεν, Ἀνάγκασον. Εἰ μὴ γὰρ ἦν πολλὴ τοῦ κηρυττομένου ἡ δύναμις, καὶ μεγάλη ἡ τοῦ λόγου ἀλήθεια, πῶς ἂν ἐπείσθησαν ἄνθρωποι εἰδωλομανοῦντες, καὶ αἰσχρουργοῦντες ἀθρόον ἐπιγνῶναι τὸν ὄντως Θεὸν, καὶ πνευματικὸν βίον τελέσαι ; Τὸ τοίνυν παράδοξον τῆς μεταθέσεως θέλων δηλῶσαι, ἀνάγκην τὸ πρᾶγμα ὠνόμασεν· ὡς ἂν εἴποι τις, ὅτι καὶ μὴ βουλόμενοι οἱ Ἕλληνες ἀφεῖναι τὰ εἴδωλα, B καὶ τὴν τρυφὴν, ὅμως ὑπὸ τῆς ἀληθείας τοῦ κηρύγματος ἠναγκάσθησαν ταῦτα φυγεῖν. Ἄλλως τε καὶ, ἡ δύναμις τῶν σημείων μεγάλην ἐπῆγεν ἀνάγκην τοῦ μετατεθῆναι εἰς τὴν τοῦ Χριστοῦ πίστιν. Καὶ καθεκάστην δὲ ὁ δεῖπνος οὗτος ἑτοιμάζεται, καὶ καλούμεθα πάντες εἰς τὴν βασιλείαν, ἣν καὶ πρὸ καταβολῆς κόσμου ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀνθρώποις· ἀλλ' οἱ μὲν διὰ σοφίας περιεργίαν, οἱ δὲ διὰ φιλοϋλίαν, οἱ δὲ διὰ φιλοσαρκίαν οὐκ ἀξιούμεθα ταύτης· ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία ἑτέροις ἁμαρτωλοῖς χαρίζεται ταύτην, τυφλοῖς τὰς νοητὰς ὄψεις, μὴ συνιεῖσι τί τὸ θέλημα τοῦ Θεοῦ, ἢ συνιεῖσι μὲν, χωλοῖς δὲ οὖσι, καὶ ἀκινητοῦσι πρὸς τὸ πράττειν τοῦτο· καὶ συνόλως πτωχοῖς ἀποπεσοῦσι τῆς ἄνω δόξης· καὶ ἀναπήροις, C ἄμωμον τὸν ἑαυτῶν βίον μὴ ἐπιδεικνυμένοις· τούτοις οὖν τοῖς ἁμαρτωλοῖς εἰς τὰς πλατείας, καὶ εὐρυχώρους ὁδοὺς τῆς ἁμαρτίας πλανωμένοις ἐπιπέμπει ὁ Πατὴρ τὸν δειπνοκλήτορα αὐτοῦ Υἱόν, τὸν καὶ δοῦλον γενόμενον κατὰ σάρκα, τὸν μὴ δικαίους ἐλθόντα καλέσαι, ἀλλὰ ἁμαρτωλούς· καὶ ἑστιᾷ τούτους φιλοτίμως ἀντ' ἐκείνων τῶν γνωστικῶν καὶ πλουσίων, καὶ τῇ σαρκὶ χαριζομένων. Πολλοῖς δὲ καὶ νόσους ἐπιπέμπων καὶ κινδύνους, ποιεῖ αὐτοὺς καὶ ἄκοντας ἀποτάξασθαι τῷ βίῳ, οἷς κρίμασιν οἶδε, καὶ εἰσάγει αὐτοὺς εἰς τὸν δεῖπνον αὐτοῦ, ἀνάγκην αὐτοῖς ἐπάγων τὴν τῶν κινδύνων ἐπιφοράν· καὶ τούτου τὰ παραδείγματα πολλά. Διδάσκει δὲ ἡμᾶς καὶ κατὰ τὸ ἁπλούστερον ἡ παραβολὴ τοῖς πένησι καὶ ἀναπήροις χαρίζεσθαι μᾶλλον ἢ τοῖς πλουσίοις, ὃ καὶ πρὸ ὀλί- D γου παραινῶν, διὰ τοῦτο αὐτὸ δοκεῖ τὴν παραβολὴν εἰπεῖν, πιστούμενος διὰ ταύτης, ὅτι τοὺς πτωχοὺς δεῖ ἑστιᾷν. Καὶ ἄλλο δὲ μανθάνομεν, τὸ ὀφείλειν οὕτως εἶναι πρόθυμοι, καὶ φιλότιμοι περὶ τὴν ὑποδοχὴν τῶν ἀδελφῶν, ὥστε καὶ μὴ θέλοντας ἀνργκάζειν πρὸς τὸ μεταλαμβάνειν τῶν ἡμετέρων ἀγαθῶν. Τοῦτο καὶ τοῖς διδάσκουσι μεγάλη νουθεσία, ὥστε καὶ ἄκοντας τοὺς μαθητὰς παιδεύειν τὸ δέον.

Vers. 25-27. « Ibant autem turbæ multæ cum eo, et conversus dixit ad illos : Si quis venit ad me, nec odit patrem suum ac matrem, et uxorem ac filios, et fratres et sorores, præterea autem et animam suam, non potest meus esse discipulus : et quisquis non bajulat crucem suam et venit post me, non potest meus esse discipulus. » Quoniam multi ibant cum Jesu, qui non cum omni alacritate et obedientia sequebantur, sed frigidiores erant ; docet eos qualem oporteat 400 esse discipulum

« Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοὶ, καὶ στραφεὶς εἶπε πρὸς αὐτούς· Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής· καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου εἶναι μαθητής. » Ἐπειδὴ πολλοὶ τῶν συμπορευομένων τῷ Ἰησοῦ, οὐ σὺν προθυμίᾳ πάσῃ, καὶ ἀποταγῇ ἠκολούθουν, ἀλλὰ ψυχρότερον διέκειντο, διδάσκων

αὐτοὺς οἷον δεῖ τὸν μαθητὴν αὐτοῦ εἶναι, ἀποφαίνεται περὶ τούτου, καὶ οἷον διατυποῖ αὐτὸν, καὶ ζωγραφεῖ εἰσηγούμενος δεῖν αὐτὸν μισεῖν οὐ μόνον τοὺς ἔξωθεν αὐτῷ ᾠκειωμένους, ἀλλὰ καὶ τὴν ἑαυτοῦ ψυχήν. Ὅρα δὲ μὴ συναρπασθῇς τῷ ῥητῷ ἁπλῶς οὕτως καὶ ἀνεπιστημόνως. Οὐ γὰρ ἀπανθρωπίαν διδάσκει ὁ φιλάνθρωπος, οὐδὲ διαψειρίζεσθαι ἑαυτοὺς νουθετεῖ, ἀλλὰ τόν γε γνήσιον αὐτοῦ μαθητὴν βούλεται τότε μισεῖν τοὺς κατὰ γένος οἰκείους, ὅτε πρὸς θεοσέβειαν αὐτῷ ἐμποδίζοιεν καὶ διὰ τὴν πρὸς αὐτοὺς σχέσιν κωλύοιτο αὐτὸς τὸ καλὸν μετιέναι· ἐπεὶ εἰ μὴ ἐμποδίζοιεν, τιμᾷν μᾶλλον ἄχρι τῆς τελευταίας ἀναπνοῆς διδάσκει. Καὶ πῶς διδάσκει; Διὰ τῆς μείζονος διδασκαλίας, φημὶ, δι' ὧν ἔπραξεν αὐτός· καὶ γὰρ τῷ Ἰωσὴφ, καίτοι οὐδὲ κυρίως αὐτοῦ πατρὶ ὄντι, ἀλλὰ νομιζομένῳ, ἦν ὑποτασσόμενος, καὶ τῆς Μητρὸς τοσαύτην ἐποιεῖτο ἀεὶ τὴν πρόνοιαν, ὥστε οὐδὲ σταυρούμενος ἠμέλησε ταύτης, ἀλλὰ παρεδίδου τῷ ἠγαπημένῳ μαθητῇ. Πῶς οὖν ὁ ταῦτα διδάξας διὰ τῶν ἔργων, ἕτερα διὰ τῶν λόγων εἰσηγοῖτο; Ἀλλ' ὅπερ ἔφην, μισεῖν ἡμᾶς τοὺς γονεῖς ἐντέλλεται, ὅτε Θεὸς τὸ κινδυνευόμενον. Τότε γὰρ οὐ γονεῦς λογίζονται οὐδὲ οἰκεῖοι, πρὸς τὴν τοιαύτην ὠφέλειαν ἡμῖν ἀντιπίπτοντες. Κἀντεῦθεν δὲ δῆλον, ὃ λέγομεν, ἐκ τοῦ καὶ τὴν ἑαυτοῦ ψυχὴν ἐντέλλεσθαι μισεῖν· πάντως γὰρ οὐ τοῦτο διακελεύεται τὸ ἑαυτοὺς ἀποκτιννύναι, ἀλλὰ τὸ ταῖς ἐπιθυμίαις τῆς ψυχῆς ταῖς χωριζούσαις ἡμᾶς τοῦ Θεοῦ ἀποτάσσεσθαι· καὶ εἰ πρόκειται μαρτύριον, μὴ φροντίζειν τῆς ψυχῆς. μόνον κέρδους προκειμένου αἰωνίου. Ὅτι δὲ τοῦτο διδάσκει, καὶ οὐ τὸ ἁπλῶς ἑαυτοὺς ἀποκτιννύναι, δείκνυσι πάλιν αὐτὸς ἐξ ὧν τοῦ διαβόλου πειράζοντος αὐτὸν, ὥστε βαλεῖν ἑαυτὸν κάτω ἀπὸ τοῦ ἱεροῦ, ἀπεκρούσατο τὴν πεῖραν, καὶ οὐδὲ ἐπεδίδου ἑαυτὸν τοῖς Ἰουδαίοις, ἀλλὰ καὶ ἀνεχώρει, καὶ διὰ μέσου αὐτῶν ἀνερχόμενος τοὺς φωνοῦντας [*f.* φονῶντας] ἀπεκρύπτετο. Ὅστις οὖν βλαπτόμενος εἰς θεοσέβειαν ὑπό τινος τῶν οἰκείων, στέργει τὴν πρὸς αὐτοὺς σχέσιν, καὶ προτιμοτέραν ταύτην ποιεῖται τῆς πρὸς τὸν Θεὸν εὐαρεστήσεως, ἔτι τε καὶ διὰ τοῦ φιλοζωεῖν πολλάκις καὶ μαρτυρίου προκειμένου εἰς ἄρνησιν ἐκτραχηλίζεται, οὗτος οὐ δύναται Χριστοῦ εἶναι μαθητής.

suum, ac veluti informat et depingit eum, asserens oportere eum odio habere non solum eos qui externa familiaritate juncti sunt, sed et suam ipsius animam. Vide autem ne littera prorsus imperite (*a*) abripiaris. Non enim inhumanitatem et crudelitatem docet misericors, neque sibiipsi docet manum inferre, sed proprium suum discipulum vult tunc odio habere cognatos suos, quando ad pietatem ei obstaculo sunt, et propter necessitudinem a bonis operibus prohibetur: quoniam nisi obsisterent, magis honorandos docet usque ad extremum spiritum. Et quomodo docet? Per majorem doctrinam, inquam, nempe per ea quæ operatus est; ipse enim et Joseph, quamvis non esset proprius parens, sed existimatus, obediens fuit: et Matris suæ tantam semper egit curam, ut neque cum crucifigeretur, eam negligeret, sed commendavit discipulo quem diligebat. Quomodo igitur is qui hæc per opera docuit, alia sermonibus asseveravit? At, sicut dixi, præcipit nos odio habere parentes, quando in cultu Dei periculum est. Tunc enim non parentes censentur, neque familiares, si in hoc nobis obsistant. Et hinc manifestum quod dicimus. Nam cum nostram animam odio habere præcipit, omnino non præcipit, ut nobisipsis mortem consciscamus, sed ut renuntiemus concupiscentiis animæ, quæ nos separant a Deo; etiamsi perferendum martyrium, non curanda anima, quoniam perpetuum lucrum proponitur. Hoc enim est quod nos docet, et non simpliciter ut quis seipsum occidat. Ostenditque illud iterum ipse per hoc quod diabolo ipsum tentante ut se de summitate templi dejiceret, tentationem repulit: et non se Judæis tradidit, sed secessit, atque per medium eorum transiens, ab illis se occultavit. Igitur cuicunque domestici et amici obstant in pietate, et is illorum familiaritatem Deo, cui placere debet, præfert, vel etiam propter amorem vitæ imminente martyrio deficit et negat, ille non potest esse discipulus Christi.

« Τίς γὰρ ἐξ ὑμῶν θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ εἰς ἀπαρτισμὸν, ἵνα μήποτε, θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύοντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται ἐμπαίζειν αὐτῷ λέγοντες, ὅτι, Οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι; » Διὰ τῆς τοῦ πύργου παραβολῆς διδάσκει ἡμᾶς ὁ Κύριος ἅπαξ ἀκολουθεῖν αὐτῷ ἑλομένους, φυλάξαι τὴν αὐτὴν προαίρεσιν, καὶ μὴ θεμέλιον μὲν καταβαλέσθαι, ἤτοι ἀρχὴν ἀκολουθήσεως, εἶτα τέλος μὴ ἐπιθεῖναι, ὡς μὴ ἔχοντας ἀρκοῦσαν τὴν παρασκευὴν τῆς προθυμίας. Τοιοῦτοι ἦσαν ἐκεῖνοι, περὶ ὧν Ἰωάννης ὁ εὐαγγελιστὴς ἔφη· Πολλοὶ οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω. Καὶ πᾶς δὲ ἄνθρωπος

Vers. 28-30. « Quis enim ex vobis, qui velit turrim ædificare, quin prius sedens computet sumptus, an habeat quibus opus est ad perficiendum? ne postquam posuerit fundamentum, nec potuerit perficere, omnes qui viderint incipiant illudere ei, dicentes: Hic homo cœpit ædificare, nec potuit consummare. » Per parabolam turris docet nos Dominus ut hi qui semel delegerint eum sequi, idem propositum servent: nec solum jaciant fundamentum, hoc est, ne incipiant tantum sequi, et postea finem non imponant, ut hi qui non habent sufficientem alacritatis præparationem. Tales fuerunt hi de quibus evangelista 401 Joannes dicit: Multi igitur ex discipulis ejus abierunt retrorsum[69].

69 Joan. xvi, 32

(*a*) Ed. Lut. non habet, *prorsus imperite.*

Et omnis homo qui virtutem quidem operari vult, et non eo pervenit, ut et divinam cognitionem accipiat, eo quod imperfecte et absque ratione virtutem orditur, imperfecte ædificat, non valens absolvere turrim summæ cognitionis. Unde et illuditur ab his a quibus videtur et hominibus et diabolis. Vel aliter : per fundamentum quidem intelligas sermonem doctoris. Sermo enim doctrinæ, utpote tractans de continentia, jactus in discipuli animam fundamento comparatur. Opus est autem sermoni huic, hoc est fundamento, superædificatione, opere dico, ut turris nostra fortitudinis a facie inimici absoluta, sit virtus illa quam proponebamus. Quod autem fundamentum quidem sit sermo, exstructio autem opus, satis abunde nos docet Apostolus: «Fundamentum posui Jesum Christum, alius autem superexstruit[70], » et statim enumerat varia ædificia, hoc est, operationes vel bonorum vel malorum operum. Timeamus igitur ne forte illudant nobis dæmones, de quibus propheta dicit: «Illusores dominabuntur eis, » his scilicet qui a Deo repulsi sunt.

VERS. 31-33. « Aut quis rex proficiscens ut committat prælium adversus alterum regem, nonne sedens prius cogitat an possit cum decem millibus occurrere ei qui cum viginti millibus venit contra se? alioquin adhuc illo longe agente, legatione missa petit ea quæ pacis sunt? Sic ergo omnis ex vobis qui non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus. Bonum est sal. Si vero sal infatuatum fuerit, per quod condietur? Neque in terram, neque in sterquilinium utile est : foras projiciunt illud. Qui habet aures ad audiendum, audiat. » Et hæc parabola docet nos ne simus duplici animo, neque carni et Deo adhæreamus : sed si volumus bellum contra malignos dæmones suscipere, ut feramur in eos tanquam hostes, et illis vere obluctemur Rex igitur est et peccatum regnans in mortali nostro corpore, si illud admittimus. Rex etiam et animus noster conditus est. Ne igitur, cum resistendum est peccato, pusillanimiter illud impugnet. Gravis enim et terribilis est ejus exercitus, et major et numerosior videtur quam nos sumus. Quippe dæmones sunt milites peccati, qui censentur vingiti millia contra nostra decem millia. Nam incorporei sunt, et pugnant contra nos qui in corpore sumus, et majorem virtutem habere videntur. Quamvis autem videantur fortiores, nos tamen resistere poterimus. «In Deo enim, inquit, faciemus virtutem[71]; » et : « Dominus illuminatio mea, et salus mea, quem timebo? Si constiterint adversum me castra, non timebit cor meum[72]. » 402 Dedit autem nobis Deus, qui propter nos incarnatus est, potestatem calcandi super omnem virtutem inimici[73]. Idcirco et quoniam in carne exsistentes non carnalia arma habemus, etiamsi decem millia videamur habere, eo quod in corpore sumus ; et illi viginti millia, eo quod incorporeæ naturæ sunt : attamen

A πράττειν μὲν τὴν ἀρετὴν ἑλόμενος, μὴ φθάσας δὲ, ὥστε καὶ θείαν γνῶσιν προσλαβεῖν, διὰ τὸ ἀτελῶς καὶ ἀλόγως τῆς ἀρετῆς ἄρξασθαι, ἀτελῶς κτίζει, μὴ δυνάμενος ἀπαρτίσαι τὸν πύργον τῆς ὑψηλῆς γνώσεως · ὅθεν καὶ ἐμπαίζεται ὑπὸ τῶν θεωρούντων αὐτὸν καὶ ἀνθρώπων καὶ δαιμόνων. Καὶ ἄλλως δὲ, θεμέλιον μὲν νοήσαις τὸν διδασκαλικὸν λόγον. Ὁ γὰρ τῆς διδασκαλίας λόγος διαλαμβάνων, φέρε εἰπεῖν, περὶ ἐγκρατείας θεμελίῳ ἔοικε καταβληθεὶς ἐπὶ τὴν τοῦ μαθητοῦ ψυχήν. Δεῖ οὖν τῷ λόγῳ τούτῳ, ἤτοι τῷ θεμελίῳ, καὶ ἐποικοδομεῖν, τὰ τῆς πράξεως λέγω· ἵνα καὶ πύργος ἡμῖν ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ ἀπαρτισθείη ἡ ἀρετὴ ἐκείνη, ἣν προεθέμεθα. Ὅτι δὲ θεμέλιος μὲν ὁ λόγος, οἰκοδομὴ δὲ ἡ πρᾶξις, ἱκανῶς B ἡμᾶς ὁ Ἀπόστολος διδάσκει λέγων, ὅτι « Θεμέλιον τέθεικα Ἰησοῦν Χριστὸν, ἄλλος δὲ ἐποικοδομεῖ · » καὶ ἑξῆς καταλέγει τὰς διαφόρους οἰκοδομὰς, ἤτοι ἐργασίας ἢ καλῶν ἢ πονηρῶν ἔργων · φοβηθῶμεν οὖν, μήποτε ἐμπαίζωσιν ἡμῖν οἱ δαίμονες, περὶ ὧν ὁ προφήτης φησὶν ὅτι, « Ἐμπαῖκται κυριεύσουσιν αὐτῶν, » τῶν ὑπὸ τοῦ Θεοῦ δηλαδὴ ἀπωσμένων.

« Ἢ τίς βασιλεὺς πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθίσας πρῶτον βουλεύεται, εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ πρὸς αὐτόν · εἰ δὲ μήγε ἔτι πόῤῥω αὐτοῦ ὄντος, πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην ; Οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ C ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται ; Οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν ἔξω βάλλουσιν αὐτό. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. » Καὶ αὕτη ἡ παραβολὴ διδάσκει ἡμᾶς μὴ διψύχους εἶναι, μηδὲ σαρκὶ καὶ Θεῷ προσηλῶσθαι · ἀλλ' εἰ μέλλοιμεν τὸν κατὰ τῶν πονηρῶν δυνάμεων πόλεμον ἄρασθαι, προσφέρεσθαι αὐτοῖς ὡς ἐχθροῖς, καὶ ἀληθῶς ἀντιπαρατάττεσθαι Βασιλεὺς μὲν οὖν ἐστι καὶ ἡ ἁμαρτία βασιλεύουσα ἐν τῷ θνητῷ σώματι ἡμῶν τῶν παραδεχομένων αὐτήν · βασιλεὺς δὲ καὶ ὁ νοῦς ἡμῶν ἐκτίσθη. Εἰ τοίνυν μέλλοιεν ἀντιστῆναι τῇ ἁμαρτίᾳ, ὁλοψύχως πολεμείτω αὐτῇ. Δεινὸς γὰρ ὁ στρατὸς ταύτης καὶ φοβερὸς, καὶ μείζων καὶ πλείων δοκεῖ ἡμῶν · οἱ γὰρ δαίμονες στρατιῶται τῆς ἁμαρτίας, οἳ δοκοῦσιν εἴ- D κοσι χιλιάδων ἀριθμὸν ἐπέχειν, πρὸς δέκα χιλιάδας ἡμετέρας · ἀσώματοι γὰρ ὄντες, καὶ πρὸς τοὺς ἐνσωμάτους ἡμᾶς συγκρινόμενοι, πλείονα τὴν ἰσχὺν δοκοῦσιν ἔχειν · κἂν οὖν δοκῶσιν ἰσχυρότεροι, ἀλλ' ἡμεῖς δυνάμεθα ἀντιπαρατάσσεσθαι· « Ἐν τῷ Θεῷ γὰρ, φησὶ, ποιήσομεν δύναμιν · » καί · « Κύριος φωτισμός μου καὶ Σωτήρ μου, τίνα φοβηθήσομαι ; Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου. » Δέδωκε δὲ ἡμῖν πάντως ὁ σαρκωθεὶς δι' ἡμᾶς Θεὸς πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Διὸ καὶ ἐπειδὴ ἐν σαρκὶ ὄντες, οὐ σαρκικὰ ὅπλα ἔχομεν, κἂν δέκα χιλιάδας δοκῶμεν ἔχειν, διὰ τὸ ἐν σώματι εἶναι, ἐκείνων εἴκοσι χιλιάδων ὄντων διὰ τὸ ἀσώματον τῆς φύσεως, ὅμως λέγειν ὀφείλομεν· « Κύριος ὁ

[70] I Cor. III, 11. [71] Psal. LIX, 14 [72] Psal. XXVI, 1. [73] Luc. X, 19.

Θεός μου, δύναμίς μου· » καὶ μηδέποτε εἰρηνεύσωμεν A πρὸς τὴν ἁμαρτίαν, ὅπερ ἐστὶ δουλωθῆναι τοῖς πάθεσιν· ἀλλὰ μᾶλλον ἀντιστῶμεν αὐτοῖς καὶ ἄσπονδον μῖσος πρὸς αὐτὰ ἀναδεξώμεθα, μηδὲν θέλοντες ἔχειν τῶν τοῦ κόσμου ἐμπαθῶν, ἀλλ' ἀποτασσόμενοι πᾶσιν· ὅτι οὐ δύναται Χριστοῦ εἶναι μαθητὴς ὁ μὴ ἀποτασσόμενος πᾶσιν, ἀλλ' εἰρηνεύων πρός τινα τῶν ἐν τῷ κόσμῳ ψυχοβλαβῶν. Ὁ γὰρ Χριστοῦ μαθητὴς, ὅλας ὀφείλει εἶναι, οὐ μόνον αὐτὸς ἀγαθὸς ὢν, καὶ κακίας ἀμέτοχος, ἀλλὰ καὶ ἄλλοις μεταδοτικὸς ἀγαθότητος· τοιοῦτον γὰρ τὸ ἅλας· αὐτό τε ἄσηπτον μένον καὶ ἀβλαβὲς, καὶ ἕτερα διαφυλάττει ἄσηπτα, οἷς ἂν μεταδῷ τῆς ποιότητος. Ἐὰν δὲ τὸ ἅλας ἀποβάλῃ τὴν οἰκείαν φύσιν, ἄχρηστον πάντῃ γίνεται, οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετον ὄν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἐγὼ μὲν πάντα Χριστιανὸν B ὠφέλιμον καὶ ἀρτυτικὸν βούλομαι εἶναι, οὐ μόνον τὸν διδασκαλίας χάρισμα ἐγκεχειρισμένον, οἷοι ἦσαν οἱ ἀπόστολοι, καὶ διδάσκαλοι, καὶ ποιμένες, ἀλλὰ καὶ τοὺς λαϊκοὺς αὐτοὺς χρησίμους, καὶ ἐπωφελεῖς τοῖς πλησίον ἀπαιτῶ εἶναι. Ἐὰν δὲ ὁ μέλλων ἑτέρους ὠφελεῖν, αὐτὸς ἀδόκιμος γένηται, καὶ ἐκστῇ τῆς προσηκούσης τῷ Χριστιανῷ καταστάσεως, οὔτε ὠφελῆσαι, οὔτε ὠφεληθῆναι δυνήσεται. « Οὔτε γὰρ εἰς γῆν, φησὶν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν. » Αἰνίττεται δὲ διὰ μὲν τῆς γῆς τὸ ὠφελούμενον, διὰ δὲ τῆς κοπρίας τὸ ὠφελοῦν. Διὸ ὡς μήτε ὠφελῶν, μήτε ὠφελούμενος ἀπόβλητος πάντῃ καὶ ἀπορριπτέος· ἐπεὶ δὲ σκοτεινὸς καὶ παραβολικός ὁ λόγος ἦν, διεγείρων τοὺς ἀκροατὰς ὁ Κύριος εἰς τὸ μὴ ἁπλῶς C παραδέξασθαι τὸ ῥηθὲν περὶ τοῦ ἅλατος, φησίν· « Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω, » τοῦτ' ἔστιν, Ὁ ἔχων σύνεσιν συνιέτω· ὦτα γὰρ ἐνταῦθα τὴν αἰσθητικὴν δύναμιν τῆς ψυχῆς, καὶ τὴν πρὸς τὸ συνιέναι ἐπιτηδειότητα νοητέον. Ἕκαστος οὖν ἡμῶν τῶν πιστῶν ἅλας ἐστὶν, ἐκ τῶν θείων λόγων καὶ τῆς ἄνωθεν χάριτος ταύτην τὴν ποιότητα δεδεγμένος· Ὅτι δὲ ἡ χάρις ἅλας ἐστὶν, ἄκουε τοῦ Παύλου· « Ὁ λόγος ὑμῶν ἔστω ἐν χάριτι ἅλατι ἠρτυμμένος· » ὡς ὅταν ὁ λόγος εἴη ἄχαρις, ἄναλος λέγοιτο ἄν. Εἰ τοίνυν καταφρονήσομεν τῆς τῶν θείων λόγων ποιότητος, καὶ οὐ δεχόμεθα ταύτην εἰς ἑαυτοὺς καὶ ποιούμεθα ἐξ αὐτῆς, τότε μωροὶ καὶ ἀσύνετοι γινόμεθα, καὶ ὄντως ἐμωράνθη τὸ ἅλας ἡμῶν, ὡς μὴ ἔχον τὴν τῆς ἄνωθεν D χάριτος ποιότητα.

## ΚΕΦΑΛ. ΙΕ'.

**Περὶ τῶν ἑκατὸν προβάτων παραβολή. Περὶ τοῦ ἀποδημήσαντος εἰς χώραν μακράν.**

« Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι, καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ· καὶ διεγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ Γραμματεῖς λέγοντες, ὅτι, Οὗτος ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς. Εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην λέγων· Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐννενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς,

dicere debemus : « Dominus Deus meus, virtus mea : » nullamque unquam cum peccato habeamus pacem, id quod est servire affectionibus, sed magis resistamus eis, et ostendamus nullas esse inducias odiorum erga illas, neque habere velimus concupiscibilia mundi, sed renuntiemus omnibus, quandoquidem non potest discipulus Christi esse, qui non renuntiat omnibus, sed pacem habet cum his quæ in hoc mundo animas damno afficiunt. Christi sane discipulus sal esse debet, non solum ipse bonus exsistens et malitiæ expers, sed et aliis communicans bonitatem. Ita enim se habet sal. Ipsum enim cum maneat illæsum et incorruptum, alia quoque servare valet ne corrumpantur, quibus suam qualitatem communicat. At si naturam suam sal abjecerit, omnino inutile est, neque terræ neque stercori accommodum. Quando autem dicit, ita se habet: Ego quidem omnem Christianum utilem et condire valentem esse volo, non solum eum cui concreditum docendi donum, quales sunt apostoli et doctores et pastores, sed etiam exigo ut laici ipsi bonæ frugis et utiles sint proximis. Jam si profuturus aliis reprobus fiat, et a Christianorum ordine ejiciatur, neque prodesse neque utilitatem capere poterit. « Neque enim in terram, inquit, neque in sterquilinium utile est. » Insinuatur autem per terram quod utilitatem capiat, per sterquilinium autem quod prosit. Ideo rejicitur et rejiciendus est, tanquam qui nec prosit, nec utilitatem percipiat. Et quoniam obscurus parabolicusque sermo ille fuit, excitans auditores Dominus ut non simpliciter suscipiant dictum de sale, dicit: « Qui habet aures ad audiendum, audiat, » hoc est, Qui habet intellectum, intelligat. Aures enim hoc loco sensitivam virtutem animæ, et ad intelligendum aptitudinem significant. Omnes itaque fideles sal sunt, ex divinis sermonibus et superna gratia qualitatem hanc suscipientes. Et quod gratia sal sit, audi Paulum dicentem : « Sermo vester sit in gratia sale conditus [74]. » Et ita si fuerit sermo ἄχαρις, hoc est, sine gratia, insulsus dicitur. Igitur si divinorum eloquiorum qualitatem contempserimus, et non susceperimus eam in nos ejusque qualitate afficiamur, tunc stulti et intellectu carentes efficimur. Et profecto infatuatum est sal nostrum, si non habuerit supernæ gratiæ qualitatem.

## 403 CAPUT XV.

*Parobola de centum ovibus. De peregre profecto in regionem longinquam.*

VERS. 1-10. « Accedebant autem ad eum omnes publicani et peccatores ut audirent illum, et murmurabant Pharisæi ac Scribæ dicentes : Hic peccatores recipit, ac cibum capit cum illis. Dicebat autem ad illos parabolam hanc, dicens : Quis ex vobis est homo qui habet centum oves, et si perdiderit unam ex illis, nonne relinquit nonaginta novem in deserto, et vadit ad illam quæ perierat,

[74] Coloss. IV, 6.

donec inveniat eam? et cum invenerit eam, imponit in humeros suos gaudens, veniensque domum, convocat amicos et vicinos, dicens illis: Gaudete mecum, quia inveni ovem meam quæ perierat. Dico vobis, quod ita gaudium erit in cœlo super uno peccatore resipiscente, magis quam super nonaginta novem justis, qui non indigent pœnitentia. Ant quæ mulier habens drachmas decem, si perdiderit drachmam unam, nonne accendit lucernam, et verrit domum, quæritque diligenter donec inveniat? et cum invenit, convocat amicas ac vicinas, dicens: Gaudete mecum, quia inveni drachmam quam perdideram. Ita dico vobis, gaudium erit coram angelis Dei super uno peccatore resipiscente. » Dominus quidem illud faciebat, cujus gratia incarnatus est, accedens ad publicanos et peccatores, tanquam medicus ad infirmos. Qui autem revera peccatores erant Pharisæi, obmurmurationem tantæ humanitati rependebant. Abominabiles enim censebant publicanos, ipsi autem domos viduarum et orphanorum comedebant. Quid igitur Dominus? Sicut misericors erat erga publicanos, ita et erga illos, qui suam calumniabantur misericordiam. Non enim aversatur eos tanquam insanabiles et obmurmurantes, sed mansuete sanat, parabolam hanc de ovibus dicens: et de manifestis et certis eis persuadet, et confutat ita, ne ægre ferant tantam bonitatis effusionem. Nam si in ove una irrationali, quæ ad imaginem Dei non est facta, si cum erraverit, fuerit inventa, gaudium fit tantum: quantum verisimile est fieri in homine rationali ad imaginem Dei condito? Manifeste igitur parabola hæc justos dicit per oves nonaginta novem; et per unam peccatorem qui perierat. Dicunt autem nonnulli centum oves omnem creaturam rationalem: unam autem ovem, rationalis naturæ hominem, quam errantem requisivit Pastor bonus, relictis nonaginta novem in solitudine, hoc est, in superno loco cœlesti. Solitudo enim est cœlum, a mundano tumultu sequestratum, et plenum omni tranquillitate ac pace. Dominus vero ut invenit illam quæ erraverat, imposuit in humeros. Infirmitates enim nostras et peccata nostra 404 ipse portavit, et omnia onera nostra non gravatim ipse suscepit, persolutis omnibus quæ debebamus, et nos sponte ac libenter portavit usque in domum suam, hoc est, in cœlum. Convocat amicos et vicinos, fortassis angelos, quos et oves diximus esse juxta aliam et aliam relationem. Nam secundum quod omnis creatura condita ad Deum confertur, pecuina est et bruta, et secundum hoc dicitur (a) etiam supernæ virtutes oves; in quantum vero rationales, id est intellectuales, et quatenus aliis creaturis viciniores videntur, secundum hoc amici et vicini

A ἕως εὕρῃ αὐτό· καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ χαίρων, καὶ ἐλθὼν εἰς τὸν οἶκον αὐτοῦ συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας λέγων αὐτοῖς· Συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός; Λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἐν τῷ οὐρανῷ ἔσται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐννενηκονταεννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας. Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον, καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου εὕρῃ, καὶ εὑροῦσα, συγκαλεῖ τὰς φίλας καὶ τὰς γείτονας λέγουσα· Συγχάρητε μοι, ὅτι εὗρον τὴν δραχμὴν, ἣν ἀπώλεσα; Οὕτω λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτολῷ μετανοοῦντι. B Ὁ μὲν Κύριος ἐκεῖνο ἐποίει οὗ ἕνεκεν καὶ ἐσαρκώθη, προσιέμενος τοὺς τελώνας καὶ τοὺς ἁμαρτωλοὺς, ὡς ἰατρὸς τοὺς ἀσθενοῦντας· οἱ δὲ ἁμαρτωλοὶ τῷ ὄντι Φαρισαῖοι γογγυσμῷ τὴν φιλανθρωπίαν ταύτην ἠμείβοντο· βδελυκτοὺς γὰρ ἡγούμενοι τοὺς τελώνας, αὐτοὶ τὰς οἰκίας τῶν χηρῶν καὶ τῶν ὀρφανῶν κατήσθιον. Τί οὖν ὁ Κύριος; Ὥσπερ πρὸς τοὺς τελώνας ἐφιλανθρωπεύετο, οὕτω δὴ καὶ πρὸς τούτους αὐτοὺς τοὺς τὴν φιλανθρωπίαν ταύτην διαβάλλοντας· οὐ γὰρ ἀποστρέφεται τούτους ὡς ἀνιάτους (5) καὶ γογγυστὰς, ἀλλὰ πραέως θεραπεύει παραβολὴν αὐτοῖς λέγων τὴν τῶν προβάτων, καὶ ἀπὸ τῶν ἐναργῶν καὶ φανερῶν πείθων αὐτοὺς, καὶ ἐπιστομίζων μὴ δυσχεραίνειν ἐπὶ τῷ τοσούτῳ τῆς ἀγαθότητος χύματι. C Καίτοι εἰ ἐπὶ προβάτῳ ἑνὶ ἀλόγῳ, καὶ μὴ κατ' εἰκόνα Θεοῦ γεγεννημένῳ τοσαύτη χαρὰ γίνεται εὑρεθέντι μετὰ τὸ πλανηθῆναι, πόσην εἰκὸς γίνεσθαι ἐπὶ ἀνθρώπῳ λογικῷ κατ' εἰκόνα Θεοῦ δεδημιουργημένῳ; Προδήλως μὲν οὖν ἡ παραβολὴ τοὺς δικαίους φησὶ πρόβατα ἐννενηκονταεννέα, καὶ ἓν τὸν ἐκπεσόντα ἁμαρτωλόν. Φασὶ δέ τινες ἑκατὸν μὲν πρόβατα πᾶσαν τὴν λογικὴν κτίσιν, ἓν δὲ πρόβατον τῆς λογικῆς φύσεως τὸν ἄνθρωπον, ὃ πλανηθὲν ἀνεζήτησεν ὁ ποιμὴν, ὁ καλὸς, ἀφεὶς τὰ ἐννενηκονταεννέα ἐν τῇ ἐρήμῳ. τουτέστιν, ἐν τῷ ἄνω τόπῳ τῷ οὐρανίῳ. Ἔρημος γὰρ πολυοχλίας κοσμικῆς ἀπῳκισμένος ὁ οὐρανὸς, καὶ πάσης γαλήνης καὶ εἰρήνης μεμεστωμένος. Εὑρὼν δὲ ὁ Κύριος τοῦτο τὸ πλανηθὲν, ἐπέθηκεν ἐπὶ τοὺς ὤμους αὐτοῦ. D Τὰς γὰρ ἀσθενείας ἡμῶν, καὶ τὰς ἁμαρτίας αὐτὸς ἐβάστασε, καὶ πάντα τὰ βάρη ἡμῶν αὐτὸς ἀβαρῶς ἀνεδέξατο· πάντα ὅσα ἐχρεωστοῦμεν, αὐτὸς ἀποφλήσας, καὶ ἡμᾶς ῥᾳδίως καὶ ἀπόνως σώσας ἄχρι καὶ τοῦ οἴκου αὐτοῦ, τουτέστι, τοῦ οὐρανοῦ· καὶ συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας, τάχα τοὺς ἀγγέλους, οὓς καὶ πρόβατα εἶναι ἀποδεδώκαμεν κατ' ἄλλην καὶ ἄλλην ἐπιβολήν. Καθ' ὃ μὲν γὰρ πᾶσα κτιστὴ φύσις ὡς πρὸς Θεὸν κτηνώδης ἐστὶ, κατὰ τοῦτο πρόβατα καλοῖντο ἂν αἱ ἄνω δυνάμεις. Καθὸ δὲ λογικαὶ, ἤγουν νοεραὶ καὶ πλησιέστεραι τῶν ἄλλων κτισμάτων δοκοῦσαι, κατὰ τοῦτο φίλοι καὶ

Ex collatione codd. Venet. S. Marci.

(5) Cod. 26, Ἀνοήτους, « dementes. »

(a) Edit. Lut. *at si ad alias creaturas conferuntur rationales, dicuntur, etc.*

γείτονες οἱ τῶν ἀγγελικῶν δυνάμεων χοροὶ νοηθεῖεν. Καὶ γυναῖκα δὲ νοήσαις, τὴν σοφίαν, καὶ δύναμιν τοῦ Θεοῦ καὶ Πατρὸς τὸν αὐτοῦ Υἱὸν, ὡς ἀπώλεσε μίαν δραχμὴν ἐκ τῶν λογικῶν, καὶ κατ' εἰκόνα αὐτοῦ κτισθέντων κτισμάτων τὸν ἄνθρωπον, καὶ ἅπτει λύχνον, τὴν ἑαυτοῦ σάρκα. Ὥσπερ γὰρ ὁ λύχνος ἐκ γῆς ὢν τὰ ἐσκοτισμένα φωτίζει διὰ τοῦ φωτὸς, οὗ δέχεται, οὕτω καὶ ἡ σὰρξ τοῦ Κυρίου γήϊνος οὖσα, καὶ ὁμοία ἡμῖν, τῷ φωτὶ τῆς θεότητος, ὑφ' ἧς προσελήφθη, ἔφανε· καὶ μὴν ἐσαρώθη καὶ ὁ οἶκος, τουτέστιν, ἅπας ὁ κόσμος ἀπεκαθάρθη τῆς ἁμαρτίας. Χριστὸς γὰρ ἦν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Καὶ δὴ εὑρέθη ἡ δραχμὴ, ἡ βασιλικὴ εἰκὼν, καὶ χαρὰ γίνεται αὐτῷ τε τῷ εὑρόντι Χριστῷ, καὶ ταῖς ἄνω δυνάμεσιν, αἳ φίλαι αὐτῷ καὶ γείτονές εἰσι· φίλαι μὲν ὡς τὸ θέλημα αὐτοῦ ποιοῦσαι, γείτονες δὲ ὡς ἀσώματοι. Ζητῶ δὲ μή ποτε φίλαι μὲν αὐτοῦ εἰσι πᾶσαι αἱ ἄνω δυνάμεις, γείτονες δὲ αἱ πλησιέστεραι, οἷον Θρόνοι, Χερουβεὶμ, Σεραφείμ. Ὅρα γὰρ τὴν λέξιν. « Καὶ συγκαλεῖ τὰς φίλας καὶ τὰς γείτονας· » ἔοικε γὰρ δύο τινὰ μέρη παραδηλοῦν, εἰ καὶ περιεργότερον δόξει.

« Εἶπε δέ· Ἄνθρωπός τις εἶχε δύο υἱοὺς, καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας· καὶ διεῖλεν αὐτοῖς τὸν βίον. Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς χώραν μακρὰν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως· δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι, καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους, καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἐκ τῶν κερατίων ὧν ἤσθιον οἱ χοιροῖ, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. » Καὶ αὕτη ἡ παραβολὴ ὁμοία τῆς προλαβούσαις ἐστίν· εἰσάγει γὰρ καὶ αὕτη ἄνθρωπον μὲν, τὸν Θεὸν, τὸν ὄντος φιλάνθρωπον· υἱοὺς δύο, τὰ δύο τάγματα τῶν ἀνθρώπων, δικαίους φημὶ καὶ ἁμαρτωλούς. Εἶπε δὲ ὁ νεώτερος· Δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Ἡ δικαιοσύνη μὲν ἀρχαῖον κτῆμα τῆς ἀνθρωπίνης φύσεως, διὸ καὶ ὁ πρεσβύτερος υἱὸς οὐκ ἀποσκιρτᾷ· ἡ δὲ ἁμαρτία ὑστερογενὲς κακὸν, διὸ καὶ ὁ νεώτερος ἀποσκιρτᾷ, ὁ τῇ ἁμαρτίᾳ δηλαδὴ τῇ ὕστερον ἐπεισαχθείσῃ συναυξηθείς. Καὶ ἄλλως δὲ νεώτερος υἱὸς λέγεται ὁ ἁμαρτωλὸς, ὡς νεωτεριστὴς, καὶ ἀποστάτης καὶ ἀντάρας τῷ πατρικῷ θελήματι. « Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. » Οὐσία τοῦ ἀνθρώπου τὸ λογικόν ἐστιν, ᾧ παρέπεται καὶ τὸ αὐτεξούσιον, πᾶν γὰρ λογικὸν αὐτεξούσιον. Δίδωσιν οὖν ἡμῖν ὁ Κύριος τὸν λόγον, ἵνα χρησώμεθα αὐτεξουσίως τούτῳ ὡς οὐσίᾳ ὄντι ἡμετέρᾳ. Δίδωσι δὲ πᾶσιν ἐπίσης, πάντες γὰρ ἐπίσης λογικοὶ, ἐπίσης αὐτεξούσιοι· ἀλλ' οἱ μὲν κατὰ λόγον χρώμεθα τῇ φιλοτιμίᾳ ταύτῃ, οἱ δὲ καὶ ἀχρειοῦμεν τὸ θεῖον δῶρον. Καὶ πάντα δὲ ἁπλῶς, ὅσα δέδωκεν ἡμῖν ὁ Κύριος, οὐσία ἡμῶν λογισθεῖεν, οἷον λέγω οὐρανὸν, γῆν, ἁπλῶς τὴν κτίσιν πᾶσαν, νόμον, προφήτας. Ἀλλ' ὁ μὲν νεώτερος υἱὸς εἶδεν οὐρανὸν, καὶ ἐθεοποίησεν,

A intelligi possunt angelicarum virtutem chori. Et per mulierem intelligas sapientiam et virtutem Dei et Patris, Jesum ipsum, qui perdidit unam drachmam, ex rationalibus et ad imaginem Dei conditis creaturam, hominem, inquam, et accendit lucernam, suam carnem. Sicut enim lucerna, quamvis sit ex terra, illuminat tenebrosa per lucem quam recipit; ita et caro Domini, licet terrena esset, similisque nobis, lumine deitatis a qua assumpta est, lumen exhibuit. Quin etiam scopis mundata est domus, hoc est universus mundus repurgatus est a peccato. Christus enim abstulit peccatum mundi. Et plane inventa est drachma, regia scilicet imago et gaudium fuit et Christo inventori et supernis virtutibus, quæ amicæ ejus B et vicinæ sunt : Amicæ quidem, quia voluntatem ejus faciunt : vicinæ vero, quia incorporeæ. Quid autem si amicæ sint omnes supernæ Virtutes, vicinæ autem, quæ propiores ei, ut Throni et Cherubim et Seraphim? Dicendo enim amicas et vicinas, duo genera manifestavit, quamvis hoc curiosius videatur.

VERS. 11-16. « Ait autem : Homo quidam habuit duos filios, et dixit adolescentior illorum patri : Pater, da mihi portionem substantiæ quæ ad me redit. Et divisit illis substantiam. At post dies non multos cum omnia contraxisset, adolescentior filius peregre profectus est in regionem longinquam, et ibi dissipavit substantiam suam vivendo luxuriose : C et postquam omnia consumpsisset, facta est fames valida in regione illa, et ipse cœpit egere. Et profectus est, et adhæsit uni civium regionis illius : atque is misit illum in villam suam ut pasceret porcos : et cupiebat implere ventrem suum de siliquis quibus porci vescebantur, nec quisquam illi dabat. » Et hæc parabola superiori similis est. Inducit enim et hæc hominem quidem, Deum videlicet, vere misericordem : filios autem duos, nempe ordines hominum justorum dico et peccatorum. Dixit autem junior : Da mihi partem substantiæ quæ ad me pertinet. Olim humanæ naturæ possessio erat justitia; ideo et filius senior non insolescit. Peccatum postea natum est, **405** unde et junior insolescit, qui cum peccato, quod postea introduc- D tum est, crevit. Vel aliter : junior dicitur peccator, quia novator rerum insolens et apostata ac deficiens a paterna voluntate. « Pater, da mihi partem substantiæ quæ ad me pertinet. » Rationale ad quod subsequitur liberum arbitrium, substantia est hominis. Omne autem rationale, liberi arbitrii est. Dat igitur nobis Dominus rationem, ut ea libere utamur tanquam nostra substantia. Dat autem omnibus ex æquo. Omnes enim ex æquo rationales sunt, et æque liberum habent arbitrium. At alii quidem utimur hac libertate secundum rationem, alii autem dilapidamus donum divinum. Et simpliciter omnia quæ dedit nobis Dominus, substantia nostra censeri possunt : ut exempli gratia, cœlum et terra, et in summa creaturæ omnes, lex, prophetæ. Atqui filius

natu minor vidit cœlum, et cœlum fecit Deum : vidit terram, et coluit eam. In lege Dei noluit ambulare, in prophetis malignatus est. At senior filius omnibus his in gloriam Dei usus est. Itaque ille qui dedit omnia hæc ex æquo permisit libere ingredi. Nullum enim cogit non volentem ut sibi serviat. Nam si voluisset nos cogi, non fecisset nos rationales, et liberi arbitrii. Porro filius junior omnia hæc simul decoxit. Et quæ causa ? Profectus est in terram longinquam. Nam quando egreditur homo a Deo et se a timore Dei elongat, omnia divina dona expendit. Propinqui enim Deo exsistentes, nihil tale quod interitu dignum facimus, juxta id quod dicitur : « Providebam Dominum in conspectu meo semper, quia a dextris meis est, ne commovear [75]. » Illo autem longe a nobis absente, efficimur apostatæ, facientes et ferentes pessima quæque juxta illud dictum : « Ecce qui elongant se a te, peribunt [76]. » Dissipavit igitur substantiam suam. Merito. Virtus enim terminum unum habet, et unum quoddam est: at malitia multifariam divisa est, errorum multorum causa, ut exempli gratia fortitudinis unus est limes, et quando oportet, et quomodo oportet, et erga quos oportet irascibili uti. Vitii autem ejus duæ sunt species, timor et audacia. Vides spargi rationem, et unitatem virtutis disperire ? Consumpta autem substantia illa, homine secundum rationem, naturalem dico legem, non amplius eunte, et neque juxta legem scriptam incedente, neque prophetas audiente, fames magna est facta : non fames panis, sed fames audiendi verbum Domini. Initium fit penuriæ, quandoquidem non timet Dominum, sed longe discedit ab eo. Nam iis qui timent Dominum, nulla est penuria. Quomodo autem nulla est inopia timentium Dominum ? Quia qui timet **406** Dominum, in mandatis ejus volet nimis: propterea et gloria et divitiæ in domo ejus : imo dispersit ipse potius, et dedit pauperibus [77] : tantum abest ut egeat. At qui longe profectus est a Domino, et non habet ante oculos terribilem ejus faciem, nil mirum si inopia laboret, sermone divino nihil in illo operante. Et profectus est, hoc est, processit et profecit in malitia. Adhæsit uni civium regionis illius. Nam qui adhæret Domino unus spiritus fit cum illo : qui vero adhæret scorto, naturæ dæmonum, unum corpus fit, atque fit totus caro, neque spiritus est capax, sicut hi qui tempore diluvii fuerunt. Cives regiones illius qui a Deo defecerant, dæmones omnino sunt. At qui proficit, et in peccatis fit potens, pascit porcos, hoc est, et alios docet malitiam, et lutosam operationem. Porci enim sunt omnes qui in luto vilium et materialium affectionum volutantur, nam porcorum oculi nunquam possunt sursum spectare, aliam sortiti formationem. Unde et porcorum pastores cum non possunt compescere porcum clamantem, resupinantes illum efficiunt ut minus clamet. Etenim quasi in spectaculum veniant

A εἶδε γῆν, καὶ ἐσεβάσθη, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθη πορεύεσθαι, ἐν τοῖς προφήταις ἐπονηρεύσατο. Ὁ δὲ πρεσβύτερος υἱὸς πᾶσι τούτοις εἰς δόξαν Θεοῦ ἀπεχρήσατο. Δοὺς οὖν ταῦτα ἐπίσης εἴασεν αὐτεξουσίως πορεύεσθαι, οὐδένα γὰρ βιάζεται μὴ δουλεύειν αὐτῷ βουλόμενον. Εἰ γὰρ ἤθελε βιάζεσθαι, οὐδ' ἂν λογικοὺς ἡμᾶς καὶ αὐτεξουσίους ἐδημιούργησεν. Ἅπαντα δὲ ταῦτα συλλήβδην ὁ νεώτερος ἐδαπάνησε· καὶ τί τὸ αἴτιον; Ὅτι ἀπεδήμησεν εἰς χώραν μακράν. Ἐπειδὰν γὰρ ὁ ἄνθρωπος ἀποστῇ ἀπὸ Θεοῦ, καὶ μακρὰν ἑαυτὸν ποιήσῃ τοῦ θείου φόβου, πάντα τὰ θεῖα δῶρα ἐκδαπανᾷ. Ἐγγὺς μὲν ὄντες τοῦ Θεοῦ, οὐδὲν τοιοῦτον ποιοῦμεν ἀπωλείας ἄξιον, κατὰ τό· « Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ. » B Μακρὰν δὲ αὐτοῦ καὶ ἀποστάται γενόμενοι τὰ χείριστα πάντα καὶ ποιοῦμεν, καὶ πάσχομεν, κατὰ τό· « Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. » Διεσκόρπισε τοίνυν την οὐσίαν εἰκότως· ἡ μὲν γὰρ ἀρετὴ ἕνα ὅρον ἔχει, καὶ ἕν τι ἐστίν· ἡ δὲ κακία πολυσχιδής ἐστι, καὶ πλάνας ἐμποιοῦσα πολλὰς, οἷον, λόγου χάριν, τῆς μὲν ἀνδρίας εἷς ἐστιν ὅρος, τὸ δεῖ ἔστιν, ὅτε δεῖ, καὶ ὡς δεῖ, καὶ πρὸς οὓς δεῖ τῷ θυμικῷ χρᾶσθαι. Τῆς δὲ κακίας δύο τὰ εἴδη, δειλία καὶ θρασύτης. Ὁρᾷς σκορπιζόμενον τὸν λόγον, καὶ τὴν ἑνότητα τῆς ἀρετῆς ἀπολλυμένην; Δαπανηθείσης δὲ τῆς οὐσίας ταύτης, καὶ μηκέτι κατὰ λόγον, τὸν φυσικὸν νόμον φημὶ, πορευομένου τοῦ ἀνθρώπου, ἀλλὰ μηδὲ νόμῳ στοιχοῦντος τῷ γραπτῷ, μηδὲ προφητῶν ἀκούοντος, λιμὸς ἰσχυρὸς γίνεται, οὐ λιμὸς ἄρτου, ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου. Καὶ C ἄρχεται ὑστερεῖσθαι, οἷα μὴ φοβούμενος τὸν Κύριον, ἀλλὰ μακρὰν ἀπέχων αὐτοῦ· ὡς τοῖς γε φοβουμένοις τὸν Κύριον οὐκ ἔστιν ὑστέρημα. Πῶς δὲ οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις; Διότι ὁ φοβούμενος τὸν Κύριον ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Διὰ τοῦτο δὲ δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐσκόρπισε μᾶλλον αὐτὸς, καὶ ἔδωκε τοῖς πένησι, τοσουτον ἀπέχει τοῦ αὐτὸς ὑστερεῖσθαι. Ὁ τοίνυν μακρὰν ἀποδημήσας τοῦ Θεοῦ, καὶ μὴ πρὸ ὀφθαλμῶν ἔχων τὸ φοβερὸν αὐτοῦ πρόσωπον, ὑστερεῖται εἰκότως, οὐδενὸς θείου λόγου ἐν ἐκείνῳ ἐνεργοῦντος. Καὶ πορευθεὶς, τουτέστι, προοδεύσας, καὶ προκόψας τῇ κακίᾳ, ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης. Ὁ μὲν γὰρ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμα γίνεται· ὁ δὲ κολλώμενος τῇ πόρνῃ, φύσει D τῶν δαιμόνων, ἓν σῶμα γίνεται, σὰρξ ὅλος καθιστάμενος, καὶ μὴ πνεύματος χώρησιν ἐν ἑαυτῷ ἔχων, ὡς οἱ ἐπὶ τοῦ κατακλυσμοῦ. Πολῖται γὰρ τῆς χώρας ἐκείνης τῆς ἀπεχούσης τοῦ Θεοῦ οἱ δαίμονες πάντως εἰσίν. Οὗτος δὲ προκόψας, καὶ ἐν κακίᾳ δυνατὸς γεγονὼς βόσκει χοίρους, τουτέστι, καὶ ἄλλοις διδάσκαλος πονηρίας γίνεται καὶ βορβορώδους πράξεως. Πάντες γὰρ οἱ τῷ βορβόρῳ τῶν ἀτίμων πράξεων καὶ ὑλικῶν παθῶν ἐνηδόμενοι, χοῖροι· τοῦ χοίρου γὰρ οἱ ὀφθαλμοὶ οὐδέποτε τὰ ἄνω βλέπειν δύνανται, ἀλλοκότου διαπλάσεως τυχόντες. Ὅθεν καὶ οἱ χοιρο-

[75] Psal. xv, 8. [76] Psal. lxxii, 27. [77] Psal. cxi, 9.

βοσκοὶ ἐπειδὰν χοῖρον κατέχοντες, οὐ δύνωνται παύσειν A αὐτὸν βοῶντα, ἀναστρέψαντες ὕπτιον, μετριώτερον αὐτὸν πείθουσι βοᾷν. Οἱονεὶ γὰρ εἰς θέαν ἐλθὼν ὧν οὐκ εἶδέ ποτε, καὶ τὰ ἄνω βλέπων ἐκπλήττεται, καὶ σιγᾷ· τοιοῦτοι οἱ ὀφθαλμοὶ τῶν τοῖς φαύλοις ἐντρεφομένων, οὐδέποτε τὰ ἄνω δρῶσι. Γούτους οὖν βόσκει ὁ πολλῶν ἐν κακίᾳ προέχων, οἷοι οἱ πορνοβοσκοὶ, οἱ ἀρχιλῃσταὶ, οἱ ἀρχιτελῶναι, πάντες γὰρ οὗτοι χοίρους βόσκειν λεχθήσονται. Ἐπιθυμεῖ δὲ ὁ ἐλεεινὸς οὗτος κορεσθῆναι τῆς ἁμαρτίας, καὶ οὐδεὶς αὐτῷ δίδωσι ταύτης κόρον. Τῶν γὰρ κακῶν οὐ λαμβάνει κόρον, ὁ τούτοις ἐνεθισθείς· μὴ γὰρ μένει ἡ ἡδονὴ, ἀλλ' ἅμα γίνεται, καὶ ἀπογίνεται, καὶ εὑρίσκεται πάλιν κενὸς ὁ ἐλλεινὸς, κερατίοις γὰρ παραβάλλεται ἡ ἁμαρτία, γλυκύτητα ἔχουσα καὶ τραχύτητα, B ἡδύνει μὲν γὰρ πρόσκαιρα, κολάζει δὲ ἀΐδια. Οὐδεὶς οὖν δίδωσι κορεσθῆναι τῶν κακῶν τῷ ἐν τούτοις τρυφῶντι. Τίς γὰρ καὶ δώσει αὐτῷ κόρον, καὶ παύσει; Θεός; Ἀλλ' οὐ πάρεστι, μακρὰν γὰρ τοῦ Θεοῦ ἀποδημεῖ ὁ ταῦτα ἐσθίων. Ἀλλὰ δαίμονες; Καὶ πῶς οἵγε μᾶλλον τοῦτο σπεύδοντες, τὸ μηδέποτε παῦλαν καὶ καὶ κόρον γενέσθαι τῆς κακίας;

« Εἰς ἑαυτὸν δὲ ἐλθὼν, εἶπε· Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύονται ἄρτων; ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι. Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ. Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ εὐσπλαγχνίσθη, καὶ δραμὼν ἔπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν. Εἶπε δὲ αὐτῷ ὁ C υἱός· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔνι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. » Εἰς ἑαυτὸν ἦλθεν ὁ τέως ἄσωτος· ἕως μὲν γὰρ ἔπραττε τὰ φαῦλα, ἔξω ἑαυτοῦ ἦν. Καταδαπανῆσαι γὰρ λέγεται τὴν οὐσίαν, καὶ εἰκότως· διὰ τοῦτο ἔξω ἑαυτοῦ ἐστιν. Ὁ γὰρ μὴ λόγῳ κυβερνώμενος, ἀλλὰ ὡς ἄλογος ζῶν, καὶ ἑτέροις τῆς ἀλογίας ἐξάρχων, ἔξω ἑαυτοῦ ἐστι, καὶ οὐ μένει ἐπὶ τῆς οἰκείας οὐσίας, τουτέστι, τοῦ λόγου. Ὅταν δὲ ἀναλογίσηται τίς ὢν ἐπὶ ποίαν κατήντησεν ἀθλιότητα, τότε γίνεται ἐν ἑαυτῷ, λογιζόμενος, καὶ εἰς μετάνοιαν ἐρχόμενος ἀπὸ τῆς ἔξω περιπλανήσεως. Μισθίους δὲ λέγει, οἷον τοὺς κατηχουμένους, οἳ οὔπω ἔφθασαν γενέσθαι υἱοὶ, ὡς μήπω φωτισθέντες. Πάντως δὲ οἱ κατηχούμενοι περισσείαν ἔχουσι τῶν ἄρτων τῶν λογικῶν, D καθ' ἑκάστην τῶν ἀναγνωσμάτων ἀκούοντες. Καὶ ἵνα μάθῃς διαφορὰν μισθίου καὶ υἱοῦ, ἄκουε. Τρεῖς εἰσι τάξεις τῶν σωζομένων· οἱ μὲν γὰρ ὡς δοῦλοι ποιοῦσι τὸ καλὸν φοβούμενοι τὴν κρίσιν· ὃ καὶ ὁ Δαυῒδ αἰνίττεται· « Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, λέγων· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. » Οἱ δὲ μίσθιοι εἶναι δοκοῦσιν ἐπιθυμίᾳ τῶν ἀγαθῶν εὐαρεστεῖν σπεύδοντες Θεῷ, ὡς ὁ αὐτὸς Δαυῒδ φησιν· « Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. » Εἰ δέ εἰσιν υἱοὶ, δι' ἀγάπην τὴν πρὸς Θεὸν ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ὡς καὶ πάλιν ὁ αὐτὸς Δαυῒδ

78 Psal. CXVIII, 23.

spectantes quæ nunquam videre, et aspicientes sursum, stupescunt et silent: tales sunt oculi eorum qui male educati sunt: nunquam vident ea quæ sursum. Tales pascit is qui multis in malitia præest, ut sunt scortorum hospites, vel publicanorum, vel latronum principes: de omnibus enim his dicendum quod porcos pascant. Cupit autem miserabilis ille saturari peccato, et nemo ei dat saturari. Assueto enim malis nemo dat satietatem. Non enim manet voluptas, sed simul atque contingit, protinus et perit fitque iterum vacuus ille miserabilis. Assimilatur enim siliquis peccatum dulcedinem habens et asperitatem. Delectat enim ad tempus, cruciat vero perpetuo. Propterea nullus dat satietatem malorum ei qui in illis voluptatem capiebat. Quis enim satiat, et quiescere facit? Deus? sed non adest: nam qui talibus vescitur, longe abest a Deo. An dæmones? At hi multo magis solliciti sunt ne unquam quiescamus, et malitia saturati simus.

VERS 17-21. « In se autem reversus, dixit: Quam multi mercenarii patris mei abundant panibus? ego vero fame pereo: surgam et ibo ad patrem meum, et dicam ei: Pater, peccavi in cœlum et coram te; jam non sum dignus vocari filius tuus, fac me sicut unum de mercenariis tuis. Et surgens venit ad patrem suum. Cum autem adhuc longe abesset, vidit illum pater ipsius, et misericordia motus est, et accurrens ruit in collum ejus, et osculatus est eum. Dixitque ei filius: Pater peccavi in cœlum et coram te: 407 neque posthac sum dignus vocari filius tuus » Intemperatus tandem ad seipsum rediit. Quandiu male agebat, extra seipsum erat. Consumpsisse enim dicitur substantiam, et merito: propter hoc extra seipsum erat. Nam qui non gubernatur ratione, sed præter rationem vivit, et absurda alia exorditur, extra seipsum est, et non manet in sua substantia, hoc est ratione. Quando autem quis cogitat in quantam venerit miseriam, tunc redit ad seipsum, considerans, et in pœnitentiam veniens a sua exteriori divagatione. Porro mercenarios dicit catechumenos, quia nondum eo pervenerant ut dicerentur filii, quia nondum recte illustrati Omnino autem catechumeni abundantiam rationalium panum habent, quotidie lectiones audientes. Et ut discas differentiam mercenarii et filii, audi. Tres sunt ordines eorum qui salvantur. Alii enim ut servi faciunt bonum, timentes judicium: quod et David insinuat dicens: « Confige timore tuo carnem meam: a judiciis enim tuis timui. » Mercenarii vero esse videntur, qui desiderio bonorum bene placere Deo cupiunt, sicut et ipse David dicit: « Inclinavi cor meum ad faciendum justificationes tuas in æternum, propter retributionem. » At filii sunt qui propter amorem in Deum, mandata perficiunt: sicut iterum David testatur: Quomodo dilexi legem tuam, Domine, tota die

meditatio mea est[78].» Et iterum : « Levavi manus meas ad mandata tna, quæ dilexi, »non, quæ timui. Et iterum :« Mirabilia testimonia tua, et quia sunt mirabilia (*a*), ideo scrutata ea est anima mea. » Cum igitur quis fuerit in ordine filius, et deinde propter peccatum abdicatur, videtque alios frui divinis donis, et communicantes divinis mysteriis et divino pane : non enim de solis catechumenis intelligi oportet quod de mercenario dicitur, sed et de iis qui sunt in Ecclesia simpliciter non in primo ordine (*b*) ; tunc illa hæc commiserationis verba sibi ipsi dicere debet : Quot mercenarii Patris mei abundant pane ! ego autem fame pereo. Sed surgens de ruina peccati, ibo ad Patrem meum, et dicam ei : Pater, peccavi in cœlum et coram te. Derelinquendo enim cœlestia, peccavi in ea, præferens ipsis voluptatem contemptibilem, et præeligens cœlesti patriæ meæ regionem famis. Quemadmodum enim, ut exempli gratia dicamus, in aurum peccare dicitur, qui illi plumbum præfert : ita in cœlum peccat, qui illi terrena præponit. Abest autem omnino a via quæ fert in cœlum. Scias item quod quando peccavit, quasi non coram Deo operans peccavit ; quando autem confitetur, coram Deo se peccasse sentit. Porro **408** surgens vadit ad Patrem suum. Non solum enim consultandum est de his quæ placent Deo, sed et opus est facto. Nunc quemadmodum vidisti fervidam pœnitentiam, ita et celerem Patris misericordiam vide. Neque enim exspectavit donec filius veniret ad se, sed prævenit et amplexatur : pater enim est benignitate, etiam si natura Deus est, et totus totum amplectitur, ut undequaque ipsum ad se constringat, sicut dictum est : « Et gloria Dei circumdabit te.» Olim quidem quando elongabat se filius, tempus erat et Patri ut ab amplexu se elongaret : nunc vero cum redit et appropinquat per conversionem et orationem, tempus est amplexandi. Ruit igitur in collum ejus, ostendens eum qui olim desciverat, nunc obedientem esse factum. Et osculatur eum, reconciliationem indicans, et quasi vestibulum quoddam os polluti sanctificans, ac per hoc ad interna sanctificationem immittens.

A μαρτυρεῖ· « Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε ! ὅλην τὴν ἡμέραν μελέτη μου ἐστί. » καὶ πάλιν. « Ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, » οὐχ ἃς ἐφοβήθην· καὶ πάλιν· » Θαυμαστὰ τὰ μαρτύριά σου, καὶ διὰ τὸ εἶναι θαυμαστὰ, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου. » Ὅταν οὖν ἐν τῇ τάξει τοῦ υἱοῦ ὤν τις, εἶτα διὰ τὴν ἁμαρτίαν ἀποκηρυχθείη, καὶ ὁρῴη ἄλλους ἀπολαύοντας τῶν θείων χαρισμάτων, καὶ κοινωνοῦντας τῶν θείων μυστηρίων, καὶ τοῦ ἄρτου τοῦ θείου· οὐδὲ γὰρ περὶ τῶν κατηχουμένων μόνον χρὴ νοεῖν ὡς μισθίων λεγομένων, ἀλλὰ καὶ τῶν ἐν τῇ Ἐκκλησίᾳ ἁπλῶς μὴ τῆς πρώτης τάξεως ὄντων· τότε δὴ ταῦτα τὰ οἰκτρὰ ὀφείλει ἐπιλέγειν ἑαυτῷ· Πόσοι μίσθιοι τοῦ Πατρός μου περισσεύουσιν ἄρτων· ἐγὼ δὲ λιμῷ B ἀπόλλυμαι. Ἀλλ' ἀναστὰς, τουτέστιν, ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας, πορεύσομαι πρὸς τὸν Πατέρα μου, καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου· καταλιπὼν γὰρ τὰ οὐράνια, ἥμαρτον εἰς ταῦτα, προτιμήσας αὐτῶν τὴν κατάπτυστον ἡδονὴν, καὶ τῆς πατρίδος μου οὐρανοῦ τὴν τοῦ λιμοῦ χώραν προκρίνας. Ὥσπερ γὰρ ἁμαρτάνειν λέγεται, φέρε εἰπεῖν εἰς χρυσὸν, ὁ μόλιβδον αὐτοῦ προτιμῶν, οὕτως εἰς οὐρανὸν ἁμαρτάνει, ὁ τούτου προτιμήσας τὰ γήϊνα. Ἀποτυγχάνει γὰρ πάντως τῆς εἰς τὸν οὐρανὸν φερούσης ὁδοῦ. Ἐπίστησον δὲ, ὅτι, ὅταν μὲν ἡμάρτανεν, ὡς μὴ ἐνώπιον τοῦ Θεοῦ πράττων ἡμάρτανεν, ὅτε δὲ ἐξομολογεῖται, ἐνώπιον τοῦ Θεοῦ ἡμαρτηκὼς αἰσθάνεται. Ἀναστὰς δὲ ἦλθε C πρὸς τὸν πατέρα αὐτοῦ, δεῖ γὰρ ἡμᾶς μὴ μόνον βούλεσθαι τὰ φίλα Θεῷ, ἀλλὰ καὶ πράττειν. Ὥσπερ δὲ εἶδες θερμὴν τὴν μετάνοιαν, οὕτως καὶ τὴν εὐσπλαγχνίαν τοῦ πατρὸς ὅρα· Οὐδὲ γὰρ ἀνέμεινε τὸν υἱὸν ἐλθεῖν ἄχρις αὐτοῦ, ἀλλὰ προφθάνει, καὶ περιπλέκεται. Πατὴρ γὰρ τῇ χρηστότητι, εἰ καὶ φύσει Θεὸς, καὶ ὅλος ὅλον περιφύεται, ἵνα πάντοθεν αὐτὸν πρὸς ἑαυτὸν συσφίγξῃ, καθὸ εἴρηται· « Καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. » Καὶ πάλαι μὲν ὅτε ἐμάκρυνεν ἑαυτὸν ὁ υἱὸς, καιρὸς ἦν καὶ τῷ πατρὶ τοῦ μακρυνθῆναι ἀπὸ τῆς περιλήψεως· ὅτε δὲ ἤγγισε διὰ τῆς προσευχῆς καὶ τῆς ἐπιστροφῆς, καιρὸς ἐγένετο τοῦ περιλαβεῖν. Ἐπιπίπτει τοίνυν ἐπὶ τὸν τράχηλον, τὸν ἀποστατοῦντα πρώην, πειθήνιον νῦν γενέσθαι ἐνδεικνύμενος. Καὶ καταφιλεῖ αὐτὸν, τὴν καταλλαγὴν δεικνύων, καὶ οἷόν τι προπύλαιον τὸ στόμα πρῶτον τοῦ μιανθέντος ἁγιάζων, εἶτα διὰ τούτου καὶ ἐπὶ τὰ ἔνδον τὸν ἁγιασμὸν εἰσπέμπων.

VERS. 22-24. « Dixit autem pater ad servos suos : Proferte stolam primam, et induite illum : date annulum in manum ejus, et calceamenta in pedes : et adducite vitulum illum saginatum, atque mactate, sumptisque epulis lætemur : quia hic filius meus mortuus erat, et revixit ; perierat et inventus est. Et cœperunt lætari » Per servos intellige vel angelos ministratorios spiritus, qui mittuntur in ministerium propter eos qui salute digni sunt. Illi enim vestiunt a peccato revertentem stola prima, sive prisca, quam, priusquam peccaremus, gestabamus, indumento scilicet incorruptionis : vel pre-

D « Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτὸν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας αὐτοῦ, καὶ ἐξενέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν, ὅτι ὁ υἱός μου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. Καὶ ἤρξαντο εὐφραίνεσθαι. » Δούλους ἢ τοὺς ἀγγέλους νοήσαις, τὰ λειτουργικὰ πνεύματα τὰ στελλόμενα εἰς διακονίαν διὰ τοὺς σωτηρίας ἀξίους· καὶ γὰρ οὗτοι στολίζουσι τὸν ἐκ κακίας ἐπιστρέφοντα τὴν στολὴν τὴν πρώτην, ἤτοι τὴν ἀρχαίαν, ἣν πρὶν ἁμαρτεῖν ἐφοροῦμεν, τὸ

(*a*) Edit. Lut. omittit, *et quia sunt mirabilia*.
(*b*) In Ed. Lut omittuntur, *non in primo ordine*. Cætera sunt : *sane illa miserabilia oportet ei enumerare*.

ἔνδυμα τῆς ἀφθαρσίας, ἢ τὴν τιμίαν τὴν πρὸ τῶν A ἄλλων πασῶν, οἷά ἐστιν ἡ τοῦ βαπτίσματος. Πρώτη γάρ μοι αὕτη περιτίθεται, καὶ παρ' αὐτῆς λαμβάνω τὴν τῆς ἀσχημοσύνης περιστολήν. Ἢ τοίνυν τοὺς ἀγγέλους νοήσαις δούλους, τοὺς πᾶσι τοῖς ὑφ' ἡμῖν τελουμένοις διακονουμένους, καὶ δι' ὧν ἁγιαζόμεθα μέσων· ἢ καὶ τοὺς ἱερεῖς, τοὺς καὶ διὰ βαπτίσματος, καὶ λόγου διδασκαλικοῦ τὸν ἐπιστρέφοντα ἐνδύοντας, καὶ στολὴν πρώτην περιτιθέντας, τὸν Χριστὸν αὐτόν (ὅσοι γὰρ ἐβαπτίσθημεν εἰς Χριστὸν, Χριστὸν ἐνεδυσάμεθα), καὶ δακτύλιον διδόασιν εἰς τὴν χεῖρα, τὴν σφραγῖδα τοῦ Χριστιανισμοῦ, ἣν διὰ τῶν ἔργων ἔχομεν· ἡ μὲν γὰρ χεὶρ τῆς πράξεως σύμβολον, ὁ δὲ δακτύλιος τῆς σφραγῖδος· ὁ τοίνυν βαπτισθεὶς, καὶ ἁπλῶς ὁ ἀπὸ κακίας ἐπιστρέφων, ὀφείλει ἔχειν B ἐπὶ τῆς χειρὸς, τουτέστιν, ἐπὶ πάσης πρακτικῆς δυνάμεως, σφραγῖδα, καὶ γνώρισμα Χριστιανοῦ, ἵνα δεικνύναι ἔχῃ, ὡς κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν ἀνεκαινίσθη. Ἢ καὶ ἄλλως νοήσαις τὸν δακτύλιον, ἀῤῥαβῶνα τοῦ Πνεύματος· οἷον τί φημι· Ὁ Θεὸς τὰ μὲν τελειότατα ἀγαθὰ τότε δίδωσιν, ὅτε τούτων καιρὸς, καὶ νῦν δὲ πιστούμενος δηλαδὴ, ἐκεῖνα δίδωσιν ἡμῖν χαρίσματα, οἷόν τινας ἀῤῥαβῶνας τῶν μελλόντων, τοῖς μὲν θαυματουργίαν, τοῖς δὲ διδασκαλίαν, τοῖς δὲ ἄλλο τι, καὶ ταῦτα δεχόμενοι ἀπὸ τούτων καὶ τὰ τελειότερα βεβαίως ἐλπίζομεν. Ὑποδήματα εἰς τοὺς πόδας, ἵνα φυλάττωνται ἀπὸ τῶν σκορπίων, τῶν μικρῶν δηλαδὴ δοκούντων ἁμαρτημάτων, καὶ κρυφίων, ὡς ἔφη Δαυῒδ, πλὴν θανατωδῶν καὶ αὐτῶν· ναὶ μὴν καὶ ἀπὸ ὄφεων τῶν προφανῶς βλάπτειν C νομιζομένων, φημὶ ἁμαρτιῶν. Καὶ ἄλλως δὲ, ὑποδήματα δίδονται τῷ ἀξιωθέντι τῆς πρώτης στολῆς, ποιοῦντος τοῦ Θεοῦ αὐτὸν ἕτοιμον εἰς τὸ εὐαγγελίζεσθαι, καὶ ὠφελεῖν ἑτέρους. Τοῦτο γὰρ ὁ Χριστιανὸς τοῦ πλησίον ἡ ὠφέλεια. Μόσχος δὲ σιτευτὸς οὐκ ἀγνοεῖται τίς ἐστιν, ὁ θυόμενος, καὶ ἐσθιόμενος· πάντως γὰρ ὁ ἀληθὴς Υἱὸς τοῦ Θεοῦ, καθὸ ἄνθρωπος, καὶ σάρκα εἴληφε, τὴν ἄλογον φύσει, καὶ κτηνώδη, κἂν αὐτὴν τῶν οἰκείων αὐχημάτων πεπλήρωκε. Κατὰ τοῦτο μόσχος νοεῖται, ἀπειρόζυγος μὲν τοῦ νόμου τῆς ἁμαρτίας· σιτευτὸς δὲ, καθὸ εἰς τοῦτο τὸ μυστήριον ἀφώριστο πρὸ καταβολῆς κόσμου. Καὶ περιεργότερον δὲ ἴσως δόξει τὸ ῥηθησόμενον, ὅμως ῥηθήσεται· ὅτι ὁ ἄρτος, ὃν κλῶμεν κατὰ τὸ φαινόμενον μὲν, ἐκ σίτου συνεστὼς, σιτευτὸς ῥηθείη· κατὰ τὸ νοούμενον δὲ σὰρξ ὢν, μόσχος ἂν D λεχθείη. Καὶ ὁ αὐτός ἐστι μόσχος, καὶ σιτευτός. Πᾶς οὖν βαπτιζόμενος, καὶ υἱὸς Θεοῦ γινόμενος, μᾶλλον δὲ ἀποκαθιστάμενος, καὶ ἁπλῶς πᾶς ὁ ἀπὸ ἁμαρτίας καθαριζόμενος, τοῦ μόσχου τούτου τοῦ σιτευτοῦ κοινωνεῖ, καὶ εὐφροσύνης αἴτιος καὶ τῷ Πατρὶ, καὶ τοῖς δούλοις αὐτοῦ καθίσταται, ἀγγέλοις καὶ ἱερεῦσιν ὡς ἐκ νεκρώσεως ἀναζήσας, καὶ ἐξ ἀπωλείας εὑρεθείς· ὅσον μὲν γὰρ ἐπὶ τῇ τῆς κακίας περιουσίᾳ νεκρὸς ἦν, ἀπεγνωσμένος δηλαδή· ὅσον δὲ ἐπὶ τῇ ἀνθρωπίνῃ φύσει τῇ τρεπτῇ, καὶ ἐκ κακίας δυναμένῃ εἰς ἀρετὴν μεταπεσεῖν; ἀπολωλὼς λέγεται· ὃ γὰρ ἀπολωλὼς μετριώτερον, ἢ ὁ νεκρός.

« Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ, καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας

tiosa quæ dignitate præstat aliis omnibus, ut baptismi dignitate. Prima enim nos illa vestit, et ab ea sumimus honestatis vestitum. Vel per servos intellige angelos, qui ministrant omnibus quæ propter nos fiunt, et quibus mediantibus sanctificamur. Vel etiam sacerdotes, qui conversos per baptismum vel verbum doctrinæ induunt, et induunt eos Christum stolam primam (quicunque enim baptizati sumus in Christum, induti sumus Christum), et annulum dat in manum, signaculum Christianismi, quod per opera habemus. Nam manus symbolum operationis est, annulus vero signaculi. Igitur baptizatus, et omnis qui a peccato convertitur, debet habere in manu, hoc est, operativa virtute, signaculum Christiani: ut demonstrare queat quod recreatus sit ad imaginem ejus qui se condidit. Vel aliter: per annulum intelliges arrhabonem Spiritus: ut exempli gratia quid dicam, Deus perfectissima bona tunc dat, quando eorum tempus fuerit: et nunc ut credibilia sint, illa nobis dat charismata, ut arrhabonem futurorum: et aliis donum operandi miracula, aliis docendi, aliis vero aliud **409** quiddam: et cum illa suscipimus, firmiter et perfectiora expectamus Et calceos ad pedes, ut custodiantur a scorpiis, peccatis scilicet qui videntur parva et occulta, sicut dicebat David, attamen mortiferis et ipsis: atque etiam a serpentibus, id est, peccatis quæ manifeste nocere censentur. Vel aliter: calceamenta dantur ei qui primam stolam assecutus est, faciente Deo eum aptum ut annuntiet Evangelium, atque aliis prosit. Christiani enim est prodesse proximo. Vitulus saginatus non ignoratur quis sit, qui immolatur et comeditur. Nam est verus Filius Dei, et ita homo qui carnem assumpsit, natura irrationabilem, et brutam, illamque divino honore implevit: et secundum hoc vitulus dicitur, non enim expertus est jugum legis peccati; saginatus vero, secudum quod ad hoc mysterium ordinatus est ante constitutionem mundi. Et fortassis curiosius videbitur si dicatur, dicetur tamen. Quia panis quem frangimus, secundum id quod apparet, ex tritico confectus est, saginatus, et, ut Græci dicunt, σιτευτὸς, frumento pastus dicendus est. Secundum hoc autem quod per illum intelligitur quod caro est, vitulus dictus est. Et ipse est vitulus, et saginatus. Omnis igitur qui baptizatur, et filius Dei efficitur, imo restituitur, et in summa omnis qui a peccato purgatur particeps fit saginati illius Vituli, et lætitiæ auctor fit Patri et servis ejus, angelis et sacerdotibus, tanquam ex morte resurrexisset, et post perditionem fuisset inventus. Nam quantum ad malitiæ abundantiam mortuus erat, et desperatus: quantum vero ad humanam naturam, quæ vertibilis est et valet a malitia ad virtutem ingredi, perditus dicitur. Perditus enim mitius dicitur, quam mortuus.

Vers. 25-32. « Erat autem filius ejus senior in agro, et cum veniret et appropinquasset domui,

audivit concentum et choros, et vocavit unum de pueris servis, et interrogavit quid essent illa. At is dixit illi : Frater tuus venit, et occidit pater tuus vitulum illum saginatum, quod incolumem illum receperit. Indignatus est autem, nec volebat introire. Pater ergo illius egressus rogabat illum. At ille respondens dixit patri: Ecce tot annis servio tibi, nec unquam præceptum tuum transgressus sum, nec unquam dedisti mihi hædum ut cum amicis meis lætarer: sed postquam filius tuus hic, qui devoravit substantiam tuam cum meretricibus, venit, occidisti illi vitulum illum saginatum. At ille dixit ei : Fili, tu semper mecum es, et omnia mea tua sunt : lætari autem et gaudere oportebat, quia frater tuus hic mortuus erat, ac revixit; et perierat, et inventus est. » 410 Hoc loco celebris movetur quæstio : Quomodo appareat filius invidus, qui alioqui vixit et servivit patri bene placens? Quæ solvetur, siquidem parabolam quis expenderit, quare dicta fuerit. Omnino enim quia obmurmurabant Domino Pharisæi, mundos et justos se putantes, eo quod susciperet meretrices et publicanos, propterea parabola ista cum his quæ ante eam dictæ sunt, proponitur : quandoquidem igitur dicta sit, quia Pharisæi qui erant, justiores publicanis, ut videbantur, obmurmurabant: considera quod persona filii qui videbatur obmurmurare sumitur contra omnes qui scandalizantur in repentina felicitate et salute peccatorum: hoc autem non est invidiæ, sed magnæ benignitatis divinæ, quam nos ignoramus, et propterea parit murmurationem. Annon et David inducit personam quæ offenditur in pace peccatorum? et similiter Jeremias, « Quid quod via impiorum prosperatur, dicens, et plantasti eos, et radices egerunt [79]? » Hæc enim omnia sunt infirmarum et pauperum cogitationum hominum, qui acccenduntur, et loquuntur in prosperitate malorum indigna. Dicit igitur per præsentem parabolam Dominus Pharisæis quasi in hunc modum: Esto, vos justi sitis sicut filius ille et beneplaceatis Patri : obsecro vos justos et mundos, ne obmurmuretis ob lætitiam quam habemus propter peccatoris salutem, siquidem hic quoque filius est. Itaque non apparet invidia, sed Dominus Pharisæorum mentem instruit per parabolam illam, ut etiamsi justi ipsi essent, et omnia mandata Dei perfecissent, gravatim ferre non deberent suscipi peccatores. Nec mirum est si ægre feramus super his quæ indigne videntur fieri. Tanta enim Dei est benignitas, et tam liberaliter sua bona nobis communicat, ut et indignatio et obmurmuratio inde nasci posset: id quod in familiari colloquio dicimus. Sæpe cum beneficiis quempiam affecimus, et deinde gratias non egerit, dicimus: Reprehendunt me omnes quod tanta in te beneficia contulerim : quamvis forte nemo nos reprehenderit attamen magnitudinem beneficentiæ ostendere volentes, ita fingimus. Videamus autem et particulatim et brevi-

A καὶ χορῶν, καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων δούλων, ἐπυνθάνετο τί εἴη ταῦτα· ὁ δὲ εἶπεν αὐτῷ, ὅτι, Ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. Ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν εἰσελθεῖν. Ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν, παρεκάλει αὐτόν· ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· Ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτέ σου ἐντολὴν παρεῖδον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· ὅτε δέ ὁ υἱός σου οὗτος, ὁ καταφαγὼν σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν. Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν· εὐφρανθῆναι δέ ἔδει, καὶ χαρῆναι, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. » B Ἐνταῦθα τὸ πολυθρύλλητον ζήτημα. Πῶς ὁ υἱὸς φαίνεται φθονερὸς ὁ εὐαρέστως ζήσας τἄλλα, καὶ δεδουλευκὼς τῷ πατρί ; Ὃ λυθήσεται, εἴγε τις τὴν παραβολὴν ἀναλογίσαιτο, διὰ τί ἐῤῥέθη· πάντως γὰρ διότι ἐγόγγυζον οἱ καθαροὶ, καὶ δικαιοῦντες ἑαυτοὺς Φαρισαῖοι ἐπὶ τῷ Κυρίῳ προσδεχομένῳ πόρνας καὶ τελώνας, διὰ τοῦτο ἡ παραβολὴ αὕτη μετὰ τῶν πρὸ αὐτῆς εἴρηται· ἐπεὶ οὖν διότι ἐγόγγυζον οἱ Φαρισαῖοι, δίκαιοι ὄντες ὑπὲρ τοὺς τελώνας, ὡς ἐδόκουν, εἴρηται· σκόπει ὅτι τὸ πρόσωπον τοῦ δοκοῦντος γογγύζειν υἱοῦ λαμβάνεται εἰς πάντας τοὺς σκανδαλιζομένους ἐπὶ τῇ ἀθρόᾳ εὐπραγίᾳ, καὶ σωτηρίᾳ τῶν ἁμαρτωλῶν· τοῦτο δὲ οὐκ ἔστι φθόνος, ἀλλ' ὑπέρχυσις τῆς φιλανθρωπίας τοῦ Θεοῦ ἀγνοουμένη ἡμῖν, καὶ διὰ τοῦτο τίκτουσα τὸν γογγυσμόν· C ἆρα γὰρ ὁ Δαυῒδ οὐκ εἰσάγει πρόσωπον σκανδαλιζομένου ἐπὶ τῇ εἰρήνῃ τῶν ἁμαρτωλῶν ; καὶ ὁ Ἱερεμίας ὁμοίως, « Τί ὅτι ὁδὸς ἀσεβῶν εὐθηνεῖται, λέγων, καὶ ἐφύτευσας αὐτοὺς, καὶ ἐριζοβόλησαν· » Ταῦτα γὰρ πάντα τῆς ἀσθενοῦς καὶ πτωχῆς διανοίας εἰσὶ τῶν ἀνθρώπων ἐμπυριζομένης, καὶ διστάζούσης ἐπὶ τῇ ἀναξίᾳ, δῆθεν εὐπραγίᾳ τῶν πονηρῶν. Λέγει τοίνυν διὰ τῆς παρούσης παραβολῆς ὁ Κύριος μονονουχὶ τοιαῦτα τοῖς Φαρισαίοις· Ἔστω, ὑμεῖς δίκαιοι κατὰ τὸν υἱὸν ἐκεῖνον, καὶ εὐάρεστοι τῷ Πατρὶ, παρακαλῶ ὑμᾶς τοὺς δικαίους καὶ καθαροὺς, μὴ γογγύζειν ἐπὶ τῇ εὐφροσύνῃ, ἣν ποιούμεθα διὰ τὴν τοῦ ἁμαρτωλοῦ σωτηρίαν· καὶ γὰρ καὶ οὗτος υἱός. Οὐ τοίνυν φθόνος ἐντεῦθεν ἐμφαίνεται, ἀλλὰ τὴν τῶν D Φαρισαίων γνώμην παιδεύει ὁ Κύριος διὰ τῆς παραβολῆς ταύτης, ὥστε εἰ καὶ δίκαιοι εἶεν αὐτοὶ, καὶ πᾶσαν ἐντολὴν τοῦ Θεοῦ πεπληρωκότες, μὴ δυσχεραίνειν ἐπὶ τῇ παραδοχῇ τῶν ἁμαρτωλῶν. Καὶ οὐδὲν θαυμαστὸν εἰ δυσχεραίνομεν ἐπὶ τοῖς ἀναξίως δοκοῦσι γίνεσθαι, τοσαύτη γὰρ ἐστιν ἡ τοῦ Θεοῦ φιλανθρωπία, καὶ οὕτως ἀφθόνως μεταδίδωσιν ἡμῖν τῶν οἰκείων ἀγαθῶν, ὥστε καὶ γογγυσμὸν τίκτεσθαι ἐντεῦθεν δύνασθαι· ὅπερ καὶ ἐν τῇ συνήθει ὁμιλίᾳ λέγομεν. Πολλάκις γὰρ εὐεργετήσαντές τινα, εἶτα ἀχαριστηθέντες παρ' αὐτοῦ λέγομεν, ὅτι Μέμφονταί μοι πάντες, ὅτι σε εὐηργέτησα τοσαῦτα· καίτοι γε ἴσως οὐκ ἐμέμψατό τις ἡμῖν, ἀλλὰ ὅμως τῆς εὐεργε-

[79] Jerem. XII, 2.

σίας ἐνδείξασθαι βουλόμενοι τὸ μέγεθος, τοῦτο πλάττομεν. Ἴδωμεν δὲ καὶ κατὰ μέρος ὡς ἐν ἐπιτομῇ τὴν παραβολήν. Ἐν ἀγρῷ ἦν ὁ πρεσβύτερος υἱὸς, ἐν τῷ κόσμῳ τούτῳ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, τὴν σάρκα φημὶ, ἵνα ἐμπλησθῇ ἄρτων, καὶ σπείρων ἐν δάκρυσιν, ἵνα ἐν ἀγαλλιάσει θερίσῃ. Μαθὼν δὲ τὰ πραχθέντα, οὐκ ἤθελεν εἰς τὴν κοινὴν χαρὰν εἰσελθεῖν. Ὁ δὲ φιλάνθρωπος πατὴρ ἔξεισι, καὶ παρακαλεῖ, καὶ ἀναδιδάσκει αὐτὸν τὴν τῆς εὐφροσύνης αἰτίαν, ὅτι νεκροῦ ἐστιν ἀναζώωσις· διὰ τὸ ἀγνοεῖν ὡς ἄνθρωπον σκανδαλιζόμενον, καὶ αἰτεώμενον αὐτὸν, ὡς αὐτῷ μὲν, οὐδὲ ἔριφον ἐδεδώκει, τῷ δὲ ἀσώτῳ τὸν σιτευτὸν καταθύσειε μόσχον. Τί δὲ ἐστι τὸ διὰ τοῦ ἐρίφου δηλούμενον; Ὧδε ἂν μάθοις· Πᾶς ἔριφος τῆς ἀριστερᾶς καὶ ἁμαρτωλοῦ μερίδος τάττεται. Φησὶν οὖν ὁ εὐάρεστος υἱὸς, ὅτι Ἐν πᾶσι πόνοις διῆγον τὴν ζωὴν, διωκόμενος, κακοχούμενος, ὑπὸ τῶν ἁμαρτωλῶν θλιβόμενος, καὶ οὐδέποτε ὑπὲρ ἐμοῦ ἔσφαξας καὶ ἀπέκτεινας ἔριφον, τουτέστιν, ἁμαρτωλὸν θλίβοντά με, ὡς ἂν εὕρω μικρὰν ἄνεσιν· οἷον ἔριφος ἦν τῷ Ἠλιοῦ ὁ Ἀχαάβ. Ἐδίωκεν οὖν τὸν προφήτην, καὶ οὐκ ἔδωκεν ὁ Κύριος τοῦτον τὸν ἔριφον ταχέως εἰς σφαγὴν, ἵνα μικρὸν ἀνεθεὶς Ἠλιοῦ ἀναπαύσηται μετὰ τῶν φίλων αὐτοῦ τῶν προφητῶν. Διὸ καὶ φησι πρὸς Θεόν· « Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν. » Ἔριφος τῷ Δαυῒδ ὁ Σαούλ, καὶ πάντες οἱ ἐνδιαβάλλοντες αὐτὸν, οὓς ἐφίει ὁ Κύριος πειράζειν αὐτὸν, καὶ οὐκ ἔσφαττεν, ὡς ἂν ἡσθείη Δαυΐδ· διὸ καὶ ἔλεγεν· « Ἕως πότε ἁμαρτωλοὶ, Κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται »; Ταῦτα λέγει καὶ ὁ ἐν τῷ Εὐαγγελίῳ υἱός· Πάντοτέ με ἐν κόποις ὄντα οὐδεμιᾶς παραμυθίας ἠξίωσας, οὐδὲ τῶν θλιβόντων μέ τινα σφαγῇ παρέδωκας, νῦν δὲ οὕτως ἀπόνως σώζεις τὸν ἄσωτον. Οὗτος μὲν οὖν ὁ σκοπὸς τῆς παραβολῆς ἅπας, διὰ τοὺς γογγύζοντας Φαρισαίους ἐπὶ τοῖς ὑπὸ τοῦ Κυρίου προσλαμβανομένοις ἁμαρτωλοῖς λεχθείσης, καὶ παιδευούσης, κἂν ὦμεν δίκαιοι, μὴ τοὺς ἁμαρτωλοὺς ἀποσείεσθαι, μηδὲ προσδεχομένου αὐτοὺς τοῦ Θεοῦ καταγογγύζειν. Υἱὸς τοίνυν νεώτερος αἱ πόρναι, καὶ οἱ τελῶναι· υἱὸς πρεσβύτερος οἱ Φαρισαῖοι καὶ οἱ Γραμματεῖς, καθ' ὑπόθεσιν δίκαιοι λαμβανόμενοι, ὡσανεὶ λέγοντος τοῦ Θεοῦ· Ἔστω, ὑμεῖς δίκαιοι ἀληθῶς, καὶ οὐδεμίαν ἐντολὴν παραβεβηκότες· οὐ δεῖ οὖν προσλαμβάνεσθαι τοὺς ἐκ πονηρίας ἐπιστρέφοντας; Τοὺς τοιούτους οὖν γογγυστὰς παιδεύει διὰ τῆς παραβολῆς. Οὐκ ἀγνοῶ δὲ, ὅτι τινὲς εἰς τοὺς ἀγγέλους μὲν τὸν πρεσβύτερον υἱὸν, τὸν δὲ νεώτερον εἰς τὴν τῶν ἀνθρώπων φύσιν τὴν νεωτερίσασαν κατὰ τῆς δοθείσης ἐντολῆς καὶ ἀφηνιάσασαν ἐξελάβοντο· ἄλλοι εἰς τοὺς Ἰσραηλίτας καὶ τοὺς ἐθνικούς. Ἀληθὲς δὲ, ὃ εἴπομεν μόνον, ὅτι εἰς μὲν τῶν δικαίων τὸ πρόσωπον, λαμβάνεται ὁ πρεσβύτερος υἱὸς, εἰς τὸ τῶν ἁμαρτωλῶν δὲ καὶ ἐπιστρεφόντων, ὁ νεώτερος. Τὸ δὲ ὅλον ὕφος τῆς παραβολῆς διὰ τοὺς Φαρισαίους συνέστη, παιδεύοντος αὐτοὺς τοῦ Κυρίου, μὴ δυσχεραίνειν ἐπὶ τῇ παραδοχῇ τῶν ἁμαρτωλῶν, κἂν αὐτοὶ δίκαιοι εἶεν.

ter parabolam. In agro erat filius senior, hoc est, in mundo hoc, et operabatur suam terram, carnem dico, ut impleretur panibus, et serebat in lacrymis, ut meteret in exultatione. Porro ubi didicit quæ facta erant, noluit ad commune gaudium ingredi: sed misericors pater egreditur, et obsecrat, et docet eum, lætitiæ causam esse mortui revivificationem: eo quod ignorans scandalizatus esset homo, et arguerat eum quod sibi neque hædum dedisset, **41** intemperato autem saginatum occidisset vitulum. Quid autem est quod per hædum significatur? Hoc loco disce: Omnis hædus et peccator ordinatur ad sinistram partem. Dicit igitur bonæ frugis filius: Transegi vitam in omnibus laboribus, persecutionem passus et afflictus et a peccatoribus passus, et nunquam mihi occidisti hædum, hoc est, humiliasti peccatorem, ut invenirem vel parvam quietem: hædus erat Eliæ Achab. Persequebatur enim prophetam, et non dedit Dominus hædum statim ad occidendum, ut parumper refocillaretur et quiesceret cum amicis prophetis suis. Proinde dicit ad Deum: «Domine, proohetas tuos occiderunt, et altaria tua subverterunt.» Hædus Davidi erat et Saul, et omnes qui calumniabantur eum, quibus permittebat Dominus tentare eum, et non occidit, ut lætaretur David; ideo et dicebat: «Usquequo peccatores, Domine, usquequo peccatores gloriabuntur [80]? » Hæc dicit in Evangelio et filius, cum in multis esset laboribus, et nullam fuisset assecutus consolationem: Neque aliquem ex persecutoribus meis morti tradidisti, nunc autem ita facile salvas prodigum. Hic igitur totus scopus parabolæ est propter Pharisæos obmurmurantes quod peccatores susciperet: qua docet, etiamsi justi simus, non repellendos peccatores, neque obmurmurandum, recipiente illos Deo. Filius igitur junior, sunt meretrices et publicani: senior vero, Pharisæi et Scribæ qui, secundum materiam parabolæ, justi intelliguntur; quasi dicente Deo: Esto, vos sitis vere justi, nullumque transgressi mandatum: non oportet igitur assumi eos qui a peccatis convertuntur? Tales itaque obmurmuratores docet per hanc parabolam. Non ignoro autem quod quidam per seniorem filium angelos exponunt, per juniorem autem humanam naturam, quæ tumultuata est, et contra datum mandatum vacuit deliciis; alii vero Israelitas et gentiles. Verum autem hoc tenendum est quod diximus, quia filius senior personam gerit justorum, junior autem peccatorum et se convertentium. Totus autem parabola contextus propter Pharisæos est positus, ut doceat eos Dominus ne ægre ferant susceptionem peccatorum, etiamsi ipsi justi essent. Nullus ergo judicia Dei gravatim ferat, sed gratum sit ei, si ii qui peccatores videntur, feliciter agant et salventur. Qui enim scis, si is quem tu peccatorem censes, pœnitentiam egerit et gratus factus sit? Quid item, si occultas habet virtutes, et propterea a Deo benigne respicitur?

80 Psal. XCIII, 3.

Μηδεὶς οὖν ἐπὶ τοῖς τοῦ Θεοῦ κρίμασι δυσχεραινέτω, ἀλλ' ἀνεχέσθω εὐπραγούντων, καὶ σωζομένων τῶν ἁμαρτωλῶν δοκούντων. Τί γὰρ οἶδας, εἰ ὃν σὺ νομίζεις ἁμαρτωλὸν, οὕτως μετενόησε, καὶ διὰ τοῦτο προσεδέχθη; Τί δὲ εἰ κρυπτὰς ἀρετὰς ἔχει, καὶ διὰ ταύτας παρὰ τοῦ Θεοῦ εὐμενῶς ὁρᾶται;

## 412 CAPUT XVI.

*De dispensatore injusto. Quod ne apex quidem de lege prætereundus sit. De non dimittenda uxore. De Lazare et divite epulone*

VERS. 1-9. « Dicebat autem et ad discipulos suos : Homo quidam erat dives, qui habebat dispenatorem, et hic delatus est apud illum ut qui dissiparet bona ipsius : et vocavit illum, et ait illi: Quid hoc audio de te? redde rationem dispensationis tuæ : non enim poteris posthac dispensare. Ait autem dispensator intra se : Quid faciam quia dominus meus aufert a me dispensationem? Fodere non valeo, mendicare erubesco : scio quid faciam, ut cum amotus fuero a dispensatione, recipiant me in domos suas. Convocatis itaque singulis debitoribus domini sui, dicebat primo: Quantum debes domino meo? At ille dixit : Centum batos olei. Dixitque illi : Accipe cautionem tuam, et sede cito, et scribe quinquaginta. Deinde alteri dixit: Tu vero quantum debes? Qui ait. Centum coros tritici. Ait illi : Accipe cautionem tuam, et scribe octoginta. Et laudavit dominus dispensatorem iniquum, quod prudenter fecisset (a): quia filii hujus sæculi prudentiores sunt filiis lucis in natione sua. Et ego vobis dico: Facite vobis amicos ex mammona injusto, ut cum defeceritis, recipiant vos in æterna tabernacula.» Omnis parabola oblique et figurato modo rerum quarumdam naturam manifestat, non per omnia rebus illis assimliata propter quas assumpta est. Idcirco non oportet omnes parabolarum partes curiosius inquirere, sed quatenus apparent proposito utiles; reliquæ enim sinendæ sunt quasi parabolam contexentes, et nihil ad propositum conducentes, quomodo et in proposita parabola faciendum. Nam si per tenues particulas omnia exponere tentavero, quis dispensator, quis dispensatoris dominus, et a quo delatus sit, et qui debitores, et propter quam causam ille quidem oleum, alius autem triticum, et qua de causa centum debere dicantur, et si alia omnia perquisiverimus, obscurum et molestum sermonem faciemus : et fortassis, si valde hæsitaverimus, etiam ridiculi erimus. Igitur tantum utilitatis ex præsenti parabola capere oportet, quantum possibile est. Et ut aliquid dicam, Dominus hoc loco vult nos docere ut bene dispensentur creditæ nobis divitiæ. Et primum hoc discimus, quod non sumus domini divitiarum. Nihil enim habemus proprium, sed dispensatores alienarum rerum sumus, quæ a Domino nobis concreditæ sunt ut illas bene dispensemus sicut ipse imperat. At 413 si concreditas divitias non expenderimus juxta mentem Domini, et abusi fuerimus illis in nostrum luxum, accusabimur. Etenim voluntas

A

## ΚΕΦΑΛ. ΙϚ'.

Περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας. Περὶ τοῦ μηδὲ κεραίαν ἀπὸ τοῦ νόμου παρελθεῖν ἄν. Περὶ τοῦ μὴ ἀπολύειν τὴν γυναῖκα. Περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου.

« Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον, καὶ οὗτος διεβλήθη αὐτῷ, ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ. Καὶ φωνήσας αὐτὸν, εἶπεν αὐτῷ· Τί τοῦτο ἀκούω περὶ σοῦ; Ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου, οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν. Εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος· Τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ; Σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι· ἔγνων τί ποιήσω, ἵνα ὅταν μετασταθῶ τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους B αὐτῶν. Καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεοφειλετῶν τοῦ κυρίου αὐτοῦ, ἔλεγε τῷ πρώτῳ· Πόσον ὀφείλεις τῷ κυρίῳ μου; Ὁ δὲ εἶπεν· Ἑκατὸν βάτους ἐλαίου· καὶ εἶπεν αὐτῷ· Δέξαι σου τὸ γράμμα, καὶ καθίσας ταχέως γράψον πεντήκοντα. Ἔπειτα ἑτέρῳ εἶπε· Σὺ δὲ πόσον ὀφείλεις; Ὁ δὲ εἶπεν· Ἑκατὸν κόρους σίτου. Καὶ λέγει αὐτῷ· Δέξαι σου τὸ γράμμα, καὶ γράψον ὀγδοήκοντα. Καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι εἰσιν ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν. Κἀγὼ ὑμῖν λέγω, ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. » Πᾶσα παραβολὴ πλαγίως καὶ εἰκονικῶς δηλοῖ πραγμάτων τινῶν φύσιν, οὐ κατὰ πάντα ἐοικυῖα τοῖς C πράγμασιν ἐκείνοις, δι' ἃ παρελήφθη. Διὸ οὐδὲ χρὴ πάντα τὰ μέρη τῶν παραβολῶν λεπτῶς πολυπραγμονεῖσθαι, ἀλλ' ὅσον ἔοικε τῷ προκειμένῳ καρπουμένους, τὰ λοιπὰ ἐᾷν, ὡς τῇ παραβολῇ συνυφιστάμενα, καὶ μηδὲν πρὸς τὸ προκείμενον συμβαλλόμενα, οἷον δὴ καὶ ἐπὶ τῆς προτεθείσης παραβολῆς, χρὴ ποιῆσαι. Εἰ γὰρ πάντα ἐξετάζειν ἐπιχειρήσομεν λεπτομερῶς, τίς ὁ οἰκονόμος, τίς ὁ τοῦτον προβαλλόμενος εἰς τὴν οἰκονομίαν, καὶ παρὰ τίνος διεβλήθη, καὶ τίνες οἱ χρεωστοῦντες, καὶ διὰ ποίαν αἰτίαν ὁ μὲν ἔλαιον, ὁ δὲ σῖτον, καὶ διατί ἀνὰ ἑκατὸν ὀφλῆσαι λέγονται· καὶ ἁπλῶς τἄλλα πάντα εἰ περιεργότερον ἐξετάζοιμεν, σκοτεινὸν τὸν λόγον ποιησόμεθα, πρὸς τῷ καὶ καταγέλαστα ἴσως ἐξηγεῖσθαι διὰ τὴν τῆς D ἀπορίας ἀνάγκην. Δεῖ τοίνυν τοσοῦτον ὠφεληθῆναι ἀπὸ τῆς παρούσης παραβολῆς, ὅσον ἐνδέχεται. Οἷον τί φημι· ὁ Κύριος ἐνταῦθα βούλεται ἡμᾶς διδάξαι περὶ τοῦ τὸν δοθέντα ἡμῖν πλοῦτον καλῶς διατίθεσθαι. Καὶ πρῶτον μὲν τοῦτο μανθάνομεν, ὅτι οὐκ ἐσμὲν κύριοι χρημάτων, οὐδὲν γὰρ ἔχομεν ἴδιον, ἀλλ' οἰκονόμοι ἀλλοτρίων ἐσμὲν παρὰ τοῦ Δεσπότου ἡμῖν ἐγκεχειρισμένων, ἵνα καλῶς αὐτὰ διαθώμεθα, καὶ ὡς ἐκεῖνος προστάττει· ἔπειτα ὅτι μὴ κατὰ γνώμην τοῦ Δεσπότου τὴν οἰκονομίαν τοῦ πλούτου με-

(a) Verba, ὅτι φρονίμως ἐποίησεν, non legebat in suo codice Theophylactus, adnotante ad hunc locum Millio.

ταχειριζόμενοι, ἀλλ' εἰς οἰκείας σπατάλας τοῖς δοθεῖσιν ἀποχρώμενοι, διαβεβλημένοι ἐσμὲν οἰκονόμοι. Βούλημα γὰρ τοῦ Δεσπότου ἐστὶ χρᾶσθαι τοῖς δοθεῖσιν εἰς τὰς τῶν ὁμοδούλων χρείας, οὐκ εἰς οἰκείας τρυφάς· διαβαλλόμενοι δὲ καὶ μέλλοντες μεθίστασθαι τῆς οἰκονομίας τῶν χρημάτων, ἤτοι τοῦ βίου τούτου ἐκκόπτεσθαι, ὅτε δηλαδὴ καὶ λόγον δώσομεν τῆς οἰκονομίας μετὰ τὴν ἐνθένδε μετάστασιν, ἐὰν φρόνιμοι ὦμεν, ἐπαισθανόμεθα ὀψὲ γοῦν τοῦ δέοντος, καὶ ποιοῦμεν ἡμῖν ἑαυτοῖς φίλους ἐκ τῶν τῆς ἀδικίας χρημάτων· ἀδικίας δὲ χρήματα ἐκεῖνα ὀνομάζονται, ὅσα ὁ μὲν Κύριος δέδωκεν ἀναλίσκεσθαι εἰς χρείας τῶν ἀδελφῶν, καὶ ὁμοδούλων, ἡμεῖς δὲ ἑαυτοῖς παρακατέσχομεν. Ἀλλ' ὀψὲ γοῦν συναισθώμεθα, ποῖ φερόμεθα, καὶ ὅτι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὔτε κάμνειν δυνάμεθα· ἐργασίας γὰρ οὐκ ἔστι τότε καιρός· οὔτε ἐπαιτεῖν εὐπρεπές· μωραὶ γὰρ αἱ παρθένοι αἱ ἐπαιτήσασαι ὀνομάζονται. Τί τοίνυν λοιπόν; Τὸ συμμεριστὰς ποιῆσαι τῶν χρημάτων τούτων τοὺς ἀδελφούς, ἵν' ὅταν ἐκλίπωμεν ἐντεῦθεν, τουτέστιν, ἀπὸ τοῦ βίου τούτου ἀναχωρῶμεν, δέξωνται ἡμᾶς οἱ πένητες εἰς τὰς αἰωνίους σκηνάς· τοῖς γὰρ ἐν Χριστῷ πένησιν αἱ αἰώνιαι σκηναὶ ἀπεκληρώθησαν, εἰς ἃς δύνανται δέξασθαι τοὺς ἐνταῦθα αὐτοῖς φιλιάσαντας διὰ τῆς δόσεως τῶν χρημάτων, ἃ Δεσποτικὰ ὄντα τοῖς πένησιν ἔδει ἐξ ἀρχῆς δοθῆναι. Οὗτοι γάρ οἱ χρεῶσται κατὰ τὸ εἰρημένον· « Ὅλην τὴν ἡμέραν ἐλεεῖ, καὶ δανείζει ὁ δίκαιος· » καὶ πάλιν· « Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ » Ἔδει μὲν οὖν προηγουμένως πάντα δοθῆναι τοῖς καλοῖς τούτοις χρεωφειλέταις τοῖς ἑκατονταπλασίονα ἀποδιδοῦσι. Πλὴν ἐπεὶ οἰκονόμοι τῆς ἀδικίας εὑρισκόμεθα, ἀδίκως παρακατέχοντες ἃ ἄλλοις ἀφώρισται, μὴ πάντη μενητέον ἐν ταύτῃ τῇ ἀπανθρωπίᾳ, ἀλλὰ μεταδοτέον τοῖς πένησιν, ἵνα παρ' αὐτῶν ὑποδεχθῶμεν εἰς τὰς αἰωνίους σκηνάς. Οὕτως οὖν ἐκλαμβάνουσιν ἡμῖν τὴν παραβολήν, οὐδὲν περιττόν, ἢ περίεργον, ἢ ὀνειροκριτικὸν τῇ ἐξηγήσει ἀπαντήσει. Δοκεῖ δὲ ἀλλόκοτόν τι σημαίνειν τό· Υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροί εἰσι, καὶ τὰ ἑξῆς. Οὐκ ἔστι δὲ δυσπαρακολούθητον, ἢ ξενίζον. Υἱοὺς γὰρ αἰῶνός φησι τούτου, τοὺς ἐπινοουμένους πάντα τὰ ἐκ τῇ γῇ αὐτοῖς λυσιτελοῦντα· υἱοὺς δὲ φωτός, τοὺς ὀφείλοντας τὸν πνευματικὸν πλοῦτον μεταχειρίζεσθαι θεοφιλῶς. Τοῦτο οὖν λέγει, ὅτι Οἱ ἄνθρωποι οἰκονόμοι μὲν ἀνθρωπίνων διοικήσεων καθιστάμενοι πάντα τρόπον πραγματεύονται, ὅπως μετὰ τὸ μετασταθῆναι ἐκ τῆς οἰκονομίας, ἔχωσι παρηγορίαν· υἱοὶ δὲ φωτὸς ταττόμενοι, τουτέστι, πνευματικὴν διοίκησιν χρημάτων πιστευόμενοι, οὐδὲν ἐπινοοῦνται πρὸς τὸ ὠφεληθῆναι μετὰ ταῦτα· υἱοὶ οὖν τοῦ αἰῶνος τούτου οἱ ἀνθρωπίνας διοικήσεις πεπιστευμένοι. καὶ ἐν τῇ γενεᾷ τῇ ἑαυτῶν, τουτέστιν, ἐν τῷ βίῳ τούτῳ, φρονίμως τὰ καθ' ἑαυτοὺς διοικοῦντες. Υἱοὶ δὲ φωτὸς οἱ χρήματα λαβόντες, ὥστε διοικεῖν αὐτὰ θεοφιλῶς. Εὑρισκόμεθα οὖν ἐν μὲν ταῖς ἀνθρωπίναις διοικήσεσι φρονίμως τὰ ἑαυτῶν διοικοῦντες, καὶ πραγματευόμενοι, ἵνα, εἰ καὶ ἐκπέσωμέν ποτε τῆς οἰκονομίας,

A Domini est datis uti in usus conservorum, non in proprias delicias: porro qui accusantur et destituuntur a dispensatione divitiarum, hi sunt qui ex hac vita emigrant, quando scilicet et rationem dabimus de dispensatione, cum destituti fuerimus. Si itaque prudentes essemus, vel tarde sentiremus quid facto opus, et faceremus nobis amicos ex divitiis injustitiæ. Dicuntur autem divitiæ injustitiæ, quas nobis Dominus in usus fratrum et conservorum insumendas dedit, nos autem nobis depositas tenemus. Verum vel tarde sentiamus quo feramur, et quod cum dies illa venerit, neque laborare poterimus. Non enim tunc erit operandi tempus, neque tunc honestum erit mendicare: stultæ enim virgines dicuntur quæ mendicant: quid igitur reliquum, quam ut harum divitiarum fratres partici-

B pes faciamus, ut quando hinc defecerimus, hoc est ex hac vita excesserimus, accipiant nos pauperes in æterna tabernacula? Æterna enim tabernacula pauperibus in Christo constituta sunt, in quæ possint recipere eos qui hic ipsis amice de bonis, quæ sunt Dominica, largiuntur. Pauperibus enim primum debebamus dare: nam illi debitores sunt, secundum hoc quod dictum est: « Tota die miseretur et commodat justus [80]; » et iterum, « Qui miseretur pauperi, feneratur Deo [81]. » Oportebat igitur primum dare bonis illis debitoribus, qui centupla reddunt. Verum quia dispensatores injustitiæ invenimur, injuste retinentes quæ aliis seposita sunt, non semper manendum erit in hac infidelitate, sed

C communicandum pauperibus, ut ab ipsis suscipiamur in æterna tabernacula Sic igitur nobis exponentibus parabolam, nihil vel superfluum, vel curiosum, vel somniculosum enarrando occurret. Videtur autem et alienum quiddam significare, dicens: Filii hujus sæculi prudentiores sunt, etc. Non autem male cohæret, neque alienum est. Filios enim hujus sæculi dicit eos qui laudant omnia quæ in terra lucrosa sunt: filios vero lucis, eos qui debent pie spirituales divitias communicare. Hoc igitur dicit: Homines humanis dispensationibus præfecti, omnibus modis curam habent et provident ut cum destituti fuerint a dispensationis munere, consolationem habeant; qui autem filii lucis ordinantur,

D hoc est, quibus concredita est spiritualis pecuniarum dispensatio, non cogitant quomodo post hanc vitam commodum percipiant. Filii itaque sæculi hujus, ii sunt quibus humanæ dispensationes concreditæ sunt, et in generatione sua, hoc est, in vita hac, prudenter res **414** suas dispensant; filii vero lucis, qui pecunias receperunt ut illas in pios usus dispensent. Invenimur itaque in humanis dispensationibus res nostras prudenter dispensare, ut etiam si administratione exciderimus, habeamus quoddam refugium vitæ: in his autem rebus quæ debent secundum Deum dispensari, nullam videmur gerere curam quomodo rationem dispen-

[80] Psal. xxxvi, 26. [81] Prov. xix, 17.

sationis reddamus, ex hac vita educti, ne inveniamur ab omni consolatione destituti. Ideo et insipientes vocamur, non sapientes ea quæ nobis posthac sint profutura. Faciamus igitur nobis pauperes amicos communicatis divitiis injustitiæ, hoc est, his quæ datæ sunt nobis a Deo ut sint arma justitiæ, sed a nobis detinentur, et propterea ad injustitiam pertinent. Si autem divitiæ quæ justis modis partæ sunt, quando non bene dispensantur nec dantur pauperibus, injustitia et mammona reputantur : quæ ex injustitia, multo magis. Ex ipsis igitur faciamus nobis amicos, ut quando defecerimus, et ex hac vita emigraverimus, vel etiam aliter quando pusillo animo sumus, et condemnamur, illuc accipiant nos in æterna tabernacula.

A ἔχοιμέν τι καταφύγιον τοῦ βίου· ἐν δὲ τοῖς κατὰ Θεὸν ὀφείλουσι διοικεῖσθαι χρήμασιν οὐ φαινόμεθα πρόνοιαν ποιούμενοι, μήπως λόγον δῶμεν τῆς οἰκονομίας μεταστάντες ἐκ τοῦδε τοῦ βίου, καὶ εὑρεθῶμεν πάσης παραμυθίας ἐστερημένοι. Διὸ καὶ ἄφρονες καλούμεθα, μὴ φρονοῦντες τὰ μετὰ ταῦτα ἡμῖν λυσιτελήσοντα, ἀλλὰ ποιήσωμεν ἑαυτοῖς φίλους τοὺς πένητας, μεταδιδόντες αὐτοῖς τοῦ τῆς ἀδικίας πλούτου, τουτέστι, τοῦ δοθέντος μὲν ἡμῖν παρὰ Θεοῦ, ὥστε δικαιοσύνης ὅπλον γενέσθαι, ὑποκρατηθέντος δὲ παρ' ἡμῶν, καὶ διὰ τοῦτο εἰς ἀδικίαν μεταστάντος. Εἰ δὲ ὁ ἐκ δικαίων δῆθεν πόρων πλοῦτος, ὅταν μὴ καλῶς οἰκονομηθῇ, καὶ δοθῇ πένησιν, ἀδικία καὶ μαμωνᾶς λογίζεται, ὁ ἐξ ἀδικίας, πόσῳ μᾶλλον· Ἐκ τούτου οὖν ποιήσωμεν ἡμῖν φίλους, ἵνα, ὅταν ἐκλίπωμεν, καὶ ἀναχωρῶμεν ἐκ τοῦ βίου, ἢ καὶ ἄλλως, ὅταν ὀλιγοψυχῶμεν καταχρινόμενοι, ἐκεῖσε δέξωνται ἡμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

VERS. 10-13. « Qui fidelis est in minimo, et in multo fidelis est : et qui in minimo iniquus est, is et in multo iniquus est. Si ergo in iniquo mammona fideles non fuistis, quod verum est quis credet vobis? Et si in alieno fideles non fuistis, quod vestrum est, quis dabit vobis? Nemo servus potest duobus dominis servire; aut enim unum odio habebit, et alterum illum diliget : aut uni adhærebit, et alterum illum contemnet. Non potestis Deo servire et mammonæ » Adhuc docet quomodo secundum Deum dispensandæ sint divitiæ. Qui enim fidelis est in minimo, hoc est, qui bene dispensaverit concreditas sibi divitias in hoc mundo, etiam in multo fidelis est, hoc est, in futuro sæculo veris divitiis dignus est. Minimum igitur vocat terrenas divitias, ut revera parvas, imo quæ nihil sunt, quandoquidem transitoriæ sunt: multum vero, cœlestes, utpote semper duraturas, et quibus semper accedit. Qui vero in his terrenis divitiis injustus apparuerit, et sibi vendicat quæ in communem usum fratrum sunt concessa, neque illo multo dignus invenietur, sed sicut injustus repudiabitur. Interpretans autem quod dictum est, addit : Si in injusto mammona fideles non fuistis, quod verum est, quis vobis credet? Injustum mammona nominat divitias quæ apud nos sunt. Nam si non essent injustæ, neque apud nos essent: nunc autem quia apud nos sunt, manifestum quod tenentur, et cum pauperibus non distribuantur, injustæ sint : hoc autem est vindicare sibi res alienas, 415 atque eas quæ pauperum sunt : id quod injustitiæ est. Itaque ei qui divitias illas male dispensat et infideliter, quomodo veræ credentur divitiæ et nobis qui male dispensamus alienum, hoc est, pecunias : alienæ enim sunt hæ, utpote pauperibus designatæ, vel aliter, quatenus nihil attulerimus in hunc mundum, nudique in hunc mundum nati simus: quod nostrum est quis dabit? Nostræ autem sunt divitiæ cœlestes et divinæ, illic enim noster municipatus est; et homini ad imaginem Dei facto pecuniæ quidem et possessiones alienæ sunt, nihil enim simile illi ex his. Divinorum autem bonorum fruitio et participatio Dei, nostra sunt.

B « Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστιν· ὁ δὲ ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστιν. Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει ; Καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει ; Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. » Ἔτι περὶ τοῦ δεῖν κατὰ Θεὸν οἰκονομεῖν τὸν πλοῦτον διδάσκει. Ὁ γὰρ πιστὸς ἐν ἐλαχίστῳ, τουτέστιν ὁ διοικήσας καλῶς τὸν ἐμπιστευθέντα αὐτῷ πλοῦτον ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἐν πολλῷ πιστός ἐστι, τουτέστι, καὶ ἐν τῷ μέλλοντι αἰῶνι τοῦ ὄντως πλούτου ἄξιός ἐστιν. Ἐλάχιστον οὖν καλεῖ τὸν γήϊνον C πλοῦτον, ὡς τῷ ὄντι μικρὸν, μᾶλλον δὲ οὐδὲν ὄντα, ἐπείπερ ῥευστός· πολὺν δὲ, τὸν οὐράνιον, ὡς μένοντα ἀεὶ, καὶ προστιθέμενον. Ὁ δὲ ἐν τούτῳ τῷ γηΐνῳ ἄδικος φανεὶς, καὶ σφετερισάμενος τὰ εἰς κοινὴν τῶν ἀδελφῶν χρείαν δοθέντα αὐτῷ οὐδὲ τοῦ πολλοῦ ἐκείνου ἄξιος εὑρεθήσεται, ἀλλ' ὡς ἄδικος ἀποδληθήσεται. Ἑρμηνεύων δὲ τὸ ῥηθὲν, ἐπιφέρει· Εἰ ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸν ἀληθινὸν τίς ὑμῖν πιστεύσει ; Ἄδικον μὲν μαμωνᾶν τὸν προσόντα πλοῦτον ὑμῖν ὠνόμασεν· εἰ γὰρ οὐκ ἦν ἄδικος, οὐκ ἂν προσῆν, νῦν δὲ ἐπεὶ πρόσεστιν ἡμῖν, εὔδηλον ὅτι ὑποκρατούμενος, καὶ μὴ πτωχοῖς διαδιδόμενος, ἄδικός ἐστι· τοῦτο δὲ νοσφισμὸς ἀλλοτρίων χρημάτων καὶ πτωχικῶν, τοῦτο δὲ ἀδικία. Ὃς οὖν τὸν πλοῦτον τοῦτο κακῶς διοικεῖ D καὶ ἀπίστως, πῶς τὸν ἀληθινὸν πλοῦτον πιστευθήσεται ; καὶ τοῖς μὴ πιστῶς διαθεμένοις ἡμῖν τὸ ἀλλότριον, τουτέστι, τὰ χρήματα· ἀλλότρια δὲ ταῦτα ὡς τοῖς πτωχοῖς ἀφωρισμένα, καὶ ἄλλως, καθὸ οὐκ εἰσηνέγκαμέν τι εἰς τὸν κόσμον, ἀλλὰ γυμνοὶ γεγεννήμεθα· τὸ ἡμέτερον τίς δώσει ; Ἡμέτερον δὲ ὁ πλοῦτος ὁ οὐράνιος καὶ θεῖος, ἐκεῖ γὰρ ἡμῶν τὸ πολίτευμα, καὶ τοῦ κατ' εἰκόνα Θεοῦ δημιουργηθέντος ἀνθρώπου χρήματα μὲν, καὶ κτήματα ἀλλότρια, οὐδὲν γὰρ ἔοικεν αὐτῷ τούτων. Θείων δὲ ἀγαθῶν ἀπόλαυσις, καὶ Θεοῦ μέθεξις, τοῦτό ἐστι τὸ ἡμέτερον. Μέχρι μὲν οὖν τούτου ἐδίδαξεν ἡμᾶς, πῶς δεῖ διοικεῖν τὸν πλοῦ-

τον πιστῶς· ἀλλότριος γάρ ἐστι, καὶ οὐχ ἡμῶν· ἡμεῖς γὰρ οἰκονόμοι, καὶ οὐχὶ κύριοι καὶ δεσπόται. Ἐπεὶ δὲ ἡ κατὰ Θεὸν τοῦ πλούτου διοίκησις οὐκ ἄλλως κατορθοῦται, εἰ μὴ διὰ τῆς ἀπροσπαθείας, προστίθησι καὶ τοῦτο τῇ διδασκαλίᾳ, εἰπών· Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ, τουτέστιν, ἀδύνατον τὸν προσηλωμένον τῷ πλούτῳ, καὶ ὑποκρατοῦντά τι κατὰ προσπάθειαν, δοῦλον εἶναι Θεοῦ· ὥστε εἰ μέλλεις πιστῶς διοικεῖν τὸν πλοῦτον, μὴ δουλεύσῃς αὐτῷ, ὅπερ ἐστὶ, μὴ ἔχῃς σχέσιν πρὸς αὐτὸν, καὶ ὄντος ἐδούλευσας τῷ Θεῷ· πανταχοῦ γὰρ ἡ φιλαργυρία διαβάλλεται, ὅπερ ἐστὶν ἡ ἐμπαθὴς σχέσις καὶ φιλία τοῦ πλούτου.

« Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι φιλάργυροι ὑπάρχοντες καὶ ἐξεμυκτήριζον αὐτόν. Καὶ εἶπεν αὐτοῖς· Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων, ὁ δὲ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν, ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα παρὰ τῷ Θεῷ. » Οἱ μὲν Φαρισαῖοι ἐξεμυκτήριζον τὸν Κύριον, ὡς ἐπὶ τοῖς λόγοις δακνόμενοι· δυσηρεστοῦντο γὰρ ὡς φιλάργυροι περὶ ἀκτημοσύνης ἀκούοντες, ἐπεὶ καὶ εἴρηται· Βδέλυγμα ἁμαρτωλῷ θεοσέβεια, καὶ οἱ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες. Ὁ δὲ Κύριος ἐκκαλύπτων τὴν ὑποκρυμμένην αὐτῶν πονηρίαν, καὶ δεικνὺς, ὅτι εἰ καὶ ὑποκρίνονται δικαιοσύνην, βδελυκτοί εἰσι παρὰ τῷ Θεῷ διὰ τὴν οἴησιν, ἣν περὶ ἑαυτῶν ἔχουσι, φησίν· Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς, καὶ οἰόμενοι, ὡς μόνοις ὑμῖν τὸ νοεῖν ἃ δεῖ, καὶ διδάσκειν δέδοται· διὸ καὶ μυκτηρίζετε τοὺς ἐμοὺς λόγους ὡς ἄφρονος, θέλοντες νομίζεσθαι τῷ πλήθει ἀληθείας διδάσκαλοι. Ἀλλ' οὐχ οὕτως· ὁ γὰρ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν, καὶ βδελυκτοὺς ὑμᾶς ἡγεῖται διὰ τὴν ὑψηλοφροσύνην, καὶ τὴν τῆς ἀνθρωπίνης δόξης ἐπιθυμίαν. « Τὸ γὰρ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα παρὰ τῷ Θεῷ, » ἀκάθαρτος γὰρ παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος. Ἔδει γοῦν ὑμᾶς· ὦ Φαρισαῖοι, μὴ πρὸς ὑπόληψιν ζῆν ἀνθρωπίνην, Θεὸς γὰρ διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· δικαιοῦν δὲ μᾶλλον ἑαυτοὺς ἐνώπιον τοῦ Θεοῦ.

« Ὁ νόμος· καὶ οἱ προφῆται ἕως Ἰωάννου, ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ εὐαγγελίζεται· καὶ πᾶς εἰς αὐτὴν βιάζεται. Εὐκοπώτερον δέ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. Πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, καὶ γαμῶν ἑτέραν, μοιχεύει, καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν, μοιχεύει. » Δοκεῖ ἀπηρτημένα εἶναι ταῦτα, καὶ μηδεμίαν κοινωνίαν ἔχειν πρὸς τὰ προῤῥηθέντα, ἀλλὰ τῇ προσέχοντι οὐκ ἀνακόλουθα δόξαιεν ἂν, λίαν δὲ τοῖς προλαβοῦσιν ἀκόλουθα. Ἐπειδὴ γὰρ αὐτὸς μὲν ἀκτημοσύνην εἰσηγήσατο δι' ὧν ἀνωτέρω εἴρη, καὶ τὸν πλοῦτον ἄδικον μαμωνᾶν ἐκάλεσεν, ὁ δὲ νόμος τὰς εὐλογίας καὶ ἐν τῷ πλούτῳ ἐδίδου, καὶ οἱ προφῆται τὰ ἀγαθὰ τῆς γῆς ἐπηγγέλλοντο, ἵνα μή τις εἴπῃ αὐτῷ διαμυκτηρίζων, ὥσπερ οἱ Φαρισαῖοι, Τί σὺ λέγεις; ἐναντιοῖς τῷ νόμῳ; ἐκεῖνος καὶ ἐν τῷ πλούτῳ εὐλογεῖ, καὶ σὺ ἀκτημοσύνην διδάσκεις; Διὰ τοῦτό φησιν· Ὁ νόμος καὶ οἱ προφῆται

Igitur hucusque docuit nos Dominus quomodo fideliter dispensandæ sunt divitiæ; alienæ enim sunt, et non nostræ: nos enim dispensatores sumus et non domini. Quoniam autem dispensatio divitiarum juxta Deum non aliter fit recte, nisi absint erga illas etiam affectiones, hoc quoque hac doctrina dixit: Non potestis Deo servire et mammonæ; hoc est, impossibile est simul addictum esse mammonæ, et tali affectione detentum servire Deo. Atque ita si vis fideliter dispensare divitias, non servias eis, hoc est, non tenearis affectione erga illas, et revera servias Deo. Ubique enim amor pecuniæ taxatur, hoc est affectio erga illas et studium.

VERS. 14, 15. « Audiebant autem hæc omnia et Pharisæi, qui erant avari, et deridebant illum. Et ait illi: Vos estis qui justificatis vosipsos coram hominibus: Deus autem novit corda vestra: quia quod hominibus excelsum est, abominandum est coram Deo. » Pharisæi quidem deridebant Dominum, eo quod sermonibus illis notarentur. Gravatim enim fiunt avari, si quando de paupertate audiunt; quoniam et dictum est: Abominatio est peccatori pietas, et reprehensiones impio sunt flagella. Dominus autem retegens occultam eorum malitiam, et ostendens eos simulare justitiam, et abominabiles esse apud Deum propter opinionem quam de se habebant, dicit: Vos estis qui justificatis vosipsos, opinantes solis vobis datum nosse quæ oportet et docere, et ideo deridetis meos sermones, cupientes haberi a multitudine doctores veritatis. Sed non sic. Deus enim noscit corda vestra, et abominabiles vos existimat, propter superbiam et humanæ gloriæ cupiditatem. « Quod enim sublime in hominibus, abominatio apud Deum est[81]. » Immundus enim apud Dominum omnis superbus corde. Oportebat igitur vos, o Pharisæi, non ad humanam vivere opinionem: Deus enim dispersit ossa eorum qui hominibus placent: sed justificare vos coram Deo.

VERS. 16-18. « Lex et prophetæ usque **416** ad Joannem: ab eo tempore regnum Dei annuntiatur, et quivis in illud vim facit. Facilius est autem cœlum et terram præterire, quam legis unum apicem cadere. Quisquis dimittit uxorem suam et alteram ducit, adulterium committit: et qui dimissam a viro ducit, adulterium committit. » Videntur hæc separatim dicta, et cum superioribus non cohærere: sed attendenti videbuntur non male consectanea, prævenientibus vero satis consentanea. Nam quia ipse paupertatem in superioribus docuerat, vocando divitias injustum mammona, lex vero benedictiones et in divitiis dabat, et prophetæ bona terræ promittebant: ut ne quis dicat ei irridens sicut Pharisæi, Quid tu dicis? contrarius es legi? illa etiam in divitiis benedicit, et tu paupertatem doces? Propterea dicit: Lex et prophetæ usque ad Joannem habuerunt tempus. Et bene

[81]* I Cor. I, 25.

quidem docebant, nempe ita auditorum infirmitate postulante. A quo autem tempore Joannes, qui propter paupertatem materia fere carebat, et propter materiæ tenuitatem sine possessionibus erat, advenit, et regnum cœlorum prædicavit, non ultra bona terrena huic tempori debentur sed regnum cœlorum prædicatur. Proinde et paupertatem in terra debent servare hi qui cœlos desiderant. Quoniam prophetæ et lex mentionem non faciebant regni cœlorum, merito bona terræ promittebant imperfectioribus, et nihil virile vel magnum intelligere valentibus. Atque ita, o Pharisæi, merito paupertatem doceo, eo quod imperfecta legis præcepta jam non habent tempus. Insuper ne dicant rejecta omnia quæ in lege sunt dicta, quasi vana sint et inutilia: non hoc dicit, sed magis implentur et perficiuntur. Quæcunque enim illa adumbravit, ea dixit de Christo figuraliter. Et quantum ad leges attinet, etiam ipsæ nunc implentur, et nihil in his usque ad extremum apicem intercidit. Et quæ de Christo illic per umbram subindicata sunt, nunc perficientur clarius. Et mandata legis quæ tunc data, pro imperfectorum sensu congruenter data, nunc sublimiorem et perfectiorem sensum habitura sunt. Lex enim imperfecte imperfectis locuta est: quod hinc manifestum est. Nam de solutione nuptiarum juxta duritiem cordis Judæorum respondit, ut cum vir odio habuerit uxorem, potestatem habeat dimittendi eam, ne deterius quid fiat. Homicidæ enim erant et sanguinarii, et neque propriis parcebant, quandoquidem et filios et filias dæmonibus immolabant; sed humilitas et imperfectio legis talis erat. Tempus enim ejusmodi legislationis tunc erat, nunc autem alia perfectiore doctrina opus est. Idcirco etiam dico: **417** Omnis qui dimittit uxorem, excepta causa fornicationis scilicet, et ducit aliam, adulterium committit [82]. Unde haud mirum, si cum nihil tale de paupertate lex manifeste docuerit, ego de paupertate non disseram. Ecce cum de solutione matrimonii lex promiscue præceperit propter cædem Judæorum, ego ad perfectiora exercens auditores, repudium absque rationabili causa prohibeo, non illi contraria docens, sed magis voluntatem ejus perficiens. Mens enim legis erat ne homicidia fierent inter virum et uxorem: hoc et ego intendo, eo quod doceam conjuges mutuam inter se curam gerere, et parcere alterum alteri ut membris propriis, id quod et lex volebat. At quoniam imperfecti erant auditores, decrevit illa conjugii solutionem, ut vel sic sibi mutuum parcerent, et non in se invicem insanirent vir et mulier.

A ἕως Ἰωάννου εἶχον τὸν καιρόν. Καὶ καλῶς μὲν ἐδίδασκον, ἅτε καιρὸν ἐχούσης τῆς νηπιότητος τῶν ἀκουόντων. Ἀφ' οὗ δὲ ὁ Ἰωάννης, ὁ σχεδὸν ἄϋλος διὰ ἀκτημοσύνην, καὶ ἀκτήμων διὰ τὴν μικροῦ ἀϋλίαν, ἐπεδήμησε, καὶ βασιλείαν οὐρανῶν ἐκήρυξεν, οὐκέτι λοιπὸν τὰ τῆς γῆς ἀγαθὰ καιρὸν ἔχουσιν, ἀλλ' ἡ βασιλεία τῶν οὐρανῶν κηρύττεται. Διὸ καὶ ἀκτημοσύνην ἐν γῇ ὀφείλουσιν ἐπιτηδεύειν οἱ τῶν οὐρανῶν ἐφιέμενοι. Ἐπεὶ οἵγε προφῆται καὶ ὁ νόμος, μὴ μνησθέντες βασιλείας οὐρανῶν, εἰκότως τὰ τῆς γῆς ἀγαθὰ ἐπηγγέλλοντο τοῖς ἔτι ἀτελεστέροις, καὶ μηδὲν μέγα καὶ ἀνδρικὸν ἐννοεῖν δυναμένοις. Ὥστε εἰκότως, ὦ Φαρισαῖοι, ἀκτημοσύνην διδάσκω, οἷα δὴ τῶν ἀτελῶν τοῦ νόμου προσταγμάτων μηκέτι καιρὸν ἐχόντων. Εἶτα ἵνα μὴ εἴπωσιν, ὅτι λοιπὸν πάντα τὰ B τοῦ νόμου ἐκβέβληται ὡς ματαίου καὶ διακένου, οὐχί φησιν, ἀλλὰ μᾶλλον νῦν ἀναπληροῦται καὶ τελειοῦται. Ὅσα γὰρ ἐσκιαγράφησεν ἐκεῖνος εἴτε περὶ Χριστοῦ λέγων τυπικῶς, εἴτε περὶ ἐντολῶν, ταῦτα νῦν ἀναπληροῦνται, καὶ οὐδὲν τούτων ἄχρι καὶ μιᾶς κεραίας διαπεσεῖται· τά τε γὰρ περὶ Χριστοῦ ἐκεῖ σκιοειδῶς ὑποδειχθέντα, νῦν φανώτερον τελεσθήσονται. Καὶ αἱ ἐντολαὶ τοῦ νόμου, αἱ τότε πρὸς τὴν τῶν ἀτελῶν διάνοιαν οἰκείως καὶ καταλλήλως δοθεῖσαι, νῦν τὸ ὑψηλότερον καὶ τελειότερον ἕξουσιν· ὅτι γὰρ ὁ νόμος πρὸς ἀτελεῖς ἀτελῶς διελέγετο, δῆλον ἐντεῦθεν. Καὶ γὰρ περὶ λύσεως γάμου πρὸς τὴν σκληροκαρδίαν τῶν Ἑβραίων ἀπεκρίνατο, ἵν' εἰ μισοίη ὁ ἀνὴρ τὴν γυναῖκα, ἐξουσίαν ἔχῃ ἀπολύειν αὐτήν, C ἵνα μὴ χεῖρόν τι γένηται. Φονεῖς γὰρ ὄντες καὶ αἱμοχαρεῖς, οὐδὲ τῶν οἰκειοτάτων ἐφείδοντο, ὡς καὶ τοὺς υἱοὺς καὶ τὰς θυγατέρας τοῖς δαιμονίοις θύειν· ἀλλὰ τὸ μὲν χθαμαλὸν, καὶ ἀτελὲς τοῦ νόμου τοιοῦτον· καιρὸς γὰρ ἦν τῆς τοιαύτης νομοθεσίας τότε, νυνὶ δὲ ἄλλης τελειοτέρας διδασκαλίας δεῖ. Διὸ καί φημι, πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας δηλαδὴ, καὶ γαμῶν ἑτέραν, μοιχεύει· ὥστε οὐδὲν θαυμαστὸν, εἰ καὶ μὴ περὶ ἀκτημοσύνης διαλέγομαι, μηδὲν οὕτω σαφῶς τοῦ νόμου διδάσκοντος (6-7). Ἰδοὺ γοῦν περὶ τῆς τοῦ γάμου λύσεως ὁ νόμος ἀδιαφόρως ἐκέλευσε, διὰ τὴν μιαιφονίαν τῶν Ἰουδαίων, ἐγὼ δὲ πρὸς τὸ τελειότερον ἐγγυμνάζων τοὺς ἀκούοντας, τὴν ἀνεύλογον ἀπόλυσιν ἀπαγορεύω, οὐκ ἐναντία ἐκείνῳ διαγορεύων, ἀλλὰ μᾶλλον τὸ D ἐκείνου βούλημα ἱστῶν. Τῷ γὰρ νόμῳ βουλητὸν ἦν τὸ μὴ γίνεσθαι φόνους μεταξὺ ἀνδρὸς καὶ γυναικός· τοῦτο κἀγὼ τυπῶ, διὰ τοῦ παιδεύειν τοὺς συζύγους ἀλλήλων κήδεσθαι, καὶ φείδεσθαι, ὡς μελῶν οἰκείων, ὥστε καὶ ὁ νόμος μὲν τοῦτο ἐβούλετο· ἐπεὶ δὲ ἀτελεῖς ἦσαν οἱ ἀκούοντες, ὥρισε τὴν τοῦ γάμου διάλυσιν, ἵνα κἂν οὕτως φειδὼ γένοιτο καὶ μὴ κατ' ἀλλήλων μαίνοιντο ὅ τε ἀνὴρ καὶ ἡ γυνή· τὰ τοῦ

[82] Matth. XIX, 9.

**Ex collatione codd. Venet. S. Marci.**

(6-7). Cod. 32. Μηδὲν οὕτω σαφῶς τοῦ νόμου διδάσκοντος, αὐτὸς περὶ ἀκτημοσύνης διαλέγομαι. Ἰδοὺ γοῦν, κ. τ. λ. « Sic cum nihil adeo manifeste lex docuerit, ipse de paupertate disseram. *Ecce cum*, » etc.

νόμου τοίνυν πάντα ἔστησεν ὁ Χριστός· ὥστε καλῶς εἴπεν, ὡς ἀδύνατόν φησιν, πεσεῖν μίαν κεραίαν τοῦ νόμου· πῶς γὰρ ἂν πέσῃ ὁ μᾶλλον ὀρθούμενος ὑπὸ Χριστοῦ;

« Ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος, καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης του πλουσίου. Ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ. Ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη. » Ἀκόλουθα τοῖς προειρημένοις ταῦτα. Ἐπειδὴ γὰρ προλαβὼν περὶ B τοῦ τὸν πλοῦτον διατίθεσθαι καλῶς ἐδίδαξεν, εἰκότως ἐπισυνάπτει καὶ ταύτην τὴν παραβολὴν, εἰς τοῦτο αὐτὸ φέρουσαν διὰ τοῦ κατὰ τὸν πλούσιον ὑποδείγματος. Παραβολὴ γὰρ καὶ τοῦτο, ἀλλ' οὐχ ὥς τινες ἀνοήτως ἂν οἰηθεῖεν, πρᾶγμά ἐστιν ἤδη γεγονός. Οὐδέπω γὰρ οὔτε τοῖς δικαίοις τῶν ἀγαθῶν, οὔτε τοῖς ἁμαρτωλοῖς τῶν ἐναντίων ἡ ἀποκλήρωσις, ἀλλ' ἐσχημάτισε τὸν λόγον ὁ Κύριος, πρὸς τὸ παιδεῦσαι τοὺς ἀνελεήμονας, οἷα αὐτοῖς ἀποκείσονται, καὶ αὖ διδάξαι τοὺς κακοπαθοῦντας, οἷα εὐπαθήσουσιν, ὑπὲρ ὧν ἐνταῦθα ὑπομένουσι. Τὸν μὲν οὖν πλούσιον ἀνωνύμως ἐν τῇ παραβολῇ παρέλαβεν, οἷα μηδὲ ἄξιον παρὰ Θεῷ ὀνομάζεσθαι, καθὰ καὶ διὰ τοῦ προφήτου φησὶν, οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν C διὰ χειλέων μου. Τοῦ δὲ πένητος ὀνομαστὶ μνημονεύει· τῶν γὰρ δικαίων τὰ ὀνόματα καὶ ἐν βίβλῳ ζωῆς ἀπογράφονται· ἔστι δὲ λόγος, ὡς ἡ Ἑβραίων παράδοσις ἔχει, Λάζαρον εἶναί τινα ἐν Ἱεροσολύμοις κατ' ἐκεῖνο καιροῦ ἐσχάτην πενίαν κεκληρωμένον καὶ ἀῤῥωστίαν, οὗ μνημονεῦσαι τὸν Κύριον εἰς παραβολὴν αὐτὸν λαβόντα, ὡς ἐμφανῆ καὶ γνώριμον. Ὁ μὲν οὖν πλούσιος πάντοθεν εὐρωῶν ἦν, καὶ γὰρ καὶ πορφύραν καὶ βύσσον ἐνεδέδυτο· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τὴν ἄλλην τρυφὴν ἐτρύφα πᾶσαν. Εὐφραινόμενος γὰρ, φησὶ, καὶ οὐ νῦν μὲν, νῦν δὲ οὔ, ἀλλὰ καθημέραν, καὶ οὐ μετρίως, ἀλλὰ λαμπρῶς, τουτέστιν ἀσώτως καὶ πολυτελῶς. Ὁ δὲ Λάζαρος καὶ πένης, καὶ ἀῤῥωστῶν, καὶ τοῦτο δεινῶς· ἡλκωμένος γὰρ, φησίν. Ἔστι γὰρ ἀῤῥωστεῖν, οὐ μὴν D ἡλκῶσθαι. Ἐνταῦθα δὲ ἐπίτασις τοῦ κακοῦ καὶ πρὸς τὸν πυλῶνα βεβλημένος τοῦ πλουσίου, ἑτέρα βάσανος τὸ ὁρᾷν ἄλλους ὑπερτρυφῶντας, αὐτὸν δὲ λιμώττειν. Ἐπεθύμει γὰρ χορτασθῆναι οὐχὶ βρωμάτων πολυτελῶν, ἀλλὰ καὶ ψιχίων αὐτῶν, καὶ τούτων, ὧν οἱ κύνες χορτάζονται. Ἀλλὰ καὶ ἔρημος τῶν θεραπευσόντων· οἱ γὰρ κύνες ἔλειχον τὰ ἕλκη αὐτοῦ, οἷα μηδενὸς ὄντος τοῦ ἀποσοβήσοντος τούτους. Ἆρα οὖν ἐν τοσούτοις δεινοῖς ὢν ὁ Λάζαρος ἐβλασφήμησεν; ἢ ἐλοιδόρησε τὴν τρυφὴν τοῦ πλουσίου; ἢ τὴν ἀπανθρωπίαν κατέκρινεν; ἢ τὴν πρόνοιαν ἐμέμψατο; Οὐδὲν τούτων ἐνόησεν, ἀλλὰ μετὰ πολλῆς τῆς φιλοσοφίας ἐκαρτέρει. Πόθεν δῆλον; Ἀφ' ὧν οἱ ἄγγελοι αὐτὸν ἀποθανόντα ἐδέχοντο. Οὐκ ἂν γὰρ, εἰ γογγυστὴς ἦν καὶ βλάσφημος, τοσαύτης τιμῆς ἠξιώθη, καὶ τῆς

A Statuit igitur Christus omnia quæ ad legem pertinent, et ita bene dixit quod impossibile sit unum apicem de lege cadere. Quomodo enim decideret, cum magis a Christo corrigeretur?

VERS. 19-22 « Homo quidam erat dives, qui induebatur purpura et bysso, et epulabatur quotidie splendide. Erat autem quidam mendicus nomine Lazarus, qui jacebat ad januam ejus ulcerosus, cupiens saturari de micis quæ cadebant de mensa divitis. Sed et canes veniebant, ac lingebant ulcera ejus. Accidit autem ut moreretur mendicus, et deportaretur ab angelis in sinum Abrahæ. Mortuus est autem et dives, ac sepultus est. » Bene sequuntur hæc ad superiora. Quia enim prius docuerat ut nos B recte circa divitias gereremus, merito conjungit et hanc parabolam in eamdem ferentem sententiam per exemplum divitis. Parabola enim est hæc, et non, ut quidam opinati sunt, historia. Nondum enim separata erant justis bona, et peccatoribus contraria: sed figuravit sermonem Dominus, ut immiseri cordes doceat qualia eis eventura sint, et iterum doceat eos qui affliguntur, quam bene habituri sint pro his quæ hic sustinent. Divitem igitur hoc loco absque nomine in parabola assumpsit, utpote qui neque dignus sit qui a Deo nominetur, sicut et per prophetam dicit: Non memor ero nominum illorum per labia mea. Nomen autem pauperis memorat. Justorum enim nomina in libro vitæ scripta sunt. C Fert enim Hebræorum traditio, Lazarum quemdam per illud tempus extrema inopia et infirmitate laborasse, cujus mentionem fecerit Dominus in parabola hac utpote noti et manifesti. Dives igitur omnino dissolutus erat: nam purpura et bysso induebatur, præterea omnibus aliis deliciis vacabat. Epulabatur, inquit, et non nunc quidem, postea vero non, sed 418 quotidie: et non mediocriter, sed splendide, hoc est sumptuose et prodigaliter. Lazarus vero pauper erat et infirmus graviter: ulcerosus enim, inquit, erat. Ægrotant alii, sed ulceribus carent: hic autem graviore malo affligebatur, et ad vestibulum divitis jacebat: ecce alius dolor, videre alios in deliciis, se vero fame premi. Desiderabat enim satiari, non sumptuosis ferculis, sed de micis ejus, D et illis quibus satiebantur canes. Insuper destitutus erat omni cura, et canes lingebant ulcera ejus, cum nemo esset qui ab illo istos abigeret. Num igitur Lazarus in tantis malis blasphemabat? num conviciabatur? num incessabat luxum divitis? num inhumanitatem condemnabat? num providentiam Dei reprehendebat? Nihil horum: sed fortis erat, et magnæ philosophiæ. Unde manifestum? propterea quod angeli ipsum mortuum susceperint. Nam si obmurmurator fuisset et blasphemus, neutiquam tantum honorem fuisset consecutus, et angelorum comitatu stipatus. Mortuus est autem et dives, ac sepultus est. Nam profecto etiam cum viveret, sepulta erat ejus anima, carnem quasi sepulcrum circumferens. Et ideo cum moreretur, non ab angelis assumptus est, sed in infernum deductus. Nam

qui nihil sublime nihilque cœleste cognovit unquam, infimo loco dignus. Dicendo enim quod sepultus sit, insinuat obiter Dominus quod et anima ejus locum infimum et caliginosum sortita fuerit.

Vers. 23-26. « Atque in tartaro sublatis oculis, cum esset in tormentis, videt Abraham eminus, et Lazarum in sinu ejus : et ipse clamans dixit : Pater Abraham, miserere mei, et mitte Lazarum, ut intingat extremum digiti sui in aquam, ac refrigeret linguam meam, quia crucior in flamma hac. Dixit autem Abraham : Fili, recordare quod receperis bona tua in vita tua, et Lazarus similiter mala ; nunc autem hic solatio fruitur, tu vero cruciaris. Et super hæc omnia inter nos et vos hiatus ingens firmatus est, ut hi qui volunt hinc transire ad vos non possint, neque inde transcendere ad nos. » Quemadmodum Dominus ejectum Adam e regione paradisi collocavit, ut continuo aspectans, clarius sentiret a quantis bonis excidisset: sic et illum condemnavit in conspectu Lazari, ut videns illum in qualibus esset, sentiret unde per inhumanitatem excidisset. Et propterea non apud alium quemdam justum, sed in sinu Abrahæ vidit Lazarum, quoniam hospitalis fuerat Abraham. Ut igitur reprehenderetur illius inhospitalitas, propterea illum apud Abraham videt. Ille etiam eos qui præteribant, in domum suam trahebat, hic autem
419 etiam intra domum jacentes despiciebat. At cur non vertit sermonem ad Lazarum, sed ad Abraham ? Confundebatur fortassis, existimans forsitan Lazarum vindictæ avidum, et ex suis causis judicabat illum. Si enim ego tanta felicitate fruens contempsi illum tantis malis coangustatum, et neque micas ei communicavi : multo magis ipse contemptus vindicabit, et non annuet ut mihi beneficium concedatur. Propterea ad Abraham facit sermonem. Putabat enim ignorare patriarcham quæ contigissent. Quid igitur illæ? Non dixit: Inhumane et crudelis, non erubescis? misericordiæ nunc recordaris? sed quomodo? Fili. Vide compatientem et sanctum. Dicit enim et sapiens quidam, Animam humiliatam ne turbaveris. Et propterea etiam ipse dicit, Fili, insinuans per hoc eatenus sibi licere, quatenus tam benigne alloquitur, sed ulterius nihil licere ei. Quod possum, hoc tibi communico, compatientem scilicet vocem. At hinc illuc transire non est nostrum: conclusa enim sunt omnia. Et tu quidem recepisti bona tua, ille autem mala. Et quare non dixit, Accepisti, sed, Recepisti? Recipere enim de his dicere solemus qui suscipiunt quod eis debebatur. Discimus igitur quod licet quidam facinorosi sint et in extremam pervenerint malitiam, nonnunquam tamen unum quoddam vel duo bona opera faciunt; unde et ipsi habentes bona quædam, quæ in præsentis vitæ prosperitate rapiunt, recipere dicuntur. Similiter autem et Laza-

A παρ' ἀγγέλων δορυφορίας, ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη. Τῷ ὄντι γὰρ καὶ ζῶντος κατωρυγμένη αὐτοῦ ἦν ἡ ψυχὴ, ὡς τάφον περιφέρουσα τὴν σάρκα. Διὸ καὶ ἀποθανὼν οὐχ ὑπὸ ἀγγέλων ἀπάγεται, ἀλλ' εἰς τὸν ᾅδην κατάγεται. Ὁ γὰρ μηδὲν ὑψηλὸν φρονήσας ποτὲ μηδ' οὐράνιον, τοῦ κατωτάτου τόπου ἄξιος, τῷ γοῦν εἰπεῖν, ὅτι ἐτέφη, τοῦτο παρηνίξατο ὁ Κύριος, ὅτι καὶ ἡ ψυχὴ αὐτοῦ τὸν κατωτάτω τόπον καὶ ζοφώδη ἔλαχεν.

« Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ, καὶ αὐτὸς φωνήσας εἶπε· Πάτερ Ἀβραὰμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Εἶπε δὲ Ἀβραάμ·
B Τέκνον, μνήσθητι, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακὰ, νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Καὶ ἐπὶ πᾶσι τούτοις χάσμα μέγα ἐστήρικται μεταξὺ ἡμῶν καὶ ὑμῶν, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. » Ὥσπερ τὸν Ἀδὰμ ὁ Κύριος ἐκβάλλων τοῦ παραδείσου ἀπέναντι αὐτοῦ κατῴκισεν, ἵνα τῇ συνεχεῖ ὄψει ἀνανεούμενον τὸ πάθος ἀκριβεστέραν αὐτῷ παράσχῃ τὴν αἴσθησιν τῆς τῶν ἀγαθῶν ἐκπτώσεως, οὕτω καὶ τοῦτον κατέναντι τοῦ Λαζάρου κατεδίκασεν, ἵν' ὁρῶν αὐτὸν ἐν οἵοις ἐστὶν, αἰσθάνηται ὧν διὰ τὴν ἀπανθρωπίαν ἐκπέπτωκε. Διατί δὲ οὐ παρ' ἄλλῳ τινὶ τῶν δικαίων, ἀλλ' ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ εἶδε τὸν Λάζαρον, ἐπεὶ φιλόξενος ἦν ὁ Ἀβραάμ. Ἵν'
C οὖν ἔλεγχος τῆς μισοξενίας αὐτοῦ γένηται, διὰ τοῦτο μετ' ἐκείνου βλέπει. Ἐκεῖνος καὶ τοὺς παριόντας εἰς τὴν οἰκίαν εἷλκε τὴν ἑαυτοῦ, αὐτὸς δὲ καὶ τὸν ἔσω κείμενον παρεώρα. Διατί δὲ μὴ πρὸς τὸν Λάζαρον ἀποτείνει τὸν λόγον, ἀλλὰ πρὸς τὸν Ἀβραάμ ; Ἠσχύνετο ἴσως· ἐνόμιζε γὰρ τυχὸν καὶ μνησικακεῖν τὸν Λάζαρον, καὶ ἐκ τῶν καθ' ἑαυτὸν ἔκρινε καὶ τὰ τοῦ Λαζάρου. Εἰ γὰρ ἐγὼ τοσαύτης ἀπολαύων εὐημερίας, παρεώρων αὐτὸν τοσούτοις κακοῖς στενοχωρούμενον, καὶ οὐδὲ ψιχίων μετεδίδουν, πολλῷ μᾶλλον αὐτὸς ὁ καταφρονηθεὶς μνησικακήσει, καὶ οὐκ ἐπινεύσει δοῦναι τὴν χάριν. Διὰ τοῦτο πρὸς τὸν Ἀβραὰμ ποιεῖται τοὺς λόγους. Ἐνόμιζε γὰρ ἀγνοεῖν τὸν πατριάρχην τὰ γεγενημένα. Τί οὖν ἐκεῖνος ; οὐκ εἶπεν· Ἀπάνθρωπε καὶ ὠμὲ, οὐκ αἰσχύνῃ ; φιλανθρωπίας νῦν μέμνησαι, ἀλλὰ πῶς ; Τέκνον. Ὅρα συμπαθῆ καὶ ἁγίαν ψυχήν·
D φησὶ γὰρ καί τις σοφός· Ψυχὴν τεταπεινωμένην μὴ προσταράξῃς. Διὰ τοῦτο καὶ αὐτὸς, τέκνον, φησὶν, αἰνιττόμενος διὰ τούτου, ὅτι ἄχρι τούτου ἐστὶν αὐτῷ ἡ ἐξουσία τοῦ ὀνομάσαι αὐτὸν οὕτως ἱλαρῶς, περαιτέρω δὲ οὐδενὸς ἐξουσιάζει. Οὗ ἔχω τούτου σοι μεταδίδωμι, συμπαθοῦς φωνῆς, τὸ δὲ ἐντεῦθεν ἐκεῖ μεταβαίνειν οὐχ ἡμέτερον· ἐκλείσθη γὰρ τὰ πάντα. Καὶ σὺ μὲν ἀπέλαβες τὰ ἀγαθά σου, ἐκεῖνος δὲ τὰ κακά. Τίνος δὲ ἕνεκεν οὐκ εἶπεν, Ἔλαβες, ἀλλ', Ἀπέλαβες ; Τὸ γὰρ ἀπολαβεῖν ἐπὶ τῶν ὑποδεχομένων ἅπερ ἐχρεωστοῦντο, λέγειν εἰώθαμεν. Τί οὖν μανθάνομεν ; Ὅτι κἂν μιαροί τινες εἶεν, κἂν εἰς ἔσχατον κακίας ἐληλακότες, πολλάκις ἕν τι καὶ

δύο εἰργάσατο ἀγαθά. Ὅθεν καὶ αὐτὸς ἔχων τινὰ ἀγαθὰ διὰ τῆς ἐν τῷδε τῷ βίῳ εὐημερίας τὴν ἀμοιβὴν δεξάμενος, ἀπολαβεῖν ταῦτα λέγεται· ὁμοίως δὲ καὶ ὁ Λάζαρος τὰ κακά. Ἴσως γὰρ καὶ οὗτος ἓν ἢ δύο εἰργάσατο κακά, καὶ διὰ τῆς ὀδύνης, ἧς ἐνταῦθα ὑπέμεινεν, ἀπέλαβε τὴν ἀξίαν ἀμοιβὴν τούτων. Διὸ παρακαλεῖται μὲν οὗτος, ὀδυνᾶσαι δὲ σύ. Τὸ δὲ χάσμα δηλοῖ τὴν τῶν δικαίων πρὸς τοὺς ἁμαρτωλοὺς διάστασιν καὶ διαφοράν. Ὥσπερ γὰρ καὶ αἱ προαιρέσεις αὐτῶν διάφοροι ἦσαν, οὕτω καὶ αἱ μοναὶ πολλὴν τὴν ἀπόστασιν ἔχουσιν, ἑκάστου τὰ κατάλληλα τῇ προαιρέσει καὶ τῷ βίῳ ἀπολαμβάνοντος. Σημείωσαι δὲ ἐντεῦθεν πόρισμά τι κατὰ τῶν Ὠριγενιαστῶν λεγόντων, ὅτι τέλος ἐχούσης τῆς κολάσεως ἔσται καιρός, ὅτε οἱ ἁμαρτωλοὶ ἑνωθήσονται τοῖς δικαίοις, καὶ τῷ Θεῷ, καὶ οὕτως τὰ πάντα ἐν πᾶσι γένηται ὁ Θεός. Ἰδοὺ γὰρ ἀκούομεν τοῦ Ἀβραὰμ λέγοντος, ὅπως οἱ βουλόμενοι ἔνθεν πρὸς ὑμᾶς, ἢ ἐκεῖθεν διαβῆναι πρὸς ἡμᾶς μὴ δύνωνται. Ὥσπερ οὖν ἀδύνατον ἐκ τῆς λήξεως τῶν δικαίων μεταβῆναί τινα εἰς τὸν τόπον τῶν ἁμαρτωλῶν, οὕτως ἀδύνατον, ἡμᾶς διδάσκει Ἀβραάμ, τὸ μεταβῆναι ἐκ τοῦ τόπου τῆς κολάσεως εἰς τὸν τόπον τῶν δικαίων. Ἀβραὰμ δὲ ἀξιοπιστότερος δήπου Ὠριγένους. Τί δὲ ὁ ᾅδης; Οἱ μὲν αὐτόν φασι χῶρον ὑπόγειον σκοτεινόν, οἱ δὲ τὴν ἀπὸ τοῦ ἐμφανοῦς εἰς τὸ ἀφανὲς καὶ ἀειδὲς μετάστασιν τῆς ψυχῆς ᾅδην ἔφασαν. Ἄχρι μὲν γὰρ ἐν σώματί ἐστιν ἡ ψυχή, φαίνεται διὰ τῶν οἰκείων ἐνεργειῶν, μεταστᾶσα δὲ τοῦ σώματος ἀειδὴς γίνεται· τοῦτο γοῦν ἔφασαν εἶναι τὸν ᾅδην. Κόλπους δὲ Ἀβραάμ, τὴν περιοχὴν τῶν ἀγαθῶν τῶν ἀποκειμένων τοῖς δικαίοις, τοῖς ἀπὸ ζάλης εἰς λιμένας καταντήσασιν οὐρανίους. Ἐπεὶ καὶ ἐν θαλάσσῃ κόλπους εἰώθαμεν καλεῖν τοὺς λιμενοειδεῖς καὶ ἀναπαυτηρίους τόπους. Σημείωσαι δὲ καὶ τοῦτο, ὅτι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὁ ἀδικῶν τὸν ἀδικούμενον ὄψεται, ἐν ποίᾳ δόξῃ ἐστί, καὶ οὗτος αὖ ἐκεῖνον ἐν ποίᾳ κατακρίσει, ὥσπερ ἐνταῦθα ὁ πλούσιος τὸν Λάζαρον, καὶ οὗτος πάλιν τὸν πλούσιον.

A rus mala. Fortassis enim et ille unum vel duo mala commiserat, et propterea dolorem illum sustinens, dignam factis mercedem recepit. Unde consolationem habet ille, tu vero cruciaris. Porro hiatus significat distantiam et differentiam justorum et peccatorum. Nam sicut voluntates eorum diversæ fuerunt, ita et mansiones multum inter se distant, unoquoque recipiente ea quæ vitæ et voluntati suæ congruunt. Observa autem hoc loco contra Origenistas dicentes quod tempus erit quo finientur impiorum supplicia, et peccatores cum justis conjungentur, et sic omnia in omnibus erit Deus. Ecce enim audimus Abraham dicentem quod hi qui volunt hinc ad vos, vel illinc ad nos transire, non possint. Sicut igitur impossibile est ex mansione jus-
B torum quempiam transire in locum peccatorum, ita impossibile est, ut nos docet Abraham, transire a loco pœnæ in locum justorum. Abraham, sane fide dignior est, quam Origenes. Quid autem est infernus? Quidam dicunt esse locum subterraneum tenebrosum. Alii autem transitum animæ a lucido in obscurum et tenebrosum dicunt infernum. Quandiu **420** enim in corpore est anima, apparet propter operationes suas: postquam autem a corpore emigraverit, invisibilis fit. Hoc igitur dixerunt esse infernum. Sinus autem Abrahæ vocant continentiam bonorum quæ reposita sunt justis, qui a tempestate hujus maris ingrediuntur in portus cœlestes: quoniam et in mari sinus appellamus loca portubus et quieti apta. Attende hic quod in
C die illo qui alium injuria affecit, videbit injuria affectum in quali gloria sit, et hic iterum illum in quanta condemnatione: sicut hoc loco dives Lazarum, et Lazarus divitem.

« Εἶπε δέ· Ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· ἔχω γὰρ πέντε ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. Λέγει αὐτῷ Ἀβραάμ· Ἔχουσι Μωσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν. Ὁ δὲ εἶπεν· Οὐχί, πάτερ Ἀβραάμ, ἀλλ' ἐάν τις ἐκ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν. Εἶπε δὲ αὐτῷ· Εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται. » Ἀποτυχὼν τῶν καθ' ἑαυτὸν ὁ ἐλεεινὸς πλούσιος, ὑπὲρ ἑτέρων τίθησι τὴν ἱκετηρίαν. Ὅρα πῶς ὑπὸ τῆς κολάσεως εἰς συναίσθησιν ἦλθε, καὶ ὁ τοῦ Λαζάρου πρὶν καταφρονῶν ἐν ποσὶ κειμένου, νῦν ἑτέρων ἀπόντων φροντίζει, καὶ παρακαλεῖ πεμφθῆναι τὸν Λάζαρον ἐκ τῶν νεκρῶν εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ. Καὶ οὐχ ἁπλῶς ἕνα τῶν νεκρῶν, ἀλλὰ τὸν Λάζαρον, ὅπως ἴδωσιν αὐτὸν στεφανωθέντα καὶ ἐν δόξῃ καὶ ὑγείᾳ, οἱ ἰδόντες αὐτὸν ἐν ἀῤῥωστίᾳ, καὶ ἀτιμίᾳ, καὶ οἱ γενόμενοι μάρτυρες τῆς πενίας αὐτοῦ, αὐτοὶ καὶ τῆς δόξης γένωνται θεαταί. Πρόδηλον γὰρ ὡς ἐν δόξῃ ἔμελλεν αὐτοῖς ἐπιφανῆναι, εἴγε ἀξιόπιστον

Vers. 27 31. « Ait autem: Rogo ergo te, pater, ut mittas eum in domum patris mei: habeo enim quinque fratres, ut testetur illis, ne et ipsi veniant in hunc locum cruciatus. Ait illi Abraham: Habent Mosen ac prophetas, audiant illos. At ille dixit: Non, pater Abraham, sed si quis ex mortuis ierit ad eos, resipiscent. Ait autem illi: Si Mosen et prophetas non audiunt, neque si quis ex mortuis
D resurrexit credent. » De rebus suis desperans miser ille dives pro aliis supplicat. Vide autem quomodo in suppliciis sensum alienæ infelicitatis capit. Et prius Lazarum despiciebat ante pedes jacentem, nunc aliorum absentium curam gerit, et obsecrat ut Lazarus ex mortuis in domum patris sui mittatur. Et non simpliciter ex mortuis quispiam, sed Lazarus, ut videant eum coronatum et gloria et incolumitate, qui viderant ante infirmum et contemptum: et qui testes fuerunt paupertatis ipsius, ipsi etiam gloriæ fiant spectatores. Manifestum enim est, quod in gloria illis esset conspiciendus, si quidem ipsum fide dignum præconem esse oportebat. Quid igitur Abraham? Habent Mosen. Non ita

nquit, tu fratrum curam geris ut qui illos fecit A Deus. Innumeros enim illis præfecit doctores. At dives, Non, inquit, pater. Nam quemadmodum ipse Scripturas audiens non crediderat, et fabulas esse putarat ea quæ dicebantur : similiter etiam fratres suos se habere suspicatus est, et ex se judicans dicebat quod non audituri sint Scripturas, sicut neque ipse ; sed, si quis ex mortuis resurrecturus esset, credituri sint. Tales etiam nunc sunt qui dicunt : Quis vidit ea quæ in inferno ? Quis venit illinc, et annuntiavit nobis ? Sed audiant Abraham. Quoniam si Scripturas non audimus, neque his qui ex inferno veniunt, credemus Et hoc manifestarunt Judæi, qui quia Scripturas non audierunt, neque cum resurrexissent mortui, crediderunt : sed et Lazarum occidere tentaverunt, et B cum mortui multi resurrexissent crucifixo Jesu, magis tamen sævientes Judæi invaserunt apostolos : **421** quia si quidem illud profuisset nobis ad fidem, etiam hoc sæpe fecisset Dominus. Nunc nihil tam utile est ut Scripturarum diligens scrutatio. Mortuorum suscitationem false et apparenter facere posset etiam diabolus, ut seducat imprudentes, seminans doctrinas de inferno dignas sua malitia : at eis qui Scripturas probe scrutantur, nihil potest illudere. Illæ enim sunt lucerna et lumen, quo lucente fur deprehenditur et manifestatur. Illis igitur credendum, et de mortuorum suscitatione *non* curandum. Posset autem parabola hæc per allegoriam exponi, et ita dici, quod per divitem populus Judæorum significetur. Dives enim ille fuit olim, lo- C cupletatus omni cognitione et sapientia et sermonibus Dei, qui super aurum et lapidem pretiosum, sed et purpura et hysso indutus erat, regnum habens et sacerdotium, et regale erat sacerdotium Deo. Significat autem purpura quidem regnum, byssus vero sacerdotium. Nam Levitæ in sacrificiis byssinis vestimentis induebantur. Epulabatur autem quotidie et vivebat splendide. Quotidie enim offerebant sacrificium matutinum et vespertinum, quæ et ἐνδελεχισμὸν, hoc est juge sacrificium nominabant. Lazarus vero populus gentilium fuit, pauper divina gratia et sapientia, et ante fores jacens ; non enim licebat gentilibus intrare in domum : pollutio enim videbatur sicut in Actis apostolorum clamant D in Paulum quod gentiles introduxerat in templum, et communem fecisset sanctum illum locum. Insuper et ulceribus peccatorum fetentium plenus erat ille populus, et impudentes canes, diabolos, pascebat suis ulceribus. Voluptati enim illis sunt nostra ulcera. Desiderabat item et micas decidentes a mensa divitis. Omnino enim carebat pane, qui confirmat cor hominis : et minimo tenuique cibo et rationali egebat, sicut et Chananæa mulier cum ethnica esset, de micis saturari cupiebat Quid multis ? Mortuus est Hebraicus populus Deo, et mortua sunt illorum ossa, quæ ad bonum faciendum non moventur. Mortuus est autem et Lazarus peccato, gentilis inquam populus. Et Judæi quidem

αὐτὸν ἐχρῆν εἶναι κήρυκα. Τί οὖν ὁ Ἀβραάμ ; Ἔχουσι Μωσέα· οὐχ οὕτως, φησὶ, σὺ κήδῃ τῶν ἀδελφῶν, ὡς ὁ ποιήσας αὐτοὺς Θεός· μυρίους γὰρ ἐπέστησεν αὐτοῖς διδασκάλους. Ὁ δὲ πλούσιος, Οὐχὶ, φησὶ, πάτερ. Ἐπεὶ γὰρ αὐτὸς τῶν Γραφῶν ἀκούων ἠπίστει, καὶ μύθους εἶναι τὰ λεγόμενα ἐνόμιζε, ὁμοίως ἔχειν καὶ τοὺς ἀδελφοὺς ὑπελάμβανε, καὶ ἀφ' ἑαυτοῦ κρίνων ἔλεγε, ὅτι οὐκ ἀκούουσι τῶν Γραφῶν, ὥσπερ οὖν οὐδ' αὐτὸς, ἀλλ' ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πιστεύσουσι. Τοιοῦτοι καὶ νῦν εἰσιν οἱ λέγουσι· Τίς οἶδε τὰ ἐν ᾅδου ; τίς ἐλθὼν ἐκεῖθεν ἀπήγγειλεν ἡμῖν ; Ἀλλ' ἀκουσάτωσαν τοῦ Ἀβραάμ ; ὅτι εἰ τῶν Γραφῶν οὐκ ἀκούομεν, οὐδὲ τοῖς ἐξ ᾅδου ἐρχομένοις πιστεύσομεν. Καὶ τοῦτο ἐδήλωσαν οἱ Ἰουδαῖοι, οἳ ἐπεὶ τῶν Γραφῶν οὐκ ἤκουον, οὐδὲ νεκροὺς ἰδόντες ἀναστάντας ἐπίστευσαν, ἀλλὰ καὶ τὸν Λάζαρον ἀνελεῖν ἐπεχείρουν, καὶ ἐν τῷ σταυρῷ νεκρῶν πολλῶν ἀναστάντων, ὅμως τοῖς ἀποστόλοις ἐπεπήδων φονικώτερον. Ἐπεὶ εἴγε ὠφέλει ἡμᾶς εἰς πίστιν, καὶ τοῦτο ἐποίει ἂν συχνάκις ὁ Κύριος. Νῦν δὲ οὐδὲν οὕτως ὠφελεῖ, ὡς ἡ τῶν Γραφῶν ἀκριβὴς ἔρευνα. Νεκροὺς δὲ ἀνιστᾷν, ἐσοφίσατο ἂν ὁ διάβολος κατὰ φαντασίαν, καὶ διὰ τούτου ἐπλάνησεν ἂν τοὺς ἀνοήτους, περὶ τῶν ἐν ᾅδου δόγματα ἄξια τῆς οἰκείας κακίας κατασπείρων. Τῶν δὲ Γραφῶν ὑγιῶς ἐρευνωμένων, οὐδὲν ἰσχύσει τοιοῦτον σοφίσασθαι· αὗται γὰρ εἰσι λύχνος καὶ φῶς, καὶ τούτου φαίνοντος, ὁ κλέπτης φαίνεται καὶ εὑρίσκεται. Ταύταις οὖν πιστευτέον, καὶ μὴ ζητητέον νεκρῶν ἀναστάσεις. Ἔστι δὲ καὶ τροπικώτερον τὴν παραβολὴν ταύτην ἐκλαβεῖν, λέγοντας τὸν Ἑβραϊκὸν λαὸν ὑποδηλοῦσθαι διά του πλουσίου. Πλούσιος γὰρ ἦν οὗτος τὸ παλαιὸν, ἐν πάσῃ γνώσει καὶ σοφίᾳ πλουτισθεὶς, καὶ τοῖς λογίοις τοῦ Θεοῦ τοῖς ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν, ἀλλὰ καὶ πορφύραν καὶ βύσσον ἐνεδέδυτο, βασιλείαν ἔχων καὶ ἱερωσύνην, καὶ βασίλειον ὢν ἱεράτευμα τῷ Θεῷ. Αἰνίττεται δὲ ἡ μὲν πορφύρα τὴν βασιλείαν, ἡ δὲ βύσσος ἱερωσύνην. Οἱ γὰρ Λευῖται βυσσίνοις ἐχρῶντο ἐν ταῖς ἱερουργίαις ἐσθήμασιν. Εὐφραίνετό τε καθ' ἡμέραν λαμπρῶς· καθ' ἑκάστην γὰρ ἡμέραν θυσίας ἀνέφερον πρωΐας καὶ ἑσπέρας, ἃς καὶ τοῦ ἐνδελεχισμοῦ ὠνόμαζον. Λάζαρος δὲ ἦν ὁ ἐξ ἐθνῶν λαὸς, πένης θείων χαρίτων καὶ σοφίας, καὶ πρὸ τῶν πυλώνων κείμενος· οὐ γὰρ ἐξῆν τοῖς ἐθνικοῖς εἰς τὸν οἶκον εἰσελθεῖν· μιασμὸς γὰρ ἐδόκει, ὡς καὶ ἐν ταῖς Πράξεσι καταβοᾶται ὁ Παῦλος ὡς ἐθνικοὺς εἰσαγαγὼν εἰς τὸν ναὸν, καὶ κεκοινωκὼς τὸν ἅγιον τόπον τοῦτον. Ἀλλὰ καὶ ἥλκωτο ταῖς προσωζούσαις ἁμαρτίαις, καὶ τοὺς ἀναιδεῖς κύνας, τοὺς δαίμονας, ἔτρεφε τοῖς ἕλκεσι τούτοις. Ἡδονὴ γὰρ αὐτοῖς τὰ ἡμέτερα ἕλκη. Ἐπεθύμει δὲ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἄμοιρος γὰρ ἦν παντάπασι τῶν τὴν καρδίαν στηριζόντων ἄρτων, καὶ τῆς λεπτοτάτης, καὶ μικρᾶς, καὶ λογικῆς τροφῆς ἐδεῖτο, ὥσπερ καὶ ἡ Χαναναία, ἐθνικὴ οὖσα, ἀπὸ τῶν ψιχίων διατραφῆναι ζητεῖ. Τί τοίνυν ; Ἀπέθανε μὲν ὁ Ἑβραϊκὸς λαὸς τῷ Θεῷ, καὶ νεκρὰ γέγονεν αὐτῶν τὰ ὀστᾶ, μηδεμίαν κίνησιν πρὸς τὸ ἀγαθὸν ποιουμένων. Ἀπέθανε

δὲ καὶ ὁ Λαζάρος τῇ ἁμαρτίᾳ, ὁ ἐθνικὸς λαὸς, καὶ A οἱ μὲν Ἰουδαῖοι ἐν ταῖς ἁμαρτίαις αὐτῶν ἀποθανόντες ἐν τῇ φλογὶ κατακαίονται τοῦ φθόνου, ζηλοῦντες, ὥς φησιν ὁ Ἀπόστολος, ὅτι οἱ ἐθνικοὶ προσεδέχθησαν εἰς τὴν πίστιν, ὁ δὲ πρὶν πένης καὶ ἄτιμος λαὸς τῶν ἐθνῶν ἐν κόλποις Ἀβραὰμ τοῦ πατρὸς τῶν ἐθνῶν διάγει εἰκότως. Καὶ γὰρ καὶ Ἀβραὰμ, ἐθνικὸς ὢν, ἐπίστευσε τῷ Θεῷ καὶ ἐξ εἰδωλολατρείας εἰς θεογνωσίαν μετέστη. Οἱ τοίνυν κοινωνοὶ τῆς μεταθέσεως αὐτοῦ καὶ τῆς πίστεως, εἰκότως καὶ ἐν τοῖς κόλποις αὐτοῦ ἀναπαύονται, τὰς αὐτὰς αὐτῷ λήξεις, καὶ μονὰς, καὶ ὑποδοχὰς τῶν ἀγαθῶν κληρωσάμενοι. Καὶ ἐπιθυμεῖ ὁ Ἰουδαῖος σταγόνος μιᾶς τῶν παρὰ τῷ νόμῳ παλαιῶν ῥαντισμῶν, καὶ καθαρσίων, ὡς ἂν καταψυχθείη αὐτοῦ ἡ γλῶσσα, καὶ ἔχοι τὸ παῤῥησιάζεσθαι καὶ λέγειν τι B πρὸς ἡμᾶς, ὡς τοῦ νόμου ἐνεργοῦντος, ἀλλ' οὐ τυγχάνει. Ὁ νόμος γὰρ ἕως Ἰωάννου· καὶ θυσίαν, φησὶ, καὶ προσφορὰν οὐκ ἠθέλησας, καὶ τὰ ἑξῆς. Καὶ ὁ Δανιὴλ ἐξολοθρευθήσεσθαι χρίσμα, καὶ σφραγισθῆναι προφητείαν, τουτέστι, παυθῆναι καὶ συγκλεισθῆναι προηγόρευσε. Σὺ δὲ καὶ ἠθικῶς τὴν παραβολὴν ἐκλάμβανε, καὶ μὴ, πλούσιος ὢν ἐν κακοῖς παρορᾷς τὸν νοῦν σου λιμώττοντα, καὶ κάτω βεβλημένον τὸν ἄνω φέρεσθαι δεδημιουργημένον, καὶ πρὸ τῶν πυλώνων κείμενον, ἀλλ' εἰσάγαγε αὐτὸν ἔσω, καὶ μὴ ἔξω ἔστω, καὶ περιπλανάσθω, μηδὲ κείσθω, ἀλλ' ἐνεργείτω. Οὕτως γὰρ ἂν σοι ὑπάρξῃ τὸ κατὰ νοῦν ἐνεργεῖν, καὶ μὴ μόνον κατὰ σάρκα τρυφᾷν. Καὶ τ' ἄλλα δὲ τῆς παραβολῆς ῥᾴδιον εἰς ἤθους ὠφέλειαν ἐκλαβέσθαι.

qui in peccatis suis mortui sunt, in flamma invidiæ exuruntur, zelantes, ut dicit Apostolus, quod gentiles assumpti sint ad fidem: qui autem prius pauper erat et ignobilis populus gentilis, in sinibus Abrahæ patris gentium merito versatur. Etenim et Abraham cum gentilis esset, credidit Deo, et ex idolorum cultu ad Dei agnitionem transiit. Proinde qui participes sunt translationis ejus et fidei, jure et in sinibus ejus quiescunt, eumdem finem et habitationes et susceptionem bonorum sortiti. **422** Et cupit Judæorum populus unam guttam de aspersionibus et purgationibus priscis legalibus, ut refrigeretur ejus lingua, et possit confidenter loqui nobis quod lex sit efficax et operetur; sed non est: lex enim usque ad Joannem: et sacrificium, inquit, et oblationem noluisti, ac cætera: et Daniel, Exterminabitur unctio. Et signari prophetas, hoc est, cessaturos esse et concludendos prædixit. Tu autem et moraliter parabolam expone, et ne cum sis dives, in malo mentem tuam famelicam prætereas, neque despicias in humum projectam et, cum facta sit ut sursum tendat, ante fores jacentem, sed introduc eam intro, et non stet foris, nec vagetur, nec jaceat, sed operetur. Et sic ea quæ mentis, operari, et non solum in carne deliciari poteris. Facile fuerit etiam alia quæ in hac parabola sunt ad morum utilitatem exponere.

## ΚΕΦΑΛ. ΙΖʹ.

C

Περὶ σκανδάλου. Περὶ τοῦ ἀφεῖναι τὰς ἁμαρτίας τοῖς πλησίον. Περὶ τῆς εἰς Θεὸν πίστεως. Περὶ τῶν δέκα λεπρῶν. Περὶ τοῦ Ἰησοῦ ἐπερωτηθέντος πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ.

« Εἶπε δὲ πρὸς τοὺς μαθητὰς, ἀνένδεκτόν ἐστι τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ δι' οὗ ἔρχονται. Λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔῤῥιπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. Προσέχετε ἑαυτοῖς. Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ, καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμαρτήσει εἰς σὲ, καὶ ἑπτάκις ἐπιστρέψῃ εἰς σὲ, λέγων, Μετανοῶ, ἀφήσεις αὐτῷ. » Ἐπειδὴ οἱ Φαρισαῖοι, φιλοχρήματοι ὄντες, διεγόγγυζον κατὰ τοῦ Κυρίου περὶ ἀκτημοσύνης D λέγοντος, εἶπε μὲν καὶ τὴν τοῦ πλουσίου καὶ τοῦ Λαζάρου παραβολὴν, δεικνύων αὐτοῖς διὰ ταύτης οἷα αὐτοὺς κόλασις ἐκδέξεται διὰ τὸ φιλόπλουτον. Λέγει δὲ λοιπὸν καὶ πρὸς τοὺς μαθητὰς καὶ περὶ αὐτῶν τῶν Φαρισαίων, σκανδαλουργοὺς ἐμφαίνων αὐτοὺς, καὶ ἐμποδιστὰς τῆς θείας ὁδοῦ, καὶ διὰ τοῦτο οὐαὶ αὐτοῖς ἀποκληρῶν. Τί οὖν φησιν, ἴδωμεν. Ἀνένδεκτόν ἐστι μὴ ἐλθεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ δι' οὗ ἔρχεται, τουτέστιν, ἀδύνατόν ἐστι μὴ ἐλθεῖν τὰ σκάνδαλα, ἤτοι τὰ κωλύματα τῆς ἀγαθῆς καὶ θεοφίλους πολιτείας. Ἀνάγκη γὰρ διὰ τὴν πολλὴν τῶν ἀνθρώπων πονηρίαν κωλύματα πολλὰ τοῦ κηρύγμα-

## CAPUT XVII.

*De scandalo. Quod remittenda sint proximis peccata. De fide in Deum. De decem leprosis. De Jesu interrogato, Quandonam venturum sit regnum Dei.*

VERS. 1-4. « Dixit autem ad discipulos: Fieri non potest quin veniant offendicula; væ tamen illi per quem veniunt. Expedit illi si mola asinaria ponatur circa collum ejus, et projectus fuerit in mare, potius quam ut offendiculo sit uni de pusillis istis. Cavete vobis. Si peccaverit in te frater tuus, increpa illum: et si pœnituerit, remitte illi. Et si septies in die peccaverit in te, et septies in die conversus fuerit ad te, dicens, Pœnitet me: remitte illi. » Quoniam Pharisæi avari obmurmurabant contra Dominum de paupertate loquentem, quibus et parabolam dixit de divite et Lazaro, ostendens eis per illam, quanta propter amorem divitiarum supplicia passuri sunt: dicit nunc ad discipulos de iisdem Pharisæis, manifestans eos esse scandalorum auctores, et impedientes a via Dei, et propterea væ eis infligendum. Videamus igitur quid dicat: Fieri non potest ut non eveniant scandala, (a) væ autem illi per quem veniunt: scilicet fieri non potest ut non veniant scandala, hoc est, impedimenta bonæ Deoque placitæ vitæ. Necesse enim propter multam hominum malitiam multa impedimenta prædicationis et veritatis inveniri. Væ autem

(a) Edit. Lut omisit, *væ autem illi per quem veniunt: scilicet fieri non potest ut non veniant scandala.*

illi per quem veniunt, id est, illi qui ea faciunt, quales sunt Pharisæi, qui offendunt et prohibent prædicationem. (a) At plerique addubitantes quærant, num necesse sit, eveniant scandala, quæ prædicationem prorsus 423 impediunt. Quare igitur condemnas, Domine, et miseros dicis eos qui scandala faciunt? ex necessitate enim tales facti sunt. Omne autem quod necessarium, hoc et venia dignum. Sed audi quod necessitas illa ex voluntate habet initium; et, ut explicatius dicam, Dominus videns malitiam hominum qui tunc erant: proni enim erant in omne malum, nihilque boni eligebant: dicit quod quantum ad consequentiam eorum quæ videntur, necesse sit venire scandala. Malitia igitur cui student homines, ex voluntate est. Operatio autem offendiculorum necessario malitiam comitatur: et ita propter hoc et puniendi sunt scandalorum auctores. Et age dicamus exempla. Videns quempiam medicus malam diætam servare et insatiabilem esse, dicit: Necessarium est illum ægrotare. Num igitur morbus necessarius? Etiam, quatenus ad malæ diætæ consecutionem. Propterea væ his qui prædicationem impediunt, eo quod in tantam pervenerunt malitiam, ut etiam necessario eveniant scandala. Et expediret magis homini scandala et offendicula facienti molam asinariam in collo ejus appendi, et projici eum in mare, quam unum ex pusillis fidelibus scandalizari et subverti. Ideo munit discipulos suos, et dicit: Cavete vobis. Ecce, inquit, prædico vobis quod venient mala, inexcusabiles estis. Necessarium enim ut veniant illa, non necesse autem vos perire, si quidem muniveritis et armaveritis vos. Necessarium enim est venire lupum, sed si vigilaverit pastor, non necessarium est perire oves, sed lupus frustra hians abibit. Dixit igitur hæc de his qui offendunt, hoc est, impediunt et docent. Quoniam autem multæ horum differentiæ: nam alii quidem sunt incurabiles, quales Pharisæi, alii vero sanabiles, quales fratres Domini erga Dominum ipsum: nam neque ipsi credebant in eum: quia igitur multæ impedientium differentiæ, verisimile etiam quosdam qui idem credant, tales esse, et propterea dicit: Si peccaverit in te frater tuus, argue eum tu solus, et seorsum: et siquidem audierit te, lucratus es illum: sin minus, accipe tecum unum vel duos, etc. quæ late exponit Matthæus: Lucas autem ut dicta a Matthæo silentio præteriit. Itaque qui audierit increpationem, venia dignus est; qui autem non audierit, sit tibi velut ethnicus et publicanus, hoc est, ab omnibus contemptus, et indignus ut vocetur frater. Postea quasi interroget quispiam: Esto, Domine, hæc quidem bene dixeris: si autem sæpe veniam consecutus fuerit, et iterum noceat, quid faciendum ei? dicit: Si resipiscit iterum, remitte ei. Et iterum: Si septies in die peccaverit et conversus fuerit, remitte ei. Septies autem hoc 424

A τος καὶ τῆς ἀληθείας εὑρεθῆναι · πλὴν ἀλλ' οὐαὶ τῷ δι' οὗ ἔρχονται, τῷ ἐργάτῃ τούτων, οἷοι οἱ Φαρισαῖοι σκανδαλίζοντες, καὶ κωλύοντες τὸ κήρυγμα. Ἀλλὰ ζητοῦσι πολλοὶ ἐπαποροῦντες, εἰ ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα, καὶ ἀδύνατον μὴ ἐμποδισθῆναι τὸ κήρυγμα, διὰ τί λοιπὸν κατακρίνεις, ὦ Κύριε, καὶ ταλανίζεις τοὺς τῶν σκανδάλων ἐργάτας; ἐξ ἀνάγκης γὰρ ἐγένοντο τοιοῦτοι, πᾶν δὲ τὸ ἀναγκαστικὸν καὶ συγγνωστόν. Ἀλλ' ἄκουε ὅτι ἡ ἀνάγκη αὕτη ἐκ προαιρέσεως ἔχει τὴν ἀρχὴν, οἷόν τι λέγω, ὁ Κύριος ὁρῶν τὴν πονηρίαν τῶν τότε ἀνθρώπων, καὶ ὅπως ἔγκεινται ἐπὶ τὸ πονηρὸν, καὶ οὐδὲν ἀγαθῶν προαιροῦνται, εἶπεν, ὅτι ὅσον ἀπὸ τῆς ἀκολουθίας τῶν ὁρωμένων ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα. Ἡ μὲν
B οὖν πονηρία, ἣν ἐπετηδεύοντο οἱ ἄνθρωποι, ἐκ προαιρέσεως, ἡ δὲ τῶν σκανδάλων ἐργασία ἐκ τῆς πονηρίας ἀναγκαίως ἐπηκολούθησεν, ὥστε διὰ τοῦτο καὶ κολαστέοι οἱ τῶν σκανδάλων ἐργάται. Ὡς, φέρε εἰπεῖν, ἐπὶ ὑποδείγματος, ἰατρὸς ὁρῶν τινα μοχθηρῶς διαιτώμενον, καὶ ἀπληστίᾳ χρώμενον, εἴποι· Ἀναγκαῖόν ἐστι τοῦτον νοσῆσαι. Ἆρ' οὖν ἡ νόσος ἀναγκαία; Ναὶ, ὅσον ἀπὸ τῆς ἀκολουθίας τῆς μοχθηρᾶς διαίτης. Διὰ τοῦτο οὐαὶ τοῖς ἐμποδίζουσι τῷ κηρύγματι, διότι εἰς τοσοῦτον κακίας ἦλθον, ὥστε ἀνάγκην γενέσθαι τοῦ ἐλθεῖν τὰ σκάνδαλα. Καὶ γὰρ συμφέρει τῷ ἀνθρώπῳ τῷ σκάνδαλα καὶ ἐμπόδια ποιοῦντι μύλον ὀνικὸν περιτεθῆναι, καὶ βληθῆναι εἰς τὴν θάλασσαν, ἢ ἕνα τῶν μικρῶν πιστῶν σκανδαλίσαι καὶ περιτρέψαι. Διὸ ἀσφαλίζεται τοὺς μα-
C θητὰς, καί φησι· Προσέχετε ἑαυτοῖς. Ἰδοὺ, φησὶ, προλέγω ὑμῖν, ὅτι ἥξει τὰ κακὰ, ἀναπολόγητοί ἐστε. Ἀνάγκη μὲν γὰρ ἥξειν ἐκεῖνα, οὐκ ἀνάγκη δὲ ὑμᾶς ἀπολέσθαι, εἴγε ἀσφαλίζεσθε ἑαυτοὺς καὶ καθοπλίζετε. Ἀνάγκη μὲν γὰρ τὸν λύκον ἐλθεῖν, ἀλλ' ἐὰν ἐγρήγορεν ὁ ποιμὴν, οὐκ ἀνάγκη διαφθαρῆναι τὰ πρόβατα, ἀλλὰ τὸν λύκον μάτην χανόντα ἀπελθεῖν. Εἰπὼν οὖν ταῦτα περὶ τῶν σκανδαλιζόντων καὶ βλαπτόντων, τουτέστιν ἐμποδιζόντων, ἐπειδὴ πολλαὶ διαφοραί εἰσι τούτων· οἱ μὲν γὰρ εἰσιν ἀνίατοι, οἷον οἱ Φαρισαῖοι, οἱ δὲ ἰάσιμοι, οἷοι οἱ τοῦ Κυρίου ἀδελφοὶ πρὸς αὐτὸν τὸν Κύριον, οὐδὲ γὰρ αὐτοὶ ἐπίστευον εἰς αὐτόν· ἐπεὶ οὖν πολλαὶ διαφοραὶ τῶν ἐμποδιζόντων· εἰκὸς γὰρ εἶναί τινας καὶ ὁμοπίστους
D τοιούτους· διὰ τοῦτό φησιν· Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ σὺ μόνος κατ' ἰδίαν, καὶ ἂν μὲν ἀκούσῃ σου, ἐκέρδησας αὐτόν· εἰ δὲ μὴ, παράλαβε μετὰ σοῦ ἕνα ἢ δύο, καὶ ἑξῆς· ὅσα μὲν πλατέως ὁ Ματθαῖος ἐξέθετο, ὁ δὲ Λουκᾶς παρεσιώπησεν ὡς τῷ Ματθαίῳ ῥηθέντα. Ὁ μὲν ἀκούσας τῶν ἐπιτιμήσεων, συγγνώμης ἄξιος, ὁ δὲ μὴ ἀκούσας, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης, τουτέστι βδελυκτὸς, καὶ οὐκ ἄξιος καλεῖσθαι ἀδελφός. Εἶτα ὥσπερ εἰπόντος τινὸς, ὅτι Ἔστω, Κύριε, ταῦτα μὲν καλῶς διεῖλες, ἐὰν δὲ πολλάκις συγγνώμης ἀξιωθεὶς πάλιν βλάπτῃ, τί ποιητέον αὐτῷ; φησίν· Εἰ μετανοεῖ πάλιν, ἄφες αὐτῷ. Καὶ πάλιν· Κἂν ἑπτάκις τῆς

(a) Item omittit: *At plerique addubitantes quærunt, num necesse sit eveniant scandala, quæ prædicationem prorsus impediunt.*

ἡμέρας ἐπιστρέψῃ, ἄφες αὐτῷ. Τὸ δὲ ἑπτάκις ἐνταῦθα ἀντὶ τοῦ, πολλάκις κεῖται, ὥσπερ καὶ τό, Ὅτι στεῖρα ἔτεκεν ἑπτά. Ὁσάκις οὖν μετανοεῖ, τοσαυτάκις αὐτῷ ἀφιέναι δεῖ. Μὴ γὰρ δὴ νόμιζε ὅτι ἀριθμὸν τίθησιν ὁ Κύριος τῆς συγχωρήσεως, ἀλλ' ὅπερ εἶπον, τὸ ἑπτάκις, ἀντὶ τοῦ, πολλάκις, καὶ ἀναρίθμητα νόει, ὥσπερ καὶ ἐν τῇ συνήθει ὁμιλίᾳ λέγομεν, μυρίανδρος πόλις, οὐχ ὅτι μυρίους ἔχει, ἴσως γὰρ καὶ πλείους, ἀλλ' ἀντὶ τοῦ, πολύανδρος, εἰπεῖν, μυρίανδρος, φαμέν. Ὅτι δὲ τοῦτο λέγει, δῆλον ἀπὸ τοῦ Ματθαίου. Ἐκεῖ γὰρ τῷ Πέτρῳ εἰπόντι· Ἆρα, Κύριε, ἕως ἑπτάκις συγχωρήσω αὐτῷ; Εἶπεν ὁ Κύριος· Οὐχί, ἀλλ' ἑβδομηκοντάκις ἑπτά, διὰ τούτου τὸ ἀναρίθμητον ὑποδηλῶν.

« Καὶ εἶπον οἱ ἀπόστολοι τῷ Κυρίῳ· Πρόσθες ἡμῖν πίστιν. Εἶπε δὲ ὁ Κύριος· Εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ· Ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ, καὶ ὑπήκουσεν ἂν ὑμῖν. Τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι αὐτῷ ἐκ τοῦ ἀγροῦ ἐρεῖ· Εὐθέως παρελθὼν ἀνάπεσαι, ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ· Ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι, ἕως φάγω καὶ πίω, καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ; Μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι ἐποίησε τὰ διαταχθέντα αὐτῷ; Οὐ δοκῶ. Οὕτω καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε, ὅτι Ἀχρεῖοι δοῦλοί ἐσμεν, ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. » Οἱ ἀπόστολοι ἐπίστευον μὲν τῷ Κυρίῳ, πλὴν εἰς συναίσθησιν τῆς ἀσθενείας αὐτῶν ἐλθόντες, καὶ ἀκούσαντες τοῦ Κυρίου περὶ μεγάλων τινῶν εἰπόντος αὐτοῖς, καὶ περὶ τοῦ κινδύνου τοῦ ἀπὸ τῶν σκανδάλων, δέονται ὡς ἂν πλεονάσῃ αὐτοῖς ἡ τῆς πίστεως δύναμις, δι' ἧς δυνήσονται ταῦτα, ἃ εἶπε, κατορθῶσαι, τὰ περὶ ἀκτημοσύνης φημί. Οὐδὲν γὰρ οὕτω κατορθοῖ ἀκτημοσύνην, ὡς τὸ πιστεῦσαι καὶ θαῤῥῆσαι Θεῷ· ὥσπερ οὐδὲν οὕτω ποιεῖ θησαυρίζειν, ὡς τὸ μὴ πιστεύειν, ὅτι μέγας ταμίας ὁ Θεός, καὶ ταμεῖον ἀκένωτον ἡ ἀγαθότης αὐτοῦ. Ἔτι τε καὶ πρὸς τὰ σκάνδαλα διὰ τῆς πίστεως ἕξουσιν ἀντιστῆναι, διὸ προσερχόμενοί φασι. Πρόσθες ἡμῖν πίστιν, τελειοτέρους ἀνάδειξον ἡμᾶς ἐν τῇ πίστει καὶ βεβαιοτέρους. Ὁ δὲ Κύριος δεικνύων αὐτοῖς, ὅτι καλῶς αἰτοῦσι, καὶ ὅτι ταύτην τὴν γνώμην δεῖ αὐτοὺς ἔχειν βεβαίαν περὶ τῆς πίστεως ὡς μεγάλα δυναμένης, φησίν, ὅτι, Εἰ εἴχετε πίστιν, καὶ ταύτην ἂν τὴν συκάμινον μετεφυτεύετε. Δύο δὲ ἐν ταὐτῷ τὰ μεγάλα, τό τε μετακινηθῆναι τὸ κατὰ γῆς ἐῤῥιζωμένον, καὶ τὸ ἐν τῇ θαλάσσῃ μεταφυτευθῆναι· ἐν ὕδατι γὰρ τί ἂν φυτευθείη; Δῆλον δὲ ὅτι διὰ τοῦ ταῦτα εἰπεῖν τὴν τῆς πίστεως δείκνυσι δύναμιν. Τάχα δ' ἄν τις ἀλληγορῶν τὴν συκάμινον, εἴποι εἶναι τὸν διάβολον, ὡς τοῦ αἰωνίου σκώληκος πρόξενον ἡμῖν, καὶ τροφέα γινόμενον διὰ τῶν ἐξ αὐτοῦ φυομένων λογισμῶν, τῆς γὰρ συκαμίνου τὰ φύλλα σκώληκας τρέφουσ', δι' ὧν τὰ σηρικὰ νήματα γίνονται. Ταύτην οὖν τὴν συκάμινον ἡ πίστις δύναται ἐκρι-

83 Matth. XVIII, 21, 22.

A loco pro sæpius positum est; sicut et cum dicitur: Sterilis peperit septem. Quoties igitur pœnitentiam agit, toties remittere oportet, Non enim cogites quod Dominus ponat numerum remissionis, sed per septies intellige sæpius, et sine numero: quemadmodum et in familiari colloquio dicimus urbem decem millium, non quod decem millia et non plures viros habeat : nam fortassis plures habet : sed idem dicere volumus ac si diceremus multorum virorum. Et quod hoc dicat manifestum est ex Matthæo. Illic enim cum dixisset Petrus : Nunquid, Domine, usque septies remittam ei [83]? Dominus dixit : Non, sed septuagies septies, et per hoc innumerabilia designat.

B VERS. 5-10. « Et dixerunt apostoli Domino : Adauge nobis fidem. Dixit autem Dominus: Si haberetis fidem sicut granum sinapis, dixissetis huic arbori sycamino, Eradicare et transplantare in mare, et obedisset vobis. Quis autem vestrum habens servum arantem aut pascentem, qui regresso ab agro dicat : Statim transi et accumbe; ac non potius dicit illi: Para quod cœnem, et præcinge te, ac ministra mihi donec edero et bibero, et pos hæc edito et bibito tu? Num gratiam habet servo illi, quia fecit quæ imperata fuerant? Non puto. Sic et vos cum feceritis omnia quæ præcepta sunt vobis, dicite: Servi inutiles sumus : qued debuimus facere, fecimus. » Apostoli credebant quidem Domino, verum tamen cum venissent in conscientiam infirmitatis suæ, et audivissent Dominum de magnis qui C busdam sibi dicentem et de periculo ab offendiculis, precantur et augeatur in eis fidei virtus, per quam possint hæc quæ dicit perfici, de paupertate videlicet. Nihil enim adeo ad paupertatem de qua loquitur, perficiendam conducit, atque credere et confidere Deo: quemadmodum nihil ita facit thesauros reponere, ut non credere quod magnus sit thesaurarius Deus, et inexhaustum promptuarium bonitas ejus. Insuper ut et offendiculis per fidem obsistere possint, ideo accedentes dicunt : Auge nobis fidem, fac nos perfectiores et firmiores in fide. Dominus autem ostendens eis quod bene petant, et quod hanc mentem firmiter habere debeant de fide ut multum efficaci dicit: Si haberetis fidem, D istam sycaminum transplantassetis. Duo autem in hoc magna sunt, nempe in alium locum moveri radicatam in terra, et plantari in mari. In aqua enim quidnam plantatur? Manifestum autem quod, dum hæc dicit, fidei monstrat virtutem. Fortassis autem per allegoriam quis sycaminum dixeritesse diabolum, quod nobis auctor et alumnus sit vermis æterni, propter cogitationes quas ille generat Folia enim sycamini vermes pascunt, unde fiunt serica. Hanc igitur sycaminum fides eradicare 425 valet ex corde humano, et in mare projicere, hoc est, in abyssum perdere. Et quia hæc dicit de fide subdit doctrinam aliam magis necessariam. Qualis hæc?

**Non superbiendum esse in bonis operibus.** Quoniam A enim fides multa corrigit, et facit implere mandata eum qui illam habet, cum eo quod adornat miraculorum operibus. Verum quia verisimile est hominem ex his in superbiam incidere, munit apostolos ita, ut non extollantur in nobis operibus, pulcherrimo exemplo. Quis enim vestrum, inquit servum habens, et cætera. Monstratur enim per hanc parabolam quod non oportet extolli in bono quopiam opere, imo neque in omnium mandatorum impletione Servo enim necessitas incumbit ut faciat mandata domini, neque ut bonum opus sibi illud ascribere debet. Quippe si non operabitur, dignus est multis plagis: cum autem operatus fuerit, contentus sit quod plagas effugerit. Proinde non B oportet de hoc pretium vel honorem necessario quærere. Liberalitatis enim domini fuerit dare ipsi, imo largiri quidpiam. Igitur et qui servit Deo, etiamsi mandata perficiat, non debet extolli. Nihil enim magnum fecit, sed væ erit ei nisi fecerit; sicut Apostolus dicit: «Væ mihi nisi evangelizavero [84].» Proinde si dona fuerit assecutus, non debet in illis superbire, et de eis se jactare. Beneficia enim sunt per misericordiam Dei illi concessa, non quod debeat ei aliquid Dominus: imo servus debet domino suo ut faciat omnia ejus mandata Si autem et cum omnia mandata fecerimus, magnum quiddam tunc sentire non debemus, quid, cum maximam partem mandatorum Dei non perficimus, amplius extollimur? Adverte autem quod in dicta parabola primum posuit arantem, et subdidit postea pascentem. Pri- C mum enim oportet esse aratorem, deinde et pastoralem curam assumere Nam qui carnem suam bene araverit quasi terram quamdam, dignus erit etiam aliorum pastor fieri. Qui enim suæ domui nescit præesse ut oportet, quomodo Ecclesiæ curam geret? Ara igitur prius teipsum, et tunc pasces alios, sicut et Jeremias dicit: Novate vobis novalia, deinde subdit: Illuminate vos lumine scientiæ: quod pastorum præcipuum munus fuerit.

A ζῶσαι ἀπὸ καρδίας ἀνθρωπίνης, καὶ εἰς τὴν θάλασσαν βαλεῖν, τουτέστιν, εἰς τὴν ἄβυσσον ἀπολῦσαι. Ἐπεὶ δὲ ταῦτα εἶπε περὶ τῆς πίστεως, ἐπιφέρει καὶ ἀναγκαιοτάτην ἑτέραν διδασκαλίαν, ποίαν ταύτην; Τὴν περὶ τοῦ μὴ δεῖν μεγαλοφρονεῖν ἐπὶ κατορθώμασι· ἐπειδὴ γὰρ ἡ πίστις πολλὰ κατορθοῖ, καὶ τῶν ἐντολῶν πληρωτὴν ποιεῖ τὸν ταύτην ἔχοντα μετὰ τοῦ καὶ θαυματουργίαις κατακοσμεῖν αὐτὸν, ἐκ τούτων δὲ εἰκὸς τὸν ἄνθρωπον εἰς μεγαλοφροσύνην ἐκπεσεῖν πολλάκις, ἀσφαλίζεται τοὺς ἀποστόλους, ὥστε μὴ ἐπαίρεσθαι ἐπὶ κατορθώμασι, δι' ὑποδείγματος χαριεστάτου. Τίς γὰρ, φησὶν, ὑμῶν δοῦλον ἔχων, καὶ τὰ ἑξῆς. Ἐνδείκνυται γὰρ διὰ ταύτης τῆς παραβολῆς, ὅτι οὐ δεῖ ἐπαίρεσθαι ἐπί τινι κατορθώματι, B μᾶλλον δὲ οὐδὲ ἐπὶ τῇ πασῶν τῶν ἐντολῶν ἐκπληρώσει. Δούλῳ γὰρ ἀνάγκη ἐπίκειται, τὸ πληροῦν τὰς ἐντολὰς τοῦ Κυρίου, οὐ μὴν ὡς κατόρθωμα ἐπιγράφεσθαι ἑαυτῷ τοῦτο ὀφείλει. Εἰ γὰρ μὴ ἐργάσηται, πληγῶν ἀξιωτέος, ἐπεὶ δὲ εἰργάσατο, ἀρκείσθω ὅτι τὰς πληγὰς ἐξέφυγεν, οὐ μὴν ὀφείλει ἐπὶ τούτῳ τιμὴν ζητεῖν ἀναγκαίως. Τῆς γὰρ τοῦ δεσπότου φιλοτιμίας ἐστὶ τὸ δοῦναι αὐτῷ, μᾶλλον δὲ χαρίσασθαί τι· Οὐκοῦν καὶ τῷ Θεῷ δουλεύων, εἴτε τὰς ἐντολὰς κατορθοῖ, οὐκ ὀφείλει ἐπαίρεσθαι. Οὐδὲν γὰρ μέγα ἐποίησεν· ἀλλ' οὐαὶ ἦν αὐτῷ, εἰ μὴ ἐποίησεν, ὡς ὁ Ἀπόστολός φησιν, «Οὐαί μοι, ἐὰν μὴ εὐαγγελίζωμαι.» Οὔτ' αὖ εἰ χαρισμάτων ἔτυχεν, ὀφείλει ἐπὶ τούτοις μεγαλοφρονεῖν. Χαρίσματα γὰρ εἰσι διὰ ἔλεον Θεοῦ χαρισθέντα αὐτῷ, οὐχὶ διότι ἐχρεώστει αὐτῷ ὁ δεσπότης. Μᾶλλον γὰρ ὁ δοῦλος C χρεωστεῖ τῷ δεσπότῃ αὐτοῦ, τὸ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ. Εἰ δὲ καὶ ὅταν πάσας τὰς ἐντολὰς ποιήσωμεν, οὐδὲ τότε ὀφείλομεν οἴεσθαί τι μέγα, τί γενόμεθα, ὅταν μηδὲ τὸ πολλοστὸν μέρος τῶν ἐντολῶν τοῦ Θεοῦ κατορθοῦντες ἔτι ἐπαιρόμεθα; Ἐπίστησον δὲ ἐν τῷ τῆς παραβολῆς ῥητῷ, ὅτι πρῶτον ἔταξε τὸ, ἀροτριῶντα, εἶτα ἐπήγαγε τὸ, ποιμαίνοντα. Πρῶτον μὲν γὰρ δεῖ ἀρότην εἶναί τινα, εἶτα καὶ ποιμαντικὴν ἐγχειρισθῆναι. Ὁ γὰρ τὴν ἑαυτοῦ σάρκα καλῶς ἀροτριώσας οἱόν τινα γῆν, οὗτος ἄξιός ἐστι καὶ ποιμὴν ἑτέρων γενέσθαι. Ὁ γὰρ τοῦ ἰδίου οἴκου οὐκ οἶδεν, ὡς δεῖ, προστῆναι, πῶς Ἐκκλησίας ἐπιμελήσεται; Ἄροσον οὖν πρότερον σεαυτὸν, καὶ τότε ποιμανεῖς ἑτέρους, καθὰ καὶ Ἱερεμίας φησί· Νεώσατε ἑαυτοῖς νεώματα, εἶτα τό· Φωτίσατε ἑαυτοῖς φῶς γνώσεως, ὃ δηλοῖ τῆς ποιμαντικῆς τὸ κυριώτατον μέρος.

VERS. 11-19. «Et factum est dum iret Hierosolymam, et ipse transibat per mediam Samariam et D Galilæam. Et cum ingrederetur quamdam civitatem, occurrerunt ei decem viri leprosi, qui steterunt procul, intentaque voce dixerunt: Jesu præceptor, miserere nostri. Quos ut vidit, dixit illis: Ite ostendite vos sacerdotibus. Et factum est ut inter eundum mundati sint. Unus autem ex illis ut vidit quod mundatus esset, regressus est, cum voce magna glorificans Deum, et procidit in **426** faciem ad pedes ejus, gratias agens ei: et hic erat Samaritanus. Respondens autem Jesus dicit: Nonne decem mundati sunt? novem autem illi ubi? Non sunt

D «Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς Ἱερουσαλὴμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ Γαλιλαίας. Καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα πόλιν, ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόῤῥωθεν, καὶ αὐτοὶ ἦραν φωνὴν, λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. Καὶ ἰδὼν εἶπεν αὐτοῖς· Πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς, ἐκαθαρίσθησαν. Εἷς δὲ ἐξ αὐτῶν ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε, μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεὸν, καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ;

[84] I Cor. IX, 16.

Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος. Καὶ εἶπεν αὐτῷ· Ἀναστὰς πορεύου, ἡ πίστις σου σέσωκέ σε. » Κἀντεῦθεν ἄν τις ἐπιγνοίη, ὡς οὐδὲν ἐμποδίζει τινὶ πρὸς τὸ εὐαρεστεῖν Θεῷ, κἂν ἐπικαταράτου γένους εἴη, μόνον εἰ προαίρεσιν ἀγαθὴν ἔχοι. Ἰδοὺ γὰρ δέκα μὲν λεπροὶ συνήντησαν τῷ Ἰησοῦ μέλλοντι εἰσελθεῖν εἴς τινα πόλιν. Ἀπήντησαν δὲ ἔξω τῆς πόλεως. Οὐ γὰρ ἐξῆν αὐτοῖς ἀκαθάρτοις νομιζομένοις εἴσω τῆς πόλεως διάγειν· πόῤῥωθεν δὲ στάντες, οἷα αἰσχυνόμενοι τὴν δοκοῦσαν αὐτῶν ἀκαθαρσίαν, καὶ μὴ τολμῶντες ἐγγίσαι· ἐνόμιζον γὰρ καὶ τὸν Ἰησοῦν βδελυχθῆναι ἂν αὐτούς, ὥσπερ καὶ οἱ λοιποὶ ἐποίουν· αἴρουσι τὴν φωνήν, καὶ ἱκετεύουσι. Τῷ μὲν τόπῳ πόῤῥω ἔστησαν, τῇ δὲ ἱκεσίᾳ ἐγγὺς ἐγένοντο. Ἐγγὺς γὰρ καὶ πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. B Καὶ οὐχ ὡς ἁπλῶς ἄνθρωπον ἱκετεύουσιν, ἀλλ' ὡς ὑπὲρ ἄνθρωπον. Ἐπιστάτην γὰρ αὐτὸν ὀνομάζουσιν, ὅ ἐστι, Κύριον, κηδεμόνα, ἔφορον, ὅπερ ἐγγύς ἐστι τοῦ Θεὸν νομίζειν αὐτόν. Ὁ δὲ προστάττει αὐτοῖς ἐπιδεῖξαι ἑαυτοὺς τοῖς ἱερεῦσιν· οἱ γὰρ ἱερεῖς ἐδοκίμαζον τοὺς τοιούτους, καὶ παρ' ἐκείνων τὴν ψῆφον ἐδέχοντο, εἴτε καθαροὶ τῆς λέπρας εἶεν, εἴτε μή. Εἶχον γὰρ σημεῖα οἱ ἱερεῖς δι' ὧν τὴν ἀνίατον λέπραν ἐχαρακτήριζον. Ἀλλὰ καὶ μεθ' ὃ ἐλεπρώθη τις, εἶτα ὑγιείας ἔτυχεν, οἱ ἱερεῖς ἐδοκίμαζον, καὶ δῶρον προσεφέρετο τὸ ἐν τῷ νόμῳ διαταχθέν. Ἐνταῦθα δὲ ὁμολογουμένως λεπρῶν ὄντων τούτων, τί ἔδει αὐτοὺς ὑποδειχθῆναι τοῖς ἱερεῦσιν, εἰ μὴ πάντως ἔμελλον καθαρισθῆναι; C Τὸ γὰρ προστάξαι αὐτοῖς ἀπελθεῖν πρὸς τοὺς ἱερεῖς, οὐδὲν ἄλλο ἐνέφαινεν, ἢ ὅτι καθαροὶ ἔσονται, διὸ καὶ φησιν, ὅτι ἐν τῷ ὑπάγειν ἐκαθαρίσθησαν. Ἀλλ' ὅρα ὅπερ ἐν ἀρχῇ εἴπομεν, ὅτι δέκα ὄντων, οἱ μὲν ἐννέα, καίτοι Ἰσραηλῖται ὄντες, ἀχάριστοι ἐφάνησαν, ὁ δὲ Σαμαρείτης, ἀλλογενὴς ὤν, ὑπέστρεψε καὶ τὴν τῆς εὐγνωμοσύνης φωνὴν ἠφίει, Ἀσσύριοι γὰρ οἱ Σαμαρεῖται, ἵνα μηδεὶς ἐθνικὸς ἀπογινώσκῃ, καὶ ἵνα μηδεὶς ἐκ προγόνων ἁγίων ὢν καυχῷτο. Αἰνίττεται δὲ τὸ θαῦμα τοῦτο καὶ τὴν κοινὴν κατὰ παντὸς τοῦ ἀνθρωπίνου γένους γενομένην σωτηρίαν, δέκα μὲν γὰρ λεπροί, ἡ παντελὴς τῶν ἀνθρώπων φύσις λεπρωθεῖσα τῇ κακίᾳ, καὶ τὴν τῆς ἁμαρτίας ἀσχημοσύνην περιφέρουσα, καὶ ἔξω τῆς τῶν οὐρανῶν πόλεως διὰ τὴν ἀκαθαρσίαν διάγουσα, καὶ πόῤῥωθεν ἱσταμένη Θεοῦ· D αὐτὸ τοῦτο τὸ πόῤῥωθεν ἵστασθαι, ἱκετηρίαν εἶχε. Τῷ γὰρ φιλανθρώπῳ, καὶ θέλοντι πάντας σωθῆναι καὶ ἀγαθύνεσθαι, μεγίστη πρόφασις εἰς ἔλεον τὸ μηδένα ὁρᾷν μετέχοντα τῆς ἀγαθότητος αὐτοῦ, δι' αὐτὸ γὰρ τοῦτο ἐπικάμπτεται πρὸς τὸ θεραπεῦσαι τοὺς οὕτως ἀθλίως ἔχοντας. Καὶ μέντοι καὶ ἐθεράπευσε πᾶσαν τὴν λεπρωθεῖσαν φύσιν, ὑπὲρ παντὸς ἀνθρώπου καὶ σαρκωθεὶς καὶ θανάτου γευσάμενος. Ἀλλ' οἱ μὲν Ἰουδαῖοι, καί τοι ὅσον τὸ ἐπὶ τῷ Κυρίῳ καθαρισθέντες τῶν οἰκείων τῆς λεπρώδους ἁμαρτίας ἀκαθαρσιῶν, ἀγνώμονες ἀνεφάνησαν, καὶ οὐχ ὑπέστρεψαν

A reperti qui redierent ut darent gloriam Deo, nisi hic alienigena. Et ait illi: Surge, vade, fides tua te servavit. » Et hinc discere quis potest, quod nihil cuiquam obest ad hoc ut Deo placeat, etiamsi maledicti generis sit, modo bonam voluntatem habeat. Ecce enim decem leprosi occurrerunt Jesu in civitatem quamdam ingressuro: occurrerunt autem extra civitatem. Non enim licebat eis qui habebantur immundi, in civitatibus versari. Procul igitur stabant, utpote propter immunditiam quæ in eis apparebat erubescentes: et neque audebant appropriare, putantes quod abominabiles ei essent, sicut et aliis. Extollunt igitur vocem suam et orant: et loco quidem procul stant, oratione autem appropriant. Prope enim est Dominus omnibus invocantibus eum in veritate [85]. Et non simpliciter orant ut hominem, sed ut eum qui supra hominem. Præceptorem enim eum nominant, hoc est, Dominum, curatorem, provisorem: id quod est putare illum prope Deum. At ille præcepit eis ut ostendant se sacerdotibus. Nam sacerdotes probabant tales, et ab illis sententiam accipiebant an mundi essent a lepra vel non. Habebant enim sacerdotes signa per quæ insanabilem lepram investigabant. Sed et quando lepra quis infectus, postea sanitatem assecutus erat, eum sacerdotes probabant, et donum offerebatur in lege præceptum. Hoc autem loco cum ex confesso essent leprosi, quid opus erat se ostendere sacerdotibus, nisi omnino fuissent mundandi? Nam quod præcipiebat eis ut sacerdotes adirent, nihil aliud indicabat, quam quod mundi futuri essent: idcirco et dicit quod inter eundum mundati fuerunt. At vide hoc, ut in principio diximus, quod cum decem essent, novem quidem quamvis Israelitæ ingrati apparuerunt: at Samaritanus cum esset generis alterius, reversus est, et vocem gratitudinis emisit. Assyrii enim erant Samaritani: ut nullus gentilis desperet, et nullus de sanctis parentibus glorietur. Insinuat hoc miraculum etiam commune totius humani generis salutem fieri. Decem enim leprosi omne genus hominum signant lepra malitiæ infectum, ac turpitudinem peccati circumferens, et extra regni cœlorum civitatem propter immunditiam constitutum, proculque a Deo stans. Et istuc ipsum procul stare, supplicandi speciem habet. Misericordi enim et volenti omnibus salutem afferre (*a*) ac benefacere, magna occasio est ad miserendum, nullum videre participem suæ bonitatis; propter hoc enim inclinavit, ut sanaret 427 eos qui tam male habebant. Quamvis etiam omnem naturam sanaverit lepra infectam, pro omnibus et incarnatus et mortuus: attamen Judæi, quamvis a Domino mundati fuissent ab immunditiis leprosi peccati, ingrati fuerunt, et non reversi sunt a via vanitatis suæ, ita ut darent gloriam ei qui salvos eos fecerat, hoc est, ut crede-

85 Psal. CXLIV, 18.

(*a*) Ed. Lut. non habet, *omnibus salutem adferre*.

rent ei, quod, cum Deus esset, extremam passionem tulerit. Hæc enim est gloria Dei, caro et crux. Hi igitur incarnatum et crucifixum Dominum gloriæ non sunt confessi. Alienus autem, populus gentilium, agnovit eum qui mundaverat, et glorificavit eum credendo quod tam misericors et tam potens sit Dominus, ut et propter nos vilissima tulerit, id quod est misericordiæ, et cum pertulerit, nihil inde incommodi in suam naturam acceperit, id quod potentiæ est.

VERS. 20-25. « Interrogatus autem a Pharisæis quando venturum esset regnum Dei, respondit eis et dixit : Non venit regnum Dei cum observatione: neque dicent, Ecce hic, aut, Ecce illic. Ecce enim regnum Dei intra vos est. Et ait ad discipulos : Venient dies quando desiderabitis videre unum dierum Filii hominis, nec videbitis; et dicent vobis : Ecce hic, aut Ecce illic. Nolite ire, neque sectemini. Nam sicut fulgur coruscans e regione quæ sub cœlo est, in alteram quæ sub cœlo est, fulget : ita erit Filius hominis in die suo. Sed prius oportet illum multa pati, et reprobari a natione hac. » In multis quidem doctrinæ suæ locis Dominus regnum Dei nominat. Pharisæi autem hæc audientes, irridebant eum : et propterea de hoc interrogaturi accedunt ad eum, rogantes quando venturum sit, irridentes eum ut insanum, de insolita et admirabili re prædicantem. Nullus ex doctoribus et prophetis qui superioribus sæculis fuerunt, ejus mentionem fecit. Vel fortassis in mente habentes quod paulo post occisuri essent eum, accedunt per irrisionem rogantes, et quasi per ironiam dicentes : Tu quidem de regno facis sermones, quando autem erit regnum illud tuum? Tu enim cras a nobis occidendus es, et feres crucem, et ignominiosa quæque. Quid igitur Christus? Non juxta stultam sententiam et insipientiam respondit insipientibus, sed relictis ipsis ut errent in nomine regni, et non manifestato eis re : neque enim accepissent, si eis de regno disseruisset, quod non sit mundanum regnum illud, sed plus quam mundanum. Illis igitur relictis ceu his qui indigni essent ut audirent, eo quod ultro obsurdescerent, de tempore regni disserit, quod ignotum sit et inobservabile. Non enim habet præfinitum tempus, sed semper volenti adest Dei regnum. Omnino enim regnum quidem Dei est, angelorum more vivere. **428** Tunc enim vere dicitur regnare Deus, quando nihil mundanum in animabus nostris versatur, sed omnino aliter vivitur quam mundus solet. Hanc autem vitam intra nos habemus, hoc est quando voluerimus. Non enim longo tempore neque longa peregrinatione opus, sed prope nos est et fides, et post fidem divina vita. Isthuc ipsum etiam apostolus dicebat : Prope te verbum est in ore tuo et in corde tuo, hoc est verbum fidei. Credere enim, et secundum fidem ambulare, sicut dignum est vocatione, intra nos est. Itaque Pharisæi irridebant Dominum tanquam de

ἀπὸ τῆς ἰδιώτου τῆς ματαιότητος, ὥστε δοῦναι δόξαν τῷ Θεῷ τῷ σώσαντι, τουτέστι, πιστεῦσαι αὐτῷ, ὅτι Θεὸς ὤν, ἠνέσχετο τὰ ἔσχατα παθεῖν. Τοῦτο γὰρ δόξα Θεοῦ, ἡ σὰρξ καὶ ὁ σταυρός. Οὗτοι μὲν οὖν τὸν σαρκωθέντα καὶ σταυρωθέντα Κύριον τῆς δόξης οὐχ ὡμολόγησαν. Ὁ δὲ ἀλλογενὴς λαὸς τῶν ἐθνῶν ἐπέγνω τὸν καθαρίσαντα, καὶ ἐδόξασε αὐτὸν ἐν τῷ πιστεῦσαι, ὅτι τοσοῦτον φιλάνθρωπός ἐστιν ὁ Θεὸς καὶ δυνατὸς, ὥστε καὶ ἀτιμώτατα δι' ἡμᾶς ἀναδέξασθαι, ὅπερ ἐστὶ φιλανθρωπίας, καὶ ἀναδεξάμενος μηδὲν παραβλαβῆναι εἰς τὴν οἰκείαν φύσιν, ὅπερ ἐστὶ δυνάμεως.

« Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων, πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ, ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν· Οὐκ ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ, μετὰ παρατηρήσεως, οὐδὲ ἐροῦσιν, Ἰδοὺ ὧδε, ἤ, Ἰδοὺ ἐκεῖ. Ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν. Εἶπε δὲ πρὸς τοὺς μαθητάς· Ἐλεύσονται ἡμέραι, ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε, καὶ ἐροῦσιν ὑμῖν· Ἰδοὺ ὧδε, ἤ, Ἰδοὺ ἐκεῖ. Μὴ ἀπέλθητε, μηδὲ διώξητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπ' οὐρανὸν, εἰς τὴν ὑπ' οὐρανὸν λάμπει, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ· πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης. » Πολλαχοῦ μὲν τῶν διδασκαλιῶν αὐτοῦ ὁ Κύριος ἐμέμνητο τῆς βασιλείας τοῦ Θεοῦ. Οἱ δὲ Φαρισαῖοι, ταῦτα ἀκούοντες, κατειρωνεύοντο αὐτοῦ, καὶ διὰ τοῦτο περὶ ταύτης προσίεσαν ἐρωτῶντες πότε ἔρχεται, διαγελῶντες αὐτὸν ὡς ἀλλόκοτα καὶ περὶ ἀσυνήθους καὶ ξένου πράγματος κηρύττοντα. Οὐδεὶς γὰρ τῶν προγενεστέρων διδασκάλων καὶ προφητῶν ταύτης ἐπεμνήσθη. Ἢ τάχα καὶ κατὰ νοῦν ἔχοντες ὅτι ὅσον μέλλουσιν αὐτὸν ἀποκτεῖναι, προσίασιν ὡς ἐν μυκτηρισμῷ καὶ εἰρωνείᾳ ἐρωτῶντες, καὶ ὡσανεὶ τοιαῦτα φάσκοντες· Σὺ μὲν περὶ βασιλείας ποιεῖς τοὺς λόγους, πότε δὲ ἔσται ἡ βασιλεία σου αὕτη ; Σὺ γὰρ αὔριον ὑφ' ἡμῶν θανατοῦσθαι μέλλεις, καὶ σταυρός σε παραλήψεται, καὶ ὅσα τῆς ἀτιμίας. Τί οὖν ὁ Χριστός ; Οὐ κατὰ τὴν ἀνόητον αὐτῶν γνώμην καὶ ἀφροσύνην ἀποκρίνεται τοῖς ἄφροσιν, ἀλλ' ἀφεὶς αὐτοὺς πλανᾶσθαι περὶ τὴν ὁμωνυμίαν τῆς βασιλείας, καὶ μὴ ἀποκαλύψας αὐτοῖς· οὐδὲ γὰρ ἐδέξαντο ἄν, περὶ ποίας βασιλείας διαλέγεται, καὶ ὅτι οὐχ ὡς οἷόν τε ἐγκόσμιός ἐστιν αὕτη ἡ βασιλεία, ἀλλ' ὑπερκόσμιος. Ταῦτα οὖν ἀφεὶς, ὡς μὴ ἀξίων ὄντων τούτων ἀκούειν διὰ τὸ ἐθελοκωφεῖν, περὶ τοῦ καιροῦ τῆς βασιλείας διαλέγεται, ὡς ἄγνωστός ἐστι καὶ ἀπαρατήρητος. Οὐ γὰρ ἔχει καιρὸν ὡρισμένον, ἀλλ' ἀεὶ τῷ βουλομένῳ πάρεστιν ἡ βασιλεία τοῦ Θεοῦ. Πάντως γὰρ βασιλεία μὲν τοῦ Θεοῦ ἐστιν ἡ ἀγγελικὴ κατάστασις καὶ διαγωγή. Τότε γὰρ δὴ λέγεται βασιλεύειν τῷ ὄντι Θεὸς, ὅταν μηδὲν κοσμικὸν ἐν ταῖς ψυχαῖς ἡμῶν πολιτεύηται, ἀλλὰ τὸ πάντα ὦμεν ὑπερκοσμίως διάγοντες. Ταύτην δὲ τὴν διαγωγὴν ἐντὸς ἡμῶν ἔχομεν, τουτέστιν, ὅταν βουληθῶμεν. Οὐ καιροῦ γὰρ μακροῦ, οὐδὲ ἀποδημίας χρεία, ἀλλ' ἐγγὺς ἡμῶν ἐστι καὶ ἡ πίστις, καὶ ἡ μετὰ τὸ πιστεῦσαι κατὰ Θεὸν διαγωγή. Ταυτὸ δὲ τοῦτο καὶ ὁ Ἀπόστολος ἔφη, Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου, καὶ ἐν

τῇ καρδίᾳ σου, τουτέστι, τὸ ῥῆμα τῆς πίστεως. Καὶ A τὸ πιστεῦσαι γὰρ, καὶ τὸ μετὰ τὴν πίστιν ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἐντὸς ἡμῶν ἐστιν. Οἱ μὲν οὖν Φαρισαῖοι διεχλεύαζον τὸν Κύριον, ὡς περὶ τῆς βασιλείας κηρύττοντα, περὶ ἧς οὐδεὶς ἐκήρυξεν. Ὁ δὲ Κύριος δεικνὺς (8), ὅτι ἀγνοοῦσι πρᾶγμα, ὃ ἐντὸς αὐτῶν ἐστι, καὶ βουλομένοις, τοῦτο λαβεῖν πολλὴ ἡ εὐκολία. Νῦν γὰρ ὄντος ἐμοῦ μέσον ὑμῶν, δύνασθε πάντως τὴν βασιλείαν τοῦ Θεοῦ δέξασθαι, πιστεύσαντες εἰς ἐμὲ, καὶ κατὰ τὰς ἐμὰς ἐντολὰς ζῆν ἐλόμενοι. Τοῖς δὲ μαθηταῖς αὐτοῦ εἶπεν, « Ἐλεύσονται ἡμέραι, » καὶ τὰ ἑξῆς· τουτέστι, καὶ ὑμῖν ἡ βασιλεία τοῦ Θεοῦ πάρεστιν, ἐν ὅσῳ εἰμὶ μεθ' ὑμῶν. Πάρεστι δὲ αὕτη ὑμῖν, οὐ μόνον καθὸ ἐπιστεύσατέ μοι καὶ ἠκολουθήσατε, ἀλλὰ καὶ καθὸ ἐν πάσῃ ἀφροντισίᾳ διάγετε νῦν, ἐμοῦ ὑμῶν κηδομένου καὶ B προνοουμένου. Ἐλεύσονται δὲ ἡμέραι ὅτε, ἀπόντος ἐμοῦ, κινδύνοις παραδοθήσεσθε, καὶ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀγόμενοι τὸν νῦν ἀκίνδυνον καιρὸν καὶ τὴν ἀφροντισίαν, ἣν ἐμοῦ συνόντος ὑμῖν ἔχετε, ὡς βασιλείαν Θεοῦ ποθήσετε. Καὶ πολλάκις ἐπιθυμήσετε τῶν ἐμῶν ἡμερῶν μιᾶς ἐπιτυχεῖν, τουτέστι, ταύτης τῆς μετ' ἐμοῦ συνδιαγωγῆς, ὡς ἀκινδυνωτέρας. Εἰ γὰρ καὶ σὺν αὐτῷ ὄντες, οὐ πάντη ἄπονον καὶ ἀκίνδυνον ἦγον βίον, ἀλλὰ φεύγοντι συμφεύγοντες ἐκακοπάθουν, καὶ λοιδορουμένῳ συνελοιδοροῦντο, ἀλλὰ πρὸς τοὺς μέλλοντας κινδύνους συγκρινόμενα τὰ πρότερον αὐτοῖς ἐπισυμβαίνοντα, τὸ ἀκίνδυνον πολὺ ἔχειν φανήσονται. Ὥστε ἡ βασιλεία τοῦ Θεοῦ καὶ κατὰ τοῦτόν γε τὸν τρόπον ἐντὸς τῶν ἀποστόλων ἦν, κατὰ τὸ ἀκίνδυνον καὶ ἄπονόν φημι. Ἐπεί τοι γε μετὰ C τὴν ἀνάστασιν ὡς αἰχμάλωτοι καὶ διωκόμενοι περιῄεσαν. Κατασκευάζει δὲ διὰ τούτων τῶν λόγων τὰς τῶν ἀποστόλων καρδίας φερεπόνους καὶ καρτερικὰς, καὶ προλέγει αὐτοῖς, ἵνα μὴ πλανηθῶσιν. Ἂν γὰρ εἴπωσι, φησὶν, Ἰδοὺ ὧδε, ἢ Ἰδοὺ ἐκεῖ, μὴ διώξητε. Μηδεὶς γὰρ, φησὶν, ὑμᾶς πείσειεν, ὅτι ἦλθον ὧδε ἢ ἐκεῖ· οὐ γὰρ τόπῳ περικλεισθήσεται ἡ δευτέρα μου παρουσία ἡ λαμπροτέρα, καὶ ἐνδοξοτέρα. Ἀλλ' ὥσπερ ἀστραπὴ οὐ λανθάνει, ἀλλ' ἀπ' ἄκρου τῆς γῆς ἐπὶ θάτερον ἄκρον φαίνει, οὕτω καὶ ἡ ἐμὴ παρουσία λαμπρὰ καὶ ἐπιφανὴς ἔσται, καὶ οὐδενὶ ἀποκρυβήσεται. Μὴ οὖν πλανηθῆτε ὑπὸ τῶν ψευδοχρίστων. Οὐ γὰρ ὥσπερ πρότερον ἐν φάτνῃ καὶ πτωχείᾳ διὰ τριάκοντα ἐτῶν ἐφάνην, οὕτω καὶ D τότε, ἀλλὰ πάντα ἐν δόξῃ, δορυφορούντων ἀγγέλων, καὶ ἐν ῥιπῇ. Εἶτα ἐπειδὴ αὐτοῖς φοβερὰ προεῖπεν ἀπαντήσειν, παραμυθούμενος αὐτοὺς, καὶ παρακαλῶν γενναίως φέρειν, τῷ καθ' ἑαυτὸν ὑποδείγματι τοῦτο συνιστᾷ, Μὴ γὰρ θαυμάσητε, φησὶν, εἰ συμβήσεται ὑμῖν τοιαῦτα ἐπίπονα οἷα ἐπιθυμίαν ὑμῖν ἀγαγεῖν τῆς μετ' ἐμοῦ ταύτης τῆς νυνὶ συνδιαγωγῆς. Αὐτὸς γὰρ ἐγὼ ὁ μέλλων ὡς ἀστραπὴ φανῆναι πρότερον μέλλω παθεῖν πολλὰ, καὶ ἀποδοκιμασθῆναι, καὶ οὕτως ἐν τῇ δόξῃ ταύτῃ ἐλθεῖν. Ὥστε τοῦτο

regno prædicantem, de quo nullus prædicaverat. At ipse ostendit quod ignorent rem quæ intra se sit, et quæ valde facilis, si qui capere velint. Nunc enim cum sim medius inter vos, potestis omnino regnum Dei capere, si creditis in me, et vultis juxta mandata mea vivere. Discipulis vero suis dixit : « Venient dies, » etc., hoc est, et vobis regnum Dei adest, quatenus sum vobiscum. Adest autem illud vobis, non solum quod credidisti et secuti estis me, sed quia nunc in magna securitate vivitis absque sollicitudine, me curam vestri gerente. Venient autem dies, cum ego abfuero, et trademini periculis, et ad reges et præsides trahemini: tunc desiderabitis securam illam et sollicitudine carentem vitam, quam me præsente agitis, sicut regnum Dei. Et sæpe desiderabitis vel unum ex diebus meis habere, hoc est, ex secura illa quam mecum agitis vita. Quamvis autem et quo tempore cum ipso erant, non omnino sine labore et periculis vitam agebant, sed cum fugiente fugientes affligebantur, cumque eo convicia audiebant : tamen si quæ tunc ferebant, compararentur cum his quæ postea laturi erant, viderentur prorsus secura, et absque periculis. Atque ita regnum Dei etiam hoc modo intra apostolos erat, hoc est, minime laboriosum et periculosum regnum. Post resurrectionem enim sicut captivi, et qui persecutionem patiuntur, obambulant. Porro his verbis apostolorum corda ad ferendos labores et parat et roborat et prædicit eis ne decipiantur. Nam si qui dixerint, inquit, Ecce hic, vel Ecce illic, ne sectemini. Nullus, inquit, vobis persuadeat, quod venerim hoc vel illuc. Non enim loco circumscribetur secundus ille meus adventus, qui gloriosior et clarior. Verum sicut fulgur non latet, sed ab una summitate terræ usque ad aliam conspicuum est : ita et meus adventus clarus erit et illustris, nullisque ignotus. Ne igitur decipiamini a Pseudochristis. Non enim sicut prius in præsepio et humilitate per triginta annos apparui, ita et tunc, sed cum omni gloria stipantibus me angelis, et in momento. Postea quia dixerat eis eventura valde aspera, consolatur **429** eos et exhortatur, et, ut generose ferant, exemplo suo commendat. Non enim admiremini, inquit, si evenerint vobis tam molesta, quæ vobis desiderium afferent dierum, quibus ego vobiscum sum. Nam et ego ipse qui venturus sum sicut fulgur, prius passurus multa reprobandusque sum, et ita in gloria ista veniam. Atque ita hoc vobis sit exstimulatio ad patientiæ virtutem, et ad fortiter ferendum alacres vos faciat, dum in me respicitis et speratis : quia et vobis obveniet gloria ex periculis dum patimini et reprobamini, quemadmodum et mihi.

**Ex collatione codd. Venet. S. Marci.**

(8) Cod. 26, Περὶ ἧς οὐδεὶς ἐκήρυξεν. Ὁ δὲ ἀντιστρέφει αὐτοῖς τὸν κατάγελων, δεικνὺς, κ. τ. λ. « **De quo nullus prædicaverat. At ipse in illos irrisionem convertit, ostendens,** » etc. — Unde non male habebat edit. Lat. *illos in risum convertit* : quæ verba sustulit corrector Venetus quod non exstarent in textu Græco, qui potius per hunc codicem corrigendus est.

ὑμῖν ἔστω εἰς παράκλησιν τὴν πρὸς ἀρετὴν, καὶ προθυμοποιείτω ὑμᾶς εἰς τὸ καρτερεῖν, τὸ ἀφορᾷν δηλαδὴ πρὸς ἐμὲ, καὶ ἐλπίζειν, ὅτι καὶ ὑμῖν ἡ δόξα ἐκ τοῦ κινδύνου· παθεῖν καὶ ἀποδοκιμασθῆναι περιγενήσεται, ὥσπερ οὖν καὶ ἐμοί.

VERS. 26-30. « Et sicut accidit in diebus Noe, ita A erit et diebus Filii hominis. Edebant, bibebant, uxores ducebant, et dabantur nuptum ad eum usque diem, quo Noe in arcam intravit : et venit diluvium, et perdidit omnes. Consimiliter etiam sicut accidit in diebus Lot. Edebant, bibebant, emebant, vendebant, plantabant, ædificabant : cæterum quo die exiit Lot e Sodomis pluit igni et sulphure de cœlo, et omnes perdidit. Secundum hæc erit dies quo Filius hominis revelabitur. » Et per hæc repentinum et inexspectatum suum adventum ostendit. Nam sicut temporibus Noe repente venit diluvium, et abstulit omnes, ita erit et adventus ejus. Insinuatur autem per exempla hæc diluvii et Sodomitici incendii, quod, cum venerit Antichristus, illicitæ voluptates in hominibus increscent, et dis- B soluti erunt, deliciis vacantes : id quod et Apostolus dixit, quod in extremis temporibus erunt homines voluptatum, magis quam Dei amatores 66. Et merito in regno deceptoris florebunt mala. Erit enim ille peccati et malitiæ omnis sentina : unde quam aliam politiam et vitam invehet miserandæ tunc hominum generationi, quam omnino eam quæ illi propria? ex impuro enim quid purificabitur? Erunt tunc homines in omnibus deliciis, sicut temporibus Noe, et nihil grave formidabant : sed neque crederent si quis illis de quibusdam adversis eventuris dicet, sicut et hi temporibus Noe et Lot fuerunt.

« Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ Υἱοῦ τοῦ ἀνθρώπου· ἤσθιον καὶ ἔπινον, ἐγάμουν καὶ ἐξεγαμίζοντο, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἀπώλεσεν ἅπαντας. Ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λὼτ, ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν, ᾗ δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξε πῦρ καὶ θεῖον ἀπ' οὐρανοῦ, καὶ ἀπώλεσεν ἅπαντας, Κατὰ ταῦτα ἔσται ᾗ ἡμέρᾳ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται. » Καὶ διὰ τούτων τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον τῆς αὐτοῦ παρουσίας ἐνδείκνυται. Ὥσπερ γὰρ ἐπὶ τοῦ Νῶε ἐξαίφνης ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία αὐτοῦ. Αἰνίττεται δὲ διὰ τῶν ὑποδειγμάτων τούτων, τοῦ τε τῶν κατὰ τὸν κατακλυσμὸν ἀνθρώπων, καὶ τοῦ τῶν Σοδομιτῶν, ὅτι τοῦ Ἀντιχρίστου ἐλθόντος, τὰ τῶν ἀτόπων ἡδονῶν ἐπιθήσονται τοῖς ἀνθρώποις, καὶ λάγνοι ἔσονται, καὶ ἀθέσμοις ἡδοναῖς ἐκδεδωκότες, ὅπερ δὴ καὶ ὁ Ἀπόστολος εἶπεν, ὅτι ἐν ταῖς ἐσχάταις ἡμέραις ἔσονται οἱ ἄνθρωποι φιλήδονοι μᾶλλον, ἢ φιλόθεοι· καὶ εἰκότως ἐπὶ τῆς βασιλείας τοῦ πλάνου ἀνθήσει τὰ κακά· τῆς γὰρ πονηρίας καὶ πάσης ἁμαρτίας καταγώγιον ὢν ἐκεῖνος, τί ἄλλο ἐμπολιτεύεσθαι ποιήσειε τῇ ἐλεεινῇ τῶν τότε ἀνθρώπων γενεᾷ, ἢ πάντως τὰ οἰκεῖα αὐτῷ; ἐξ ἀκαθάρτου γὰρ τί καθαρισθήσεται; Ἔσονται οὖν τηνικαῦτα οἱ ἄνθρωποι ἐν πάσῃ τρυφῇ, ὥσπερ ἐπὶ τοῦ Νῶε, καὶ οὐδὲν δυσχερὲς ἐλπίσουσιν, ἀλλὰ καὶ ἀπιστήσουσιν, ἐάν τις αὐτοῖς περί τινων συμβησομένων δυσχερῶν λέγῃ, ὥσπερ καὶ οἱ ἐπὶ τοῦ Νῶε, καὶ οἱ ἐπὶ τοῦ Λώτ.

VERS. 31-33. « In illo die qui fuerit in tecto, et C vasa ejus in domo, ne descendat ad tollendum illa : et qui in agro, similiter non redeat ad relicta. Memores estote uxoris Lot. Quicunque quæsierit animam suam servare, perdet illam: et quicunque perdiderit illam, vitam illi parabit. » In illa die adventus Antichristi, is qui fuerit super tectum, hoc est in summis virtutibus, ne descendat, neque ab illis desistat cujuspiam temporalis rei gratia. Omnia enim temporalia hæc vasa dicuntur homini conferentia, alii quidem ad virtutem, alii vero ad malitiam. Igitur qui in summis est virtutibus, ne 430 descendat propter temporale aliquod, et excidat a suo fastigio, sed resistat malitiæ, et non demulceatur. Et is qui in agro, similiter non re- D vertatur ad ea quæ post se. Nam eum, qui in agro est, hoc est mundo, et operatur virtutem, non oportet reverti ad ea quæ post se, sed urgeri ad anteriora. Nam sicut alio loco dicit : « Nullus qui manum suam ad aratrum mittit, et conversus est retrorsum, idoneus est ad regnum cœlorum 67 ; » affert item exemplum mulieris Lot, quæ, cum conversa est retro, in statuam salis riguit, hoc est, non exiit a

« Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά. Καὶ ὁ ἐν τῷ ἀγρῷ ὁμοίως, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. Μνημονεύετε τῆς γυναικὸς Λώτ. Ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτὴν, καὶ ὃς ἂν ἀπολέσῃ αὐτὴν, ζωογονήσει αὐτήν. » Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῆς τοῦ Ἀντιχρίστου παρουσίας ὁ ὢν ἐπὶ τοῦ δώματος, τουτέστι τοῦ ὕψους τῆς ἀρετῆς, μὴ καταβάτω, μηδὲ ὑφεθήτω ἀπὸ ταύτης διά τινα πρόφασιν βιωτικήν. Πάντα γὰρ τὰ βιωτικὰ, σκεύη λέγονται εἶναι τῷ ἀνθρώπῳ, ἄλλῳ μὲν εἰς ἀρετὴν, ἄλλῳ δὲ εἰς κακίαν συμβαλλόμενα. Μὴ τοίνυν ὁ ἐπὶ τοῦ ὕψους τῆς ἀρετῆς ἱστάμενος, καταβάτω διά τι βιωτικὸν, καὶ ἀποπεσέτω τοῦ οἰκείου ὕψους· ἀλλ' ἐνστήσω πρὸς τὴν κακίαν, καὶ μὴ μαλακισθήτω. Καὶ ὁ ἐν τῷ ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω· τὸν γὰρ ἐν τῷ ἀγρῷ, τῷ κόσμῳ τούτῳ, ἐργαζόμενον τὴν ἀρετὴν οὐ δεῖ ἐπιστρέφειν εἰς τὰ ὀπίσω, ἀλλὰ τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. Ὥσπερ καὶ ἀλλαχοῦ φησιν· « Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Ἐπιφέρει δὲ ὑπόδειγμα τὴν γυναῖκα τοῦ Λὼτ, ἣ στραφεῖσα

66 II Tim. III, 4. 67 Luc. IX, 62.

ὀπίσω, εἰς στήλην ἁλὸς ἐπάγη, τουτέστι, μὴ ἐξελ- A θοῦσα τῆς κακίας, ἐναπέμεινε τῇ ταύτης ἁλμυρίᾳ, ὅλη κακὴ γενομένη, καὶ στηλιτεύουσα τὴν ἧτταν, ἣν ἔπαθε, παγεῖσα καὶ ἐναπομείνασα τῇ κακίᾳ. Εἶτα ἐπιφέρει τὰ ἀκόλουθα τοῖς ἄνω εἰρημένοις. Ὃς ζητήσει τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. Μὴ γάρ, φησί, σπουδασάτω τις ἐν τῷ τοῦ Ἀντιχρίστου διωγμῷ περιποιήσασθαι τὴν ἑαυτοῦ ψυχήν· ἀπολέσει γὰρ αὐτήν. Ὃς δ' ἂν ἑαυτὸν σφαγαῖς καὶ ἁπλῶς κινδύνοις ἐκδῷ, σωθήσεται, μὴ ὑποκύπτων τῷ τυράννῳ διὰ τὸ φιλόζωον. Ὥσπερ οὖν ἀνωτέρω εἶπεν, ὅτι ὁ ἐπὶ τοῦ ὕψους τῆς ἀρετῆς, μὴ διὰ τὰ βιωτικὰ πράγματα καταβήτω μαλακιζόμενος, τυχὸν διὰ κτήματα καὶ χρήματα, καὶ διὰ ταῦτα ὑφιέμενος τῆς ἐνστάσεως, οὕτω καὶ νῦν ὁδῷ προϊών φησι, καὶ τί B λέγω ὅτι μὴ καταβήσῃ διὰ σκεύη; μηδὲ διὰ τὰ ἐκτὸς προήσῃ τὴν ἀρετήν, μηδὲ δι' αὐτὴν τὴν τῆς ψυχῆς περιποίησιν δέξῃ ὑποκλιθῆναι τῷ πλάνῳ καὶ διώκτῃ. Ταῦτα δὲ ὁ Ματθαῖος πάντα διὰ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν λεχθῆναι τῷ Κυρίῳ φησίν, αἰνιττόμενος τὴν τῶν ἐχθρῶν ἐπίθεσιν, καὶ ὅτι ἀμεταστρεπτὶ φεύγειν δεῖ τοὺς Ῥωμαίους ἐπιόντας, καὶ μήτε ἐν τῷ δώματι ὄντας, καταβαίνειν εἰς τὴν οἰκίαν διά τι χρειῶδες, ἀλλ' εὐθὺς φεύγειν· οὐ γὰρ ἔστι καιρὸς σχολῆς, ὥστε συσκευάζεσθαι, μήτε ἐν ἀγρῷ ὄντας, στρέφεσθαι εἰς τὴν οἰκίαν· καὶ τὸν ἐν τῇ οἰκίᾳ γὰρ ὄντα φεύγειν δεῖ. Οὐδὲν δεῖ θαυμαστὸν καὶ ἐν τῇ ἁλώσει τῶν Ἱεροσολύμων ταῦτα γεγονέναι, καὶ μέλλειν αὖθις γενήσεσθαι ἐν τῇ παρουσίᾳ τοῦ Ἀντιχρίστου· μᾶλλον δὲ πρὸς αὐτῷ τῷ καιρῷ τῆς συντελείας, θλίψεως καὶ τότε μελλούσης γίνεσθαι ἀφορήτου.

malitia, sed mansit in salsugine sua, tota facta mala, ac celebre faciens et quasi columnæ inscribens malum quod passa est: obstinata enim mansit in malitia sua. Deinde affert ea quæ ad supradicta sequuntur: Quicunque quæsierit animam suam salvare, perdet eam. Non quærat aliquis, inquit, in Antichristi persecutione animam suam salvare: perdet enim eam. At qui se occisioni et periculis exposuerit, salvabitur. Ne igitur se humiliet tyranno propter vitæ amorem. Quippe sicut supra dixit, Qui est in fastigio virtutis, propter res temporales ne descendat, divitiis et possessionibus definitus, et propterea cedat periculis: sic et nunc ulterius progrediens dicit, dico, non descendas propter vasa, neque propter externa virtutem deseras, neque propter animæ lucrum annuas, ut inclineris impostori et persecutori. Hæc quidem Matthæus propter Hiesolymorum captivitatem dicta esse a Domino narrat insinuante hostium vim, et quod Romanos qui invasuri sunt, fugere oporteat, ita ut ne respiciatur: neque in tecto sint, descendant in domum alicujus rei temporalis gratia, sed statim fugiant; non erit enim tempus otii, ita ut vasa colligere liceat: neque qui in agro est, revertatur in domum suam, sed eum qui in domo est fugere oportet[88]. Nihil enim mirum in Hierosolymorum captivitate hoc factum esse, iterumque futurum in adventu Antichristi, imo ad ipsum tempus consummationis futura est tribulatio gravissima.

« Λέγω ὑμῖν, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ ἔσονται δύο C ἐπὶ κλίνης μιᾶς, ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται. Δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό, ἡ μία παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσεται. Καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ· Ποῦ, Κύριε; Ὁ δὲ εἶπεν αὐτοῖς· Ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοὶ συναχθήσονται. » Καὶ ἐντεῦθεν τὸ ἀπροσδόκητον καὶ αἰφνίδιον τῆς αὐτοῦ παρουσίας μανθάνομεν· τὸ γὰρ εἰπεῖν, ὅτι δύο ἔσονται ἐπὶ κλίνης μιᾶς, ἀμεριμνίαν ἐμφαίνει· καὶ τὸ ἀλήθειν δὲ καὶ τοῦτο ἀπροσδόκητον ἔσεσθαι τὴν παρουσίαν ὑποδηλοῖ. Καὶ ἄλλο δὲ μανθάνομεν, ὅτι ἐν νυκτὶ ἡ παρουσία ἔσται, φησὶν οὖν ὅτι καὶ ἐκ τῶν πλουσίων τῶν ἐπὶ κλίνης ἀναπαυομένων, οἱ μὲν σωθήσονται, οἱ δὲ οὔ. Ἐπεὶ γὰρ εἶπεν, ὅτι δυσκόλως οἱ πλούσιοι σώζονται. Δείκνυσι νῦν, ὅτι οὔτε οὗτοι ἀπόλλυνται, οὔτε οἱ πένητες σώζονται, D ἀλλὰ καὶ ἐκ τῶν πλουσίων ὁ μὲν παραλαμβάνεται εἰς ἀνάστησιν τοῦ Κυρίου ἁρπαζόμενος, ὡς κοῦφος τῷ πνεύματι καὶ οὐράνιος, ὁ δὲ ἀφίεται κάτω ὡς κατάκριτος. Καὶ ἐκ τῶν πενήτων ὁμοίως, οὓς διὰ τὸ ἀλήθειν ἐσήμανεν, ὁ μὲν σωθήσεται, ὁ δὲ οὔ. Οὐ γὰρ πάντες πένητες δίκαιοι· ἐκ τούτων γὰρ οἱ κλέπται, καὶ βαλαντιοτόμοι, διὰ τοῦ ἀλήθειν οὖν τὸν ἐπίπονον βίον τῶν πενήτων ἐδήλωσεν. Ἐρωτησάντων δὲ τῶν μαθητῶν· Ποῦ, Κύριε, παραληφθήσονται οὗτοι; ἔφη, Ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί,

VERS. 34-37. « Dico vobis, in illa nocte erunt duo in lecto uno, unus assumetur, et alter relinquetur. Duæ erunt molentes simul, una assumetur, et altera relinquetur. Et respondentes dicunt illi: Ubi, Domine? Qui dixit illis: Ubicunque fuerit cadaver, illuc congregabuntur et aquilæ. » Ex hoc etiam loco repentinum et inopinatum ejus adventum discimus. Duos enim esse in lecto uno, significat sollicitudinis carentiam, et molere quoque, inexspectatum significat adventum. Discimus et aliud quiddam, quod in nocte adventus erit. Dicit igitur, quod ex divitibus qui in lecto quiescent, alii quidem salvabuntur, alii autem non. Nam **431** quia dixit quod difficile divites salvantur, ostendit nunc quod neque hi pereunt, neque pauperes omnes salvantur. Sed et ex divitibus unus assumitur in occursum Domini raptus, quasi levis spiritu et cœlestis, et alius relinquitur infra ut condemnatus. Et ex pauperibus similiter, quos per molentes significavit, quoniam per pistrinum laboriosam pauperum vitam insinuat, unus quidem salvabitur, alius autem non. Non omnes pauperes justi. Nam ex illis fures et marsupiorum incisores. Cum autem rogassent discipuli: Quo, Domine, assumentur illi? dixit: Ubi cadaver, illic et aquilæ: hoc est, ubi Filius hominis, illic et sancti ejus leves et in sublime vo-

88 Matth. XXIV, 17, 18.

lantes : sicut peccatores graves, qui et infra relinquentur. Nam sicut jacente cadavere, omnes carnivoræ volucres advolant : ita et ubi Filius hominis propter nos mortuus, et in casum positus, de cœlo apparuerit, omnes sancti congregabuntur, et ipsi angeli. Cum illis veniet in gloria Patris, et in splendore indicibili : licet enim tempus illud noctem vocari, eo quod repentinum et inopinatum, vel quia tenebris involventur peccatores, dixit : Justis lux orietur, imo et ipsi fulgebunt sicut sol.

## CAPUT XVIII.

*Quod assidue orandum. De injusto judice. De Pharisæo et publicano. De pueris quorum est regnum Dei. De interpellante Christum. De leproso.*

VERS. 1-8. «Dicebat autem et parabolam ad illos huc spectantem, quod oporteret semper orare nec defatigari, dicens : Judex quidam erat in quadam civitate, qui Deum non timebat, nec hominem reverebatur. Vidua autem quædam erat in civitate illa, et veniebat ad eum dicens : Vindica me de adversario meo. Et nolebat aliquandiu. Post hæc autem dixit intra se : Quanquam Deum non timeo, nec hominem revereor, tamen quia molesta est mihi hæc vidua, vindicabo illam, ne tandem veniens sugillet me. Ait autem Dominus : Audite quid judex iniquus dicat. Deus autem non faciet vindictam electorum suorum clamantium ad se die ac nocte etiam cum patiens fuerit super illis? Dico vobis quod faciet vindictam illorum cito. Verum tamen Filius hominis cum venerit, an reperturus est fidem in terra?» Postquam mentionem fecit afflictionum et periculorum, nunc subdit quomodo in illis salvemur. Curantur enim oratione perseverante et sollicita. Nam ventura sunt hæc omnia. Cæterum magnum auxilium in his fert precatio, modo perseverans sit et continua. Oportet enim nos considerare, quomodo injusti judicis pertinaciam 432 sedulitas viduæ fregerit. Si enim illum omni malitia repletum, neque Deum neque homines reverentem, perseverantis oratio demulsit : quanto magis nos Patrem misericordiæ Deum et miserationem movebimus, etiamsi cunctetur nonnihil? Vide autem majoris malitiæ indicium esse, neque homines revereri. Deum enim multi non timen, attamen homines reverentur, ideo et minus peccant: quando autem et apud homines quis impudens fuerit, tunc omnis malitiæ vertex videtur. Idcirco et Dominus postea posuit, neque hominen reverens, quasi hoc dicens, Judex erat Deum non timens, et quid dico quod Deum non timuerit? majus malitiæ indicium habuit, quia neque hominem reverebatur. Porro hæc parabola nos docet, quod sæpe dicimus inter exhortandum, ne defatigemur in precibus. Sane sicut alibi dicit : Quis vestrum amicum habens, et cum venerit et pulsaverit nocte, illum rejecturus est?

ταυτέστιν, ὅπου ὁ Υἱὸς τοῦ ἀνθρώπου, ἐκεῖ πάντες οἱ ἅγιοι οἱ κοῦφοι καὶ ὑψιπετεῖς, ὡς αἶγε ἁμαρτωλοὶ βαρεῖς, διὸ καὶ κάτω ἀφίενται. Ὥσπερ καὶ σώματος νεκροῦ κειμένου, πάντες οἱ σαρκοβόροι ὄρνεις ἐπ' αὐτὸ φέρονται, οὕτω καὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου τοῦ δι' ἡμᾶς νεκρωθέντος, καὶ εἰς πτῶσιν τεθέντος, ἀπ' οὐρανῶν φανέντος, πάντες οἱ ἅγιοι συναχθήσονται, καὶ αὐτοὶ οἱ ἄγγελοι· μετ' αὐτῶν γὰρ ἥξει ἐν τῇ δόξῃ τοῦ Πατρὸς, καὶ ἐν ἀῤῥήτῳ αἴγλῃ. Εἰ γὰρ καὶ νύκτα ὠνόμασε τὸν καιρὸν ἐκεῖνον, ἀλλὰ διὰ τὸ ἀπροσδόκητον, καὶ διὰ τὸ τοῖς ἁμαρτωλοῖς μέλλον προσγενέσθαι σκότος, τοῦτο εἴρηκε· τοῖς γὰρ δικαίοις φῶς ἀνατελεῖ, μᾶλλον δὲ καὶ αὐτοὶ ἐκλάμψουσιν ὡς ὁ ἥλιος.

## ΚΕΦΑΛ. ΙΗ'.

Περὶ τοῦ ἀεὶ προσεύχεσθαι. Περὶ τοῦ κριτοῦ τῆς ἀδικίας. Περὶ τοῦ Φαρισαίου καὶ τελώνου. Περὶ τῶν παιδίων, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. Περὶ τοῦ ἐπερωτήσαντος τὸν Ἰησοῦν. Περὶ τοῦ λεπροῦ.

« Ἔλεγε δὲ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν αὐτοὺς πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν, λέγων· κριτής τις ἦν ἔν τινι πόλει τὸν Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. Χήρα δέ τις ἦν ἐν ἐκείνῃ τῇ πόλει, καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα, Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. Καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον. Μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ· Εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι κόπους τὴν χήραν ταύτην, ἐκδικήσω αὐτὴν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑποπιάζῃ με. Εἶπε δὲ ὁ Κύριος· Ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει· ὁ δὲ Θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς; λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει. Πλὴν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; » Ἐπειδὴ θλίψεων ἐμνημόνευσε καὶ κινδύνων, ἐπιφέρει καὶ τὴν θεραπείαν τούτων, ἡ δέ ἐστιν ἡ προσευχὴ, καὶ οὐχ ἁπλῶς προσευχὴ, ἀλλ' ἐπίμονος καὶ μεμεριμνημένη. Μέλλουσι μὲν γὰρ, φησὶ, ταῦτα πάντα τοῖς τότε συμβαίνειν, ἀλλὰ μέγας βοηθὸς πρὸς ταῦτα ἡ προσευχὴ, ἣν ἐπιμόνως καὶ συνεχῶς ποιεῖσθαι δεῖ ἡμᾶς ἐννοοῦντας, πῶς τὸν κριτὴν τῆς ἀδικίας ἡ τῆς χήρας προσεδρεία κατεδυσώπησεν. Εἰ γὰρ τοῦτον τὸν πάσης κακίας πεπληρωμένον, καὶ πρὸς Θεὸν καὶ πρὸς ἀνθρώπους ἀπαναιδευσάμενον ἡ καρτερία ἐμάλαξε, πόσῳ μᾶλλον ἡμεῖς τὸν πατέρα τοῦ ἐλέους Θεὸν οὐχ ἑλκύσομεν εἰς οἶκτον, κἂν μακροθυμῇ πρὸς τὸ παρόν; Ὅρα δὲ ὅτι τὸ μηδὲ ἀνθρώπους αἰσχύνεσθαι χείρονος κακίας δεῖγμα· τὸν μὲν γὰρ Θεὸν πολλοὶ οὐ φοβοῦνται, πλὴν ἀλλ' ἀνθρώπους αἰσχύνονται, διὸ καὶ ἧττον ἁμαρτάνουσιν. Ὅταν δὲ καὶ πρὸς ἀνθρώπους ἀπαναισχυντήσειέ τις, ἐνταῦθα ἤδη τῆς κακίας ἡ κορυφή. Διὸ καὶ ὁ Κύριος ὕστερον τέθεικε τὸ, ἄνθρωπον μὴ ἐντρεπόμενος, ὡσανεὶ τοῦτο λέγων· Ὅτι κριτὴς ἦν τὸν Θεὸν μὴ φοβούμενος, καὶ τί λέγω τοῦτο, ὅτι τὸν Θεὸν οὐκ ἐφοβεῖτο; τὸ μεῖζον εἶχε δεῖγμα τῆς κακίας, ὅτι οὐδὲ ἀνθρώπους ᾐσχύνετο. Ταῦτα μὲν οὖν ἡ παραβολὴ ἡμᾶς διδάσκει, ὡς πολλάκις εἴπομεν, νουθετοῦσα μὴ ἐκκακεῖν ἐν ταῖς προσευχαῖς, ὥσπερ οὖν

καὶ ἀλλαχοῦ ἔφη· Τίς ἐξ ὑμῶν φίλον ἔχων, εἶτα ἐλθόντα καὶ κρούοντα νυκτὸς ἀποπέμψεται; Διὰ γὰρ τὴν ἀναίδειαν αὐτοῦ, εἰ μὴ δι' οὐδὲν ἄλλο ἀνοίξει. Καὶ πάλιν· « Τίς ἐξ ὑμῶν, ὃν ἐὰν ὁ υἱὸς αὐτοῦ αἰτήσῃ ἄρτον, » καὶ τὰ ἑξῆς. Διὰ τούτων γὰρ πάντων τὴν ἔμμονον σχολὴν ἐν ταῖς προσευχαῖς ἡμῖν ὑποτίθεται. Ἐπειράθησαν δέ τινες περιεργότερον τὴν παραβολὴν ταύτην ἐκλαβέσθαι, καὶ ἀπεικάσαι ἐτόλμησαν τῇ ἀληθείᾳ. Χήρα μὲν, ἔφασαν, ἐστὶ πᾶσα ψυχὴ τὸν ἄνδρα ἀποβαλοῦσα αὐτῆς, ὃν εἶχε πρότερον, τὸν διάβολον φημί, καὶ διὰ τοῦτο ἀντίδικον αὐτὸν ἔχουσα ἀεὶ ἐπιτιθέμενον αὐτῇ· ἡ δὲ προσέρχεται τῷ Θεῷ κριτῇ τῆς ἀδικίας, τουτέστι, τῷ καταχρίνοντι τὴν ἀδικίαν, ὃς οὔτε Θεὸν φοβεῖται. Αὐτὸς γὰρ Θεὸς μόνος, καὶ οὐκ ἔχει ὃν φοβηθήσεται ἕτερον· ἀλλ' οὔτε ἄνθρωπον αἰσχύνεται, Θεὸς γὰρ πρόσωπον ἀνθρώπου οὐ λαμβάνει. Ταύτην τὴν χήραν ψυχὴν δεομένην τοῦ Θεοῦ συνεχῶς διὰ τὸν ἀντίδικον αὐτῆς διάβολον, οἰκτείρει ὁ Θεὸς καταδυσωπησάσης αὐτὸν τῆς προσεδρείας ταύτης. Ταῦτα μὲν οὖν ὅτῳ φίλον, δεχέσθω. Παρετέθη γὰρ, ἵνα μὴ ἀγνοῶνται. Πλὴν ταῦτα διδάξας ἡμᾶς ὁ Κύριος περὶ τοῦ δεῖν προσεύχεσθαι, καὶ ὑποδείξας, ὅτι εἰ οὗτος ὁ ἄνομος, καὶ πάσης κακίας πεπληρωμένος ᾤκτειρε τῇ συνεχείᾳ τῆς δεήσεως, πόσῳ μᾶλλον ὁ Θεὸς ὁ πάσης δικαιοσύνης ἀρχηγὸς οὐ ποιήσειε τὴν ἐκδίκησιν ἐν τάχει, καίτοι μακροθυμῶν, καὶ φαινόμενος ἀνηκουστεῖν τῶν δεομένων αὐτοῦ νυκτὸς καὶ ἡμέρας; Ταῦτα οὖν διδάξας, καὶ δείξας ἡμῖν, ὅτι ἐν τῷ καιρῷ τῆς συντελείας τῇ προσευχῇ χρηστέον πρὸς τοὺς μέλλοντας τότε κινδύνους ἐπιγενήσεσθαι, ἐπιφέρει, ὅτι, Ὁ Υἱὸς τοῦ ἀνθρώπου ἄρα ἐλθὼν εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; ἐν σχήματι ἐρωτήσεως τὸ σπάνιον τῶν τότε εὑρεθησομένων πιστῶν ὑποσημαίνων. Τοσοῦτον γὰρ κατακρατήσει τότε ὁ υἱὸς τῆς ἀνομίας, ὥστε πλανᾷν καὶ τοὺς ἐκλεκτοὺς, εἰ δυνατόν. Εἴωθε δὲ ἐπὶ τοῦ σπανίως εὑρισκομένου, τῷ ἐρωτηματικῷ τρόπῳ χρᾶσθαι, ὡς καὶ ἐπὶ τοῦ· Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος, καὶ φρόνιμος; Καὶ ἐνταῦθα οὖν τὸ αὐτὸ ὑποδηλῶν, καὶ ὅτι βραχεῖς, καὶ ὀλιγόστοι ἔσονται οἱ τὴν πρός τε τὸν Θεὸν, καὶ πρὸς ἀλλήλους πίστιν φυλάττοντες, τῇ ἐρωτήσει ταύτῃ ἐχρήσατο. Εἰκότως δὲ τῇ περὶ τοῦ προσεύχεσθαι παραινέσει τὸν περὶ τῆς πίστεως λόγον ἐπισυνῆψεν. Ἐπειδὴ γὰρ πάσης προσευχῆς βάθρον, καὶ κρηπὶς ἡ πίστις· εἰ μὴ γὰρ πιστεύσει ὁ ἄνθρωπος, ὅτι ὃ ἐὰν αἰτήσῃ, λήψεται πρὸς τὸ συμφέρον, ματαία ἡ προσευχὴ, ἣν ποιεῖται· διὰ τοῦτο ὁ Κύριος περὶ τοῦ προσεύχεσθαι διδάσκων, καὶ τῆς πίστεως ἐπεμνήσθη, δηλῶν κεκρυμμένως, ὅτι ὀλίγων ἔσται καὶ τὸ προσεύχεσθαι τότε, ἐπειδὴ καὶ ἡ πίστις ἐν ὀλίγοις εὑρεθήσεται. Ἐλθὼν μὲν οὖν ὁ Κύριος ἐν νεφέλαις, οὐχ εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς, εἰ μὴ ἄρα ἐν ὀλίγοις, ποιήσει δὲ ταύτην τότε, καὶ ἄκοντες γὰρ πάντες ὁμολογήσουσιν, ὅτι Κύριος Ἰησοῦς εἰς δόξαν Θεοῦ Πατρὸς, καὶ εἴ γε χρὴ ταῦτα πίστιν, ἀλλὰ μὴ ἀνάγκην εἰπεῖν, οὐδεὶς τῶν ἀπίστων ἔσται, ὃς οὐ πιστεύσει, ὅτι μόνος ὁ Σωτὴρ ὁ παρ' αὐτοῦ πρὶν βλασφημούμενος.

A Nam propter impudentiam ejus, si non propter aliud, aperiet. Et iterum: « Quis ex vobis, a quo si filius ejus panem petat, etc. » Quibus sollicita ac perpetua oratio præscribitur. At tentarunt quidam parabolam hanc curiosius exponere, et veritati comparare sunt ausi (*a*). Viduam enim dicunt omnem animam esse, virum autem dimisisse quem prius habuit, diabolum: et propter hoc illum habet adversarium semper resistentem sibi. Ipsa autem accedit ad Deum judicem injustitiæ, hoc est, condemnantem injustitiam, qui neque Deum timet. Ipse enim Deus solus non habet quem timeat alium, sed neque hominem reveretur; Deus enim personam hominis non recipit [89]. Huic viduæ, quæ dum orat continuis precibus propter adversarium suum diabolum, miseretur Deus, et placatur propter B assiduitatem ejus. Hæc, qui volet, et cui placent, suscipiat. Proposita enim sunt ne ignorentur. Atqui Dominus hæc nos docuit, quod oporteat semper orare: et per exemplum indicavit, quod etiamsi iste iniquus et omni malitia plenus, misereretur tamen ob continuas preces, quanto magis Deus omnis justitiæ dux non faciet brevi vindictam, quamvis differat, et videatur non audire orantes die ac nocte? Itaque qui docuit et monstravit nobis quod in tempore consummationis sæculi opus sit oratione, ut in futuris periculis durare valeamus, subdit: Nunquid Filius hominis cum venerit, inveniet fidem in terra [90]? Qua interrogationis figura raros dicit tunc inveniendos fideles. In tantum enim invalescet filius iniquitatis, ut etiam, si possibile esset, seduceret C electos. In raris enim solet hujusmodi interrogandi figura uti, sicut et cum dicit: Quis putas fidelis et prudens servus? Atque hoc loco idem significans, quod pauci numero 433 erunt qui erga Deum et inter se fidem servabunt, hac interrogatione usus est. Merito autem sermoni de oratione sermonem de fide connexuit, quoniam omnis orationis fundamentum ac basis est fides. Nisi enim crediderit homo, quod hoc quod petit accepturus sit in suam utilitatem, vana est oratio quam facit. Et propterea Dominus de oratione docens, etiam fidei meminit, declarans interim, paucorum fore tunc orare: quandoquidem fides in paucis invenietur. Igitur cum venerit Dominus in nubibus, non inveniet fidem super terram, nisi in paucis. Faciet autem hanc D tunc: inviti autem omnes confitebuntur quod Dominus Jesus Christus in gloria est Dei Patris: si quidem hæc fides vocanda est, et non potius necessitas. Nullus enim erit infidelium qui non credet quod solus sit Salvatoris, quem antea blasphemarat.

89 Galat. II, 6. 90 Luc. XVIII, 8.

(*a*) Edit. Lut. non habet, *et veritati comparare sunt ausi.*

VERS. 9-14. « Dixit autem et ad quosdam qui in se confidebant quod essent justi, et aspernabantur cæteros, parabolam istam : Duo homines ascendebant in templum ut precarentur ; unus Pharisæus, et alter publicanus. Pharisæus stans hæc apud se orabat : Deus, gratias ago tibi quod non sum sicut cæteri homines, raptores, injusti, adulteri, velut etiam hic publicanus ; jejuno bis in Sabbato, decimas do omnium quæ possideo. Et publicanus procul stans, nec oculos volebat ad cœlum attollere, sed tundebat pectus suum dicens : Deus, propitius esto mihi peccatori. Dico vobis, descendit hic justificatus in domum suam, magis quam ille : quia omnis qui se extollit, humiliabitur, et omnis qui se humiliat, extolletur. » Non cessat Dominus pluribus argumentis repurgare superbiæ vitium. Plus enim aliis vitiis mentem humanam turbat, propterea sæpe et multum de hac docet. Denique et nunc pejorem ejus speciem purgat. Multa enim sunt philautiæ germina. Opinio de se magna, arrogantia, et inanis gloriæ cupiditas ab hac pullulant. Perniciosor autem omnibus aliis est superbia, quæ Dei est contemptus. Cum enim quis non Deo, sed sibi sua bona opera tribuit, quid hoc aliud quam negare Deum est, et ei adversari ? Hoc igitur vitium, cui Dominus ita adversatur, ut inimicus inimico, hac parabola medicari Dominus declaratur. Propter hoc enim quod confidunt in seipsis, et non totum Deo tribuunt, sed alios per hoc exinaniunt, hæc dicit : et ostendit quod justitia, quamvis alioqui sit mirabilis, et hominem Deo proximum constituat, cum superbiam admiserit, hominem in locum infimum rejiciat, et dæmonem reddat, qui jam se æqualem Deo fecerat. Similia itaque sunt verba Pharisæi ab initio, grati hominis sermonibus. Gratias enim habeo tibi, inquit, Deus ; at cætera quanta referta sunt arrogantia ! **434** Non enim dixit, Fecisti me abstinere ab injustitia, et a rapina : sed quomodo? Non sum. Sibiipsi attribuit bonum opus, et suo robori. At alios judicare quomodo est hominis scientis quod a Deo habeat quæ habet ? Omnino enim si credidisset quod per gratiam haberet aliena bona, non contempsisset alios, considerans quod etiam ipse æque nudus esset, quantum ad suam virtutem attinebat. Gratis enim indutus est propter misericordiam : propterea superbus Pharisæus, tanquam propriæ ascribens potentiæ ea quæ facta sunt, inde eo progressus est, ut et alios judicet. Ostendit autem Dominus et per stationem, superbiam ejus, et humilitatis inopiam. Humilis enim viri est et aspectus humiliatus, hic autem et habitu et gestu superbus agnoscitur. Quamvis autem et de publicano dictum sit quod steterit, tamen vide et quæ sequuntur, quod neque oculos in cœlum voluerit extollere, unde statio ejus incurvata erat. Illius autem et oculi in cœlum extollebantur, et cor simul extollebatur. Vide autem et in oratione Pharisæi ordinem, quid indicet nobis : primum quidem dixit ea quæ non erant : et tunc enumeravit quæ

« Εἶπε δὲ καὶ πρός τινας τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς, ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοιπούς, τὴν παραβολὴν ταύτην· Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι· ὁ εἷς Φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης. Ὁ Φαρισαῖος, σταθεὶς πρὸς ἑαυτὸν, ταῦτα προσηύχετο· Ὁ Θεὸς, εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· νηστεύω δὶς τοῦ Σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. Καὶ ὁ τελώνης, μακρόθεν ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, λέγων· Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. » Οὐ παύεται ὁ Κύριος τὸ τῆς ὑπερηφανίας πάθος ἐκκαθαίρων διὰ πλειόνων. Ἐπειδὴ γὰρ πλέον τῶν ἄλλων παθῶν ἐνοχλεῖ ταῖς ἀνθρωπίναις γνώμαις, διὰ τοῦτο πολλαχοῦ καὶ πολλάκις περὶ τούτου διδάσκει. Ἀμέλει καὶ νῦν τὸ χεῖρον εἶδος ταύτης ἐκκαθαίρει. Πολλὰ γὰρ τὰ τῆς φιλαυτίας βλαστήματα. Καὶ γὰρ καὶ οἴησις, καὶ ἀλαζονεία, καὶ κενοδοξία ἐκ ταύτης φύονται. Ὀλετριώτερον δὲ πάντων ἡ ὑπερηφανία, ὑπερηφανία δὲ ἐστιν ἀθέτησις Θεοῦ. Ὅταν γάρ τις οὐ τῷ Θεῷ, ἀλλ' ἑαυτῷ ἐπιγράφηται τὰ κατορθώματα, τί ἄλλο, ἢ ἄρνησις Θεοῦ ἐστι καὶ ἀντιθεΐα. Τοῦτο οὖν τὸ πάθος τὸ ἀντίθεον, ᾧ ὁ Κύριος ἀντιτάσσεται, ὡς ἐχθρὸς ἐχθρῷ, διὰ τῆς παραβολῆς ταύτης ὁ Κύριος θεραπεύειν ἐπαγγέλλεται. Διὰ γὰρ τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς, καὶ μὴ τὸ πᾶν Θεῷ λογιζομένους, ἀλλὰ διὰ τοῦτο καὶ τοὺς ἄλλους ἐξουθενοῦντας, ταῦτά φησι, καὶ δείκνυσιν, ὅτι ἡ δικαιοσύνη τἄλλα θαυμαστή τις οὖσα, καὶ πλησίον τοῦ Θεοῦ τὸν ἄνθρωπον ἱστῶσα, ὅταν τὴν ὑπερηφανίαν προσλάβηται, εἰς τὰ κατώτατα τὸν ἄνθρωπον ἀποῤῥίπτει, καὶ ὡς δαίμονα ποιεῖ τὸν τέως ἰσόθεον χρηματίζοντα. Ἔοικε μὲν [illegible] τὰ ῥήματα τοῦ Φαρισαίου ἐξ ἀρχῆς μὲν εὐγνώμονος ἀνθρώπου λόγοις. Εὐχαριστῶ σοι γὰρ, φησὶν, ὁ Θεὸς, τὰ δὲ ἐφεξῆς πάσης ἀπονοίας πεπληρωμένα. Οὐ γὰρ εἶπεν, ὅτι Ἐποίησάς με ἀπέχειν ἀπὸ ἀδικίας, ἀπὸ ἁρπαγῆς· ἀλλὰ πῶς; Οὐκ εἰμί. Ἑαυτῷ προσῆψε τὸ κατόρθωμα, καὶ τῇ οἰκείᾳ ἰσχύϊ. Τὸ δὲ καὶ τοὺς ἄλλους κατακρίνειν, τοῦτο πῶς ἐστιν ἀνθρώπου εἰδότος, ὡς παρὰ Θεοῦ ἔχει, ἃ ἔχει; Πάντως γὰρ ἢ ἐπίστευσεν, ὅτι χάριτι ἔχει τὰ ἀλλότρια ἀγαθὰ, οὐκ ἂν τοὺς ἄλλους ἐξουθένει, λογιζόμενος ὅτι καὶ αὐτὸς ἐπίσης γυμνός ἐστιν ὅσον ἐπὶ τῇ οἰκείᾳ δυνάμει, δωρεὰν δὲ ἐνεδύθη διὰ ἔλεον. Διὰ τοῦτο ὑπερήφανος ὁ Φαρισαῖος, ὡς οἰκείᾳ ἰσχύϊ ἐπιγράφων τὰ εἰργασμένα· κἀντεῦθεν ὑπήχθη καὶ τοὺς ἄλλους κατακρίνειν. Ἐπισημαίνεται δὲ ὁ Κύριος καὶ διὰ τοῦ, Σταθεὶς, τὸ ὑψηλόφρον αὐτοῦ καὶ ἀταπείνωτον· τοῦ μὲν γὰρ ταπεινόφρονος καὶ τὸ ὁρώμενον ταπεινὸν, οὗτος δὲ καὶ τῷ σχήματι σοβαρότητα ἐπεδείκνυτο. Εἰ δὲ καὶ περὶ τοῦ τελώνου εἴρηται τὸ ἑστὼς, ἀλλ' ὅρα καὶ τὸ ἐφεξῆς, ὅτι οὐδὲ τοὺς ὀφθαλμοὺς ἤθελεν εἰς τὸν οὐρανὸν ἐπᾶραι, ὥστε ἡ στάσις αὐτῷ συγκεκυφυῖα ἦν. Ἐκείνου δὲ καὶ οἱ ὀφθαλμοὶ εἰς τὸν οὐρανὸν ἐπῄροντο, καὶ τῇ καρδίᾳ συνυψοῦντο.

Ὅρα δὲ κἀν τῇ τοῦ Φαρισαίου εὐχῇ τάξιν ὑποδεικνυμένην ἡμῖν. Πρότερον γὰρ εἶπεν ἃ οὐκ ἔστι, καὶ τότε κατέλεξεν ἃ ἔστιν. Εἰπὼν γὰρ, Ὅτι οὐκ εἰμὶ ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων τάδε καὶ τάδε, προσέθηκε καὶ τὰ τῆς ἀρετῆς, τὸ νηστεύειν δὶς τοῦ Σαββάτου, καὶ τὸ ἀποδεκατοῦν ὅσα κτᾶται. Δεῖ γὰρ μὴ ἐκκλίνειν μόνον ἀπὸ κακοῦ, ἀλλὰ καὶ ποιεῖν ἀγαθόν. Καὶ πρότερον δεῖ ἀποσχέσθαι τῆς κακίας, καὶ τότε τῇ ἀρετῇ ἐπιχειρῆσαι, ὥσπερ οὖν καὶ πηγῆς βορβορωθείσης ὕδωρ μέλλων ἀπαρύσασθαι καθαρὸν, πρότερον ἐκκάθαρον τὸν βόρβορον, καὶ τότε ἀρύσῃ τὸ καθαρόν. Καὶ τοῦτο δὲ ἐπισκόπησον, πῶς οὐκ εἶπεν, ὅτι οὐκ εἰμὶ ὡς οἱ πολλοὶ, ἅρπαξ, μοιχὸς, οὐδὲ γὰρ κατεδέξατο ἄχρι καὶ ῥήματος ψιλοῦ ὄνομα διαβεβλημένον τῷ ἑαυτοῦ προσώπῳ μοναδικῶς προσάψαι, B ἀλλὰ πληθυντικῶς τοῖς λοιποῖς ἀνθρώποις ταῦτα προσέῤῥιψεν. Εἰπὼν δὲ Ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ, ἀντέθηκε τούτῳ τὸ, Νηστεύω δὶς τοῦ Σαββάτου, τουτέστι, δευτέρον τῆς ἑβδομάδος. Σάββατον γὰρ ἡ ἑβδομὰς ἐλέγετο, ἀπὸ τῆς τελευταίας καὶ ἀναπαυσίμου ἡμέρας ὀνομαζομένη. Σαββὰτ γαρ ἡ ἀνάπαυσις, καὶ Σάββατα δὲ τὴν ἑβδομάδα ἔλεγον πληθυντικῶς. Ὅθεν καὶ μίαν Σαββάτων τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος τὴν παρ' ἡμῖν Κυριακὴν ἐκάλουν· παρὰ γὰρ Ἑβραίοις τὸ μίαν ταυτὸν σημαίνει τῷ πρώτην. Ὄντος καὶ ἑτέρου λόγου βαθυτέρου· πρὸς μὲν οὖν τὸ τῆς μοιχείας πάθος τὴν νηστείαν ἀντηλαζωνεύσατο, καὶ γὰρ ἀπὸ τρυφῆς ἡ λαγνεία, αὐτὸς μὲν τὸ σῶμα διὰ νηστείας ἄγχων, πολὺ ἀπεῖχε τῶν τοιούτων παθῶν. C Ἐνήστευον δ' ἄρα οἱ Φαρισαῖοι δευτέραν, καὶ πέμπτην. Πρὸς δὲ τὸ, Ἅρπαγες καὶ ἄδικοι, ἐντέταξε τὸ, Ἀποδεκατῶ ὅσα κτῶμαι· τοσοῦτον γὰρ, φησὶν, ἐναντιοῦμαι τῇ ἁρπαγῇ, καὶ ἀδικίᾳ, ὥστε καὶ τὰ ἐμαυτοῦ προσδίδωμι. Ἡ δὲ δεκάτωσις δοκεῖ μὲν τίσιν ἁπλῶς καὶ ἅπαξ παρὰ τοῦ νόμου διαγορεύεσθαι, τοῖς δὲ βαθέως ἐρευνῶσιν αὐτὸν, εὑρίσκεται τρεῖς δεκατώσεις εἰσηγούμενος, καὶ τοῦτο ἐκ τοῦ Δευτερονομίου μαθήσῃ ἀκριβῶς, ἐπιστήσας τὸν νοῦν· Ταῦτα μὲν οὖν ὁ Φαρισαῖος· ὁ δὲ τελώνης πάντα τὰ ἐναντία. Μακρόθεν γὰρ ἵστατο καὶ σχήματι, καὶ ῥήματι, καὶ κατανύξει καρδίας πάμπολυ ἀπέχων αὐτοῦ, καὶ οὐ μόνῳ τῷ τοπικῷ διαστήματι· τούς τε γὰρ ὀφθαλμοὺς ᾐδεῖτο εἰς τὸν οὐρανὸν ἆραι, ἀναξίους τῆς τῶν ἄνω θέας κρίνων τοὺς τὰ τῆς γῆς ἀγαθὰ βλέπειν, D καὶ καρποῦσθαι θελήσαντας. Εἴς τε τὸ στῆθος ἑαυτοῦ ἔτυπτεν, τὴν καρδίαν οἱονεὶ πλήσσων ὑπὲρ τῶν πονηρῶν βουλευμάτων, καὶ εἰς αἴσθησιν διεγείρων οἷα καθεύδουσαν, καὶ οὐδὲν ἄλλο ἔλεγεν, ἢ, Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Καὶ διὰ τούτων ἁπάντων κατέβη δεδικαιωμένος, ἢ ἐκεῖνος, ἀντὶ τοῦ, παρ' ὃ ἐκεῖνος· Ἀκάθαρτος γὰρ παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος, καὶ Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Ἀλλὰ θαυμάσειεν ἄν τις, πῶς ὁ μὲν Φαρισαῖος ὀλίγα ῥήματα μεγαλοφροσύνης προϊέμενος κατακρίνεται, ὁ δὲ Ἰὼβ πάμπολλα μεγαλοῤῥημονήσας στεφανοῦται; Ὅτι τοι ὁ μὲν Φαρισαῖος οὐδενὸς ἀναγκάζοντος ἵστατο τοιαῦτα ματαιάζων, καὶ κατα-

A erant. Dixit enim : Non sum sicut multi hominum, illa et illa, deinde apposuit quæ virtutis erant, ut jejunare bis in Sabbato, et decimas dare de omnibus quæ possidebat. Oportet enim non solum declinare a malo, sed et facere bonum. Et prius oportet absistere a malo, et postea virtutem aggredi : quemadmodum ei in fonte lutoso, ut aqua pura defluat, prius lutum expurgandum, ut haurias puram aquam. Considera autem et hoc, quomodo non arripuerit parvum verbum, ut singulari nomine diceret, sed plurali numero in multos hæc expuerit, dicendo : Quod non sum sicut cæteri. Cum autem dixisset, Non sum sicut cæteri, apposuit, et dixit : Jejuno bis in Sabbato, hoc est, bis in hebdomade. B Sabbatum enim hebdomas est, quæ a consummatione et quieto die nominatur. Sabbat enim, quies ; quin et Sabbata hebdomadem dicebant plurali numero. Unde et unam Sabbatorum, primam diem hebdomadæ, quæ apud nos est Dominica, vocabant; apud Hebræos enim unum et primum idem signat. Est et alius profundior sermo ; nam contra adulterium gloriabatur de jejunio : a deliciis enim petulantia. Ipse igitur corpus propter jejunium compescens, a multis ejusmodi affectionibus liber erat. Jejunabant autem Pharisæi secunda et quinta. Contra rapinam et injustitiam proferebat dationem decimarum omnium quæ possidebat. Tantum, inquit, contrarius sum rapinæ et injustitiæ, ut etiam quæ mea sunt, expendam. Decimarum enim datio C videtur quibusdam simpliciter **433** et semel de lege prædicari : his autem qui profundius scrutantur, occurrunt tres decimarum dationes, quas introducit id quod ex Deuteronomio disces, si diligenter intueari. Et hæc quidem Pharisæus. At publicanus diversa. Longe enim stabat, et gestibus, et sermone, et compunctione cordis distabat ab illo, non tantum loco ; verebatur enim oculos in cœlum attollere, indignos judicans qui sursum spectarent, qui voluerant videre bona terrena, et illis frui. Et percussit pectus suum, cor videlicet, propter malas cogitationes, et ut excitet quod obdormierat, nihil aliud dicebat, quam: Deus, propitius esto mihi peccatori. Propter hæc omnia descendit D justificatus in domum suam, magis quam ille. Immundus enim apud Dominum omnis superbus corde, et Dominus superbis resistit, humilibus autem dat gratiam [91]. Verum admirabitur quis, quomodo Pharisæus, cum pauca verba arroganter pronuntiaverit, condemnetur; Job autem cum multa de se magnifice dicat, coronetur ? Quod Pharisæus quidem nullo cogente stat talia nugans, et alios condemnans nullo usu urgente : Job vero prementibus amicis, et gravius incumbentibus quam calamitas ipsa, dicentibusque quod propter peccata illa sit passus, compulsus est enumerare sua opera, idque propter gloriam Dei, ne scilicet homines a recto virtutum cursu exciderent. Nam si persuasum habuissent ho-

[91] I Petr. v, 5.

mines peccata fuisse quæ fecerat Job, et propter illa passum, cavissent ne eadem facerent, factique fuissent hospitum osores cum antea hospitalitatis observantes essent, immisericordes et injusti cum misericordiam et justitiam antea colerent. Hæc enim erant opera Job. Igitur ne multi inde incommodarentur, ejus gratia, bona opera enumerat. Et causæ quidem Job tales fuere, ut ne dicamus quod et in his quæ grandiloquentiam quamdam sonant, omnis refulget humilitas. Quis mihi tribuat, inquit, ut sim juxta menses dierum pristinorum, quando Deus me custodiebat[92]? Vides quod omne Deo obtuler t, nec alios condemnet, sed ipse ab amicis potius condemnetur. Pharisæo omnia in se, et non in Deum referenti, et absque necessitate condemnanti alios, merito condemnatio ascribitur. Omnis enim qui se exaltat, humiliabitur, Deo illum condemnante: qui autem se condemnando humiliat, exaltabitur a Deo justificante Dic igitur tu prior, inquit, peccata tua, ut justificeris.

A κρίνων ἑτέρους, μηδεμιᾶς χρείας κατεπειγούσης· ὁ δὲ Ἰὼβ τῶν φίλων ἀποπνιγόντων αὐτὸν, καὶ φορτικώτερον τῆς συμφορᾶς ἐπικειμένων, καὶ λεγόντων ὅτι δι' ἁμαρτίας ταῦτα πεπόνθει, ἠναγκάσθη ἀπαριθμήσασθαι τὰ οἰκεῖα κατορθώματα, καὶ τοῦτο ὑπὲρ τῆς θείας δόξης, καὶ τοῦ μὴ ἐκκοπῆναι τὸν ἐπ' ἀρετῇ τῶν ἀνθρώπων δρόμον. Εἰ γὰρ ἐπληροφορήθησαν οἱ ἄνθρωποι, ὅτι ἁμαρτίαι ἦσαν ἃ ἐποίει ὁ Ἰὼβ, καὶ δι' ἐκεῖνα πάσχει, ἀπέσχοντο ἂν τοῦ τὰ αὐτὰ ποιεῖν, καὶ τοίνυν ἐγένοντο ἂν μισόξενοι ἀντὶ φιλοξένων, ἀνελεήμονες, ἄδικοι ἀντὶ ἐλεημόνων καὶ δικαίων. Ταῦτα γὰρ ἦσαν τοῦ Ἰὼβ τὰ ἔργα. Ἵνα τοίνυν μὴ βλαβεῖεν πολλοὶ, τούτου ἕνεκα ἀπαριθμεῖται τὰ κατορθώματα. Τῷ μὲν οὖν Ἰὼβ αὗται αἱ αἰτίαι· ἵνα μὴ λέγωμεν, B ὅτι ἐν αὐτοῖς τοῖς ῥήμασι τοῖς δοκοῦσι μεγαληγορίας εἶναι, πᾶσα ταπεινοφροσύνη ἐκλάμπει. Τίς γάρ ἂν με θείη, φησὶ, κατὰ μῆνα ἡμερῶν τῶν ἔμπροσθεν, ὅτε ὁ Θεός με ἐφύλαττεν; Ὁρᾷς ὅτι τῷ Θεῷ τὸ πᾶν ἀνέθηκε, καὶ οὐδὲ κατακρίνει ἑτέρους, ἀλλὰ μᾶλλον κατακρίνεται ὑπὸ τῶν φίλων· τῷ δὲ Φαρισαίῳ εἰς ἑαυτὸν καὶ μὴ εἰς Θεὸν τὸ πᾶν ἀναφέροντι, καὶ δίχα ἀνάγκης ἑτέρους κατακρίνοντι, εἰκότως ἡ κατάκρισις ἐπάγεται. Πᾶς γὰρ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὑπὸ Θεοῦ κατακρινόμενος· ὁ δὲ ταπεινῶν ἑαυτὸν τῇ κατακρίσει, ὑψωθήσεται παρὰ Θεοῦ δικαιούμενος. Λέγε γὰρ σὺ πρῶτος, φησὶ, τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς.

VERS. 15-17. « Afferebant autem ad eum et infantes, ut eos tangeret. Quod cum viderent discipuli, increpabant illos. Jesus autem cum illos ad se vocasset, dixit: Sinite pueros venire ad me, et nolite vetare eos, talium est enim regnum Dei. Amen dico vobis, quicunque non acceperit regnum Dei veluti puer, non intrabit in illud. » Et ad 436 humilitatem conducit etiam hoc de pueris exemplum. Docet enim Dominus per illos omnino humiliter agendum, et omnes suscipiendos, nullosque contemnendos. Discipuli enim indignum arbitrabantur ad talem Magistrum offerri pueros. At ille ostendit usque adeo sectandam humilitatem, ut etiam minimi non sint abjiciendi. Et sic quidem docet humilitatem opere suo. Non enim amandat, sed suaviter amplexatur infantes. Docet autem et per sermonem, quod regnum cœlorum est eorum qui similiter affecti sunt ut pueri. Puer non inflatur, neque aliquem contemnit: innocens est, simplex, et cum omni simplicitate neque in prosperis extollitur, neque in tristibus dejicitur. Unde qui vivit in omni humilitate, simplicitate et innocentia, ille Deo acceptus est, et accipit regnum Dei sicut puer, hoc est fideliter, absque dolo et curiositate. Curiosus enim, et semper interrogans, Quomodo? cum sua incredulitate peribit, et non intrabit in regnum, quod noluit simpliciter et sine curiositate et humiliter suscipere. Omnes itaque apostoli, et omnes prorsus credentes in Christum, vocantur pueri: sicut et ipse Dominus apostolos nominavit, dicens: Pueri, num quid obsonii habetis[93]? Sapientes autem gentilium, sapientiam in mysterio quærentes, quod est regnum Dei, et nolentes accipere absque ratiocinatione, merito

« Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται. Ἰδόντες δὲ οἱ μαθηταὶ, ἐπετίμησαν αὐτοῖς. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ εἶπεν· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτὰ, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. » Καὶ τοῦτο C πρὸς μετριοφροσύνην συμβάλλεται τὸ τῶν παιδίων. Διδάσκει γὰρ διὰ τούτου ὁ Κύριος ταπεινοφρονεῖν, καὶ πάντας παραδέχεσθαι, καὶ μηδενὸς καταφρονεῖν. Οἱ μὲν γὰρ μαθηταὶ ἀνάξιον ἡγοῦντο τοῦ τηλικούτου Διδασκάλου τὸ προσφέρεσθαι αὐτῷ παιδία. Ὁ δὲ δείκνυσιν αὐτοῖς, ὅτι τοσοῦτον δεῖ ταπεινοφρονεῖν, ὥστε καὶ τὰ ἐλάχιστα μὴ βδελύττεσθαι. Καὶ οὕτω μὲν διδάσκει τὴν μετριοφροσύνην δι' ὧν ἔπραξε, μὴ ἀποπεμψάμενος, ἀλλ' ἡδέως παραδεξάμενος τὰ βρέφη. Διδάσκει δὲ καὶ διὰ λόγου, ὅτι τῶν κατὰ τὰ παιδία διακειμένων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Τὸ παιδίον οὐκ ἐπαίρεται, οὐκ ἐξουθενεῖ τινα, ἄκακόν ἐστιν, ἄδολον, οὔτε ἐπὶ τοῖς λαμπροῖς ὀγκούμενον, οὔτε ἐπὶ τοῖς λυπηροῖς συστελλόμενον, ἀλλὰ πάσῃ ἁπλότητι συνόν. Ὥστε ὁ ταπεινοφρόνως ζῶν καὶ ἀκάκως, D ἐκεῖνος παρὰ τῷ Θεῷ προσδεκτέως, καὶ ὁ δεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, τουτέστιν, ἀδόλως, ἀπολυπραγμονήτως, πιστῶς. Ὁ γὰρ περίεργος, καὶ ἀεὶ ἐρωτῶν τὸ, Πῶς; τῇ ἀπιστίᾳ συγκαταλυθήσεται, καὶ οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν, ἣν ἁπλῶς, καὶ ἀπεριέργως, καὶ μετριοφρόνως οὐκ ἠθέλησε παραδέξασθαι. Πάντες μὲν οὖν οἱ ἀπόστολοι καὶ πάντες ἁπλῶς οἱ πιστεύσαντες τῷ Χριστῷ, παιδία ἂν κληθεῖεν, ὡς καὶ αὐτὸς ὁ Κύριος τοὺς ἀποστόλους ὠνόμασε· Παιδία, μήτι προσφάγιον ἔχετε; Οἱ δὲ σοφοὶ τῶν Ἑλλήνων, σοφίαν ἐν τῷ μυστηρίῳ ζητοῦντες, ὅ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ μὴ βουλόμενοι δέ-

92 Job. II, 9, 2. 93 Joan. XXI, 5.

ξασθαι τοῦτο ἀσυλλογίστως, εἰκότως ἐξώσθησαν τῆς βασιλείας ταύτης. Οὐκ εἶπε δὲ, ὅτι, Τούτων ἐστὶν ἡ βασιλεία, ἀλλὰ τῶν τοιούτων, τουτέστι, τῶν τὴν ἀκακίαν. καὶ μετριοφροσύνην προαιρετικῶς κτησαμένων, ἣν φυσικῶς τὰ παιδία ἔχουσι. Δεξώμεθα οὖν πάντα τὰ ἐκκλησιαστικὰ, ἅπερ ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ἀπεριέργως, καὶ πιστῶς, καὶ μετριοφρόνως, τὸ γὰρ περιεργάζεσθαι οἰήσεως, καὶ δοξοσοφίας.

« Καὶ ἐπηρώτησέ τις αὐτὸν ἄρχων, λέγων· Διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός. Τὰς ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. Ὁ δὲ εἶπε· Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου. Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις, πώλησον, καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ. Καὶ δεῦρο ἀκολούθει μοι. Ὁ δὲ, ἀκούσας ταῦτα, περίλυπος ἐγένετο, ἦν γὰρ πλούσιος σφόδρα. » Δοκεῖ μέν τισιν οὗτος ὁ ἄνθρωπος πανοῦργός τις εἶναι, καὶ οἷον παγιδεῦσαι ζητῶν τὸν Ἰησοῦν ἐν λόγοις. Οὐκ ἔοικε δὲ τοῦτο, ἀλλὰ φιλάργυρος εἶναι. Ἐπεὶ καὶ ὁ Χριστὸς τοιοῦτον αὐτὸν ὄντα ἤλεγξε. Καὶ γὰρ Μάρκος φησὶν, ὅτι προσδραμὼν, καὶ γονυπετῶν παρεκάλει τὸν Ἰησοῦν, καὶ ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς ἠγάπησεν αὐτόν· φιλοχρήματος μὲν ἦν ὁ ἄνθρωπος. Πρόσεισι δὲ τῷ Ἰησοῦ μαθεῖν ἐφιέμενος περὶ ζωῆς αἰωνίου, τάχα ὡς φιλοχρήματος καὶ τοῦτο. Οὐδὲν γὰρ οὕτω φιλόζωον, ὡς φιλοχρήματος ἄνθρωπος. Ἐνόμισεν οὖν τὸν Ἰησοῦν ὑποθέσθαι αὐτῷ τρόπον, δι' οὗ αἰωνίως ζήσεται, καταπολαύων τῆς κατασχέσεως τῶν χρημάτων. Ὡς δὲ ὁ Κύριος τὴν ἀπόκτησιν εἶναι πρόξενον εἶπε τῆς αἰωνίου ζωῆς, ὡς περιμεμψάμενος ἑαυτῷ τῆς ἐρωτήσεως, καὶ τῷ Ἰησοῦ τῆς ἀποκρίσεως, ἄπεισιν. Αὐτὸς γάρ τοι ἕνεκεν τοῦ ἔχειν τὰ χρήματα ἐπὶ πολὺ, ἔχρῃζε τῆς αἰωνίου ζωῆς· ἐπεὶ εἰ τὰ χρήματα ἔμελλεν ἀποκτᾶσθαι, τί ἔδει αὐτῷ τῆς αἰωνίου ζωῆς πένητι μέλλοντι ζῆν, ὥσγε ἐδόκει; Προσέρχεται γοῦν τῷ Κυρίῳ, ὡς ἁπλῶς ἀνθρώπῳ, καὶ διδασκάλῳ. Διὸ ὁ Κύριος δεικνύων, ὅτι οὐ δεῖ ὡς ἀνθρώπῳ αὐτῷ προσιέναι ψιλῷ, εἶπεν· « Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός. » Ἀγαθόν με, φησὶν, εἴπας, τί οὖν προσέθηκας τὸ, Διδάσκαλε; Φαίνεται γὰρ ὅτι ἕνα τῶν πολλῶν με ὑπολαμβάνεις. Εἰ δὲ τοῦτο, οὐκ εἰμὶ ἀγαθὸς, οὐδεὶς γὰρ ἀνθρώπων ἀγαθὸς κυρίως, εἰ μὴ εἷς ὁ Θεός. Ὥστε εἰ θέλεις ἀγαθόν με λέγειν, ὡς Θεόν με λέγε ἀγαθὸν, ἀλλὰ μὴ ὡς ἀνθρώπῳ ψιλῷ προσέρχου. Εἰ γὰρ ἄνθρωπόν με κοινόν τινα νομίζεις, μηδὲ ἀγαθὸν κάλει· τῷ ὄντι γὰρ ἀγαθὸς, καὶ πηγὴ ἀγαθότητος καὶ ἀρχὴ τῆς αὐτοαγαθότητος ὁ Θεός. Οἱ δὲ ἄνθρωποι εἰ καὶ ἀγαθοί ἐσμεν, ἀλλ' οὐ κυρίως, ἀλλὰ κατὰ μετοχὴν, καὶ ἐπίμικτον ἔχοντες τὸ ἀγαθὸν, καὶ τρεπτόν. Τὰς ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ ψευδομαρτυρήσῃς, καὶ τὰ ἑξῆς. Πρότερον ὁ νόμος τὰ, ἐν οἷς εὐκολώτερον ὀλισθαίνομεν, διορθοῦται, εἶτα τὰ ἐν οἷς οὐ πολλοὶ, οὐδὲ πολλάκις, οἷον τὸ μοιχεύειν, ἐπειδὴ τὸ πῦρ καὶ φυσικὸν καὶ

A exclusi sunt ab hoc regno. Non dixit autem : Horum est regnum, sed talium, qui voluntarie possederunt innocentiam et humilitatem, quam pueri natura habent. Suscipiamus igitur omnia illa ecclesiastica, quæ sunt regnum Dei, fideliter, absque curiositate, et humiliter. Curiose enim inquirere, superbiam sapit et gloriosam sapientiam.

Vers. 18-23. « Et interrogavit eum quidam princeps : Magister bone, quid faciendum mihi ut consequar vitam æternam? Dixit autem ei Jesus : Quid me dicis bonum? nemo bonus, nisi solus Deus. Præcepta nosti : Non committes adulterium, non occides, non facies furtum, non falsum testimonium dices; honora patrem tuum et matrem tuam. At ille ait : Hæc omnia servavi a

B juventute mea. Quo audito, Jesus ait ei : Adhuc unum tibi deest : Omnia quæcumque habes, vende, et distribue pauperibus, et habebis thesaurum in cœlo : et veni, sequere me. His ille auditis mærore affectus est, quia dives erat valde.» Videtur ille homo quibusdam malignus quispiam esse, et illaqueare quærens Jesum in sermone. Non est autem hoc verisimile, sed avarus erat : quoniam et Christus eum, quia talis erat, arguit. Etenim et Marcus dicit quod accurrerit, et genu flexerit, et obsecraverit Jesum, et quod Jesus ipsum aspexerit, et dilexerit. Igitur divitiarum amator erat homo ille. Accedit autem ad Jesum, discere cupiens 437 de vita æterna, fortassis et in hoc divitiarum sectator. Nihil enim ita vitæ

C cupidum est, ut homo divitiis studens. Suspicabatur igitur Jesum indicaturum sibi modum quempiam quo divitiarum possessione perpetuo frui possit. Postquam autem Dominus dixit divitiarum abjectionem conferre ad vitam æternam, quasi suam reprehendens interregationem, et Christi responsum, abiit. Ipse enim quia habebat multas divitias, multum quærebat vitam perpetuam. Verum cum renuntiandum esset divitiis : quid opus ei æterna vita, qui pauper, ut videbatur, erat victurus? Proinde accedit ad Christum ut ad simplicem hominem et doctorem. Idcirco et Dominus demonstrans quod non oporteat ad ipsum accedere ut purum hominem, dixit : « Nullus bonus, nisi unus Deus. » Bonum, inquit, me dixisti, cur igitur

D adjecisti, Præceptor? Videris enim quod me quasi unum ex multis habeas. Quod si sic, non sum bonus. Nullus enim hominum bonus proprie, nisi unus Deus. Quod si bonum me dicere vis, ut Deum me bonum dicas : ne accedas ut ad simplicem hominem. Si enim me communem quemdam hominem putas, ne voces bonum. Deus enim vere bonus, et fons bonitatis, et principium substantialis bonitatis : nos autem homines licet boni simus, non tamen proprie, sed participes bonitatis illius, promiscuam habemus bonitatem, mutabilesque sumus. Nosti præcepta : Non committes adulterium, non occides, non falsum testimonium dices, etc. Prius lex corrigit ea in quæ facile cadimus : deinde

etiam ea in quibus non multi, neque sæpius: uti est adulterium committere, quia ignis naturalis et internus; occidere, quia mala bestia est ira. Furari autem levius est, et in falsum testimonium rarius incidere contingit. Ideo et illa quidem prius corriguntur, eo quod facile in illa prolabamur, quamvis alioqui graviora sint Hæc autem, furtum dico, et falsum testimonium, secundo loco ponit, ut quæ rarius contingant, et leviora sint. Porro in parentes peccare, quamvis sit grande peccatum, verumtamen rarius contingit. Non enim facile invenitur qui ita bestialibus moribus sit, ut in parentes debacchetur, pauci enim sunt, raroque fit: et ideo posterius ponit. Postquam autem adolescens se omnia hæc servasse dixit a juventute, præscripsit et Dominus paupertatem, caput omnium virtutum. Vide autem legem Christiana vita dignam: Omnia quæcumque habes vende, inquit; nam si quid reliqueris, illius servus es. Et distribue non divitibus cognatis, sed pauperibus. Habet autem et distribuendi verbum emphasim quamdam, ut cum dijudicatione, et non fortuito dispergantur bona. 438 Quoniam autem cum paupertate et alias habere virtutes Christianum oportet, propterea dicit: Et veni, sequere me: hoc est, et in omnibus aliis esto discipulus meus, et semper sequere, non hodie quidem, cras autem non. Ut autem avaro promisit cœlestem thesaurum, sed non attendit ille: servus enim erat pecuniarum: ideo et ut audivit, abiit tristis, eo quod possessionis privatio esset ei dicta, propter quam ipse æternam vitam desiderat, quo possit perpetuo divitiis frui. Cæterum et tristitia arguit eum benevolum et non malignum fuisse. Nullus enim Pharisæorum unquam tristis abiit, sed exasperatus potius. Non ignoro autem quod magnum luminare mundi Chrysostomus adolescentem hunc vere æternam vitam desiderasse putarit, et quod illam quidem amaverit, laborasse autem difficiliore morbo avaritiæ: nihilominus non caret gratia quod non adjectum est, quod tanquam avarus vitam æternam desideraverit.

VERS. 24-30. « Videns autem Jesus illum mœrore affectum, dixit: Quam difficile qui pecunias habent, in regnum Dei intrabunt! Facilius est enim camelum per foramen acus transire, quam divitem intrare in regnum Dei. Et dixerunt qui audierant: Et quis potest salvus fieri? At ille ait: Quæ impossibilia sunt apud homines, possibilia sunt apud Deum. Ait autem Petrus: Ecce nos reliquimus omnia. Qui dixit eis: Amen dico vobis, nemo est qui reliquit domum, aut parentes, aut fratres, aut uxorem, aut liberos propter regnum Dei, qui non recepturus sit multo plura in hoc tempore, et in venturo sæculo vitam æternam. » Postquam dives audivit abjiciendas divitias, mœrore affectus est: unde dicit Dominus admirabili figura quomodo difficile sit habentes pecunias in regnum cœlorum ingredi. Non dicit quod impossibile sit eos ingredi, sed difficile Non enim impossibile est salvari tales. Possibile enim expendere pecuniam, et superna

A ἔνδοθεν, τὸ φονεύειν, ἐπειδὴ μέγα θηρίον ὁ θυμός· Τὸ δὲ κλέπτειν ἐλαφρότερον, καὶ τῇ ψευδομαρτυρίᾳ σπανιάκις περιπίπτειν ἔστι. Διὸ ἐκεῖνα μὲν πρότερον διορθοῦται, οἷα εὐκόλως ἡμῶν εἰς ἐκεῖνα ὀλισθαινόντων, καὶ ἄλλως βαρύτερα ὄντα. Ταῦτα δὲ, τὴν κλοπήν φημι, καὶ τὴν ψευδομαρτυρίαν, δετέρα τίθησιν, ὡς καὶ σπανιάκις ἀπατῶντα, καὶ ἐλαφρότερα. Ἐπεὶ δὲ τὸ εἰς γονεῖς ἁμαρτάνειν, εἰ καὶ μέγα ἐστὶν ἁμάρτημα, ἀλλ' οὖν ὡς μὴ συχνάκις συμβαῖνον· οὐδὲ γὰρ τοσοῦτον θηριώδεις εὐκόλως εὑρίσκονται οἱ πολλοὶ, ὡς εἰς γονεῖς παροινεῖν, ἀλλ' ὀλιγάκις, καὶ ὀλίγοι· ὕστερον τούτων τέθεικεν. Ὡς δὲ ὁ νεανίσκος εἶπε ταῦτα πάντα φυλάξασθαι ἐκ νεότητος, τὸ κεφάλαιον πάντων τὴν ἀκτημοσύνην ὁ Κύριος αὐτῷ ὑποτίθεται.
B Ὅρα δὲ νόμους Χριστιανικῆς πολιτείας τῷ ὄντι, Πάντα ὅσα ἔχεις πώλησον, φησίν· εἰ γάρ τι ἐναπομείνῃ, ἐκείνου δοῦλος εἶ· καὶ διάδος, οὐ συγγενέσι πλουσίοις. ἀλλὰ πτωχοῖς. Οἶμαι δὲ ὅτι καὶ τὸ Διάδος, ἔμφασιν ἔχει τοῦ μετὰ κρίσεως, καὶ μὴ ὡς ἔτυχε, τὸν τῶν χρημάτων σκορπισμὸν ποιεῖσθαι. Ἐπεὶ δὲ σὺν τῇ ἀκτημοσύνῃ δεῖ καὶ τὴν ἄλλην ἀρετὴν πᾶσαν προσεῖναι τῷ ἀνθρώπῳ, διὰ τοῦτο εἶπε· Καὶ δεῦρο ἀκολούθει μοι, τουτέστι, Καὶ ἐν πᾶσι τοῖς ἄλλοις ἴσθι μαθητὴς ἐμὸς, καὶ ἀεὶ ἀκολούθει, μὴ σήμερον μὲν, αὔριον δ' οὔ. Ὡς δὲ φιλοχρημάτῳ ἐπηγγείλατο τὸν ἐν οὐρανοῖς θησαυρὸν, ἀλλ' οὐ προσέσχεν ὁ ἄρχων, δοῦλος γὰρ ἦν τῶν χρημάτων, διὸ καὶ ἀκούσας ἐλυπήθη, ὅτι στέρησιν αὐτῷ τῆς κτήσεως εἰσηγεῖται, ὅπου γε αὐτὸς καὶ τῆς αἰωνίου ζωῆς διὰ τοῦτο ἐπι-
C θυμεῖ, ὡς ἂν ἐπὶ πολὺ τῇ τῶν χρημάτων περιουσίᾳ καὶ αἰωνίως ἐμβιοίη. Καὶ τὸ λυπηθῆναι δὲ αὐτὸν εὐγνώμονα, ἀλλ' οὐ πανοῦργον ὑποδηλοῖ. Οὐδεὶς γοῦν τῶν Φαρισαίων ἐλυπήθη ποτὲ, ἀλλὰ μᾶλλον ἠγρίαινον. Οὐκ ἀγνοῶ δὲ, ὅτι ὁ μέγας τῆς οἰκουμένης φωστὴρ ὁ χρυσοῦς τὴν γλῶτταν τῆς ὄντως αἰωνίου ζωῆς ἐπιθυμεῖν τὸν νεανίσκον τοῦτον ἐδέξατο, καὶ ἐρᾷν μὲν αὐτῆς, κατέχεσθαι δὲ πάθει μείζονι τῇ φιλαργυρίᾳ· πλὴν οὐκ ἄχαρι καὶ ὃ νῦν προσετέθη, ὅτι ὡς φιλοχρήματος ἐπεθύμει ζωῆς αἰωνίου.

« Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον, εἶπε· Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες, εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ! Εὐκοπώτερον γάρ ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ
D πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. Εἶπον δὲ οἱ ἀκούσαντες· Καὶ τίς δύναται σωθῆναι; Ὁ δὲ εἶπε· Τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατά ἐστι παρὰ τῷ Θεῷ. Εἶπε δὲ ὁ Πέτρος· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα. Ὁ δὲ εἶπεν αὐτῷ· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς ἐστιν, ὃς ἀφῆκεν οἰκίαν, ἢ γονεῖς, ἢ ἀδελφοὺς, ἢ γυναῖκα, ἢ τέκνα ἕνεκεν τῆς βασιλείας τοῦ Θεοῦ, ὃς οὐ μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. » Ἐπειδὴ ὁ πλούσιος ἀκούσας τὴν τῶν ὑπαρχόντων ἀπόκτησιν ἐλυπήθη, φησὶν ὁ Κύριος θαυμαστικῷ τῷ σχήματι, Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες, εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ! οὐκ εἶπεν ὅτι ἀδυνάτως ἔχωσιν εἰσελθεῖν, ἀλλὰ δυσκόλως. Οὐ γὰρ ἀδύνατον σωθῆναι τοὺς τοιούτους. Δυνατὸν γὰρ

τὰ χρήματα προεμένους, ἐπιτυχεῖν τῶν ἄνω. Δύσκολον μέντοι τοῦτο· ἰξοῦ γὰρ κολλητικώτερα τὰ χρήματα καὶ δυσκόλως ἀποσπᾶται ὁ τούτοις συσχεθείς. Παρακατιὼν δὲ καὶ ὡς ἀδύνατον αὐτὸ τίθησι, φησὶ γάρ, Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον σωθῆναι· ἀδύνατον γὰρ πάντως κάμηλον διὰ τρυπήματος βελονίου χωρῆσαι, εἴτε τὸ ζῶον αὐτὸ νοήσεις κάμηλον, εἴτε σχοινόν τινα ναυτικὴν παχεῖαν. Εἰ οὖν κάμηλον χωρηθῆναι διὰ τρυπήματος βελονίου εὐκοπώτερον, ἢ πλούσιον σωθῆναι, ἀδύνατον δὲ τοῦτο, ἀδυνατότερον ἄρα τὸ σωθῆναι πλούσιον. Τί οὖν ἔστιν εἰπεῖν; Πρῶτον μὲν, ὅτι ἀληθῶς οὕτως ἔχει· πλούσιον γὰρ ὄντα ἀδύνατον σωθῆναι. Μὴ γάρ μοι εἴπῃς ὅτι ὁ δεῖνα πλούσιος ὢν, ἐδίδου τὰ προσόντα, καὶ ἐσώθη· οὐ γὰρ πλούσιος ἐσώθη, ἀλλ' ἢ ἀκτήμων γεγονὼς, B ἢ τέως οἰκονόμος ὢν ἐσώθη, καὶ οὐχὶ πλούσιος. Ἄλλο γὰρ οἰκονόμος καὶ ἄλλο πλούσιος· πλούσιος μὲν γάρ ἐστιν, ὁ ἑαυτῷ τηρῶν τὸν πλοῦτον, οἰκονόμος δὲ ὁ δι' ἑτέρους τοῦτον ἐγχειρισθείς. Ὥστε καὶ εἰ οὗτος ἐσώθη, οὐ πλούσιος ἐσώθη, ἀλλ' ἢ, ὡς ἔφημεν, πάντα ἀποκτησάμενος ἃ εἶχεν, ἢ ὡς οἰκονόμος καλῶς αὐτὰ διατιθέμενος. Ἔπειτα καὶ τοῦτο σκόπει, ὅτι τὸν μὲν πλούσιον ἀδύνατον σωθῆναι, τὸν δὲ τὰ χρήματα ἔχοντα δύσκολον, ὡς ἂν εἰ ἔλεγεν, Ὁ μὲν ἐχόμενος ὑπὸ τῶν χρημάτων, καὶ δουλεύων αὐτοῖς, καὶ κρατούμενος οὐ σωθήσεται, ὁ δὲ ἔχων τὰ χρήματα, τουτέστι, κύριος αὐτῶν ὢν, καὶ αὐτὸς ἔχων ταῦτα, οὐκ ἐχόμενος δὲ ὑπ' αὐτῶν, δυσκόλως σωθήσεται διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν. Ἀδύνατον γὰρ μὴ παραχρήσασθαι οἷς ἔχομεν· ἕως γὰρ ἔχομεν χρήματα, σπουδάζει ὁ διάβολος ὑποσκελίζειν ἡμᾶς, εἰς τὸ παρὰ τὸν C κανόνα, καὶ τὸν νόμον τῆς οἰκονομίας χρήσασθαί ἐστιν ὅτε, καὶ δύσκολον ἐκφυγεῖν τὰς παγίδας αὐτοῦ. Διὰ τοῦτο καλὸν ἡ ἀχρημοσύνη καὶ σχεδὸν ἀπείραστον. Εἶπον δὲ, φησὶν, οἱ ἀκούσαντες· Τίς ἄρα δύναται σωθῆναι; Ὁ δὲ εἶπε· « Τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατὰ παρὰ τῷ Θεῷ. » Παρὰ μὲν γὰρ τοῖς ἀνθρωπίνην γνώμην ἔχουσιν, ἤτοι κάτω συρομένοις, καὶ ἐπιθυμοῦσι τῶν γηΐνων, ἀδύνατόν ἐστι σωθῆναι, ὡς εἴρηται, παρὰ δὲ Θεῷ δυνατὸν, τουτέστιν, ὅταν τις σύμβουλον ἔχῃ τὸν Θεὸν, καὶ τὰ δικαιώματα τοῦ Θεοῦ, καὶ τὰς περὶ ἀχρημοσύνης ἐντολὰς διδασκάλους λάβῃ, καὶ τὴν παρ' ἐκείνου ἐπικαλοῖτο ἐπικουρίαν, δυνατὸν ἔσται τοῦτο· ἡμῶν μὲν γάρ ἐστι τὸ D θελῆσαι τὸ ἀγαθὸν, Θεοῦ δὲ τὸ τελειῶσαι. Καὶ ἄλλως δὲ εἴπερ ὑπεραναβάντες πᾶσαν ἀνθρωπίνην ἐπὶ τῷ πλούτῳ μικροψυχίαν, θελήσομεν φίλους ἡμῖν αὐτοὺς ποιῆσαι ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, σωθησόμεθα, ὑπ' αὐτῶν εἰς τὰς αἰωνίους σκηνὰς παραπεμπόμενοι. Βέλτιον μὲν γὰρ ἐὰν πάντα προώμεθα, εἰ δὲ μὴ πάντα, συμμεριστὰς γοῦν ποιῆσαι τοὺς πένητας, καὶ οὕτως τὸ ἀδύνατον δυνατὸν γίνεται. Ἀδύνατον μὲν γὰρ τὸν μὴ πάντα προέμενον σωθῆναι, πλὴν διὰ φιλανθρωπίαν Θεοῦ γίνεται καὶ τὸ μερικῶς μεταδοῦναι εἰς ὠφέλειαν ἀνάλογον. Πρὸς ταῦτα ὁ Πέτρος ἐρωτᾷ· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα· καὶ ἐρωτᾷ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ πρὸς παραμυθίαν πάντων τῶν πενήτων. Ἵνα γὰρ μὴ οἱ

A assequi. Et difficile quidem hoc. Tenaciores enim visco adhærent pecuniæ, et difficile abstrahitur qui a talibus est comprehensus. Non multo autem post, subjicit quomodo impossibile sit: dicit enim facilius esse camelum per foramen acus intrare, quam divitem salvari. Impossibile enim est omnino quod camelum capiat foramen acus: sive per camelum animal intelligas, sive funem nauticum crassum. Si igitur facilius camelum per foramen acus transire, quam salvari divitem, impossibile autem hoc, impossibilius igitur salvari divitem. Quid igitur dicendum? Primum quidem, quod vere sic habet, impossibile salvari eum qui dives est. Nec enim mihi dicas quod salvatus sit dives quispiam qui sua dederit: non enim dives salvatus est, sed quia pauper factus, B 439 vel dispensator existens servatus est, non dives. Aliud enim est dispensator, aliud dives. Dives enim est, qui sibi reservat divitias: dispensator vero, cui concreditæ sunt propter alios. Et ita etiam hic si salvatus est, non dives salvatus est, sed, ut diximus, vel quia omnibus renuntiavit quæ habuit, vel quia uti dispensator bene illas distribuit. Insuper et hoc animadverte, quod divitem quidem impossibile est salvari; pecunias autem habentem, difficile; quasi diceret: Qui habetur et tenetur a pecuniis, ac servit eis, non salvabitur: qui vero pecunias habet, hoc est, dominus illarum est, et ipse habet eas, et non habetur ab eis, difficile salvabitur propter humanam infirmitatem. Impossibile C enim est non abuti his quæ habemus. Quippe quandiu pecunias habemus, molitur diabolus nos supplantare, ne regula dispensationis recte utamur. et difficile est effugere ejus laqueos; propterea bona est paupertas, et quasi tentatione superior. Dixerunt autem, inquit, hi qui audierant: Quis igitur poterit salvari? At ille dixit: « Quæ impossibilia apud homines sunt, possibilia sunt apud Deum. » Qui enim habent mentem humanam quæ ad inferiora vergit, et terrena desiderat, salvari non possunt, sicut dictum est. Deo autem possibile, hoc est, quando quis consiliarium habet Deum, et justificationes Dei, et mandata Magistri de paupertate suscipit, et illius invocat auxilium; possibile enim est hoc. Nostrum est enim velle bonum, Dei autem D perficere. Et aliter: si quidem transcenderimus humanam illam infirmitatem divitum, et voluerimus nobis facere amicos ex mammona injustitiæ, salvabimur per eas, et recipiemur in æterna tabernacula. Non melius quidem fuerit dimittere omnia; hoc autem si minus, saltem facere partiarios pauperes, et sic impossibile fiet possibile. Impossibile quidem esset non omnibus dimissis salvari, verum tamen et est propter misericordiam Dei, si partes dederimus in usum congruum. Ad hæc Petrus interrogat: Ecce nos reliquimus omnia. Interrogat autem non pro se solo, sed ad consolationem omnium pauperum. Ut enim non soli divites bonam spem habeant se multa consecuturos, qui multum reliquerint, pauperes autem parvam spem habeant, quod pauca

relliquerint, et propterea parvas retributiones habituri sint, interrogat Petrus et audit, quod in hoc et in venturo sæculo retributiones habiturus sit omnis qui propter Deum qualescumque possessiones reliquerit, etiam si parvæ fuerint. Non enim hoc consideres, quod paucæ fuerint, sed quod parva hæc homini totus victus fuerint. Et sicut tu multis et magnis, ita ille paucis et parvis vitam
440 suam se sustinere posse sperabat Ut ne dicam quod qui pauca habet, majori ad illa teneatur affectione : idque manifestum ex patribus, qui quando unum habent puerum, majorem erga illum affectionem gerunt, quam erga plurimos : ita et pauper unam domum et unum agrum impensius diligit, quam tu multos. Quod si non, certe vel eadem utrisque est affectio, et propterea idem et contemptus. Hic sane et hoc sæculo præsenti multiplices accipiunt retributiones, sicut apostoli illi. Tuguriola quidem reliquerant illi omnes, et nunc habent fulgentissima templa, et res familiares, et agros, et uxores multas, quæ illis fervore fidei adhærent, aliaque omnia ; in futuro autem sæculo, non agros tales multiplices et corporales retributiones, sed vitam æternam.

A πλούσιοι μόνοι εὐέλπιδες ὦσιν, ὡς πολλῶν τε ἐξάμενοι, οἷα πολλῶν καταφρονήσαντες, οἱ δὲ πένητες δυσελπισθῶσιν οἷα ὀλίγων ἀποστάντες, καὶ διὰ τοῦτο ὀλίγας ἀμοιβὰς προσδοκῶντες, ἐρωτᾷ ὁ Πέτρος καὶ ἀκούει· ὅτι καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι τὰς ἀμοιβὰς ἕξει, πᾶς ὁ ὁτιοῦν διὰ Θεὸν καταφρονήσας τῶν ὑπαρχόντων, κἂν μικρὰ εἶεν. Μὴ γὰρ τοῦτο σκοπήσῃς ὅτι μικρὰ, ἀλλ' ὅτι βίος ὅλος ἦσαν ἐκείνῳ τὰ μικρὰ τῷ ἀνθρώπῳ, καὶ ὥσπερ σὺ τοῖς πολλοῖς καὶ μεγάλοις, οὕτως ἐκεῖνος τοῖς ὀλίγοις καὶ μικροῖς ἐμβιῶσαι προσεδόκα, ἵνα μὴ λέγω, ὅτι ὁ ὀλίγα ἔχων πλείονα σχέσιν ἔχει πρὸς ταῦτα · καὶ δῆλον ἀπὸ τῶν πατέρων, οἳ ὅταν ἕνα παῖδα ἔχωσι, πλείω τὴν σχέσιν ἐπιδείκνυνται πρὸς τοῦτον, ἢ πρὸς πλείους. Οὕτω καὶ ὁ πένης πρὸς τὴν μίαν οἰκίαν, καὶ πρὸς τὸν ἕνα ἀγρὸν δριμύτερον διάκειται, ἢ σὺ πρὸς τοὺς πολ-
B λούς. Εἰ δὲ μὴ, ἀλλ' ἴσον γοῦν ἀμφοτέροις τὸ τῆς σχέσεως · διὰ τοῦτο καὶ τὸ τῆς περιφρονήσεως. Ἔνθεν τοι καὶ ἐν τῷ νῦν αἰῶνι πολυπλασίας λαμβάνουσι τὰς ἀμοιβὰς, ὡς οἱ ἀπόστολοι αὐτοὶ οὗτοι. Καλύβας γὰρ καταφρονήσαντες ἕκαστος, νῦν λαμπροτάτους ναοὺς ἔχουσι καὶ ἀγροὺς, καὶ προσόδους, καὶ γυναῖκας πολλὰς τὰς τῇ πρὸς αὐτοὺς θερμότητι, καὶ πίστει συνδεδεμένας, καὶ τἄλλα πάντα ἁπλῶς καὶ ἐν τῷ μέλλοντι δὲ αἰῶνι οὐχ ἀγροὺς τοιούτους πολυπλασίους, καὶ σωματικὰς ἀντιδόσεις λάβωσιν, ἀλλὰ ζωὴν αἰώνιον.

VERS. 31-34. «Assumpsit autem Jesus duodecim, et ait illis : Ecce ascendimus Hierosolymam, et consummabuntur omnia quæ scripta sunt per prophetas de Filio hominis. Tradetur enim gentibus, et illudetur, et contumeliis afficietur, et conspuetur, et postquam flagellaverint, occident eum, et tertia die resurget. Et ipsi nihil horum intellexerunt. Et erat verbum istud absconditum ab eis, nec intelligebant quæ dicebantur.» Prædicit eis passionem propter duo illa : unum, ut ostendat, quod non invitus neque ut purus homo mortem ignorans crucifigatur, sed et prævideat, et voluntarie patiatur : nam si noluisset pati, devitasset utique quæ præsciebat. Eorum enim qui non sunt præscii, est capi ; secundum, ut doceat eos leviter ferre quæ eventura, utpote qui antea audiverint, et non repente in illa inciderint. Cum autem perficienda erant in te quæ dicta a prophetis, cur ascendis, o Domine ? Propter istud ipsum, ut salutem operer. Et ita voluntarius vadit. Et ipse quidem hæc, discipuli autem tunc quidem nihil intellexerunt. Erat enim verbum hoc absconditum ab eis, et maxime omnium verbum hoc resurrectionis omnino non agnoscebant. Et alia quoque non agnoscebant, ut tradi gentibus. Maxime autem verbum resurrectionis ignorabant, quod non erat in usu. Et non omnes Judæi credebant resurrectionem, in primis Sadducæi. Sed dixeris. Et si nihil agnoscebant, quare ergo eis hæc prædicit ? quæ enim utilitas illis ad consolationem tempore crucis, si non intelligebant ea quæ dicebantur ? Quod non parum utilia postea futura essent, dum recordarentur quod ista essent quæ tunc prædicente Domino non intellexerunt,

« Παραλαβὼν δὲ τοὺς δώδεκα, εἶπε πρὸς αὐτούς· Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ Υἱῷ τοῦ ἀνθρώπου. Παραδοθήσεται γὰρ τοῖς ἔθνεσι, καὶ
C ἐμπαιχθήσεται, καὶ ὑβρισθήσεται, καὶ ἐμπτυσθήσεται, καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα. » Προλέγει αὐτοῖς τὰ τοῦ πάθους, ἵνα δύο ταῦτα κατορθώσῃ· ἓν μὲν τὸ δεῖξαι, ὅτι οὐκ ἄκων οὐδὲ ὡς ψιλὸς ἄνθρωπος ἀγνοῶν τὸν θάνατον σταυροῦται, ἀλλὰ καὶ προῄδει, καὶ ἑκὼν πάσχει · εἰ γὰρ ἐβούλετο μὴ παθεῖν, ἐξέκλινεν ἂν, οἷα δὴ προειδώς · τῶν γὰρ μὴ προγινωσκόντων ἐστὶ τὸ ἁλίσκεσθαι · δεύτερον δὲ τὸ πεῖσαι αὐτοὺς εὐκόλως φέρειν τὰ συμβησόμενα, ἅτε προακηκοότας, καὶ μὴ ἐκ τοῦ αἰφνιδίου αὐτοῖς προσπεσόντα. Καίτοι εἰ μέλλοι τελεσθῆναι ἐπὶ σοὶ, ὦ Κύριε, τὰ πάλαι ὑπὸ τῶν προφητῶν λεχθέντα, διατί ἀνα-
D βαίνεις ; Δι' αὐτὸ μὲν οὖν τοῦτο, ἵνα σωτηρίαν ἐργάσωμαι. Ὥστε ἑκὼν ἔρχεται. Ἀλλ' ὁ μὲν ταῦτα· οἱ δὲ μαθηταὶ τότε μὲν συνίεσαν οὐδὲν · ἦν γὰρ τὸ ῥῆμα τοῦτο παρακεκαλυμμένον ἀπ' αὐτῶν, μάλιστα πάντων τὸ ῥῆμα τῆς ἀναστάσεως · καὶ τἄλλα μὲν γὰρ οὐκ ἐπεγίνωσκον, οἷον τὸ παραδοθήσεσθαι τοῖς ἔθνεσι, μάλιστα δὲ τὸ τῆς ἀναστάσεως οὐκ ἐπεγίνωσκον ὅλως · οὐδὲ γὰρ ἦν ἐν καταχρήσει τοῦτο, οὔτε πάντες ἐπίστευον οἱ Ἰουδαΐζοντες, οὐδὲ τὴν ἁπλῶς ἀνάστασιν, καὶ δῆλον ἀπὸ τῶν Σαδδουκαίων. Ἀλλ' εἴποις ἂν, Εἰ καὶ μὴ ἐπεγίνωσκον, τί λοιπὸν προὔλεγεν αὐτοῖς ταῦτα ; Τί γὰρ τὸ ὄφελος αὐτοῖς πρὸς τὴν ἐν τῷ καιρῷ τοῦ σταυροῦ παράκλησιν, μὴ συνιεῖσι τὸ λεγόμενον ; Οὐ μικρὰ ὠφελοῦντο εἰς τὸ μετέπειτα

ἀναμιμνησκόμενοι, ὅτι ταῦτα ἦσαν, ἃ τέως προλέγοντος τοῦ Κυρίου οὐ συνίεσαν· καὶ τοῦτο δῆλον ἀπὸ πολλῶν, καὶ μάλιστα ἀφ' ὧν Ἰωάννης λέγει. Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ, ὕστερον δὲ ἐμνήσθησαν, ὅτι ταῦτα ἦν γεγραμμένα ἐπ' αὐτῷ. Καὶ ὁ Παράκλητος δὲ ἀναμνήσας αὐτοὺς πάντα ἀξιοπιστοτέραν τὴν περὶ Χριστοῦ μαρτυρίαν αὐτοῖς ἐγκατέθηκε. Περὶ δὲ τοῦ πῶς τριήμερος ἡ ταφὴ, ἱκανῶς ἐν τοῖς ἄλλοις Εὐαγγελισταῖς εἴρηται.

« Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχὼ τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν. Ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί ἂν εἴη τοῦτο. Ἀπήγγειλαν δὲ αὐτῷ ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. Καὶ ἐβόησε λέγων· Ἰησοῦ, Υἱὲ Δαυΐδ, ἐλέησόν με. Καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ, αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαυΐδ, ἐλέησόν με. Σταθεὶς δὲ ὁ Ἰησοῦς, ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. Ἐγγίσαντος δὲ αὐτοῦ, ἐπηρώτησεν αὐτὸν λέγων· Τί σοι θέλεις ποιήσω; Ὁ δὲ εἶπε· Κύριε, ἵνα ἀναβλέψω. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀνάβλεψον, ἡ πίστις σου σέσωκέ σε. Καὶ παραχρῆμα ἀνέβλεψε, καὶ ἠκολούθησεν αὐτῷ, δοξάζων τὸν Θεόν. » Καὶ πᾶς ὁ λαὸς ἰδὼν, αἶνον ἔδωκε τῷ Θεῷ. Ὁδοῦ πάρεργον ὁ Κύριος τὸ ἐπὶ τῷ τυφλῷ θαῦμα ἐργάζεται, ἵνα μηδὲ ἡ πάροδος αὐτοῦ ἀλυσιτελὴς εἴη ἡμῖν διδασκαλία, καὶ τοῖς τοῦ Χριστοῦ μαθηταῖς, ἵνα διὰ πάντων, καὶ πάντοτε, καὶ πανταχοῦ ἐπωφελεῖς ὦμεν, καὶ μηδὲν ἡμῶν ἀργὸν ᾖ. Ὁ τοίνυν τυφλὸς αὐτὸν εἶναι τὸν ἐλπιζόμενον Χριστὸν πιστεύσας, εἰκὸς γὰρ ἦν αὐτὸν, ἅτε δὴ τοῖς Ἰουδαϊκοῖς ἐντεθραμμένον, μὴ ἀγνοεῖν ὅτι ἐκ σπέρματος Δαυῒδ ὁ Χριστὸς, φωνῇ μεγάλῃ βοᾷ, Υἱὲ Δαυΐδ, ἐλέησόν με· καὶ τῷ εἰπεῖν δὲ, Ἐλέησόν με, ἐμφαίνει ὅτι θειοτέραν τινὰ εἶχε περὶ αὐτοῦ ἔννοιαν, καὶ οὐ ψιλὸν ἄνθρωπον ἐνόμιζε. Θαύμασον δέ μοι καὶ τὴν ἔνστασιν αὐτοῦ τῆς ὁμολογίας, πῶς καίτοι πολλῶν ἐπιτιμώντων αὐτῷ, οὐκ ἐσίγα, ἀλλὰ περισσότερον ἔκραζε, θερμότης γὰρ ἦν τὸ ἔνδοθεν κινοῦν αὐτόν. Διὸ καὶ ὁ Ἰησοῦς προσκαλεῖται αὐτὸν ὡς τῷ ὄντι ἄξιον ἐγγίσαι αὐτῷ, ἐπερωτᾷ δὲ αὐτὸν, Τί σοι θέλεις ποιήσω; οὐχ ὡς ἀγνοῶν, ἀλλ' ὅπως μὴ δόξῃ τοῖς παροῦσιν, ὅτι ἄλλα αἰτοῦντος ἐκείνου, ἄλλα αὐτὸς δίδωσι, καὶ ὡς ἐκεῖνος μὲν αἰτεῖ χρήματα, αὐτὸς δὲ οἷα φιλενδείκτης, τυφλότητα ἐξιᾶται· ἴσως γὰρ τοιαῦτα ὁ φθόνος ἀνόητα ἐσυκοφάντησεν ἄν. Διὸ ἐρωτήσας, ἐπειδὴ εὗρεν αὐτὸν τοῦ ἀναβλέψαι ἐπιθυμοῦντα, τοῦτο δίδωσιν. Ὅρα δὲ τὸ ἀκόμπαστον· Ἡ πίστις σου, φησὶ, σέσωκέ σε, ἐπίστευσας γὰρ, ὅτι ὁ κηρυττόμενος υἱός εἰμι ἐκεῖνος τοῦ Δαυῒδ ὁ Χριστὸς, καὶ τοσαύτην ἐπεδείκνυσο τὴν θερμότητα, ὥστε μηδὲ ἐπιτιμώμενος σιγᾷν. Μανθάνομεν δὲ ἐκ τούτου, ὅτι ὅταν μετὰ πίστεως αἰτῶμεν, οὐκ ἄλλα μὲν αἰτοῦμεν, ἄλλα δὲ δίδωσιν, ἀλλ' ἐκεῖνα αὐτά· ὥστε ἐπειδὰν ἄλλα αἰτοῦντες, ἄλλα λαμβάνομεν, πρόδηλον ὅτι οὐ καλῶς οὐδὲ πιστῶς αἰτοῦμεν· « Αἰτεῖτε γὰρ, φησὶ, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε. » Ὅρα δὲ καὶ τὴν ἐξουσίαν· Ἀνάβλεψον. Τίς γὰρ τῶν προφητῶν οὕτως ἐθεράπευσεν, ἐν τοσαύτῃ φημὶ ἐξουσίᾳ; Ὅθεν καὶ

manifestum ex multis, et maxime ex his quæ Joannes dicit: Hæc autem non cognoverunt discipuli ejus [94]; postea autem memores facti sunt quod hæc de ipso essent scripta. Et Spiritus paracletus suggessit eis 441 omnia, certissimum testimonium de Christo in illis ponendo. De eo, quomodo triduo fuerit in sepulcro, satis dictum est in Evangelistis aliis.

VERS. 35-43. «Accidit autem cum appropinquaret Jericho, cæcus quidam sedebat juxta viam mendicans, et cum audiret turbam prætereuntem, interrogabat quid hoc esset. Dixerunt autem ei quod Jesus Nazarenus transiret, et clamavit dicens: Jesu Fili David, miserere mei. Et qui præibant, increpabant eum ut taceret. Ipse vero multo magis clamabat: Fili David, miserere mei. Stans autem Jesus jussit illum adduci ad se. Et cum appropinquasset, interrogavit illum, dicens: Quid tibi vis faciam? At ille dixit: Domine, ut visum recipiam. Et Jesus dixit ei: Recipito visum, fides tua te salvum reddidit. Et confestim visum recepit, ac sequebatur illum, glorificans Deum. Et omnis plebs, ut vidit, dedit laudem Deo.» Dominus miraculum hoc cæci obiter in via operatus est, ut et transitus ejus nobis utilis esset doctrina, ac discipulis Christi, ut semper et ubique et apud omnes utiles simus, et nunquam ignavi. Cæcus igitur credens eum esse Christum qui exspectabatur, — verisimile enim fuit ipsum, utpote innutritum Judaicis, non ignorasse Christum ex semine David, — voce magna clamat, Fili David, miserere mei. Et dicendo, Miserere mei, declarat quod diviniorem quamdam de illo sententiam habeat, et non hominem purum censeat. Admirare autem, quæso, quomodo confessionem suam multiplicet, quomodo quamvis multi increparent eum, non tacebat, sed amplius clamabat. Fervor quidam intrinsecus stimulabat eum: idcirco et Jesus jussit illum adduci ad se, quod profecto dignus esset qui appropiaret ei. Interrogat autem illum: Quid vis ut tibi faciam? non ut ignorans, sed ne ille præsentibus alia petere videatur, ipse alia dare: et dum ille petit pecuniam, ipse ut ostentator, cæcitatem sanaret. Nam fortassis insipienter talia fingere posset invidia. Propterea cum interrogasset et comperisset eum recipiendi visus valde cupidum, dat quod petit. Vide autem quam alienus sit ab arrogantia. Fides tua, inquit, salvum te fecit, credidisti enim quod ego sum ille filius David, qui celebratur Christus, et tantum præ te tulisti fervorem, ut quamvis increpavere, non silueris. Discamus autem ex hoc, quod quando cum fide petimus, non alia quidem nos petimus, et alia ipse dat, sed illa ipsa. Atque ita quoties alia petimus, et alia accipimus, manifestum quod non bene neque fideliter petimus. «Petitis enim, inquit, et non accipitis, eo quod male petatis. [94']» Vide insuper et potestatem: Recipe visum, inquit. Et quis prophetarum ita sa-

94 Joan. XII, 16. 94' Jac. IV, 3.

navit tali inquam 442 potestate? Unde et vox a vero lumine progressa, lumen cæco facta est. Vide insuper gratitudinem ejus qui sanatus est. Secutus est enim Jesum, glorificans Deum, factusque est et aliis glorificandi Deum auctor.

## CAPUT XIX.

*De Zacchæo. De illo qui profectus est accepturus regnum. De decem servis minas accipientibus. De pullo et asina. De lamentatione Jesu super Jerusalem. De fugatis e templo vendentibus et ementibus. De principibus sacerdotum et Scribis interrogantibus Dominum, in qua potestate hæc faceret.*

VERS. 1-10. « Et ingressus perambulabat Jericho. Et ecce vir nomine Zacchæus, a qne is princeps erat publicanorum, et idem erat dives, et quærebat videre Jesum quis esset, nec poterat præ turba, quod statura pusillus esset. Et præcurrens ascendit in arborem caprificum, ut videret eum : nam illac erat transiturus. Et cum venisset ad locum, suspiciens Jesus vidit illum, dixitque ad eum : Zacchæe, festinans descende, quia hodie domi tuæ oportet me manere. Et festinans descendit, et excepit illum gaudens. . Cumque viderent, omnes murmurabant, dicentes quod ingressus esset apud hominem peccatorem diversaturus. Stans autem Zacchæus dixit ad Dominum : Ecce dimidium bonorum meorum, Domine, do pauperibus : et si quid aliquem defraudavi, reddo quadruplum. Ait Jesus ad eum : Hodie salus domui huic contingit, eo quod et ipse filius sit Abrahæ. Venit enim Filius hominis quærere et servare quod perierat. » Hæc fortissima diaboli vasa rapit Dominus, et civitates ejus destruit. Vide enim quomodo non solum publicanos discipulos fecit, sed et Zacchæum principem publicanorum captivum ad salutem recipit. Quod publicanus quidem res abominabilis, princeps autem publicanorum multo magis, utpote in malitia princeps, nullus dubitat. Victum enim publicani non aliunde quam ex pauperum lacrymis habent. At neque publicanorum ille princeps despicitur, sed hospitium dat, et pro eo recipit salutem. Desiderabat enim videre Jesum. Et cum ascendisset in caprificium, priusquam videret, prius ipse spectatur a Jesu. Sic igitur omnibus in locis prævenit nos Dominus, tantum ut nos alacres et promptos videat. Ut autem eum vidit Jesus, urget ut descendat, eo quod in domo ejus mansurus erat. Et ille non erat segnis. Unde et nos paratos esse oportet quando Christus quippiam imperat. Sed et descendit, et suscipit gaudens, etiam si multi obmurmurent. Videamus autem quantum etiam 443 utilitatis accipiat in ingressu Christi. Dimidium bonorum meorum, inquit, do pauperibus. Vides alacritatem? Non parce seminare cœpit, neque pauca

A φῶς τῷ κάμνοντι γέγονεν ἡ φωνή, ἐκ φωτὸς τοῦ ἀληθινοῦ προϊοῦσα. Ὅρα δὲ καὶ τὴν εὐγνωμοσύνην τοῦ θεραπευθέντος. Ἠκολούθει γὰρ τῷ Ἰησοῦ, δοξάζων τὸν Θεὸν, καὶ ἑτέροις τοῦ δοξάζειν πρόφασις ὤν.

## ΚΕΦΑΛ. ΙΘʹ

Περὶ τοῦ Ζακχαίου. Περὶ τοῦ πορευθέντος ἑαυτῷ λαβεῖν βασιλείαν. Περὶ τῶν δέκα δούλων τῶν μνᾶς λαβόντων. Περὶ τοῦ πώλου καὶ τῆς ὄνου. Περὶ τοῦ κλαυθμοῦ τοῦ Ἰησοῦ ἐπὶ Ἱερουσαλὴμ. Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ πωλούντων καὶ ὠνουμένων. Περὶ τῶν ἀρχιερέων καὶ Γραμματέων ἐπερωτησάντων τὸν Κύριον, ἐν ποίᾳ δυνάμει ταῦτα ποιεῖ.

« Καὶ εἰσελθὼν διήρχετο τὴν Ἱεριχώ. Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν
B ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος, καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν, τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. Καὶ προδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομορέαν, ἵνα ἴδῃ αὐτὸν ὅτι δι' ἐκείνης ἔμελλε διέρχεσθαι. Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· Ζακχαῖε, σπεύσας κατάβηθι, σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. Καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων, καὶ ἰδόντες πάντες διεγόγγυζον λέγοντες, ὅτι, Παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. Σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς Κύριον· Ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, ὅτι Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς
C υἱὸς Ἀβραάμ ἐστιν· ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι, καὶ σῶσαι τὸ ἀπολωλός. » Αὐτὰ τὰ ἰσχυρότατα τῶν τοῦ διαβόλου σκευῶν ἁρπάζει ὁ Κύριος, καὶ τὰς πόλεις αὐτοῦ καθαιρεῖ. Ὅρα γὰρ ὅπως οὐ μόνον τελώνας μαθητὰς αὐτοῦ ἐποιήσατο, ἀλλὰ καὶ ἀρχιτελώνην τὸν Ζακχαῖον αἰχμαλωτίζει πρὸς σωτηρίαν. Ὅτι δὲ ὁ μὲν τελώνης βδελυκτὸν χρῆμα, ἀρχιτελώνης δὲ πολλῷ μᾶλλον, ὡς ἐν κακίᾳ ἄρχων, οὐδεὶς ἀμφιβάλλει· τοῖς τελώναις γὰρ ὁ βίος οὐδαμόθεν ἄλλοθεν, ἢ ἐκ δακρύων πτωχικῶν. Ἀλλ' οὐ παροπᾶται ὁ ἀρχιτελώνης οὗτος, ἀλλὰ μονὴν δίδωσι, καὶ ἀντιλαμβάνει τὴν σωτηρίαν (9). Ποθῶν γὰρ ἰδεῖν τὸν Ἰησοῦν, καὶ ἀναβὰς διὰ τοῦτο ἐπὶ τὴν συκομορέαν, πρὶν ἢ θεάσηται αὐτὸς, ὑπὸ τοῦ Κυρίου βλέπεται.
D Οὕτως ἄρα προφθάνει ἡμᾶς ὁ Θεὸς πανταχοῦ, μόνον εἰ προθυμουμένους ἴδοι. Ἰδὼν δὲ ὁ Ἰησοῦς αὐτὸν, ἐπισπεύδει τοῦ κατελθεῖν, ὡς ἐν τῷ οἴκῳ αὐτοῦ μεῖναι μέλλων. Ὁ δὲ οὐκ ἠμέλησε· δεῖ γὰρ μὴ ἀναδύεσθαι, ὅταν Χριστός τι προστάττῃ· ἀλλὰ καὶ κατέβη, καὶ ὑπεδέξατο χαίρων. Κἂν οἱ πολλοὶ διεγόγγυζον. Ἴδωμεν δὲ καὶ τί καρποφορεῖ ἐπὶ τῇ εἰσόδῳ τοῦ Χριστοῦ· Τὰ ἡμίση τῶν ὑπαρχόντων μοι δίδωμι, φησὶ, πτωχοῖς. Ὁρᾷς θερμότητα; Οὐ φειδομένως ἤρξατο σπείρειν, οὐδ' ὀλίγα τινὰ δέδωκεν, ἀλλὰ πάντα τὸν

Ex collatione codd. Venet. S Marci.

(9) Cod. 31. Ἀλλὰ μόνην προθυμίαν δίδωσι, καὶ ἀντιλαμβάνεται τὴν σωτηρίαν. κ. τ. λ. « Sed solam dat animi propensionem, et recipit salutem, » etc. — Vocem μόνην in μονὴν mutaverat corrector Venetus, ut aliquem eliceret sensum, cum nullus extundi posset ex mutilo textu. At, restita ex hoc codice voce, quæ exciderat, προθυμίαν, sensus recte se habet, ut ex versione liquet.

βίον. Καὶ αὐτὰ γὰρ ἃ ὑπεκράτησε, διὰ τὸ ἔχειν δοῦναι τοῖς ἀδικηθεῖσιν ὑπεκράτησε. Καὶ γὰρ διδάσκων ἡμᾶς, ὅτι οὐδὲν κέρδος, εἴπερ ἐξ ἀδικίας ἔχων χρήματά τις ἄλλους ἐλεεῖ, καταλιμπάνων τοὺς ἀδικηθέντας· ὅρα τί κἂν τούτῳ ποιεῖ· τετραπλοῦν ἀποδίδωσιν, εἴ τινά τι ἠδίκησεν, ἐκείνῳ αὐτῷ τῷ ἀδικηθέντι τὴν ζημίαν ἀποθεραπεύων· τοῦτο γὰρ ἀληθοῦς ἐλεημοσύνης· καὶ οὐχ ἁπλῶς τὴν ζημίαν, ἀλλὰ καὶ μετὰ προσθήκης· κατὰ τὸν νόμον. Ὁ γὰρ νόμος τὸν κλέπτην τετραπλοῦν ἀποτιννύειν ἐκέλευε. Καίτοι εἰ ἀκριβῶς σκοπήσομεν, οὐδὲν ὅλως αὐτῷ ὑπελείπετο τῶν χρημάτων. Δέδωκε μὲν γὰρ τὰ ἡμίση τῶν ὑπαρχόντων τοῖς πτωχοῖς· ὑπελείφθησαν δὲ αὐτῷ τὰ ἡμίση· ἐκ τούτων πάλιν τῶν ὑπολειφθέντων ἀπεδίδου τετραπλοῦν τοῖς παρ' αὐτοῦ ἀδικηθεῖσιν, ὥστε εἰ ὁ βίος τοῦ ἀρχιτελώνου ἐξ ἀδικίας, αὐτὸς δὲ πάντα ὅσα ἠδίκησε τετραπλασίως ἀποδίδωσι, σκόπει ὡς γεγύμνωται παντελῶς. Κἀντεῦθεν εὑρίσκεται τοῦ νόμου κρεῖττον φρονῶν, τῷ Εὐαγγελίῳ μαθητευόμενος, ὡς ὑπὲρ ἑαυτὸν ἀγαπήσας τὸν πλησίον, καὶ ὑπισχνούμενος μὲν ταῦτα, μᾶλλον δὲ ποιήσας. Οὐ γὰρ εἶπεν ὅτι, Δώσω τὰ ἡμίση, καὶ ἀποδώσω τὸ τετραπλοῦν, ἀλλ'. Ἰδοὺ δίδωμι καὶ ἀποδίδωμι. Ἤκουσε γὰρ τῆς τοῦ Σολομῶντος παραινέσεως· « Μὴ εἴπῃς, Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω σοι. » Ὁ Χριστὸς εὐαγγελίζεται αὐτῷ τὴν σωτηρίαν· Σήμερον, φησὶ, δίδως, σήμερόν σοι σωτηρία. Εἰπὼν γὰρ, Τῷ οἴκῳ τούτῳ, πάντως τὸν Ζακχαῖον δηλοῖ τὴν σωτηρίαν προσδεχόμενον. Ὁ γὰρ Ζακχαῖος διὰ τοῦ οἴκου δηλοῦται, ἐπεὶ ἄψυχον οἰκοδόμημα οὐκ ἂν υἱὸν Ἀβραὰμ ἔλεγεν, ἀλλὰ πρόδηλον ὅτι τὸν ἔμψυχον οἰκοδεσπότην· υἱὸν δὲ Ἀβραὰμ αὐτὸν ὠνόμασε, τάχα μὲν καὶ ὡς πιστεύσαντα, καὶ δικαιωθέντα ἐκ πίστεως, τάχα δὲ καὶ ὡς περὶ τὰ χρήματα μεγαλόψυχον καὶ φιλόπτωχον, οἷος ἦν ἐκεῖνος ὁ πατριάρχης. Ὅρα δὲ, ὅτι νῦν εἶπεν υἱὸν Ἀβραὰμ τὸν Ζακχαῖον, ὅτι τὴν ἐκ τοῦ τρόπου εἶδεν ἐν αὐτῷ ὁμοιότητα. Οὐ γὰρ εἶπεν ὅτι Καθότι καὶ αὐτὸς υἱὸς Ἀβραὰμ ἦν, ἀλλ' ὅτι ἐστὶ νῦν· πρώην γὰρ, ὅτε ἀρχιτελώνης ἦν καὶ φορολόγος, οὐδεμίαν ὁμοιότητα ἔχων πρὸς τὸν δίκαιον, οὐκ ἦν υἱός. Ἐπεὶ δὲ καὶ ἐγόγγυζόν τινες, ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ καταλύει, πρὸς τὸ ἐπιστομίσαι τούτους, φησίν· Ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι, καὶ σῶσαι τὸ ἀπολωλός. Ταῦτα μὲν τὰ τοῦ ῥητοῦ. Ῥᾴδιον δ' ἐστὶ καὶ ἄλλως ἐκλαβέσθαι εἰς ἠθικὴν ὠφέλειαν ταῦτα· πᾶς γὰρ ὁ ἄρχων ἐν κακίᾳ πολλῶν, μικρός ἐστι τὴν πνευματικὴν ἡλικίαν, ἀντίκειται γὰρ σὰρξ καὶ πνεῦμα, καὶ διὰ τοῦτο οὐ δύναται ἰδεῖν τὸν Ἰησοῦν ἀπὸ τοῦ ὄχλου· ὑπὸ τῶν παθῶν ὀχλούμενος, καὶ ὑπὸ πραγμάτων βιωτικῶν, οὐ δύναται ὁρᾷν τὸν Ἰησοῦν ἐνεργοῦντα, καὶ κινούμενον, καὶ περιπατοῦντα. Ὁ γὰρ τοιοῦτος οὐδεμίαν ἐνέργειαν ἐπιγινώσκει Χριστιανῷ πρέπουσαν· τοῦτο γὰρ ἐστι τὸ βαδίζειν τὸν Ἰησοῦν, τουτέστι, τὸ πράττειν τι ἐν ἡμῖν τὸν Χριστόν. Ἀλλ' ὁ τοιαῦτος ἄνθρωπος ὁ μηδέποτε ἰδὼν τὸν Ἰησοῦν βαδίζοντα, ἀλλὰ πάσης πράξεως Χριστῷ ἁρμοζούσης ἀνεπαίσθητος, ἐκ μεταμελείας εἰς συν-

quædam dedit,sed omnia ad vitam necessaria.Nam et illa quæ retinuit,ut haberet quod injuria affectis daret, retinuit. Docet enim nos nullum esse lucrum,si quidam ex injustitia pecunias habens,aliis misereatur, relictis illis quos injuria affecerat. Et vide quomodo in hoc se gerat. Quadruplum reddit si quem defraudavit, ut illius cui injuria facta, damnum resarciatur. Hæc enim vera eleemosyna est,ut non reddatur solum damnum simplex,sed et cum augmento,juxta legem. Lex enim furem quadruplum reddere jubebat Quamvis si diligenter consideremus, nullæ prorsus pecuniæ ei relictæ sunt.Dedit enim dimidium bonorum pauperibus.Relictæ autem sunt dimidiatæ,et ex his relictis dedit quadruplum his qui a se injuria erant affecti:et ita si bona principis publicanorum ex injustitia,ipse autem omnia quæcunque injuste abstulit,quadrifariam reddidit,considera quomodo omnino fuerit nudatus. Et hinc comperitur quod sublimius sapuerit quam lex præcipiebat,nunc eruditus ex Evangelio:quia dilexit proximum plus quam se, talia promittens,imo faciens.Non enim dixit: Dabo dimidium,et reddam quadruplum:sed : **Ecce do,et reddo.** Audierat enim Salomonis admonitionem: «Ne dicas,Rediens redi,et cras dabo[95].» Christus evangelizat ei salutem:Hodie enim,inquit,das,hodie tibi et salus.Dicendo enim, Domui huic,omnino Zacchæum significat,qui salutem accepit.Zacchæus enim per domum significatur.Etenim inanimatam domum non dicebat filium Abrahæ : sed manifestum quod animatum patrem familias filium Abrahæ nominarit:fortassis et quod crediderat, justificatusque erat ex fide : fortassis quod in dispensandis opibus magnanimus,et pauperum amator, qualis erat patriarcha ille. Vide insuper quod et nunc dicit filium Abrahæ Zachæum,cum morum similitudinem in se ostendit. Neque enim dixit, Eo quod et ipse Abrahæ filius fuerit, sed quod nunc sit.Prius enim cum princeps publicanorum et exactor esset, nihilque ei in justitia cum Abraham commune esset,non erat filius. niam autem etobmurmurabant quidam quod apud peccatorem hominem divertisset, ad confutandos eos,inquit : Venit enim Filius hominis quærere et salvare quod perierat. Et hoc quidem juxta historiam.Facile autem et aliter hæc exponere licet in utilitatem moralem. Omnis enim princeps multorum in malitia, parvus est spirituali statura, contraria enim sunt caro et spiritus : et **444** propterea non potest videre Jesum præ turba. Qui enim a sæcularibus negotiis et affectionibus turbatur, non videt Jesum operantem, et moventem,et ambulantem.Nam qui talis est,nullam experitur operationem Christiano dignam Hoc est enim ambulare Jesum, operari Christum aliquid in nobis. At talis homo qui nunquam vidit Jesum ambulantem, neque sensit ullam operationem Christo congruam, sæpe per pœnitentiam venit in conscientiam

95 Prov. III, 28.

et ascendit in caprificum, omnem voluptatem ac A dulcedinem, quæ per ficum insinuatur, infatuans et mortificans. Et sic excelsior se factus, ascensionesque in corde suo ponens, videtur a Jesu, et videt. Dicitque ad illum Dominus: Festina, descende, hoc est, Ascendisti per pœnitentiam in sublimiorem vitam, descende per humilitatem. Non te supplantet superbus sensus: festina, humiliare. Si enim humiliatus fueris, in domo tua oportet me manere. Necesse enim, inquit, ut ego maneam in domo humilis: « Ad quem enim respiciam quam super mansuetum, et quietum, et trementem sermones meos 96? » Etenim qui talis est, dimidium bonorum suorum dat pauperibus dæmonibus. Duplicia enim sunt bona nostra, corporis dico, et animæ. Omnia corporalia concedit justus vere pauperibus, omnique bono destitutis dæmonibus. Animæ autem bona non B dispendit, id quod et de Job Dominum dicentem audivimus: Verumtamen animam ejus ne tetigeris. Sed et si quem defraudavit, reddit quadruplum. Insinuatur igitur per hoc quod omnis qui per pœnitentiam viam vadit contrariam priori malitiæ, per quatuor virtutes omnia quæ prius peccata sunt, sanat: et sic accipit salutem, filiusque nominatur Abrahæ, eo quod et ipse egressus sit de terra sua, et cognatione prioris malitiæ, et de domo patris sui, hoc est, extra seipsum factus, et negans seipsum. Domus enim patris sui diaboli ipse erat. Igitur extra seipsum factus et alienatus salutem sicut Abraham consequitur.

αἴσθησιν ἔρχεται πολλάκις, καὶ ἀναβαίνει ἐπὶ συκομωρέαν, πᾶσαν ἡδονὴν καὶ γλυκύτητα, ἥτις διὰ τῆς συκῆς δηλοῦται, μωραίνων καὶ ἀπονεκρῶν, καὶ οὕτως ὑψηλότερος ἑαυτοῦ γενόμενος, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος, ὁρᾶται ὑπὸ τοῦ Ἰησοῦ, καὶ ὁρᾷ, καί φησι πρὸς αὐτὸν ὁ Κύριος, Σπεύσας κατάβηθι, τουτέστιν, Ἀνέβης διὰ τῆς μετανοίας ἐφ' ὑψηλότερον βίον, κατάβηθι διὰ τῆς ταπεινοφροσύνης, μή σε ὑποσκελίσῃ ἡ ὑψηλοφροσύνη. Σπεῦσον, ταπεινώθητι. Ἐὰν γὰρ ταπεινωθῇς, ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι· ἀναγκαῖον γάρ, φησίν, ἐστὶ τὸ ἐν τῷ οἴκῳ τοῦ ταπεινοῦ μένειν με. « Ἐπὶ τίνα γὰρ ἐπιβλέψω, ἢ ἐπὶ τὸν πρᾷον καὶ ἡσύχιον καὶ τρέμοντα τοὺς ἐμοὺς λόγους; » Ὁ τοιοῦτος καὶ τὰ ἡμίση τῶν ὑπαρχόντων δίδωσι τοῖς πτωχοῖς δαίμοσι. Διττῶν γὰρ ὄντων ἡμῖν τῶν ὑπαρχόντων, σωματικῶν φημι, καὶ ψυχικῶν· τῶν μὲν σωματικῶν πάντων παραχωρεῖ ὁ δίκαιος τοῖς πτωχοῖς τῷ ὄντι, καὶ παντὸς ἀγαθοῦ ἐστερημένοις δαίμοσι· τῶν δὲ ψυχικῶν οὐχ ὑπεξίσταται, ὃ καὶ ἐπὶ τοῦ Ἰὼβ ἔγνωμεν τὸν Κύριον λέγοντα, Πλὴν τῆς ψυχῆς αὐτοῦ μὴ ἅψῃ. Ἀλλὰ καὶ εἴ τινός τι ἐσυκοφάντησε, τετραπλοῦν ἀποτίνυσιν. Αἰνίττεται δὲ διὰ τούτου, ὅτι πᾶς ὁ διὰ μετανοίας τὴν ἐναντίαν τῇ προτέρᾳ κακίᾳ ὁδὸν ἐρχόμενος, διὰ τῶν τεσσάρων ἀρετῶν πάντα τὰ πρότερον ἁμαρτηθέντα ἐξιᾶται, καὶ οὕτως λαμβάνει τὴν σωτηρίαν, καὶ Ἀβραὰμ υἱὸς ὀνομάζεται, ὡς καὶ αὐτὸς ἐξελθὼν ἐκ τῆς γῆς αὐτοῦ, καὶ ἐκ τῆς συγγενείας τῆς προτέρας κακίας, καὶ ἔξω τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, τουτέστιν, ἔξω ἑαυτοῦ γεγονώς, καὶ ἀπαρνησάμενος ἑαυτόν. Οἶκος γὰρ τοῦ πατρὸς αὐτοῦ τοῦ διαβόλου αὐτὸς ἦν. Ἔξω τοίνυν ἑαυτοῦ γεγονώς, καὶ ἀλλοιωθεὶς, σωτηρίας τυγχάνει κατὰ τὸν Ἀβραάμ.

VERS. 11-14. « Hoc, illis audientibus, adjiciens C dicit parabolam, eo quod esset prope Hierosolymam, quodque existimarent fore ut confestim regnum Dei manifestaretur. Dixit ergo: Homo quidam generosus profectus est in regionem longinquam, ut acciperet sibi regnum, ac reverteretur. Vocatis autem decem servis suis, dedit eis decem minas, et ait ad illos: Negotiamini donec veniam. Cives autem ejus oderant eum, miseruntque legationem post illum, dicentes: Nolumus hunc regnare super nos. » Videtur mihi quod homines illi audientes regnum Dei, illud supicabantur temporale esse a Deo datum in libertatem Hebraici generis: idcirco et suspicabantur quod Jesus ascendens in Jerusalem, 445 sumpturus esset hoc regnum. Dominus autem monstrat eis quod insipientia quædam D dicant, non enim temporale regnum ejus; interea et hoc declarat, quod ut Deus cogitationes eorum sciat: unde et hanc parabolam dicit, et hominem generosum se introducit. Nam licet homo fuerit, mansit tamen in fastigio et nobilitate deitatis. Perfecto autem mysterio dispensationis in carne, in regionem longinquam, cœlum dico, profectus est, ut acciperet sibi regnum, hoc est, ut quasi et secundum quod homo sederet in dextra

« Ἀκουόντων δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπε παραβολήν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἱερουσαλήμ, καὶ δοκεῖν αὐτούς, ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία τοῦ Θεοῦ ἀναφαίνεσθαι. Εἶπεν οὖν· Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακράν, λαβεῖν ἑαυτῷ βασιλείαν, καὶ ὑποστρέψαι, καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς δέκα μνᾶς, καὶ εἶπε πρὸς αὐτούς, Πραγματεύσασθε, ἕως ἔρχομαι. Οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτόν, καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ λέγοντες, Οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ' ἡμᾶς. » Δοκεῖ μοι, ὅτι οἱ ἄνθρωποι οὗτοι ἀκούοντες βασιλείαν Θεοῦ, αἰσθητὴν ταύτην ὑπελάμβανον παρὰ Θεοῦ εὐδοκηθεῖσαν ἐπὶ ἐλευθερίᾳ τοῦ Ἑβραϊκοῦ γένους, διὸ καὶ ὑπενόουν, ὅτι ὁ Ἰησοῦς ἀνερχόμενος εἰς Ἱερουσαλήμ, λήψεται ταύτην τὴν βασιλείαν. Ὁ δὲ Κύριος δεικνύων αὐτοῖς, ὅτι ἀνόητά τινα λογίζονται, οὐ γὰρ αἰσθητὴ ἡ βασιλεία αὐτοῦ· ἅμα δὲ καὶ ἐμφαίνων, ὅτι Θεὸς ὢν οἶδε τοὺς διαλογισμοὺς αὐτῶν, λέγει ταύτην τὴν παραβολήν, ἄνθρωπον μὲν εὐγενῆ παρεισάγων ἑαυτόν. Κἂν γὰρ ἄνθρωπος γέγονεν, ἀλλὰ μεμένηκεν ἐν τῷ ὕψει, καὶ τῇ εὐγενείᾳ τῆς θεότητος, συμπεράνας δὲ τὸ τῆς μετὰ σαρκὸς οἰκονομίας μυστήριον, εἰς χώραν μακράν, τὸν οὐρανόν, φημί, ἀναπεφοίτηκεν, ὡς ἂν λάβῃ βασιλείαν ἑαυτῷ, τουτέστιν, ὡς ἂν καὶ καθὸ ἄνθρωπος

96 Isa. LXVI, 2.

καθίσει ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν A ὑψηλοῖς μετὰ σαρκός. Ὡς μὲν γὰρ Θεὸς, ἀεὶ συνεδριάζων ἦν τῷ Πατρὶ, ὡς δὲ ἄνθρωπος τότε ἐκάθισεν, ὅταν ἀνελήφθη περιμένων, ἕως οὗ τεθῶσιν οἱ ἐχθροὶ ὑπὸ τοὺς πόδας αὐτοῦ. Τοῦτο δὲ ἔσται ἐν τῇ συντελείᾳ, ὅτε τὰ πάντα καὶ ἄκοντα ὑποταγήσεται αὐτῷ πιστεύσαντα, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. Πολῖται δὲ αὐτοῦ εἰσιν οἱ Ἰουδαῖοι μισοῦντες αὐτόν. Ἑωράκασι γὰρ, φησὶν, καὶ μεμισήκασι καὶ ἐμέ, καὶ τὸν Πατέρα μου, οἳ οὐκ ἠθέλησαν αὐτὸν ἐπ' αὐτοὺς βασιλεῦσαι. Διὸ καὶ ἔλεγον πρὸς Πιλάτον ἀρνούμενοι τὴν βασιλείαν αὐτοῦ· « Οὐκ ἔχομεν βασιλέα· » καὶ πάλιν· « Μὴ γράφε, Ὁ βασιλεὺς τῶν Ἰουδαίων. » Καίτοι Ζαχαρίας βοᾷ· « Χαῖρε σφόδρα, θύγατερ Σιὼν, ὅτι Βασιλεύς σου ἔρχεταί σοι B δίκαιος, καὶ σώζων· » καὶ Ἡσαΐας· « Ἰδοὺ δὲ βασιλεὺς δίκαιος βασιλεύσει· » καὶ Δαυΐδ « Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ. » Οἱ μὲν οὖν Ἰουδαῖοι ἐμίσησαν τὸν Κύριον, ὁ δὲ τοῖς δούλοις αὐτοῦ δέκα μνᾶς δέδωκε. Δοῦλοι δὲ αὐτοῦ οἱ ἐν τῇ Ἐκκλησίᾳ διακονίας πεπιστευμένοι, δέκα λεγόμενοι εἶναι, διὰ τὸ τέλειον τῆς ἐκκλησιαστικῆς προστασίας. Ἡ γὰρ ἐν τῇ Ἐκκλησίᾳ τάξις τελείαν ἔχει τὴν τῶν προεστώτων διακόσμησιν, καὶ οὔτε πλείονας ἔδει εἶναι, οὔτε ἐλάττονας. Οἷον, λόγου χάριν, τρία ταῦτα ὁρῶμεν ἐν τῇ Ἐκκλησίᾳ, κάθαρσιν, φωτισμὸν, καὶ τελείωσιν· τρία καὶ τὰ ταύτας τὰς ἐνεργείας κληρωσάμενα τάγματα· οἱ διάκονοι καθαίρουσι διὰ κατηχήσεως καὶ διδασκαλίας, οἱ πρεσβύτεροι φωτίζουσι διὰ τοῦ βαπτίσματος, οἱ ἀρχιερεῖς καὶ ἱερατικὰς τάξεις καθιστῶσι καὶ τελειοῦσιν, ὅ ἐστι, χειροτονοῦσιν. Ὁρᾷς C τὰ τάγματα πρὸς τὰς ἐνεργείας, καὶ οὔτε πλείω, οὔτε ἐλάττω, τὰ τῶν προεστώτων φημί; Τούτοις οὖν τοῖς δούλοις διαμένει δέκα μνᾶς, τὰ χαρίσματά φημι, ἃ ἑκάστῳ δίδοται πρὸς τὸ συμφέρον. Πᾶς γὰρ ὁ προστασίαν ἐγχειρισθεὶς, κἂν ἀνάξιος ᾖ, χάρισμα ἔχει ἐξ αὐτῆς τῆς χρίσεως, καὶ ἔστι τοῦτο μέγα ὄντως τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ οἰκονομίας μυστήριον.

« Καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν, εἶπε φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους, οἷς ἔδωκε τὸ ἀργύριον, ἵνα γνῷ τίς τί διεπραγματεύσατο. Παρεγένετο δὲ ὁ πρῶτος λέγων· Κύριε, ἡ μνᾶ σου προσειργάσατο δέκα μνᾶς. Καὶ εἶπεν αὐτῷ· Εὖ, δοῦλε ἀγαθὲ, ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων. Καὶ D ἦλθεν ὁ δεύτερος λέγων· Κύριε, ἡ μνᾶ σου ἐποίησε πέντε μνᾶς. Εἶπε δὲ καὶ τούτῳ· Καὶ σὺ γίνου ἐπάνω πέντε πόλεων. Καὶ ἕτερος ἦλθε λέγων· Κύριε, ἰδοὺ ἡ μνᾶ σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ· ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ, αἴρεις ὃ οὐκ ἔθηκας, καὶ θερίζεις ὃ οὐκ ἔσπειρας. Λέγει δὲ αὐτῷ· Ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε. Ἤδεις, ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, αἴρων ὃ οὐκ ἔθηκα, καὶ θερίζων ὃ οὐκ ἔσπειρα, καὶ διὰ τί οὐκ ἔδωκας τὸ ἀργύριόν μου ἐπὶ τράπεζαν, καὶ ἐγὼ ἐλθὼν, σὺν τόκῳ ἂν ἔπραξα αὐτό; Καὶ τοῖς

throni magnificentiæ in excelsis cum carne. Etenim sicut Deus, semper considens fuit Patri: sicut homo autem tunc sedit, quando assumptus est, permanens donec ponantur inimici ejus sub pedes ejus. Hoc autem erit in consummatione, quando omnia etiam quæ nolunt, subjicientur ei, credentia quod Dominus Jesus Christus in gloria Dei Patris. Cives autem ejus sunt Judæi, odio habentes illum. Viderunt enim, inquit, et odio habuerunt et me, et Patrem meum, et noluerunt eum super se regnare : unde et dicebant ad Pilatum, negantes regnum ejus : « Non habemus regem; » et iterum: « Ne scribas, Rex Judæorum. » Quamvis Zacharias dicat : «Gaude valde, filia Sion, quia rex tuus veniet tibi justus et salvus [97]; » atque Isaias : «Ecce rex justus regnabit; » insuper et David: «Ego autem constitutus sum rex ab eo. » Judæi sane odio habuerunt Dominum. Porro Dominus dedit servis decem minas. Servi autem illi sunt hi quibus in Ecclesia ministerium concreditum est; decem dicuntur esse, propter perfectionem ecclesiasticæ præsidentiæ. Ordo enim in Ecclesia perfectam præsidentium dispositionem habet, et neque plures oportebat esse, neque pauciores: ut exempli gratia tria hæc videmus esse in Ecclesia, purgationem, illuminationem, et perfectionem. Operationes etiam illas, tres sortiti sunt ordines. Diaconi purgant per instructionem et doctrinam, presbyteri illuminant per baptismum, episcopi sacerdotales ordines constituunt et perficiunt, hoc est, ordinant. Vides ordines cum operationibus, et neque plures, neque pauciores, præsidentium inquam ordines. Illis igitur servis distribuit decem minas, hoc est, dona quæ unicuique data sunt in utilitatem. Omnis enim cuicunque concredita est præsidentia, etiam si indignus fuerit, donum habet ex unctione sua, id quod magnum divinæ misericordiæ sacramentum est.

VERS. 15-28. « Et factum est ut rediret, accepto regno, misitque vocare servos illos ad se, quibus dederat pecuniam, ut sciret quantum quisque negotiatus esset. Venit autem primus dicens: Domine, mina tua decem minas acquisivit. Et ait illi : Euge, 446 bone serve : quia in minimo fuisti fidelis, habeto potestatem super decem civitates. Et alter venit dicens : Domine, mina tua confecit quinque minas. Et huic ait : Et tu præfectus esto quinque civitatibus. Et alius venit dicens : Domine, ecce mina tua quam habui repositam in sudario : timui enim te, quod homo austerus sis : tollis quod non posuisti, et metis quod non seminasti. Dicit ei : De ore tuo te judicabo, serve male. Sciebas quod ego homo austerus sim, tollens quod non posui, et metens quod non seminavi : et quare non dedisti pecuniam meam ad mensam, et ego veniens cum usuris utique exegissem illam? Et

97 Psal. II, 18

astantibus dixit: Auferte ab illo minam, et date illi qui decem minas habet. Et dixerunt ei: Domine, habet decem minas. Dico vobis, quod omni habenti dabitur, ab eo autem qui non habet, etiam quod habet, auferetur. Quin inimicos meos illos qui noluerunt me regnare super se, adducite, huc, et interficite ante me. Et his dictis ibat pergens ascendere Hierosolymam. » Cum rediturus est Christus generosus ille et secundum humanam naturam, ex regio enim genere descendit Dominus, et secundum divinam, hoc est, in secundo ejus adventu, quando apparebit rex cum angelis in gloria Patris veniens, et omne genu flectetur ei: tunc sane ad rationem adiget, eos qui dona acceperunt, et invenietur unus quidem multis profuisse, et decuplicasse donum, alius autem profuisse quidem et ipse, sed paucioribus profuisse: alius autem nemini profuisse, sed ignaviter transivisse negotiationis tempus. Proinde qui decuplicavit quod acceperat, super decem civitates constituitur, hoc est, multiplices retributiones accipit: et alius deinceps juxta suam recipit proportionem. Qui autem nihil lucratus fuit, condemnatur. Videamus autem et quid dicat: Domine, ecce mina tua, accipe eam, habui enim istam in sudario reconditam. Dominus mortuus sudario involutus fuit, et Lazari facies in sepulcro sudario obvoluta fuit[98] Merito igitur ignavus ille in sudario inquit reconditum fuisse donum. Mortuum enim illud fecerat, et inefficax, non evolvens, neque lucrum faciens. Timebam enim te, inquit, quia tollis quod non posuisti. Talia multi prætexunt. Nolentes enim ullis prodesse, dicunt: Ubi non seminavit Deus bonam indolem et aptitudinem, illinc ne requires messem. Illum non fecit industrium, et ad doctrinam idoneum, et quid a me exigitur ut inde fructum faciam? Idcirco Dominus dicit: Tu doce, et depone pecuniam meam apud mensarios, hoc est, apud omnes homines, qui propositi sunt ut percipiant utilitatem. Omnis enim homo mensarius a Deo ordinatus
447 est, ut in hujus mundi officina magna negocietur. Et ego veniens exegissem illud, hoc est, repetiissem, cum usura. Oportet igitur et nos quod nostrum est facere: alios autem Dominus judicabit, si noluerint utilitatem inde percipere. Tollitur igitur donum, et datur bono negotiatori. Nam licet is habeat, propter istud ipsum tamen magis debet plura accipere. Habenti enim dabitur, hoc est, ei qui ex negotiatione boni multa lucratus fuerit, illi dabitur et amplius. Nam si parva in decupla fecit crescere, manifestum quod et plura decuplicabit, majoris lucri auctor domino futurus. A negligente autem et ignavo, et cui non est studium ut crescat et augeatur quod acceperat, et istuc ipsum quod habet tolletur, ut ne res dominica frustra vacet, quæ dari potest alteri, et multiplicari. Hæc non solum de sermone et doctrina exponimus, sed et de

98 Joan. XI.

A παρεστῶσιν εἶπεν· Ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν, καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι. Καὶ εἶπον αὐτῷ· Κύριε, δέκα μνᾶς ἔχει. Λέγω ὑμιν, ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. Πλὴν τοὺς ἐχθρούς μου ἐκείνους τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτοῖς, ἀγάγετε ὧδε, καὶ κατασφάξατε ἔμπροσθέν μου. Καὶ εἰπὼν ταῦτα, ἐπορεύετο ἔμπροσθεν, ἀναβαίνων εἰς Ἱεροσόλυμα. » Ἐν τῷ ἐπανέρχεσθαι αὐτὸν, ὁ Χριστὸς ὁ εὐγενὴς, καὶ κατὰ τὸ ἀνθρώπινον, ἐκ βασιλικοῦ γὰρ γένους κατήγετο ὁ Κύριος, καὶ κατὰ τὸ θεῖον, τουτέστιν, ἐν τῇ δευτέρᾳ αὐτοῦ ἐλεύσει, ὅτε φανήσεται βασιλεὺς μετὰ τῶν ἀγγέλων ἐν τῇ δόξῃ τοῦ Πατρὸς ἐρχόμενος, καὶ πᾶν γόνυ B κάμψει αὐτῷ, τότε δὴ, τότε καὶ τοὺς τὰ χαρίσματα δεξαμένους δούλους λογοπραγεῖ, καὶ εὑρίσκονται, ὁ μὲν πολλοὺς ὠφελήσας, καὶ δεκαπλασιάσας τὸ χάρισμα, ὁ δὲ ὠφελήσας μὲν καὶ αὐτὸς, ἐλάττους δὲ, ὁ δὲ μηδ' ὅλως ὠφελήσας τινὰ, ἀλλ' ἐν ῥαθυμίᾳ δαπανήσας τὸν καιρὸν τῆς πραγματείας. Διὸ ὁ μὲν δεκαπλασιάσας ὃ ἔλαβεν, ἐπάνω δέκα πόλεων καθίσταται, τουτέστιν, ἀρχὴν δέκα πόλεων λαμβάνει, ὅ ἐστι, πολλαπλασίους τὰς ἀμοιβὰς δέχεται. Καὶ ὁ ἐφεξῆς κατὰ τὴν ἀναλογίαν. Ὁ δὲ μηδὲν κερδάνας, κατακρίνεται. Ἴδωμεν δὲ καὶ τί φησι· Κύριε, ἰδοὺ ἡ μνᾶ σου, λάβε ταύτην· εἶχον γὰρ ταύτην ἐν σουδαρίῳ ἀποκειμένην. Νεκρῷ ὄντι τῷ Κυρίῳ σουδάριον περιετέθη, καὶ τοῦ Λαζάρου ἐν τῷ τάφῳ ἡ ὄψις C σουδαρίῳ περιεκαλύπτετο· εἰκότως οὖν ὀκνηρὸς οὗτος σουδαρίῳ φησὶν ἐναποθεῖναι τὸ χάρισμα νεκρὸν γὰρ αὐτὸν ποιήσας καὶ ἀνενέργητον, οὐκ ἐπεξειργάσατο, οὐδὲ κεκέρδηκεν. Ἐφοβούμην γάρ σε, φησὶν, ὅτι αἴρεις ὃ οὐκ ἔθηκας. Τοιαῦτα πολλοὶ προφασίζονται· μὴ θέλοντες γὰρ ὠφελῆσαι τινας, φασὶν, ὅτι Ὅπου οὐκ ἔσπειρεν ὁ Θεὸς εὐφυΐαν, καὶ ἐπιτηδειότητα, ἐκεῖθεν μὴ ζήτει θέρος. Τὸν δεινὰ οὐκ ἐποίησεν εὐφυᾶ καὶ πρὸς μάθησιν ἐπιτήδειον, καὶ τί με ἀπαιτεῖ τὴν ἐκείνου ὠφέλειαν; Διὸ καὶ ὁ Κύριός φησι· Σὺ δίδαξον, καὶ κατάβαλε τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, τουτέστι, πᾶσι τοῖς πρὸς τὸ ὠφελεῖσθαι προκειμένοις ἀνθρώποις. Πᾶς γὰρ ἄνθρωπος τραπεζίτης ὑπὸ Θεοῦ προκεχείρισται, ὥστε ἐν τῷ μεγάλῳ τοῦ κόσμου τούτου ἐργαστηρίῳ πραγματεύεσθαι. Καὶ ἐγὼ ἐλθὼν, ἔπραξα ἂν αὐτὸ, τουτ- D έστιν, ἀπῄτησα σὺν τόκῳ. Δεῖ μὲν γὰρ ἡμᾶς τὸ οἰκεῖον ποιεῖν, περὶ δὲ τῶν μετέπειτα, Θεὸς κρινεῖ τοὺς μὴ θελήσαντας ὠφεληθῆναι. Αἴρεται οὖν τὸ χάρισμα, καὶ δίδοται τῷ ἀγαθῷ πραγματευτῇ· κἂν γὰρ ἔχῃ, μᾶλλον δι' αὐτὸ τοῦτο ὀφείλει πλείω προσλαβεῖν. Τὸ γὰρ ἔχοντι δοθήσεται, τουτέστι, τῷ ἐκ τοῦ καλῶς πραγματεύσασθαι πολλῶν εὐπορήσαντι, ἐκείνῳ δοθήσεται καὶ πλείω. Εἰ γὰρ τὰ ὀλίγα ηὔξησε δεκαπλασιάσας, πρόδηλον ὅτι τὰ πλείω δεκαπλασιάζων, πλείονος κέρδους πρόξενος τῷ δεσπότῃ ἔσεται. Ἀπὸ δὲ ἀμελοῦς καὶ ὀκνηροῦ, καὶ μὴ αὐξῆσαι σπουδάσαντος ὃ ἔλαβε, καὶ αὐτὸ ἐκεῖνο, ὃ ἔχει, ἀρθήσεται, ἵνα μὴ ἀργῇ τὸ δεσποτικὸν πρᾶγμα, δυνατὸν ὂν δοθῆναι

ἑτέρῳ, καὶ πολυπλασιασθῆναι. Ταῦτα δὲ μὴ μόνον ἐπὶ τοῦ λόγου, καὶ τῆς διδασκαλίας ἐκλαμβάνομεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἠθικῶν ἀρετῶν. Καὶ γὰρ κἂν ταύταις δέδωκεν ἡμῖν ὁ Θεὸς χαρίσματα, τῷ μὲν νηστείας, τῷ δὲ ἐλεημοσύνης, τῷ δὲ πραότητος, τῷ δὲ ἀτυφίας. Κἂν μὲν νήφωμεν, πολυπλασιάζομεν ταῦτα· ἂν δὲ ῥᾳθυμῶμεν, καὶ ἀπονεκρωθῶμεν τῇ προαιρέσει, ὕστερον αἰτιασόμεθα τὸν Θεὸν, ὡς εἰώθαμεν λέγειν, Καὶ τί ποιήσω; Ἐὰν ὁ δεῖνα ᾖ ἅγιος, θέλει ὁ Θεὸς, καὶ ἔστιν ἅγιος· ἐμὲ οὐ θέλει, καὶ οὐκ εἰμί. Καὶ ἐκεῖνος Πέτρος ἦν, ἐκεῖνος Παῦλος. Ἀνόητε ἄνθρωπε, ἡ μνᾶ αὕτη Πέτρον σε ποιεῖ καὶ Παῦλον. Ἔργασαι δὲ κατὰ δύναμιν, καὶ προσάγαγέ τι τῷ δεδωκότι, κἂν μὴ ὅσον ὁ Πέτρος, καὶ Παῦλος· σὺ δὲ τὰ αὐτὰ τῷ Πέτρῳ καὶ τῷ Παύλῳ δεξάμενος· κἀκεῖνος γὰρ μνᾶν, καὶ σὺ μνᾶν ἔπειτα μηδὲ κινηθεὶς ὅλως εἰς ἐργασίαν τοῦ καλοῦ αἰτιᾷ τὸν Θεόν; Διὰ τοῦτο ἀνάξιοι εὑρισκόμενοι τῶν χαρισμάτων, ἀπογυμνούμεθα τούτων. Τοὺς δὲ ἐχθρούς μου, φησὶ, τοὺς μὴ θέλοντάς με βασιλεῦσαι, ἀγάγετε ὧδε, καὶ σφάξατε· τοὺς Ἰουδαίους φησὶν, οὓς καταφθορᾷ παραδώσει, εἰς τὸ πῦρ τὸ ἐξώτερον παραπέμπων αὐτούς. Καὶ μέντοι οὗτοι οἱ ἄθλιοι κἀνταῦθα, ἐν τῷ κόσμῳ τούτῳ φημὶ, κατεσφάγησαν ὑπὸ τῶν Ῥωμαϊκῶν στρατευμάτων, τηρούμενοι καὶ φυλαττόμενοι τῇ ἐκεῖ σφαγῇ.

« Καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηθφαγῆ, καὶ Βηθανίαν πρὸς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν, ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ εἰπών· Ὑπάγετε εἰς τὴν κατέναντι κώμην, ἐν ᾗ εἰσπορευόμενοι, εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε, ἀνθρώπων ἐκάθισε· λύσαντες αὐτὸν ἀγάγετε, καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, Διατί λύετε; οὕτως ἐρεῖτε αὐτῷ, ὅτι Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει. Ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι, εὗρον καθὼς εἶπεν αὐτοῖς. Λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς· Τί λύετε τὸν πῶλον; Οἱ δὲ εἶπον· Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει. Καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν, καὶ ἐπιῤῥίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν. Πορευομένου δὲ αὐτοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ. Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν Ἐλαιῶν, ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες, αἰνεῖν τὸν Θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν, ὧν εἶδον δυνάμεων. λέγοντες· Εὐλογημένος ὁ ἐρχόμενος Βασιλεὺς ἐν ὀνόματι Κυρίου. Εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις. Καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτόν· Διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου. Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Λέγω ὑμῖν, ὅτι ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. » Δύο ἐν ταυτῷ ὁ Κύριος ὑποδηλῶν ἐπὶ τοῦ πώλου καθίζει· ἓν μὲν. πληρῶν προφητείαν τὴν λέγουσαν, Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ ὄνου· ἕτερον δὲ, τροπικῶς ἡμῖν αἰνιττόμενος, ὅτι ἐπιβήσεται ἐπὶ τὸν νέον, καὶ ἀκάθαρτον, καὶ ἀδάμαστον ἐθνικὸν λαόν. Οὐ γὰρ δήπου διὰ τὸ τῆς ὁδοῦ μῆκος ἐδεῖτο τοῦ ὑποζυγίου· ὁ γὰρ πᾶσαν Γαλιλαίαν καὶ Ἰουδαίαν πεζῇ περιερχόμενος, πῶς ἂν ἀπὸ Βηθανίας εἰς Ἱερουσαλὴμ διϊὼν, ἐδεήθη τοῦ πώλου, ὀλίγου ὄντος τοῦ διαστήματος, ὡς πάντες ἴσασιν; Ὅπερ οὖν εἶπον, μυστικῶς ταῦτα ποιεῖ. Δεδεμένος δὲ ἦν ὁ πῶλος καὶ

A moralibus virtutibus. Nam et in his dona nobis dedit Deus, utpote uni donum jejunii, alii vero eleemosynæ, alii autem mansuetudinis, alii autem humilitatis. Et si quidem sobrii fuerimus et vigilantes, multiplicabimus hæc: sin autem negligentes, et voluntate mortui, postea arguemus Deum, ut consuevimus dicere: Et quid faciam? Si quis fuerit sanctus, vult Deus, et est sanctus: me non vult, et non sum: et ille Petrus fuit, et ille Paulus fuit. Stulte homo, mina illa Paulum te fecit et Petrum. Operare autem juxta virtutem, et affer aliquid ei qui dedit, etiamsi non quantum Paulus et Petrus Tu autem cum eadem acceperis quæ Petrus et Paulus: nam et ille minam, et tu minam: postea non motus omnino ad operationem boni, arguis Deum?
B Propter hoc indigni inventi donis, illis spoliabimur. Inimicos meos, dicit, eos qui nolunt me regnare adducite huc, et occidite. Judæos dicit, quos interitui tradet, in ignem æternum mittens illos. Atque adeo illi miseri in hoc mundo occisi sunt a Romanis exercitibus, servanturque internecioni quæ illic est.

VERS. 29-40. « Et factum est dum appropinquasset ad Bethphage et Bethaniam juxta montem qui vocatur Olivarum, misit duos discipulos suos, dicens: Ite in castellum quod e regione est, in Quod introeuntes invenietis pullum asinæ, alligatum, in quo nemo unquam hominum sedit. Solvite illum, et adducite. Et si quis vos interrogaverit, Quare solvitis? sic dicetis ei: Quia Dominus eo opus habet.
C Abierunt autem qui missi erant, et invenerunt sicut dixerat illis. Solventibus autem illis pullum, dixerunt domini ejus ad illos: Quare solvitis pullum? At illi dixerunt: Quia Dominus eo opus habet. Et duxerunt illum ad Jesum, et injectis vestimentis suis super pullum, imposuerunt Jesum. 448 Euntе autem illo, substernebant vestimenta sua in via. Et cum appropinquaret jam ad descensum montis Olivarum, cœperunt omnis multitudo discipulorum gaudentes laudare Deum voce magna super omnibus quas viderunt virtutibus, dicentes: Benedictus qui venit Rex in nomine Domini. Pax in cœlo, et gloria in altissimis. Et quidam Pharisæorum e turba dixerunt ad illum: Magister, increpa discipulos tuos. Quibus ipse ait: Dico vobis, quod si hi tacuerint,
D mox lapides clamabunt. » Dominus super pullum sedens, duo declarat: unum quod impleat prophetiam dicentem: « Ecce rex tuus venit sedens super asinam[98*]; » secundum figulariter nobis insinuat quod sessurus sit super novum et indomitum et immundum populum gentilem. Non enim videlicet pro itineris longitudine jumento opus habebat. Qui enim per totam Galilæam et Judæam pedestri itinere circuibat, quomodo a Bethania in Jerusalem transiens rogaret ut pullus sibi daretur, cum non sit tanta distantia, ut sciunt omnes? Proinde, ut dicebam, mystica sunt hæc. Vinctus autem erat pullus,

98* Matth. XXI, 5.

et dominos habebat multos: sed solutus est ab apostolis, hoc est ab his qui missi fuerunt. Sensum autem hunc habet: Bethania quidem domus obedientiæ interpretatur, Bethphage vero, domus maxillarum. Erat sane vicus sacerdotum. Etenim maxillæ sacerdotibus dabantur, sicut in lege scriptum est. Indicatur autem per maxillas sermo doctrinæ, quem spirituales maxillæ efficiunt, et attenuant. Ubi igitur domus sermonis doctrinæ, et obedientiæ erga illum, illuc mittuntur discipuli Domini, et solvunt populum catenis peccatorum ligatum, multisque curis vitæ: et pro eo quod habet multos dominos et deos, faciunt eum habere unum Dominum Jesum Christum, et unum Deum Patrem. Ubi autem non est domus obedientiæ, vel susceptio verbi doctrinæ, ibi illud non fit, neque pullus solvitur. Duos autem missos esse, hoc vult, quod in adductione populi gentilis ad Christum ut obediant ei, duo ordines ministrent, prophetæ, et apostoli. Et ducunt eum ex castello, ut discamus fuisse populum valde crassum et ineruditum. Nondum enim sederat super eum sermo vel Mosaicus, vel propheticus, sed pullus erat indomitus. Quamvis autem evangelista alius dixit pueros fuisse qui clamabant: Hosanna filio David 99; attamen et illi insinuabant novum populum. Credendo enim Jesum ex semine David secundum carnem apparuisse, gloriam retulerunt Deo, secundum quod scriptum est: Populus qui creatur, laudabit Dominum 1. Vestimentorum autem substratio, significare videtur quod exuti hominem veterem, 449 qui digni sunt laudare Jesum, substernant illum et subjiciant ipsi, ut cum ascenderit, sanctificet eum, et non ultra repugnet caro spiritui, ut et ipsi possint dicere: Subjectus fui Domino, et oravi eum 2. Porro omnem multitudinem discipulorum dixit Lucas laudare Deum: discipulos vocans simpliciter omnes qui sequuntur Jesum, non solum duodecim, vel septuaginta, sed omnen multitudinem quæ vel propter miracula, vel ad tempus trahebatur a doctrina ut sequeretur Jesum, in qua et pueros fuisse verisimile est, sicut alii evangelistæ dixerunt; et hi afflati Deo, regem illum confitebantur in nomine Dei venturum, hoc est, ut Deum; et pacem dicunt in cœlo, pro eo quod est: Antiquum bellum quod habuimus contra Deum, diremptum est. Non enim erat in terra rex Deus, nunc autem invento Deo super terram, merito pax in cœlo, et idcirco gloria in altissimis, angelis glorificantibus in unione et conciliatione tali quam nobis rex et Deus qui pullo vehitur, largitus est. Etenim istud ipsum, quod deus existens super terram apparuerit, et in regione inimicorum suorum ambulaverit, indicat fœdus factum inter nos et ipsum. Porro Pharisæi murmurabant quod regem eum nominaverat populus, et quod ut Deum laudaverat. Ad seditionem enim pertinere nomen regis, et ad blasphemiam Domini existimabant. At Dominus: Si hi, inquit,

A κυρίους εἶχε πολλοὺς, ἀλλὰ λύεται παρὰ τῶν ἀποστόλων, τουτέστι, τῶν ἀποσταλέντων. Τοῦτο δὲ τοιοῦτόν ἐστι· Βηθανία μὲν οἶκος ὑπακοῆς ἑρμηνεύεται, Βηθφαγὴ δὲ οἶκος σιαγόνων, ἱερατικὸς ὢν τόπος. Καὶ γὰρ σιαγόνες τοῖς ἱερεῦσιν ἐδίδοντο, ὡς ἐν τῷ νόμῳ ἀναγέγραπται. Δηλοῦται δὲ διὰ τῶν σιαγόνων ὁ τῆς διδασκαλίας λόγος, ὧν αἱ ψυχικαὶ σιαγόνες κατεργάζονται, καὶ λεπτύνουσιν. Ἔνθα τοίνυν οἶκος τοῦ λόγου τοῦ διδασκαλικοῦ, καὶ τῆς πρὸς τοῦτον ὑπακοῆς, ἐκεῖ στέλλονται οἱ τοῦ Κυρίου μαθηταὶ, καὶ λύουσι τὸν ταῖς σειραῖς δεδεμένον τῶν ἁμαρτιῶν λαὸν, καὶ ταῖς φροντίσι τοῦ βίου ταῖς πολλαῖς, καὶ ἀντὶ τοῦ, πολλοὺς ἔχειν κυρίους, καὶ θεοὺς, ποιοῦσιν αὐτὸν ἔχειν ἕνα Κύριον Ἰησοῦν, καὶ ἕνα Θεὸν Πατέρα. Ὅπου γὰρ οὐκ ἔστιν οἶκος ὑπακοῆς, οὐδὲ παραδοχὴ
B λόγου διδασκαλικοῦ, τοιοῦτόν τι οὐ γίνεται ἐκεῖ, οὐδὲ λύεται ὁ πῶλος. Δύο δὲ ὄντες οἱ ἀπεσταλμένοι, τοῦτο αἰνίττονται, ὅτι τῇ τοῦ ἐθνικοῦ λαοῦ προσαγωγῇ, καὶ τῇ πρὸς Χριστὸν ὑποταγῇ δύο τάγματα ὑπουργοῦσι, προφῆται, καὶ ἀπόστολοι. Καὶ ἄγουσιν αὐτὸν ἔκ τινος κώμης, ἵνα μάθωμεν ὅτι ἀγροικίᾳ πολλῇ συνῆν ὁ λαὸς οὗτος καὶ ἀπαιδευσίᾳ. Καὶ γὰρ οὐδὲ ἐκάθισεν ἐπ' αὐτὸν οὐδέποτε λόγος ἢ Μωσαϊκὸς, ἢ προφητικὸς, ἀλλὰ πῶλος ἦν ἀπαίδευτος. Εἰ δὲ καὶ, ὡς ἕτερος τῶν εὐαγγελιστῶν ἔφη, παῖδες ἦσαν οἱ βοῶντες τὸ, Ὡσαννὰ τῷ υἱῷ Δαυῒδ, καὶ οὗτοι ἂν ὑπαινίττοιντο τὸν αὐτὸν νέον λαὸν, διὰ τοῦ πιστεύειν τῷ Ἰησοῦ ἐκ σπέρματος Δαυῒδ σαρκὶ φανέντι, δόξαν ἀναπέμποντες Θεῷ κατὰ τὸ γεγραμμένον, Λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. Ἡ δὲ τῶν ἱματίων ὑπόστρω-
C σις τοῦτο σημαίνειν ἔοικεν, ὅτι ἐκδυόμενοι τὸν παλαιὸν ἄνθρωπον οἱ ἄξιοι ὄντες ὑμνεῖν τὸν Ἰησοῦν, ὑποστρωννύουσιν αὐτὸν, καὶ ὑποτάττουσιν αὐτῷ, ἵνα ἐπιβὰς αὐτοῦ, ἁγιάσῃ αὐτὸν, καὶ μηκέτι ἡ σὰρξ ἐπανίστηται τῷ πνεύματι, ὡς ἂν καὶ αὐτοὶ ἔχωσι λέγειν, Ὑπετάγην τῷ Κυρίῳ, καὶ ἱκέτευσα αὐτόν. Ἅπαν δὲ τὸ πλῆθος τῶν μαθητῶν ἔφη ὁ Λουκᾶς αἰνεῖν τὸν Θεὸν, μαθητὰς λέγων ἁπλῶς τοὺς ἀκολουθοῦντας πάντας τῷ Ἰησοῦ, οὐ τοὺς δώδεκα μόνους, οὐδέ τοὺς ἑβδομήκοντα, ἀλλὰ τὸν ὄχλον ἅπαντα τὸν ἢ διὰ χρείαν θαυμάτων, ἢ διὰ τὸ πρὸς καιρὸν θέλγεσθαι ὑπὸ τῆς διδασκαλίας ἀκολουθοῦντα τῷ Ἰησοῦ, ἐν οἷς εἰκὸς καὶ νήπια ἀναμεμίχθαι, καθὰ ἕτεροι εἶπον εὐαγγελισταί· Θεοφορούμενοι δὲ οὗτοι, βασιλέα αὐτὸ ἀνομολογοῦσιν, ἐν ὀνόματι Κυρίου ἐρχό-
D μενον, τουτέστιν, ὡς Θεὸν, καὶ, Εἰρήνη, φασὶν, ἐν οὐρανῷ, ἀντὶ τοῦ, Ὁ παλαιὸς πόλεμος, ὃν εἴχομεν πρὸς τὸν Θεὸν, κατελύθη. Οὐ γὰρ ἦν ἐν τῇ γῇ βασιλεὺς Θεός. Νῦν δὲ τοῦ Θεοῦ ἐρχομένου ἐπὶ γῆς, εἰρήνη εἰκότως ἐν οὐρανῷ. Καὶ διὰ τοῦτο δόξα ἐν ὑψίστοις, τῶν ἀγγέλων δοξαζόντων ἐπὶ τῇ τοιαύτῃ ἑνώσει, καὶ καταλλαγῇ, ἣν ἡμῖν ὁ ἐπὶ πώλου ἐρχόμενος βασιλεὺς καὶ Θεὸς ἐχαρίσατο. Αὐτὸ γὰρ τοῦτο, τὸ Θεὸν ὄντα ἐπὶ γῆς φαίνεσθαι, καὶ ἐν τῇ χώρᾳ ἡμῶν τῶν ἐχθρῶν αὐτοῦ περιπατεῖν, δηλοῖ σπονδὰς γενέσθαι μεταξὺ ἡμῶν καὶ αὐτοῦ. Οἱ δὲ Φαρισαῖοι διεγόγγυζον, ὅτι τε βασιλέα αὐτὸν ὠνόμαζε τὸ πλῆ-

99 Matth. XXI, 9. 1 Psal. CI, 19. 2 Psal. XXXVI, 6.

θος, καὶ ὅτι ὡς Θεὸν αὐτὸν ὕμνουν· εἰς ἀνταρσίαν γὰρ φέρειν τὸ τοῦ βασιλέως ὄνομα ἐπιφημιζόμενον αὐτῷ, καὶ εἰς βλασφημίαν τοῦ Κυρίου. Ὁ δέ· Ἐὰν οὗτοι, φησὶ, σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. Μὴ γὰρ καταχαριζόμενοί μοι ταῦτά φασιν οἱ ἄνθρωποι, ἀλλ' ἀπὸ παθῶν, ὧν εἶδον, δυνάμεων πειθόμενοι, καὶ καταναγκαζόμενοι ταύτην τὴν δοξολογίαν προσφέρουσι.

« Καὶ ὡς ἤγγισεν ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτῇ, λέγων ὅτι, Εἰ ἔγνως καὶ σὺ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ τὰ πρὸς εἰρήνην σου. Νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου. Ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ, καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι, καὶ περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάντοθεν, καὶ ἐδαφιοῦσί σε, καὶ τὰ τέκνα σου ἐν σοὶ, καὶ οὐκ ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ, ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου. » Κλαίει ἐπὶ τῇ πόλει ὡς φιλάνθρωπος, οὐ γὰρ ἤθελεν ἀπολέσαι τοὺς ἐν ταύτῃ διὰ τὸ καθ' αὐτοῦ τόλμημα. Δείκνυσιν οὖν τὰ σπλάγχνα τοῦ ἐλέους διὰ τοῦ κλαυθμοῦ. Ὅτι γὰρ ἠλέει αὐτοὺς καὶ οὐ μόνον πρὸ τοῦ σταυροῦ, ἀλλὰ καὶ μετὰ τὸν σταυρὸν καὶ τὴν ἐπιστροφὴν αὐτῶν ἐδίψα, δῆλον ἐκ τοῦ μετὰ τοσαῦτα ἔτη, τριακονταπέντε γὰρ παρέδραμον, παραδοῦναι αὐτοὺς τοῖς Ῥωμαίοις. Πάντως γὰρ δι' οὐδὲν ἄλλο τὴν τιμωρίαν ἀνεβάλλετο, ἢ διὰ τὴν ἐπιθυμίαν τῆς ἐπιστροφῆς αὐτῶν. Κλαίει οὖν τὴν ἀναισθησίαν τῆς Ἱερουσαλὴμ, καί φησιν· Εἰ ἔγνως καὶ σὺ καί γε ἐν τῇ ἡμέρᾳ ταύτῃ τὰ πρὸς εἰρήνην σου, τουτέστιν, εἰ ἔγνως νῦν ἃ σοι συμφέρει, καὶ εἰρήνην καὶ ἀνάπαυσιν ἐπάγει, ἅ τινά εἰσιν ἡ πίστις ἡ πρὸς ἐμὲ καὶ τὸ ἀποσχέσθαι τῆς κατ' ἐμοῦ ἐπιβουλῆς. Νῦν δὲ ἀπεκρύβη ἀπὸ ὀφθαλμῶν σου, ὅτι δι' ἐμὲ τὸν ὑπὸ σοῦ ἀθετούμενον, καταλήψονταί σε κακὰ ἀφόρητα, καὶ τάδε καὶ τάδε πείσῃ, ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου, τουτέστι, τῆς ἐμῆς παρουσίας, ὅτε ἦλθον ἐπισκέψασθαί σε καὶ σῶσαι. Ἔδει οὖν γνῶναί σε τὰ πρὸς εἰρήνην σου, καὶ πιστεῦσαι εἰς ἐμὲ, καὶ εἶχες ἂν εἰρήνην ἀπὸ τῶν Ῥωμαίων, καὶ πάσης κακώσεως ἀπαλλαγήν. Καὶ γὰρ οἱ πιστεύσαντες τῷ Χριστῷ πάντες, τῆς ἁλώσεως ὑπέρτεροι γεγόνασιν, ὥστε εἰ πάντες ἐπίστευσαν, οὐδεὶς ἂν ἑάλω.

« Καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας, λέγων αὐτοῖς· Γέγραπται, Ὁ οἶκός μου οἶκος προσευχῆς ἐστιν· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. Καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ. Καὶ οὐχ εὕρισκον τὸ τί ποιήσουσιν· ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων. Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ, καὶ εὐαγγελιζομένου, ἐπέστησαν οἱ ἱερεῖς καὶ οἱ Γραμματεῖς σὺν τοῖς πρεσβυτέροις, καὶ εἶπον πρὸς αὐτὸν λέγοντες· Εἰπὲ ἡμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην; Ἀποκριθεὶς δὲ εἶπε πρὸς αὐτούς· Ἐρωτήσω κἀγὼ ὑμᾶς ἕνα λόγον, καὶ εἴπατέ μοι· Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ συνελογίσαντο ἐν ἑαυτοῖς λέγοντες, ὅτι Ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ, Διὰ τί

tacuerint, lapides clamabunt. Quasi diceret : Non hæc loquuntur homines ut mihi gratificentur, sed a virtutibus et miraculis quæ viderunt, inducti et compulsi, hanc confessionem et gloriam offerunt.

VERS 41-44. « Et ut appropinquavit, videns civitatem, flevit super illam, dicens : Si cognovisses, et tu, et quidem in isto die tuo, quæ ad pacem tuam. Nunc autem abscondita sunt ab oculis tuis; quia venient dies in te, et circumdabunt te inimici tui vallo, et cingent te et coangustabunt te undique, et solo æquabunt te, et filios tuos qui in te sunt, et non relinquent in te lapidem super lapidem, eo quod non cognoveris tempus visitationis tuæ. » Plorat super civitate ut misericors, nolens perdi eos qui in illa, propter facinus contra se. Ostendit itaque viscera misericordiæ per fletum. Quod enim miserebatur eis, et non solum ante crucem, sed et post crucem etiam conversionem eorum sitiebat, manifestum est ex eo quod post triginta quinque annos Romanis traditi sunt. Nam propter nihil aliud distulit supplicium, quam quod cupiebat eos converti. Flet igitur stupiditatem ipsius Jerusalem, et ait : Si cognovisses et tu, et quidem in isto die tuo, quæ ad pacem tuam. Hoc est, si cognovisses quæ nunc tibi conferunt, ac pacem et quietem afferunt, nempe fidem erga me, et cessationem a persequendo me. Nunc autem sunt abscondita ab oculis 450 tuis, quod propter me, quem tu reprobas, innumera mala te apprehendent, patierisque hæc ac illa, eo quod non cognoveris tempus visitationis tuæ, hoc est, mei adventus, quando veni ut inviserem te, et salvarem. Oportebat igitur scire te quæ ad pacem tuam, ut in me crederes, et habuisses utique pacem a Romanis, et omnis vexationis liberationem. Etenim omnes qui crediderunt Christo, a captivitate fuerunt securi : et ita si omnes credidissent, nullus fuisset captus.

VERS 45-48. « Et ingressus in templum, cœpit ejicere vendentes in illo et ementes, dicens illis : Scriptum est, Domus mea domus precationis est; vos autem fecistis illam speluncam latronum. Et docebat quotidie in templo. Principes autem sacerdotum et Scribæ quærebant illum perdere, et primores plebis : nec inveniebant quid facerent. Totus enim populus pendebat ab ore ejus cum audiret illum. Et factum est in uno dierum illorum, docente illo populum in templo, et evangelizante, convenerunt principes sacerdotum et Scribæ cum senioribus, et aiunt illi, dicentes : Dic nobis, qua auctoritate ista facis? aut quis est qui dedit tibi istam auctoritatem? Respondens autem Jesus dixit ad illos : Interrogabo vos et ego unum quiddam respondete mihi : Baptismus Joannis e cœlo erat, an ex hominibus? At illi cogitabant intra se dicentes : Si dixerimus e cœlo, dicet : Quare ergo non cre-

didistis illi? Si dixerimus, ex hominibus, plebs universa lapidabit nos: persuasum enim habet Joannem prophetam esse. Et responderunt se nescire unde esset Et Jesus ait illis: Neque ego dico vobis qua auctoritate hæc faciam. » Jesus gloriose Jerusalem ingressus, suæ auctoritatis indicium facit, repurgando domum Patris sui a negotiatoribus: quamvis et in principio prædicationis hoc fecerit, sicut Joannes dicit: et iterum nunc secundo facit: id quod ad majorem Judæorum accusationem pertinet, quod primo suo adventu non fuerint facti emendatiores, et manserint ipsi negotiatores, illum Dei adversarium dicentes, cum Patrem et Deum maxime coleret, ita ut et domum illius a negotiatoribus repurgatam voluerit. Idcirco et Isaiam inducit, qui eos arguat, dicentem: Domus mea domus precationis vocabitur[3]. At illi stulte interrogant eum, Qua auctoritate hæc facis? quamvis satis intilligere poterant. Quoniam enim propheticum dictum subdidit, quod testatur domum Dei domum precationis esse, non emporium et speluncam latronum, negotiatio enim et avaritia latronum est, quid postea opus rogare eum qua auctoritate hæc faciat? Facile enim conjectare poterant ex dictis prophetæ quod Deus hæc jusserit. At illi interrogant, Qua auctoritate facis hæc? Lex, inquiunt, his qui a Levi originem deducunt, templi gubernationem permittit: tu vero, cum ex tribu Levi non descendas, quomodo sacerdotum jus tibi usurpas, et hæc facis? Verum, o Judæe, memor esto quid **481** David dicat: Tu es sacerdos in æternum secundum ordinem Melchisedech[4]. Melchisedech autem dictus est sacerdos: Melchisedech vero non fuit sacerdos secundum legem, neque ex tribu Levitica. Quomodo enim posset hoc dici, cum fuerit multis sæculis ante Levi? Deinde, quid quæris in Christo ordinem legis? Deus legibus non est subditus. Imperabat, cum tempus esset, sacerdotes esse ex tribu Levi: nunc transfert hanc legem, et præfert sacerdotium Melchisedech; propterea ejicit ementes et vendentes ad sacrificandum animalia, sicut oves et columbas. Ad hæc decentiam et honestatem templi vindicat. Insuper et hoc ostendit, quod non ultra animalium sacrificiis placari Deum credi debeat. Igitur quamvis in promptu esset quod eis responderet Dominus, sicut dictum est, et diceret quod propheta hæc, imo Deus præcipiat: verumtamen ut ostendat eis quod semper inobedientes sint Spiritui sancto, et non modo noluerint credere Isaiæ veteri prophetæ, cujus forte memoriam non habebant, sed ne Joanni quidem viro evangelico, minimeque carnali, qui nuper apparuerat, crediderint, propterea interrogationem hanc admiratione dignam facit, qua et confutat illos. Ostendit autem et nobis quod si tali prophetæ Joanni, qui major se habebatur, non crediderunt de ipso testificati, quomodo sibi essent

A οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, πᾶς ὁ λαὸς καταλιθάσει ἡμᾶς, πεπεισμένος γάρ ἐστι τὸν Ἰωάννην προφήτην εἶναι. Καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. » Ἐν δόξῃ εἰσελθὼν ὁ Κύριος τὴν Ἱερουσαλὴμ, τῆς οἰκείας αὐθεντίας ποιεῖται δεῖγμα, τὸ τὸν οἶκον τοῦ Πατρὸς αὐτοῦ ἐκκαθαίρειν τῶν καπηλευόντων, καίτοι καὶ ἐν ἀρχῇ τοῦ κηρύγματος τοῦτο πεποίηκεν, ὡς Ἰωάννης φησὶ, καὶ πάλιν νῦν τοῦτο ἐκ δευτέρου ποιεῖ, ὃ καὶ πρὸς μείζω κατηγορίαν τῶν Ἰουδαίων ἐστὶν, ὅτι οὐδὲ ἀπὸ τῆς προτέρας αὐτοῦ παῤῥησίας ἐσωφρονίσθησαν, ἀλλ' ἐπέμενον τῇ καπηλείᾳ, καὶ ἀντίθεον αὐτὸν ἔλεγον τὸν οὕτως τιμῶντα τὸν Πατέρα B καὶ Θεὸν, ὡς καὶ τὸν οἶκον αὐτοῦ ἐκκαθαίρειν τῶν καπηλευόντων. Διὸ καὶ τὸν Ἡσαΐαν αὐτοῖς ἐπιφέρει κατήγορον λέγοντα· Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται. Οἱ δὲ ἀνοήτως ἐπερωτῶσιν αὐτὸν, Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; Καίτοι ἐξῆν ἐννοῆσαι αὐτούς. Ὅτι ἐπεὶ προφητικὴν ῥῆσιν παρήγαγε μαρτυροῦσαν, ὅτι ὁ οἶκος τοῦ Θεοῦ οἶκος προσευχῆς ἐστιν, οὐκ ἐμπόριον, καὶ σπήλαιον λῃστῶν· λῃστρικὸν γὰρ ἡ πλεονεξία, καὶ καπηλεία, τίς λοιπὸν χρεία ἐρωτᾷν αὐτὸν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ; ἕτοιμον γὰρ ἦν λογίσασθαι, ὅτι ὁ Θεὸς ταῦτα κελεύει διὰ τοῦ προφήτου. Οἱ δὲ, Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, ἐρωτῶσιν. Ὁ νόμος, φασὶ, τοῖς ἐκ Λευῒ καταγομένοις τὴν τοῦ ἱεροῦ διακόσμησιν ἐπέτρεψε· σὺ μὴ καταγόμενος ἐκ Λευϊτικῆς φυλῆς, πῶς ταῦτα ποιεῖς, καὶ τὰ ἱερατικὰ C ἁρπάζεις; Ἀλλ' ἀναμνήσθητε, Ἰουδαῖοι, λέγοντος τοῦ Δαυῒδ, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Μελχισεδὲκ δὲ εἴρηται ἱερεύς· ὁ δὲ Μελχισεδὲκ οὐ κατὰ νόμον ἦν ἱερεὺς, οὐδὲ ἐκ τῆς Λευϊτικῆς φυλῆς. Πῶς γὰρ, ὃς προγενέστερος ἦν τοῦ Λευῒ τοσοῦτον; Καὶ λοιπὸν, τί ζητεῖς ἐν Χριστῷ τὴν τάξιν τοῦ νόμου; Θεὸς νόμοις οὐχ ὑπόκειται. Προσέταξεν ὅτε καιρὸς ἦν, ἐκ Λευϊτικῆς εἶναι φυλῆς τοὺς ἱερεῖς, νῦν μετατάττει τοῦτον τὸν νόμον, καὶ τὴν τοῦ Μελχισεδὲκ ἱερωσύνην προκρίνει, διὸ καὶ ἐκβάλλει τοὺς πωλοῦντας καὶ ἀγοράζοντας τὰ πρὸς θυσίαν ζῶα, οἷον πρόβατα, καὶ περιστεράς· μετὰ καὶ τοῦ τὴν εὐπρέπειαν, καὶ τὸ εὔσχημον τῷ ναῷ περιποιεῖσθαι, ἔτι καὶ τοῦτο ὑποδεικνὺς, ὅτι οὐκ D ἔτι ταῖς ζωοθυσίαις δεῖ τὸν Θεὸν ἐξιλάσκεσθαι πιστεύειν. Ἦν μὲν οὖν ἕτοιμον τῷ Κυρίῳ ἀποκρίνασθαι πρὸς αὐτοὺς, καθάπερ εἴρηται, καὶ εἰπεῖν, ὅτι Ὁ προφήτης ταῦτα, μᾶλλον δὲ ὁ Θεὸς διακελεύεται· πλὴν ἵνα δείξῃ αὐτοὺς, ὅτι πάντοτε ἀπειθοῦσι τῷ Πνεύματι τῷ ἁγίῳ, καὶ οὐχ ὅτι γε Ἡσαΐᾳ τῷ παλαιῷ προφήτῃ, καὶ εἰς λήθην ἴσως αὐτοῖς γενομένῳ, ἀλλὰ καὶ τῷ χθὲς φανέντι Ἰωάννῃ, τῷ ἀΰλῳ μικροῦ καὶ ἀσάρκῳ, οὐκ ἠθέλησαν πιστεῦσαι, διὰ τοῦτο ἀντεριωτᾷ αὐτοὺς τὴν ἀξιοθαύμαστον ταύτην ἐρώτησιν, δι' ἧς ἐπιστομίζει μὲν καὶ αὐτοὺς, δείκνυσι δὲ ἡμῖν, ὅτι εἰ τῷ τηλικούτῳ προφήτῃ οὐκ ἐπίστευσαν τῷ Ἰωάννῃ, τῷ μείζονι αὐτοῦ δοκοῦντι, περὶ αὐτοῦ μαρτυροῦντι, πῶς ἂν αὐτῷ πιστεύσαιεν ἀπολογου-

[3] Isa. LVI, 7. [4] Psal. CIX, 4.

μένῳ αὐτοῖς ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ, Ὅπερ A γὰρ ἂν εἶπε, πάντως ἂν ἐξῆν αὐτοῖς διαβαλεῖν αὐτὸ καὶ διαπτύσαι, ὥσπερ καὶ τοὺς Ἰωάννου λόγους τοῦ ἐνδοξοτέρου παρ' αὐτοῖς διέπτυσαν.

## ΚΕΦΑΛ. Κ'.

Περὶ τοῦ ἀμπελῶνος παραβολή. Περὶ τῶν ἐγκαθέντων διὰ τὸν κῆνσον. Περὶ τῶν Σαδδουκαίων τὴν ἀνάστασιν ἀρνουμένων. Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως πρὸς τοὺς Φαρισαίους.

« Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε χρόνους ἱκανούς. Καὶ ἐν καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος ἐπιδῶσιν αὐτῷ· οἱ δὲ γεωργοὶ δείραντες αὐτὸν, ἐξαπέστειλαν B κενόν. Καὶ προσέθετο πέμψαι ἕτερον δοῦλον, οἱ δὲ κἀκεῖνον δείραντες, καὶ ἀτιμάσαντες, ἐξαπέστειλαν κενόν. Καὶ προσέθετο πέμψαι τρίτον, οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον. Εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος· Τί ποιήσω; Πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἰδόντες ἐντραπήσονται. Ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ, διελογίζοντο πρὸς ἑαυτοὺς λέγοντες· Οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀποκτείνωμεν αὐτὸν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία. Καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν. Τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος; Ἐλεύσεται, καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. » Βραχεῖα μὲν αὕτη ἡ παραβολὴ, πλὴν πολλὰ καὶ μεγάλα δι- C δάσκει ἡμᾶς· τὴν πρόνοιαν τοῦ Θεοῦ, ἣν ἐπὶ τοῖς Ἑβραίοις τοσαύτην ἐχαρίσατο, μᾶλλον δὲ ἐπεδείξατο, τὸ ἐξ ἀρχῆς αὐτῶν φονικὸν, τὸ καὶ τῆς Παλαιᾶς καὶ τῆς Νέας ἕνα εἶναι τὸν Θεὸν, τὸ εἰσαχθήσεσθαι τὰ ἔθνη, τὸ ἀποῤῥιφθήσεσθαι τοὺς Ἰουδαίους. Ἀμπελὼν οὖν αὕτη ἡ Συναγωγὴ τῶν Ἰουδαίων, γεωργοὶ δὲ οἱ Γραμματεῖς, καὶ Φαρισαῖοι οἱ προέχοντες, καὶ ἐπιστάται τοῦ λαοῦ, ἢ καὶ ἕκαστος ἡμῶν αὐτὸς ἀμπελὼν, αὐτὸς γεωργός· ἕκαστος γὰρ ἡμῶν αὐτὸς ἑαυτὸν γεωργεῖ. Τοῦτον οὖν τὸν ἀμπελῶνα ἐκδοὺς γεωργοῖς ὁ φιλάνθρωπος, ἀπεδήμησε, τουτέστιν, αὐτεξουσίους αὐτοὺς ἀφῆκε πορεύεσθαι. Ἀπέστειλε δὲ διαφόρους δούλους, προφήτας φημὶ, ὡς ἂν σχοίη τι κέρδος μικρόν. Ἐκ τοῦ καρποῦ γὰρ, φησὶν, ἤθελε λαβεῖν, οὐ τὸν καρπὸν ἅπαντα· τί γὰρ κερδαίνει ὁ Θεὸς ἀφ' ἡμῶν, εἰ μὴ τὴν αὐτοῦ ἐπίγνωσιν; Καὶ αὕτη δὲ D ἡμέτερον κέρδος, ὅμως τὴν σωτηρίαν ἡμῶν καὶ τὸ ἡμέτερον κέρδος οἰκεῖον ποιεῖται. Ὕβρισαν δὲ τοὺς ἀποσταλέντας οἱ κακοὶ γεωργοὶ, δείραντες, μετὰ καὶ τοῦ κενοὺς ἐξαποστεῖλαι, τουτέστιν, εἰς τοσοῦτον ἀγνωμοσύνης ἦλθον, ὥστε οὐ μόνον ἐξέκλιναν ἀπὸ τοῦ καλοῦ, καὶ οὐδένα καρπὸν ἀγαθὸν ἔδωκαν, ἀλλὰ καὶ πονηρίαν ἐποίησαν, ὃ μείζονος κολάσεως ἄξιον. Τῶν οὖν προφητῶν οὕτω τὰ δεινότατα παθόντων, ὁ Υἱὸς ἀποστέλλεται. Ἴσως γὰρ, φησὶν, ἐντραπήνονται τὸν Υἱόν μου. Τοῦτο δὲ εἶπεν, οὐχ ὡς ἀγνοῶν τὸ μέλλον, καὶ ὅτι μέλλουσι μᾶλλον αὐτὸν χεῖρον τῶν προφητῶν διαθέσθαι, ἀλλ' ἐκεῖνο λέγων, ὅπερ ἔδει γενέσθαι· ἔδει γὰρ ἐντραπῆναι αὐτόν. Εἰ δὲ καὶ αὐτοὶ

credituri responsuro qua auctoritate hæc faciat? Quidquid enim dixisset, id omne potuissent illi calumniari et respuere, quemadmodum et Joannis sermones, qui clarior apud eos habebatur, respuerunt.

## CAPUT XX.

*Parabola de vinea. De insidiose interrogantibus ob censum. De Sadducæis resurrectionem negantibus. De interrogatione Jesu Pharisæis facta.*

VERS. 9 16. « Cœpit autem dicere ad plebem parabolam hanc: Homo quidam plantavit vineam, et locavit eam colonis, et ipse peregre egit multo tempore. Cumque esset opportunum, misit ad colonos servum, ut de fructu vineæ darent ipsi: qui B cæsum emiserunt eum inanem. Et rursus adhuc alterum servum misit. Illi vero hunc quoque cæsum, et contumeliis affectum, emiserunt inanem. Rursus misit et tertium. At illi hunc quoque vulneribus inflictis ejecerunt. Dixit autem Dominus vineæ: Quid faciam? Mittam filium meum dilectum, forsitan cum hunc viderint, reverebuntur. Quem cum vidissent coloni, cogitaverunt intra se, dicentes: Hic est hæres, venite, occidamus 452 illum, ut nostra fiat hæreditas: et ejectum illum extra vineam, occiderunt. Quid ergo faciet illis dominus vineæ? Veniet et perdet colonos istos, et dabit vineam aliis » Brevis quidem ista parabola, multa tamen et magna nos docet: Curam quam Deus tan- C tam erga Hebræos exhibuit, qui ab initio fuerunt homicidæ: unum esse Deum veteris et novæ legis: vocandas gentes, et abjiciendos Judæos. Vinea igitur ista, Synagoga erat Judæorum: cultores autem, Scribæ et Pharisæi, qui præerant populo. Est et unusquisque vinea, et idem agricola. Unusquisque enim nostrum seipsum colit. Hanc igitur vineam cum collocasset agricolis misericors, peregre profectus est, hoc est, permisit eos juxta liberum arbitrium ingredi. Misit autem diversos servos, prophetas dico, ut haberet vel parvum quoddam lucrum. Volebat enim de fructu capere, non fructum omnem; quid enim lucrifacere et Deus ex nobis nisi sui agnitionem? Illud autem etiam nostrum est lucrum: attamen salutem nostram, lucrumque nostrum, suum facit. Contumeliis autem D affecerunt mali agricolæ missos, et cæsos miserunt vacuos, hoc est, in tantam pervenerunt ingratitudinem, ut non solum declinaverint a bono, et nullum fructum dederint, sed et mala fecerint: quod majori supplicio dignum. Igitur cum prophetæ tam gravia sustinuissent: Filius mittitur. Forte enim, inquit, hunc reverebuntur. *Forte* dixit, non ut ignorans futurum quod pejus eum affecturi essent quam prophetas: sed illud dicit quod fieri debebat: debebant enim revereri illum. At illi usque adeo non sunt reveriti, ut etiam occiderint: quod in majorem eorum accusationem est, quia postquam affirmavit Deus bonum hoc esse, reverentiam haberi Filio, illi plane contrariam tulerunt sententiam. Hæc autem

proprietas sæpe in Scripturis invenitur : ut cum dicitur, Si forte audiant. Neque enim illic ignorans futurum ita dicit, sed ne quidam præscientiam Dei necessariam inobedientiæ causam esse dicant, idcirco ejusmodi verborum figura utitur. Ejectum autem illum extra vineam, occiderunt. Extra vineam, exponi solet; extra Hierusalem: extra enim civitatem Christus passus est. At quia supra vineam populum, non Jerusalem exposuimus: quid si magis proprie dixerimus quod occiderit quidem populus ipsum, sed extra vineam, hoc est, non ipse sua manu et mortis fuerit auctor, sed tradiderit illum Pilato et gentibus? Et ita extra vineam, hoc est, extra populi manus passus est Christus. Etenim non licebat his occidere quemquam, unde militum manibus occisus est. Nonnulli per vineam intellexerunt 453 Scripturam. Extra Scripturam enim passus est Dominus. Illi enim qui non crediderunt Mosi, occiderunt eum. Nam si credidissent Mosi et Scripturis, easque scrutati fuissent, Dominum Scripturarum utique non occidissent. His dictis protulit et sententiam in eos ferendam, quod vinea locanda sit aliis vineæ cultoribus, hoc est, aliis dabit hoc beneficium ut dicantur populus meus. Vide autem quod hi qui dicunt Scripturam vineam esse, magis assequi videntur sensum, ut hinc manifestum. Elocata est enim nobis Scriptura, ab Hebræis sublata. Fidenter autem dixerit quis omnia spiritualia esse vineam quamdam, sive in Scripturis et legibus, sive in actis et historiis sita sint, quibus omnibus privati sunt Judæi, et nos fruimur.

A τοσοῦτον, οὐκ ἐνετράπησαν, ὥστε καὶ ἀπέκτειναν· τοῦτο εἰς μείζονα κατηγορίαν αὐτοῖς, ὅτι καὶ μετὰ τὸ ἀποφήνασθαι τὸν Θεὸν, ὅτι οὕτως ἦν καλὸν γενέσθαι, καὶ ἐντραπῆναι αὐτὸν, αὐτοὶ τὴν ἐναντίαν ψῆφον ἔθεντο. Τὸ δὲ τοιοῦτον ἰδίωμα παρὰ τῇ Γραφῇ πολλαχοῦ εὑρίσκεται, ὡς τὸ, Ἐὰν ἄρα ἀκούσωσιν. Οὐδὲ γὰρ ἐκεῖ ἀγνοῶν τὸ μέλλον, τοῦτό φησιν, ἀλλ' ἵνα μὴ λέγωσί τινες, ὅτι ἡ πρόγνωσις τοῦ Θεοῦ ἀναγκαίως αἰτία γέγονε τῆς παρακοῆς· διὰ τοῦτο οὕτως σχηματίζει τὰς λέξεις. Ἐκβαλόντες δὲ τὸν Υἱὸν ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν· τὸ μὲν πρόχειρον εἰπεῖν, ἔξω τῆς Ἱερουσαλήμ· ἔξω γὰρ τῆς πύλης ὁ Χριστὸς ἔπαθεν· ἐπεὶ δὲ ἄνωθεν ἀμπελῶνα τὸν λαὸν, οὐχὶ τὴν Ἱερουσαλὴμ ἐξελάβομεν, μήποτε
B οἰκειότερον εἰπεῖν, ὅτι ἀπέκτεινε μὲν αὐτὸν ὁ λαὸς, ἔξω δὲ τοῦ ἀμπελῶνος, τουτέστιν, οὐχ αὐτὸς αὐτόχειρ τοῦ θανάτου γενόμενος, ἀλλὰ τῷ Πιλάτῳ, καὶ τοῖς ἔθνεσιν ἐκδεδωκότες αὐτόν. Ἔξω οὖν τοῦ ἀμπελῶνος, ἤγουν τῶν τοῦ λαοῦ χειρῶν ἔπαθεν ὁ Κύριος· αὐτοῖς γὰρ οὐκ ἐξῆν ἀποκτεῖναι οὐδένα· διὰ στρατιωτικῶν μέντοι χειρῶν ἀπέθανε. Τινὲς δὲ ἀμπελῶνα τὴν Γραφὴν ἐνόησαν· ἔξω οὖν τῶν Γραφῶν ἔπαθεν ὁ Κύριος, τουτέστιν, οἱ μὴ πιστεύοντες Μωσεῖ, οὗτοι ἀπέκτειναν αὐτόν. Εἰ γὰρ ἐπίστευον Μωσεῖ, καὶ ἐν ταῖς Γραφαῖς ἦσαν ἐρευνῶντες αὐτὰς, οὐκ ἂν ἀπέκτειναν τὸν Δεσπότην τῶν Γραφῶν. Ταῦτα εἰπὼν, ἐπάγει καὶ τὴν ψῆφον, ἣν ἐπ' αὐτοὺς ἐξοίσει, ὅτι ἐκδώσεται ἄλλοις τὸν ἀμπελῶνα, τουτέστιν, ἄλλοις δώσει ταύτην τὴν χάριν, τὸ καλεῖσθαι λαόν
C μου. Ὅρα δὲ, ὅτι οἱ λέγοντες τὴν Γραφὴν εἶναι τὸν ἀμπελῶνα, μᾶλλον ἐπιτυγχάνειν δοκοῦσιν, ὡς ἐντεῦθεν δηλοῦται. Ἐξεδόθη γὰρ ἡμῖν ἡ Γραφὴ ἀρθεῖσα ἀπὸ τῶν Ἑβραίων. Θαῤῥῶν δὲ, εἴποι ἄν τις πάντα τὰ πνευματικὰ εἶναι τὸν ἀμπελῶνα, εἴτε ἐν τῇ Γραφῇ καὶ νόμοις, εἴτε ἐν πράξεσι καὶ ἱστορίαις ἔκειντο, ὧν πάντων ἐστερήθησαν οἱ Ἰουδαῖοι, καὶ ἡμεῖς ἀπολαύομεν.

VERS. 16-20. « Quod cum audissent, dixerunt, Absit. Ille vero intuitus eos ait : Quid est ergo hoc quod scriptum est, Lapidem quem reprobaverunt ædificantes, is factus est in caput anguli; omnis qui ceciderit super lapidem illum conquassabitur: super quem autem cadet, disperget illum? Et quærebant principes sacerdotum et scribæ injicere in illum manus eadem hora, et timuerunt populum : cognoverunt enim quod in ipsos dixisset parabolam hanc. » Lucas quidem, ut audis, inquit dicere Dominum quod dominus vineæ perditurus sit ingratos colonos, et vineam daturus aliis. Quod cum audissent Pharisæi, dixerunt, Absit. Matthæus vero aliter dicit : nempe quod interrogaverit eos Dominus: Quid faciet agricolis illis dominus vineæ [5]? responderintque Judæi, ac dixerint : Malos male perdet illos, et vineam daturus est agricolis aliis. Nunquid igitur contrarii sunt? Absit. Utrumque enim factum fuisse verisimile est, et quod secundum Matthæum sententiam ipsi tulerint, et deinde animadverterint quo tendat parabola, et quod de ipsis dicta sit : ac iterum dixerint hoc quod Lucas dicit, nempe, Absit. Quid igitur

« Ἀκούσαντες δὲ εἶπον· Μὴ γένοιτο. Ὁ δὲ ἐμβλέψας αὐτοῖς, εἶπε· Τί οὖν ἐστι τὸ γεγραμμένον τοῦτο, Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; Πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον τὸν λίθον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. Καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς, καὶ οἱ Γραμματεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ καὶ ἐφοβήθησαν τὸν λαόν. Ἔγνωσαν γὰρ, ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην εἶπεν. » Ὁ μὲν Λουκᾶς, ὡς ἀκούεις, τὸν Κύριόν φησιν
D εἰπεῖν, ὅτι Ἀπολέσει ὁ δεσπότης τοῦ ἀμπελῶνος τοὺς ἀγνώμονας γεωργοὺς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις· ὅπερ ἀκούσαντας τοὺς Φαρισαίους, εἰπεῖν· Μὴ γένοιτο· Ὁ δὲ Ματθαῖος ἑτέρως φησί· τὸν μὲν γὰρ Κύριον ἐρωτῆσαι. Τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις ὁ δεσπότης τοῦ ἀμπελῶνος; καὶ τοὺς Ἰουδαίους ἀποκριθέντας εἰπεῖν, Κακοὺς κακῶς ἀπολέσει αὐτοὺς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις. Ἆρ' οὖν ἐναντιολογία ἐστίν; Ἄπαγε. Ἀμφότερα γὰρ εἰκὸς γεγενῆσθαι, καὶ κατὰ μὲν τὸν Ματθαῖον αὐτοὺς ἐκείνους τὴν ψῆφον ἐξενεγκεῖν, εἶτα συναισθομένους ποῦ φέρει ἡ παραβολὴ, καὶ ὅτι δι' αὐτοὺς εἴρηται, πάλιν εἰπεῖν τοῦτο, ὃ νῦν ὁ Λουκᾶς φησι, τὸ,

[5] Matth. XXI, 40.

Μὴ γένοιτο. Τί οὖν ὁ Χριστός; Ἐπάγει καὶ ἑτέραν A μαρτυρίαν ἀπὸ τοῦ Δαυὶδ, λίθον μὲν ἑαυτὸν ὀνομάζων, οἰκοδόμους δὲ τοὺς διδασκάλους αὐτοὺς καθὰ καὶ ὁ Ἰεζεκιὴλ φησιν, Οἰκοδομοῦντες τὸν τοῖχον καὶ ἀλείφοντες ἀναρτύτως, τουτέστιν, οἱ τὰ πρὸς χάριν λέγοντες, καὶ συγκαλύπτοντες τὰ ἐλαττώματα τοῦ λαοῦ καὶ οἷον ἐμπλάττοντες ἐπιπολαίως τὰ σαθρὰ τοῦ λαοῦ, ὥσπερ τινὸς τοίχου. Πῶς δὲ ἀπεδοκίμασαν τοῦτον τὸν λίθον; Εἰπόντες· Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. Δύο δὲ ἀπωλείας ἐνταῦθα λέγει· μίαν μὲν τὴν τῶν ψυχῶν αὐτῶν, ἣν αὐτοὶ σκανδαλισθέντες ἔπαθον· Πᾶς γὰρ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται· ἑτέραν δὲ τὴν ἀπὸ τῆς αἰχμαλωσίας, ἣν ὁ λίθος αὐτοῖς ἐπήγαγεν, ὁ παρ' αὐτῶν ἐξουδενωθείς. Ἐφ' ὃν γὰρ, φησὶ, πέσει, λικμήσει αὐτόν. B Οὕτως οὖν ἐκλικμήθησαν οἱ Ἰουδαῖοι, καὶ διεσπάρησαν, ὥσπερ ἄχυρα ἀπὸ μιᾶς ἅλωνος, τῆς Ἰουδαίας, εἰς πάντα τὸν κόσμον. Παρατήρησον δὲ, ὅτι πρότερον ἐκεῖνοι ἔπεσον ἐπὶ τὸν λίθον, τουτέστιν, ἐσκανδαλίσθησαν, εἶθ' οὕτως ὁ λίθος ἔπεσεν ἐπ' αὐτοὺς, καὶ ἐτιμωρήσατο· προηγεῖται γὰρ ἡ ἐμὴ ἁμαρτία, εἶθ' οὕτως ἡ τοῦ Θεοῦ ἐπ' ἐμὲ δικαία τιμωρία. Ἀλλ' οἱ μὲν Ἰουδαῖοι ἀπεδοκίμασαν τὸν λίθον τοῦτον· ὁ δὲ τοσοῦτον ἦν καλὸς, καὶ ἐκλεκτὸς, ὥστε εἰς κεφαλὴν γωνίας τεθῆναι, καὶ δύο τοίχους συμβαλέσθαι καὶ ἑνῶσαι, τά τε παλαιὰ καὶ τὰ νέα. Καίτοι ἔδει αὐτοὺς ἀκοῦσαι Ἡσαΐου λέγοντος· « Κύριον αὐτὸν ἁγιάσετε, καὶ αὐτὸς ἔσται ὑμῖν φόβος, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσετε αὐτῷ, οὐδ' ὡς πέτρας πτώματι. » Οἱ δὲ καὶ γνόντες, ὅτι δι' αὐτοὺς C τὴν παραβολὴν λέγει, βουλεύονται κατ' αὐτοῦ, καὶ εἰ μὴ ἦν ὁ τοῦ λαοῦ φόβος, καὶ χεῖρας ἂν ἐπέβαλον ἐπ' αὐτόν. Καὶ τοῦ μὲν νόμου λέγοντος, Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς, παρήκουσαν, τὸν δὲ τῶν ἀνθρώπων θυμὸν φοβοῦνται, καὶ ἀναστέλλονται τῆς ἐκ τοῦ φανεροῦ ἐπιθέσεως· ἐπιβουλεύουσι δὲ ἄλλως.

« Καὶ παρατηρήσαντες, ἀπέστειλαν ἐγκαθέτους ὑποκρινομένους ἑαυτοὺς δικαίους εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγον εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ, καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος. Καὶ ἐπηρώτων αὐτὸν, λέγοντες· Διδάσκαλε, οἴδαμεν, ὅτι ὀρθῶς λέγεις, καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις· ἔξεστιν ἡμῖν φόρον Καίσαρι δοῦναι, ἢ οὔ; Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν, εἶπε πρὸς αὐτούς· Τί με D πειράζετε; Ἐπιδείξατέ μοι δηνάριον. Τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; Ἀποκριθέντες εἶπον, Καίσαρος. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἀπόδοτε τοίνυν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον τοῦ λαοῦ, καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ, ἐσίγησαν. » Παγίδα ἡτοίμασαν οἱ Φαρισαῖοι δυσδιάφυκτον τῷ Κυρίῳ, ὥς γε ἐδόκουν, ἀλλὰ συνελήφθη ἐν ταύτῃ ὁ ποὺς αὐτῶν· ἴδε γὰρ κακουργίαν. Εἰ μὲν εἴποι, φησὶν, ὅτι δεῖ φόρους διδόναι Καίσαρι, κατηγορητέος πρὸς τὸν λαὸν, ὡς τὸ ἔθνος εἰς δουλείαν ὑπάγων, σπέρμα Ἀβραὰμ ὂν, καὶ

Christus? adducit et aliud testimonium ex David, lapidem quidem seipsum nominans, ædificantes autem doctores ipsos: quemadmodum et Ezechiel dicit: Ædificantes parietem et linientes absque temperatura, hoc est, qui ad gratiam loquuntur, et cooperiunt delicta populi, et veluti in superficie vitia populi liniunt, velut parietem quemdam. Quomodo autem reprobaverunt lapidem illum? quia dicebant: Hic non est ex Deo. Duas autem perditiones hic dicit: Unam animarum illorum in quam incidebant scandalizati: Omnis enim qui ceciderit super lapidem istum, confringetur; alteram captivitatis, quam contemptus ille lapis eis attulerit. Super quem enim ceciderit, dissilire illum faciet. Sic igitur dissiluerunt Judæi, et dispersi sunt, sicut paleæ ab una area Judææ in totum **454** mundum. Observa autem quod illi prius ceciderunt super lapidem, hoc est, scandalizati sunt, deinde lapis cecidit super eos, et ultus est illos: præcedit enim peccatum meum, deinde sequitur et justa Dei vindicta. Verum Judæi quidem reprobaverunt lapidem istum. At lapis ille erat pulcher et electus, ita ut et in caput anguli sit positus, et conjunxerit parietes, et univerit vetera ac nova. Et quid multis? Oportebat illos audire Isaiam dicentem: « Dominum ipsum sanctificate, et ipse erit vester timor, et non impingetis in illum ut in lapidem offensionis, et petram scandali[6]. » At illi scientes quod propter ipsos parabolam dicat, consilium ineunt contra eum, et nisi fuisset timor populi, etiam manus injecissent in eum. Et contempserunt quidem legem quæ dicit: Innocentem et justum non occides. Timuerunt autem et repressi sunt a metu hominum, ne manifeste invadant eum, sed clam ei denuo insidiantur.

VERS. 21-26. « Et observantes emiserunt insidiatores qui se justos simularent, ut caperent eum ex sermone, traderentque illum principatui et potestati præsidis: et interrogaverunt eum, dicentes: Magister, scimus quod recte dicis ac doces, nec respicis personam, sed viam Dei cum veritate doces: licet nobis tributum dare Cæsari, an non? Intellecta autem illorum versutia, dixit ad eos: Quid me tentatis? Ostendite mihi denarium. Cujus habet imaginem et inscriptionem? Respondentes dixerunt, Cæsaris. Et ait illis: Reddite ergo quæ sunt Cæsaris, Cæsari: et quæ sunt Dei, Deo. Et non potuerunt verbum ejus reprehendere coram populo; et mirati super responso ejus, obmutuerunt. » Laqueum paraverant Pharisæi, quem difficile, ut sibi videbatur, effugere poterat Dominus: sed comprehensus est illo pes eorum. Vide enim malitiam. Nam si quidem dixisset dandum tributum Cæsari, accusassent eum apud populum quod in servitutem redigere studeat gentem quæ semen Abrahæ sit, et nullius servituti obnoxia: sin pro-

6 Isa. VIII, 13, 14.

hibuisset dare, iterum ad præsidem ut seditiosum traxissent. Verum ipse laqueos eorum effugit ut caprea, quo nomine ipsum in Canticis appellavit sponsa, et docet ut ei qui potestatem habet super corpora nostra corporaliter subjaceamus, sive rex ille sit, sive tyrannus, nihil enim hoc nobis nocet ut spiritualiter bene placeamus Deo spirituum. Reddite enim, inquit, quæ Cæsaris sunt, Cæsari, et quæ sunt Dei, Deo. Et vide quia non dixit, date sed reddite Debitum igitur, inquit, est : reddite igitur debitum. Custodit te princeps tuus ab hostibus, vitam tuam pacatam facit : debes itaque ei pro his tributum, præsertim cum et ipsum quem profers nummum, ab illo ipso habes. Igitur numisma regis iterum illi redde, interim autem 455 tibi lucraris, quod per ipsum, quæ vitæ debita sunt, præstantur. Sic denique et quæ Dei sunt, Deo sunt reddenda. Dedit tibi mentem, illam redde ei, juxta mentem operans : dedit tibi rationem, redde ei illam, ne fias brutis insipientibus similis, sed facias omnia ut rationalis. Et in summa, dedit tibi animam et corpus : omnia redde ei, et imaginem suam restitue ei per fidem, per spem, perque charitatem incedens. Sane et aliter reddenda sunt Cæsari, quæ Cæsaris sunt, unusquisque enim nostrum imaginem Dei gestat, vel principis mundi. Cum igitur similes nos fecerimus Cæsari, facti filii diaboli, imaginem ejus gestantes, illam reddere ei oportet, et abjicere : ut habeat quæ sua, et nihil inveniat in nobis quod proprie suum sit. Ita et imago Dei servetur a nobis incontaminata. Idcirco et Paulus admonet, sicut portavimus imaginem terreni, ita portemus et imaginem cœlestis ; 7 et alio loco : Deponentes veterem hominem 8. Quod hoc loco dicitur reddi, id apud Paulum dicitur deponi : et quod hic imago Cæsaris, hoc illic imago terreni peccatoris, Adæ scilicet, ac veteris hominis. Nam imago terreni nihil aliud quam corruptio et peccatum, quod habuimus assimilari apostatæ, et non regi. Porro non potuerunt Pharisæi comprehendere Jesum in sermone coram populo ; hic enim maxime conabantur, ut apud populum ipsum accusare valerent, quod illum servituti Romani populi subigeret : sed efficere nihil valuerunt, propter excellentem ipsius sapientiam.

VERS. 27-40 « Accesserunt autem quidam Sadducæorum qui negant esse resurrectionem, et interrogaverunt eum, dicentes : Magister, Moses scripsit nobis : si cujus frater mortuus fuerit habens uxorem, isque sine liberis mortuus fuerit, ut accipiat frater ejus uxorem, et suscitet semen fratri suo. Septem ergo fratres erant, et primus accepit uxorem, ac mortuus est sine liberis : et accepit secundus illam, et ipse mortuus est sine liberis : et tertius accepit illam, similiter et cæteri septem,

A μηδενὶ δουλεῦσαν· εἰ δὲ κωλύει φόρους διδόναι, πάλιν πρὸς τὸν ἡγεμόνα ἄξουσιν, ὡς στασιαστήν. Ὁ δὲ τοὺς βρόχους αὐτῶν ἐκφεύγει, ὡς δορκάς, οὕτω γὰρ αὐτὸν ἐν τῷ Ἄσματι ἡ νύμφη ὠνόμασε, καὶ διδάσκει, ὅτι τὸ σωματικῶς ὑποκεῖσθαι τῷ τῶν σωμάτων ἡμῶν ἐξουσιάζοντι, εἴπε βασιλεῖ, εἴπε τυράννῳ, οὐδὲν ἡμῖν λυμαίνεται πρὸς τὸ εὐαρεστεῖν πνευματικῶς τῷ Θεῷ τῶν πνευμάτων. Ἀπόδοτε γάρ, φησί, τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Καὶ ὅρα, οὐκ εἶπε Δότε, ἀλλ' Ἀπόδοτε. Χρέος, φησίν, ἐστίν, ἀπόδος οὖν τὴν ὀφειλήν. Φυλάττει σε ὁ ἄρχων σου ἐκ τῶν πολεμίων, τὸν βίον σου εἰρηναῖον καθιστᾷ· χρεωστεῖς οὖν αὐτῷ τὸν φόρον ἀντὶ τούτων, ἄλλως τε καὶ αὐτό, ὃ προσφέρεις, τουτέστι, τὸ νόμισμα, παρ' B ἐκείνου αὐτοῦ ἔχεις. Τὸ οὖν τοῦ βασιλέως νόμισμα ἀπόδος πάλιν αὐτῷ. Ἐν τῷ μέσῳ δὲ κεκέρδηκας δι' αὐτοῦ συναλλάσσων, καὶ τὰ πρὸς τὸν βίον χρειώδη μεταχειριζόμενος· ὥσπερ ἀμέλει καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ δεῖ ἀποδιδόναι. Δέδωκέ σοι νοῦν, ἀπόδος αὐτὸν αὐτῷ κατὰ νοῦν ἐνεργῶν. Δέδωκέ σοι λόγον, ἀπόδος αὐτὸν αὐτῷ, μὴ συμπαραβαλλόμενος τοῖς κτήνεσι τοῖς ἀνοήτοις, ἀλλ' ὡς λογικὸς πάντα πράττων. Καὶ ἁπλῶς δέδωκέ σοι ψυχήν, καὶ σῶμα, πάντα ἀπόδος αὐτῷ, καὶ τὴν εἰκόνα αὐτοῦ ἀποκατάστησον αὐτῷ διὰ πίστεως, δι' ἐλπίδος, δι' ἀγάπης βαδίζων. Καὶ μὲν καὶ ἑτέρως χρὴ ἀποδιδόναι τὰ Καίσαρος Καίσαρι· ἕκαστος γὰρ ἡμῶν ἢ Θεοῦ εἰκόνα φορεῖ, ἢ τοῦ κοσμοκράτορος. Ὅταν οὖν ὁμοιώσωμεν ἑαυτοὺς τῷ Καίσαρι, υἱοὶ τοῦ διαβόλου γινόμενοι, τὴν C εἰκόνα αὐτοῦ φοροῦμεν, ἣν δεῖ ἀποδιδόναι αὐτῷ, καὶ ἀποῤῥίπτειν ἵν' ἔχοι τὰ ἑαυτοῦ, καὶ μηδὲν ἐν ἡμῖν εὑρίσκῃ οἰκεῖον αὐτοῦ, οὕτως γὰρ καὶ ἡ εἰκὼν τοῦ Θεοῦ ἀμιγὴς τηρηθείη ἡμῖν. Διὸ Παῦλος παραινεῖ, Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. Καὶ ἀλλαχοῦ· Ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον. Ὅπερ ἐνταῦθα εἴρηται ἀποδιδόναι, τοῦτο παρὰ τῷ Παύλῳ τὸ ἀποθέσθαι, καὶ ἡ ἐνταῦθα εἰκὼν Καίσαρος, τοῦτο ἐκεῖ εἰκὼν χοϊκοῦ τοῦ ἁμαρτωλοῦ πάντως, Ἀδὰμ καὶ παλαιοῦ ἀνθρώπου. Ἡ γὰρ εἰκὼν τοῦ χοϊκοῦ, οὐδὲν ἄλλο, ἢ ἡ φθορά, καὶ ἡ ἁμαρτία, ἣν ἔσχομεν ἀφομοιωθέντες τῷ ἀποστάτῃ, καὶ μὴ τῷ βασιλεῖ. Οὐκ ἴσχυσαν οὖν οἱ Φαρισαῖοι ἐπιλαβέσθαι τοῦ Ἰησοῦ D ἐνώπιον τοῦ λαοῦ· τὸ γὰρ σπουδαζόμενον αὐτοῖς, μάλιστα τοῦτο ἦν, τὸ πρὸς τὸν λαὸν διαβαλεῖν τοῦτον, ὡς καταδουλοῦντα τοῖς Ῥωμαίοις τὸ ἔθνος, ὃ οὐκ ἴσχυσαν τελέσαι διὰ τὴν ὑπέρσοφον αὐτοῦ ἀπόκρισιν.

Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες ἀνάστασιν μὴ εἶναι, ἐπηρώτων αὐτὸν λέγοντες· Διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν, Ἐάν τινος ἀδελφὸς ἀποθάνῃ ἔχων γυναῖκα, καὶ οὗτος ἄτεκνος ἀποθάνῃ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. Ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν, καὶ ὁ πρῶτος λαβὼν γυναῖκα, ἀπέθανεν ἄτεκνος, καὶ ἔλαβεν ὁ δεύτερος τὴν γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος, καὶ ὁ τρίτος ἔλαβεν αὐτήν, ὡσαύτως δὲ καὶ οἱ ἑπτά. καὶ οὐ κατέλιπον τέκνα,

7 I Cor. xv, 19. 8 Coloss. III, 9.

καὶ ἀπέθανον. Ὕστεροι πάντων ἀπέθανε καὶ ἡ γυνή. A Ἐν τῇ οὖν ἀναστάσει, τίνος αὐτῶν γίνεται γυνή; Οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγαμίσκονται· οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν, καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίσκονται. Οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται, ἰσάγγελοι γάρ εἰσι, καὶ υἱοί τοῦ Θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες. Ὅτι δὲ ἐγείρονται οἱ νεκροί, καὶ Μωσῆς ἐμήνυσεν ἐπὶ τῆς βάτου, ὡς λέγει Κύριον τὸν Θεὸν Ἀβραάμ, καὶ τὸν Θεὸν Ἰσαάκ, καὶ τὸν Θεὸν Ἰακώβ. Θεὸς δὲ οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων, πάντες γὰρ αὐτῷ ζῶσιν. Ἀποκριθέντες δέ τινες τῶν Γραμματέων εἶπον· Διδάσκαλε, καλῶς εἶπας. Οὐκ ἔτι δὲ ἐτόλμων ἐπερωτᾷν αὐτὸν οὐδέν. » Σαθρὰν ὑποστήσαντες κρηπῖδα ἑαυ- B τοῖς οἱ Σαδδουκαῖοι, διηπίστουν τοῖς περὶ ἀναστάσεως λόγοις. Σωματικὴν γὰρ διαγωγὴν ἔσεσθαι ἐν τῇ ἀναστάσει ὑπονοοῦντες, εἰκότως ἐσφάλλοντο, διὸ καὶ ὡς ἄτοπον διαβάλλοντες τὸ περὶ τῆς ἀναστάσεως δόγμα, πλάττονται τὴν ἀνόητον διήγησιν ταύτην. Ὁ οὖν Κύριος τὴν κρηπῖδα αὐτοῖς διασαλεύσας, καὶ δείξας ὅτι οὐκ ἔστι σωματικὴ διαγωγή, τότε εὐθὺς τῇ σαθρᾷ ταύτῃ κρηπῖδι, καὶ ὑπονοίᾳ συγκατέσπασε τὸ δόγμα αὐτῶν, εἰπών· Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφάς, ἀλλὰ παρεκδεχόμενοι τὸν νοῦν αὐτῶν. Οἱ μὲν γὰρ υἱοὶ τοῦ αἰῶνος τούτου, οἱ ἐν τῷ κόσμῳ τούτῳ γεννῶντες, καὶ γεννώμενοι γαμοῦσι, καὶ ἐκγαμίσκονται, τουτέστιν, εἰς γάμους ἐκδίδονται· οἱ δὲ τοῦ αἰῶνος ἐκείνου υἱοὶ οὐδὲν τοιοῦτον, οὐδὲ γὰρ θανεῖν ἔτι δύνανται· διὸ οὐδὲ τὰ τοῦ γάμου ἐκεῖ, ἀλλ' ἀγγελικὴ καὶ θεία διαγωγή. Ἐνταῦθα μὲν γὰρ ἐπειδὴ C θάνατος, διὰ τοῦτο γάμος, καὶ ἐπειδὴ γάμος, διὰ τοῦτο θάνατος. Ἐκεῖ δὲ τοῦ θανάτου καταργηθέντος, τίς χρεία τοῦ γάμου; Ὁ γάμος γὰρ βοήθεια τοῦ θνητοῦ, καὶ πλήρωσις τοῦ λείποντος· ἔνθα δὲ οὐδὲν λείπει, τίς χρεία τοῦ πληροῦντος; Ἰσάγγελοι οὖν εἰσι, καὶ υἱοὶ τοῦ Θεοῦ. Διὰ τί; Ὅτι τῆς ἀναστάσεώς εἰσιν υἱοί. Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἶπον, φησίν, αὐτοὺς υἱοὺς Θεοῦ, διότι οὐδὲν σωματικὸν ἐν τῇ γεννήσει αὐτῶν ὁρᾶται, ἀλλὰ πάντα θεῖα· οὔτε γὰρ συνουσία προηγεῖται, οὔτε σπέρμα, οὔτε μήτρα, οὔτε κύησις ἐν τῇ ἀναστάσει, ἀλλὰ Θεός ἐστιν ὁ γεννῶν τὰ σώματα ἡμῶν λόγοις οἷς οἶδεν. » Οὐκοῦν ἐπεὶ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν τῇ ἀναστάσει, εἰκότως υἱοὶ λέγονται Θεοῦ οἱ ἐξ ἀναστάσεως ἀναγεννώμενοι. Ἐπιφέρει δὲ τοῖς λογισμοῖς καὶ μαρτυρίαν Γραφικήν. D Φησὶ γὰρ ὁ Μωσῆς τὸν Θεὸν εἰπεῖν αὐτῷ ἐκ τῆς βάτου· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ τὰ ἑξῆς. Εἰ δὲ ἅπαξ ἠφανίσθησαν οἱ πατριάρχαι, καὶ μὴ ἔζων παρὰ Θεῷ τῇ ἐλπίδι τῆς ἀναστάσεως, οὐκ ἂν εἶπεν, ὅτι Ἐγώ εἰμι, ἀλλ' Ἐγὼ ἤμην. Τοῦτο γὰρ εἰώθαμεν λέγειν ἐπὶ τῶν διεφθαρμένων καὶ ἀφανισθέντων πραγμάτων· Ἐγὼ ἤμην δεσπότης τοῦδε τοῦ πράγματος. Νῦν δὲ εἰπών, ὅτι Ἐγώ εἰμι, ἔδειξεν ὅτι ζώντων ἐστὶ Δεσπότης καὶ Θεός, καὶ οὐχὶ διεφθορότων πάντῃ· κἂν γὰρ νεκροὶ ὦσιν, ἀλλὰ τῇ ἐλπίδι τοῦ ἀναστῆναι, ζῶσιν, ὥσπερ καὶ ὁ Ἀδὰμ εἰ καὶ ἔζη, θνητὸς ἦν ὅμως, καὶ ἀπ' αὐτῆς τῆς ὥρας, ἀφ' ἧς ἔφαγε, ἀπο-

A nec reliquerunt liberos, et mortui sunt. Novissima omnium mortua est est et mulier. In resurrectione ergo, cujus eorum erit uxor? siquidem septem habuerunt eam uxorem. Et respondens ait illis Jesus : Filii hujus sæculi ducunt uxores, et nuptum dantur : illi vero qui digni habebuntur sæculo illo, et resurrectione ex mortuis, neque ducunt uxores, neque nuptum dantur, neque enim ultra mori possunt. Æquales enim angelis sunt, et filii sunt Dei, cum sint filii resurrectionis. Quod vero resurgant mortui, et Moses ostendit juxta rubum, cum dicit Dominum Deum Abraham, et Deum Isaac, et Deum Jacob : Deus autem non est mortuorum, sed vivorum; omnes enim illi vivunt. Respondentes autem quidam **456** Scribarum dixe- B runt : Magister, bene dixisti. Et amplius non audebant eum quidquam interrogare. » Invalidum fundamentum suæ doctrinæ fecerant Sadducæi, non credentes resurrectionem : cogitabant enim futuram corporalem vitam in resurrectione. Ideo tanquam absurdum resurrectionis dogma calumniantes, stultam hanc narrationem fingunt : unde Dominus fundamentum eorum statim concussit, et ostendit quod non sit corporalis vita tunc : quo factûm, ut dogma eorum, statim obtusa opinione, et invalido fundamento concideret. Erratis enim, inquit, nescientes Scripturas, sed invertentes sensum earum. Filii enim hujus sæculi generant et generantur, uxores ducunt et nuptum dantur, hoc est, in nuptias traduntur : filii vero sæculi illius nihil tale faciunt, neque enim ultra mori possibile C est. Proinde non illic fient ea quæ in nuptiis, sed angelica et divina vita est. Hic enim quia mors, ideo et nuptiæ : et quia nuptiæ, ideo et mors. Illic autem morte abolita, quis nuptiarum usus? Nuptiæ enim auxilium vitæ mortalis, et impletio ejus quod deficit : ubi autem nihil deficit, quid opus implente? Pares itaque sunt angelis, et filii Dei. Quare? Quia resurrectionis filii sunt. Quod autem dicit, talem sensum habet : Dixi, inquit, illos filios Dei, eo quod nihil corporeum in generetione eorum videatur, sed omnia divina sint. Neque enim in resurrectione præcedit vel coitus, vel semen, vel uterus, vel imprægnatio : sed Deus est qui generat corpora nostra modis quibus ipse scit. Et proinde quia Deus est qui operatur in D resurrectione, merito filii Dei dicuntur qui ex resurrectione nascuntur. Subdit autem rationibus etiam Scripturæ testimonium Moses enim inquit dixisse sibi Deum ex rubo : Ego sum Deus Abrahæ, etc. Quod si omnino evanuissent patriarchæ, et non vixissent apud Deum in spe resurrectionis, non utique dixisset Deus : Ego sum : sed, Ego eram. De rebus enim perditis et corruptis dicere solemus : Ego eram dominus hujus et hujus rei. Nunc autem quia dixit : Ego sum, ostendit quod sit viventium Dominus et Deus, et non omnino corruptorum, etiamsi mortui sint, sed spe resurgendi vivunt : sicut et Adam quamvis vivebat,

attamen mortalis erat, nam ab ipsa hora qua comedit, mori dicebatur. Confusis autem Sadducæis, approbaverunt dictum Jesu Scribæ, utpote adversarii illorum, gaudentes illos victos.

VERS. 41-47. « Dixit autem ad illos : Quomodo dicunt Christum filium esse David, et ipse David dicit in libro Psalmorum : Dixit Dominus Domino meo. Sede in dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum ? David ergo Dominum 457 illum vocat, et quomodo filius ejus est ? Audiente vero cuncto populo dixit discipulis suis : Cavete a Scribis, qui volunt ambulare in stolis, et amant salutationes in foris, ac primas cathedras in Synagogis, et primos discubitus in conviviis ; qui devorant domos viduarum, simulantes longam orationem : hi accipient majorem condemnationem. » Ad passionem propediem accessurus, suam prædicat divinitatem : idque non admodum aperte, nec jactanter, sed modeste. Interrogat enim illos, et perplexos reddit, sinitque ratiocinari quid consectaneum. David enim, inquit, Dominum vocat, et quomodo filius ejus est purus ? Erat enim et filius David secundum carnem, sed et Deus ejus. Illi autem solum filium David esse opinabantur, ideo opinionem eorum evertit, qua putabant filium Davidis solum. Declarat item quod non sit adversarius Deo Patri, sed multam cum illo habeat concordiam, siquidem inimicos ejus humiliat Pater. Et hæc quidem Scribis dixit. Quia autem discipulos magistros orbis misit, merito eos admonet ne imitentur Pharisæorum arrogantiam, et ambitiosam mentem : et simpliciter ne cogitent quomodo placeant hominibus. Nam salutationibus fori studere, adulantium occurrentibus est, et opinionem probitatis venantium, vel hanc occasionem ad congregandas divitias admittentium : quin et hi viduarum domos devorant, ventri dediti, et ultra quam opus sit insumunt, et prætextus quasi pius est. Preces enim et utilitatem animarum prætexentes, non jejunium docent, sed ebrietatem et gastrimargiam : et propterea accipient ampliorem condemnationem : quia non solum faciunt malum, sed prætexunt preces, et piam honestatem ac virtutem faciunt prætextum peccati. Propterea sane gravius sunt puniendi, ut qui rem honestam calumniæ reddunt obnoxiam. Oportebat sane misereri viduis, illi autem et domos earum ingrediuntur quasi per longas preces benedicant ; interim viduæ in præsentia illorum multos coguntur sumptus facere, quo fit ut exhauriantur illarum divitiæ.

A θανεῖν λέγεται. Τῶν Σαδδουκαίων δὲ οὕτως αἰσχυνθέντων, ἀποδέξαντο τὸν Ἰησοῦν οἱ Γραμματεῖς, ὡς ἀντίτεχνον τῶν Σαδδουκαίων, ἡσθέντες ἐπὶ μῇ ἐκείνων ἥττῃ.

« Εἶπε δὲ πρὸς αὐτούς· Πῶς λέγουσι τὸν Χριστὸν υἱὸν Δαυῒδ εἶναι, καὶ αὐτὸς Δαυῒδ λέγει ἐν βίβλῳ Ψαλμῶν, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου ; Δαυῒδ οὖν Κύριον αὐτὸν καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ ἐστιν ; Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Προσέχετε ἀπὸ τῶν Γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς Συναγωγαῖς, καὶ πρωτοκλισίας
B ἐν τοῖς δείπνοις, οἳ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρᾷ προσεύχονται. Οὗτοι λήψονται περισσότερον κρῖμα. » Ἐπὶ τὸ πάθος, ὅσον οὔπω, μέλλων ἔρχεσθαι τὴν ἑαυτοῦ ἀνακηρύττει θεότητα, καὶ οὐδὲ τοῦτο ἀπαρακαλύπτως καὶ ἀλαζονικῶς, ἀλλὰ καὶ σφόδρα μετριοφρόνως. Ἐρωτᾷ γὰρ αὐτοὺς, καὶ εἰς ἀπορίαν ἐναγαγὼν ἀφίησιν αὐτοὺς συλλογίσασθαι τὸ ἀκόλουθον. Δαυῒδ γὰρ, φησὶ, Κύριον αὐτὸν καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ ἐστι ψιλός ; Ἦν μὲν γὰρ υἱὸς Δαυῒδ τὸ κατὰ σάρκα, ἀλλὰ καὶ Θεὸς αὐτοῦ· ἐκεῖνοι δὲ μόνον τοῦτο υἱὸν αὐτὸν τοῦ Δαυῒδ ἐνόμιζον. Διὸ ἀνατρέπει ταύτην αὐτῶν τὴν δόξαν τὴν περὶ τοῦ ψιλὸν εἶναι υἱὸν τοῦ Δαυῒδ, ἐμφαίνει δὲ καὶ ὅτι οὐκ ἀντίθετός ἐστι τῷ Πατρὶ, ἀλλὰ πολλὴν τὴν ὁμόνοιαν ἔχει πρὸς αὐτὸν, εἴγε τοὺς ἐχθροὺς αὐτοῦ
C καταγωνίζεται ὁ Πατήρ. Ταῦτα μὲν οὖν τοῖς Γραμματεῦσιν. Ἐπεὶ δὲ τοὺς μαθητὰς διδασκάλους τῆς οἰκουμένης ἀπέστειλεν, εἰκότως αὐτοῖς παραινεῖ μὴ μιμεῖσθαι τῶν Φαρισαίων τὴν φιλόδοξον καὶ φιλόπρωτον γνώμην, καὶ ἁπλῶς κοσμικὴν καὶ ἀνθρωπάρεσκον. Τὸ γὰρ τοὺς ἀσπασμοὺς ἐπιτηδεύειν ἐν ταῖς ἀγοραῖς, κολακευόντων ἐστὶ τοὺς ἐντυγχάνοντας, καὶ δόξαν καλοηθείας θηρωμένων, ἢ συναγωγῆς χρημάτων πρόφασιν τοῦτο τιθεμένων. Ἀλλὰ καὶ τὰς οἰκίας τῶν χηρῶν, φησὶ, κατεσθίουσι γαστριζόμενοι, καὶ πέρα τοῦ δέοντος ἀναλίσκοντες· καὶ ἡ πρόφασις ὡς εὐλαβής. Εὐχὴν γὰρ καὶ ὠφέλειαν ψυχικὴν προφασιζόμενοι, οὐ νηστείαν διδάσκουσιν, ἀλλὰ μέθην, καὶ γαστριμαργίαν, καὶ διὰ τοῦτο λήψονται, φησὶ,
D περισσότερον κρῖμα, ὅτι οὐ μόνον ποιοῦσι τὸ κακὸν, ἀλλὰ καὶ προφασίζονται εὐχάς. Καὶ τὸ πρόσχημα αὐτοῖς εὐλαβὲς, καὶ τὴν ἀρετὴν πρόφασιν ποιοῦνται πονηρίας. Διὸ δὴ καὶ περισσότερον κατακριτέοι ὡς καὶ τὸ καλὸν διαβάλλεσθαι ποιοῦντες. Δέον γὰρ τὰς χήρας ἐλεεῖν· οἱ δὲ εἰσέρχονται εἰς τὰς οἰκίας αὐτῶν, ὡς δῆθεν διὰ τῶν μακρῶν εὐχῶν εὐλογήσοντες· αἱ δὲ ἀναγκάζονται ἀναλίσκειν ἐπὶ τῇ παρουσίᾳ αὐτῶν, καὶ οὕτως ἐκδαπανῶνται.

## CAPUT XXI.

*De muliere cum duobus minutis. Interrogatio de ultima consummatione. De obsidione Jerusalem, et quod Christus prædixerit discipulis ejus vastitatem. De signis.*

VERS. 1-4. « Respiciens autem vidit eos qui mittebant munera sua in gazophylacium divites. Vidit

## ΚΕΦΑΛ. ΚΑ'.

Περὶ τῆς τὰ δύο λεπτὰ βαλούσης χήρας. Περὶ συντελείας ἐπερώτησις. Περὶ τῆς ἁλώσεως Ἱερουσαλὴμ, καὶ ὅτι ὁ Κύριος προεῖπε τοῖς μαθηταῖς τὴν αὐτῆς ἐρήμωσιν. Περὶ τῶν σημείων.

Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους. Εἶδε δὲ καί τινα χή-

ραν πενιχρὰν βαλλουσαν ἐκεῖ δύο λεπτά. Καὶ εἶπεν· A Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν. Ἅπαντες γάρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ, αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον, ὃν εἶχεν ἔβαλεν. » Γάζαν τὸν θησαυρόν φασιν εἶναι. Ἦν οὖν ἱερὸς θησαυρὸς ἀπὸ φιλοθέων ἐρανιζόμενος, ᾧ ἐχρῶντο εἰς περιποίησιν, καὶ ἐπισκευὴν τοῦ ἱεροῦ, καὶ ἁπλῶς εἰς κόσμον τοῦ ναοῦ, καὶ πενήτων διατροφὰς, κἂν ὕστερον καὶ τοῦτο ἐκαπήλευον οἱ ἱερεῖς, διανεμόμενοι τὸν θησαυρὸν, ἀλλὰ μὴ πρὸς ἃ ἐξ ἀρχῆς ἀφώριστο, τούτῳ χρώμενοι. Ἐπαινεῖ τοίνυν παρὰ πάντας τοὺς ἄλλους τὴν χήραν ὁ Κύριος, ὡς ἐκ τοῦ ὑστερήματος αὐτῆς βαλοῦσαν ὅλον τὸν βίον αὐτῆς. Οἱ γὰρ δύο ὀβολοὶ, εἰ καὶ μικροὶ δοκοῦσιν, ἀλλ' οὖν ὅλος ὁ βίος τῇ ἐκ τοῦ προσαιτεῖν διατρε- B φομένῃ εἰσί· χήρα γὰρ ἦν πενιχρά. Οὐκ εἰς τὸ διδόμενον οὖν ἀφορῶν ὁ Κύριός, ἀποδίδωσι τὰς ἀμοιβὰς, ἀλλ' εἰς τὸ λειπόμενον. Τοῖς μὲν οὖν πλουσίοις πλείω κατελείπεντο ἐν τοῖς οἴκοις, ὀλίγα καὶ μικρὰ προσενεγκοῦσι. Τῇ δὲ ἅπασα ἡ οἰκία κεκένωτο, καὶ οὐδὲν ὑπελείφθη. Εἰκότως οὖν καὶ ἀξιεπαινετωτέρα ἐκείνων. Ἐνόησαν δέ τινες χήραν δύνασθαι ἐκληφθῆναι πᾶσαν ψυχὴν τὸν πρότερον ἄνδρα, τὸν παλαιὸν νόμον ἀποβαλοῦσαν, οὔπω δὲ τῆς πρὸς τὸν Θεὸν Λόγον συναφείας ἀξίαν· καὶ ταύτην προσάγειν ἀῤῥαβῶνος λόγῳ τὴν λεπτὴν καὶ τέως σύμμετρον αὐτῇ πίστιν καὶ ἀγαθὴν συνείδησιν. Δεῖ γὰρ μετὰ τῆς πίστεως καὶ ἀγαθὴν συνείδησιν ἤτοι βίον ἀδιάστροφον φέρεσθαι, καὶ εἰ οὕτω (10) προσέρχεταί τις Θεῷ, μείζω πάντων βαλεῖν δοκεῖ τῶν ἐν λόγῳ πλουσίων, C καὶ ἠθικαῖς ἑλληνικαῖς περιττῶν.

» Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι κεκόσμηται, εἶπε· Ταῦτα ἃ θεωρεῖτε, ἐλεύσονται ἡμέραι, ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ, ὃς οὐ καταλυθήσεται. Ἐπηρώτησαν δὲ αὐτὸν, λέγοντες· Διδάσκαλε, πότε οὖν ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον, ὅταν μέλλῃ ταῦτα γίνεσθαι; Ὁ δὲ εἶπε· Βλέπετε μὴ πλανηθῆτε. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ὅτι Ἐγώ εἰμι, καὶ ὁ καιρὸς ἤγγικε· μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. Ὅταν δὲ ἀκούσητε πολέμους, καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε. Δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ' οὐκ εὐθέως τὸ τέλος. Τότε ἔλεγεν αὐτοῖς· Ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν, σεισμοί τε μεγάλοι κατὰ τόπους, καὶ λιμοὶ, D καὶ λοιμοὶ ἔσονται, φόβητρά τε, καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται. » Εἰκότως ὁ Κύριος προφητεύει περὶ τῆς Ἱερουσαλὴμ νῦν, ἅτε δὴ πρὸς τὸ σταυρωθῆναι, ὅσον οὔπω, ὤν, ἵν' ἔχοιμεν καὶ ταῦτα εἰς μεγάλην ἀπόδειξιν τοῦ ἀληθῆ Θεὸν εἶναι αὐτόν. Ὅθεν καί τινων ἐπαινούντων τὰς οἰκοδομὰς τοῦ ἱεροῦ καὶ τὰ ἀναθήματα· οἶμαι δὲ τὰ τορευτὰ ἐκεῖνα

autem et quamdam viduam pauperculam mittentem illuc æra minuta duo, et dixit: Vere dico vobis quod 458 vidua hæc pauper plus quam omnes misit. Nam omnes hi ex eo quod ipsis exuberat, miserunt in munera Dei, hæc autem ex penuria sua universam substantiam quam habebat, misit. » Gazam thesaurum dicunt. Erat itaque sacer thesaurus quem pii contribuerant, quo utebantur ad apparationem et necessaria sacrificii, et ad ornatum templi, pauperumque alimoniam: quamvis et de hoc postea negotiationem fecerunt sacerdotes, distribuentes thesaurum non in ea ad quæ contributus fuerat. Laudat igitur Dominus viduam supra omnes, quod ex penuria sua totam suam substantiam dederat. Nam hi duo oboli etsi parvi videbantur, attamen totus victus ex mendicimonio erat. Vidua enim erat pauper. Neque enim Dominus mercedem reddet respiciens ad id quod datur, sed ad id quod deficit. Igitur plura divites in domibus relinquunt, parvaque ac pauca offerunt: hæc autem totam domum evacuavit, nihilque sibi reliquit. Merito igitur dignior est quæ laudetur, quam illi. Intellexerunt quidam omnem animam exponi posse per viduam, quæ priore viro, hoc est, veteri lege, relicto, nondum Verbo Dei copulata, nunc ista pro arrhabone afferat, fidem tenuem ac parvam, et pro sua mensura, conscientiam puram habens, ut simpliciter in vita et doctrina appareat inculpata. Opus enim est cum fide et bonam conscientiam, seu vitam rectam afferre (*u*): et si sic accesserit quis ad Deum, videtur mittere plus omnibus, qui eruditione sunt divites, et gentilium virtutibus abundant.

VERS. 5-11. «Et quibusdam dicentibus de templo quod pulchris lapidibus ac donis ornatum esset, dixit: Ex his quæ videtis, venient dies in quibus non relinquetur lapis super lapidem qui non diruatur. Interrogaverunt autem illum, dicentes: Præceptor, quando hæc erunt? et quod signum quando ista futura sunt? At ille dixit: Videte ne seducamini. Multi enim venient sub nomine meo dicentes: Ego, et tempus instat: ne igitur sequamini illos. Cæterum cum audieritis bella et seditiones, nolite terreri. Oportet enim prius hæc fieri, sed non statim finis. Tunc dicebat illis: Insurget gens contra gentem, et regnum adversus regnum, et terræmotus magni erunt in singulis locis, et fames ac pestilentiæ, terriculamentaque et signa de cœlo magna erunt.» Merito Dominus prædicit nunc de Jerusalem subversione, quoniam prope erat ut crucifigeretur, ut sit et hoc magnum argumentum ipsum esse Deum. Unde, quibusdam laudantibus structuras templi, et quæ in illud oblata erant; opinor autem illum de sculptis et tornatis loqui ut

**Ex collatione codd. Venet. S. Marci.**

(10) Codd. 26 et 32, Ἤτοι βίον ἔχειν, καὶ, ἁπλῶς εἰπεῖν, περί τε τὰ δόγματα, καὶ περὶ τὸν βίον, ἀδιάστροφον φαίνεσθαι, Καὶ εἰ οὕτω, κ. τ. λ. « Seu vitam habere, seu, ut simplicius dicam, tum in doctrina, tum in moribus rectum esse. Et si sic, » etc.

(*u*) **In Edit. Lut. sensus implicatus. Desunt verba,** ***seu vitam rectam afferre.***

erant palmæ et Cherubim, et similia; hæc enim forte ἀναθήματα, hoc **459** est, dona, dicit: Dominus vero nihil horum miratur, sed et destructionem eorum prædicit. Abi autem opinati sunt eum de consummatione universali locutum, quamvis de captivitate Hierosolymorum et Romano exercitu dicat: ideo et ipse morem gerens eis relinquit sermonem de captivitate, dicturus de ea postea: nunc autem de consummatione sæculi loquitur, et præmunit eos, ne se falsis prophetis ante suum adventum venturis subdant. Erunt autem bella et seditiones: nam cum sublata fuerit omnis charitas, merito locum habebunt bella et seditiones. Post bella vero fames et pestilentiæ: et pestilentiæ quidem corrupto ab occisis aere, fames autem ex agris non cultis. Quidam pestilentiam et famem non tantum in consummatione sæculi, sed etiam in captivitatis temporibus fore intellexerunt Etenim Josephus miras tunc calamitates fuisse dicit propter famem, et meminit etiam Lucas in Actis: Facta est fames sub Claudio Cæsare [9]. Porro et terriculamenta multa fuerunt, captivitatem, ut idem narrat, ipsius Jerusalem declarantia. Omnino tamen hæc sequentia, de seditionibus, bellis, et fame ac cæteris loquor, possunt tam de captivitate Jerusalem, quam de consummatione sæculi intelligi.

VERS 12-19. «Sed ante hæc omnia injicient vobis manus suas, et persequentur, tradentes in conciliabula et carcere, trahentes ad reges et præsides propter nomen meum. Contingent autem vobis in testimonium. Habete igitur fixum in cordibus vestris, non esse præmeditandam defensionem. Nam ipse dabo vobis os et sapientiam cui non poterunt contradicere neque resistere omnes qui adversabuntur vobis. Trademini autem etiam a patribus et fratribus, et cognatis et amicis, et morte afficient quosdam ex vobis. Et eritis invisi omnibus propter nomen meum. Et pilus de capite vestro non peribit. Per patientiam vestram possidete animas vestras.» Ante hæc omnia, hoc est, ea quæ fient ante consummationem, vel etiam captivitatem. Nam, ut dixi, conjungit sermonibus de consummatione, sermones de captivitate. Injicient enim, inquit, in vos meos discipulos, manus Et ante captam Jerusalem persecutione pulsi sunt apostoli ex Hierosolymis: Deo hoc ita dispensante, ut milites solum concuterent, et graviter affligerent Judæos qui Christum ad crucem adegerant; apostoli interim totum mundum prædicatione implerent. Ducti sunt igitur apostoli ad reges et præsides, sicut Paulus ad Festum, ad Agrippam [10], ad Cæsarem, et factum est eis hoc in gloriam testimonii Quia autem idiotæ et imperiti erant, ne turbarentur reddituri rationem apud viros sapientes: Nihil, inquit, de hac re vobis curæ sit; accipietis enim tunc a me eloquentiam **460** et

[9] Act. XI, 28. [10] Act. XXV, 26.

A καὶ γλυπτὰ λέγειν, οἷον φοίνικας καὶ Χερουβὶμ ταῦτα γὰρ ἴσως τὰ ἀναθήματά φησιν· Ὁ Κύριος οὐδενὸς τούτων ἐπιστρέφεται, ἀλλὰ τὴν κατάλυσιν αὐτῶν προλέγει. Οἱ δὲ ᾠήθησαν αὐτὸν περὶ τῆς καθολικῆς συντελείας λέγειν, καίτοι περὶ τῆς ὑπὸ Ῥωμαίων ἁλώσεως τῶν Ἱεροσολύμων λέγοντα. Διὸ καὶ αὐτὸς συγκαταβαίνων αὐτοῖς, ἀφίησι μὲν τέως τοὺς περὶ τῆς ἁλώσεως λόγους, μέλλει γὰρ αὐτοὺς παραπλέξαι τοῖς μετὰ ταῦτα, νῦν δὲ περὶ τῆς συντελείας διαλαμβάνει, καὶ προασφαλίζεται αὐτοὺς, ὥστε τοῖς πρὸ τῆς αὐτοῦ παρουσίας μέλλουσιν ἐλθεῖν ψευδοπροφήταις μὴ ὑπαχθῆναι. Ἔσονται δὲ πόλεμοι καὶ ἀκαταστασίαι· πάσης γὰρ ἀγάπης ἀναιρεθείσης, εἰκότως οἱ πόλεμοι καὶ αἱ ἀκαταστασίαι χώραν ἕξουσιν, ἀπὸ δὲ τῶν πολέμων λιμοὶ καὶ λοιμοί· οἱ μὲν ὡς B τοῦ ἀέρος ἐκ τῶν θνησιμαίων διαφθειρομένου, οἱ δὲ ὡς μὴ τῶν χωρῶν γεωργουμένων. Τινὲς δὲ τοὺς λιμοὺς, καὶ λοιμοὺς, καὶ τὰς ἄλλας θλίψεις οὐκ ἐν τῇ συντελείᾳ μόνον ἔσεσθαι, ἀλλὰ καὶ τοῖς τῆς ἁλώσεως καιροῖς ἐξεδέξαντο. Καὶ γὰρ Ἰώσηπος ἀφορήτους συμφορὰς διὰ τὸν λιμὸν λέγει γεγενῆσθαι. Ἀλλὰ καὶ καθὼς φησι Λουκᾶς ἐν ταῖς Πράξεσιν, ἐγένετο λιμὸς ἐπὶ Κλαυδίου Καίσαρος. Ἀλλὰ μὴν καὶ φόβητρα πολλὰ γεγόνασι τὴν ἅλωσιν τῆς Ἱερουσαλὴμ δηλοῦντα, ὡς ὁ αὐτὸς Ἰώσηπος ἱστορεῖ. Ὅλως τε ταῦτα κοινὰ δύνανται νοεῖσθαι τοῦ τε καιροῦ τῆς συντελείας καὶ τῆς ἁλώσεως, τὰ περὶ τῶν ἀκαταστασιῶν φημι καὶ τῶν πολέμων καὶ τῶν λοιπῶν.

« Πρὸ δὲ τούτων πάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσιν, παραδιδόντες εἰς συναC γωγὰς, καὶ φυλακὰς, ἀγομένους ἐπὶ βασιλεῖς, καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου, ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾷν ἀπολογηθῆναι. Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα, καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ συγγενῶν, καὶ φίλων, καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. » Πρὸ τούτων πάντων, τῶν τῆς συντελείας, ἢ καὶ τῶν τῆς ἁλώσεως· ὡς εἶπον γὰρ παραπλέκει τοῖς περὶ τῆς συντελείας λόγοις τοὺς περὶ τῆς ἁλώσεως. Ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς, φησὶ, τοὺς ἐμοὺς μαθητὰς, τὰς χεῖρας. Καὶ D πρὸ τῆς ἁλώσεως γὰρ ἐδιώχθησαν οἱ ἀπόστολοι ἐκ τῶν Ἱεροσολύμων, τοῦ Θεοῦ καὶ τοῦτο οἰκονομοῦντος, ἵνα μόνοις τοῖς σταυρωταῖς ἐπικατασεισθῇ τὰ δεινὰ, αὐτοὶ δὲ τὸν κόσμον ὅλον, οἱ ἀπόστολοι λέγω, πληρώσωσι τοῦ κηρύγματος. Ἤχθησαν οὖν ἐπὶ βασιλεῖς οἱ ἀπόστολοι, καὶ ἐπὶ ἡγεμόνας, ὡς Παῦλος πρὸς τὸν Φῆστον, πρὸς τὸν Ἀγρίππαν, πρὸς αὐτὸν τὸν Καίσαρα. Γέγονε δὲ αὐτοῖς τοῦτο εἰς μαρτυρίου δόξαν. Ἐπεὶ δὲ ἰδιῶται ἦσαν καὶ ἀμαθεῖς, ἵνα μὴ ταραχθῶσιν ὡς μέλλοντες λόγους ἀπαιτεῖσθαι παρὰ σοφῶν ἀνδρῶν, Μηδὲν ὑμῖν, φησὶ, περὶ τούτου μελέτω· λήψεσθε γὰρ παρ' ἐμοῦ ἐν ταυτῷ καὶ σοφίαν, καὶ εὐστομίαν, ὥστε

A μηδὲ πάντας ὁμοῦ εἰς ἓν συνηγμένους τοὺς ἀντικειμένους δύνασθαι ἀντιστῆναι ὑμῖν, οὔτε κατὰ τὴν σοφίαν, τουτέστι, κατὰ τὴν τῶν νοημάτων δύναμιν, οὔτε κατὰ τὴν εὐστομίαν, καὶ τὸ τῆς γλώττης ἀπρόσκοπον. Πολλάκις γὰρ τις σοφίαν μὲν ἔχει ἐν λογισμοῖς, καὶ νοήμασιν, εὐτάρακτος δὲ ὢν πρὸς θορύβους, συγχέει τὸ πᾶν ἐν καιρῷ δημηγορίας. Ἀλλ' οὗτοί γε, οἱ ἀπόστολοι λέγω, κατ' ἀμφότερα ἐχαριτώθησαν, ὅθεν καὶ ἐξεπλήττοντο τοὺς μὲν περὶ Πέτρον καὶ Ἰωάννην οἱ ἱερεῖς ἐπὶ τῇ ἀθρόᾳ σοφίᾳ, καταλαμβανόμενοι αὐτούς, ὅτι πρότερον ἰδιῶται ἦσαν· τὸν δὲ Παῦλον ὁ Φῆστος λέγων· Μαίνῃ, Παῦλε, τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει. Ταῦτα εἰπών, καὶ τὸν ἐπὶ τῇ ἀμαθείᾳ φόβον αὐτῶν ὑπεκλύσας, ἐπιφέρει καὶ ἕτερον ἀναγκαῖον, καὶ ἱκανὸν κατασεῖσαι ψυχάς, τὸ, Παραδοθήσεσθε ὑπὸ φίλων B καὶ συγγενῶν. Προλέγει γοῦν καὶ περὶ τούτου, ἵνα μὴ ἀθρόον ἐπελθόν, διαταράξῃ αὐτούς. Δεινὸν γὰρ τοῦτο ψυχῆς καθικέσθαι. ὡς καὶ Δαυῒδ φησιν, ὅτι « Εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· σὺ δὲ ἄνθρωπε ἰσόψυχε. » Καὶ πάλιν· « Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. » Ταῦτα εἰπών, καὶ ὅτι μισηθήσονται, καὶ ὅτι θανατωθήσονταί τινες ἐξ αὐτῶν, ἐπιφέρει τὴν μεγίστην παραμυθίαν, ὅτι Θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Σωθήσεσθε γάρ, φησί, καὶ οὐδὲ τὸ ἐλάχιστον ὑμῶν διαφθαρήσεται, εἰ καὶ δόξει τοῖς πολλοῖς διαφθαρῆναι· μόνον ὑπομένειν δεῖ· καὶ γὰρ ἐν τῇ ὑπομονῇ κτᾶσθαι δυνήσεσθε τὰς ψυχὰς ὑμῶν. Πρόσεισι μὲν γὰρ ὁ ἐχθρός, οἷά τις αἰχμαλωτιστής, τὰς ψυχὰς ὑμῶν C διὰ τῆς ἐπαγωγῆς τῶν δεινῶν ἀφαρπάζειν πειρώμενος, ἀλλ' ὑμεῖς δότε ἀντὶ ἀργυρίου τὴν ὑπομονήν, καὶ κτήσασθε τὰς ψυχὰς ὑμῶν τούτῳ τῷ ἀντάλλαγματι, καὶ οὐ ζημιωθήσεσθε ταύτας. Πρόσχες δὲ τὸ Θανατώσουσιν ἐξ ὑμῶν· νοήσεις γὰρ βαθύτερόν τι, ὅτι Οὐχ ὁλοκλήρους ὑμᾶς θανατώσουσιν, ἀλλὰ διπλῶν ὄντων ὑμῶν, ἐκ ψυχῆς καὶ σώματος, οὐ τὰ δύο θανατώσουσιν, ἀλλ' ἐξ ὑμῶν τὸ ἓν θανατώσουσι, τὸ σῶμά φημι, τὰς δὲ ψυχάς ὑμῶν κτήσασθε διὰ τῆς ὑπομονῆς· ὃ καὶ ἀλλαχοῦ φησι· Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.

« Ὅταν δὲ ἴδητε κυκλουμένην τὴν Ἱερουσαλὴμ ὑπὸ τῶν στρατοπέδων, τότε γνῶτε, ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς D τὰ ὄρη, καὶ οἱ ἐν μέσῳ αὐτῆς, ἐκχωρείτωσαν. Καὶ οἱ ἐν ταῖς χώραις, μὴ εἰσερχέσθωσαν εἰς αὐτήν, ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι, τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα. Οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις, ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν τῷ λαῷ τούτῳ, καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη, καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν. Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν, ἐν ἀπορίᾳ ἠχούσης θαλάσσης, καὶ σάλου, ἀποψυχόντων

sapientiam, ita ut etiam si omnes adversarii vestri in unum simul congregentur, non poterunt vobis resistere, neque per sapientiam, hoc est, sensuum vim, neque per eloquentiam, et linguæ certitudinem Sæpe enim quis habet sapientiam in rationibus et sensibus, in tumultibus tamen cum facile turbetur, confundit omnia cum dicendum est ad populum. Hi autem, apostoli dico, in utroque gratiam consecuti sunt. Unde obstupuerunt sacerdotes de Petro et Joanne ob immensam sapientiam, dum comprehenderent eos, qua prius carebant. Paulo vero dicit Festus: Insanis, Paule, multæ te litteræ ad insaniam redigunt et cum excussisset timorem illorum quem ex imperitia habebant, subdit et aliud necessarium et validum ad concutiendas animas: Trademini ab amicis et cognatis. Prædicit igitur et de hoc, ut ne cum hoc subito contingat, turbentur. Graviter enim hoc animam cruciat, sicut et David dicit: «Quod si inimicus meus maledixisset mihi, sustinuissem utique: tu autem homo unanimis [11], » etc. Et iterum : «Qui comedit panes meos mecum, magnificavit super me supplantationem [12]. » Cum dixisset quod odio habendi et quod occidendi essent quidam ex eis, subdit maximam consolationem: Capillus de capite vestro non peribit. Salvabimini enim, inquit, et neque minimum quiddam in vobis corrumpetur, etiamsi videatur multis corrumpi. Tantum ferre oportet : per patientiam enim possidebitis animas vestras. Nam inimicus quidem invadit ceu hostis, in captivitatem ducturus animas vestras, et tentat per afflictiones rapere : sed vos date pro pecunia patientiam, et possidebitis animas vestras hac compensatione, et nihil vobis damni erit in illis Attende autem quod dicit, Morte afficient ex vobis : intelliges enim profundius quiddam. quia non integros vos occident : sed cum ex duobus sitis, anima et corpore, non utrumque morte afficient, sed unum ex vobis occident, corpus dico, animas autem vestras possidebitis per patientiam : quod et alibi dicit : Ne timeatis ab his qui occidunt corpus, animam autem occidere non poterunt.

VERS. 20-27. « Cum autem videritis circumdari ab exercitibus Jerusalem, tunc scitote quod imminent desolatio ejus. Tunc qui in Judea sunt, fugiant ad montes : et qui in medio ejus, discedant : et qui in regionibus, non intrent in eam, quia dies ultionis hi sunt, ut impleantur omnia quæ scripta sunt. Væ autem prægnantibus, et mamma nutrientibus in illis diebus Erit enim afflictio magna super terram et ira in populo hoc, et cadent in ore gladii, et captivi ducentur in omnes gentes, et Jesusalem calcabitur a gentibus, donec impleantur tempora gentium. 461 Et erunt signa in sole, et luna, et stellis, et in terris anxietas gentium per desperationem, resonante mari et fluctu, extabescentibus hominibus præ timore, et exspectatione eorum quæ

[11] Psal. LIV, 13, 14. [12] Psal. XL, 10.

super venient orbi terrarum. Nam virtutes cœlorum movebuntur, et tunc videbunt Filium hominis venientem in nube cum potestate et gloria magna. » Manifestissime nunc de captivitate Jerusalem tradit. Unde sic opinor intelligendum illud: Ante hæc omnia autem, hoc est, ante fames et pestilentias, et alia gravia quæ sunt eventura in tempore consummationis, persecutionem quidem patiemini vos apostoli, et cætera: deinde et Hierosolymis mala imminebunt. Nam quoniam illi putabant quod in tempore consummationis destruenda essent ædificia templi: Non, inquit. Tempus enim consummationis falsos prophetas habebit, et fames et pestilentias ex continuis bellis quæ contingent ob charitatis penuriam. Vos autem ante tempus consummationis, persecutionem patiemini, et Jerusalem capietur, et lapides illi diruentur. Quando enim videbitis civitatem a Romanis exercitibus cingi, tunc desolationem ejus scitote. Tragice igitur profert mala quæ tunc civitati imminebunt. Nam qui in Judæa, inquit, fugiant in montes: et qui in regionibus, ne sperent quod civitas murata custodiat eos: sed secedant etiam ipsi qui in media civitate. Dies enim ultionis sunt, ut impleantur quæ in Daniele potissimum sunt scripta. Væ prægnantibus, quandoquidem fugere non poterunt propter sarcinam ventris: et lactantibus, propter amorem erga pueros, quos neque relinquere possunt absque cura, neque secum auferre. Quidam in hoc a Domino insinuatum putant esum pueri, de quo tradit Josephus, et prædicit Hieremias. Et Jerusalem, inquit, conculcata erit a gentibus. Hucusque de captivitate. Deinde iterum tradit ea quæ de consummatione. Erunt enim signa in sole, et luna, et stellis. Cum enim creatura alteratur, merito elemento novum morem habent. Et angustia gentium, hoc est, afflictio, omnium inopia commista. Mare autem maximis sonis resonabit, et commotio ac turbatio, ita ut homines extabescant a solo timore et exspectatione eorum quæ venient super orbem. Vides hic manifeste de consummatione loquentem. Supra enim dicebat Jerusalem ab exercitibus gentium cingendam et conculcandam, hic autem toti orbi superventura dicit mala, et ita nunc de consummatione sæculi loquitur. Nam virtutes cœlorum movebuntur. Et quid dico, inquit, quod homines turbabuntur, cum creatura omnis alteretur? Nam et ipsi angeli et primæ virtutes turbabuntur 462 terrebunturque in terribilibus immutationibus universi. Et tunc videbunt Filium hominis. Qui? Omnes, credentes et non credentes. Venientem autem in nubibus, ut Deum scilicet cum virtute et gloria magna. Quippe super solem tunc fulgebit et ipse, et crux ejus, et ab omnibus agnoscetur.

A ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ. Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως καὶ δόξης πολλῆς. » Σαφέστατα νῦν περὶ τῆς ἁλώσεως τῆς Ἱερουσαλὴμ διαλαμβάνει. Ὅθεν οἶμαι, οὕτω δεῖ νοηθῆναι τὸ, Πρὸ δὲ τούτων πάντων, τουτέστι, πρὸ δὲ τῶν λιμῶν, καὶ τῶν λοιμῶν, καὶ τῶν ἄλλων δεινῶν, ἃ μέλλουσι συμβαίνειν ἐν τῷ καιρῷ τῆς συντελείας, διωχθήσεσθε μὲν ὑμεῖς οἱ ἀπόστολοι, καὶ τὰ ἑξῆς. Εἶτα καὶ τῇ Ἱερουσαλὴμ τὰ κακὰ ἐπιστήσονται. Ἐπειδὴ γὰρ ἐκεῖνοι ἐνόμιζον, ὅτι ἐν τῷ καιρῷ τῆς συντελείας καταλυθήσονται αἱ οἰκοδομαὶ τοῦ ἱεροῦ, Οὐχὶ, φησίν. Ὁ μὲν γὰρ τῆς συντελείας καιρὸς ψευδοπροφήτας ἕξει, καὶ λιμοὺς, καὶ λοιμοὺς ἐκ τῶν συνεχῶν πολέμων τῶν διὰ τὸ ἀποψυγῆναι τὴν ἀγάπην μελλόντων ἐπεισφθαρῆναι. Ὑμεῖς δὲ πρὸ τοῦ τῆς συντελείας καιροῦ ἐκδιωχθήσεσθε, καὶ Ἱερουσαλὴμ ἁλώσεται, καὶ οἱ λίθοι οὗτοι καταλυθήσονται. Ὅταν γὰρ ἴδητε τὴν πόλιν ὑπὸ τῶν Ῥωμαϊκῶν στρατευμάτων κυκλουμένην, τότε τὴν ἐρήμωσιν αὐτῆς γνῶτε. Ἐκτραγῳδεῖ οὖν τὰ δεινὰ, ἃ τότε τὴν πόλιν περιστήσεται. Οἱ μὲν γὰρ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν, φησὶν, εἰς τὰ ὄρη. Καὶ οἱ ἐν ταῖς χώραις, μὴ προσδοκάτωσαν, ὅτι ἡ πόλις τειχήρης οὖσα, φυλάξει αὐτοὺς, ἀλλ' ἀναχωρήτωσαν καὶ οἱ ἐν μέσῳ τῆς πόλεως. Ἡμέραι γὰρ ἐκδικήσεώς εἰσιν, ὡς ἂν πληρωθῶσιν ἃ ἐγράφησαν ἐν τῷ Δανιὴλ μάλιστα. Οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις· οὐ δυνήσονται γὰρ φεύγειν διὰ τὸ βάρος τῆς γαστρός· καὶ ταῖς θηλαζούσαις, διὰ τὴν πρὸς τὰ βρέφη στοργὴν, μήτε
C δυναμένας ἀφιέναι ἀτημέλητα, μήτε μεθ' ἑαυτῶν ἐπάγεσθαι. Τινὲς δὲ ἐν τούτοις αἰνίττεσθαι τὸν Κύριον τὴν τεκνοφαγίαν φασὶν, ἣν ὁ Ἰώσηπος ἱστορεῖ, καὶ Ἱερεμίας προφητεύει. Καὶ Ἱερουσαλὴμ, φησὶν, ἔσται πατουμένη ὑπὸ ἐθνῶν. Μέχρι τούτου τὰ περὶ τῆς ἁλώσεως. Εἶτα πάλιν τὰ περὶ τῆς συντελείας. Ἔσται γὰρ, φησὶ, σημεῖα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις. Καὶ γὰρ τῆς κτίσεως ἀλλοιουμένης, εἰκότως τὰ στοιχεῖα καινοτομοῦνται. Καὶ συνοχὴ ἐθνῶν, τουτέστι· θλίψις, πάντων ἀπορίᾳ συμμιγής· ἥ τε θάλασσα ἤχους φρικώδεις μυκήσεται, καὶ σάλος ἔσται καὶ ταραχὴ, ὥστε τοὺς ἀνθρώπους ἀποψύχειν ἐκ μόνου τοῦ φόβου, καὶ τῆς προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ. Ὁρᾷς
D φανερῶς ἐνταῦθα περὶ τῆς συντελείας λέγοντα. Ἄνω μὲν γὰρ ἔλεγε τὴν Ἱερουσαλὴμ κυκλοῦσθαι, καὶ πατεῖσθαι ὑπὸ τῶν στρατοπέδων τῶν ἐθνῶν, ἐνταῦθα δὲ τῇ οἰκουμένῃ τὰ κακὰ ἐπέρχεσθαι, ὥστε περὶ τῆς καθόλου συντελείας ὁ λόγος νῦν ἐστιν αὐτῷ. Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τί λέγω, φησὶν, ὅτι οἱ ἄνθρωποι ταραχθήσονται, τῆς κτίσεως πάσης ἀλλοιουμένης; Καὶ αὐτοὶ γὰρ οἱ ἄγγελοι, καὶ αἱ πρώτισται δυνάμεις ταραχθήσονται, καὶ ἐκπλαγήσονται ἐπὶ ταῖς οὕτω φρικώδεσι τοῦ παντὸς μεταβολαῖς. Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου. Τίνες; Πάντες οἵ τε πιστεύοντες, καὶ οἱ μὴ πιστεύοντες. Ἐρχόμενον δὲ ἐν νεφέλαις, ὡς Θεὸν δηλαδὴ μετὰ δυνάμεως καὶ δόξης πολλῆς· καὶ γὰρ ὑπὲρ τὸν ἥλιον ἀστράψει τότε αὐτός τε καὶ ὁ σταυρὸς αὐτοῦ, καὶ παρὰ πάντων ἐπιγνωσθήσεται.

VERS. 28-33. « His autem fieri incipientibus,

« Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε,

καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν. Καὶ εἶπε παραβολὴν αὐτοῖς· Ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα ὅταν προβάλλωσιν ἤδη, βλέποντες ἀφ' ἑαυτῶν γινώσκετε, ὅτι ἤδη ἐγγὺς τὸ τέλος ἔσται. Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. » Ὥσπερ ἡ προτέρα παρουσία τοῦ Κυρίου ἐπὶ ἀναστοιχειώσει τῶν ψυχῶν ἡμῶν καὶ παλιγγενεσίᾳ ἦν, οὕτω καὶ ἡ δευτέρα ἐπὶ παλιγγενεσίᾳ τῶν σωμάτων ἡμῶν ἔσται. Ἐπειδὴ γὰρ αἱ ψυχαὶ ἔθανον πρότερον παρακούσασαι, τὰ δὲ σώματα μετὰ ἐννεακόσια ἔτη τῆς παρακοῆς τὸν θάνατον ἐνεργείᾳ ὑπέστησαν, ἀκολούθως καὶ ἀναγεννῶνται, καὶ βελτιοῦνται, διὰ μὲν τῆς προτέρας παρουσίας αἱ ψυχαί, διὰ δὲ τῆς δευτέρας τὰ σώματα. Διὸ καί φησιν ὁ Κύριος, ὅτι Ὅταν ταῦτα γίνωνται, ἀνακύψατε οἱ βεβαρυμένοι τῇ φθορᾷ, καὶ οἷον ἐλευθεριάσατε. Ἡ γὰρ ἀπολύτρωσις ὑμῶν πάρεστι, τουτέστιν, ἡ τελεία τοῦ συναμφοτέρου ἐλευθερία, ψυχῆς λέγω καὶ σώματος. Ἡ γὰρ, ἀπὸ, πρόθεσις τοῦτο δοκεῖ αἰνίττεσθαι τὴν παντελῆ τῆς φθορᾶς ἀπαλλαγὴν, ἣν καὶ τὸ σῶμα τότε δέξεται χάριτι τοῦ Κυρίου τοῦ ἔσχατον ἐχθρὸν καταργοῦντος τὸν θάνατον. Κατήργησε μὲν γὰρ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, καὶ τὰς ψυχὰς ἐλυτρώσατο. Λοιπὸς δὲ ἦν ὁ θάνατος ὁ τὰ σώματα ἡμῶν ἐπινεμόμενος, ὃς καὶ αὐτὸς καταργούμενος, αἴτιος ἡμῖν ἐλευθερίας καὶ ἀπολυτρώσεως ἔσται. Καὶ ἡ βασιλεία τοῦ Θεοῦ εὐθὺς παρέσται τούτων γινομένων. Ὥσπερ καὶ ἡ συκῆ προβάλλουσα τὰ φύλλα, θέρος δηλοῖ ἐγγίζον· οὕτω καὶ ταῦτα γινόμενα τὰ τέρατα καὶ ἡ μεταποίησις τοῦ παντὸς δηλοῦσιν, ὅ τι θέρος ἥξει, τουτέστιν, ἡ βασιλεία τοῦ Θεοῦ, μετὰ χειμῶνα καὶ ζάλην ὡς θέρος ἐρχομένη τοῖς δικαίοις, ὡς τοῖς γε ἁμαρτωλοῖς χειμὼν ἔσται τότε καὶ ζάλη· οὗτοι γὰρ θέρος τὸν παρόντα αἰῶνα ἔχουσι, ζάλην δὲ τὸν μέλλοντα. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν ταῦτα πάντα γένηται. Γενεὰν, φησὶν, οὐ τοὺς τότε παρόντας, ἀλλὰ τὴν τῶν πιστῶν πᾶσαν γενεάν. Οἶδε γὰρ καὶ γενεὰν ἀπὸ τῆς ὁμοτροπίας ὀνομάζειν ἡ Γραφή, ὡς τὸ, « Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον. » Ἐπειδὴ γὰρ ταραχὰς καὶ πολέμους, καὶ ἀλλοιώσεις εἶπε γενέσθαι καὶ στοιχείων καὶ πραγμάτων, ἵνα μή τις ὑπολάβῃ, ὅτι μήποτε καὶ ὁ Χριστιανισμὸς καταλυθήσεται, Οὐχὶ, φησὶν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη τῶν Χριστιανῶν. Οὐρανὸς μὲν γὰρ καὶ γῆ ἀλλοιωθήσονται, οἱ δὲ λόγοι μου, καὶ τὸ Εὐαγγέλιόν μου οὐ καταλυθήσονται, ἀλλὰ μενοῦσι, κἂν τὰ πάντα σαλεύωνται, καὶ ἡ εἰς ἐμὲ πίστις οὐκ ἐκλείψει. Ἐμφαίνει δὲ ἐντεῦθεν, ὅτι τὴν Ἐκκλησίαν προτιμοτέραν ἔχει πάσης τῆς κτίσεως, εἴγε ἡ μὲν κτίσις ἀλλοιοῦται, τῆς δὲ τῶν πιστῶν Ἐκκλησίας, καὶ τῶν λόγων αὐτοῦ καὶ τοῦ Εὐαγγελίου οὐδὲν περιέσται.

suscipite et attollite capita vestra, quoniam appropinquat redemptio vestra. Et dixit illis similitudinem : Videte ficum et omnes arbores cum protrudunt jam germina, cernentes ex vobisipsis scitis quod jam instet æstas. Ita et vos cum videritis hæc fieri, scitote quod instet regnum Dei. Amen dico vobis, non præteribit generatio hæc antequam omnia facta fuerint. Cœlum et terra transibunt, verba autem mea non transibunt. » Sicut prior adventus Domini in restitutionem et generationem animarum nostrarum fuit, ita et secundus erit in regenerationem corporum. Quoniam enim animæ prius mortuæ fuerant propter inobedientiam, corpora autem post nongentos annos inobedientiæ mortis vim experta sunt : ideo congruenter regenerantur, et melius habent, per priorem quidem adventum animæ, per secundum vero, corpora. Idcirco et Dominus dicit· Quando hæc fiunt, suspicite qui gravati estis corruptione, quasi libertate donandi. Nam ἀπολύτρωσις, hoc est, redemptio vestra adest, hoc est consummata utriusque libertas, animæ inquam et corporis. Præpositio enim ἀπὸ insinuare videtur perfectam a corruptione libertatem, quam et corpus tunc accipiet gratia Domini extremum inimicum abolentis mortem. Abolevit etenim principatus et potestates, et animas redemit· reliqua autem erat mors, corpora nostra depascens : quæ et ipsa cum abolebitur, erit nobis libertatis et redemptionis causa. Et regnum Dei statim aderit, cum hæc fient. Etenim quemadmodum ficus quæ præmittit folia, propinquam æstatem nuntiat: ita et cum hæc fiunt prodigia, et transformatio universi, signant quod ventura sit æstas, hoc est, regnum Dei post hyemem et tempestatem, quasi æstatem, adventurum justis : tametsi tunc peccatoribus futura sit hyems et tempestas, nam illi præsens sæculum pro æstate habent, futurum autem pro tempestate. Amen dico vobis, quod non præteribit generatio hæc, donec hæc omnia fiant. Generationem vocat non eos qui tunc aderant, sed omnium fidelium generationem. Solet enim Scriptura generationem hoc nominare modo, ut : « Hæc est generatio quærentium Dominum [13] » Quia autem turbationes et bella et alterationes dixit futuras tam elementorum quam rerum : ut ne quis suspicetur quod forte aliquando destruendus sit Christianismus, **463** Non, inquit, non præterebit hæc Christianorum generatio. Cœlum quidem et terra immutabuntur, sermones autem mei et Evangelium meum non peribunt, sed manebunt. Tametsi commoveantur omnia, fides autem in me non deficiet. Apparet autem hoc loco quod ecclesiam omni creaturæ præferat : etsi creatura enim mutetur (a), nihil Ecclesiæ fidelium ac verborum ejus et Evangelii immutabitur.

[13] Psal. XXIII, 6.

(a) In ed. Lut. hæc non habentur, *etsi creatura mutetur*.

VERS. 34-36. «Attendite autem vobis, nequando A graventur corda vestra crapula et ebrietate, et curis hujus vitæ, subitusque vobis ingruat dies ille: tanquam laqueus enim superveniet in omnes sedentes super faciem totius terræ. Vigilate itaque omni tempore, deprecantes ut liceat vobis effugere ista omnia quæ futura sunt, et stare ante Filium hominis.» Audivistis, inquit, terriculamenta et turbationes, et grandia sunt hæc omnia ac symbola malorum quæ peccatores sunt deprehensura: sed quia gravia hæc, ideo magnum remedium eorum est attentio et oratio. Semper enim paratum esse et exspectare finem, maxime omnium conferre poterit. Hoc autem vobis continget, si sobrii fueritis, et non gravata fuerint corda vestra crapula et ebrietate, et sollicitudine sæculari. Non enim cum observa- B tione aderit dies ille, sed inopinatus et repentinus aderit, etiam sicut laqueus apprehendens eos qui non attendunt. Fortassis autem quis curiosius scrutabitur dictionem hanc: «Sedentes super faciem omnis terræ.» Hos enim illaqueabit dies ille, qui in otio et absque sollicitudine versantur; illi enim sunt qui sedent et qui illaqueantur. At qui operantur et activi sunt, et sobrii in operatione boni, feruntur que in omne bonum, non sedent neque quiescunt super terram, sed surgunt hinc, et dicunt sibi: Surge et ambula, quia non est tibi hic requies [14], et patriam meliorem inquirunt. Hisce non erit dies ille laquæus et periculum, sed dies festivus: idcirco oportet vigilare et orare Deum, ut possimus effugere futura omnia. Qualia? Fortassis tempestates et fames, et pes- C tilentias, atque alia, quæ electos non ita prement ut alios; imo propter electos aliis decurtabuntur; fortassis item mala quæ peccatoribus perpetuo superventura sunt: quæ aliter non possumus effugere, quam vigilantia et oratione. Quoniam autem non sufficit fugere malum, sed opus est etiam bono quopiam: postquam dixit, «Ut possitis effugere omnia hæc ventura,» addidit: «Et stare coram Filio hominis,» quod est fruitio bonorum. Oportet igitur Christianum non solum fugere aspera, sed et curare ut gloriam accipiat. Angelica enim dignitas est stare
464 coram Filio hominis et Deo nostro. «Angeli ejus, inquit, semper vident faciem Patris mei.»

«Προσέχετε δὲ ἑαυτοῖς, μή ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐπιστῇ ἐφ' ὑμᾶς ἡ ἡμέρα ἐκείνη· ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου.» Ἠκούσατε, φησὶ, φόβητρα καὶ ταραχάς· ἀλλ' αἰσθητὰ ταῦτα πάντα, καὶ σύμβολα τῶν τοὺς ἁμαρτωλοὺς καταληψομένων κακῶν. Ἀλλ' ἡ πρὸς ταῦτα τὰ δεινὰ φάρμακον μέγα καὶ ἀντιπαθὲς ἡ προσευχὴ καὶ προσοχή. Τὸ γὰρ ἐν ἑτοιμασίᾳ εἶναι ἀεὶ, καὶ ἀπεκδοχῇ τοῦ τέλους, τοῦτον μάλιστα πάντων συμβαλέσθαι δυνήσεται. Τοῦτο δὲ προσγενήσεται ὑμῖν, φησὶν, ἐὰν B νήφητε, καὶ μὴ βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς. Μὴ γὰρ μετὰ παρατηρήσεως ἔρχεται ἡ ἡμέρα ἐκείνη, ἀλλ' ἀπροσδόκητος, κρυφίως ὥσπερ παγὶς συλλαμβάνουσα τοὺς μὴ προσέχοντας. Τάχα δέ τις περιεργότερον ἐξετάσειε τὴν λέξιν ταύτην· «Καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς.» Ἐκείνους γὰρ παγιδεύει ἡ ἡμέρα ἐκείνη τοὺς ἐν ἀμεριμνίᾳ διάγοντας καὶ ἀργίᾳ· οὗτοι γάρ εἰσιν οἱ καθήμενοι καὶ οὗτοι παγιδεύονται. Ὅσοι δὲ ἐνεργοὶ καὶ δραστήριοι, καὶ νηφάλιοι περὶ τὴν τοῦ ἀγαθοῦ ἐργασίαν εἰσὶ, καὶ κινοῦνται ἀεὶ πρὸς τὸ καλὸν, μὴ ἐγκαθήμενοι, καὶ ἐναναπαυόμενοι τοῖς γεηροῖς, ἀλλ' ἐγειρόμενοι ἐντεῦθεν, καὶ λέγοντες ἑαυτοῖς. Ἀνάστα καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις, καὶ πα- C τρίδα κρείττονα ποθοῦντες· τοῖς τοιούτοις οὐκ ἔστιν ἡ ἡμέρα ἐκείνη ὡς παγὶς καὶ κίνδυνος, ἀλλ' ὡς ἑορτῆς ἡμέρα· διὸ χρὴ ἀγρυπνεῖν, καὶ δέεσθαι τοῦ Θεοῦ, ἵνα δυνηθῶμεν ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι. Ποῖα; Τάχα μὲν καὶ τοὺς λιμοὺς, καὶ τοὺς λοιμοὺς, καὶ τὰ ἄλλα ἃ τοῖς ἐκλεκτοῖς οὐχ οὕτως ἐπικείσεται, ὥσπερ καὶ τοῖς ἄλλοις· μᾶλλον μὲν οὖν διὰ τοὺς ἐκλεκτοὺς, καὶ τοῖς ἄλλοις κολοβωθήσονται, τάχα δὲ καὶ τὰ μέλλοντα τοῖς ἁμαρτωλοῖς αἰωνίως συμβήσεσθαι. Ἐκεῖνα γὰρ ἄλλως οὐ δυνάμεθα ἐκφεύγειν, εἰ μὴ δι' ἀγρυπνίας καὶ προσευχῆς. Ἐπεὶ δὲ οὐκ ἀρκεῖ τοῖσγε μεγαλοψύχοις τὸ φυγεῖν τὴν κάκωσιν, ἀλλὰ δεῖ αὐτοὺς καὶ ἀγαθοῦ τινος ἐπιτυχεῖν, μετὰ τὸ εἰπεῖν, «Ἵνα δυνηθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι,» προσέθηκε· «Κτὶ σταθῆναι ἐνώπιον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου·» ὅπερ ἐστὶν ἀγαθῶν ἀπόλαυσιν. Δεῖ γὰρ οὐ μόνον φεύγειν τὰ δεινὰ, ἀλλὰ καὶ δόξαν σπεύδειν λαμβάνειν τὸν Χριστιανόν. Ἀγγελικὴ δὲ ἀξία τὸ ἵστασθαι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καὶ Θεοῦ ἡμῶν. «Οἱ γὰρ ἄγγελοι αὐτοῦ, φησὶ, διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου.»

VERS. 37, 38 «Docebat autem interdiu in templo: D noctu vero exiens diversabatur in monte qui vocatur Olivarum; et omnis populus diluculo ventilabat ad eum, ut in templo audirent eum.» Occultarunt Evangelistæ multa quæ docuit, et maxime tres: Joannes autem et ipse multa silentio præteriit, verumtamen subliniores quam tres alii doctrinas quasdam exposuit. Igitur his qui congregabantur in templo, multa et sublimia disserebat, ut conjectare licet.

«Ἦν δὲ τὰς ἡμέρας διδάσκων ἐν τῷ ἱερῷ, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν· καὶ πᾶς ὁ λαὸς ὤρθριζε πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.» Ἀπέκρυψαν μὲν οἱ εὐαγγελισταὶ τὰ πλείω ὧν ἐδίδασκε, καὶ μάλιστα οἱ τρεῖς· ὁ δέ γε Ἰωάννης καὶ αὐτὸς μὲν τὰ πλείω παρεσιώπησε, πλὴν ὑπὲρ τοὺς τρεῖς ἐξέθετό τινας διδασκαλίας ὑψηλοτέρας. Τοῖς συναγομένοις οὖν ἐν τῷ ἱερῷ πολλὰ καὶ ὑψηλὰ διελέγετο, ὡς ἔστι τεκμαί-

[14] Mich. II, 10.

ρεσθαι. Ὅτι γὰρ ὀλίγα εἶπον οἱ εὐαγγελισταὶ (οὐ γὰρ ἐπιδείκνυσθαι ἤθελον), δῆλον μὲν καὶ ἄλλοθεν πολλαχόθεν, οὐχ ἥκιστα δὲ καὶ τεκμήρασθαι ἔστιν ἀπὸ τοῦ, τρεῖς ἐνιαυτοὺς σχεδὸν κηρύττοντος τοῦ Κυρίου, ὀλίγας διδασκαλίας αὐτοῦ ἀναγράψασθαι· ἃς οὐδὲ μιᾶς ἡμέρας διάλεξιν εἰπών τις ἱκανὴν, οἶμαι, οὐ μεμφθήσεται. Ἐκ πολλῶν οὖν ὀλίγα ἀνεγράψαντο ἡμῖν οἱ ἅγιοι εὐαγγελισταὶ, ὅσον μόνον γεῦμα παρεχόμενοι τῆς γλυκύτητος. Διελέγετο [δὲ] οὐ μονοειδῶς, ἀλλ' ἑκάστῳ τὸ πρόσφορον ἐπιθείς. Διὸ καὶ ὁ ὄχλος ὤρθριζε πρὸς αὐτόν· χάρις γὰρ ἐξεκέχυτο τοῖς χείλεσιν αὐτοῦ. Νυκτὸς δὲ ἀνεχώρει πρὸς τὸ ὄρος, δεικνύων ἡμῖν, ὅτι δεῖ νυκτὸς μὲν διὰ τῆς ἡσυχίας τῷ Θεῷ ὁμιλεῖν, ἡμέρας δὲ διὰ τῆς συγκαταβάσεως τοὺς ἀνθρώπους ὠφελεῖν, καὶ συνάγειν μὲν νυκτὸς, διαδιδόναι δὲ τὰ συνηγμένα ἡμέρας. Αὐτὸς μὲν οὖν οὐκ ἐδεῖτο προσευχῆς, ἢ πρὸς Θεὸν συναγωγῆς· οὐ γὰρ, εἶχεν εἰς ὅ τι συσταλῇ αὐτὸς ὢν Θεός. Ἡμῖν δὲ ταῦτα πρὸς ὑποτύπωσιν τέθεικεν, ἵνα κατὰ τὰ φρέατα νυκτὸς μὲν δεχώμεθα τὴν ἐκ τῶν πνευματικῶν φλεβῶν τῆς προσευχῆς σύῤῥοιαν, ἡμέρας δὲ ἐξαντλώμεθα διὰ τῶν ὠφελείας δεομένων. Ἰδὼν οὖν ἄν τις τότε τὸν λαὸν ὀρθρίζοντα πρὸς τὸν Ἰησοῦν, ὥστε ἀκούειν αὐτοῦ, εἶπεν ἁρμόζειν αὐτῷ τὰ τοῦ Δαυῒδ λέγειν· « Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθίζω· ἐδίψησέ σε ἡ ψυχή μου. »

## ΚΕΦΑΛ ΚΒ'.

Περὶ τοῦ Πάσχα. Περὶ τῶν φιλονεικησάντων, τίς μείζων. Περὶ τῆς ἐξαιτήσεως τοῦ Σατανᾶ. Περὶ τῆς συλλήψεως τοῦ Χριστοῦ· Περὶ τῆς ἀπαγωγῆς τοῦ Ἰησοῦ πρὸς ἀρχιερέα.

Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν Ἀζύμων ἡ λεγομένη πάσχα· καὶ ἐζήτουν οἱ ἀρχιερεῖς, καὶ οἱ Γραμματεῖς, τὸ πῶς ἀνέλωσιν αὐτόν· ἐφοβοῦντο γὰρ τὸν λαον. Εἰσῆλθε δὲ ὁ Σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα. Καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι, καὶ στρατηγοῖς, τὸ πῶς αὐτὸν παραδώσει αὐτοῖς. Καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι. Καὶ ἐξωμολόγησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου. » Ἐζήτουν μὲν αὐτὸν ἀνελεῖν οἱ Γραμματεῖς· ἐπεὶ δὲ ὁ καιρὸς τοῦ πάσχα ἐφειστήκει, καὶ κίνδυνον ἑώρων ἐκ τούτου αὐτοῖς ἀπὸ τοῦ λαοῦ συναγομένου, μάλιστα διὰ τὴν ἑορτὴν, ἐζήτουν λοιπὸν μέθοδον, πῶς ἀνελόντες αὐτὸν οὐ κινδυνεύσουσιν. Εἰσῆλθε δὲ ὁ Σατανᾶς εἰς Ἰούδαν ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, τουτέστι· καὶ ταῦτα ἐκ τῶν οἰκείων ὄντα καὶ γνησίων μαθητῶν· ἵνα μηδεὶς θαῤῥῇ ἐφ' ἑαυτῷ, ἀλλὰ πάντοτε προσέχῃ τῇ οἰκείᾳ ζωῇ, ὡς δεινὸν ἀντίπαλον ἔχων. Τινὲς δὲ τὸ, « Ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, » οὕτως ἐνόησαν, ἀντὶ τοῦ, Ἀριθμὸν μόνον πληροῦντα ἀποστολικὸν, οὐκ ἀπόστολον ὄντα ἀληθινὸν καὶ μαθητήν· πῶς γὰρ ἀληθὴς μαθητὴς ὁ κλέπτων τὰ ἐν τῷ γλωσσοκόμῳ βαλλόμενα; Οὕτως οὖν εἰσελθόντα εἰς αὐτὸν τὸν Σατανᾶν ἐδέξατο, καὶ συνεφώνησε τοῖς ζητοῦσι τὸν Ἰησοῦν παραδοῦναι· τοῦτο γὰρ σημαίνει τὸ,

[15] Psal. LXII, 1, 2.

Nam pauca dixerunt evangelistæ, neque ostendere voluerunt, et manifestum quidem est aliunde multis ex locis, et ex hoc non parum divinare possumus, cum Dominus ferme per triennium prædicarit, scripsisse illos paucas doctrinas, quas intra diem unum si quis dixerit dici posse, non reprehendendus fuerit. Ex multis igitur pauca nobis scripserunt sancti evangelistæ, gustum quemdam dulcedinis præbentes. Discerebat autem non unius generis, sed unicuique idoneum sermonem referebat, ideo et turba diluculo veniebat ad eum. Gratia enim effluebat ex labiis ejus. Nocte vero secedebat ad montem, monstrans nobis quod oporteat nocte quidem per quietem colloqui cum Deo, die autem morem gerere, et prodesse hominibus, et congregare quidem nocte, die autem distribuere congregata. Ipse autem non habebat opus oratione, vel conversatione cum Deo. Non enim erat ad quem se conferre poterat, cum ipse esset Deus. Nobis autem hæc ad figuram prætulit: ut apud fluenta nocte quidem accipiamus orationis fluxum ex spiritualibus venis, die autem effundamus hausta his qui opus habent At si quis vidisset populum ita mane ad audiendum confluentem, diceret congruere ei illud Davidis: « Deus Deus meus, ad te de luce vigilo. Sitivit in te anima mea [15]. »

## CAPUT XXII.

*De Pascha. De rixantibus, quis major. De querela Satanæ. De comprehensione Christi. Quomodo Christus ad principem sacerdotum ductus sit.*

Vers. 1-6. « Instabat autem dies festus Azymorum qui dicitur, pascha, et quærebant principes sacerdotum et Scribæ quomodo eum interficerent. Timebant enim plebem. Intravit autem Satanas in Judam cui cognomen erat Iscariotes, qui erat e numero duodecim, abiitque, et locutus est cum principibus sacerdotum, ac ducibus, quemadmodum illum traderet eis. Et gavisi sunt, ac pacti sunt pecuniam illi se daturos. Et ille spopondit: quærebatque opportunitatem ut traderet illum illis **466** sine turba. » Quærebant quidem illum interimere Scribæ: at quia tempus paschæ instabat, et videbant sibi inde periculum imminere a turba quæ congregabatur maxime propter diem festum, quærebant insidias quomodo interfecto illo non periclitarentur. Intravit autem Satanas in Judam qui erat unus e numero duodecim, eratque ex maxime familiaribus discipulis: ut nullus confidat in seipso, sed semper attendat vitæ suæ, utpote gravem habens adversarium. Quidam autem sic intellexerunt: Qui erat e numero duodecim, numerum solum implebat apostolicum, non ut apostolus, nec ut verus discipulus. Quomodo enim verus discipulus, qui furatur quæ in marsupium mittebantur? Sic igitur ingredientem in ipsum Satanam suscepit, et conspiravit cum quærentibus Jesum tradere. Hoc enim significat, Spopondit, hoc

est, perfectam promissionem et pactum fecit. Et quærebat opportunitatem quando inveniret illum sine turba, hoc est, seorsim et solitarium, et ipsis traderet. Magistratus autem loco hoc vocat præfectos ædificiis templi, vel etiam censores, ut qui curarent ea quæ ad bonum ordinem servandum pertinebant. Præfecerant enim Romani quosdam populo ut ne turbaretur, quandoquidem seditiosi erant. Illos igitur vocat στρατηγοὺς, magistratus. Fortassis autem et militaria munera credebantur eis qui erant ex sacerdotali ordine, unde magistratus et duces dicti. Ambitione enim laborantes et illa officia invadebant : unde eos magistratus et duces templi nominavit, manifestius forte taxans illos.

VERS. 7-13. « Venit autem dies Azymorum, in qua necesse erat immolari pascha Et misit Petrum ac Joannem, dicens : Euntes parate nobis pascha, ut edamus. At illi dixerunt ei : Ubis vis paremus ? Et dixit ad eos : Ecce introeuntibus vobis in civitatem, occurret homo quidam vas aquæ testaceum portans. Sequimini eum in domum in quam intrat, et dicetis patrifamilias ædium: Dicit tibi magister : Ubi est diversorium, ubi pascha cum discipulis meis edam? Et ipse ostendet vobis cœnacculum magnum stratum, ibi parate. Euntes autem invenerunt sicut dixerat illis, et paraverunt pascha. » Quod phase hebraice pascha dicatur, et signet transitum ex Ægypto, sæpe dictum est : et in summa omnia, quæ tunc in festo fiunt, a sanctis interpretatum est: nunc autem quem nobis dicat diem Azymorum, dicendum. Diem igitur Azymorum dicit quintum, ad cujus vesperam pascha immolandum erat. Igitur Dominus forte quinto mane mittit discipulos, Petrum et Joannem, et illum quidem ut diligentem, hunc vero ut dilectum. Mittit autem in alienam domum. Neque enim domum habebat vel ipse vel discipuli ejus, alioquin in una 466 discipulorum domo manducasset pascha. Vides paupertatem? Mittit? Mittit vero eos ad hominem incognitum, ut ostendat quod sponte susceperit passionem. Si enim noluisset, sicut mentem homini qui se nesciebat, dedit ut se susciperet. ita poterat et cum Judæis quæ libuisset facere. Quidam autem dicunt quod propter hoc non dixit nomen hominis, nec manifestavit eum, sed signo quodam deduxit eos ad domum illius, propter proditorem, ut ignorato nomine non proderet domum Pharisæis, qui venissent et comprehendissent eum, priusquam cœnam perficeret, et spiritualia sua sacramenta traderet : idcirco infra Christus dicit : « Desiderio desideravi hoc pascha manducare vobiscum antequam patiar, » hoc est, Omnem operam adhibui ut lateamus proditorem, ne ante tempus sustineamus passionem priusquam traderemus sacramenta. Expositionem hanc accipiat qui volet. Et cujus gratia pascha facit? Per omnia ostendit quod usque ad extremum anhelitum non sit contrarius legi. Atqui comedamus et nos hoc pascha spiritualiter. Et intelligamus dies Azymorum omnem, quæ in spirituali lumine est, conversionem, quæ nullam vetusta-

A « Ἐξωμολόγησεν, » ἀντὶ τοῦ, Τελείας ὁμολογίας καὶ συνθήκας ἐποιήσατο. Καὶ ἐζήτει εὐκαιρίαν, πότε εὕροι αὐτὸν ἄτερ ὄχλου, τουτέστι, κατὰ μόνας, καὶ αὐτοῖς παραδώσει. Στρατηγοὺς δέ φησιν ἐνταῦθα τοὺς ἄρχοντας τῶν οἰκοδομῶν τοῦ ἱεροῦ, ἢ καὶ τοὺς τῆς εὐταξίας ἐπιμελουμένους. Ἐπέστησαν γὰρ οἱ Ῥωμαῖοι τῷ λαῷ τινας, ὡς ἂν μὴ ταράσσηται· στασιώδεις γὰρ ἦσαν. Τούτους, φησὶ, στρατηγούς. Ἴσως δὲ καὶ διοικήσεις στρατιωτικὰς εἶχον· οἳ μέρους ὄντες τοῦ ἱερατικοῦ, στρατηγοὶ ὠνομάσθησαν. Τὸ φιλόπρωτον γὰρ νοσοῦντες, καὶ τοιαύταις διοικήσεσιν ἐπεβάλλοντο· διὸ καὶ στρατηγοὺς αὐτοὺς ὠνόμασε τοῦ ἱεροῦ, ἐμφαντικώτερον τάχα καθαπτόμενος αὐτῶν.

B « Ἦλθε δὲ ἡ ἡμέρα τῶν Ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα. Καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην, εἰπών· Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν· οἱ δὲ εἶπον αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι; Ὁ δὲ εἶπεν αὐτοῖς· Ἰδοὺ εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν, οὗ εἰσπορεύεται, καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας· Λέγει σοι ὁ διδάσκαλος· Ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; Κἀκεῖνος ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε. Ἀπελθόντες δὲ εὗρον, καθὼς εἰρήκει αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. » Ὅτι μὲν φασὲκ Ἑβραϊκῶς τὸ πάσχα λεγόμενον, τὴν ἐξ Αἰγύπτου διάβασιν δηλοῖ, πολλοῖς εἴρηται· καὶ
C ἁπλῶς πάντα τὰ ἐν τῇ ἑορτῇ τότε τελούμενα, τοῖς ἁγίοις ἡρμήνευται. Νῦν δὲ ἡμῖν τίνα λέγει ἡμέραν τῶν Ἀζύμων, ῥητέον. Ἡμέραν οὖν Ἀζύμων λέγει τὴν πέμπτην, ἧς τῇ ἑσπέρᾳ ἔμελλον θύειν τὸ πάσχα. Ὁ τοίνυν Κύριος τῇ πέμπτῃ πρωΐας τυχὸν ἀποστέλλει τοὺς μαθητὰς Πέτρον καὶ Ἰωάννην· τὸν μὲν ὡς ἀπαγῶντα, τὸν δὲ ὡς ἀγαπώμενον. Ἀποστέλλει δὲ εἰς ἀλλοτρίαν οἰκίαν. Οὐδὲ γὰρ εἶχεν αὐτὸς, ἀλλ' οὐδὲ οἱ μαθηταὶ αὐτοῦ· ἢ γὰρ ἂν ἐν ἑνὸς τῶν μαθητῶν διήγαγε τὸ πάσχα. Ὁρᾷς ἀκτημοσύνην; Στέλλει δὲ αὐτοὺς πρὸς ἄνθρωπον μὴ γινωσκόμενον, ἵνα δείξῃ, ὅτι καὶ τὸ πάθος θέλων κατεδέξατο. Εἰ γὰρ μὴ ἤθελεν, ἠδύνατο ὁ τὴν διάνοιαν τούτου τοῦ ἀγνώστου ἀνθρώπου πείσας, ὥστε αὐτοὺς ὑποδέξασθαι, κἂν τοῖς Ἰουδαίοις ὅσα ἠβούλετο διαπράξασθαι.
D Τινὲς δέ φασι, ὅτι διὰ τοῦτο οὐκ εἶπε τοῦ ἀνθρώπου τὸ ὄνομα, καὶ ἐφανέρωσεν αὐτὸν, ἀλλὰ σημείῳ τινὶ ὁδηγεῖ αὐτοὺς πρὸς τὴν οἰκίαν τοῦ ἀνθρώπου, διὰ τὸν προδότην· ὡς ἂν μὴ γνοὺς τὸ ὄνομα, καταμηνύσῃ τὴν οἰκίαν τοῖς Φαρισαίοις, καὶ ἐλθόντες συλλάβωσιν αὐτὸν, πρὶν ἢ τὸ δεῖπνον ἐπιστῇ, πρὶν ἢ τὰ πνευματικὰ μυστήρια αὐτοῦ παραδῷ. Διό φησι παρακατιὼν ὁ Χριστός· « Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν πρὸ τοῦ με παθεῖν· » τουτέστι, Πᾶσαν σπουδὴν ἐθέμην, ὅπως λάθωμεν τὸν προδότην, καὶ μὴ πρόωρον ὑποστῶμεν τὸ πάθος, πρὶν ἢ παραδῶμεν τὰ μυστήρια. Ἔξεστι δὲ τῷ βουλομένῳ παραδέχεσθαι ταύτην τὴν ἐξήγησιν. Τίνος δὲ ἕνεκα τὸ πάσχα τελεῖ; Διὰ πάντων δεικνὺς ἄχρι τῆς τελευταίας ἀναπνοῆς, ὅτι οὐκ ἔστιν ἐναντίος τῷ νόμῳ.

Ἀλλὰ φάγωμεν τοῦτο τὸ πάσχα νοητῶς καὶ ἡμεῖς, καὶ δὴ νοήσωμεν ἡμέραν τῶν Ἀζύμων, πᾶσαν τὴν ἐν τῷ φωτὶ τῷ πνευματικῷ διαγωγήν, μηδεμίαν παλαιότητα τῆς προτέρας ἐν τῷ Ἀδὰμ παρακοῆς ἔχουσαν· ἐν ᾗ διαγωγῇ ὄντας ἡμᾶς δεῖ τῶν μυστηρίων τοῦ Ἰησοῦ κατατρυφᾷν. Ἑτοιμάσει οὖν ταῦτα τὰ μυστήρια Πέτρος καὶ Ἰωάννης, πρᾶξις καὶ θεωρία, θερμότης ζήλου καὶ πρᾳότης εἰρηνική. Δεῖ γὰρ τὸν πιστόν, καὶ θερμὸν εἶναι περὶ τὴν ἐργασίαν τοῦ καλοῦ, καὶ ζηλωτὴν κατὰ τῆς πονηρίας, καὶ πρᾳὺν εἰς τοὺς πονηρευομένους· ἡ γὰρ πονηρία μισητέα, οὐχ ὁ πονηρευόμενος. Ἐκεῖνος γὰρ θεραπευτέος· πάσχει γάρ. Καὶ τοῦτό ἐστι τὸ πονηρεύεσθαι, τὸ παρὰ τοῦ Πονηροῦ ἐνοχλεῖσθαι, καὶ πάσχειν τὴν πονηρίαν. Ἐὰν οὖν Πέτρον καὶ Ἰωάννην ἔχωμεν ἑτοιμάζοντας τὸ δεῖπνον, βίον λέγω ἀγαθόν, ὅς ἐστι Πέτρος· καὶ δόγματα ἀληθῆ, ἅ ἐστιν ὁ Θεολόγος Ἰωάννης· συναντήσει τοῖς τοιούτοις ἑτοιμασταῖς ἄνθρωπος, τουτέστι, τότε εὑρήσομεν τὴν ἀνθρωπίνην ὄντος κατάστασιν, τὴν κατ' εἰκόνα δημιουργηθεῖσαν τοῦ πλάσαντος, ἢ μᾶλλον τοῦ κτίσαντος, κεράμιον ὕδατος βαστάζουσαν. Ὕδωρ μὲν ἡ τοῦ Πνεύματος χάρις, ὡς ὁ εὐαγγελιστὴς Ἰωάννης διδάσκει· κεράμιον δὲ, τὸ εὔθρυπτον καὶ πρὸς συντριβὴν εὔκολον τῆς καρδίας. Ὁ γὰρ δεχόμενος χάριν πνευματικήν, ταπεινός ἐστι καὶ συντετριμμένος τῇ καρδίᾳ· Ταπεινοῖς δὲ δίδωσι χάριν ὁ Κύριος. Ὁ εἰδὼς δὲ ἑαυτὸν γῆν καὶ σποδόν, καὶ λέγων μετὰ τοῦ Ἰώβ, «Ἐκ γῆς δέ με ἔπλασας,» ἐκεῖνος βαστάσει τὴν τοῦ Πνεύματος χάριν ἐν τῷ εὐκατανύκτῳ καὶ εὐκόλῳ πρὸς συντριβὴν ἀγγείῳ τῆς καρδίας αὐτοῦ. Ἀκολουθοῦντες δὲ τῇ τοιαύτῃ καταστάσει, ἀφιξόμεθα εἰς τὴν τοῦ νοῦ οἰκίαν, ἧς ὁ οἰκοδεσπότης νοῦς ἀνώγεον ἡμῖν ἐστρωμένον ὑποδείξει μέγα. Ἀνώγεον μὲν ἡ ὑψηλὴ τοῦ τοιούτου νοῦ χώρησις, τὰ θεῖα, φημί, καὶ νοητὰ οἷς ἐγκατοικεῖ, καὶ οἷς ἐμφιλοχωρεῖ. Ἐστρωμένα δὲ ταῦτά εἰσιν· οὐδὲν γὰρ αὐτοῖς τραχύ, ἀλλὰ καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν γίνονται τῷ τοιούτῳ νοΐ, καθὰ καὶ Σολομὼν εἶπε· «Πάντα εὐθέα τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.» Οὐκ ἂν δὲ ἁμάρτοις καὶ τοῦτο εἰπών, ὅτι Ὁ νοῦς, εἰ καὶ ὑψηλὸν πρᾶγμα ποιεῖ, κατὰ τὴν τοῦ νοῦ ἐνέργειαν διάγων, ἀλλ' οὖν ἔστρωται αὐτῷ ἡ γνῶσις ἔτι, καὶ χθαμαλωτέρως ἔχει· Ὑψηλὴ δὲ τῷ ὄντι ἡ γνῶσις, καὶ ὑπὲρ πᾶν ὕψος ἡ ὑπὲρ νοῦν ἀγνωσία, ὅτε οὐκ ἔτι ὁ νοῦς ἐνεργεῖ, ἀλλ' ἐνεργεῖται. Δεῖ δὲ πρότερον ἡμᾶς τῷ νοῒ ἡμῶν ἐνεργεῖν, εἶθ' οὕτως ἐνεργησόμεθα τῇ τοῦ Κυρίου χάριτι, λαμβάνοντες ἡμᾶς ὥσπερ καὶ τοὺς προφήτας, καὶ ἐξιστῶντες πάσης φυσικῆς ἐνεργείας. Ἀμέλει λέγεται λῆμμα Κυρίου ἐν τῷδε τῷ προφήτῃ γενέσθαι. Ὥσπερ οὖν κἀνταῦθα τοῦ ἀνωγέου τούτου ἐστρωμένου, ἔρχεται ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ, καὶ τελεῖ τὰ μυστήρια, ἐρχόμενος αὐτὸς πρὸς ἡμᾶς, καὶ τὴν οἰκείαν αὐτοῦ ἐνέργειαν ἐμφαίνων ἡμῖν, ἀλλ' οὐκ ἀναμένων ἡμᾶς ἐλθεῖν πρὸς αὐτὸν ἔτι. Μαθηταὶ δὲ τοῦ Θεοῦ Λόγου, πάντες οἱ λόγοι τῶν γεγονότων. Τότε οὖν ὅταν ἐνεργῇ ἐν ἡμῖν ὁ Λόγος, τὴν τοῦ Πάσχα μετάληψιν συνήσομεν, μᾶλλον δὲ συνετισθησόμεθα καὶ τοὺς λόγους τῶν γεγονότων, κατὰ τὸ, «Ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου.»

tem primæ in Adam inobedientiæ habeat; in qua conversatione si fuerimus, impinguandi sumus mysteriis Christi. Præparabunt itaque hæc sacramenta Petrus et Joannes, activa et contemplativa, fervor zeli, et mansuetudo pacifica. Oportet enim fideles et fervidos esse bonum operando, et zelotas adversus malitiam, et mansuetos erga male operantes. Odio enim habenda malitia, non is qui male agit, cujus habenda est cura, infirmus enim est. Et hoc est male agere, a maligno vexari, et pati malum. Quod si habuerimus Petrum et Joannem adornantes cœnam, vitam dico bonam, quæ est Petrus, et vera dogmata, quæ sunt Joannes theologus, occurret illis præparatoribus homo: hoc est, tunc inveniemus humanam conditionem, vere formatam secundum imaginem Conditoris aut potius Creatoris, vas aquæ figulinum gestantem. Aqua quidem Spiritus gratia, ut evangelista Joannes docet. Figulinum autem vas, cor, quod facile confringitur; nam qui spiritualem gratiam accipit, humilis est et contritus corde. Humilibus enim dat Dominus gratiam. Qui autem scit seipsum esse terram et cinerem, et dicit cum Job, «De terra me formasti;» ille portat gratiam Spiritus in vase cordis sui, quod facile compungitur et conteritur. Et cum assecuti fuerimus hanc conditionem, abeamus in domum mentis, cujus paterfamilias mens, monstrabit nobis cœnaculum stratum magnum. Cœnaculum autem est sublimis ejusmodi mentis capacitas, divinorum, inquam, 467 et spiritualium, in quibus habitat, et in quibus amice excipitur. Strata autem sunt hæc: nihil enim in eis asperum, sed et aspera in plana convertuntur tali menti: sicut et Salomon dixit, «Omnia plana intelligentibus, et recta invenientibus scientiam.» Id autem peccatoribus non dixit: quia mens, licet opus excellens faciat juxta suam efficaciam agens, strata tamen ejus scientia est, et adhuc humiliora habet. Sublimis autem revera scientia, et super omnem sublimitatem, ignoratio est. quæ mentem transcendit, quando non jam mens operatur, sed operationem sentit ac patitur. Oportet autem nos prius mente nostra operari, et deinde gratiæ Dominicæ in nobis operationem sentiemus, quæ nos suscipiet, sicut prophetas, et eos qui excessum patiuntur, et omni naturali operatione destituuntur. Denique dicitur Assumptio Domini in propheta hujusmodi fieri. Sicut igitur et in hoc cœnaculum stratum venit Jesus cum discipulis suis, et mysteria perficit: ita venit ad nos, et suam ostendit efficaciam, sed non expectat ut nos veniamus ad eum. Discipuli autem Verbi Dei sunt omnes sermones rerum gestarum. Tunc igitur cum operabitur in nobis Verbum, Paschæ intelligemus participationem: vel potius erudiemur in sermonibus rerum factarum juxta illud, Videbo cœlos opera digitorum tuorum.»

VERS. 14-20. « Et cum jam esset tempestivum, accubuit, ac duodecim apostoli cum eo. Et ait illis : Desiderio desideravi hoc pascha comedere vobiscum antequam patiar. Dico enim vobis, posthac non edam ultra ex eo, donec compleatur in regno Dei. Et accepto poculo gratias egit, ac dixit : Accipite hoc, et dividite inter vos. Dico enim vobis, quod non bibam de fructu vitis, donec regnum Dei veniat. Et accepto pane, cum gratias egisset, fregit, ac dedit eis, dicens : Hoc est corpus meum, quod pro vobis datur. Hoc facite in mei recordationem. Similiter et poculum postquam cœnavit, dicens: Hoc poculum novum Testamentum in sanguine meo, qui pro vobis effundetur. » Pascha stantes comedebant, quomodo igitur Dominus recumbere dicitur? Dicunt itaque quod postquam comedit legale pascha, recubuerunt more vulgari comedentes alios quosdam cibos. Dicit autem ad discipulos : Desiderio desideravi hoc pascha manducare vobiscum, priusquam patiar; quasi diceret: Hæc extrema cœna mea est vobiscum, idcirco et grata et desirabilis; nam ultra vobiscum non sum convivaturus : sicut et peregre profecturi postrema colloquia cum maxime familiaribus suaviter miscent. Vel aliter: Desideravi hoc pascha manducare vobiscum, eo quod magna mysteria in hac vobis cœna sim traditurus, 468 nempe ea quæ sunt Novi Testamenti. Significat autem per hæc, quod voluntarie patiatur. Poterat enim omnino secedere, sicut et aliis temporibus, cum sciret se passurum. Quod autem dicit, Non bibam illum, donec regnum Dei veniat, quidam sanctorum intellexerunt, Donec resurgam. Post resurrectionem enim conversatus est cum discipulis, et comedit, et bibit cum eis: sicut et Petrus ad Cornelium dicit : « Qui comedimus et bibimus cum eo post resurrectionem [15]. » Quod autem regnum Dei sit resurrectio, manifestum est. Resurrectio enim destruxit mortem: regnavit autem mors ab Adam usque ad Christum; tunc autem destructa, concessit Domino victoriam et regnum : quemadmodum dictum est : «Ubi est, mors, victoria tua [16]? et David : «Dominus regnavit; » deinde interpretans quomodo regnaverit, «Decorem, inquit, indutus est, » incorruptionem accipiente corpore, et decorato deitate, ut Isaias inquit: «Hic formosus in stola, violentia cum fortitudine [17]. » Dominus quoque postquam resurrexit, inquit : « Data est mihi omnis potestas [18]. » Cum igitur venisset resurrectio, quam regnum Dei nominavit, eo quod mortem destruxit, iterum bibit cum discipulis, persuadens discipulis non juxta apparentiam tantum resurrexisse. Quidam autem regnum putarunt futurum statum : bibere autem Dominum nobiscum in futuro, pro revelatione mysteriorum. Lætificans enim nos exhilaratur, et pascens pascitur misericors, et nostrum potum ac alimoniam, hoc est, doctrinam, proprium cibum existimat.

A « Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε · καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ. Καὶ εἶπε πρὸς αὐτούς· Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν. Λέγω γὰρ ὑμῖν, ὅτι οὐκ ἔτι οὐ μὴ φάγω ἐξ αὐτοῦ, ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Καὶ δεξάμενος ποτήριον, εὐχαριστήσας εἶπε · Λάβετε τοῦτο, καὶ διαμερίσατε ἑαυτοῖς. Λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ. Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, λέγων · Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· Τουτο τὸ ποτήριον ἡ Καινὴ Διαθήκη ἐν τῷ αἵματί B μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. » Τὸ Πάσχα ἱστάμενοι ἤσθιον· πῶς οὖν ὁ Κύριος ἀναπεσεῖν λέγεται, Λέγουσιν οὖν ὅτι μετὰ τὸ φαγεῖν τὸ νομικὸν πάσχα, ἀνέπεσον λοιπὸν κοινῷ τρόπῳ ἐσθίοντες ἄλλα τινὰ βρώματα. Φησὶ δὲ πρὸς τοὺς μαθητάς · Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν · » ὡσανεὶ τοῦτο ἔλεγε · Τοῦτό μοι τὸ τελευταῖον δεῖπνον μεθ' ὑμῶν · διὸ καὶ ἀγαπητόν μοι καὶ ἐπιθυμητόν ἐστιν · ἄλλοτε γὰρ μεθ' ὑμῶν οὐκ ἑστιασθήσομαι · ὥσπερ καὶ οἱ μέλλοντες ἀποδημήσειν, τὰ τελευταῖα προσφωνήματα τοῖς οἰκείοις καὶ γνησίοις ἡδύτερον καὶ ποθεινότερον προσάγουσι. Καὶ ἄλλως δέ · Ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, διότι τὰ μεγάλα μυστήρια ἐν τούτῳ μέλλω παραδοῦναι ὑμῖν, τὰ τῆς Καινῆς Διαθήκης. Δηλοῖ δὲ C διὰ τούτου, ὅτι ἑκὼν πάσχει. Ἐξῆν γὰρ πάντως αὐτῷ, ἐπειδὴ ἐγίνωσκεν ὅτι μέλλει παθεῖν, ὑπαναχωρῆσαι, ὥσπερ κἀν τοῖς προτέροις καιροῖς. Τὸ δὲ, « Οὐ μὴ πίω αὐτὸ, ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ, » τινὲς τῶν ἁγίων ἐνόησαν, ἀντὶ τοῦ, Ἄχρις οὗ ἀναστῶ. Μετὰ γὰρ τὴν ἀνάστασιν συναυλιζόμενος τοῖς μαθηταῖς, καὶ συνέφαγε, καὶ συνέπιεν αὐτοῖς · ὥσπερ καὶ Πέτρος φησὶ πρὸς Κορνήλιον · « Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὴν ἀνάστασιν. » Ὅτι δὲ βασιλεία τοῦ Θεοῦ ἡ ἀνάστασις, πρόδηλον. Ἡ γὰρ ἀνάστασις, κατάλυσις τοῦ θανάτου · ἐβασίλευσε δὲ ὁ θάνατος ἀπὸ Ἀδὰμ ἕως Χριστοῦ· τότε δὲ καταλυθεὶς, παρεχώρησε τῷ Κυρίῳ τῆς νίκης καὶ τῆς βασιλείας, καθὸ εἴρηται · « Ποῦ σου, θάνατε, τὸ νῖκος ; » καὶ ὁ Δαυΐδ, « Ὁ Κύριος ἐβα- D σίλευσεν · » εἶτα ἑρμηνεύων πῶς ἐβασίλευσεν, « Εὐπρέπειαν, φησὶν, ἐνεδύσατο, » ἀποφθαρτισθέντος τοῦ σώματος, καὶ τῇ θεότητι ὡραϊσθέντος · ὡς Ἡσαΐας φησίν · « Οὗτος ὡραῖος ἐν στολῇ, βίᾳ μετὰ ἰσχύος. » Καὶ αὐτὸς δὲ ὁ Κύριος μετὰ τὸ ἀναστῆναι, φησίν · « Ἐδόθη μοι πᾶσα ἐξουσία. » Τῆς οὖν ἀναστάσεως ἐλθούσης, ἣν βασιλείαν τοῦ Θεοῦ ὠνόμασεν, ὡς τὸν θάνατον καταλύσασαν, ἔπιε πάλιν σὺν τοῖς μαθηταῖς, πιστούμενος τὴν ἀνάστασιν, ὡς οὐ κατὰ φαντασίαν ἐστί. Τινὲς δὲ βασιλείαν τοῦ Θεοῦ, τὴν μέλλουσαν κατάστασιν ἐδέξαντο · πίνειν δὲ τὸν Κύριον ἐν τῷ μέλλοντι μεθ' ἡμῶν, τὴν ἀποκάλυψιν τῶν μυστηρίων αὐτοῦ. Εὐφραίνων γὰρ ἡμᾶς εὐφραίνε-

[15] Act. x, 41. [16] I Cor. xv, 55. [17] Isa, LXIII, 1. [18] Matth. XXVIII, 18.

ται, καὶ τρέφων τρέφεται ὁ φιλάνθρωπος, καὶ τὴν ἡμετέραν πόσιν καὶ τροφὴν, ἤτοι μάθησιν, οἰκείαν τροφὴν λογίζεται. Πίεται οὖν τηνικαῦτα καινήν τινα πόσιν μετὰ τῶν ἀξίων, ἀποκαλύπτων αὐτοῖς ἀεὶ καινά τινα καὶ ἀσυνήθη. Δύο δὲ δοκεῖ ποτηρίων μνημονεύειν ὁ Λουκᾶς· καὶ ἓν μὲν, φησὶ, « Λάβετε, καὶ διαμερίσατε ἑαυτοῖς, » ὃ τῆς Παλαιᾶς Διαθήκης τύπον εἴποι ἄν τις εἶναι· ἕτερον δὲ, μετὰ τὸ κλάσαι τὸν ἄρτον καὶ διανείμασθαι, αὐτὸς διανέμει τοῖς μαθηταῖς, ὃ καὶ τῆς Καινῆς Διαθήκης ὀνομάζει, καὶ ἐν τῷ αὐτοῦ αἵματί φησι τοῦτο ἐγκαινίζεσθαι. Ἐπὶ μὲν γὰρ τῆς Παλαιᾶς αἷμα ζώων ἀλόγων ἦν, ὅτε ὁ νόμος ἐδόθη· νῦν δὲ τοῦ Θεοῦ Λόγου ἀνθρώπου γενομένου, τὸ αἷμα τὴν Καινὴν Διαθήκην ἡμῖν ἐπισφραγίζει. Εἰπὼν δὲ, « Τὸ ὑπὲρ ὑμῶν διδόμενον καὶ ἐκχυνόμενον, » οὐχ ὑπὲρ τῶν ἀποστόλων μόνον δεδόσθαι δηλοῖ τὸ σῶμα αὐτοῦ, καὶ τὸ αἷμα ἐκκεχύσθαι, ἀλλ' ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως. Ὅταν οὖν εἴπῃ, « Ὑπὲρ ὑμῶν διδόμενον, » ἀντὶ τοῦ, Ὑπὲρ τῆς ὑμετέρας φύσεως τῶν ἀνθρώπων, νόει. Τὸ μὲν οὖν παλαιὸν πάσχα ἐπὶ τῇ ἀπαλλαγῇ τῆς δουλείας τῆς ἐν Αἰγύπτῳ ἐτελεῖτο, καὶ τὸ αἷμα τοῦ προβάτου ἐπὶ τῇ συντηρήσει τῶν πρωτοτόκων· τὸ δὲ καινὸν Πάσχα ἐπὶ ἀφέσει ἁμαρτιῶν, καὶ ἐπὶ συντηρήσει τῶν ἡγιασμένων καὶ ἀφωρισμένων λογισμῶν τῷ Θεῷ. Πρῶτον δὲ ὁ ἄρτος, εἶτα τὸ ποτήριον. Προτέρα γὰρ ἡ ἐπίπονος πρᾶξις καὶ δυσκατέργαστος· ἱδρῶτες γὰρ προηγοῦνται τῆς ἀρετῆς· ὥσπερ οὖν καὶ ὁ ἄρτος οὐ μόνον ἐν ἱδρῶτι τοῦ προσώπου γεωργεῖται, ἀλλὰ καὶ ἐν τῷ ἐσθιεσθαι δυσκατεργαστότερός ἐστιν, εἶθ' οὕτω μετὰ τοὺς πόνους ἡ εὐφροσύνη τῆς τοῦ Θεοῦ χάριτος, ὅπερ ἐστὶ τὸ ποτήριον. Μεθ' ὃ γὰρ τις ἐν τῇ ἀρετῇ τῇ δυσκατεργάστῳ κοπιάσῃ, τότε τῶν χαρισμάτων ἄξιος γίνεται, καὶ πάσχει τὴν καλὴν μέθην, ἐξιστάμενος τοῦ κόσμου τούτου, ὡς ὁ Παῦλος, καὶ ὁ Δαυΐδ· τολμητέον δὲ εἰπεῖν, καὶ ὡς ὁ Θεὸς παρὰ τῷ Ἀββακούμ.

« Πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με, μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης. Καὶ ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται. Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς, τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ μέλλων τοῦτο πράσσειν. Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. Ὁ δὲ εἶπεν αὐτοῖς· Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν, εὐεργέται καλοῦνται. Ὑμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὁ μείζων ἐν ὑμῖν, γενέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. Τίς γὰρ μείζων; ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; Ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. » Οὐδὲν πεπωρωμένης ψυχῆς ἀθλιώτερον. Ἰδοὺ γοῦν ὁ Κύριος ὅρα τί φησιν, ὅτι « Ἡ χεὶρ τοῦ παραδιδόντος με, ἐπὶ τῆς τραπέζης μετ' ἐμοῦ· » καὶ ὁ ἀσύνετος οὐχ ᾐσθάνετο. Καὶ γὰρ οὐ μόνον, ἵνα δείξῃ ὅτι οὐκ ἀγνοεῖ τὸ συμβησόμενον, ταῦτα λέγει ὁ Κύριος, ἀλλὰ καὶ ἵνα δείξῃ ἡμῖν καὶ τὴν οἰκείαν ἀγαθότητα, καὶ τὴν τοῦ προδότου πονηρίαν, ὅτι καὶ συνέστιος γενέσθαι οὐκ ἠρυθρίασεν. Οὐδὲ πάλιν αὐτὸς ἀφῆκε τὰ οἰκεῖα ποιῶν, καὶ τύπον ἡμῖν τιθεὶς, ἵνα ἄχρι τέλους σπουδάζωμεν κερδῆσαι τοὺς πταίοντας. « Καὶ ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου,

Bibet igitur tunc novam quamdam potionem cum dignis, revelans eis semper nova quædam et insolita. Duorum autem Lucas videtur meminisse poculorum. Et de uno quidem dicit : « Accipite et dividite inter vos; » quod veteris testamenti figuram quis esse dixerit; et de altero quod illud, postquam fregit panem et distribuit, ipse distribuit discipulis, quod et Novi Testamenti nominat, et suo sanguine dicit hoc innovari. In Veteri enim sanguis erat brutorum animalium, cum lex vigeret : nunc autem cum Verbum Dei homo factum est, sanguis Novum Testamentum nobis obsignavit. Dicendo autem, « Quod pro vobis datur et effunditur, » non pro solis apostolis signat corpus ejus esse datum, et sanguinem ejus esse effusum, sed pro humano genere. Quando igitur dicit, « Quod pro vobis datur, » intellige, Pro vestro hominum genere. Vetus enim pascha perficiabatur ob liberationem servitutis ex Ægypto, et sanguis agni propter servata primogenita: Novum autem pascha propter remissionem peccatorum, et conservationem cogitationum sanctificatarum, et consecratarum Deo. Primum autem 409 panis, et deinde poculum. Primum enim laboriosor actio et difficilior; sudores enim præcedunt virtutem : quemadmodum panis, non solum in sudore faciei excolitur, sed et comedendo operosior est; deinde post labores lætitia divinæ gratiæ; quæ signatur per poculum. Postquam enim quis in virtutibus diu graviterque laboraverit, tandem dignus est donis, et inebriatur laudata illa ebrietate qua excedit ex hoc mundo, sicut Paulus et David, et ut audentius quiddam dicam, sicut et Deus apud Habacuc.

VERS. 21-27. « Verumtamen ecce manus tradentis me, mecum est in mensa. Et Filius quidem hominis secundum quod definitum est, vadit : verumtamen væ homini illi per quem proditur. Et ipsi cœperunt quærere inter sese, quisnam esset ex ipsis qui hoc facturus esset. Facta est autem et contentio inter eos quis eorum videretur esse major. Dixit autem eis: Reges gentium dominantur eis, et qui potestatem habent super eas, benefici vocantur. Vos autem non sic : sed qui major est in vobis, fiat sicut junior : et qui princeps est, sicut qui ministrat. Nam uter major est, qui accumbit, an qui ministrat? nonne qui accumbit? At ego in medio vestrum sum ut qui ministrat. » Nihil excæcatis miserius est. Vide enim quid Dominus dicat : « Ecce manus tradentis me, mecum est in mensa : » et stupidus non sensit. Etenim Dominus hæc dicit, non solum ut ostendat se non ignorare quod eveniet, sed et ut nobis suam bonitatem, et proditoris malitiam ostendat, qui non erubuerit secum convivari. Nam Dominus non omisit sua facere, ut nobis exemplum daret ut usque in finem lapsos lucrari studeamus. Et « Filius quidem hominis, inquit, vadit »: non quasi non valeat se vindicare, sed quia olim decreverat

mori in salutem hominum. « Verumtamen væ h mini illi per quem traditur. » Nam prædefinitum quidem est ut patiatur : sed tu quare inventus es malus, et ita ad proditionem paratus? Propterea tibi væ adjudicatum est, quia inventus es studens proditioni; quia etiam serpens maledictus est eo quod servivit diaboli consiliis. Turbati sunt autem discipuli auditis his, et hoc latius disces in Evangelio Joannis. Nunc autem non de suspicione proditionis tantum turbantur, sed ex turbatione illa ad contentiones veniunt, contendentes quis ex ipsis esset maximus. Inciderunt autem in hanc litem quia verisimile est quod inter se dixerunt unus alteri : Tu proditurus es, et alius alteri : Tu. Et inde eo pervenerunt ut dicerent : Ego sum melior, et, Ego sum major, et similia. Quid igitur Dominus? Comprimit tumultum hunc duobus exemplis. Uno gentilium, quos abominantur : ostendens quod illis assimilandi sint, si sapiant similia. Altero 470 autem suo exemplo. Eos enim ad humilitatem exemplo suo ducit, ostendens quod ipse ministret eis. Etenim tunc, sicut dictum est, panem suum et potum distribuit. Cum igitur ego, quem omnis rationalis et angelica creatura adorant, in medio vestri ministro, quomodo vos digni estis qui magna de vobis sentiatis, et primas partes capiatis? Videtur autem mihi non obiter hujus recubitus et ministerii meminisse, sed reducere eis in memoriam, quia De uno pane comedistis, et ex uno calice bibistis, amicos et unanimes una mensa fecit : quare ergo sapitis quæ tales non decent? et neque ego uni quidem servivi, alteri autem non servivi, sed ex æquo omnibus vobis : omnes igitur unum et idem sentiatis. Tu autem ex his omnibus intelligas quod discipuli adhuc imperfecti fuerint, sed vide quomodo et postea refulserint. Confundantur Manichæi, qui dicunt quosdam natura esse indociles, et impossibilem esse vitæ mutationem.

VERS. 28-34. « Vos autem estis qui permansistis mecum in tentationibus meis : et ego dispono vobis, sicut disposuit mihi Pater meus regnum, ut edatis et bibatis, super mensam meam in regno meo, et sedeatis super thronos, judicantes duodecim tribus Israel. Ait autem Dominus : Simon, Simon, ecce, Satanas expetivit vos, ut cribraret sicut triticum : sed ego rogavi pro te, ne deficiat fides tua. Et tu aliquando conversus confirma fratres tuos. At ille dixit ei : Domine, tecum paratus sum et in carcerem et in mortem ire. At ille dixit : Dico tibi, Petre, non canet hodie gallus priusquam ter abneges nosse me. » Postquam dixit traditori væ, et in medio docuit eos humiles esse : sicut traditori væ adjudicavit, ita et e diverso, inquit : Vos estis qui mansistis mecum in tentationibus meis, ideo et mercedem vobis dispono, hoc est, paciscor vobiscum ut, cum Pater meus disposuerit mihi, hoc est, segregaverit mihi regum, edatis et bibatis

A φησὶ, πορεύεται· » οὐχ ὡς ἀσθενῶν ἀμῦναι ἑαυτῷ, ἀλλ' ὡς ὁρίσας ἑαυτῷ τὸν θάνατον ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων. « Πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται. » Ὥρισται μὲν γὰρ παθεῖν, ἀλλὰ σὺ διὰ τί εὑρέθης κακὸς, ὥστε πρὸς προσδοσίαν ἕτοιμος εἶναι; Διὰ τοῦτο οὖν σοι τὸ οὐαὶ ἀποκεκλήρωται, ὅτι εὑρέθης ἐπιτήδειος εἰς προδοσίαν· ἐπεὶ καὶ ὁ ὄφις ἐπικατάρατος, διότι ὑπούργησε τῇ τοῦ διαβόλου συμβουλῇ. Ἐθορυβήθησαν δὲ οἱ μαθηταὶ ταῦτα ἀκούσαντες· καὶ τοῦτο πλατύτερον μαθήσῃ ἐν τῷ κατὰ Ἰωάννην. Νῦν δὲ οὐ περὶ τῆς ὑπονοίας τῆς προδοσίας θορυβοῦνται μόνον, ἀλλ' ἐκ τούτου τοῦ θορύβου καὶ εἰς ἔριν ἔρχονται, φιλονεικοῦντες τίς αὐτῶν εἴη μείζων. Ἐνέπεσον δὲ εἰς ταύτην τὴν ἔριν ἀκολούθως. B Ἐπεὶ γὰρ πρὸς ἀλλήλους εἰκὸς ἦν λέγειν, ὅτι Σὺ μέλλεις προδιδόναι· καὶ αὖ ἐκεῖνος τούτῳ, ὅτι Σύ· ἐκ τούτου προήχθησαν εἰς τὸ λέγειν· Ἐγὼ εἰμι κρείττων, καὶ, Ἐγὼ εἰμι μείζων, καὶ τὰ τοιαῦτα. Τί οὖν ὁ Κύριος; Καταστέλλει τὸν θόρυβον τούτων δυσὶν ὑποδείγμασιν, ἑνὶ μὲν τῷ τῶν ἐθνικῶν, οὓς βδελυκτοὺς εἶχον, δεικνύων ὅτι τούτοις ἐοικότες ἔσονται, εἰ τοιαῦτα φρονοῦσιν· ἑτέρῳ δὲ τῷ ἑαυτοῦ· δι' ἑαυτοῦ γὰρ εἰς ταπεινοφροσύνην ἄγει, δεικνὺς ἑαυτὸν διακονοῦντα αὐτοῖς. Καὶ γὰρ δὴ τότε, καθὰ εἴρηται, τὸν ἄρτον αὐτοῖς καὶ τὸ ποτήριον διένειμεν. Ἐπεὶ τοίνυν ἐγὼ ὁ ὑπὸ πάσης ἀγγελικῆς καὶ λογικῆς φύσεως προσκυνούμενος, ἐν μέσῳ ὑμῶν διακονῶ, πῶς ὑμεῖς ἄξιοι ἐστε μεγαλοφρονεῖν, καὶ περὶ πρωτείων ἐρίζειν; Δοκεῖ δέ μοι μηδὲ παρέργως οὕτω μνημονεῦσαι τῆς C ἀνακλίσεως ταύτης καὶ τῆς διακονίας, ἀλλ' ἀναμιμνήσκων αὐτοὺς, ὅτι Εἰ ἐξ ἑνὸς ἄρτου ἐφάγετε, καὶ ἐξ ἑνὸς ποτηρίου ἐπίετε, φίλους ὑμᾶς καὶ ἡνωμένους ἡ μία τράπεζα ποιεῖ· διατί τοίνυν ἀναξίως τούτων φρονεῖτε; Ἀλλ' οὐδ' ἐγὼ τούτῳ μὲν διηκόνησα, τούτῳ δ' οὔ, ἀλλὰ πᾶσιν ὑμῖν ἐπίσης· πάντες οὖν ἓν καὶ τὸ αὐτὸ φρονεῖτε. Σὺ δέ μοι ἐκ πάντων τούτων ἐννόει, πῶς ἀτελεῖς ἦσαν ἔτι οἱ μαθηταί· ἀλλ' ἴδε πῶς ὕστερον ἔλαμψαν. Ἐντραπέσθωσαν Μανιχαῖοι λέγοντες, ὅτι ἐκ φύσεώς εἰσί τινες ἀμαθεῖς, καὶ ἀδύνατον μετατεθῆναι τούτους.

« Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου, κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου, καὶ καθέζησθε ἐπὶ D θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Εἶπε δὲ ὁ Κύριος· Σίμων, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ συνιάσαι ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. Καὶ σύ ποτε ἐπιστρέψας, ἐπιστήριξον τοὺς ἀδελφούς σου. Ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. Ὁ δὲ εἶπε· Λέγω σοι, Πέτρε, οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με. » Ἐπειδὴ εἶπεν, ὅτι Τῷ παραδιδόντι με οὐαὶ, καὶ ἐν τῷ μέσῳ ἐδίδαξεν αὐτοὺς, ὅτι δεῖ μετριοφρονεῖν· ὥσπερ τῷ παραδιδόντι τὸ οὐαὶ προσαπεκλήρωσεν, οὕτως αὐτοῖς ἐκ τοῦ ἐναντίου φησὶν, ὅτι Ὑμεῖς δέ ἐστε οἱ παραμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· διὸ καὶ ἀμοιβὰς ὑμῖν διατίθεμαι, τουτέστι, Συμφωνῶ

πρὸς ὑμᾶς, ἵνα ἐπεὶ ὁ Πατήρ μου διέθετό μοι, ἤγουν ἀφώρισέ μοι βασιλείαν, ἐσθίητε καὶ πίνητε ἐφὶ τῆς τραπέζης μου. Τὸ δὲ ἐσθίειν καὶ πίνειν εἶπεν, οὐχ ὡς ἐδεσμάτων ἐκεῖσε ἐσομένων, οὐδὲ ὡς αἰσθητῆς οὔσης τῆς βασιλείας αὐτοῦ. Αὐτός τε γὰρ ἐδίδαξεν οἷς πρὸς τοὺς Σαδδουκαίους εἶπεν, ὡς ἀγγελική ἐστιν ἡ ἐκεῖσε διαγωγὴ, καὶ ὁ Παῦλος δὲ διδάσκει τὴν βασιλείαν τοῦ Θεοῦ μὴ εἶναι βρῶσιν καὶ πόσιν. Μή τις οὖν πλανάσθω ἀκούων ἐνταῦθα τὸ, « Ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου· » ἀλλὰ νοείτω ὅτι ἐκ μεταφορᾶς τῶν παρὰ τοῖς τοῦ κόσμου βασιλεῦσι τιμωμένων τοῦτο εἴρηται. Οἱ γὰρ σύνδειπνοι τοῦ βασιλέως δοκοῦσι πάντων πρωτεύειν. Τοῦτο οὖν καὶ περὶ τῶν ἀποστόλων φησὶν, ὅτι πάντων προτιμότεροι ἔσονται παρ' αὐτῷ. Ἐπεὶ καὶ θρόνων καθέδρας ἀκούων, μὴ θρόνους νόει, ἀλλὰ τιμὴν καὶ δόξαν. Οὐδεὶς γὰρ τῶν κτιστῶν καὶ γενητῶν, ἐκεῖ καθεδεῖται· ἀλλὰ τῆς ἁγίας Τριάδος, τοῦ ἀκτίστου καὶ βασιλέως τῶν ὅλων Θεοῦ, μόνης ἐστὶ τὸ καθέζεσθαι· τῆς δὲ κτίσεως, ὡς δούλης, τὸ ἵστασθαι. Καὶ ταῦτα δὲ σωματικῶς λέγομεν, τὸ καθῆσθαι καὶ τὸ ἵστασθαι. Το δὲ, « Κρίνοντες, » τουτέστι, κατακρίνοντες ἐκ τῶν δώδεκα φυλῶν τοὺς ἀπιστήσαντας. Οὐ μικρὰ γὰρ κατάκρισις τοῖς ἐξ Ἰσραὴλ ἀπιστήσασιν οἱ ἀπόστολοί εἰσιν, ὡς Ἰσραηλῖται ὄντες καὶ αὐτοὶ, ὅμως πιστεύσαντες. Ἐπεὶ τοίνυν τῷ μὲν προδότῃ τὸ οὐαὶ ἀπέδωκε, τούτοις δὲ τοῖς παραμείνασιν ἐν τῇ πρὸς αὐτὸν στοργῇ, τοσαύτην τιμὴν προεῖπεν ἔσεσθαι, ἵνα μὴ ἐπαρθῶσιν ὡς μέγα τι κατορθωκότες, καὶ παραμείναντες ἐν τῇ ἀγάπῃ αὐτοῦ, καὶ μὴ προδόντες. « Ὁ Σατανᾶς, φησὶν, ᾐτήσατο ὑμᾶς σινιάσαι, » τουτέστι, ταράξαι, βλάψαι, πειρᾶσαι· « Ἀλλ' ἐγὼ ἐδεήθην. » Μὴ νομίσητε, φησὶν, ὅτι ὑμέτερόν ἐστι τὸ πᾶν κατόρθωμα τοῦτο· ὁ γὰρ διάβολος πολὺς ἐπέκειτο ζητῶν ὑμᾶς ἐκβαλεῖν τῆς ἐμῆς στοργῆς, καὶ προδότας ἀποδεῖξαι. Πρὸς δὲ τὸν Πέτρον ταῦτα ἀποτείνεται, διότι καὶ θρασύτερος τῶν ἄλλων ἦν, καὶ εἰκὸς αὐτὸν μεγαλοφρονῆσαι ἐφ' οἷς ἐπηγγείλατο ὁ Χριστός. Διὸ καταστέλλων αὐτὸν, φησὶν, ὅτι Τῷ μὲν Σατανᾷ πολλὴ σπουδὴ γέγονε καθ' ὑμῶν· ἐγὼ δὲ ᾐτησάμην περὶ σοῦ. Τοῦτο κατὰ τὸ ἀνθρώπινον ἔφη· ὡς γὰρ Θεὸς, τί ἐδεῖτο του αἰτήσασθαι; « Ἐδεήθην οὖν, φησὶν, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. » Εἰ γὰρ καὶ πρὸς μικρὸν μέλλεις σαλευθῆναι, ἀλλ' ἔχεις ἐναποκείμενα τὰ σπέρματα τῆς πίστεως. Κἂν τὰ φύλλα ἔῤῥιψε τὸ πνεῦμα τοῦ ἐπηρεάζοντος, ἀλλ' ἡ ῥίζα ζῇ, καὶ οὐκ ἐκλείψει ἡ πίστις σου. Σὺ δὲ ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. Τὸ μὲν πρόχειρον νοῆσαι, τοῦτ' ἔστιν, ὅτι Ἐπειδή σε τῶν μαθητῶν ἔξαρχον ἔχω, μεθ' ὃ ἀρνησάμενός με, κλαύσεις, καὶ εἰς μετάνοιαν ἔλθῃς, στήριξον τοὺς λοιπούς. Τοῦτο γὰρ προσήκει σοι ὡς μετ' ἐμὲ ὄντι τῆς Ἐκκλησίας πέτρᾳ καὶ στηρίγματι. Νοήσειε δ' ἄν τις τοῦτο οὐ μόνον περὶ τῶν τότε ἀποστόλων εἰρῆσθαι, ὡς ἂν ὑποστηριχθῶσιν ὑπὸ τοῦ Πέτρου, ἀλλὰ καὶ περὶ πάντων τῶν ἄχρι τῆς συντελείας τοῦ αἰῶνος πιστῶν. Σὺ γὰρ, ὦ Πέτρε, ἐπιστρέψας, καλὸν ὑπόδειγμα γενήσῃ πᾶσιν εἰς με-

A super mensam meam. Comedere autem et bibere dixit, non quasi edulia illic sint posita, neque quasi sensibile quoddam regnum sit. Ipse enim per ea quæ Sadducæis locutus est, docet quod conversatio quæ illic, angelica sit, et Paulus docet regnum Dei non esse cibum et potum[19]. Ne quis igitur erret audiens hic, « Edatis et bibatis super mensam meam, » sed cogitet quod dictum sit ex metaphora eorum qui a regibus honorantur. Nam qui cum regibus cœnant, videntur primos honores sortiri. Hoc igitur et de apostolis dicit, quod apud se omnibus aliis præferantur. At ubi thronos et sedes audieris, non thronos intellige, sed gloriam et honorem. Non enim creaturæ est sedere, sed sanctæ Trinitatis, B increati et regis omnium Dei: creaturæ autem, tanquam ancillæ, est stare, idque corporaliter **471** dicimus sedere et stare. Judicantes vero, hoc est, condemnantes eos qui ex duodecim tribubus sunt incredNli futuri. Non parva autem condemnatio Israelitis fuerit, quod apostoli qui etiam ipsi ex Israelitis erant crediderunt, et alii non crediderunt. Itaque quia proditori væ adjudicatum est, illorum autem qui permanserunt in amore erga illum, tantum prædixit fore honorem, ut ne extollantur quasi magnum quiddam fedissent, et permansissent in charitate, ac non prodidissent: « Satanas vos, inquit, petivit cribrare, » hoc est, turbare, nocere, tentare; « sed ego rogavi. » Ne existimetis (inquit) quod vestrum sit totum hoc bonum opus. C Diabolus enim valde urget, si possit vos vos ab amore mei depellere, et ostendere proditores. Ad Petrum autem verba hæc dirigit, qui reliquis audacior erat, et probabile est superbisse in iis quæ a Christo promissa erant; idcirco et reprimit eum, dicens: Satanæ quidem fuit multum studium contra vos; ego autem oravi pro te. Et hoc humano more dicebat; nam, ut Deus, non opus habebat orare aliquem. « Rogavi igitur, dicit, ut non deficiat fides tua. » Quamvis enim brevi tempore concutiendus sis, habes tamen recondita semina fidei, ut etiam si folia abjicerit spiritus invadentis, radix tamen vivet, et non deficiet fides tua. Tu vero conversus confirma fratres tuos. Planus hujus intellectus is est: D Quia te habeo ut principem discipulorum, postquam negato me fleveris et ad pœnitentiam veneris, confirma cæteros. Hoc enim te decet, qui post me Ecclesiæ petra es et firmamentum. Intellexerit autem quis non solum de apostolis dictum quod confirmati fuerint a Petro, sed de omnibus qui usque ad consummationem sæculi futuri sunt fideles. Tu enim, Petre, conversus, bonum exemplum pœnitentiæ eris omnibus, ut nullus credentium in te respiciens desperet: qui cum apostolus fueris et negaveris, iterum tamen receperis primatum omnium, et præfecturam orbis per pœnitentiam. Expetivit itaque Satanas cribrare te et lædere sicut triticum purum injiciendo sordidantia, ut pote in-

19 Rom. xiv, 17.

cidens amori tuo in me, sicut ei mos est. Nam sic etiam Job invasit. Verum ego non omnino te derelinquam, ut deficiat in universum fides tua. Quamvis autem ego rogaverim pro te, attamen tu ne recideris, sed conversus, hoc est, pœnitentiam agens, et lacrymas profundens, et negatione resiliens, esto etiam aliis pœnitentiæ exemplar, ne desperent. Quid igitur Petrus? Multa charitas animosum eum reddidit, ut polliceatur quæ sibi tunc impossibilia: Dominus autem ubi vidit eum temeraria loqui (oportebat enim semel audita veritate, quæ ei dicebat quod tentandus esset, non reluctari) manifestat ei tentationis speciem, nempe 472 negationem. Hoc autem loco discimus magnam doctrinam, quod non sufficiat propositum hominis absque subsidio Dei: quemadmodum et Petrus parum derelictus, tametsi charitatem ac fervorem habere videretur, ubi reliquit eum Deus, supplantatus est ab inimico. Et iterum non sufficit Dei subsidium, si non affuerit et humanum propositum: quemadmodum et Judæ, nihil profuit quamvis omnia faceret Dominus ut lucrifaceret eum, cum abesset ei bona voluntas. Horreamus autem considerantes, quantum contra remissos valeant insidiæ diaboli. Ecce enim et hoc loco Petrus, quamvis a Deo conservaretur, quia parvo tempore per dispensationem derelictus est, eo pervenit ut negaret: et nisi a Deo parva quædam custodita fuissent quæ in illo recondita erant semina, quid non passus fuisset? Eo enim spectabat diabolus, ut et ipsum ad proditionem intruderet. «Escæ enim diabolo, inquit propheta, electæ.» Deo autem sit gratia, qui non derelinquit sanctos et justos et bonos corde: qualis erat Petrus, valde amans, et alienus a malis erga Magistrum suspicionibus.

τάνοιαν, καὶ οὐδεὶς τῶν πιστευόντων εἰς ἐμὲ ἀπογνώσεται ἀποβλέπων πρὸς σὲ τὸν ἀπόστολον μὲν ὄντα, ἀρνησάμενον δὲ, καὶ πάλιν τὰ πρωτεῖα πάντων καὶ τὴν τῆς οἰκουμένης ἐπιστασίαν λαβόντα διὰ τῆς μετανοίας. Ἠτήσατο οὖν ὁ Σατανᾶς σινιάσαι σε, καὶ βλάψαι ὥσπερ σῖτον καθαρὸν, παρεμβάλλων τὰ ῥυπαίνοντα, οἷα δὴ φθονῶν σοι τῆς πρὸς ἐμὲ ἀγάπης, ὥσπερ ἔθος αὐτῷ. Οὕτω γὰρ καὶ τῷ Ἰὼβ ἐπεδείξατο· ἀλλ' ἐγὼ οὐ πάντη σε ἐγκατέλιπον, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου εἰς τὸ παντελές. Εἰ καὶ ἐδεήθην δὲ ἐγὼ αὐτὸς περὶ σοῦ, ὅμως σὺ μὴ ἀναπέσῃς, ἀλλ' ἐπιστρέψας, τουτέστι, μετανοήσας καὶ δακρύσας, καὶ ἀπὸ τῆς ἀρνήσεως φυγὼν, γενοῦ καὶ τοῖς ἄλλοις πιστοῖς τύπος τοῦ μετανοεῖν, καὶ μὴ ἀπογινώσκειν. Τί οὖν ὁ Πέτρος; Ἐκ πολλῆς ἀγάπης θρασύνεται, καὶ ὑπισχνεῖται τὰ τέως αὐτῷ ἀδύνατα. Ὁ δὲ Κύριος, ἐπεὶ εἶδεν αὐτὸν ἀπὸ προπετείας φθεγγόμενον (ἔδει γὰρ ἅπαξ ἀκούσαντα τῆς αὐτοαληθείας εἰπούσης αὐτῷ, ὅτι πειρασθήσεται, μηκέτι ἀντιτείνειν), ἀναφαίνει αὐτῷ, καὶ τὸ εἶδος τοῦ πειρασμοῦ, ὅτι ἄρνησις ἔσται. Ἐντεῦθεν δὲ μανθάνομεν δόγμα, ὅτι οὐκ ἀρκεῖ πρόθεσις ἀνθρώπου χωρὶς τῆς τοῦ Θεοῦ ἐπικουρίας· ὥσπερ οὖν καὶ ὁ Πέτρος ἐγκαταλειφθεὶς πρὸς μικρὸν, εἰ καὶ ἐδόκει ἀγαπᾷν, θερμότητα ἔχειν, ἀλλ' ὅμως τοῦ Θεοῦ ἀφέντος, ὑπεσκελίσθη τῷ ἐχθρῷ. Καὶ αὖ οὐκ ἀρκεῖ ἡ τοῦ Θεοῦ ἐπικουρία, μὴ καὶ προθέσεως ἀνθρωπίνης οὔσης· ὥσπερ οὖν καὶ Ἰούδας οὐδὲν ὠφελήθη, καίτοι πάντα ποιοῦντος τοῦ Κυρίου εἰς τὸ κερδῆσαι αὐτόν· προαίρεσις γὰρ ἀπῆν ἀγαθή. Φρίξωμεν οὖν ἐννοοῦντες τοῦ διαβόλου τὰς ἐπιβουλὰς, ὡς ἰσχύουσι κατὰ τῶν χαυνοτέρων. Ἰδοὺ γὰρ ἐνταῦθα ὁ Πέτρος, καίτοι ὑπὸ Θεοῦ συγκρατούμενος, ὅμως διότι μικρὸν οἰκονομικῶς ἐγκαταλείφθη, εἰς ἄρνησιν ἀπηνέχθη· εἰ τοίνυν μὴ ἐτηρεῖτο ὑπὸ Θεοῦ, καὶ σπέρματα ἐν αὐτῷ ἀποκείμενα ἦν ἀγαθὰ, τί οὐκ ἂν ἔπαθεν; Ὁ γὰρ σκοπὸς τῷ διαβόλῳ ἦν, καὶ τοῦτον εἰς προδοσίαν ῥίψαι. « Τὰ γὰρ βρώματα τῷ διαβόλῳ, φησὶν ὁ προφήτης, ἐκλεκτά. » Χάρις δὲ Θεῷ τῷ οὐκ ἐγκαταλείποντι τοὺς ὁσίους, καὶ δικαίους, καὶ ἀγαθοὺς τῇ καρδίᾳ, οἷος ἦν ὁ Πέτρος, φιλόστοργος, καὶ περὶ τὸν Διδάσκαλον πάσης πονηρᾶς ὑπονοίας ἀλλότριος.

VERS. 35-38. « Et dixit eis: Quando misi vos sine sacculo et pera et calceamentis, num quid defuit vobis? At illi dixerunt: Nihil. Dixit ergo eis: Sed nunc qui habet sacculum, tollat similiter et peram: et qui non habet, vendat tunicam suam, et emat gladium. Dico enim vobis, quoniam adhuc hoc quod scriptum est oportet perfici in me, Et cum iniquis deputatus est [20]. Etenim et quæ sunt de me, finem habent. At illi dixerunt: Domine, ecce duo gladii hic. At ille dixit eis: Satis est. » In principio quidem prædicationis mittens discipulos Dominus in castella et civitates, absque necessariis dimisit, neque dedit quibus habebant opus, neque curam gerere volebat. Ipsos enim etiam in his oportebat discere ejus virtutem. Illorum enim curam habens tanquam infirmorum, faciebat eis omnia necessaria affluere abunde citra ipsorum curam. Nunc autem contraria præcipit, non contrarius

« Καὶ εἶπεν αὐτοῖς· Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου, καὶ πήρας, καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; Οἱ δὲ εἶπον· Οὐδενός. Εἶπεν οὖν αὐτοῖς· Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν. Λέγω γὰρ ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοὶ, τὸ, Καὶ μετὰ ἀνόμων ἐλογίσθη· καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει. Οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ ὧδε μάχαιραι δύο. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἱκανόν ἐστιν. » Ἐν ἀρχῇ μὲν τοῦ κηρύγματος, στέλλων τοὺς μαθητὰς ὁ Κύριος ἐπὶ τὰς κώμας καὶ πόλεις, ἀπερίττους ἀπέστελλε, μηδὲν ἐπαγομένους χρειῶδες, μηδενὸς φροντίζοντας. Ἔδει γὰρ αὐτοὺς μαθεῖν τὴν αὐτοῦ δύναμιν καὶ ἐν τοῖς τοιούτοις. Αὐτὸς γὰρ κηδόμενος αὐτῶν ὡς ἀσθενῶν, ἀφθόνως ἐποίει αὐτοῖς τὰ χρειώδη ἐπιῤῥεῖν καὶ ἀφροντίστως. Νῦν δὲ τὰ ἐναντία διακελεύεται, οὐχ ἐναντιούμενος ἑαυτῷ, ἀλλὰ δεικνὺς αὐ-

[20] Isa. LIII, 12.

τοῖς ὅτι μέχρι μὲν νῦν ὡς παιδία διεβάσταζε, καὶ A οὐδενὸς αὐτοὺς ἐποίει φροντίζειν, ἀπὸ τοῦ νῦν δὲ χρὴ καὶ αὐτοὺς τὰ τῶν ἀνδρῶν φρονεῖν καὶ προνοεῖσθαι ἑαυτῶν. Ἐγὼ γάρ, φησίν, ὁ πατὴρ ὑμῶν ὁ κηδόμενος ἤδη ἀπέρχομαι· ἀπὸ τοῦ νῦν ἐνδύσασθε πρὸς τὸ καὶ αὐτοὶ φροντίζειν τῶν οἰκείων, καὶ μὴ πάντα θαῤῥεῖν ἐμοί. Οὐδὲ γὰρ τοιαῦτα ὑμῖν ἔσονται τὰ πράγματα, ῥᾴω τε καὶ ἄπονα, ἀλλὰ καὶ πείνῃ, καὶ δίψῃ, καὶ ἀντικειμένοις πολλοῖς περιπεσεῖσθε. Ταῦτα γὰρ αἰνίττεται διὰ τοῦ βαλαντίου, καὶ τῆς πήρας, καὶ τῆς μαχαίρας. Διὸ ἀνάστητε, ὡς καὶ πεινήσοντες, καὶ δεησόμενοι βρωμάτων· ὃ διὰ τῆς πήρας αἰνίττεται. Καὶ ἀνδρίζεσθε, ὡς ἀντικειμένοις πολλοῖς περιπεσούμενοι· ὃ διὰ τῆς μαχαίρας ἐμφαίνει. Ταῦτα δὲ λέγει, οὐχ ἵνα πάντως μαχαίρας ἐπισύρωνται, ἀλλ', ὡς ἔφην, τοὺς πολέμους αἰνιττόμενος B καὶ τοὺς κινδύνους, καὶ πρὸς πάντα παρεσκευασμένους εἶναι εἰσηγούμενος. Ἵνα γὰρ μὴ νομίσωσιν οἱ μετέπειτα, ὅτι οὐδὲν παρ' ἑαυτῶν οἱ ἀπόστολοι εἰς τὴν ἀρετὴν συνεισήνεγκαν, ἀλλὰ τὸ πᾶν τοῦ Θεοῦ ἦν, Οὐ τοῦτο, φησίν, ἔσται οὕτως. Οὐδὲ γὰρ ὡς ἀψύχοις ὀργάνοις βούλομαι τοῖς ἐμοῖς μαθηταῖς χρῆσθαι, ἀλλὰ καὶ τὰ παρ' ἑαυτῶν ἐπιζητῶ προσφέρειν αὐτούς. Ἀμέλει καὶ εὑρήσεις τοὺς ἀποστόλους, καὶ μάλιστα Παῦλον πολλὰ καὶ ἐξ ἐπινοιῶν ἀνθρωπίνων κατορθοῦντα (καὶ ἀνάγνωθι τὰς Πράξεις)· πλὴν ἐν ταύταις οὐκ ἀπῆν ἡ τοῦ Θεοῦ βοήθεια· ἅμα δὲ καὶ ὠφελοῦντο οἱ ἀπόστολοι εἰς τὸ ἄτυφον ἐκ τούτου. Εἰ γὰρ καὶ αὐτοὶ μηδενὸς φροντίζοντες, πάντα παρὰ τοῦ Θεοῦ ἀνέμενον, καὶ ἐγίνοντο αὐτοῖς, ἐτυφώθησαν ἄν, ὡς μείζονα ἢ κατὰ ἀνθρωπίνην φύσιν C λαχόντες. Καὶ ἄλλως δέ, ἀγρία φύσεως καὶ διαφθορά, τὸ μηδὲν ἀφ' ἑαυτῶν ἐπινοεῖσθαι, ἀλλὰ πάντα, τοῦτο δὴ τὸ τοῦ λόγου, ἀληλεσμένα προσδοκᾷν. Διὰ τοῦτό φησιν αὐτοῖς, ὅτι Ἀπὸ τοῦ νῦν καὶ πήρας βαστάζετε, τουτέστιν, Οὕτω διάκεισθε, καὶ φροντίζετε, ὡς πεινήσοντες· καὶ μαχαίρας ἀγοράσατε, ὅπερ ἐστίν, Οὕτω προνοεῖσθε ἑαυτῶν, ὡς κινδύνοις καὶ πολέμοις προσκρούσοντες. Καὶ ἄλλως δὲ ἐξελάβοντό τινες τὸ ἀγοράσαι μάχαιραν. Αἰνίττεται γάρ, φασί, τὴν ἔφοδον τὴν κατ' αὐτοῦ ὅσον οὔπω γενησομένην, καὶ ὅτι μέλλουσιν αὐτὸν συλλαμβάνειν φονεῖς ἄνθρωποι. Ἐπεὶ γὰρ ἐκεῖνοι περὶ πρωτείων ἔφθησαν πρὸς ἀλλήλους φιλονεικήσαντες, Οὐκ ἔστι καιρός, φησί, φιλοπρωτείας, ἀλλὰ κινδύνων καὶ σφαγῶν. Καὶ γὰρ ἐγὼ ὁ διδάσκαλος ὑμῶν εἰς θάνατον ἀπάγομαι, καὶ οὐδὲ ἔντιμον θάνατον· ἀλλὰ καὶ τοῦτο πληρωθήσεται ἐπ' ἐμοί, τό, « Καὶ μετὰ ἀνόμων ἐλογίσθη. » Τὴν ἔφοδον νῦν τὴν λῃστρικὴν αἰνίττεσθαι βουλόμενος, ἐμνήσθη μαχαίρας· καὶ οὔτε τέλεον ἀπεκάλυψεν, ἵνα μὴ δειλίᾳ τινὶ ταραχθῶσιν· οὔτε τέλεον ἀπεσιώπησεν, ἵνα μὴ τῇ ἀθρόᾳ ἐφόδῳ συγχυθῶσι· μᾶλλον δὲ ἵνα μετὰ ταῦτα ἀναμιμνησκόμενοι, θαυμάζωσιν αὐτὸν ὡς προγινώσκοντα, καὶ ἐκπλήττωνται, πῶς ἑαυτὸν ἐξεδίδου πρὸς τὸ πάθος ὑπὲρ σωτηρίας τῶν ἀνθρώπων, καὶ διὰ τοῦτο καὶ αὐτοὶ μηδὲν τῶν ἀλγεινῶν ὑποφεύγωσιν ὑπὲρ τοῦ σῶσαί τινας. Ταῦτα γάρ, οἶμαι, τὰ αἰνιγματώδη· διὰ τοῦτο ἔλεγεν, ἵνα μετὰ ταῦτα ἀναμιμνησκόμενοι

A sibi ipsi, sed ostendens eis quod usque ad hoc tempus tanquam parvulos gestarit, et non fecerit eos de quoquam sollicitos. Nunc autem opus est eis ut curent ea quæ virorum sunt, et provideant sibi ipsis. Ego enim, inquit, pater vester, vestri curam gerens jam abeo. Ex hoc tempore parati estote, et ipsi rerum propriarum curam gerite, et nolite omnem curam in me rejicere. Opera enim vestra non erunt tam facilia, et a labore aliena: sed obnoxii eritis fami et siti, et multis adversis. Hæc enim insinuantur per sacculum et peram ac gladium. Proinde ne sitis ignavi : quia et famem experturi estis, et opus habebitis eduliis, quæ per peram significat. Et viriles **473** estote, quia in multa adversa incidetis : quod per gladium indicat. Hæc autem dicit, non ut omnino gladiis sint accincti, sed, ut dixi, significans bella et pericula, et docens ut ad omnia præparati sint. B Nam ne existiment posteriores quod apostoli ex se nihil ad virtutem contulerint, sed totum Dei fuerit : Non hoc crit, inquit, sic. Neque enim apostolis meis uti volo ut instrumentis inanimatis : sed et quæ ab ipsis sunt ipsos afferre postulo. Denique invenies apostolos, et maximé Paulum, multa etiam ex humanis industriis recte facere [lege Acta], quamvis et in his non abfuerit divinum subsidium. Interea autem et apostolis accedit utilitas, ne fastu inflentur ex hoc. Si enim ipsi nihil curassent, et a Deo omnia expectassent, atque ipsis evenissent, inflati fuissent, quasi majus quiddam super vires humanas sortiti. Et alioquin naC turæ esset ignavia et corruptio, nihil a se excogitare, sed omnia, ut dici solet, molita exspectare. Propterea dicit eis : Ex hoc tempore et peras gestate, hoc est, sic affecti estote, et curam habete, ut esuriem habituri Et gladium emite, quod est, sic providete vobis ipsis, tanquam hi qui in bella et prælia multa incident. Et aliter exposuerunt quidam *Emite gladium*. Significat enim, inquiunt, brevi tantas adversus ipsum futuras insidias, quales nunquam fuerunt, et quod invasuri sint ipsum viri sanguinarii. Nam quia illi prius inter se de primatu contenderant. Non est, inquit, tempus ambitionis, sed periculorum et cædium. Nam et ego magister vester ad mortem abducor, neque ad gloriosam D mortem. Verumtamen implebitur in me, «Cum iniquis deputatus est. »Insidias igitur latrocinatorias significaturus, meminit gladii : neque omnino revelavit, ut ne metu quodam terreantur : neque omnino siluit, ut ne repentinis insidiis confundantur : imo ut post hæc recordantes admirentur eum tanquam præscientem, et tupescant quomodo seipsum pro salute hominum ad mortem tradiderit, et propterea etiam ipsi nihil molestum subterfugiant ut salventur aliqui. Hæc enim opinor ænigmatice propterea dicebat, ut postea recordantes et intelligentes, utilitatem caperent : quoniam tunc adeo insipientes erant, ut dicerent : «Domine, ecce hic gladii duo.» At ipse quia vidit eos non intellexisse, inquit : « Satis est; » tametsi nequaquam suffe-

cissent : si humano auxilio contra homicidas illos uti oportuisset, neque centum gladii sufficeissent. Si autem hoc nolebat, sed diviniore subsidio opus erat, superflui erant et duo : verumtamen Dominus noluit eos arguere, utpote nihil intelligentes; sed dixit : « Satis est. » ac processit. Sic igitur etiam nos quando cum quodam conversantes videmus eum 474 non intellexisse quod diximus, dicimus. Bene, dimitte : quamvis non sit bonum. Sed ne conturbemus, remittimus. Facit autem hoc Dominus, quando videt discipulos non intelligere dictum: transit, et eventum rerum permittit explicare dictorum intelligentiam, sicut et quando dixit: « Solvite templum hoc [21]. » Nam postea cognoverunt hoc discipuli ejus post resurrectionem. Quidam autem per ironiam dixerunt dictum a Christo, « Satis est. » Nam cum dixissent discipuli, « Ecce duo gladii hic, » Dominus ironice, aiunt, dixit : Quia duo sunt, omnino multi sunt, et sufficiunt nobis contra multitudinem quæ venit super nos.

καὶ συνιέντες ὠφελῶνται· καίτοι γε τότε οὕτως ἀνοήτως διέκειντο, ὥστε εἰπεῖν· « Κύριε, ἰδοὺ ὧδε μάχαιραι δύο. » Ὁ δὲ ἐπεὶ εἶδεν αὐτοὺς μὴ συνηκότας, φησίν· « Ἱκανόν ἐστι. » Καίτοι γε οὐκ ἦν ἱκανόν. Εἰ μὲν γὰρ ἀνθρωπίνῃ βοηθείᾳ ἔδει κεχρῆσθαι κατὰ τῶν λῃστρικῶς ἐπιόντων, οὐδὲ ἑκατὸν μάχαιραι ἱκαναὶ ἦσαν· εἰ δὲ μὴ τοῦτο, ἀλλὰ θειοτέρας ἔδει συνεργείας, περιτταὶ καὶ αἱ δύο. Ἀλλ' ὅμως ὁ Κύριος οὐκ ἠθέλησεν ἐλέγξαι αὐτοὺς, ὡς μὴ νοήσαντας, ἀλλ' εἰπὼν, « Ἱκανόν ἐστι, » παρέδραμεν· ὥσπερ οὖν καὶ ἡμεῖς, ἐπειδὰν πρός τινα ὁμιλοῦντες ἴδωμεν αὐτὸν μὴ συνιέντα ὃ εἴπομεν, λέγομεν, Καλὸν, ἄφες, καίτοι γε οὐκ ἔστι καλόν· ἀλλ' οὖν ἵνα μὴ ἐνοχλῶμεν, ἀφίεμεν. Ποιεῖ δὲ τοῦτο ὁ Κύριος, ἐπειδὰν ἴδῃ τοὺς μαθητὰς μὴ νοήσαντας τὸ λεχθέν. Παρατρέχει γὰρ καὶ ἀφίησι, τῇ τῶν πραγμάτων ἐκβάσει τὴν κατανόησιν τῶν ῥηθέντων ἐπιτρέπων· ὥσπερ καὶ ὅταν εἶπε· « Λύσατε τὸν ναὸν τοῦτον· » ὕστερον γὰρ ἔγνωσαν τοῦτο οἱ μαθηταὶ αὐτοῦ μετὰ τὴν ἀνάστασιν. Τινὲς δὲ κατ' εἰρωνείαν ἔφασαν εἰπεῖν τὸν Κύριον τὸ, « Ἱκανόν ἐστιν. » Εἰπόντων γὰρ τῶν μαθητῶν, « Ἰδοὺ ὧδε μάχαιραι δύο, » ὁ Κύριος εἰρωνικῶς, φασὶν, εἴρηκεν· Ἐπεὶ δύο εἰσὶ, πολλαί εἰσι πάντως, καὶ ἀρκοῦσιν ἡμῖν πρὸς πλῆθος τοσοῦτον ἐπελευσόμενον ἡμῖν.

VERS. 39-46. « Et egressus ibat (ut erat solitus) in montem Olivarum : secuti sunt autem illum et discipuli. Et cum pervenisset ad locum, dixit illis: Orate, ne intretis in tentationem. Et ipse avulsus est ab eis ferme ad jactum lapidis, positisque genibus orabat, dicens : Pater, si vis, transfer poculum hoc a me; verumtamen non mea voluntas, sed tua fiat. Apparuit autem illi angelus de cœlo confortans eum : et corruptus angore prolixius orabat. Et erat sudor ejus sicut guttæ sanguinis decurrentes in terram. Et cum surrexisset a deprecatione, venissetque ad discipulos suos, reperit eos dormientes præ mœstitudine, et ait illis, Quid dormitis? Surgite et orate, ne intretis in tentationem. » Post cœnam non desidia et ludi et somnus Dominum excipiebant, sed docebat et orabat, propter nos hæc figurans et demonstrans. Væ igitur iis qui post cœnam fœdis scortationibus vacant. Secedit autem in montem Olivarum postquam talia docuisset discipulos, ut oraret. Consueverat enim seorsum hoc facere. Idcirco et a discipulis avellitur. Non omnes autem discipulos, sed tres tantum assumit, qui et gloriæ suæ in monte spectatores fuerant. Quia enim et in agone oraturus erat, ut ne videatur timiditatis esse indicium, propterea assumit eos qui divinæ gloriæ et superni testimonii spectatores et auditores fuerant, ut cum viderint laborantem, hoc humanæ naturæ esse dicant. Ut enim crederetur verus homo esse, naturæ quod suum erat facere permisit, et vitam appetit etiam ipse ut homo, precaturque ut transeat calix. Nam vitæ amans est homo. Quo confutantur hæreses quæ dicunt phantasticum fuisse hominem. Etenim cum hæc facta sint, et habuerunt unde ejusmodi nugarentur: quid

« Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ. Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς· Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν· καὶ θεὶς τὰ γόνατα, προσηύχετο λέγων· Πάτερ, εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω. Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν. Καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο. Ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες εἰς τὴν γῆν. Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς αὐτοῦ, εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης. Καὶ εἶπεν αὐτοῖς· Τί καθεύδετε; Ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. » Μετὰ τὸ δεῖπνον, οὐ ῥᾳθυμία, καὶ παίγνια, καὶ ὕπνος τὸν Κύριον διαδέχονται, ἀλλὰ διδασκαλία, καὶ προσευχὴ, δι' ἡμᾶς ταῦτα τυποῦντα καὶ ὑποδεικνύντα. Οὐαὶ λοιπὸν τοῖς τῆς ἀτίμου πορνείας ἔργοις μετὰ τὰ δεῖπνα ἐπιχειροῦσιν. Ὑπαναχωρεῖ γοῦν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν μετὰ τὸ τοιαῦτα διδάξαι τοὺς μαθητὰς, ὡς ἂν προσεύξηται. Εἰώθει γὰρ κατὰ μόνας τοῦτο ποιεῖν· διὸ καὶ ἀπὸ τῶν μαθητῶν ἀποσπᾶται. Οὐ πάντας δὲ τοὺς μαθητὰς, ἀλλὰ μόνους τοὺς τρεῖς παραλαμβάνει, τοὺς καὶ τῆς δόξης αὐτοῦ ἐν τῷ ὄρει θεωρούς. Ἐπειδὴ γὰρ ἀγωνιᾷ καὶ προσεύχεται, ἵνα μὴ δόξωσι δειλίας ταῦτα εἶναι, διὰ τοῦτο τούτους τῆς θεϊκῆς αὐτοῦ δόξης καὶ τῆς ἄνωθεν μαρτυρίας αὐτόπτας καὶ ἀκουστὰς παραλαμβάνει· ἵνα ὅταν ὁρῶσιν ἀγωνιῶντα, τῆς ἀνθρωπίνης φύσεως τοῦτο εἶναι λογίσωνται. Διὰ γὰρ τὸ πιστώσασθαι, ὅτι ἀληθῶς ἄνθρωπος γέγονε, ἐνδέδωκε τῇ φύσει τὸ ἑαυτῆς ποιεῖν· καὶ ἐπιθυμεῖ ζωῆς καὶ αὐτὸς ὡς ἄνθρωπος, καὶ

[21] Joan. II, 19.

εὔχεται παρελθεῖν τὸ ποτήριον· φιλόζωον γὰρ ὁ A ἄνθρωπος· τὰς αἱρέσεις διὰ τούτων ἀνατρέπων τὰς λεγούσας, ὅτι κατὰ φαντασίαν ἐνηνθρώπησεν. Εἰ γὰρ καὶ τούτων γενομένων, ἔσχον πάροδον τοιαῦτα φλυαρεῖν· τί οὐκ ἂν εἶπον, εἰ μηδὲ ταῦτα ἐγένετο; Τὸ μὲν οὖν θέλειν παρενεχθῆναι τὸ ποτήριον, ἀνθρώπινον· τὸ δὲ ταχέως εἰπεῖν, « Πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν. » δείκνυσιν ὅτι καὶ ἡμᾶς οὕτω δεῖ διακεῖσθαι καὶ φιλοσοφεῖν, καὶ τῷ θείῳ θελήματι παραχωρεῖν, καὶ τῆς φύσεως ἀνθελκούσης. μὴ ἐπιστρέφεσθαι. Μὴ τὸ θέλημα μου τὸ ἀνθρώπινον γενέσθω, ἀλλὰ τὸ σόν, ὅπερ σὸν οὐκ ἔστι τοῦ ἐμοῦ θείου θελήματος κεχωρισμένον· δύο γὰρ φύσεις ἔχων ὁ εἷς Χριστὸς, εἶχε πάντως καὶ φυσικὰ θελήματα τό τε θεῖον, καὶ τὸ ἀνθρώπινον, ἤτοι θελήσεις. Ἤθελε μὲν οὖν ἡ ἀνθρωπίνη φύσις τὸ ζῆν· φυσικὸν γάρ· εἶτα ἑπομένη τῷ θείῳ θελήματι (τὸ δέ ἐστι, τὸ πάντας ἀνθρώπους σωθῆναι, κοινὸν ὂν Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος), τὸν θάνατον κατεδέξατο· καὶ οὕτως ἓν ἐγένετο τὸ θελητὸν, τουτέστιν, ὁ σωτηριώδης θάνατος. Ὅτι γὰρ ἀπὸ τῆς ἀνθρωπίνης φύσεως ἦν τὸ προσεύχεσθαι, κατὰ παραχώρησιν πασχούσης τὸ κοινὸν πάθος τῆς φιλοζωίας, ἀλλ' οὐχ ἀπὸ τῆς θεότητος, ὥς φασιν οἱ κατάρατοι Ἀρειανοὶ, δῆλον ἐκ τοῦ καὶ ἱδρῶσαι, καὶ οὕτως ἐναγώνιον γενέσθαι, ὥστε, τοῦτο δὴ τὸ τῆς παροιμίας, καὶ θρόμβους αἵματος ἐξ αὐτοῦ πεσεῖν. Παροιμία γάρ ἐστιν ἐπὶ τῶν σφόδρα κοπιώντων, ὅτι Αἷμα ἵδρωσεν· ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων, Αἵματα κλαίει. Τοῦτο τοίνυν θέλων δηλῶσαι καὶ ὁ εὐαγγελιστὴς, ὅτι οὐχὶ λεπταῖς τισι νοτίσι, καὶ οἷον ἐνδείξεως χάριν ἐμφαινομέναις, ἀλλὰ σταγόσιν ἁδραῖς ἱδρώτων περιεστάζετο, τοὺς τῶν αἱμάτων θρόμβους εἰς εἰκόνα τοῦ γενομένου παρείληφεν. Ἐντεῦθεν οὖν δῆλον ὡς ἡ ἱδροῦσα φύσις ἐκείνη καὶ ἀγωνία, ἡ ἀνθρωπίνη ἦν, οὐχ ἡ θεία. Ἐπεὶ καὶ ἡ ἀνθρωπίνη φύσις συνεχωρήθη ταῦτα πάσχειν, καὶ οὕτως ἔπασχεν, ἵν' ἅμα μὲν δείξῃ, ὅτι οὐ κατὰ φαντασίαν ἐφάνη ἄνθρωπος, ἅμα δὲ μυστικώτερον καὶ τὴν κοινὴν τῆς ἀνθρωπίνης φύσεως δειλίαν ἐξιάσηται, ἐν ἑαυτῷ δαπανήσας ταύτην, καὶ κατήκοον ποιήσας τῷ θείῳ θελήματι. Καὶ τοὺς ἐκ τοῦ σώματος ἐξερχομένους ἱδρῶτας καὶ ἀποπίπτοντας, τοῦτο αἰνίττεσθαι φαίη ἄν τις, τὸ ἀναξηραίνεσθαι, καὶ ἐξικμάζεσθαι, καὶ ἀποπίπτειν ἀφ' ἡμῶν τὰς τῆς δειλίας πηγὰς, ἀνδρουμένης τῆς φύσεως ἡμῶν ἐν Χριστῷ καὶ τονουμένης. Εἰ μὴ γὰρ τοῦτο ἦν αἰνιττόμενος, φημὶ δὴ τὸ τὴν ἡμετέραν τῶν ἀνθρώπων δειλίαν ἐξιᾶσθαι θέλειν, οὐκ ἄν, οὐδ' εἰ σφόδρα δειλὸς ἦν καὶ ἀγεννὴς, οὕτως ἵδρου. Ὤφθη δὲ αὐτῷ ἄγγελος ἐνισχύων αὐτὸν, καὶ τοῦτο εἰς ἡμῶν παράκλησιν, ὡς ἂν τὴν τῆς εὐχῆς δύναμιν μάθωμεν, ὅτι ἐνισχύει, καὶ μαθόντες, ταύτην ἐν τοῖς δεινοῖς προβαλλώμεθα. Ἅμα δὲ καὶ προφητεία Μωσέως πληροῦται ἐν τῇ μεγάλῃ ᾠδῇ εἰρημένη· « Καὶ ἐνισχυσάτωσαν ἐν αὐτῷ πάντες υἱοὶ Θεοῦ. » Τινὲς δὲ οὕτω περιειργάσαντο τὸ ῥητὸν, ὅτι ὤφθη αὐτῷ ἄγγελος δοξάζων αὐτὸν, καὶ λέγων· Σὴ

non dicturi erant si non fuissent hæc facta? Porro velle quod transeat calix, humanum erat. Statim autem dicendo, « Verumtamen non mea voluntas fiat, sed tua: » ostendit quod etiam nos sic oporteat affectos esse, et philosophari, divinæque voluntati cedere, et non parere naturæ se opponenti. Non voluntas mea humana fiat, sed tua, eo quod tua voluntas non est a **475** mea divina voluntate separata. Duas enim naturas habens unus Christus, habuit et naturales voluntates vel volitiones, divinam ac humanam. Voluit itaque humana natura vivere, naturale enim est. Deinde sequens divinam voluntatem, quæ volebat ut omnes homines salvarentur, et erat communis Patri et Filio ac Spiritui B sancto, mortem suscepit: et sic unum factum est volitum, hoc est, salutaris mors. Quod enim ab humana natura fuerit orare, quæ juxta permissionem patiebatur communem affectionem qua amamus vitam, et non a divinitate, sicut dicunt maledicti Ariani, manifestum est ex hoc, quod sudavit, idque cum tanta anxietate, ita ut plane, juxta parœmiam, sanguinis guttæ ex eo ceciderint. Parœmia enim est in his qui valde laborant, ita ut sanguinem sudent: sicut et in his qui amare flent, dicimus quod sanguinem fleant. Hoc igitur volens manifestare evangelista, quod non tenuibus quibusdam humoribus et velut ostentationis gratia apparentibus, sed magnis guttis sudorem stillaverit, sanguinis C guttas, ut id quod gerebatur repræsentaret, accepit. Hinc igitur manifestum, quod natura illa quæ sudabat, et in agone erat, humana ista fuit, non divina: quia et humana natura permissa est hæc pati, et sic passa est, ut simul interim ostenderet, quod non phantasticus fuerit homo. Interim et magis mysticum quiddam docet, quod et communem humanæ naturæ timiditatem sanet, quia in seipso illam consumpsit, divinæque voluntati fecit obedientem. Quippe quod egrediebantur e corpore sudores et decidebant, videtur significare quod exsiccet et abstergat et a nobis cadere faciat fontes timiditatis, natura nostra in Christo corroborata, et confirmata. Nisi enim id significasset, quod videlicet humanam nostram formidinem curare voluisset: etiamsi valde timidus et ignavus fuisset, D non utique sic sudasset. Visus est autem ei angelus confortans eum, idque ad nostram consolationem, ut orationis virtutem discamus, quod confortet, quumque didicerimus, eam in gravibus periculis præmittamus. Interea etiam implentur ea quæ dicta a Mose in magno cantico: « Et roborentur in eo omnes filii Dei[21]. » Nonnulli autem sic dictum explicarunt curiosius, quod apparuit ei angelus glorificans eum, et dicens: Tua est, Domine, fortitudo: tu enim prævaluisti contra mortem, et contra infernum, et liberasti genus humanum. Et hæc quidem sic se habent. Ipse autem cum inveniret discipulos dormientes, exprobrat simul et adhortatur ut orent

21* Deut. XXXII, *juxta LXX*.

in tentationibus, ne forte ab illis vincantur. Hoc enim significat non intrare in tentationem, hoc est, non absorberi a tentatione, neque in illius potestate fieri. Vel etiam simpliciter 476 jubet nos orare ut nostra sint serena, et ne in difficultatem quamdam incidamus. Dæmoniacum enim est et arrogantiæ plenum, in pericula semetipsum injicere. Quomodo igitur dicit Jacobus : « Omne gaudium existimate cum incideritis in varias tentationes [22] ? » Et quid hoc? Num contraria nos dicimus? En igitur Jacobus non dixit. Injicite vosipsos, at, « Cum incideritis, » ne collabamini, sed « omne gaudium existimate, » et quod non erat antea volitum, volitum facite. Melius quidem fuerat si non venissent : verum cum venerint, quæ utilitas fuerit inutili mœrore confici? Ostende igitur mihi ubi expresse præcipiatur orandum ut cadas in tentationem? Verum non poteris. Cæterum scio duplex genus esse tentationum, et quod quidam intelligunt, orandum quidem esse ne ingrediamur in tentationem, hoc est, in eam qua anima nostra vincitur, scilicet in tentationem libidinis vel iræ: omne autem gaudium existimandum, cum in corporalem afflictionem et tentationem incidimus : quanto enim externus homo corrumpitur tanto et internus renovatur. Scio quidem hæc, sed veriora arbitror quæ præsenti scopo viciniora sunt.

A ἐστι, Κύριε, ἡ ἰσχύς. Σὺ γὰρ ἴσχυσας κατὰ τοῦ θανάτου, καὶ τοῦ ᾅδου, ἐλευθερῶσαι τὸ γένος τῶν ἀνθρώπων. Ταῦτα μὲν οὕτως. Αὐτὸς δὲ τοὺς μαθητὰς εὑρὼν κοιμωμένους, ὀνειδίζει τε ἅμα, καὶ παραινεῖ ἐν πειρασμοῖς προσεύχεσθαι, ὥστε μὴ νικηθῆναι ὑπὸ τούτων. Τοῦτο γὰρ τὸ, « Μὴ εἰσελθεῖν εἰς πειρασμὸν, » τουτέστι, τὸ μὴ καταποθῆναι ὑπὸ τοῦ πειρασμοῦ, μηδὲ εἴσω τῆς αὐτοῦ ἐπικρατείας γενέσθαι. Ἢ καὶ ἁπλῶς κελεύει ἡμᾶς εὔχεσθαι, ἵνα ἐν γαλήνῃ ὦσι τὰ ἡμέτερα, καὶ μὴ περιπέσωμέν τινι τῶν δυσχερῶν· δαιμονιῶδες γὰρ τὸ ἐπιῤῥίπτειν ἑαυτοὺς εἰς πειρασμοὺς, καὶ ἀλαζονικόν. Πῶς οὖν φησιν ὁ Ἰάκωβος, ὅτι « Πᾶσαν χαρὰν ἡγήσασθε, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις ; » Καὶ τί τοῦτο ; μὴ γὰρ ἡμεῖς ἐναντία λέγομεν ; Ἰδοὺ γοῦν καὶ Ἰάκωβος οὐκ εἶπεν, ὅτι B Ἐπιῤῥίπτετε ἑαυτοὺς, ἀλλ', « Ὅταν περιπέσητε, » μὴ καταπέσητε, ἀλλὰ « πᾶσαν χαρὰν ἡγήσασθε, » καὶ τὸ τέως ἀβούλητον ποιήσασθε βουλητόν. Κρεῖττον γὰρ, εἰ μὴ ἦλθον· ἐπεὶ δὲ ἦλθον, τί δεῖ ἀνόνητα λυπεῖσθαι ; Δεῖξον οὖν μοι ῥητῶς προστασσόμενον τὸ, Εὔχεσθε εἰς πειρασμοὺς ἐμπεσεῖν. Ἀλλ' οὐκ ἂν ἔχοις. Οἶδα δὲ ὅτι διττὸν τὸ εἶδος τῶν πειρασμῶν, καὶ ὅτι τινὲς νοοῦσι, μὴ εἰσέρχεσθαι μὲν εἰς πειρασμὸν δεῖν εὔχεσθαι, τουτέστιν, εἰς τὸ τὴν ψυχὴν ἡττῶντα, ἤγουν εἰς πορνείας πειρασμὸν, εἰς θυμοῦ πειρασμόν· πᾶσαν δὲ χαρὰν ἡγεῖσθαι, ὅταν σωματικαῖς κακώσεσι καὶ πειρασμοῖς περιπίπτωμεν· ὅσῳ γὰρ ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦνται. Οἴδαμεν οὖν ταῦτα, ἀλλὰ τὰ ἀληθέστερα προκρίνω, καὶ τὰ τῷ παρόντι σκοπῷ προσφυέστερα.

VERS. 47-53. « Adhuc autem eo loquente, ecce turba, et qui vocabatur Judas, unus e duodecim, antecedebat eos, et appropinquavit Jesu, ut oscularetur eum. Jesus autem dixit illi : Juda, osculo Filium hominis prodis? Videntes autem hi qui circa ipsum erant, quod futurum erat, dixerunt ei: Domine, percutiemusne gladio? Et percussit unus ex illis servum principis sacerdotum, et amputavit auriculam ejus dextram. Respondens autem Jesus ait : Sinite hucusque. Et cum tetigisset auriculam ejus, sanavit eum. Dixit autem Jesus ad eos qui venerant ad se, principes sacerdotum ac magistratus templi et seniores : Quasi ad latronem existis cum gladiis et fustibus? cum quotidie vobiscum fuerim in templo, non extendistis manus in me : sed hæc est hora illa vestra, et potestas tenebrarum. » Osculum Judas dedit, quod his qui invadebant, signum esset ; at non a longe monstravit, ut non deciperentur nocte: quia et cum facibus et lucernis advenerant, ne latere possit Jesus. Quid igitur Dominus? Accedit ad hostile illud osculum : fulmina autem tam dolosum et ingratum subito extinguere neglexerunt, docente nos Salvatore per illa patientiam. Reprehendit autem solum : « Juda osculo prodis? » Non erubescis hoc proditionis genus? Misces amico amplexui inimici opus, proditionem? Sed et quem prodis? Filium hominis, hoc est, mansuetum lenem, morigerum, propter te factum hominem, cum Deus sit? Hæc dicebat, usque sub extremam horam

C « Ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα, προήρχετο αὐτῶν, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδίδως ; Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον, εἶπον αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ ; Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν. Ἐᾶτε ἕως τούτου. Καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν. Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· Ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων ; Καθημέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμὲ, ἀλλ' αὕτη ὑμῶν ἐστιν D ἡ ὥρα καὶ ἐξουσία τοῦ σκότους. » Φίλημα Ἰούδας δέδωκε σύνθημα τοῖς ἐπιοῦσιν, ἀλλ' οὐ μακρόθεν ὑπέδειξεν, ἵνα μὴ διαψευσθῶσιν νυκτὸς οὔσης· ἐπεὶ καὶ τοῦ μὴ λαθεῖν τὸν Ἰησοῦν ἕνεκεν, μετὰ φανῶν καὶ λαμπάδων ἥκουσι. Τί οὖν ὁ Κύριος ; Προσίεται τοῦτο τὸ ἐχθρὸν φίλημα. Οἱ κεραυνοὶ δὲ ἠμέλουν ἐπὶ τὸν ἀχάριστον καὶ δόλιον, διδάσκοντος ἡμᾶς τὴν ἀνεξικακίαν ἐν τοῖς τοιούτοις τοῦ Σωτῆρος. Ὀνειδίζει δὲ μόνον· « Ἰούδα, φιλήματι προδίδως ; » οὐδὲ αὐτὸ τὸ εἶδος τῆς προδοσίας αἰσχύνῃ ; φίλου ἀσπασμῷ, ἐχθροῦ ἔργον τὴν προδοσίαν μιγνύεις ; Ἀλλὰ καὶ τίνα προδίδως ; τὸν Υἱὸν τοῦ ἀνθρώπου, τουτέστι, τὸν ἥμερον, τὸν πρᾶον, τὸν συγκαταβατικὸν, τὸν διὰ σὲ ἐνανθρωπήσαντα, καὶ ταῦτα Θεὸν ὄντα ; Ταῦτα δὲ

[22] Jacob. I, 2.

ἔλεγεν, ἄχρι τῆς ἐσχάτης ὥρας περικαιόμενος αὐτοῦ. A Διὸ καὶ οὐδὲ ὕβρισεν, οὐδὲ εἶπεν· Ἀπάνθρωπε καὶ ἀγνωμονέστατε, ἀλλ', « Ἰούδα, » τῷ κυρίῳ αὐτοῦ ὀνόματι ἀνακαλούμενος αὐτόν. Καὶ οὐδ' ἂν προσωνείδισεν, εἰ μὴ καὶ τοῦτο εἰς βελτίωσιν αὐτοῦ ἦν, εἴπερ ἐβούλετο. Ἵνα γὰρ μὴ δόξῃ λαθεῖν, ἀλλ' ἐπιγνοὺς κἂν τότε τὸν Δεσπότην, ὡς πάντα εἰδότα, προσπέσῃ, καὶ μεταγνῷ, τούτου ἕνεκεν καὶ τοῦτο ἐποίησε, καὶ ὀνειδίζειν ἔδοξεν. Ἤδει μὲν γὰρ αὐτὸν, ὅτι ἀδιόρθωτός ἐστιν, ἀλλ' οὖν τὸ ἑαυτοῦ ἐποίει· ὥσπερ οὖν καὶ ὁ Πατὴρ αὐτοῦ ἐν τῇ Παλαιᾷ ποιεῖ· εἰδὼς μὴ ἀκούσοντας τοὺς Ἑβραίους, ὅμως ἀποστέλλει τοὺς προφήτας· ἅμα δὲ καὶ ἡμᾶς τοῦτο αὐτὸ διδάσκων, ἵνα μὴ ἐκκακῶμεν τοὺς πταίοντας διορθούμενοι. Ζηλοῦσι δὲ οἱ μαθηταὶ, καὶ μαχαίρας ἀνασύρονται. Πόθεν δὲ ταύτας εἶχον; Τὸ ἀρνίον θύσαντες, καὶ ἀπὸ τραπέζης B ἐξεληλυθότες, εἰκότως εἶχον ταύτας. Ἐπιτιμᾶται δὲ ὁ θερμὸς Πέτρος, ὡς παρὰ τὸν σκοπὸν τοῦ Κυρίου ζήλῳ χρησάμενος. Οἱ μὲν γὰρ ἄλλοι ἐρωτῶσιν· « Εἰ πατάξομεν; αὐτὸς δὲ οὐ περιμένει προτροπήν· οὕτω πανταχοῦ ζέων ἦν ὑπὲρ τοῦ Διδασκάλου. Πατάσσει δὲ τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφαιρεῖ αὐτοῦ τὸ οὖς τὸ δεξιόν. Οὐ τυχαίως τοῦτο, ἀλλὰ σύμβολον ὂν τοῦ τοὺς τότε ἀρχιερεῖς ἅπαντας δούλους γενέσθαι, καὶ ἀπολέσαι τὴν δεξιὰν ἀκοήν. Εἰ γὰρ ἤκουον Μωσέως, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Ἰησοῦς δὲ τὸ ὠτίον ἀποκαθίστησι· πρέπει γὰρ τῇ μεγάλῃ τοῦ Λόγου δυνάμει τὸ τοὺς παρακούοντας ἰᾶσθαι, καὶ προστιθέναι αὐτοῖς ὠτίον εἰς τὸ ἀκούειν. Θαυματουργεῖ τοίνυν ὁ Ἰησοῦς, διὰ τοῦ φαινομένου C τούτου ἐπὶ τῷ ὠτίῳ θαύματος τὴν ἀνεξικακίαν αὐτοῦ δεικνύων, καὶ διὰ γοῦν τοῦ θαύματος ἐνάγων αὐτοὺς εἰς τὸ ἀπέχεσθαι τῆς μανίας. Λέγει δὲ πρὸς τοὺς ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ, τουτέστι, τοὺς ταξεώτας, τοὺς ἐπὶ τῷ ἐκτάσσειν τεταγμένους τὰς ἱερατικὰς ἀπαιτήσεις, ἢ καὶ τοὺς πεπιστευμένους τὰ τῆς ἐποικοδομῆς τοῦ ἱεροῦ καὶ ἐπισκευῆς ἔργα στρατηγοὺς ὀνομάζει. Φησὶν οὖν πρὸς τούτους· Καθημέραν ἐν τῷ ἱερῷ ἐδίδασκον, καὶ οὐκ ἠθελήσατέ με συλλαβεῖν, καὶ νῦν λῃστρικῶς ἐπήλθετε. Ἀλλ' ὄντως νυκτὸς ἔργοις ἐπιχειρεῖτε, καὶ ἐξουσία ὑμῶν τοῦ σκότους ἐστι· καὶ διὰ τοῦτο τοιαύτην ὥραν ἐπετηρήσατε οἰκείαν ὑμῖν, καὶ τῷ ἔργῳ ᾧ ἐπεβάλλεσθε.

« Συλλαβόντες δὲ αὐτὸν ἤγαγον, καὶ εἰσήγαγον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως. Ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. Ἀψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ D συγκαθισάντων αὐτῶν, ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν. Ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ, εἶπε. Καὶ οὗτος σὺν αὐτῷ ἦν. Ὁ δὲ ἠρνήσατο αὐτὸν λέγων· Γύναι, οὐκ οἶδα αὐτόν. Καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη· Καὶ σὺ ἐξ αὐτῶν εἶ. Ὁ δὲ Πέτρος εἶπεν· Ἄνθρωπε, οὐκ εἰμί. Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος τις διισχυρίζετο λέγων. Ἐπ' ἀληθείας, καὶ οὗτος μετ' αὐτοῦ ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν. Εἶπε δὲ ὁ Πέτρος· Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. Καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ὁ ἀλέκτωρ. Καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ, ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι, ἀρνήσῃ με τρίς.

fovens illum et idcirco non prosecutus est convitiis, neque dixit. **477** O inhumane et ingratissime, sed, « Juda, » proprio eum nomine compellans: neque gravius simul arguisset, nisi et hoc ei cessisset in melius, si quidem voluisset. Etenim ne putaret esse occultum, sed notum Domino, et vel tunc ante omnia scientem procumberet et pœniteret, hoc fecit, et visus est eum confundere. Et sciebat quidem illum inemendabilem, faciebat tamen interim quod suum, quemadmodum et Pater ejus in Veteri faciebat; sciens enim Judæos non audituros, mittebat prophetas. Interea et nos idem docet, ut ne correcturi lapsos, deficiamus et laboribus cedamus. Porro discipuli zelo flagrantes, etiam gladios eximunt. Unde autem illos habebant? Agnum immolarant, et a mensa exierant. At arguitur Petrus, qui præter scopum Domini zelo usus esset. Alii etenim interrogant, « Num percutiemus? » Ipse autem non exspectat præceptum. Ita semper fervebat pro Magistro. Percutit autem servum pontificis, et amputat aurem ejus dextram. Neque hoc fortuito contigit, sed signum hoc erat, Pontifices qui tunc erant, omnes uturos servos, et perdituros auriculam dextram. Etenim si Mosen audivissent, Dominum gloriæ nunquam crucifixissent. Verum Jesus auriculam restituit. Decet enim virtutem Verbi sanare inobedientes, et apponere eis auriculam ut audiant. Jesus itaque manifestum miraculum facit, et auriculam sanans, miraculo patientiam suam ostendens, et per miraculum inducens eos ut ab insania absistant. Dicit autem ad principes sacerdotum, et ad magistratus templi. Στρατηγοὶ et ædiles dicebantur, qui constituti rant ad exquirenda ea quæ ad templi usum exigebantur, vel qui præfecti erant ædificio et constructioni templi. Ad hos igitur dicit: Quotidie docebam in templo, et noluistis me comprehendere, et nunc quasi latrones invaditis: sed revera noctis attentatis opera, et potestas vestra tenebrarum est: atque idcirco hanc horam observatis, quæ convenit vobis et operi, quo me invaditis.

VERS. 54-62. « Comprehensum autem eum duxerunt, et induxerunt in domum principis sacerdotum Petrus vero sequebatur eminus. Cum autem accendissent ignem in medio aulæ, atque una consedissent, sedit et Petrus inter illos. Quem cum vidisset ancilla quædam sedentem ad lumen, defixis in illum oculis, dixit: Et hic cum illo erat. At ille abnegavit eum, dicens: Mulier, non novi illum. Et post pusillum alius videns eum dixit, Et tu de illis es. Petrus vero ait: Homo, non sum. Et intervallo interjecto fere horæ unius, alius quidam affirmabat, dicens: Vere et hic cum illo erat, nam et Galilæus est. Et ait Petrus: Homo, nescio quid dicas. Et continuo adhuc illo loquente cecinit gallus. Et conversus Dominus intuitus est Petrum, **478** et recordatus est Petrus Verbi Domini, quomodo dixerat ipsi. **Priusquam gallus cecinerit, ter me negabis.** Et

egressus foras Petrus flevit amare. » Infirmus fuit Petrus juxta prædictionem Christi, et negavit Dominum non semel, sed ter, et cum juramento fecit negationem. Dicit enim Matthæus, quod « Cœperit detestari et jurare quod nesciebat hominem. » In tantum malum metu correptus, et parum a Domino derelictus propter temeritatem pervenit, ut doceatur quod ad dandam aliis veniam et ipse facilis sit. Pertinacior enim erat: et nisi sic fuisset correctus, aliis veniam non dedisset, manens in sua morositate. Porro tunc usque adeo metu confusus est, ut ruinam non sensisset, nisi Dominus respexisset eum. O bonitatem! Etiamsi condemnaretur, non neglexit discipuli salutem. Merito. Nam et condemnatio ista propter salutem hominum ab ipso tolerabatur. Itaque negavit quidem primum discipulus: deinde gallus cecinit: et iterum negavit, usque dum tertio negasset, et tunc secundo iterum cecinit. Sic enim Marcus scripsit manifestius et evidentius, quasi a Petro edoctus: illius enim discipulus erat. Proinde dictum a Marco, Lucas per transcursum dixit, non exactiori sermone: nec est contrarium quod dicit Lucas, ei quod a Marco dictum. Nam gallus solet et bis et ter canere singulis motibus. Quippe usque adeo Petrus ab humana infirmitate gravatus est, ut neque galli cantum sentiret; sed postquam gallus cecinit, iterum atque iterum negavit, donec Jesus benigno suo vultu ipsum recordari faceret sui dicti. « Et egressus foras, flevit amare. » Nam et egressus est cum primum negasset, ut Marcus inquit. Deinde probabile, illum iterum ingressum ne daret suspicionem quod familiaris esset Jesu. Et iterum cum recordatus esset, exit et flet amare. Ut ne videretur ab his qui in atrio erant, exit occultans se ab illis. Quidam autem nescio quam stultam pro Petro defensionem componunt, dicentes audacter quod non negaverit Petrus, sed dixerit, « Nescio hominem, » hoc est, nescio purum hominem, sed Deum hominem factum. Horum autem insipiens argumentum aliis relinquamus. Mendacem enim faciunt Dominum, et adversantur contextui Evangelii, nulloque modo facere poterunt ut cohæreat consequentia narrationis, sed et Petrus quare flevit, si non negavit?

Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς. » Ἠσθένησε κατὰ τὴν πρόῤῥησιν τοῦ Χριστοῦ ὁ Πέτρος, καὶ ἠρνήσατο τὸν Δεσπότην Χριστὸν οὐχ ἅπαξ, ἀλλὰ καὶ τρὶς, καὶ ἐνώμοτον ἐποιεῖτο τὴν ἄρνησιν. Φησὶ γὰρ ὁ Ματθαῖος, ὅτι « Ἤρξατο καταναθεματίζειν, καὶ ὀμνύειν ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον. » Τοσοῦτον δὲ ἄρα ὑπὸ τῆς δειλίας κατεσχέθη, ἐγκαταλειφθεὶς πρὸς μικρὸν διὰ τὴν θρασύτητα, ὡς ἂν παιδευθεὶς, τοῖς ἄλλοις συγγνώμων εἴη. Προπετέστερος γὰρ ἦν, καὶ εἰ μὴ ἐντεῦθεν ἐσωφρονίσθη, αὐθαδῶς ἂν τὰ πολλὰ καὶ ἀσυγγνωμόνως διῆγεν. Ἀλλὰ τότε γε τοσοῦτον ὑπὸ δειλίας κατεγώσθη, ὥστε οὐδὲ ᾔσθετο τοῦ πτώματος, εἰ μὴ ὁ Κύριος στραφεὶς, ἐνέβλεψεν αὐτῷ. Ὢ τῆς ἀγαθότητος! ὅτι καὶ ἐν κατακρίσει ὢν, οὐκ ἠμέλει τῆς σωτηρίας τοῦ μαθητοῦ. Εἰκότως· καὶ γὰρ καὶ ἡ κατάκρισις αὕτη διὰ σωτηρίαν ἀνθρώπων αὐτῷ ἐκαρτερεῖτο. Ἠρνήσατο μὲν οὖν ὁ μαθητὴς πρῶτον· εἶτα ἀλέκτωρ ἐφώνησεν, καὶ αὖ ἠρνήσατο ἄχρι καὶ τοῦ τρίτου· καὶ τότε ἐφώνησεν ἐκ δευτέρου πάλιν ὁ ἀλεκτρυών. Οὕτω γὰρ ὁ Μάρκος ἀναγράφει λεπτότερόν τε καὶ ἀκριβέστερον, ταῦτα ἀναγραψάμενος οἷα παρὰ τοῦ Πέτρου μαθών· τούτου γὰρ καὶ μαθητὴς ἦν. Διὸ ὡς τῷ Μάρκῳ ῥηθέντα ὁ Λουκᾶς κατ' ἐπιδρομὴν εἶπεν, οὐκ ἀκριβολογησάμενος. Καὶ οὐκ ἔστιν ἐναντίον ὅ φησιν ὁ Λουκᾶς τῷ παρὰ τοῦ Μάρκου εἰρημένῳ. Καὶ γὰρ ὁ ἀλέκτωρ καθ' ἑκάστην ἀγωγὴν εἴωθε καὶ δὶς καὶ τρὶς φωνεῖν. Ὁ τοίνυν Πέτρος τοσοῦτον ἐκαρώθη ὑπὸ τῆς ἀνθρωπίνης ἀσθενείας, ὥστε μηδὲ ὑπὸ τῆς τοῦ ἀλέκτορος φωνῆς εἰς αἴσθησιν ἐλθεῖν, ἀλλὰ καὶ μετὰ τὸ φωνῆσαι τὸν ἀλέκτορα, πάλιν ἀρνήσασθαι, καὶ πάλιν ἄχρις οὗ τῷ τοῦ Ἰησοῦ ἀγαθῷ βλέμματι εἰς ὑπόμνησιν ἤχθη. » Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς. » Ἐξῆλθε μὲν γὰρ καὶ ὅτε τὸ πρῶτον ἠρνήσατο, ὡς ὁ Μάρκος φησίν. Εἶτα εἰκὸς ἦν πάλιν αὐτὸν εἰσελθεῖν, ἵνα μὴ δῷ μᾶλλον ὑπόνοιαν, ὡς τοῦ Ἰησοῦ ὤν. Καὶ πάλιν εἰς αἴσθησιν ἐλθὼν, οὕτως ἤδη ἐξέρχεται καὶ κλαίει πικρῶς. Ἵνα γὰρ μὴ φανῇ τοῖς ἐν τῇ αὐλῇ, ἔξεισιν ἀποκρυπτόμενος αὐτοῖς, Τινὲς δὲ, οὐκ οἶδ' ὅπως, ἀνόητον ἀπολογίαν ὑπὲρ τοῦ Πέτρου συντιθέασι, λέγοντες τολμηρῶς, ὅτι οὐκ ἠρνήσατο ὁ Πέτρος, ἀλλ' εἶπεν, ὅτι « Οὐκ οἶδα τὸν ἄνθρωπον, » τουτέστι, Ψιλὸν ἄνθρωπον οὐκ οἶδα, ἀλλὰ Θεὸν ἄνθρωπον γενόμενον. Τοῦτον δὲ τὸν ἀνόητον ἔλεγχον ἄλλοις παρήσομεν. Ψεύστην τε γὰρ ποιοῦσι τὸν Κύριον, καὶ τῇ ὑφῇ τοῦ Εὐαγγελίου ἐναντιοῦνται· καὶ οὐδὲ δυνήσονται ὅλως συμβιβάσαι τὴν ἀκολουθίαν τῆς διηγήσεως. Ἀλλὰ καὶ ὁ Πέτρος διατί ἔκλαυσεν, εἰ μὴ ἠρνήσατο;

VERS. 62-71. « Et viri qui tenebant Jesum, illudebant ei, cædentes. Et cum circumtexissent eum, percutiebant faciem ejus, et interrogabant eum, dicentes: Vaticinare, quis est ille qui te percussit? Et alia multa conviciantes dicebant in eum. Et ut factus est dies, convenerunt seniores plebis, et principes sacerdotum et Scribæ, et duxerunt illum in concilium suum, dicentes: 479 Num tu es ille Christus? dic nobis. Et ait illis: Si vobis dixero, non credetis: quod si etiam interrogavero, non respondebitis mihi, neque dimittetis. Ex hoc tempore erit Filius hominis sedens a dextris virtutis Dei. Dixerunt autem omnes: Tu ergo es Filius

« Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον αὐτῷ, δέροντες· καὶ περικαλύπτοντες αὐτὸν, αὐτοῦ τὸ πρόσωπον ἔτυπτον, καὶ ἐπηρώτων αὐτὸν λέγοντες· Προφήτευσο, τίς ἐστιν ὁ παίσας σε; καὶ ἕτερα πολλὰ βλασφημοῦντες εἰς αὐτὸν, ἔλεγον. Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ Γραμματεῖς; καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν λέγοντες· Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ὑμῖν. Εἶπε δὲ αὐτοῖς· Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· καὶ ἐὰν ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι, ἢ ἀπολύσητε. Ἀπὸ τοῦ νῦν ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ. Εἶπον γοῦν πάντες· Σὺ οὖν εἶ

cissent : si humano auxilio contra homicidas illos uti oportuisset, neque centum gladii sufficissent. Si autem hoc nolebat, sed diviniore subsidio opus erat, superflui erant et duo : verumtamen Dominus noluit eos arguere, utpote nihil intelligentes; sed dixit : « Satis est. » ac processit. Sic igitur etiam nos quando cum quodam conversantes videmus eum 474 non intellexisse quod diximus, dicimus. Bene, dimitte : quamvis non sit bonum. Sed ne conturbemus, remittimus. Facit autem hoc Dominus, quando videt discipulos non intelligere dictum: transit, et eventum rerum permittit explicare dictorum intelligentiam, sicut et quando dixit: «Solvite templum hoc [21]. » Nam postea cognoverunt hoc discipuli ejus post resurrectionem. Quidam autem per ironiam dixerunt dictum a Christo, « Satis est. » Nam cum dixissent discipuli, « Ecce duo gladii hic, » Dominus ironice, aiunt, dixit : Quia duo sunt, omnino multi sunt, et sufficiunt nobis contra multitudinem quæ venit super nos.

καὶ συνιέντες ὠφελῶνται· καίτοι γε τότε οὕτως ἀνοήτως διέκειντο, ὥστε εἰπεῖν· « Κύριε, ἰδοὺ ὧδε μάχαιραι δύο. » Ὁ δὲ ἐπεὶ εἶδεν αὐτοὺς μὴ συνηκότας, φησίν· « Ἱκανόν ἐστι. » Καίτοι γε οὐκ ἦν ἱκανόν. Εἰ μὲν γὰρ ἀνθρωπίνῃ βοηθείᾳ ἔδει κεχρῆσθαι κατὰ τῶν λῃστρικῶς ἐπιόντων, οὐδὲ ἑκατὸν μάχαιραι ἱκαναὶ ἦσαν· εἰ δὲ μὴ τοῦτο, ἀλλὰ θειοτέρας ἔδει συνεργείας, περιτταὶ καὶ αἱ δύο. Ἀλλ' ὅμως ὁ Κύριος οὐκ ἠθέλησεν ἐλέγξαι αὐτοὺς, ὡς μὴ νοήσαντας, ἀλλ' εἰπὼν, « Ἱκανόν ἐστι, » παρέδραμεν· ὥσπερ οὖν καὶ ἡμεῖς, ἐπειδὰν πρός τινα ὁμιλοῦντες ἴδωμεν αὐτὸν μὴ συνιέντα ὃ εἴπομεν, λέγομεν, Καλὸν, ἄφες, καίτοι γε οὐκ ἔστι καλόν· ἀλλ' οὖν ἵνα μὴ ἐνοχλῶμεν, ἀφίεμεν. Ποιεῖ δὲ τοῦτο ὁ Κύριος, ἐπειδὰν ἴδῃ τοὺς μαθητὰς μὴ νοήσαντας τὸ λεχθέν. Παρατρέχει γὰρ καὶ ἀφίησι, τῇ τῶν πραγμάτων ἐκβάσει τὴν κατανόησιν τῶν ῥηθέντων ἐπιτρέπων· ὥσπερ καὶ ὅταν εἶπε· « Λύσατε τὸν ναὸν τοῦτον· » ὕστερον γὰρ ἔγνωσαν τοῦτο οἱ μαθηταὶ αὐτοῦ μετὰ τὴν ἀνάστασιν. Τινὲς δὲ κατ' εἰρωνείαν ἔφασαν εἰπεῖν τὸν Κύριον τὸ, « Ἱκανόν ἐστιν. » Εἰπόντων γὰρ τῶν μαθητῶν, « Ἰδοὺ ὧδε μάχαιραι δύο, » ὁ Κύριος εἰρωνικῶς, φασὶν, εἴρηκεν· Ἐπεὶ δύο εἰσὶ, πολλαί εἰσι πάντως, καὶ ἀρκοῦσιν ἡμῖν πρὸς πλῆθος τοσοῦτον ἐπελευσόμενον ἡμῖν.

VERS. 39-46. « Et egressus ibat (ut erat solitus) in montem Olivarum : secuti sunt autem illum et discipuli. Et cum pervenisset ad locum, dixit illis: Orate, ne intretis in tentationem. Et ipse avulsus est ab eis fere ad jactum lapidis, positisque genibus orabat, dicens : Pater, si vis, transfer poculum hoc a me; verumtamen non mea voluntas, sed tua fiat. Apparuit autem illi angelus de cœlo confortans eum : et corruptus angore prolixius orabat. Et erat sudor ejus sicut guttæ sanguinis decurrentes in terram. Et cum surrexisset a deprecatione, venissetque ad discipulos suos, reperit eos dormientes præ mœstitudine, et ait illis, Quid dormitis? Surgite et orate, ne intretis in tentationem. » Post cœnam non desidia et ludi et somnus Dominum excipiebant, sed docebat et orabat, propter nos hæc figurans et demonstrans. Væ igitur iis qui post cœnam fœdis scortationibus vacant. Secedit autem in montem Olivarum postquam talia docuisset discipulos, ut oraret. Consueverat enim seorsum hoc facere. Idcirco et a discipulis avellitur. Non omnes autem discipulos, sed tres tantum assumit, qui et gloriæ suæ in monte spectatores fuerant. Quia enim et in agone oraturus erat, ut ne videatur timiditatis esse indicium, propterea assumit eos qui divinæ gloriæ et superni testimonii spectatores et auditores fuerant, ut cum viderint laborantem, hoc humanæ naturæ esse dicant. Ut enim crederetur verus homo esse, naturæ quod suum erat facere permisit, et vitam appetit etiam ipse ut homo, precaturque ut transeat calix. Nam vitæ amans est homo. Quo confutantur hæreses quæ dicunt phantasticum fuisse hominem. Etenim cum hæc facta sint, et habuerunt unde ejusmodi nugarentur: quid

« Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ. Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς· Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν, καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν· καὶ θεὶς τὰ γόνατα, προσηύχετο λέγων· Πάτερ, εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω. Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν. Καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο. Ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες εἰς τὴν γῆν. Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς αὐτοῦ, εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης. Καὶ εἶπεν αὐτοῖς· Τί καθεύδετε; Ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. » Μετὰ τὸ δεῖπνον, οὐ ῥᾳθυμία, καὶ παίγνια, καὶ ὕπνος τὸν Κύριον διαδέχονται, ἀλλὰ διδασκαλία, καὶ προσευχὴ, δι' ἡμᾶς ταῦτα τυποῦντα καὶ ὑποδεικνύντα. Οὐαὶ λοιπὸν τοῖς τῆς ἀτίμου πορνείας ἔργοις μετὰ τὰ δεῖπνα ἐπιχειροῦσιν. Ὑπαναχωρεῖ γοῦν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν μετὰ τὸ τοιαῦτα διδάξαι τοὺς μαθητὰς, ὡς ἂν προσεύξηται. Εἰώθει γὰρ κατὰ μόνας τοῦτο ποιεῖν· διὸ καὶ ἀπὸ τῶν μαθητῶν ἀποσπᾶται. Οὐ πάντας δὲ τοὺς μαθητὰς, ἀλλὰ μόνους τοὺς τρεῖς παραλαμβάνει, τοὺς καὶ τῆς δόξης αὐτοῦ ἐν τῷ ὄρει θεωρούς. Ἐπειδὴ γὰρ ἀγωνιᾷ καὶ προσεύχεται, ἵνα μὴ δόξωσι δειλίας ταῦτα εἶναι, διὰ τοῦτο τούτους τῆς θεϊκῆς αὐτοῦ δόξης καὶ τῆς ἄνωθεν μαρτυρίας αὐτόπτας καὶ ἀκουστὰς παραλαμβάνει· ἵνα ὅταν ὁρῶσιν ἀγωνιῶντα, τῆς ἀνθρωπίνης φύσεως τοῦτο εἶναι λογίσωνται. Διὰ γὰρ τὸ πιστώσασθαι, ὅτι ἀληθῶς ἄνθρωπος γέγονε, ἐνδέδωκε τῇ φύσει τὸ ἑαυτῆς ποιεῖν· καὶ ἐπιθυμεῖ ζωῆς καὶ αὐτὸς ὡς ἄνθρωπος, καὶ

[21] Joan. II, 19.

εὔχεται παρελθεῖν τὸ ποτήριον· φιλόζωον γὰρ ὁ ἄνθρωπος· τὰς αἱρέσεις διὰ τούτων ἀνατρέπων τὰς λεγούσας, ὅτι κατὰ φαντασίαν ἐνηνθρώπησεν. Εἰ γὰρ καὶ τούτων γενομένων, ἔσχον πάροδον τοιαῦτα φλυαρεῖν· τί οὐκ ἂν εἶπον, εἰ μηδὲ ταῦτα ἐγένετο; Τὸ μὲν οὖν θέλειν παρενεχθῆναι τὸ ποτήριον, ἀνθρώπινον· τὸ δὲ ταχέως εἰπεῖν, « Πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν, » δείκνυσιν ὅτι καὶ ἡμᾶς οὕτω δεῖ διακεῖσθαι καὶ φιλοσοφεῖν, καὶ τῷ θείῳ θελήματι παραχωρεῖν, καὶ τῆς φύσεως ἀνθελκούσης. μὴ ἐπιστρέφεσθαι. Μὴ τὸ θέλημά μου τὸ ἀνθρώπινον γενέσθω, ἀλλὰ τὸ σόν, ὅπερ σὸν οὐκ ἔστι τοῦ ἐμοῦ θείου θελήματος κεχωρισμένον· δύο γὰρ φύσεις ἔχων ὁ εἷς Χριστός, εἶχε πάντως καὶ φωσικὰ θελήματα τό τε θεῖον, καὶ τὸ ἀνθρώπινον, ἤτοι θελήσεις. Ἤθελε μὲν οὖν ἡ ἀνθρωπίνη φύσις τὸ ζῆν· φυσικὸν γάρ· εἶτα ἑπομένη τῷ θείῳ θελήματι (τὸ δέ ἐστι, τὸ πάντας ἀνθρώπους σωθῆναι, κοινὸν ὂν Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος), τὸν θάνατον κατεδέξατο· καὶ οὕτως ἓν ἐγένετο τὸ θελητόν, τουτέστιν, ὁ σωτηριώδης θάνατος. Ὅτι γὰρ ἀπὸ τῆς ἀνθρωπίνης φύσεως ἦν τὸ προσεύχεσθαι, κατὰ παραχώρησιν πασχούσης τὸ κοινὸν πάθος τῆς φιλοζωΐας, ἀλλ' οὐκ ἀπὸ τῆς θεότητος, ὥς φασιν οἱ κατάρατοι Ἀρειανοί, δῆλον ἐκ τοῦ καὶ ἱδρῶσαι, καὶ οὕτως ἐναγώνιον γενέσθαι, ὥστε, τοῦτο δὴ τὸ τῆς παροιμίας, καὶ θρόμβους αἵματος ἐξ αὐτοῦ πεσεῖν. Παροιμία γάρ ἐστιν ἐπὶ τῶν σφόδρα κοπιώντων, ὅτι Αἷμα ἵδρωσεν· ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων, Αἵματα κλαίει. Τοῦτο τοίνυν θέλων δηλῶσαι καὶ ὁ εὐαγγελιστής, ὅτι οὐχὶ λεπταῖς τισι νοτίσι, καὶ οἷον ἐνδείξεως χάριν ἐμφαινομέναις, ἀλλὰ σταγόσιν ἁδραῖς ἱδρώτων περιεστάζετο, τοὺς τῶν αἱμάτων θρόμβους εἰς εἰκόνα τοῦ γενομένου παρείληφεν. Ἐντεῦθεν οὖν δῆλον ὡς ἡ ἱδροῦσα φύσις ἐκείνη καὶ ἀγωνία, ἡ ἀνθρωπίνη ἦν, οὐχ ἡ θεία. Ἐπεὶ καὶ ἡ ἀνθρωπίνη φύσις συνεχωρήθη ταῦτα πάσχειν, καὶ οὕτως ἔπασχεν, ἵν' ἅμα μὲν δείξῃ, ὅτι οὐ κατὰ φαντασίαν ἐφάνη ἄνθρωπος, ἅμα δὲ μυστικώτερον καὶ τὴν κοινὴν τῆς ἀνθρωπίνης φύσεως δειλίαν ἐξιάσηται, ἐν ἑαυτῷ δαπανήσας ταύτην, καὶ κατήκοον ποιήσας τῷ θείῳ θελήματι. Καὶ τοὺς ἐκ τοῦ σώματος ἐξερχομένους ἱδρῶτας καὶ ἀποπίπτοντας, τοῦτο αἰνίττεσθαι φαίη ἄν τις, τὸ ἀναξηραίνεσθαι, καὶ ἐξικμάζεσθαι, καὶ ἀποπίπτειν ἀφ' ἡμῶν τὰς τῆς δειλίας πηγάς, ἀνδρουμένης τῆς φύσεως ἡμῶν ἐν Χριστῷ καὶ τονουμένης. Εἰ μὴ γὰρ τοῦτο ἦν αἰνιττόμενος, φημὶ δὴ τὸ τὴν ἡμετέραν τῶν ἀνθρώπων δειλίαν ἐξιᾶσθαι θέλειν, οὐκ ἄν, οὐδ' εἰ σφόδρα δειλὸς ἦν καὶ ἀγεννής, οὕτως ἵδρου. Ὤφθη δὲ αὐτῷ ἄγγελος ἐνισχύων αὐτόν, καὶ τοῦτο εἰς ἡμῶν παράκλησιν, ὡς ἂν τὴν τῆς εὐχῆς δύναμιν μάθωμεν, ὅτι ἐνισχύει, καὶ μαθόντες, ταύτην ἐν τοῖς δεινοῖς προβαλλώμεθα. Ἅμα δὲ καὶ προφητεία Μωσέως πληροῦται ἐν τῇ μεγάλῃ ᾠδῇ εἰρημένη· « Καὶ ἐνισχυσάτωσαν ἐν αὐτῷ πάντες υἱοὶ Θεοῦ. » Τινὲς δὲ οὕτω περιειργάσαντο τὸ ῥητόν, ὅτι ὤφθη αὐτῷ ἄγγελος δοξάζων αὐτόν, καὶ λέγων· Σὴ

A non dicturi erant si non fuissent hæc facta? Porro velle quod transeat calix, humanum erat. Statim autem dicendo, « Verumtamen non mea voluntas fiat, sed tua : » ostendit quod etiam nos sic oporteat affectos esse, et philosophari, divinæque voluntati cedere, et non parere naturæ se opponenti. Non voluntas mea humana fiat, sed tua, eo quod tua voluntas non est a 475 mea divina voluntate separata. Duas enim naturas habens unus Christus, habuit et naturales voluntates vel volitiones, divinam ac humanam. Voluit itaque humana natura vivere, naturale enim est. Deinde sequens divinam voluntatem, quæ volebat ut omnes homines salvarentur, et erat communis Patri et Filio ac Spiritui B sancto, mortem suscepit : et sic unum factum est volitum, hoc est, salutaris mors. Quod enim ab humana natura fuerit orare, quæ juxta permissionem patiebatur communem affectionem qua amamus vitam, et non a divinitate, sicut dicunt maledicti Ariani, manifestum est ex hoc, quod sudavit, idque cum tanta anxietate, ita ut plane, juxta parœmiam, sanguinis guttæ ex eo ceciderint. Parœmia enim est in his qui valde laborant, ita ut sanguinem sudent : sicut et in his qui amare flent, dicimus quod sangninem fleant. Hoc igitur volens manifestare evangelista, quod non tenuibus quibusdam humoribus et velut ostentationis gratia apparentibus, sed magnis guttis sudorem stillaverit, sanguinis guttas, ut id quod gerebatur repræsentaret, accepit. C Hinc igitur manifestum, quod natura illa quæ sudabat, et in agone erat, humana ista fuit, non divina : quia et humana natura permissa est hæc pati, et sic passa est, ut simul interim ostenderet, quod non phantasticus fuerit homo. Interim et magis mysticum quiddam docet, quod et communem humanæ naturæ timiditatem sanet, quia in seipso illam consumpsit, divinæque voluntati fecit obedientem. Quippe quod egrediebantur e corpore sudores et decidebant, videtur significare quod exsiccet et abstergat et a nobis cadere faciat fontes timiditatis, natura nostra in Christo corroborata, et confirmata. Nisi enim id significasset, quod videlicet humanam nostram fermidinem curare voluisset : etiamsi valde timidus et ignavus fuisset, D non utique sic sudasset. Visus est autem ei angelus confortans eum, idque ad nostram consolationem, ut orationis virtutem discamus, quod confortet, quumque didicerimus, eam in gravibus periculis præmittamus. Interea etiam implentur ea quæ dicta a Mose in magno cantico : « Et roborentur in eo omnes filii Dei[21]. » Nonnulli autem sic dictum explicarunt curiosius, quod apparuit ei angelus glorificans eum, et dicens : Tua est, Domine, fortitudo : tu enim prævaluisti contra mortem, et contra infernum, et liberasti genus humanum. Et hæc quidem sic se habent. Ipse autem cum inveniret discipulos dormientes, exprobrat simul et adhortatur ut orent

[21]* Deut. XXXII, *juxta LXX*.

in tentationibus, ne forte ab illis vincantur. Hoc enim significat non intrare in tentationem, hoc est, non absorberi a tentatione, neque in illius potestate fieri. Vel etiam simpliciter 476 jubet nos orare ut nostra sint serena, et ne in difficultatem quamdam incidamus. Dæmoniacum enim est et arrogantiæ plenum, in pericula semetipsum injicere. Quomodo igitur dicit Jacobus : « Omne gaudium existimate cum incideritis in varias tentationes [22] ? » Et quid hoc? Num contraria nos dicimus? En igitur Jacobus non dixit. Injicite vosipsos, at, « Cum incideritis, » ne collabamini, sed « omne gaudium existimate, » et quod non erat antea volitum, volitum facite. Melius quidem fuerat si non venissent : verum cum venerint, quæ utilitas fuerit inutili mœrore confici? Ostende igitur mihi ubi expresse præcipiatur orandum ut cadas in tentationem? Verum non poteris. Cæterum scio duplex genus esse tentationum, et quod quidam intelligunt, orandum quidem esse ne ingrediamur in tentationem, hoc est, in eam qua anima nostra vincitur, scilicet in tentationem libidinis vel iræ: omne autem gaudium existimandum, cum in corporalem afflictionem et tentationem incidimus : quanto enim externus homo corrumpitur tanto et internus renovatur. Scio quidem hæc, sed veriora arbitror quæ præsenti scopo viciniora sunt.

A ἐστι, Κύριε, ἡ ἰσχύς. Σὺ γὰρ ἴσχυσας κατὰ τοῦ θανάτου, καὶ τοῦ ᾄδου, ἐλευθερῶσαι τὸ γένος τῶν ἀνθρώπων. Ταῦτα μὲν οὕτως. Αὐτὸς δὲ τοὺς μαθητὰς εὑρὼν κοιμωμένους, ὀνειδίζει τε ἅμα, καὶ παραινεῖ ἐν πειρασμοῖς προσεύχεσθαι, ὥστε μὴ νικηθῆναι ὑπὸ τούτων. Τοῦτο γὰρ τὸ, « Μὴ εἰσελθεῖν εἰς πειρασμὸν, » τουτέστι, τὸ μὴ καταποθῆναι ὑπὸ τοῦ πειρασμοῦ, μηδὲ εἴσω τῆς αὐτοῦ ἐπικρατείας γενέσθαι. Ἢ καὶ ἁπλῶς κελεύει ἡμᾶς εὔχεσθαι, ἵνα ἐν γαλήνῃ ὦσι τὰ ἡμέτερα, καὶ μὴ περιπέσωμέν τινι τῶν δυσχερῶν· δαιμονιῶδες γὰρ τὸ ἐπιῤῥίπτειν ἑαυτοὺς εἰς πειρασμοὺς, καὶ ἀλαζονικόν. Πῶς οὖν φησιν ὁ Ἰάκωβος, ὅτι « Πᾶσαν χαρὰν ἡγήσασθε, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις ; » Καὶ τί τοῦτο ; μὴ γὰρ ἡμεῖς ἐναντία λέγομεν ; Ἰδοὺ γοῦν καὶ Ἰάκωβος οὐκ εἶπεν, ὅτι B Ἐπιῤῥίπτετε ἑαυτοὺς, ἀλλ', « Ὅταν περιπέσητε, » μὴ καταπέσητε, ἀλλὰ « πᾶσαν χαρὰν ἡγήσασθε, » καὶ τὸ τέως ἀβούλητον ποιήσασθε βουλητόν. Κρεῖττον γὰρ, εἰ μὴ ἦλθον· ἐπεὶ δὲ ἦλθον, τί δεῖ ἀνόνητα λυπεῖσθαι ; Δεῖξον οὖν μοι ῥητῶς προστασσόμενον τὸ, Εὔχεσθε εἰς πειρασμοὺς ἐμπεσεῖν. Ἀλλ' οὐκ ἂν ἔχοις. Οἶδα δὲ ὅτι διττὸν τὸ εἶδος τῶν πειρασμῶν, καὶ ὅτι τινὲς νοοῦσι, μὴ εἰσέρχεσθαι μὲν εἰς πειρασμὸν δεῖν εὔχεσθαι, τουτέστιν, εἰς τὸ τὴν ψυχὴν ἡττῶντα, ἤγουν εἰς πορνείας πειρασμὸν, εἰς θυμοῦ πειρασμόν· πᾶσαν δὲ χαρὰν ἡγεῖσθαι, ὅταν σωματικαῖς κακώσεσι καὶ πειρασμοῖς περιπίπτωμεν· ὅσῳ γὰρ ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦνται. Οἴδαμεν οὖν ταῦτα, ἀλλὰ τὰ ἀληθέστερα προκρίνω, καὶ τὰ τῷ παρόντι σκοπῷ προσφυέστερα.

VERS. 47-53. « Adhuc autem eo loquente, ecce turba, et qui vocabatur Judas, unus e duodecim, antecedebat eos, et appropinquavit Jesu, ut oscularetur eum. Jesus autem dixit illi : Juda, osculo Filium hominis prodis? Videntes autem hi qui circa ipsum erant, quod futurum erat, dixerunt ei : Domine, percutiemusne gladio? Et percussit unus ex illis servum principis sacerdotum, et amputavit auriculam ejus dextram. Respondens autem Jesus ait : Sinite hucusque. Et cum tetigisset auriculam ejus, sanavit eum. Dixit autem Jesus ad eos qui venerant ad se, principes sacerdotum ac magistratus templi et seniores : Quasi ad latronem existis cum gladiis et fustibus? cum quotidie vobiscum fuerim in templo, non extendistis manus in me : sed hæc est hora illa vestra, et potestas tenebrarum. » Osculum Judas dedit, quod his qui invadebant, signum esset ; at non a longe monstravit, ut non deciperentur nocte: quia et cum facibus et lucernis advenerant, ne latere possit Jesus. Quid igitur Dominus? Accedit ad hostile illud osculum : fulmina autem tam dolosum et ingratum subito extinguere neglexerunt, docente nos Salvatore per illa patientiam. Reprehendit autem solum : « Juda osculo prodis? » Non erubescis hoc proditionis genus? Misces amico amplexui inimici opus, proditionem? Sed et quem prodis? Filium hominis, hoc est, mansuetum lenem, morigerum, propter te factum hominem, cum Deus sit? Hæc dicebat, usque sub extremam horam

C « Ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα, προήρχετο αὐτῶν, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδίδως ; Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον, εἶπον αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ ; Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν. Ἐᾶτε ἕως τούτου. Καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν. Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· Ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων ; Καθημέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμὲ, ἀλλ' αὕτη ὑμῶν ἐστιν D ἡ ὥρα καὶ ἐξουσία τοῦ σκότους. » Φίλημα Ἰούδας δέδωκε σύνθημα τοῖς ἐπιοῦσιν, ἀλλ' οὐ μακρόθεν ὑπέδειξεν, ἵνα μὴ διαψευσθῶσιν νυκτὸς οὔσης· ἐπεὶ καὶ τοῦ μὴ λαθεῖν τὸν Ἰησοῦν ἕνεκεν, μετὰ φανῶν καὶ λαμπάδων ἥκουσι. Τί οὖν ὁ Κύριος ; Προσίεται τοῦτο τὸ ἐχθρὸν φίλημα. Οἱ κεραυνοὶ δὲ ἠμέλουν ἐπὶ τὸν ἀχάριστον καὶ δόλιον, διδάσκοντος ἡμᾶς τὴν ἀνεξικακίαν ἐν τοῖς τοιούτοις τοῦ Σωτῆρος. Ὀνειδίζει δὲ μόνον· « Ἰούδα, φιλήματι προδίδως ; » οὐδὲ αὐτὸ τὸ εἶδος τῆς προδοσίας αἰσχύνῃ ; φίλου ἀσπασμῷ, ἐχθροῦ ἔργον τὴν προδοσίαν μιγνύεις ; Ἀλλὰ καὶ τίνα προδίδως ; τὸν Υἱὸν τοῦ ἀνθρώπου, τουτέστι, τὸν ἥμερον, τὸν πρᾶον, τὸν συγκαταβατικὸν, τὸν διὰ σὲ ἐνανθρωπήσαντα, καὶ ταῦτα Θεὸν ὄντα ; Ταῦτα δὲ

[22] Jacob. I, 2.

ἔλεγεν, ἄχρι τῆς ἐσχάτης ὥρας περικαιόμενος αὐτοῦ. A Διὸ καὶ οὐδὲ ὕβρισεν, οὐδὲ εἶπεν· Ἀπάνθρωπε καὶ ἀγνωμονέστατε, ἀλλ', « Ἰούδα, » τῷ κυρίῳ αὐτοῦ ὀνόματι ἀνακαλούμενος αὐτόν. Καὶ οὐδ' ἂν προσωνείδισεν, εἰ μὴ καὶ τοῦτο εἰς βελτίωσιν αὐτοῦ ἦν, εἴπερ ἐβούλετο. Ἵνα γὰρ μὴ δόξῃ λαθεῖν, ἀλλ' ἐπιγνοὺς κἂν τότε τὸν Δεσπότην, ὡς πάντα εἰδότα, προσπέσῃ, καὶ μεταγνῷ, τούτου ἕνεκεν καὶ τοῦτο ἐποίησε, καὶ ὀνειδίζειν ἔδοξεν. Ἤδει μὲν γὰρ αὐτὸν, ὅτι ἀδιόρθωτός ἐστιν, ἀλλ' οὖν τὸ ἑαυτοῦ ἐποίει· ὥσπερ οὖν καὶ ὁ Πατὴρ αὐτοῦ ἐν τῇ Παλαιᾷ ποιεῖ· εἰδὼς μὴ ἀκούσοντας τοὺς Ἑβραίους, ὅμως ἀποστέλλει τοὺς προφήτας· ἅμα δὲ καὶ ἡμᾶς τοῦτο αὐτὸ διδάσκων, ἵνα μὴ ἐκκακῶμεν τοὺς πταίοντας διορθούμενοι. Ζηλοῦσι δὲ οἱ μαθηταὶ, καὶ μαχαίρας ἀνασύρονται. Πόθεν δὲ ταύτας εἶχον; Τὸ ἀρνίον θύσαντες, καὶ ἀπὸ τραπέζης B ἐξεληλυθότες, εἰκότως εἶχον ταύτας. Ἐπιτιμᾶται δὲ ὁ θερμὸς Πέτρος, ὡς παρὰ τὸν σκοπὸν τοῦ Κυρίου ζήλῳ χρησάμενος. Οἱ μὲν γὰρ ἄλλοι ἐρωτῶσιν· « Εἰ πατάξομεν; αὐτὸς δὲ οὐ περιμένει προτροπήν· οὕτω πανταχοῦ ζέων ἦν ὑπὲρ τοῦ Διδασκάλου. Πατάσσει δὲ τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφαιρεῖ αὐτοῦ τὸ οὖς τὸ δεξιόν. Οὐ τυχαίως τοῦτο, ἀλλὰ σύμβολον ὂν τοῦ τοὺς τότε ἀρχιερεῖς ἅπαντας δούλους γενέσθαι, καὶ ἀπολέσαι τὴν δεξιὰν ἀκοήν. Εἰ γὰρ ἤκουον Μωσέως, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Ἰησοῦς δὲ τὸ ὠτίον ἀποκαθίστησι· πρέπει γὰρ τῇ μεγάλῃ τοῦ Λόγου δυνάμει τὸ τοὺς παρακούοντας ἰᾶσθαι, καὶ προστιθέναι αὐτοῖς ὠτίον εἰς τὸ ἀκούειν. Θαυματουργεῖ τοίνυν ὁ Ἰησοῦς, διὰ τοῦ φαινομένου C τούτου ἐπὶ τῷ ὠτίῳ θαύματος τὴν ἀνεξικακίαν αὐτοῦ δεικνύων, καὶ διὰ γοῦν τοῦ θαύματος ἐνάγων αὐτοὺς εἰς τὸ ἀπέχεσθαι τῆς μανίας. Λέγει δὲ πρὸς τοὺς ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ, τουτέστι, τοὺς ταξεώτας, τοὺς ἐπὶ τῷ ἐκτάσσειν τεταγμένους τὰς ἱερατικὰς ἀπαιτήσεις, ἢ καὶ τοὺς πεπιστευμένους τὰ τῆς ἐποικοδομῆς τοῦ ἱεροῦ καὶ ἐπισκευῆς ἔργα στρατηγοὺς ὀνομάζει. Φησὶν οὖν πρὸς τούτους· Καθημέραν ἐν τῷ ἱερῷ ἐδίδασκον, καὶ οὐκ ἠθελήσατέ με συλλαβεῖν, καὶ νῦν λῃστρικῶς ἐπήλθετε. Ἀλλ' ὄντως νυκτὸς ἔργοις ἐπιχειρεῖτε, καὶ ἐξουσία ὑμῶν τοῦ σκότους ἐστι· καὶ διὰ τοῦτο τοιαύτην ὥραν ἐπετηρήσατε οἰκείαν ὑμῖν, καὶ τῷ ἔργῳ ᾧ ἐπεβάλλεσθε.

« Συλλαβόντες δὲ αὐτὸν ἤγαγον, καὶ εἰσήγαγον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως. Ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. Ἀψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ D συγκαθισάντων αὐτῶν, ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν. Ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ, εἶπε. Καὶ οὗτος σὺν αὐτῷ ἦν. Ὁ δὲ ἠρνήσατο αὐτὸν λέγων· Γύναι, οὐκ οἶδα αὐτόν. Καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη· Καὶ σὺ ἐξ αὐτῶν εἶ. Ὁ δὲ Πέτρος εἶπεν· Ἄνθρωπε, οὐκ εἰμί. Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος τις διισχυρίζετο λέγων. Ἐπ' ἀληθείας, καὶ οὗτος μετ' αὐτοῦ ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν. Εἶπε δὲ ὁ Πέτρος· Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. Καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ὁ ἀλέκτωρ. Καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ, ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι, ἀρνήσῃ με τρίς.

fovens illum et idcirco non prosecutus est convitiis, neque dixit. **477** O inhumane et ingratissime, sed, « Juda, » proprio eum nomine compellans: neque gravius simul arguisset, nisi et hoc ei cessisset in melius, si quidem voluisset. Etenim ne putaret esse occultum, sed notum Domino, et vel tunc ante omnia scientem procumberet et pœniteret, hoc fecit, et visus est eum confundere. Et sciebat quidem illum inemendabilem, faciebat tamen interim quod suum, quemadmodum et Pater ejus in Veteri faciebat; sciens enim Judæos non audituros, mittebat prophetas. Interea et nos idem docet, ut ne correcturi lapsos, deficiamus et laboribus cedamus. Porro discipuli zelo flagrantes, etiam gladios eximunt. Unde autem illos habebant? Agnum immolarant, et a mensa exierant. At arguitur Petrus, qui præter scopum Domini zelo usus esset. Alii etenim interrogant, « Num percutiemus? » Ipse autem non exspectat præceptum. Ita semper fervebat pro Magistro. Percutit autem servum pontificis, et amputat aurem ejus dextram. Neque hoc fortuito contigit, sed signum hoc erat, Pontifices qui tunc erant, omnes uturos servos, et perdituros auriculam dextram. Etenim si Mosen audivissent, Dominum gloriæ nunquam crucifixissent. Verum Jesus auriculam restituit. Decet enim virtutem Verbi sanare inobedientes, et apponere eis auriculam ut audiant. Jesus itaque manifestum miraculum facit, et auriculam sanans, miraculo patientiam suam ostendens, et per miraculum inducens eos ut ab insania absistant. Dicit autem ad principes sacerdotum, et ad magistratus templi. Στρατηγοὶ et ædiles dicebantur, qui constituti rant ad exquirenda ea quæ ad templi usum exigebantur, vel qui præfecti erant ædificio et constructioni templi. Ad hos igitur dicit: Quotidie docebam in templo, et noluistis me comprehendere, et nunc quasi latrones invaditis: sed revera noctis attentatis opera, et potestas vestra tenebrarum est: atque idcirco hanc horam observatis, quæ convenit vobis et operi, quo me invaditis.

VERS. 54 62. « Comprehensum autem eum duxerunt, et induxerunt in domum principis sacerdotum Petrus vero sequebatur eminus. Cum autem accendissent ignem in medio aulæ, atque una consedissent, sedit et Petrus inter illos. Quem cum vidisset ancilla quædam sedentem ad lumen, defixis in illum oculis, dixit: Et hic cum illo erat. At ille abnegavit eum, dicens: Mulier, non novi illum. Et post pusillum alius videns eum dixit, Et tu de illis es. Petrus vero ait: Homo, non sum. Et intervallo interjecto fere horæ unius, alius quidam affirmabat, dicens: Vere et hic cum illo erat, nam et Galilæus est. Et ait Petrus: Homo, nescio quid dicas. Et continuo adhuc illo loquente cecinit gallus. Et conversus Dominus intuitus est Petrum, **478** et recordatus est Petrus Verbi Domini, quomodo dixerat ipsi. **Priusquam gallus cecinerit, ter me negabis.** Et

**egressus foras Petrus flevit amare. »** Infirmus fuit A Petrus juxta prædictionem Christi, et negavit Dominum non semel, sed ter, et cum juramento fecit negationem. Dicit enim Matthæus, quod « Cœperit detestari et jurare quod nesciebat hominem. » In tantum malum metu correptus, et parum a Domino derelictus propter temeritatem pervenit, ut doceatur quod ad dandam aliis veniam et ipse facilis sit. Pertinacior enim erat: et nisi sic fuisset correctus, aliis veniam non dedisset, manens in sua morositate. Porro tunc usque adeo metu confusus est, ut ruinam non sensisset, nisi Dominus respexisset eum. O bonitatem! Etiamsi condemnaretur, non neglexit discipuli salutem. Merito. Nam et condemnatio ista propter salutem hominum ab ipso tolerabatur. Itaque negavit quidem primum discipulus: B deinde gallus cecinit: et iterum negavit, usque dum tertio negasset, et tunc secundo iterum cecinit. Sic enim Marcus scripsit manifestius et evidentius, quasi a Petro edoctus: illius enim discipulus erat. Proinde dictum a Marco, Lucas per transcursum dixit, non exactiori sermone: nec est contrarium quod dicit Lucas, ei quod a Marco dictum. Nam gallus solet et bis et ter canere singulis motibus. Quippe usque adeo Petrus ab humana infirmitate gravatus est, ut neque galli cantum sentiret; sed postquam gallus cecinit, iterum atque iterum negavit, donec Jesus benigno suo vultu ipsum recordari faceret sui dicti. « Et egressus foras, flevit amare. » Nam et egressus est cum primum negasset, ut Marcus inquit. C Deinde probabile, illum iterum ingressum ne daret suspicionem quod familiaris esset Jesu. Et iterum cum recordatus esset, exit et flet amare. Ut ne videretur ab his qui in atrio erant, exit occultans se ab illis. Quidam autem nescio quam stultam pro Petro defensionem componunt, dicentes audacter quod non negaverit Petrus, sed dixerit, « Nescio hominem, » hoc est, nescio purum hominem, sed Deum hominem factum. Horum autem insipiens argumentum aliis relinquamus. Mendacem enim faciunt Dominum, et adversantur contextui Evangelii, nulloque modo facere poterunt ut cohæreat consequentia narrationis, sed et Petrus quare flevit, si non negavit?

A Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς. » Ἠσθένησε κατὰ τὴν πρόῤῥησιν τοῦ Χριστοῦ ὁ Πέτρος, καὶ ἠρνήσατο τὸν Δεσπότην Χριστὸν οὐχ ἅπαξ, ἀλλὰ καὶ τρὶς, καὶ ἐνώμοτον ἐποιεῖτο τὴν ἄρνησιν. Φησὶ γὰρ ὁ Ματθαῖος, ὅτι « Ἤρξατο καταναθεματίζειν, καὶ ὀμνύειν ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον. » Τοσοῦτον δὲ ἄρα ὑπὸ τῆς δειλίας κατεσχέθη, ἐγκαταλειφθεὶς πρὸς μικρὸν διὰ τὴν θρασύτητα, ὡς ἂν παιδευθεὶς, τοῖς ἄλλοις συγγνώμων εἴη. Προπετέστερος γὰρ ἦν, καὶ εἰ μὴ ἐντεῦθεν ἐσωφρονίσθη, αὐθαδῶς ἂν τὰ πολλὰ καὶ ἀσυγγνωμόνως διῆγεν. Ἀλλὰ τότε γε τοσοῦτον ὑπὸ δειλίας κατεχώσθη, ὥστε οὐδὲ ᾔσθετο τοῦ πτώματος, εἰ μὴ ὁ Κύριος στραφεὶς, ἐνέβλεψεν αὐτῷ. Ὢ τῆς ἀγαθότητος! ὅτι καὶ ἐν κατακρίσει ὢν, οὐκ ἠμέλει τῆς σωτηρίας τοῦ μαθητοῦ. Εἰκότως· καὶ γὰρ καὶ B ἡ κατάκρισις αὕτη διὰ σωτηρίαν ἀνθρώπων αὐτῷ ἐκαρτερεῖτο. Ἠρνήσατο μὲν οὖν ὁ μαθητὴς πρῶτον· εἶτα ἀλέκτωρ ἐφώνησεν, καὶ αὖ ἠρνήσατο ἄχρι καὶ τοῦ τρίτου· καὶ τότε ἐφώνησεν ἐκ δευτέρου πάλιν ὁ ἀλεκτρυών. Οὕτω γὰρ ὁ Μάρκος ἀναγράφει λεπτότερόν τε καὶ ἀκριβέστερον, ταῦτα ἀναγραψάμενος οἷα παρὰ τοῦ Πέτρου μαθών· τούτου γὰρ καὶ μαθητὴς ἦν. Διὸ ὡς τῷ Μάρκῳ ῥηθέντα ὁ Λουκᾶς κατ' ἐπιδρομὴν εἶπεν, οὐκ ἀκριβολογησάμενος. Καὶ οὐκ ἔστιν ἐναντίον ὅ φησιν ὁ Λουκᾶς τῷ παρὰ τοῦ Μάρκου εἰρημένῳ. Καὶ γὰρ ὁ ἀλέκτωρ καθ' ἑκάστην ἀγωγὴν εἴωθε καὶ δὶς καὶ τρὶς φωνεῖν. Ὁ τοίνυν Πέτρος τοσοῦτον ἐκαρώθη ὑπὸ τῆς ἀνθρωπίνης ἀσθενείας, ὥστε μηδὲ ὑπὸ τῆς τοῦ ἀλέκτορος φωνῆς εἰς αἴσθησιν ἐλθεῖν, ἀλλὰ καὶ μετὰ τὸ φωνῆσαι τὸν ἀλέκτορα, C πάλιν ἀρνήσασθαι, καὶ πάλιν ἄχρις οὗ τῷ τοῦ Ἰησοῦ ἀγαθῷ βλέμματι εἰς ὑπόμνησιν ἤχθη. « Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς. » Ἐξῆλθε μὲν γὰρ καὶ ὅτε τὸ πρῶτον ἠρνήσατο, ὡς ὁ Μάρκος φησίν. Εἶτα εἰκὸς ἦν πάλιν αὐτὸν εἰσελθεῖν, ἵνα μὴ δῷ μᾶλλον ὑπόνοιαν, ὡς τοῦ Ἰησοῦ ὤν. Καὶ πάλιν εἰς αἴσθησιν ἐλθὼν, οὕτως ἤδη ἐξέρχεται καὶ κλαίει πικρῶς. Ἵνα γὰρ μὴ φανῇ τοῖς ἐν τῇ αὐλῇ, ἔξεισιν ἀποκρυπτόμενος αὐτοῖς. Τινὲς δὲ, οὐκ οἶδ' ὅπως, ἀνόητον ἀπολογίαν ὑπὲρ τοῦ Πέτρου συντιθέασι, λέγοντες τολμηρῶς, ὅτι οὐκ ἠρνήσατο ὁ Πέτρος, ἀλλ' εἶπεν, ὅτι « Οὐκ οἶδα τὸν ἄνθρωπον, » τουτέστι, Ψιλὸν ἄνθρωπον οὐκ οἶδα, ἀλλὰ Θεὸν ἄνθρωπον γενόμενον. Τοῦτον δὲ τὸν ἀνόητον ἔλεγχον ἄλλοις παρήσομεν. Ψεύστην τε γὰρ ποιοῦσι τὸν Κύριον, καὶ τῇ ὑφῇ τοῦ Εὐαγγελίου ἐναντιοῦνται· καὶ οὐδὲ δυνήσονται ὅλως συμβιβάσαι τὴν ἀκολουθίαν τῆς διηγήσεως. Ἀλλὰ καὶ ὁ Πέτρος διατί ἔκλαυσεν, εἰ μὴ ἠρνήσατο;

VERS. 62-71. « Et viri qui tenebant Jesum, illu- D debant ei, cædentes. Et cum circumtexissent eum, percutiebant faciem ejus, et interrogabant eum, dicentes: Vaticinare, quis est ille qui te percussit? Et alia multa convicianles dicebant in eum. Et ut factus est dies, convenerunt seniores plebis, et principes sacerdotum et Scribæ, et duxerunt illum in concilium suum, dicentes: 479 Num tu es ille Christus? dic nobis. Et ait illis: Si vobis dixero, non credetis: quod si etiam interrogavero, non respondebitis mihi, neque dimittetis. Ex hoc tempore erit Filius hominis sedens a dextris virtutis Dei. Dixerunt autem omnes: Tu ergo es Filius

« Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον αὐτῷ, δέροντες· καὶ περικαλύπτοντες αὐτὸν, αὐτοῦ τὸ πρόσωπον ἔτυπτον, καὶ ἐπηρώτων αὐτὸν λέγοντες· Προφήτευσον, τίς ἐστιν ὁ παίσας σε; καὶ ἕτερα πολλὰ βλασφημοῦντες εἰς αὐτὸν, ἔλεγον. Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ Γραμματεῖς; καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν λέγοντες· Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ὑμῖν. Εἶπε δὲ αὐτοῖς· Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· καὶ ἐὰν ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι, ἢ ἀπολύσητε. Ἀπὸ τοῦ νῦν ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ. Εἶπον γοῦν πάντες· Σὺ οὖν εἶ

A ὁ Υἱὸς τοῦ Θεοῦ; Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· Ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι. Οἱ δὲ εἶπον· Τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; αὐτοὶ γὰρ ἠκούσαμεν ἐκ τοῦ στόματος αὐτοῦ. » Ὑβρισταί τινες καὶ ἀκόλαστοι ἦσαν οἱ ταῦτα ἐπάγοντες τῷ Ἰησοῦ. Ἅμα γάρ τοι ἔδει καὶ τὸν διάβολον μηδὲ ἓν εἶδος κακίας ἐλλιπεῖν, ἀλλὰ πάντα κενῶσαι· ἵνα διὰ πάντων ἡ φύσις ἡμῶν ἁγία εὑρεθεῖσα, νικήσῃ καὶ καταῤῥάξῃ αὐτόν. Ἐπεὶ γὰρ διὰ τοῦτο ἀνέλαβε τὴν φύσιν ἡμῶν ὁ Κύριος, ἵνα τρανώσῃ αὐτὴν πρὸς πάσας τὰς τοῦ διαβόλου μηχανὰς, καὶ δείξῃ ὅτι καὶ ἐξ ἀρχῆς, εἰ ἔνηφεν ὁ Ἀδὰμ, οὐκ ἂν ἡττήθη· διὰ τοῦτο πασῶν τῶν εἰδεῶν τῆς τοῦ διαβόλου κακίας ἐπ' αὐτὸν χεομένων, ἀνέχεται· ἵν' οἱ μετὰ ταῦτα θαῤῥῶμεν, ὡς τῆς φύσεως ἡμῶν ἐν Χριστῷ νικησάσης, καὶ μή πρός τι τῶν

B δοκούντων ὑβριστικῶν ἢ ἀνιαρῶν ἀποδειλιῶμεν. Διὸ καὶ παίζεται, καὶ παίεται· καὶ ὁ τῶν προφητῶν Δεσπότης, ὡς ψευδοπροφήτης χλευάζεται. Τὸ γὰρ, « Προφήτευσον ἡμῖν, τίς ἐστιν ὁ παίσας σε, » εἰς τοῦτο φέρει, χλευαζόντων αὐτὸν ὡς πλάνον, καὶ προφητείαν ἑαυτῷ περιάπτοντα. « Καὶ ὡς ἐγένετο ἡμέρα· » τὰ γὰρ τῶν ἐμπαιγμῶν νυκτὸς ἐβλασφημεῖτο παρὰ τῶν μεθυόντων ὑπηρετῶν· τὸ δὲ πρεσβυτέριον καὶ ἐντιμότερον μέρος ἐρωτῶσιν, εἰ αὐτός ἐστιν ὁ Χριστός. Ὁ δὲ εἰδὼς τὰς διανοίας αὐτῶν καὶ ὅτι εἰ τοῖς ἔργοις οὐκ ἐπίστευσαν τοῖς μᾶλλον πείθειν δυναμένοις, πῶς τοῖς λόγοις πιστεύσουσιν; « Ἐὰν ὑμῖν εἴπω, φησὶν, οὐ μὴ πιστεύσητε. » Εἰ γὰρ ἐπιστεύετε λόγοις ἐμοῖς, τίς χρεία ἦν τοῦ νῦν συνεδρίου; « Καὶ ἐὰν ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτε. » Πολλάκις γὰρ ἐρωτηθέντες, ἀπεσιώπησαν, ὡς ἐπὶ

C τοῦ βαπτίσματος Ἰωάννου, καὶ τοῦ, « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, » καὶ ἐπὶ τῆς συγκυπτούσης. Ποῦ οὖν ἀκούσαντες, ἐπιστεύσατε; πότε δὲ ἐρωτώμενοι, οὐκ ἐσιωπήσατε; Διὰ τοῦτο μόνον φημὶ, ὅτι ἀπὸ τοῦ νῦν καιρὸς λόγων καὶ διδασκαλίας οὐκ ἔστιν ὑμῖν περὶ τοῦ τίς εἰμι· εἰ γὰρ ἠθέλετε, ἔγνωτέ με ἀπὸ τῶν γενομένων σημείων· κρίσεως δὲ καιρὸς ἀπὸ τοῦ νῦν. Ὄψεσθε οὖν με τὸν Υἱὸν τοῦ ἀνθρώπου, καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ. Δέον οὖν πτῆξαι, οἱ δὲ μετὰ τοῦτον τὸν λόγον μᾶλλον ἐλύττησαν, καὶ μανιωδῶς ἐρωτῶσι· « Σὺ οὖν εἶ ὁ Υἱὸς τοῦ Θεοῦ; » Ὁ δὲ μέσως πως καὶ εἰρωνικῶς ἀποκρίνεται· « Ὑμεῖς τοῦτο λέγετε, ὅτι ἐγώ εἰμι. » Καὶ γὰρ κατεφρόνει τῆς λύττης αὐτῶν, καὶ ἀπτοήτως αὐτοῖς διελέγετο. Ἐντεῦθεν δὲ δῆλον, ὅτι οἱ

D ἀπειθεῖς οὐδὲν ὠφελοῦνται ἐκ τοῦ ἀποκαλύπτεσθαι αὐτοῖς τὰ μυστικώτερα, ἀλλὰ μᾶλλον πλείω κατάκρισιν δέχονται. Διὸ καὶ ἀποκρύπτεσθαι πρὸς τοὺς τοιούτους δεῖ· τοῦτο γὰρ μᾶλλον φιλανθρωπίας.

## ΚΕΦΑΛ. ΚΓ'.

*Περὶ τῆς ἀπαγωγῆς τοῦ Σωτῆρος πρὸς τὸν Πιλάτον. Περὶ παρ' Ἡρώδου ἐξουθενήσεως. Περὶ τῶν κοπτομένων γυναικῶν. Περὶ τῆς σταυρώσεως τοῦ Χριστοῦ. Περὶ τοῦ μετανοήσαντος λῃστοῦ. Περὶ τῆς τοῦ Χριστοῦ ταφῆς.*

« Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, ἤγαγον αὐτὸν ἐπὶ τὸν Πιλάτον. Ἤρξαντο δὲ κατηγορεῖν

A Dei? Qui ait: Vos dicitis me esse. At illi dixerunt: Quid adhuc desideramus testimonium? Ipsi enim audivimus ex ore ipsius. » Conviciatores quidam et intemperantes fuere qui hæc Jesu inferebant. Oportebat enim interim et diabolum nullam malitiæ speciem relinquere, sed omnia effundere, ut in omnibus natura nostra inventa sancta vinceret ac deturbaret eum. Etenim quia propter hoc naturam nostram suscepit Dominus, ut roboraret eam contra omnes diaboli artes, et ostendat quod si ab initio sobrius fuisset Adam, neutiquam esset victus: ideo omnes species diabolicæ malitiæ quæ in eum fundebantur, sustinebat, ut nos qui sequimur eum, confidamus quod in Christo natura nostra vicerit, et ne formidemus ad ullum opprobrium vel triste.

B Idcirco et percutitur, et illuditur: prophetarumque ipse Dominus, quasi pseudopropheta irridetur. Nam, « Vaticinare nobis, quis est qui te percussit, » eo tendit, ut illum subsannarent, et dicerent impostorem, qui seipsum prophetam fecisset. « Et ut factus est dies, » nocte enim ab ebriis ministris illusus et blasphematus est, seniores et dignitate præstantiores interrogant eum, num ipse sit Christus. At ipse cogitationes eorum sciens, et quod, si operibus non credidissent ad persuadendum efficacioribus [22*], quomodo ergo verbis suis crederent? inquit: « Si dixero vobis, non credetis. » Si enim crederitis verbis meis, quid opus erat concilio [22**]? « Sin interrogavero, non respondebitis. » Sæpius enim antea interrogati siluerunt, ut de baptismate Joannis, et de hoc dicto prophetæ, « Dixit

C Dominus Domino meo: » et de muliere incurvata [23]. Ubi igitur me audito credidistis [24]? Quando autem interrogati non siluistis? Propterea hoc dico, quod ex hoc tempore non est tempus sermonum et doctrinæ de hoc, quis sim. Si enim voluissetis, cognitus essem vobis ex signis et miraculis. Judicii autem tempus est ex hoc tempore. Videbitis igitur me Filium hominis sedentem a dextris virtutis Dei. Cum igitur debuissent metu trepidare, illi his auditis majori rabie concitati, perinde ac insani interrogant: « Tu igitur es Filius Dei? » Verum ipse medio quodam modo et ironice respondet: « Vos hoc dicitis quod ego sim. » Etenim despiciebat insaniam eorum, et intrepide eis loquebatur. Hinc autem manifestum est quod inobedientes

D nullam utilitatem percipiunt cum eis revelantur mysteria, sed majorem condemnationem accipiunt. Ideo illis occultanda 480 sunt. Nam hoc majoris est misericordiæ.

## CAPUT XXIII.

*Quomodo ductus est ad Pilatum. De contempto Jesu ab Herode. De lugentibus mulieribus. De crucifixione Christi. De latrone resipiscente. De sepultura Christi.*

VERS. 1-5. « Et surgens universa multitudo eorum duxit illum ad Pilatum. Cœperunt autem

[22*] Matth. XI. [22**] Matth. XXI. [23] Psal. CIX, 1. [24] Luc. XIII.

illum accusare, dicentes : Hunc deprehendimus evertentem gentem, ac vetantem tributa dare Cæsari, dicentem se Christum regem esse. Pilatus autem interrogavit eum, dicens : Tu es ille rex Judæorum? At ille respondens illi, ait : Tu dicis. Ait autem Pilatus ad principes sacerdotum et turbas: Nihil invenio noxæ in hoc homine. At illi invalescebant dicentes : Commovet populum docens per universam Judæam, exorsus a Galilæa usque ad hunc locum. » Manifeste veritati adversantur. Ubi enim prohibuit Jesus tributa dari, qui ut debita potius reddi præcepit, sic dicens, « Reddite Cæsari quæ Cæsaris sunt ? » Quomodo autem commovet turbam? nunquid ut regna invadens ? Sed incredibile hoc omnibus, nam cum agnovisset quod populus vellet ipsum regem facere, secessit: unde et Pilatus deprehendens illorum sycophantiam, fatetur : « Nullam invenio noxam in homine hoc. » Videtur autem mihi ista interrogatione quam facit erga Christum, ridere calumniam. Rem enim ipsam subsannat dicens: « Tu es rex Judæorum ? » quasi sic dicat : Tu qui tam pauper, tam vilis, tam destitutus auxilio, tam nudus es, accusaris regnum ambire ? Hoc autem deridentis est, ut diximus, eos qui in his accusabant Jesum, quod fingant talem rem attentari ab homine tam nudo atque vili, ad quam tot divitiis atque præsidiis opus est. Verum hi cum nihil aliud haberent ad sycophantiam confirmandam, clamoris utuntur auxilio, et clamaverunt contra Deum Verbum. Commovet enim, inquiunt, hoc est, seditiosum facit populum : et non in una parte sed a Galilæa incepit, et pervenit hucusque, per mediam Judæam transiens. Non simpliciter autem mihi videntur meminisse Galilææ, sed in terrorem Pilati [25]. Nam Galilæi semper seditiosi, rerumque novatores fuere, qualis erat et Judas Galilæus, cujus recordari faciunt Pilatum, quasi ita dicentes: Cogita, præses, Judam Galilæum, qui multum negotii fecit Romanis, facta non parva seditione populi : talis et bic est, quem oportet e medio tollere.

VERS. 6-27. « Pilatus autem audita mentione Galilææ, interrogavit num homo Galilæus 481 esset : et ut cognovit quod ad Herodis ditionem pertineret, remisit eum ad Herodem, qui et ipse Hierosolymis erat per id tempus. Herodes autem viso Jesu gavisus est valde. Tenebatur enim multo jam tempore cupiditate videndi illum, eo quod audiret multa de eo, et sperahat se signum aliquod visurum ab eo fieri. Interrogabat autem eum multis sermonibus: at ipse nihil illi respondebat. Stabant autem principes sacerdotum et Scribæ acriter accusantes eum Sprevit autem illum Herodes cum exercitibus suis : cumque illusisset, indutum veste splendida remisit ad Pilatum : et facti sunt amici inter sese Pilatus et Herodes in eodem die. Nam

αὐτοῦ λέγοντες· Τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. Ὁ δὲ Πιλάτος ἐπηρώτησεν αὐτὸν λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων. Ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη· Σὺ λέγεις. Ὁ δὲ Πιλάτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους· Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. Οἱ δὲ ἐπίσχυον λέγοντες, ὅτι Ἀνασείει τὸν λαὸν διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε. » Προφανῶς ἀναντιοῦνται τῇ ἀληθείᾳ. Ποῦ γὰρ ἐκώλυσεν ὁ Ἰησοῦς φόρους διδόναι, ὅπου γε μᾶλλον ὡς χρέος ἀποδιδόναι ἐκέλευσεν, οὕτως εἰπὼν, « Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι ; » Πῶς δὲ ἀνασείει τὸν ὄχλον ; Ἆρ' ὡς βασιλείᾳ ἐγχειρῶν ; Ἀλλ' ἀπίθανον τοῦτο παντάπασι· καὶ βουλομένου γὰρ αὐτὸν τοῦ πλήθους βασιλέα ποιῆσαι, γνοὺς ἀνεχώρησεν. Ὅθεν καὶ Πιλάτος ἐν καταλήψει τῆς συκοφαντίας γενόμενος, ὁμολογεῖ, ὅτι « Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. » Δοκεῖ δέ μοι καὶ αὕτη ἡ ἐρώτησις, ἣν ποιεῖται πρὸς τὸν Χριστὸν, ἐπὶ καταγέλωτι τῆς συκοφαντίας εἶναι. Μυκτηρίζει γὰρ τὸ πρᾶγμα λέγων· « Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων ; » μονονουχὶ τοῦτο λέγων· Σὺ ὁ πένης, ὁ εὐτελὴς, ὁ γυμνὸς, ὁ ἀβοήθητος κατηγορῇ ἐπὶ τῷ βασιλείας ἐφίεσθαι ; Τοῦτο δὲ καταγελῶντός ἐστιν, ὡς ἔφημεν, τῶν ταῦτα κατηγορούντων τοῦ Ἰησοῦ, ὅτι τὸν οὕτως εὐτελῆ, καὶ γυμνὸν, τοιούτῳ πράγματι ἐπιχειρεῖν πλάττονται, πολλῶν δεομένῳ καὶ χρημάτων καὶ ἐπικούρων. Οἱ δὲ μηδὲν ἔχοντες ἄλλο πρὸς τὴν συκοφαντίαν βοήθημα, ταῖς φωναῖς χρῶνται πρὸς συνεργίαν, καὶ κεκράγασι κατὰ τοῦ Θεοῦ Λόγου. Ἀνασείει γὰρ, φησὶ, τουτέστιν, ἀναστατεῖ τὸν λαὸν, καὶ οὐκ ἐν ἑνὶ μέρει, ἀλλ' ἀπὸ μὲν τῆς Γαλιλαίας ἤρξατο, ἔφθασε δὲ ἕως ὧδε, διὰ μέσης τῆς Ἰουδαίας διελθών. Οὐχ ἁπλῶς δέ μοι δοκοῦσι μεμνῆσθαι τῆς Γαλιλαίας, ἀλλ' εἰς φόβον τὸν Πιλάτον ἐνσείοντες. Καὶ γὰρ οἱ Γαλιλαῖοι τοιοῦτοι ἀεὶ, στασιασταὶ, καὶ νεωτερισμοῖς ἐπιχειροῦντες· οἷος καὶ Ἰούδας ὁ Γαλιλαῖος· οὗ καὶ εἰς μνήμην ἐμβαλεῖν ἐοίκασι τὸν Πιλάτον, μονονουχὶ τοῦτο λέγοντες· « Ἀναλόγισαι, ἡγεμὼν, τὸν Γαλιλαῖον Ἰούδαν, ὃς πολλὰ πράγματα Ῥωμαίοις παρέσχεν, ἀναστατώσας οὐκ ὀλίγον μέρος τοῦ λαοῦ. Τοιοῦτος καὶ οὗτος, ὃν δεῖ ἐκ ποδῶν ποιεῖσθαι.

« Ὁ οὖν Πιλάτος ἀκούσας Γαλιλαίαν, ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι, καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρώδου ἐστὶν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις. Ὁ δὲ Ἡρώδης ἰδὼν τὸν Ἰησοῦν, ἐχάρη λίαν. Ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ, καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον. Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. Εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ. Ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτῷ ἐσθῆτα λαμπρὰν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. Ἐγένοντο δὲ φίλοι ὅ τε Πιλάτος καὶ ὁ Ἡρώδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ'

[25] Act. v, 37.

ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς. Πιλάτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς, καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν, εἶπε πρὸς αὐτούς· Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν λαόν· καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον, ὧν κατηγορεῖτε κατ' αὐτοῦ· ἀλλ' οὐδὲ Ἡρώδης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτὸν, καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶν ἐν αὐτῷ πεπραγμένον. Παιδεύσας οὖν ἀπολύσω. Ἀνάγκην δὲ εἶχον ἀπολύειν ἑαυτοῖς κατὰ ἑορτὴν ἕνα. Ἀνέκραξαν δὲ παμπληθεὶ λέγοντες· Αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν Βαραββᾶν· ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει, καὶ φόνον, βεβλημένος εἰς φυλακήν. Πάλιν οὖν ὁ Πιλάτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. Οἱ δὲ ἐπεφώνουν λέγοντες· Σταύρωσον, σταύρωσον αὐτόν. Ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς· Τί γὰρ κακὸν ἐποίησεν οὗτος; οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ. Παιδεύσας οὖν αὐτὸν ἀπολύσω. Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆναι· καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων. Ὁ δὲ Πιλάτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν· Ἀπέλυσε δὲ τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακὴν, ὃν ᾐτοῦντο· τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν. Καὶ ὡς ἀπήγαγον αὐτὸν, ἐπιλαβόμενοι Σίμωνός τινος τοῦ Κυρηναίου ἐρχομένου ἀπ' ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὀπίσω τοῦ Ἰησοῦ. Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν, αἳ ἐκόπτοντο, καὶ ἐθρήνουν αὐτόν. » Ῥωμαϊκῷ νόμῳ ἑπόμενος ὁ Πιλάτος, πέμπει τὸν Κύριον πρὸς Ἡρώδην, τῷ κελεύοντι, ἕκαστον παρὰ τοῦ ἄρχοντος τῆς ἐπαρχίας αὐτοῦ κρίνεσθαι. Διὸ καὶ ὡς Γαλιλαῖον τὸν Ἰησοῦ πέμπει τῷ τῆς Γαλιλαίας ἐπάρχοντι. Ἡρώδης δὲ ἐχάρη ἐπὶ τούτῳ, οὐχ ὡς μέλλων κερδᾶναί τι ψυχωφελὲς ἐκ τῆς θέας τοῦ Ἰησοῦ, ἀλλ' ἐπειδὴ ἤκουε περὶ αὐτοῦ, ὅτι σοφός ἐστι, καὶ τερατουργὸς, εἶχεν ἀνόητον ἐπιθυμίαν τὸ φιλόκαινον νοσῶν καὶ αὐτὸς, ὥστε ἰδεῖν τοῦτον τὸν ἀλλόκοτον ἄνθρωπον, καὶ ἀκοῦσαι αὐτοῦ, τί λέγει. Ἢ οὐχὶ τοιαῦτα καὶ νῦν νοσοῦμεν πολλοί; Ἐπεθύμει οὖν καὶ αὐτὸς ἰδεῖν σημεῖόν τι ἐκ τοῦ Ἰησοῦ, οὐχ ἵνα πιστεύσῃ, ἀλλ' ὅπως ἑστιάσῃ τὴν ὄψιν· ὥσπερ ἐν τοῖς θεάτροις ὁρῶμεν τοὺς θαυματοποιοὺς ὄφεις καταπίνειν φαντάζοντας, καὶ ξίφη, καὶ τοιαῦτα, καὶ θαυμάζομεν. Σχεδὸν γὰρ ἐνόμιζον τὸν Ἰησοῦν εἶναι τοιουτόν τινα. Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς, οὕτω πως εἰρωνικῶς πρὸς αὐτὸν διακείμενος, καὶ τὸ ὅλον μυκτηρίζων αὐτόν. Διὸ καὶ ὁ Ἰησοῦς οὐδὲν ἀποκρίνεται. Οἶδε γὰρ πότε δεῖ ἀποκρίνασθαι, ὁ πάντα ἐν λόγῳ ποιήσας, καὶ μαρτυρηθεὶς ὑπὸ Δαυῒδ, ὅτι « Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. » Τί γὰρ δεῖ ἀποκρίνεσθαι τῷ μὴ ἐρωτῶντι διὰ τὸ μαθεῖν; τί δὲ δεῖ βάλλειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων; Μᾶλλον μὲν οὖν, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, φιλανθρωπίας ἐστὶ τὸ σιγᾷν ἐν τοῖς τοιούτοις. Ὁ γὰρ ῥηθεὶς λόγος πρὸς τῷ μηδὲν ὠφελῆσαι, ἔτι καὶ κατακρίσεως πρόξενός ἐστι

A antea simultas inter eos intercesserat. Pilatus autem convocatis principibus sacerdotum et magistratibus ac plebe, dixit ad illos: Obstulitis mihi hunc hominem quasi avertentem populum, et ecce ego coram vobis interrogans, nullum crimen invenio in homine isto ex iis de quibus accusatis eum, sed ne Herodes quidem: nam remisi vos ad illum, et ecce nihil dignum morte actum est ei; castigatum ergo illum dimittam. Necesse autem habebat dimittere eis in festo unum. Exclamavit autem simul universa turba, dicens: Tolle hunc, et dimitte nobis Barabbam (qui propter seditionem quamdam factam in civitate et homicidium in carcerem conjectus erat). Iterum autem Pilatus locutus est ad eos, volens dimittere Jesum. At illi
B clamabant dicentes: Crucifige, crucifige eum. Ille autem tertio dixit ad illos: Quid enim mali fecit hic? Nullum crimen capitale comperio in eo. Castigatum ergo dimittam illum. At illi instabant vocibus magnis postulantes ut crucifigeretur, et invalescebant voces eorum ac summorum sacerdotum. Et Pilatus adjudicavit ut fieret quod illi postulabant. Dimisit autem illis eum qui propter seditionem et homicidium conjectus fuerat in carcerem, quem poposcerunt: Jesum vero tradidit arbitrio eorum. Et cum abducerent, apprehenderunt Simonem quemdam Cyrenensem, venientem e rure: et imposuerunt illi crucem, ut portaret post Jesum. Sequebatur autem illum multa turba populi, et mulierum quæ plangebant et lamentabantur eum. » Roma-
C norum legem sequens Pilatus, mittit Dominum ad Herodem. Illa enim cavet ut unusquisque a principe suæ regionis judicetur: ideo et tanquam Galilæum Jesum mittit principi Galilææ. Herodes autem gaudebat, non ut animæ suæ utile quid lucraretur ex spectaculo Jesu: sed quia audierat de eo quod sapiens esset, et mira operaretur, habuit stultum desiderium, laborans curiositatis morbo etiam ipse ut videret alienum hominem, et audiret quid ille diceret. Annon etiam hodie multi morbo illo laborabant? Desiderabat enim et ipse signum quoddam videre a Jesu, non ut 482 crederet, sed ut oculos oblectaret: sicut in spectaculis videmus præstigiatores apparere qui devorent serpentes et gladios, ac similia, et admiramur. Talem enim ferme Jesum
D esse putabat. Interrogabat autem eum sermonibus multis, et illudentis more tractabat, atque in summa ipsum subsannabat; ideo et Jesus nihil respondit. Scivit enim quando respondendum, omniaque ratione fecit, et testimonium accepit a David quod dispenset sermones suos in judicio [28]. Quid enim respondendum illi qui non interrogat ut discat? Quid item margaritæ mittendæ ante porcos? Imo majoris, quemadmodum supra diximus, misericordiæ est facere inter tales. Sermo enim dictus præterquam quod nihil prodest, adhuc majoris condemnationis causa est eis qui non attendunt. Pilato

[28] Psal. CXI, 5.

sane respondit, quoniam aliquanto prudentior erat Herode, etiamsi non admodum aperte. Cum enim interrogasset ille, « Tu es rex Judæorum? » quid dicit Dominus? « Tu dicis. » Hoc autem medium quodammodo sensum habet. Potest enim intelligi. Vere ego sum, tu dixisti id quod est; et aliter intelligi potest, Ego non dico, tu dicis, potestatem habes et dicis (a). Herodi autem prorsus nihil respondit, quandoquidem illusor erat. Et vere secundum Isaiam semini malo, filiis iniquis, his qui tunc erant, inquam, Judæis etiam exactores erant, opprimentes eos, et illusores dominabantur eis. Nam irrisoria mente et ridicula intentione Jesum videre concupiscebat, et signum ab eo spectare. Et hoc animo interrogavit eum, atque hoc tandem indicavit, illum contemptum et irrisum dimittens, et non ipse solum sed etiam omnis exercitus ejus: qui præter cætera convitia induit eum veste candida, remisitque ad Pilatum. Tu autem vide quomodo per omnia quæ facit, diabolus irretitur et constringitur. Excitat enim opprobria et convitia contra Christum, et inde veritas magis declaratur. Nam hisce irrisionibus manifestius testantur quod Dominus non fuerit seditiosus vel rebellis. Si enim talis fuisset, neutiquam hisce ludibriis illusissent, excitato tanto periculo, et seditione totius gentis, præsertim tantæ et tam suspectæ, et tantum novitate rerum gaudentis. Facti sunt autem amici Pilatus et Herodes. Herodi enim argumentum amicitiæ fuit et initium, quod a Pilato ad se missus esset, quasi Pilatus non vindicaret sibi aliqua privilegia Herodis. Verumtamen vide quam discrepantia congreget diabolus, solum ut Christo mortem præparet. In unam enim conspirationem copulat et conciliat inimicos. Non confundimur igitur nos, siquidem ille inimicos pacificat ut Christum occidat, nos propter salutem nostram neque **483** amicos servamus in officio; Postquam autem missus est Pilato, vide quomodo iterum refulgeat veritas: Obtulistis mihi, inquit Pilatus, hominem hunc ut subvertentem populum, et nihil morte dignum in eo invenio: sed neque Herodes. Vides duorum hominum, quorum alter præses, alter rex, testimonium omnino verum? Neque ego, inquit, neque rex Herodes invenimus ullam causam in eo. Quid dicent ad hæc Judæi? Judices ipsi testantur quod culpa careat homo, et vos accusantes nullum adducitis testimonium. Quibus credendum? Papæ! quomodo vincit veritas? Tacet Jesus, et testificantur pro eo inimici. Clamant Judæi, et nemo adstipulatur eorum clamoribus. Mollior autem erat Pilatus, et minime pro veritate constans. Timebat enim calumniam, ne accusaretur quod rebellem absolvisset. Non enim didicit: Terrorem vestrum ne timeamus, sed Dominus ipse mihi erit timor. « Castigatum, inquit, dimittam, » hoc est, emendatum per flagella. Necesse autem habebant Romani per diem festum

A μείζονος τοῖς μὴ προσχοῦσι. Τῷ μέντοι Πιλάτῳ, ἐπεὶ εὐγνωμονέστερος ἦν Ἡρώδου, ἀποκρίνεται, κἂν μὴ πάνυ σαφῶς. Ἐρωτήσαντος γὰρ ἐκείνου, « Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; » τί φησιν ὁ Κύριος; « Σὺ λέγεις. » Τοῦτο δὲ μέσην πως ἔχει τὴν διάνοιαν. Δύναται γὰρ νοηθῆναι καὶ, ὅτι Ἀληθῶς ἐγώ εἰμι, σὺ τὸ ὂν εἶπας· δύναται δὲ καὶ ἄλλως, ὅτι Ἐγὼ οὐ λέγω, σὺ λέγεις, ἐξουσίαν ἔχεις καὶ λέγεις. Ἡρώδῃ δὲ οὐδ' ὁπωσοῦν ἀποκρίνεται, οἷα τὸ ὅλον ἐμπαίκτῃ ὄντι. Καὶ γὰρ ὄντως, κατὰ τὸν Ἡσαΐαν, τῷ σπέρματι τῷ πονηρῷ, τοῖς υἱοῖς τοῖς ἀνόμοις, τοῖς τότε, λέγω, Ἰουδαίοις καὶ πράκτορες ἦσαν καλαμώμενοι αὐτοὺς, καὶ ἐμπαῖκται κυριεύοντες αὐτῶν. Ὅτι δὲ καὶ τοιούτῳ σκοπῷ παικτικῷ καὶ γελοιώδει ἐπεθύμει ἰδεῖν τὸν Ἰησοῦν, καὶ σημεῖον ἐξ αὐτοῦ θεάσασθαι, B καὶ τοιαύτῃ γνώμῃ ἠρώτα αὐτὸν, ἔδειξε τὸ τέλος. Ἐξουθενήσας γὰρ αὐτόν, καὶ ἐμπαίξας, ἀπέλυσε· καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τὰ στρατεύματα αὐτοῦ, ὃ πάσης ὕβρεως ἐπέκεινα· περιβαλὼν δὲ ἐσθῆτα λαμπρὰν, ἔπεμψεν αὐτὸν τῷ Πιλάτῳ. Σὺ δέ μοι ὅρα πανταχοῦ δι' ὧν ποιεῖ, συμποδιζόμενον τὸν διάβολον. Ποιεῖ γὰρ τοὺς ἐμπαιγμοὺς καὶ τὰς ὕβρεις ταύτας κατὰ Χριστοῦ, δείκνυται δὲ μᾶλλον ἐντεῦθεν ἡ ἀλήθεια. Δι' ὧν γὰρ παίζουσιν, ἀριδηλότατα μαρτυροῦσιν, ὡς οὐ στασιαστὴς καὶ ἀντάρτης ὁ Κύριος. Εἰ γὰρ τοιοῦτος ἦν, οὐκ ἂν ἔπαιζον, τηλικούτου ἐπηρτημένου κινδύνου, καὶ ἐπαναστάσεως ὅλου τοῦ ἔθνους ὑποπτευομένης, καὶ ταῦτα τηλικούτου ἔθνους καὶ οὕτω ταῖς καινοτομίαις χαίροντος. « Ἐγένοντο δὲ, φησὶ, φίλοι ὅ τε Πιλάτος καὶ ὁ Ἡρώδης. » Τὸ C γὰρ τὸν ὑποκείμενον τῷ Ἡρώδῃ πεμφθῆναι ὑπὸ Πιλάτου πρὸς αὐτὸν, ἀρχὴν φιλίας ἔδοξεν, ὡς μὴ σφετεριζομένου τοῦ Πιλάτου τὰ προνόμια τοῦ Ἡρώδου. Πλὴν ὅρα πανταχοῦ καὶ τὰ διεστῶτα συνάγοντα τὸν διάβολον, ἵνα μόνον τῷ Χριστῷ σκευάσῃ τὸν θάνατον, καὶ μίαν σύμπνοιαν συγκροτοῦντα, καὶ τοὺς ἐχθροὺς φιλιοῦντα. Οὐκ αἰσχυνόμεθα οὖν ἡμεῖς, εἴγε τούτου καὶ τοὺς ἐχθροὺς εἰρηνεύοντος, ἵνα Χριστὸν ἀποκτείνῃ, ἡμεῖς διὰ τὴν ἡμῶν σωτηρίαν, οὐδὲ κἂν τοὺς φίλους ἐν τῇ πρὸς ἡμᾶς φιλίᾳ τηρήσομεν; Ἐπεὶ δὲ ἀνεπέμφθη πάλιν τῷ Πιλάτῳ, σκόπει πάλιν τὴν ἀλήθειαν λάμπουσαν. Προσηνέγκατέ μοι, φησὶν ὁ Πιλάτος, τὸν ἄνθρωπον τοῦτον ὡς διαστρέφοντα τὸν λαὸν, καὶ οὐδὲν ἄξιον θανάτου ἐν τούτῳ εὑρίσκω· ἀλλ' οὐδὲ Ἡρώδης. Ὁρᾷς; δύο D ἀνθρώπων, καὶ ταῦτα τοῦ μὲν ἡγεμόνος, τοῦ δὲ βασιλέως, ἡ μαρτυρία πάντως ἀληθής. Οὔτ' ἐγὼ, φησὶν, οὔτε ὁ βασιλεὺς Ἡρώδης εὕρομεν αἴτιόν τι ἐν αὐτῷ. Τί φήσουσι πρὸς ταῦτα οἱ Ἰουδαῖοι; Οἱ κριταὶ αὐτοὶ μαρτυροῦσιν, ὅτι ἀναίτιος ὁ ἄνθρωπος· ὑμεῖς οἱ κατηγοροῦντες, οὐδένα μάρτυρα παράγετε· τίσι δεῖ πιστεύειν; Βαβαί! πῶς νικᾷ ἡ ἀλήθεια! Σιωπᾷ Ἰησοῦς, καὶ μαρτυροῦσιν ὑπὲρ αὐτοῦ οἱ ἐχθροί· βοῶσιν οἱ Ἰουδαῖοι, καὶ οὐδεὶς ὁ ταῖς βοαῖς ἐπιμαρτυρῶν. Μαλακὸς δέ τις ὁ Πιλάτος, καὶ ἥκιστα ὑπὲρ ἀληθείας ἐνστατικός. Ἐδεδοίκει γὰρ τὴν συκοφαντίαν, μήπως διαβληθῇ, ὡς τὸν ἀντάρτην

(a) In edit. Lut. desunt, *potestatem habes, et dicis.*

ἀπολύσας. Οὐ γὰρ ἔμαθε λέγειν· Τὸν δὲ φόβον ὑμῶν οὐ μὴ φοβηθῶμεν, ἀλλὰ Κύριος αὐτὸς ἔσται μοι φόβος. « Παιδεύσας οὖν, φησὶν, ἀπολύσω, » τουτέστι, σωφρονίσας διὰ μαστίγων. Ἀνάγκην δὲ εἶχον οἱ Ῥωμαῖοι κατὰ ἑορτὴν ἀπολύειν ἕνα, χαριζόμενοι τοῖς Ἰουδαίοις. Ὑποσπόνδοις γὰρ γενομένοις τοῖς Ἰουδαίοις, ἄδειαν δεδώκασι κατὰ τὰ οἰκεῖα ἔθη καὶ νόμιμα πολιτεύεσθαι. Ἔθος δὲ πάτριον ἦν Ἰουδαίοις, τὸ παρὰ τοῦ ἄρχοντος ἐξαιτεῖσθαι τοὺς κατακρίτους, ὥσπερ καὶ παρὰ Σαοὺλ ἐξῃτήσαντο τὸν Ἰωνάθαν. Εἰ δὲ τὴν ἱστορίαν ἀγνοεῖς, μέτιθι Βασιλειῶν τὴν πρώτην, καὶ ταύτην εὑρήσεις. « Ἀνέκραξαν δὲ, φησὶ παμπληθεὶ, λέγοντες· Αἶρε τοῦτον. » Τί τούτου χεῖρον; Τὸ ἔθνος τὸ ἅγιον εἰς φόνους ἐλύττα, ὁ ἐθνικὸς Πιλάτος τὸν φόνον ἀπετρέπετο, τὰ ἄνω κάτω ἐγένετο. « Αἶρε τοῦτον, φασὶν, ἀπόλυσον δὲ ἡμῖν Βαραββᾶν, ὃς στασιαστὴς ὢν καὶ φονεὺς, ἐβλήθη εἰς φυλακήν. » Καὶ τρίτον ἀπολύει Πιλάτος, καὶ τρίτον ἐκεῖνοι βοῶσι κατὰ Χριστοῦ, ἵνα πάντως διὰ τοῦ τρίτου τούτου βεβαιώσωσι τὴν οἰκείαν μιαιφονίαν· καὶ τὸν μὲν ἅγιον καὶ δίκαιον ἠρνήσαντο, καθὼς φησιν ὁ μακάριος Πέτρος· ᾐτήσαντο δὲ ἄνδρα φονέα χαρισθῆναι αὐτοῖς. Τὸ γὰρ ὅμοιον ἀγαπῶσι· διὸ καὶ τῆς μερίδος αὐτοῦ γίνονται, στασιάσαντες καὶ αὐτοὶ κατὰ Ῥωμαίων, καὶ φόνων μυρίων αἴτιοι γενόμενοι καὶ τῆς ἑαυτῶν ἀπωλείας. Ταῦτα δὲ προλέγει καὶ δι' Ἱερεμίου ὁ Κύριος· « Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, δέδωκα τὴν κληρονομίαν μου εἰς χεῖρας ἐχθρῶν. Ἐγεννήθη ἡ κληρονομία μου ἐμοὶ, ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς· διὰ τοῦτο ἐμίσησα αὐτήν· » καὶ πάλιν Ὠσηὲ, « Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ. Ἐγὼ ἐλυτρωσάμην αὐτοὺς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ, καὶ πεσοῦνται ἐν στόματι ῥομφαίας οἱ ἄρχοντες αὐτῶν δι' ἀπαιδευσίαν γλώττης αὐτῶν. » Ἄγεται τοίνυν ὁ Ἰησοῦς, καὶ πρῶτον μὲν ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν, καὶ βαστάζων ἐξῆλθεν. Οὐδὲ γὰρ κατεδέχετό τις τῶν ἄλλων βαστάσαι αὐτὸν, ἐπεὶ καὶ τὸ ξύλον ἐπικατάρατον εἶχον. Εἶτα εὑρόντες Σίμωνά τινα Κυρηναῖον, ἐπέθηκαν τούτῳ τὸν σταυρὸν, ἀγγαρεύσαντες τὸν ἄνθρωπον, καὶ οἷόν τινα ἐπήρειαν αὐτῷ τοῦτον ἐπιθέντες τὸν παρὰ τοῖς ἄλλοις ἀποτροπιαζόμενον. Αἰνίττεται δὲ τοῦτο οὐ μικρὸν νουθέτημα. Σταυρὸς μὲν γάρ ἐστιν ἡ νέκρωσις καὶ ἀνενεργησία τῶν παθῶν καὶ ἀκινησία· ὁ γὰρ σταυρούμενος καθηλοῦται καὶ ἀπρακτεῖ. Ὁ τοίνυν κατὰ Χριστὸν διδάσκαλος ὀφείλει πρῶτον αὐτὸς τὸν σταυρὸν αἴρειν, καὶ καθηλοῦν τὰς σάρκας αὐτοῦ τῷ φόβῳ τοῦ Θεοῦ, καὶ τῇ ἀπαθείᾳ λαμπρύνεσθαι, εἶθ' οὕτω καὶ τοῖς ὑπηκόοις τοῦτον ἐπιτιθέναι· Σίμων γὰρ ὑπακοὴ ἑρμηνεύεται. Πληροῦται δὲ κἀνταῦθα τὸ τοῦ Ἡσαΐου· « Οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· » ἀρχὴ γὰρ τοῦ Κυρίου καὶ βασιλεία, ὁ σταυρός. Φησὶ γὰρ ὁ Παῦλος·

unum dimittere Judæis. Tale enim fœdus cum Judæis inierant, ut liberum permitterent eis juxta legitima et consueta sua vivere. Et mos patrius erat Judæis, a principe judicatos petere, sicut et a Saul petiverunt Jonathan. Quod si historiam ignoras, vade ad primum librum Regum[27], et eam invenies. «Clamaverunt autem, inquit, omnes dicentes, Tolle hunc.» Quid hoc pejus? Gens sancta rabie in cædem furit, et gentilis Pilatus cædem aversatur. Et quæ sursum, ea deorsum vertuntur. «Tolle hunc, dicunt, dimitte autem nobis Barabbam: qui cum seditiosus esset et homicida, missus erat in carcerem.» En tertio absolvit Pilatus, et tertio illi contra Christum clamant, ut omnino tertia illa clamatione cædem suam perficiant, sanctumque ac justum negent: sicut dicit beatus Petrus, Petiverunt autem virum homicidam dari sibi[28]: diligebant enim similem: proinde partis illius erunt. Cum enim et ipsi contra Romanos insurrexerint, innumerabilium cædium suæque perditionis auctores erunt. Hæc autem per Jeremiam prædicit Dominus, « Dereliqui domum meam, reliqui hæreditatem meam[29]. Dedi hæreditatem meam in manus inimicorum: facta est hæreditas mea mihi sicut leo in silva: dedit super me vocem suam: propterea odi eam.» Et iterum Oseas: « Væ eis quia resilierunt a me: miseri sunt, quia impie egerunt in me. Ego autem redimi eos, ipsi vero locuti sunt contra me mendacia: et cadent in ore gladii principes eorum, propter insipientiam linguæ eorum[30].» Ducitur igitur Jesus, et primum quidem imposuerunt ei crucem, et bajulans exivit. Nemo enim 484 alius eam suscipere volebat, quia habebant ut maledictum lignum. Deinde invento quodam Simone Cyrenæo, imposuerunt vi quadam ei illam, quam aversabantur alii. Insinuatur non parva admonitio hoc loco. Crux enim est mortificatio affectionum, ita ut moveri nequeant et operari. Nam qui crucifigitur, clavis affligitur, et operari nequit. Unde doctor secundum Christum debet prior ipse crucem tollere, et carnes suas timore Dei configere, et affectionibus carens fulgere. deinde eam etiam auditoribus imponere. Simon enim *obedientia* interpretatur. Impletur autem et hoc loco Isaiæ dictum, « Cujus principatus super humerum ejus[31].» Principatus enim Domini et regnum crux est. Dicit enim Paulus, «Humiliavit semetipsum usque ad mortem, mortem autem crucis. ideo et Deus exaltavit illum[32],» etc. At igitur quia crux fuit sublimitas et gloria Jesu, merito principatus ejus dicitur, seu princeps ejus dignitas, et symbolum principatus (*a*). Sicut enim symbola dignitatum senatores habent, zonas alii, alii pallium: sic etiam Christus crucem efficit regni sui symbolum. Et si bene animadverteris, invenies non aliter regnare in nobis Jesum, nisi per afflictionem: itaque ita qui in deli-

[27] I Reg. XIV. [28] Act. III. [29] Jer. XII, 7. [30] Osee VII, 13-16. [31] Isa. IX, 6. [32] Philipp. II, 8, 9.

(*a*) Edit. Lut. omisit in textu, ἀνέκραξαν δὲ, φησὶ, παμπληθεὶ λέγοντες· Αἶρε τοῦτον.

(*a*) In edit. Lut. desiderantur, quæ proxime sequuntur.

ciis vivunt, inimici sunt Christi. Ille autem potest A fieri subditus Christi, et tollere crucem suam, qui virtutis operarius est : qui venit a villa relinquens mundum, et ea quæ sunt in mundo, et ad Jerusalem illam supernam et liberam tendit. Porro quod Christum multitudo populi et mulierum sequitur, insinuat quod magna multitudo Judæorum etiam post crucem credet in Christum (hoc enim est sequi) et mulieres multæ. Lege acta apostolorum, et videbis innumera millia credentium [33]. Quid autem si lugere et plorare mulieres Jesum sequentes, moralem sensum secum afferat? Est enim mulier anima infirma, quæ si contritionem cordis suscipiens per pœnitentiam, luget et plorat, revera sequitur Jesum qui crucifigitur at affligitur propter nostram salutem.

« Ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, » καὶ τὰ ἑξῆς. Ἐπεὶ οὖν ὁ σταυρὸς ὕψος γέγονε τῷ Ἰησοῦ καὶ δόξα, εἰκότως ἀρχὴ αὐτοῦ λέγεται, ἤτοι ἀρχικὸν ἀξίωμα καὶ σύμβολον τῆς ἀρχῆς. Ὡς γὰρ οἱ συγκλητικοὶ ἔχουσι σύμβολα τῶν ἀξιωμάτων, οἱ μὲν ζώνας, οἱ δὲ μανδύας· οὕτω καὶ ὁ Κύριος τὸν σταυρὸν τῆς οἰκείας βασιλείας σύμβολον ποιεῖται. Καὶ σκοπήσας εὑρήσεις, ὅτι ἄλλως οὐ βασιλεύει ἐν ἡμῖν ὁ Ἰησοῦς, εἰ μὴ διὰ κακοπάθειαν. Ὡς οἵγε τρυφῶντες, ἐχθροὶ τοῦ σταυροῦ· ἐκεῖνος δὲ δύναται ὑπήκοος γενέσθαι Χριστοῦ, καὶ ἆραι τὸν σταυρὸν αὐτοῦ, ὁ τῆς ἀρετῆς ἐργάτης. Ὁ ἐρχόμενος ἀπ' ἀγροῦ, ὁ τὸν κόσμον τοῦτον ἀγρὸν ὄντα καταλιμπάνων, καὶ τὰ ἐν αὐτῷ ἔργα, καὶ πρὸς τὴν Ἱερουσαλὴμ B τὴν ἄνω τὴν ἐλευθέραν ἱέμενος. Ἀλλὰ καὶ τῷ ἀκολουθεῖν τῷ Χριστῷ πλῆθος λαοῦ καὶ γυναικῶν, αἰνίττεται ὅτι πολὺ πλῆθος τῶν Ἰουδαίων μετὰ τὸν σταυρόν· τοῦτο γὰρ τὸ ἀκολουθεῖν· πιστεύσουσιν εἰς αὐτὸν, καὶ γυναῖκες δὲ πολλαί. Καὶ ἀνάγνωθι τὰς Πράξεις, καὶ ὄψει μυριάδας τῶν πιστευόντων. Μήποτε δὲ καὶ τὸ θρηνεῖν καὶ κόπτεσθαι τὰς ἀκολουθούσας γυναῖκας τῷ Ἰησοῦ, συμβαλεῖται ἡμῖν εἰς ἦθος; Ἔστι μὲν γὰρ γυνὴ, ψυχὴ ἀσθενής αὕτη δὲ ἐὰν συντριβὴν καρδίας δεξαμένη διὰ τῆς μετανοίας, πενθῇ καὶ κόπτηται, τότε ὄντως ἀκολουθεῖ τῷ Ἰησοῦ, τῷ σταυρουμένῳ καὶ κακουχουμένῳ διὰ τὴν ἡμῶν σωτηρίαν.

VERS. 28-31. « Conversus autem ad illas Jesus dixit : Filiæ Jerusalem, nolite flere super me, sed super vobis ipsis flete, et super filiis vestris, quoniam ecce venient dies in quibus dicet : Beatæ steriles, et ventres qui non genuerunt, et ubera quæ non lactaverunt [34]. Tunc incipient dicere montibus: Cadite super nos; et collibus : Cooperite nos Quia si in humido ligno hæc faciunt, in arida quid fiet? » C Mulieres quidem (hominum genus est facile lacrymans et plorans quasi grave quiddam accidisset Domino) plorant, compassionem præ se ferentes magnam et injustitiam lamentantes. At ille non approbat, sed magis increpat illas. Voluntario enim patiebatur. 485 Non decet autem lamentari eum qui sponte et pro salute omnium patitur, sed congruum est ut ille magis laudibus efferatur et celebretur. Per crucem enim et mors destructa est, et infernus captivus est. Lamenta enim non his qui sponte, sed qui gravate patiuntur consolationem afferunt. Proinde Dominus illas quæ ipsum lugebant, increpat. Admonet autem ut ad futura mala respiciant, et propter illa plorent, quando mulieres in humane cocturæ sunt filios suos, et venter qui portavit, D ille iterum miserabiliter fructum suum recipiet. Si enim in me talia fecerunt Romani, in me ligno humido, feraci et semper virenti, et semper vitali propter deitatem, et per doctrinas fructuum meorum alente omnes : in vobis, populo inquam arido, ligno sterili ab omni vivifica justitia, et nullum fructum afferente, quid non facient? Si enim quamdam vitalem operationem boni haberetis, fortassis digni essetis, quibus quodammodo parceretur : nunc autem quasi lignum aridum in combustionem et corruptionem eritis.

« Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς εἶπε· Θυγατέρες Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμὲ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν· ὅτι ἰδοὺ ἔρχονται ἡμέραι, ἐν αἷς ἐροῦσι· Μακάριαι αἱ στεῖραι, καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἐθήλασαν. Τότε ἄρξονται λέγειν τοῖς ὄρεσι· Πέσετε ἐφ' ἡμᾶς, καὶ τοῖς βουνοῖς· Καλύψατε ἡμᾶς. Ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται; » Αἱ μὲν γυναῖκες (φιλόδακρυ γὰρ τὸ γένος καὶ πολύθρηνον ὡς δεινοῦ τινος ἐπισυμβαίνοντος τῷ Κυρίῳ) θρηνοῦσι, τὸ συμπαθὲς ἐπιδεικνύμεναι, καὶ τὴν ἀδικίαν ἀποδυρόμεναι. Ὁ δὲ οὐκ ἀποδέχεται, ἀλλὰ μᾶλλον ἐπιτιμᾷ αὐταῖς. Ἑκουσίως γὰρ ἔπασχε, τῷ δὲ ἑκουσίως πάσχοντι, καὶ ἐπὶ σωτηρίᾳ πάσης τῆς φύσεως, οὐ τὸ θρηνεῖσθαι, ἀλλὰ τὸ κροτεῖσθαι προσήκει καὶ εὐφημεῖσθαι. Διὰ γὰρ τοῦ σταυροῦ καὶ θάνατος λέλυται, καὶ ᾅδης ᾐχμαλώτισται, οἱ θρῆνοι γὰρ οὐ τοῖς ἑκουσίως, ἀλλὰ τοῖς ἀκουσίως πάσχουσι παράκλησιν φέρουσιν. Ἐπιτιμᾷ μὲν οὖν αὐταῖς κοπτομέναις αὐτόν; Παραινεῖ δὲ πρὸς τὰ μέλλοντα κακὰ βλέπειν, καὶ ἐπ' ἐκείνοις κόπτεσθαι, ὅτε γυναῖκες ἑψήσουσι τὰ τέκνα αὐτῶν ἀνελεημόνως, καὶ ἡ ἐνέγκασα γαστὴρ αὐτὴ πάλιν τὸ γεννηθὲν ἐλεεινῶς ὑποδέξεται. Εἰ γὰρ ἐν ἐμοὶ τοιαῦτα ἐπεδείξαντο οἱ Ῥωμαῖοι, ἐν ἐμοὶ τῷ ὑγρῷ ξύλῳ, τῷ ἐγκάρπῳ, καὶ ἀειθαλεῖ, καὶ ἀειζώῳ διὰ τὴν θεότητα, καὶ διὰ τῶν καρπῶν μου τῆς διδασκαλίας τρέφοντι πάντας· ἐν ὑμῖν, τῷ λαῷ, φημὶ, τῷ ξηρῷ ξύλῳ, τῷ πάσης δικαιοσύνης ζωοποιοῦ ἐστερημένῳ, καὶ μηδένα καρπὸν φέροντι, τί οὐκ ἂν ἐπεδείξαντο; Εἰ μὲν γὰρ εἴχετε ζωτικήν τινα ἐνέργειαν τοῦ ἀγαθοῦ, ἴσως ἂν φειδοῦς ἠξιώθητε μετρίας γοῦν· νῦν δὲ ὡς ξηρὸν ξύλον εἰς καῦσιν καὶ εἰς διαφθορὰν ἔσεσθε.

VERS. 32-38. « Ducebantur autem et alii duo faci-

Ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ

[33] Act. II, VI. [34] Isa. LIV.

ἀναιρεθῆναι. Καὶ ὅτε ἐπῆλθον ἐπὶ τὸν τόπον τὸν A λεγόμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν, καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλον κλήρους. Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες· Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός. Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι, καὶ ὄξος προσφέροντες αὐτῷ, καὶ λέγοντες· Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. Ἦν δὲ καὶ ἡ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς, καὶ Ῥωμαϊκοῖς, καὶ Ἑβραϊκοῖς· Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων. » Πονηρὰν δόξαν κατασκευάζειν ἐθέλων τοῦ Κυρίου ὁ διάβολος, καὶ B λῃστὰς ἐποίει συσταυροῦσθαι αὐτῷ. Ἀλλ' ὅρα πῶς καὶ τὸν ἕνα ἀφῃρέθη, καὶ μᾶλλον πρὸς δόξαν πλείω τοῦ Κυρίου τοῦτο γέγονε. Τῶν μὲν γὰρ οἱ σταυροὶ οὐδὲ ἐζητήθησαν, τοῦ δὲ πᾶς ὁ κόσμος ἐκκρέμαται· καὶ προδήλως ἐντεῦθεν δείκνυται, τὸ μὴ ἄνομον εἶναι τὸν Κύριον, ὡς οἱ λῃσταί, ἀλλὰ πάσης δικαιοσύνης ἀρχηγόν. Ἄγουσι δὲ αὐτὸν ἐπὶ τὸν τόπον τοῦ Κρανίου, ἔνθα φασὶ τὸν προπάτορα τεθάφθαι· ἵνα ὅπου διὰ ξύλου πτῶμα, ἐκεῖ καὶ ἡ διὰ τοῦ ξύλου ἔγερσις γένηται. Ἰησοῦς δὲ ὑπερβολὴν πρᾳότητος ἐνδεικνύμενος, ὑπὲρ αὐτῶν εὔχεται, « Πάτερ, ἄφες αὐτοῖς, λέγων· οὐ γὰρ οἴδασι τί ποιοῦσι. » Καὶ μέντοι ἀφέθη ἂν αὐτοῖς τὸ ἁμάρτημα, εἰ μὴ μετὰ ταῦτα τῇ ἀπιστίᾳ ἐνέμειναν. Τίνος δὲ ἕνεκεν διαμερίζονται τὰ ἱμάτια αὐτοῦ; Ἴσως μὲν καὶ χρῄζοντες C οἱ πολλοὶ αὐτῶν· τάχα δέ, ὃ καὶ μᾶλλον ἀληθέστερον, ὕβρει τοῦτο καὶ ἀκολασίᾳ ποιοῦντες· τί γὰρ πολυτελὲς ἑώρων ἐν τοῖς ἱματίοις; Γελῶντες οὖν καὶ ὑβρίζοντες, τοιαῦτα εἰργάζοντο. Ὅπου γὰρ οἱ ἄρχοντες ἐμυκτήριζον, τί χρὴ περὶ τοῦ κοινοῦ πλήθους λογίζεσθαι; « Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός. » Τοῦτο ἔλεγε δι' αὐτῶν ὁ διάβολος. Ὥσπερ γὰρ ἐπὶ τοῦ πτερυγίου τοῦ ἱεροῦ, οὕτω κἀνταῦθα τοιαῦτά φησι· βασκαίνων τῇ διὰ τοῦ σταυροῦ σωτηρίᾳ, καὶ περικόψαι βουλόμενος ταύτην πάσαις, ὡς ἐνῆν, μηχαναῖς. Ὄξος δὲ προσέφερον οἱ στρατιῶται, ὡς βασιλεῖ δῆθεν ὑπηρετοῦντες, πρὸς τὸ πιεῖν. Ὅρα δὲ καὶ ἑτέραν μηχανὴν τοῦ διαβόλου, κατ' αὐτοῦ περιτρεπομένην. Ὁ μὲν γὰρ τρισὶ χαρα- D κτῆρσι γραμμάτων ἐξεπόμπευε δῆθεν τὴν ἀνταρσίαν τοῦ Ἰησοῦ, ἵνα μηδένα λανθάνοι τῶν παριόντων, ὡς διὰ τοῦτο κρέμαται, διότι βασιλέα ἑαυτὸν ἐποίει· τὸ δέ, κἂν μὴ ὁ σοφὸς τοῦ κακοποιῆσαι συνίει, σύμβολον ἦν τοῦ κράτιστα τῶν ἐθνῶν, ὁποῖοι οἱ Ῥωμαῖοι, καὶ σοφώτατοι, ὁποῖοι Ἕλληνες, καὶ θεοσεβέστατοι, ὁποῖον τὸ γένος τῶν Ἑβραίων, ὑπὸ τῇ βασιλείᾳ τοῦ Ἰησοῦ τεθήσεσθαι, καὶ ἀνακηρύξειν αὐτόν. Εἴπομεν δὲ περὶ τούτων καὶ ἐν τῷ κατὰ Ἰωάννην πλείω καὶ ὑψηλότερα.

« Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ, λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ

norosi cum eo, ut interficerentur: et postquam venerunt in locum qui vocatur Calvaria, ibi crucifixerunt eum et facinorosos, unum a dextris, alterum a sinistris. Jesus autem dicebat: Pater remitte illis, nesciunt enim quid faciunt. Dividentes vero vestimenta ejus, miserunt sortem. Et stabat populus spectans, et deridebant eum principes cum eis, dicentes: Alios servavit, servet seipsum, si hic est ille Christus, ille Dei electus. Illudebant autem ei et milites, accedentes et acetum offerentes ei, dicentesque: Si tu es ille rex Judæorum, salvum te fac. Erat autem et inscriptio scripta super eum litteris Græcis, et Latinis, et Hebraicis: Hic est rex Judæorum. » Diabolus volens Dominum magna infamia aspergere, facit crucifigi cum eo et latrones: sed vide quomodo et uno privatus sit, et hoc ad majorem gloriam Domini cesserit. Nam aliorum cruces nemo requirit, totus autem mundus a cruce ista pendet. Et manifeste hic ostenditur Dominum non esse iniquum sicut latrones, sed omnis justitiæ principem. Ducunt autem eum ad locum Granii, ubi dicunt primum parentem nostrum sepultum esse: ut ubi per lignum casus, illic et per lignum resurrectio fiat. Jesus vero eximiam mansuetudinem declarans, pro illis precatur: « Pater, remitte eis, dicens: nesciunt enim quid faciunt. » Et utique dimissum fuisset eis peccatum, nisi deinceps in incredulitate mansissent. Diviserunt vero vestimenta ejus. Cujus gratia? Forsitan et multi ipsis indigebant, fortassis autem, quod et verius, hæc ad majorem contumeliam per lasciviam fecerunt. 486 Quid enim pretiosum videbant in his vestibus? Ridentes igitur et contumelia afficientes, talia fecerunt. Ubi enim, ei principes subsannabant, quid non de reliquo vulgo cogitandum? « Alios servavit, servet seipsum, si hic est ille Christus, ille Dei electus. » Hoc dicebat per illos diabolus. Sicut enim in prima templi, ita et hoc loco dicit, invidens saluti nostræ per crucem, quam volens impedire omnes movebat machinas. Acetum vero offerebant milites, quasi regi quodammodo ministrantes ut biberet. Vide autem et aliam machinam diaboli, quæ in ipsum vertitur. Qui enim tribus litterarum characteribus rebellionem Jesu invulgarat quodammodo, ut neminem prætereuntium lateret, quasi propter hoc suspensus esset, quod regem se fecisset: hoc jam etiamsi non e mente scribentis, symbolum factum est quod potentissimi gentium, quales Romani: et sapientissimi, quales Græci: religiosissimi, quales Hebræi, Christi regno subjiciendi essent, et ipsum prædicare debeant. De hoc autem plura et sublimiora in Evangelio Joannis diximus.

VERS. 39-43. « Unus autem de his qui pendebant facinorosis, convicia dicebat in eum, dicens: Si tu es Christus, serva teipsum et nos. Respondens autem alter increpabat eum, dicens: Ne times quidem tu Deum quod in eadem damnatione es? et nos

quidem juste: nam digna factis recipimus: hic vero nihil mali gessit. Et dicebat ad Jesum: Domine, memento mei cum veneris in regnum tuum. Et dixit illi Jesus: Amen dico tibi, hodie mecum eris in paradiso. » Quomodo igitur alii evangelistæ duos latrones dicunt convitia in eum jecisse? Verisimile autem est quod primum quidem duo eum convitiati sint, deinde unus eorum cordatior agnoscens bonitem et divinitatem Jesu ex voce quam fecit pro crucifigentibus: «Pater, dicens, remitte eis;» quæ vox non solum omni misericordia plena est, sed et magnam auctoritatem præ se fert. Non enim dixit: Domine, oro dimitte eis, sed simpliciter sic magna potestate: «Pater, remitte eis.» Ex hac igitur voce agnoscens, qui prius erat blasphemus, Jesum verum regem, confutat et alterum latronem, et ad Jesum dicit: «Memento mei in regno tuo. » Quid igitur Dominus? «Hodie mecum eris in paradiso.» Sicut homo quidem in cruce, Deus autem ubique, et illic, et in paradiso implens omnia, et nusquam absens. Quærunt autem quidam, quomodo dicente Domino latroni: «Hodie mecum eris in paradiso,» Paulus dixit quod nullos sanctorum receperit promissionem[35]? Et quidam dicunt quod Apostolus non de omnibus sanctis asserat quod non recepesint repromissionem, sed de his quos ipse solum enumeravit. Enumeravit 487 autem alios quidem multos, latronis autem non meminit. Audi enim quid dicat, hi omnes, demonstrando eos quos sermo enumerat, quibus latro connumeratus non est. Alii autem dixerunt quod latro nondum sortitus sit in paradiso conversationem: sed quia invariabilis sit et mentiri nequeat Domini promissio, ideo dictum esse, «Hodie mecum eris in paradiso.» Est enim et hæc species phraseos in verbis Dominicis, ut de futuris loquatur tanquam de his quæ jam fiant: ut cum dicit: «Qui non credit, jam judicatus est[36]» et rursum: «Qui sermones meos audit et credit, in judicium non venit, sed transivit de morte in vitam[37].» Alii autem torquent verbum, punctum facientes post «hodie,» ut sit is sensus dicti, «Amen dico tibi tibi hodie:» deinde, «Mecum eris in paradiso,» adjicientes. Quidam vero, qui maxime sensum assequi visi sunt, sit exponunt: Repromissa nobis bona non sunt ingressus in paradisum, vel reditus, sed regnum cœlorum: unde et oramus, «Veniat regnum tuum[38],» non conversatio illa in paradiso. Neque enim mihi dicat aliquis quod idem sit paradisus et regnum. Bona enim regni « neque auris audivit, neque oculus vidit, neque in cor hominis ascenderunt[39].» Paradisum autem et oculus Adæ vidit, et auris audivit de eo.« De omnibus enim lignis,» inquit, «quæ sunt in paradiso, edens comede[40].» Nam licet unum tantum lignum interdictum sit eis, tamen et ipsum viderunt, et de ipso audierunt. Et in

A ὧν ἐπράξαμεν ἀπολαμβάνομεν · οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ · Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς · Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. » Πῶς οὖν οἱ ἕτεροι εὐαγγελισταὶ τοὺς δύο λῃστάς φασι κατηγορεῖν αὐτοῦ; Ἐν ἀρχῇ μὲν εἰκὸς τοὺς δύο κατηγορεῖν αὐτοῦ, εἶτα τὸν ἕτερον αὐτῶν ἀγχίνουν ὄντα, ἐπιγνῶναι τὴν Ἰησοῦ ἀγαθότητα καὶ θεότητα ἐκ τῆς φωνῆς, ἧς ἐποιεῖτο ὑπὲρ τῶν σταυρούντων, « Πάτερ, λέγων, ἄφες αὐτοῖς. » Οὐ μόνον γὰρ πάσης φιλανθρωπίας γέμει, ἀλλὰ καὶ αὐθεντίαν πολλὴν ἐνδείκνυται ἡ φωνή. Οὐ γὰρ εἶπε, Κύριε, παρακαλῶ, ἄφες αὐτοῖς, ἀλλ' ἁπλῶς οὕτως καὶ ἐξουσιαστικῶς, « Πάτερ, B ἄφες αὐτοῖς. » Ἐκ ταύτης οὖν τῆς φωνῆς ἐπιγνοὺς ὁ πρότερον βλάσφημος, τὸν Ἰησοῦν ἀληθινὸν βασιλέα ἐπιγνώσκει, ἐπιστομίζει δὲ καὶ τὸν ἕτερον λῃστὴν, καὶ πρὸς τὸν Ἰησοῦν λέγει · « Μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου. » Τί οὖν ὁ Κύριος; « Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Ὡς μὲν γὰρ ἄνθρωπος, ἐν σταυρῷ, ὡς δὲ Θεὸς, πανταχοῦ, κἀκεῖ, κἀν τῷ παραδείσῳ, πάντα πληρῶν, καὶ μηδαμοῦ ὤν. Ζητήσουσι δέ τινες · Πῶς τοῦ Κυρίου λέγοντος τῷ λῃστῇ, « Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, » ὁ Παῦλος ἔφη · « Οὐδεὶς τῶν ἁγίων ἐκομίσατο τὴν ἐπαγγελίαν; » Καί τινες λέγουσιν, ὅτι ὁ Ἀπόστολος οὐ περὶ πάντων τῶν ἁγίων ἀπεφήνατο τὸ μὴ κομίσασθαι τὴν ἐπαγγελίαν, ἀλλὰ περὶ ὧν ἀπηριθμήσατο μόνον · ἀπηριθμή- C σατο δὲ ἄλλους μὲν πολλοὺς, τοῦ δὲ λῃστοῦ οὐδὲ ἐπεμνήσθη. Ἄκουε γὰρ τί φησιν · Οὗτοι πάντες, δεικτικῶς πρὸς τοὺς ἀπηριθμημένους τὸν λόγον ἀναφέρων, οἷς ὁ λῃστὴς οὐ συνηρίθμηται. Ἕτεροι δὲ ἔφασαν, ὅτι οὐδὲ ὁ λῃστὴς οὔπω ἔτυχε τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς, ἀλλ' ἐπειδὴ ἀμετάθετος καὶ ἀδιάψευστος ἡ τοῦ Κυρίου ὑπόσχεσις, διὰ τοῦτο εἴρηται τὸ, « Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. » Ἔστι γὰρ καὶ τοιοῦτον εἶδος, φασὶν, ἐν τοῖς τοῦ Κυρίου ῥήμασιν, ἐν οἷς περὶ τῶν ἔσεσθαι μελλόντων, ὡς ἤδη γενομένων διέξεισιν. Ὡς ὅταν λέγῃ · « Ὁ μὴ πιστεύων, ἤδη κέκριται, » καὶ πάλιν· « Ὁ τῶν λόγων μου ἀκούων, καὶ πιστεύων, εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς D τὴν ζωήν. » Ἄλλοι δὲ ἐκβιάζονται τὸ ῥῆμα, στίζοντες εἰς τὸ « Σήμερον, » ἵν' ᾖ τὸ λεγόμενον τοιοῦτον· « Ἀμὴν λέγω σοὶ σήμερον · » εἶτα τὸ, « μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, » ἐπιφέροντες. Τινὲς δὲ οἱ μάλιστα ἐπιτυχεῖν δόξαντες, οὕτως ἐξηγοῦνται · Τὰ ἐπηγγελμένα ἡμῖν ἀγαθὰ οὐκ εἰς τὸν παράδεισον διαγωγή ἐστιν ἢ ἐπάνοδος (11), ἀλλ' ἡ βασιλεία τῶν οὐρανῶν · Ὅθεν καὶ προσευχόμεθα, « Ἐλθέτω ἡ βασιλεία σου, » οὐχ ἡ ἐπὶ τοῦ παραδείσου διατριβή. Μὴ γάρ μοι φαίη τις, ὅτι ταὐτὸν παράδεισος καὶ βασιλεία. Τὰ μὲν γὰρ ἀγαθὰ τῆς βασιλείας οὔτε οὖς ἤκουσεν, οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη ·

35 Hebr. II, 13. 36 Joan. III, 18. 37 Joan. V, 24. 38 Matth. VI, 10. 39 I Cor. II, 6. 40 Gen. II, 16.

Ex collatione codd. Venet. S Marci.

(11) Cod. 30, εἴσοδός ἐστιν ἢ ἐπάνοδος.

τὸν δὲ παράδεισον καὶ ὀφθαλμὸς εἶδε τοῦ Ἀδὰμ, καὶ A οὖς ἤκουσεν αὐτοῦ « ἀπὸ παντὸς γὰρ, φησὶ, ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγεῖ. » Κἂν γὰρ καὶ ἓν ξύλον ἀπείρητο αὐτῷ, ἀλλ' οὖν καὶ τοῦτο ἐθεᾶτο, καὶ περὶ αὐτοῦ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· ηὐφραίνετο γὰρ λογικῶς ὁ Ἀδάμ· οὐ γὰρ δήπου τοιαύτην ἐργασίαν καὶ εὐφροσύνην γεωργικὴν μετίει. Ὥστε οὐδὲν, φησὶ, ἐναντίον ὁ Παῦλος λέγει. Ὁ γὰρ λῃστὴς τοῦ μὲν παραδείσου τετύχηκε, τῆς δὲ βασιλείας οὐκ ἔτυχε· τεύξεται δὲ, ὅτε καὶ πάντες οὓς ἀπηριθμήσατο ὁ Παῦλος. Τέως δὲ πρὸς τὸ παρὸν τὸν παράδεισον ἔχει, ὅς ἐστι χωρίον πνευματικῆς ἀναπαύσεως. Ταῦτα μὲν οὖν πολλοὶ πολλάκις ἔφασαν· ἔστι δὲ εἰπεῖν, ὅτι εἰ καὶ ταυτόν ἐστι βασιλεία οὐρανῶν καὶ παράδεισος, οὐδὲν κωλύει καὶ B τὸν Κύριον ἀληθεύειν, καὶ τὸν Παῦλον. Ὁ γὰρ λῃστής ἐστι μὲν ἐν παραδείσῳ, ἤτοι τῇ βασιλείᾳ, καὶ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ πάντες οὓς ἀριθμεῖται ὁ Παῦλος· οὐ μέντοι ἀπήλαυσε τῆς τελείας τῶν ἀγαθῶν κληρουχίας. Ὥσπερ γὰρ οἱ κατάκριτοι ἐπὶ τῶν βασιλείων οὐκ εἰσὶν, ἀλλ' ἐν φρουραῖς ἀποκεκλεισμένοι τηροῦνται ταῖς ἀφωρισμέναις ποιναῖς· οἱ δὲ ἔντιμοι εἴς τε τὰ βασίλεια εἰσέρχονται, καὶ τέως ἐπὶ τούτων διάγουσιν· εἶτα ὅτε ὁ καιρὸς ἐπιστῇ τῆς διανομῆς τῶν βασιλικῶν δωρεῶν, ἀξιοῦνται τούτων· οὕτως καὶ οἱ ἅγιοι, εἰ καὶ μήπω τοῦ τελείου ἀπολαύουσιν, ἀλλά γε τέως ἐν τούτοις τοῖς φωτεινοῖς, καὶ εὐώδεσι, καὶ βασιλικοῖς, ἁπλῶς εἰπεῖν, σκηνώμασι διάγουσιν, εἰ καί μήπω τῆς διανομῆς τῶν βασιλικῶν δώρων ἀξιοῦνται τελείως. Οὕτως οὖν ὁ λῃστὴς καὶ ἐν παρα- C δείσῳ ἐγένετο, καὶ οὔπω τοῦ τελείου ἀπήλαυσεν, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῇ. Καὶ τοῦτο οἶμαι πάντων ἀληθέστερον, ἵνα μὴ λέγω ὅτι καὶ αἱ χάριτες τῶν ἁγίων ἐν ταῖς καθ' ἑκάστην θαυματουργίαις παράδεισος ἂν εἰκότως ῥηθεῖεν. Καὶ πάντες δὲ ὅσοι πνευματικῶν χαρισμάτων ἀξιωθέντες τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος ἐντεῦθεν ἤδη ἔλαβον, ἐν τῷ παραδείσῳ εἰσὶ, κἂν μήπω ἐτελειώθησαν, καὶ τὴν βασιλείαν παρέλαβον· καθάπερ φησὶ Παῦλος ἐν τῇ αὐτῇ πρὸς Ἑβραίους Ἐπιστολῇ· « Κἂν μήπω τὴν ἐπαγγελίαν ἐκομίσαντο. » Τῷ γὰρ τὴν ἐπαγγελίαν εἰπεῖν, τὸ ὁλόκληρον ἐνέφηνεν. Οὔπω οὖν τὴν τελείαν ἐπαγγελίαν ἐδέξαντο, εἰσὶ μέντοι καὶ ἐν τῇ βασιλείᾳ καὶ ἐν τῷ παραδείσῳ. Σὺ δέ μοι τοῦτο θαύμασον, ὅπως D ὥσπερ τις βασιλεὺς τροπαιοφόρος ἐπανιὼν ἐκ τῆς νίκης, τὰ κράτιστα τῶν λαφύρων μεθ' ἑαυτοῦ ἐπάγεται, οὕτω καὶ ὁ Κύριος τὸ κρεῖττον τῶν τοῦ διαβόλου λαφύρων σκυλεύσας, μεθ' ἑαυτοῦ ἄγει, ἐπανιὼν εἰς τὴν ἀρχαίαν πατρίδα τοῦ ἀνθρώπου, τὸν παράδεισόν φημι. Καὶ γὰρ οὐ μόνον καθὸ Θεὸς ἦν ἐν τῷ παραδείσῳ, ἀλλὰ καὶ καθὸ ἀνθρωπίνην ψυχὴν προσελάβετο λογικὴν καὶ νοερὰν, καὶ ἐν τῷ παραδείσῳ γέγονε μετὰ τοῦ νοὸς, καὶ εἰς ᾅδου κατῆλθε μετὰ ψυχῆς· καὶ διὰ τοῦ σῶσαι τὸν λῃστὴν, τὸ τῆς πονηρίας ὄργανον ἔδησεν, ὃ προέλεγεν ὅτι « Δήσας τὸν ἰσχυρὸν τὰ σκεύη αὐτοῦ διαρπάσει. »

A cor hominis ascendit : lætabatur enim in spiritu Adam, alioqui tantam operationem cum lætitia in agricultura non obivisset Atque ideo non est contrarium quod Paulus dicit. Latro itaque paradisum sortitus est, non autem assecutus est regnum : assequetur autem, quando et etiam omnes quos Paulus enumeravit : nunc autem hoc tempore paradisum habet, qui est pars spiritualis quietis. Hæc quidem multi sæpenumero dixerunt. Dicendum autem est idem esse regnum cœlorum et paradisum. Nihil prohibet ergo et Dominum vera dicere, et Paulum. Nam latro quidem est in paradiso, hoc est regno, et non solus ipse, sed etiam omnes quos enumerat Paulus. Atqui non fruitur perfecta bonorum B participatione. Nam sicut condemnati in regiis non sunt, sed in custodiis clausi tenentur in deputatis pœnis, honorabiles vero et in regias ingrediuntur, et nunc in eis versantur : deinde cum venerit tempus distributionis regalium donorum, illa assequuntur: ita et sancti tametsi nondum perfecte bonis fruantur, jam tamen versantur in locis lucidis et fragrantibus, et regiis denique tabernaculis, etiamsi nondum distributionem regiorum bonorum **488** perfecte assequantur. Ita et latro in paradiso fuit, etiamsi nondum quod perfectum est acceperit, ut ne absque nobis perfectus sit. Et hoc opinor verissimum omnium, ut ne dicam quod sanctorum gratiæ in quotidianis miraculorum operationibus paradisus merito dictus sit : et omnes C sancti quotquot participes facti sunt spiritualium donorum, et arrhabonem habent Spiritus, in paradiso sint, etiamsi nondum perfecti fuerint, et regnum acceperint, sicut dicit Paulus in Epistola ad Hebræos, etiamsi nondum promissionem acceperint [41]. Promissionem enim dicendo integram felicitatem declaravit. At illam nondum integram acceperunt, et sunt in regno ac paradiso. Tu autem admireris, quomodo sicut rex quidam tropæa ex victoria referens, spolia optima secum abducit, ita Dominus, quoniam fortior, vasa diaboli dirupit, secumque abstulit, et rediit ad primam hominis patriam, paradisum dico. Etenim Christus non solum sicut Deus in paradiso fuit, sed et secundum D quod animam rationalem et mentalem habuit. Et in paradiso cum mente fuit, in infernum autem descendit cum anima. Cæterum per hoc quod latronem servaverit, ostendit quod malitiæ organum ligaverit, uti prædixerat, quod cum alligasset fortem, vasa ejus diriperet [42].

« Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης· καὶ ἐσκοτίσθη ὁ ἥλιος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. Καὶ φωνήσας φωνῇ μεγάλῃ Ἰησοῦς, εἶπεν· Πάτερ, εἰς

VERS. 44-49. « Erat autem hora fere sexta, et tenebræ factæ sunt super totam terram usque ad horam nonam; obscuratus est sol, et velum templi scissum est medium. Et cum clamasset voce magna Jesus, ait:

[41] Hebr. XI, 39. [42] Matth. XII, 29.

Pater; in manus tuas commendo spiritum meum[48]. Et hæc cum dixisset, exspiravit. Cum vidisset autem centurio quod accidit, glorificavit Deum, dicens, Vere hic homo justus erat. Et omnes turbæ eorum qui simul accesserant ad spectaculum istud, et viderant quæ contingebant, percutientes pectora sua revertebantur. Stabant autem omnes noti ejus procul, et mulieres quæ secutæ eum erant a Galilæa, spectantes hæc, » Signum qærebant aliquando Judæi videre de cœlo. Ecce igitur signum rarum, tenebræ. Scinditur autem velum templi, ostendente Domino quod non ultra inaccessa erunt Sancta sanctorum, sed Romanis tradita profanabuntur Vel aliter ostendit quod velum quod divisit nos a sanctis in cœlo, scindatur, hoc est inimicitiæ et peccatum Hoc enim fuit magnum interstitium, quod nos ab illis qui ibi erant, distinguebat. Ostendit autem quod non propter impotentiam crucifixus sit. Nam qui talia fecit, etiam illos potuisset perdere et ab aspectu removere. Cum vero voce magna clamasset, emisit spiritum. Potestatem enim habebat animam suam ponere, et iterum accipere eam. Vox item illa centurioni et alia miracula fidei 480 fuerunt argumenta. Non enim sicut communis homo, sed cum magna potestate mortuus est. Et depositum mortem nominavit, tanquam iterum recepturus animam. Hac autem voce primum libertatem assecutæ sunt animæ nostræ, diabolo post hæc nullam in eas habente potestatem, utpote Patri commendatas. Ante mortem enim Christi magnum jus fuit diabolo in animas. A quo autem tempore Filius non inferno, sed paternis manibus commendavit spiritum, libertatem assecutæ sunt ab inferno. Et hoc quod dicit Dominus, « Quando exaltatus fuero, traham ad me omnia, » nunc videtur consummatum. Exaltatus enim in cruce, traxit latronem, traxit centurionem. Percusserunt autem et pectora Judæorum quidam, et crucifixores arguebant manifeste Jesum justificantes. Et discipuli quidem fugerunt: mulieres autem, condemnatum et maledictum genus, permanent ac spectant hæc omnia, et justificatione ac benedictione illa fruuntur primæ, sicut et resurrectione. Tu autem admirare cæcitatem Judæorum, quod dicunt, « Descendat de cruce, et credemus in eum: » cum visis majoribus non credant. Num enim æquale est, descendisse de cruce, et obtenebrari solem, petras rumpi, terræ motum horribilem fieri, mortuos resurgere, velum scindi, et universam creaturam alterari? Unde non est quod quis dubitet quare non descenderit. Satis enim habeat certum, quod licet etiam hoc fecisset, neque tunc credidissent, et nihil aliud secutum fuisset, quam abbreviatam salutem per crucem. Crux enim inter omnia maxima gloria Christi est. Igitur qui fecit majora, cum non crederent illi, duo præcipua operatus est: et magnum crucis tropæum usque ad finem sustinuit, et illos declaravit ingratos

A χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. Καὶ ταῦτα εἰπὼν, ἐξέπνευσεν. Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξασε τὸν Θεὸν λέγων· Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη, ὑπέστρεφον. Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας ὁρῶσαι ταῦτα. » Σημεῖον ἐπεζήτουν οἱ Ἰουδαῖοί ποτε ἰδεῖν ἐξ οὐρανοῦ. Ἰδοὺ γοῦν σημεῖον, τὸ ξένον τοῦτο σκότος· σχίζεται δὲ καὶ τὸ καταπέτασμα τοῦ ναοῦ, δεικνύντος τοῦ Κυρίου, ὅτι οὐκ ἔτι ἄβατα ἔσται τὰ Ἅγια τῶν ἁγίων, ἀλλὰ τοῖς Ῥωμαίοις παραδοθέντα, βάσιμα καὶ βέβηλα γενήσονται. Καὶ ἄλλως δὲ, δείκνυσιν ὅτι τὸ καταπέτασμα, ὃ διεῖρ-
B γεν ἡμᾶς ἀπὸ τῶν ἐν οὐρανοῖς ἁγίων, σχίζεται, ἥτοι ἡ ἔχθρα καὶ ἡ ἁμαρτία· τοῦτο γὰρ ἦν τὸ μέγα διάφραγμα τὸ διιστῶν ἡμᾶς ἐκεῖθεν. Δείκνυσι δὲ, ὅτι οὐ δι' ἀδυναμίαν ἐσταυρώθη· ὁ γὰρ ταῦτα ποιήσας, ἠδύνατο κἀκείνους διαῤῥῆξαι καὶ ἀφανίσαι. Φωνῇ δὲ μεγάλῃ κράξας, ἀφίησι τὸ πνεῦμα. Ἐξουσίαν γὰρ εἶχε τὴν ψυχὴν αὐτοῦ θεῖναι, καὶ πάλιν λαβεῖν αὐτήν. Καὶ ἡ φωνὴ αὕτη τῷ κεντυρίωνι καὶ τἄλλα θαύματα πίστεως πρόφασις ἐγένετο. Οὐ γὰρ ὡς κοινὸς ἄνθρωπος, ἀλλὰ δεσποτικῶς ἀπέθνησκε. Καὶ παραθήκην τὸν θάνατον ὠνόμασεν, ὡς πάλιν ληψόμενος τὴν ψυχήν. Ταύτῃ δὲ τῇ φωνῇ τῇ πρώτῃ ἐλευθερίας ἠξιώθησαν αἱ ψυχαὶ ἡμῶν, οὐκ ἔτι τοῦ διαβόλου ἔχοντος [ἰσχὺν κατ'] αὐτῶν, ἀλλὰ τῷ Πατρὶ παρατιθεμένων. Πρὸ
C γὰρ τοῦ θανάτου τοῦ Χριστοῦ μέγα δίκαιον ἦν τῷ διαβόλῳ κατὰ τῶν ψυχῶν· ἀφ' οὗ δὲ ὁ Υἱὸς οὐκ εἰς τὸν ᾅδην, ἀλλ' εἰς τὰς πατρικὰς χεῖρας παρέθηκε τὸ πνεῦμα, ἐλευθερίας ἔτυχον οἱ ἐξ ᾅδου. Ὅπερ δὲ εἶπεν ὁ Κύριος, ὅτι « Ὅταν ὑψωθῶ, πάντα ἑλκύσω πρὸς ἐμαυτὸν, » νῦν ὁρᾶται τελεσθέν. Ὑψωθεὶς γὰρ ἐφ' σταυροῦ, εἵλκυσε λῃστὴν, εἵλκυσεν ἑκατόνταρχον. Ἔτυπτον δὲ καὶ τὰ στήθη τῶν Ἰουδαίων τινὲς, καὶ τοῖς σταυρωταῖς ἐπιμεμφόμενοι, προδήλως τὸν Ἰησοῦν ἐδικαίουν. Οἱ μὲν οὖν μαθηταὶ ἔφυγον· αἱ γυναῖκες δὲ, τὸ κατάκριτον γένος καὶ ἐπάρατον, παραμένουσι, καὶ θεωροῦσι ταῦτα πάντα, καὶ τῆς ἐντεῦθεν δικαιώσεως καὶ εὐλογίας ἀπολαύουσι πρῶται, ὥσπερ οὖν καὶ τῆς ἀναστάσεως. Σὺ δέ μοι θαύμαζε τὴν πώρωσιν τῶν Ἰουδαίων. Οἱ γὰρ λέγοντες, ὅτι « Καταβάτω ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ, »
D τὰ μείζω ἰδόντες, οὐ πιστεύουσιν Οὐ γὰρ ἴσον ἦν καταβῆναι ἀπὸ τοῦ σταυροῦ, καὶ σκοτίσαι ἥλιον, πέτρας ῥῆξαι, σεισμὸν φοβερὸν ἐπισεῖσαι, νεκροὺς ἀναστῆσαι, καταπέτασμα σχίσαι, καὶ ὅλην τὴν κτίσιν ἀλλοιῶσαι; Ὥστε μηδεὶς ἔτι ἀπορείτω διατί οὐ κατέβη, ἀλλὰ ἀπεριέργως δεχέσθω ταῦτα, λογιζόμενος, ὅτι εἰ καὶ τοῦτο ἐποίησεν, οὐδ' οὕτως ἐπίστευσαν· καὶ οὐδὲν ἄλλο, ἢ ἡ διὰ τοῦ σταυροῦ σωτηρία ἐκολοβοῦτο. Ὁ γὰρ σταυρὸς δόξα Χριστοῦ, μάλιστα πάντων. Ποιήσας οὖν τὰ μείζω, μὴ πιστευσάντων ἐκείνων, δύο ἐν ταυτῷ κατώρθωσε, τόν τε σταυρὸν ἄχρι τέλους, τὸ μέγα τρόπαιον, ὑπέμεινέ τε καὶ ἀνε-

48 Psal. xxx, 6.

δέξατο · κἀκείνους ἔδειξεν ἀγνώμονας τὰ πάντα, καὶ μηδὲν ἀγαθὸν ἔχοντας, ἀλλὰ τῇ ἀπιστίᾳ συγκεκραμένους.

« Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι Ἰωσήφ, βουλευτὴς ὑπάρχων, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος (οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν), ἀπὸ Ἀριμαθαίας πόλεως τῶν Ἰουδαίων, ὃς προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ. Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ καθελὼν αὐτὸ, ἐνετύλιξεν αὐτὸ σινδόνι, καὶ ἔθηκεν αὐτὸ ἐν μνημείῳ λαξευτῷ, οὗ οὐκ ἦν οὐδέπω οὐδεὶς κείμενος. Καὶ ἡμέρα ἦν Παρασκευή, καὶ Σάββατον ἐπέφωσκε. Κατακολουθήσασαι δὲ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνῆμα, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ. Ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα. Καὶ τὸ μὲν Σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν. » Εἰ καὶ πρώην κρυπτόμενος ἦν Ἰωσήφ, ἀλλ' οὖν νῦν πρᾶγμα ἀξιέπαινον ποιεῖ, καίτοι βουλευτὴς ὑπάρχων καὶ πλούσιος, καὶ τολμᾷ ζητῆσαι σῶμα ἀνθρώπου, ὡς ἀντάρτου καὶ στασιαστοῦ σταυρωθέντος, καὶ οὐδένα κίνδυνον ὑπελογίσατο. Καίτοι δειλὸν ὁ πλοῦτος, ἀλλὰ καὶ αἰτεῖται, καὶ ἐντίμως θάπτει, καὶ ἐν μνημείῳ λαξευτῷ, ἔνθα οὐδεὶς ἄλλος κατέκειτο · ἵνα μὴ εἴπωσιν οἱ συκοφάνται, ὅτι ἕτερον σῶμα ἀνέστη. Αἱ δὲ γυναῖκες, εἰ καὶ πίστιν εἶχον πρὸς τὸν Κύριον, ἀλλ' οὐχ οἵαν ἔδει, ἀλλ' ἀσθενῆ καὶ μικράν. Ὡς γὰρ ψιλὸν ἄνθρωπον νομίζουσαι, μύρα τε καὶ ἀρώματα ἑτοιμάζουσι, κατὰ τὸ κρατῆσαν ἔθος παρὰ Ἰουδαίοις πάντως ἐπὶ τοῖς νεκροῖς. Καὶ τὸ μὲν Σάββατον ἡσυχάζουσι, κατὰ τὴν τοῦ νόμου ἐντολήν.

## ΚΕΦΑΛ. ΚΑ'.

Περὶ τῶν σκοπουμένων τὸν τάφον γυναικῶν. Περὶ τοῦ Πέτρου τρέχοντος πρὸς τὸν τάφον. Περὶ Κλεόπα. Περὶ τοῦ ὀφθέντος Ἰησοῦ. Περὶ τῆς ἀναβάσεως εἰς τὸν οὐρανόν.

« Τῇ δὲ μιᾷ τῶν Σαββάτων ὄρθρου βαθέος ἦλθον ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου · καὶ εἰσελθοῦσαι, οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐταῖς, ἐν ἐσθῆσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς · Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; Οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. Μνήσθητε, ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων, ὅτι Δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ · Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς · ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς, ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν

A esse per omnia, et nihil boni habere, sed incredulitate fermentatos et perditos.

VERS. 50-56. « Et ecce, vir nomine Joseph, decurio, qui erat vir bonus ac justus. Hic non consenserat consilio et facto eorum, oriundus ab Arimathæa civitate Judæorum, qui exspectetabat et ipse regnum Dei. Hic accessit ad Pilatum, et postulavit corpus Jesu, et depositum involvit sindone, et posuit illud in monumento, quod erat in lapide excisum in quo nondum quisquam positus fuerat. Et dies erat Parasceve, et Sabbatum illucescebat. Subsecutæ autem mulieres, quæ cum eo venerant de Galilæa, viderunt monumentum, et quemadmodum positum erat corpus ejus. Reversæ vero paraverunt B aromata et unguenta, ac sabbato quidem quieverunt secundum præceptum. » Joseph tametsi primo latuerit, rem tamen laude dignam nunc facit, quamvis consiliarius esset ac dives, et audet petere corpus hominis crucifixi quasi perduellis et seditiosi, 490 nullumque periculum suspicatur, licet periculum esset divitiarum: sed et petit, et honorifice sepelit, et in monumento exciso ubi nullus alius jacuerat, ut ne dicant sycophantæ quod aliud corpus surrexerit. Mulieres autem etsi fidem habebant erga Dominum, non tamen qualem oportebat, sed infirmam ac parvam. Habebant enim eum pro puro homine, unde et aromata et unguenta paraverant, juxta veterem Judæorum consuetudinem semper observatam de mortuis ungendis. Et sabbato C quidem quieverunt juxta mandatum legis.

## CAPUT XXIV.

*De invisentibus sepulcrum mulieribus. De Petro ad monumentum currente. De Cleopa. De apapparitione Jesu. De ascensione in cœlum,*

VERS. 1-12. « Una autem Sabbatorum, profundo crepusculo, venerunt ad monumementum, portantes quæ paraverant aromata, et nonnullæ cum illis. Repererunt autem lapidem revolutum a monumento: et ingressæ, non invenerunt corpus Domini Jesu. Et factum est, dum mente consternatæ essent de hoc, ecce duo viri steterunt juxta illas in vestibus fulgurantibus. Cum expavissent autem, et declina- D rent vultum in terram, dixerunt ad illas: Quid quæritis viventem cum mortuis? Non est hic, sed surrexit. Recordamini ut dixerit vobis, cum adhuc in Galilæa esset, dicens quod oportuerit Filium hominis tradi in manus hominum peccatorum, et crucifigi et die tertio resurgere. Et recordatæ sunt verborum ejus, et regressæ a monumento nuntiaverunt hæc omnia illis undecim, et cæteris omnibus. Erant autem Maria Magdalene, et Joanna, et Maria Jacobi, et cæteræ quæ cum eis erant, quæ dicebant ad apostolos hæc. Et visa sunt apud illos ceu deliramentum verba illarum, neque crediderunt illis. Petrus autem surgens cucurrit ad monumentum, et prospiciens videt linteamina sola posita, et abiit apud semetipsum admirans quod acciderat. »

Unam Sabbatorum, primam dierum Sabbati, hoc est, hebdomade dierum nominat, quæ apud nos propter resurrectionem Domini, Dominica dicitur. In illa igitur venerunt ad monumentum mulieres ferentes aromata. « Venerunt autem crepusculo profundo, » quod vespere Sabbatorum nominat Matthæus [44]. Profundum enim crepusculum idem est quod valde vespere. « Invenerunt autem lapidem devolutum. » Angelus enim devolverat eum, ut Matthæus ait. Porro ingressis illis duo viri apparent unus quidem apud Matthæum sedebat super lapidem, hi autem duo viri intra monumentum steterunt. Variæ enim visiones sunt. Fulgurantibus 491 autem vestibus apparent, ob splendorem resurrectionis. Et recordari illa faciunt eorum, quæ a Christo dicta fuerunt, quod eum oportuerit, hoc est necessarium fuerit, tradi in manus hominum peccatorum, Romanorum scilicet, qui Gentiles erant abominabiles : et tertia die resurgere. De resurrectione, quomodo trium fuerit dierum, satis diximus in Evangelio Matthæi. Reversæ vero a sepulcro, cum apostolis hæc dicerent, visæ sunt delirare: adeo incredibile videbatur hominibus resurrectionis miraculum. At Petrus non cessat quemadmodum neque ignis materiam nactus: sed venit ad sepulturam, et videt sola lintea : et tunc hanc utilitatem primum accipit a transitu ad sepulcrum. «Admirans, » hoc est, subsannans. Abiit enim, inquit, ad seipsum, hoc est, « secum admirans factum : » quomodo autem sudaria sola fuerint relicta, idque corpore myrrha inuncto? Quomodo tantum otii habuisset fur, ut relictis illis in quæ involutum erat,, furatus fuisset corpus, idque militibus prope sedentibus? Mariam vero Jacobi, Deiparam intellige. Sic enim illam nominabant, quia putabatur mater Jacobi, filii Joseph, quem et parvum dicebant, fratrem Domini inquam. Erat enim et magnus unus ex duodecim ille Zebedæi.

VERS. 13-24. «Et ecce duo ex illis ibant eodem die in castellum quod aberat spatio stadiorum sexaginta ab Hierosolymis, nomine Emmaus; et ipsi confabulabantur inter se de his omnibus quæ acciderant et factum est dum confabularentur ac disputarent, et ipse Jesus appropinquans ibat una cum illis. Cæterum oculi illorum tenebantur ne eum agnoscerent. Et ait ad illos ; Qui sunt hi sermones quos confertis inter vos ambulantes, et estis tristes? Ac respondens unus, cui nomen Cleophas, dixit ei, Tu solus peregrinus es Jerosolymis, neque cognovisti quæ facta sunt illic his diebus? Quibus ille dixit, Quæ? Et dixerunt ei, De Jesu Nazareno, qui fuit vir propheta, potens opere et sermone coram Deo et toto populo : et quomodo eum tradiderunt summi sacerdotes et principes nostri in condemnationem mortis, et crucifixerunt eum. Nos autem sperabamus eum esse illum qui

[44] Matth. XXVIII, 2.

A θαυμάζων τὸ γεγονός. » Μίαν τῶν Σαββάτων, τὴν πρώτην τῶν τοῦ Σαββάτου, ἤτοι τῆς ἑβδομάδος ἡμερῶν ὀνομάζει, ὅπερ ἐστὶ, τὴν παρ' ἡμῖν ἐκ τῆς τοῦ Κυρίου ἀναστάσεως ὀνομαζομένην Κυριακήν. Κατ' αὐτὴν οὖν ἦλθον ἐπὶ τὸ μνῆμα αἱ γυναῖκες, φέρουσαι ἀρώματα. Ἦλθον δὲ ὄρθρου βαθέος, ὃ ὁ Ματθαῖος, « Ὀψὲ Σαββάτων, » φησί· ὁ γὰρ βαθὺς ὄρθρος εἰς ταυτὸν φέρει τῷ λίαν ὀψέ. « Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον· » ἄγγελος γὰρ ἀπεκύλισεν αὐτὸν, ὡς ὁ Ματθαῖος φησιν. Εἰσελθούσαις δὲ αὐταῖς δύο ἄνδρες φαίνονται. Ὁ μὲν γὰρ ὁ ἐν τῷ Ματθαίῳ ἐπεκάθητο τῷ λίθῳ, οὗτοι δὲ οἱ δύο ἄνδρες ἔσωθεν τοῦ μνημείου ἐφίστανται· διάφοροι γὰρ αἱ ὀπτασίαι· λευχείμονες δὲ φαίνονται, διὰ τὸ λαμπρὸν τῆς ἀνα-
B στάσεως. Καὶ ἀναμιμνήσκουσιν αὐτὰς τῶν παρ' ἐκείνου ῥηθέντων, ὅτι δεῖ, τουτέστιν, ἀναγκαῖόν ἐστι, παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, τῶν Ῥωμαίων δηλαδὴ, ὡς ἐθνικῶν ὄντων καὶ βδελυκτῶν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Εἴπομεν περὶ τῆς ἀναστάσεως, πῶς ἐστι τριήμερος, ἱκανῶς ἐν τῷ κατὰ Ματθαῖον. Ὑποστρέψασαι δὲ ἀπὸ τοῦ μνημείου, καὶ τοῖς ἀποστόλοις ταῦτα λέξασαι, ληρεῖν ἔδοξαν· οὕτως ἄπιστον φύσει τοῖς ἀνθρώποις δοκεῖ τὸ τῆς ἀναστάσεως θαῦμα. Ὁ μέντοι Πέτρος οὐκ ἀργεῖ, ὥσπερ οὐδὲ τὸ πῦρ ὕλης λαβόμενον, ἀλλ' ἔρχεται ἐπὶ τὸ μνῆμα, καὶ βλέπει μόνα τὰ ὀθόνια. Καὶ τέως τοῦτο ὠφελεῖται πρῶτον ἀπὸ τῆς πρὸς τὸ μνῆμα ἀφίξεως, τὸ θαυμάζειν, ἀντὶ τοῦ,
C χλευάζειν. « Ἀπῆλθε γὰρ, φησὶ, πρὸς ἑαυτὸν, » τουτέστι, καθ' ἑαυτὸν, « θαυμάζων τὸ γεγονός. » Πῶς γὰρ τὰ ὀθόνια μόνα κατελείφθησαν, καὶ ταῦτα σμύρνῃ ἀλειμμένου τοῦ σώματος; πόσην δ' ἂν εἶχε σχολὴν ὁ κλέπτης, ὥστε ταῦτα ἰδίᾳ ἐντετυλιγμένα ἀφεὶς, τὸ σῶμα ἐκφορῆσαι, καὶ ταῦτα, στρατιωτῶν παρακαθημένων; Μαρίαν δὲ Ἰακώβου, τὴν Θεοτόκον νόει· οὕτως γὰρ αὐτὴν ὠνόμαζον, ὡς μητέρα δοκοῦσαν Ἰακώβου τοῦ υἱοῦ Ἰωσὴφ, ὃν καὶ μικρὸν ἔλεγον, τὸν ἀδελφόθεόν φημι· ἦν γὰρ καὶ μέγας ὁ εἷς τῶν δώδεκα, ὁ τοῦ Ζεβεδαίου.

« Καὶ ἰδοὺ δύο ἦσαν ἐξ αὐτῶν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαούς. Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν
D συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς. Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο, τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; Καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ, ὅπως σε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα

θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. Ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. Ἀλλά γε σὺν πᾶσι τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον· καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῇν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτως, καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον. » Τινὲς τὸν ἕνα τούτων τῶν δύο αὐτὸν τὸν Λουκᾶν εἶναί φασι· διὸ καὶ ἀπέκρυψε τὸ ἑαυτοῦ ὄνομα ὁ εὐαγγελιστής. Ὡμίλουν δὲ πρὸς ἀλλήλους οὗτοι περὶ πάντων τῶν συμβεβηκότων, οὐχ ὡς πιστεύοντες, ἀλλ' ὡς διαποροῦντες, καὶ ὡς ἐπὶ πράγμασιν ἐξαισίοις ἐξιστάμενοι, καὶ τῷ παραδόξῳ μὴ ῥᾳδίως ἔχοντες συνθέσθαι. Ὁ δὲ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς. Πνευματικὸν γὰρ καὶ θειότερον ἔχων τὸ σῶμα λοιπὸν, οὐκ ἐκωλύετο τόπων διαστήματι πρός τὸ μὴ οὐχ οἷς βούλεται παρεῖναι. Διὸ οὐδὲ ἀπὸ τῶν χαρακτήρων τοῦ σώματος, ἐν οἷς ἐφαίνετο τότε ὁ Σωτὴρ, συνεχωροῦντο γνῶναι αὐτόν. Ὡς γὰρ ὁ Μάρκος φησὶν, ἐν ἑτέρᾳ ἐφαίνετο μορφῇ, καὶ ἐν ἄλλοις χαρακτῆρσιν. Οὐκέτι γὰρ φυσικοῖς νόμοις ᾠκονόμει τὸ σῶμα, ἀλλ' ὑπὲρ φύσιν καὶ πνευματικῶς· ἔνθεν τοι οἱ ὀφθαλμοὶ ἐκείνων ἐκρατοῦντο, τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Διατί δὲ ἐν ἑτέρᾳ μορφῇ ἐφάνη, καὶ ἐκρατοῦντο οἱ ὀφθαλμοὶ αὐτῶν; Ἵνα πᾶσαν τὴν διστάζουσαν αὐτῶν γνώμην ἀνακαλύψωσιν, ἵνα τὸ ἕλκος ἀπογυμνώσωσιν, εἶθ' οὕτως τὸ φάρμακον ἐπιδέξωνται· ἵνα γλυκὺς αὐτοῖς φανῇ μετὰ τὴν πολλὴν τριβήν· ἵνα διδάξῃ ἀπὸ Μωσέως καὶ τῶν προφητῶν, καὶ τότε ἐπιγνωσθῇ, καὶ μᾶλλον πιστεύσωσιν, ὅτι οὐκ ἔτι τὸ σῶμα αὐτοῦ τοιοῦτόν ἐστιν, οἷον ἁπλῶς πᾶσι θεωρητὸν εἶναι, ἀλλ' εἰ καὶ αὐτὸ τὸ παθὸν ἀνέστη, ὅμως οἷς βούλεται φαίνεται· κερδάνωσί τε ἐκ τούτου μέγα τι, τὸ μηκέτι διαπορεῖσθαι, τίνος ἕνεκεν οὐ πάλιν ἐν μέσοις τοῖς δήμοις ἀναστρέφεται, λογιζόμενοι ὅτι ἡ μετὰ τὴν ἀνάστασιν αὐτοῦ διαγωγὴ ἀλλοιοτέρα ἐστὶ, καὶ οὐ κοινὴ, οὐδὲ ἀνθρωποπρεπὴς, ἀλλὰ θειοτέρα· 8 καὶ τῆς μελλούσης ἀναστάσεως τύπος, ἐν ᾗ ὡς ἄγγελοι διαξόμεν καὶ υἱοὶ Θεοῦ. Διὰ ταῦτα τοίνυν ἐκρατοῦντο οἱ ὀφθαλμοὶ αὐτῶν, τοῦ μὴ ἐπιγνῶναι αὐτόν· οἷς γὰρ ἤθελεν, ἑωρᾶτο. Ὁ δὲ Κλεόπας καὶ ὀνειδίζει αὐτῷ τῷ φαινομένῳ συνοδοιπόρῳ. « Σὺ μόνος, φησί, παροικεῖς; » ἀντὶ τοῦ, Σὺ μόνος ἐκ τῶν κατοίκων τῆς Ἱερουσαλὴμ οὐκ ἔγνως τὰ γενόμενα; Ἄλλοι δὲ τὸ, « παροικεῖς, » οὕτως ἐνόησαν· Σύ, φησὶν, οὕτω μόνος παροικεῖς, καὶ ἔξω τῶν ὁρίων τῆς Ἱερουσαλὴμ ᾠκισμένος εἶ, καὶ ἀμέτοχος τῶν ἐν μέσῳ πραττομένων, ὡς μὴ ταῦτα γινώσκειν; Ὅρα δὲ, πῶς μικρὰν πάντη περὶ τοῦ Κυρίου ὑπόληψιν εἶχον· ἄνδρα γὰρ προφήτην αὐτὸν ὠνόμαζον, οἷον Ἠλίαν, Ἰησοῦν τὸν τοῦ Ναυῆ, ἢ καὶ Μωσέα εἰπεῖν· δυνατὸν ἐν ἔργῳ καὶ λόγῳ· πρῶτον τὸ ἔργον, εἶτα ὁ λόγος. Οὐδεὶς γὰρ λόγος βέβαιος διδασκαλικὸς, εἰ μὴ πρότερον ὁ διδάσκων ἐργάτην ἑαυτὸν ἐκφαίνοι. Δυνατὸς οὖν ἴσθι ἐν ἔργῳ πρῶτον, εἶτα

A redempturus esset Israel. Atqui super hæc omnia tertius dies est hodie quod hæc facta sunt. Sed et mulieres quædam ex nobis attonitos reddidere nos, quæ diliculo pervenerunt ad monumentum: et non invento corpore ejus, venerunt dicentes se etiam visionem angelorum vidisse, qui decerent eum vivere. Et abierunt quidam eorum qui erant nobiscum ad monumentum, et ita reperunt, sicut mulieres dixerant; ipsum vero non viderunt. » Nonnulli unum ex duobus illis Lucam ipsum fuisse dicunt: idcirco et abscondit nomen suum Evangelista. Loquebantur autem inter se isti **492** de omnibus quæ acciderant, non ut credentes, sed ut dubitantes, et de rebus mirabilibus stupescentes, nec statim rei tam admirandæ sententia sua acce-
B dentes. Jesus autem cum appropinquasset, simul ivit cum eis. Spirituale et divinum corpus tunc habens, non impediebatur locorum intervallis, quo minus adesset his quibus volebat. Idcirco ex lineamentis corporis, in quibus tunc apparebat, non permittebantur agnoscere illum. Nam, sicut Marcus inquit, in alia forma apparuit, et in aliis lineamentis. Non ultra enim naturalibus legibus regebat corpus, sed spiritualiter, et super naturam: unde oculi illorum tenebantur ne agnoscerent eum. Quare autem in altera forma apparuit, et tenebantur oculi eorum? Nempe ut ambiguam sententiam revelarent, ut ulcus detegerent, ac pharmacum susciperent, ut dulcior eis post multam moram esset: ut doceret ex Mose et prophetis, ac tunc agnosceretur, et magis credant quod corpus suum ultra non sit tale ut simpliciter possit ab omnibus videri.
C Quamvis illi ipsum quod passum est, surrexerit: attamen quibus vult, apparet. Magnum autem quiddam ex hoc lucrifaciant, quod non ultra dubitant, quare non iterum in mediis populis versetur, considerantes quod conversatio post resurrectionem suam longe alia sit, et non communis: non qualis hominum, sed divinior, in typum futuræ resurrectionis, in qua sicut angeli et filii Dei versabimur. Propter hoc igitur tenebantur oculi eorum ne agnoscerent eum: a quibus enim volebat, videbatur. Cleophas vero comiti itineris, ut apparebat, objicit: « Tu solus, » inquiens, « peregrinus es, » hoc est, tu solus ex his qui habitant in Jerusalem, ignoras quæ facta sunt? Alii autem, « peregrinus
D es, » sic intelligunt: Tu, inquit, solus peregrinus, et extra fines Jerusalem domicilium habens, non es particeps eorum quæ in media Jerusalem contigerunt, ut hæc ignores? Vide autem quomodo parvam omnino de Domino opinionem habebant. Virum enim prophetam eum nominabant, qualis Elias fuerat, vel Jesus Nave, vel Moses. Potentem in opere et sermone. Primum opus, et deinde sermo. Nullus enim sermo doctoris firmus est, nisi prius docens se factorem declaret. Potens igitur esto primum in opere, deinde et verbi sollicitudinem habeto. Sic et Deus cooperabitur tibi. Prius enim opus, at deinde contemplatio ac illustratio. Nisi

speculum purificaveris in labore et sudore, neutiquam concupitam pulchritudinem in speculo suspicies. «Beati enim mundo corde [45], » [hoc fit per opera] « quia ipsi Deum videbunt : » hic contemplationis est finis. Oportet autem esse potentem in opere et sermone coram Deo, et tunc coram omni populo. Prius enim placere 493 debemus Deo, deinde danda opera ut etiam inter nos sine macula vivamus quantum fieri potest : et neque in primis quomodo hominibus placeas, sed quomodo servias Deo, studendum : neque vivendum ut multis sis scandalo, sed et hoc post illud providendum, quod et Sapiens dicit:« Provide bona coram Deo, deinde et coram hominibus [46]. » Et Paulus istuc ipsum dicit. « Nos autem sperabamus, inquit, quod ipse esset redempturus Israel. Quasi frustrati spe dicunt: Nos sperabamus quod ipse et alios salvaturus esset : ecce neque seipsum servavit. Adeo molli erant animo et parum fidenti. Et prope eadem dicebant quæ illi in cruce : Alios servavit, seipsum non potest servare. Ideo et insipientes eos vocat, et tardos ad credendum. Quid autem est redimi Israel? Diximus quod Christum exspectabant vulgares et minus exercitati salvatorem et redemptorem a malis quæ eis imminebant, et a jugo servitutis Romanorum, sperabantque eum regnaturum ut regem terrenum: ideo et dicunt, « Nos sperabamus quod ipse redempturus esset Israel. » videlicet a gentilibus Romanis, et ipse neque injustam sententiam contra se latam effugit. «Et hodie tertius dies est, et mulieres terruerunt nos, » et cætera. Hæc quasi dubitantes dicunt : et videntur mihi viri in valde ambigua esse sententia, et neque valde discredere, neque recte credere. Etenim dicendo : « Sparabamus quod redempturus esset Israel, » incredulitatem indicant : quod autem dicant esse diem tertium, hominum est qui prope recordentur quod dixerit eis : « Die tertia resurgam.» Et quod dicit, «Exterruerunt nos, » hoc signat, quod incredulitas eorum concutiatur. Et omnino si considerentur sermones, humani sunt, et magnam dubitationem habent, et hominum perplexorum et ignorantium quid agant propter resurrectionis miraculum. « Abierunt autem, » inquit, « quidam ex his qui sunt nobiscum : » vel Petrum solum dicit, vel Petrum et Joannem. Et hinc manifestum quod quæ alii late dicunt, alii compendio tradunt, et transcursu transeunt. Ambitionem enim Petri et Joannis ad sepulcrum, Joannes pluribus complexus est, hic autem paucis mentionem faciens, etiam nomina præteriit.

A καὶ τὸν λόγον σπούδαζε ἔχειν. Οὕτω καὶ ὁ Θεὸς συνεργήσει σοι. Πρότερον γὰρ ἡ πρᾶξις, εἶτα θεωρία καὶ ἔλλαμψις. Εἰ μὴ τὸ κάτοπτρον καθαρίσεις ἐν πόνῳ καὶ ἱδρῶτι, οὐκ ἂν τὸ ποθούμενον κάλλος κατοπτρίσῃς. « Μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ, » τοῦτο διὰ τῶν ἔργων· « ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, » τοῦτο τῆς θεωρίας τὸ τέλος. Δεῖ δὲ εἶναι δυνατὸν ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ, καὶ τότε ἐναντίον παντὸς τοῦ λαοῦ. Πρῶτον γὰρ ἀρεστέον Θεῷ, εἶτα καὶ τὸ ἀμώμητον σπουδαστέον πρὸς ἀνθρώπους, ὡς ἂν ἐγχωρῇ· καὶ μήτε τὴν ἀνθρωπαρέσκειαν προτιμητέον, ἀλλὰ τὴν θεοσέβειαν· μήτε πρὸς τὸ σκάνδαλον τῶν πολλῶν βιωτέον, ἀλλὰ καὶ τούτου μετ' ἐκείνους προνοητέον·
B ὁ καὶ Σοφός φησι· « Προνοοῦ καλὰ ἐνώπιον Θεοῦ, εἶτα καὶ ἀνθρώπων· » καὶ Παῦλος τοῦτο αὐτό. « Ἡμεῖς δὲ ἠλπίζομεν, φησίν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. » Ὡσπερεὶ διαψευσθέντες τῶν ἐλπίδων, οὕτω φασίν· Ἡμεῖς ἠλπίζομεν ὅτι αὐτὸς καὶ ἄλλους σώσει, καὶ ἰδοὺ οὐδὲ ἑαυτὸν ἔσωσεν· οὕτως ἀγεννῶς καὶ ἀπίστως εἶχον. Μονονουχὶ γὰρ ἐκεῖνα ἔλεγον, ἃ καὶ οἱ ἐπὶ τοῦ σταυροῦ. « Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· » Διὸ καὶ ἀνοήτους αὐτοὺς ἀποκαλεῖ, καὶ βραδεῖς τοῦ πιστεύειν· τί δέ ἐστι τοῦτο τὸ, « Λυτροῦσθαι τὸν Ἰσραήλ ; » Διαφόρως εἴπομεν, ὅτι τὸν Χριστὸν προσεδόκων οἱ τοῦ λαοῦ, καὶ μὴ ἀκριβέστεροι, σωτῆρα
C καὶ λυτρωτὴν τῶν ἐπικειμένων αὐτοῖς κακῶν, καὶ τοῦ ζυγοῦ τῆς δουλείας τῆς ὑπὸ Ῥωμαίων· καὶ βασιλεύσειν δὲ αὐτὸν ἐπίγειον βασιλείαν ἤλπιζον· διὸ καί φασιν, ὅτι Ἡμεῖς ἠλπίζομεν, ὅτι καὶ τὸν Ἰσραὴλ ἀπὸ τῶν ἐθνικῶν Ῥωμαίων αὐτὸς λυτρώσεται, καὶ οὗτος οὐδὲ τὴν ἄδικον ἐπ' αὐτῷ ψῆφον ἐξέφυγε. « Καὶ μὴν καὶ τρίτην ἡμέραν ἄγει σήμερον, καὶ γυναῖκες ἐξέστησαν ἡμᾶς, » καὶ τὰ ἑξῆς. Ταῦτα ὡσπερεὶ διαποροῦντές φασι· καὶ ἐοίκασί μοι οἱ ἄνδρες ἐν πολλῇ ἀμφιγνωμοσύνῃ εἶναι, καὶ μήτε σφόδρα ἀπιστεῖν, μήτε σφόδρα πιστεύειν. Τὸ μὲν γὰρ εἰπεῖν, ὅτι Ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ λυτρωσόμενος τὸν Ἰσραήλ, ἀπιστίαν ἐνδείκνυται· τὸ δὲ λέγειν, ὅτι Τρίτην ταύτην ἡμέραν ἄγει, ἀνθρώπων ἐστὶν ἐγγὺς ὄντων τοῦ ἀναμιμνήσκεσθαι, ὅτι εἶπεν αὐτοῖς· « Τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσομαι. » Καὶ
D τὸ, « Ἐξέστησαν ἡμᾶς, » τοιοῦτόν τι ἐμφαίνει, φημὶ δὴ τὸ τὴν ἀπιστίαν αὐτῶν ὑποσαλεύεσθαι. Ὅλως δὲ σκοπούμενοι οἱ λόγοι, ἀνθρώπινοι τῷ ὄντι εἰσί, καὶ πολὺν τὸν δισταγμὸν ἔχοντες, καὶ οἷον ἐπαπορουμένων καὶ ἀμηχανούντων διὰ τὸ τῆς ἀναστάσεως ἐξαίσιον. « Ἀπῆλθον δὲ, φασί, τινὲς τῶν σὺν ἡμῖν. » Ἢ τὸν Πέτρον μόνον φησίν, ἢ τὸν Πέτρον καὶ Ἰωάννην. Κἀντεῦθεν δῆλον, ὅτι ἃ πλατέως ἕτεροι λέγουσιν, ἄλλοι συντόμως καὶ ἐπιδρομάδην διέρχονται. Ὥσπερ οὖν καὶ τὴν ἐπὶ τὸ μνημεῖον ἄφιξιν Πέτρου καὶ Ἰωάννου, ὁ μὲν Ἰωάννης πλατύτερον διεξῆλθεν, οὗτος δὲ, ὀλίγων ἐπιμνησθεὶς, ἀνωνύμως παρῆλθεν.

VERS. 25-35. « Et ipse dixit ad eos : O stulti et tardi corde ad credendum in omnibus quæ locuti sunt prophetæ! Nonne hæc oportuit pati Christum, et intrare in gloriam suam? Et exorsus a Mose et

« Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ προφῆται, οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ ; Καὶ

[45] Matth. v, 8. [46] II Cor. VIII, 21.

ἀρξάμενος ἀπὸ Μωσέως, καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ. Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ πορεύοντο. Καὶ αὐτὸς προσεποιεῖτο πορρώτερω πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτὸν, λέγοντες· Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστί, καὶ κέκλικεν ἡ ἡμέρα· καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτὸν, καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς λέγοντας, ὅτι Ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι· καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.» Ἐπειδὴ ἀνθρωπίνως τὰς γνώμας διέκειντο, καὶ πολὺν τὸν δισταγμὸν ἐνόσουν, ἀνοήτους αὐτούς ἀποκαλεῖ καὶ βραδεῖς, ὥστε πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται· ἔστι γὰρ πιστεύειν καὶ μερικῶς καὶ καθόλου. Οἷον, ἐάν τις τὸν Χριστὸν ἐπὶ σωτηρίᾳ τοῦ λαοῦ ἐλπίζει ἔσεσθαι, οὐ μέντοι γε ψυχῶν σωτηρίᾳ, ἀλλ' ἀποκαταστάσει τοῦ ἔθνους τοῦ Ἰουδαϊκοῦ καὶ ἀπολυτρώσει, ὁ τοιοῦτος οὐχ ὅσον δεῖ πιστεύειν, πιστεύει. Καὶ αὖθις, εἰ πιστεύει μὲν τῷ Δαυὶδ λέγοντι, «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου,» καὶ τὰ λοιπὰ ὅσα περὶ τοῦ σταυροῦ καὶ τῶν ἐν τῷ σταυρῷ ὡς ἐκ προσώπου τοῦ Κυρίου προφητεύει, καὶ δέχεται τὰ περὶ τοῦ πάθους, τὰ δὲ περὶ τῆς ἀναστάσεως οὐ λογίζεται, οἷον τὸ, «Οὐ δώσεις τὸν Ὅσιόν σου ἰδεῖν διαφθοράν,» καὶ τὸ, «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην,» καὶ τὸ, «Ἐν νεκροῖς ἐλεύθερος,» καὶ τὸ, «Ἐξάγων πεπεδημένους, καὶ τοὺς κατοικοῦντας ἐν τάφοις,» καὶ τὰ τοιαῦτα· οὐ τελείαν πίστιν ἔχει, ἀλλ' ἐκ μέρους. Δεῖ δὲ ἐπὶ πᾶσι τοῖς τε τῆς ἀτιμίας, τοῖς τε τῆς δόξης πιστεύειν τοῖς προφήταις. Ἔδει γὰρ τὸν Χριστὸν παθεῖν· τοῦτο τῆς ἀτιμίας· ἀλλὰ καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ· τοῦτο τὸ ἔνδοξον. Ὑμεῖς δὲ οὕτως ἀνόητοί ἐστε, ὥστε Ἠσαΐου ἀκούοντες λέγοντος ἀμφότερα, ὅτι τε εἰς σφαγὴν ἤχθη, καὶ ὅτι Κύριος βούλεται δεῖξαι αὐτῷ φῶς, ἐκεῖνο μὲν δέχεσθε, τοῦτο δὲ μὴ λογίζεσθε· καὶ ὅτι μὲν μεμώλωπισται, πιστεύειν· ὅτι δὲ Κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, μὴ προσεννοεῖν. Ἀλλ' ἐπεὶ, φησὶν, ὑμεῖς ἀνόητοι, ἤτοι βραδεῖς· εἰ γὰρ ἀνόητοι ἦσαν, οὐδ' ἂν οὐδ' αὐτὸς ἐλάλει αὐτοῖς· ἐπεὶ οὖν βραδεῖς ὑμεῖς ἐστε, ἐγὼ διαβαστάσω τὴν ὑμῶν διάνοιαν, καὶ νοεῖν ὀξέως ποιήσω. Διὸ καὶ ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευεν αὐτοῖς· τό τε γὰρ τῆς Ἀβραὰμ θυσίας μυστήριον, ὅτι Ἰσαὰκ ἀφεθέντος, κριὸς ἐτύθη, ταῦτα τὰ κατὰ τὸν Κύριον προετύπου, ὡς καὶ αὐτὸς ὁ Κύριός φησιν, ἰδεῖν τὸν

A omnibus prophetis, interpretabatur illis in omnibus Scripturis quæ de ipso erant. Et appropinquaverunt castello quo ibant. Et ipse præ se ferebat se longius ire. Et coegerunt illum, dicentes: Mane nobiscum, quoniam vergit ad vesperam, et inclinatus est dies. Et intravit ut maneret cum illis. Et factum est dum accumberet **494** cum eis, accepit panem et benedixit ac fregit, et porrigebat illis. Et aperti sunt oculi eorum, et agnoverunt eum, et ipse evanuit a conspectu eorum. Et dixerunt inter se: Nonne cor nostrum ardebat in nobis dum loqueretur nobis in via, et aperiret nobis scripturas? Et surgentes eadem hora, regressi sunt in Hierosolyma et invenerunt congregatos undecim, et eos qui cum illis B erant, dicentes: Surrexit Dominus vere, et apparuit Simoni. Et ipsi narrabant quæ gesta erant in via, et quomodo fuisset agnitus sibi ex fractione panis.» Quoniam mente humano more affecti erant, multaque dubitatione laborabant, stultos vocat et tardos ad credendum in omnibus quæ locuti fuerant prophetæ. Credere enim possumus et ex parte, et in totum: ut si quis speret Christum in salutem populi venturum, non in salutem animarum, sed restitutionem et liberationem populi Judaici, is non quantum oportet credere, credit. Et rursus si quis credat Davidi dicenti: «Foderunt manus meas et pedes meos[47],» et cætera quæ de cruce et aliis quæ in cruce facta sunt, tanquam ex persona Domini prædicta, et recipit ea quæ de passione dicuntur, C ea autem quæ de resurrectione, non curat, uti est hoc, «Non dabis Sanctum tuum videre corruptionem[48].» Et illud, «Non derelinques animam meam in inferno[49].» Et iterum, «Inter mortuos liber[50].» «Et illud, «Educens vinctos et habitantes in sepulcris[51],» et similia: non habet perfectam fidem, sed ex parte. Oportet autem in omnibus tam his quæ gloriæ sunt, quam quæ ignominiæ, credere prophetis. Oportebat enim et Christum pati, quod est ignominiæ: et intrare in gloriam suam, quod est gloriæ. Vos autem sic stulti estis, ut cum Isaiam utraque dicentem audiatis, et quod ad occisionem ductus sit, et quod Dominus velit ei ostendere lumen[52], illud quidem recipitis, hoc autem respuitis. Et quod vulneratus quidem sit, creditis quod au- D tem Dominus velit eum purificare a plaga, animo non perpenditis. Sed quod dicit: Vos stulti estis, signat, Tardi estis; nam si stulti fuissent, neque ipse eis fuisset locutus. At quia tardi estis vos, ego mentem vestram acutius videre faciam. Unde et a Mose et ab omnibus prophetis interpretatur eis, nempe mysterium sacrificii Abrahæ, quando dimisso Isaac, aries immolatus est[53]. Hæc enim res dominicas præfigurabat. Sicut etiam ipse Dominus dicit vidisse Abraham diem suum, et exsultasse[54]. Et illud: «Videbitis vitam nostram pendentem[55]:» in quo et crucifixionem significat, pendentem di-

[47] Psal. XXI, 17. [48] Psal. XV, 10. [49] Ibid. [50] Psal. LXXXVII, 6. [51] Psal. LXVII, 7. [52] Isa. LIII, 7. [53] Gen. XXII, 13. [54] Joan. VIII, 56. [55] Deut. XXVIII, 66.

cendo : et resurrectionem, vitam nostram nomi- A nando. In reliquis autem prophetis sparsim sita sunt quæ de cruce et resurrectione dicuntur, præsertim in clarioribus. Et possent ex illis ea 495 recenseri. At tu, quæso, attendas quomodo per afflictionem eatur in gloriam Dei. Simulat autem se longius iturum, juxta humanam naturam. Et quando permittit, tunc aperiuntur oculi eorum, et agnoscunt eum. Insinuatur autem et aliud quiddam, nempe quod oculi eorum qui benedictum panem assumunt, aperiuntur ut agnoscant illum. Magnam enim et indicibilem vim habet caro Domini. Evanuit autem ab eis; neque enim adhuc habebat corpus quod multum corporali modo cum eis conversaretur, ut B ex hoc illorum cresceret desiderium. Nam ita exhilarati fuerunt, ut illa ipsa hora surgerent, et reverterentur in Jerusalem: non eadem quidem hora, sed surrexerunt quidem hora illa, reversi autem sunt post complures, secundum quod verisimile est iter fecisse euntes spatium saxaginta stadiorum, in quibus omnino et Dominus visus est Simoni, dum illi interim reverterentur Jerusalem. Ardens autem erat cor eorum, vel dum igne eloquiorum Domini illo interpretante intrinsecus succenderentur, et illis quæ dicebantur, assentirentur ut veris : vel dum illo interpretante Scripturas tangeretur cor eorum intrinsecus, quod hic qui nobis interpretatur Scripturas, Christus est.

Ἀβραὰμ τὴν ἡμέραν αὐτοῦ καὶ ἀγαλλιάσασθαι· καὶ τὸ, « Ὄψεσθε τὴν ζωὴν ἡμῶν κρεμαμένην, » ἐν ταυτῷ καὶ τὴν σταύρωσιν δηλοῖ διὰ τοῦ κρεμαμένην εἰπεῖν, καὶ τὴν ἀνάστασιν διὰ τοῦ τὴν ζωὴν ὀνομάσαι. Καὶ ἐν ταῖς λοιπαῖς δὲ προφητείαις σποράδην κεῖνται τὰ περὶ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, καὶ μάλιστα ἐν τοῖς ἐπιφανεστέροις, καὶ πάρεστιν ἐκεῖθεν ταῦτα ἀναλέγεσθαι. Σκόπει δέ μοι, πῶς ἐκ τοῦ κακοπαθεῖν τὸ εἰσελθεῖν εἰς τὴν δόξαν ἐστίν. Προσποιεῖται δὲ πορρωτέρω πορεύεσθαι, κατὰ τὸ ἀνθρώπινον πάντως. Ὅτε δὲ συγχωρεῖ, τότε διανοίγονται οἱ ὀφθαλμοὶ αὐτῶν, καὶ ἐπέγνωσαν αὐτόν. Αἰνίττεται δέ τι καὶ ἕτερον, ὅτι τοῖς μεταλαμβάνουσι τοῦ εὐλογημένου ἄρτου, διανοίγονται οἱ ὀφθαλμοὶ εἰς τὸ ἐπιγνῶναι αὐτόν. Μεγάλην γὰρ καὶ ἄφατον δύναμιν ἔχει ἡ τοῦ Κυρίου σάρξ. Ἀφανὴς δὲ γίνεται ἀπ' αὐτῶν· οὐκ ἔτι γὰρ τοιοῦτον εἶχε σῶμα, οἷον ἐπὶ πολὺ σωματικῶς συνδιάγειν αὐτοῖς, καὶ ἅμα ἵνα πλείονα ἐκ τούτου τὸν πόθον ἐπαυξήσῃ αὐτοῖς. Οὕτω γοῦν ἐχάρησαν, ὥστε αὐτῇ τῇ ὥρᾳ ἀναστῆναι, καὶ ὑποστρέψαι εἰς Ἱερουσαλήμ, οὐκ αὐτῇ δὲ τῇ ὥρᾳ. Ἀνέστησαν μὲν γὰρ κατ' αὐτὴν τὴν ὥραν, ὑπέστρεψαν δὲ μετὰ πλείους, ὅσας εἰκὸς ἦν αὐτοὺς ποιῆσαι τὸ διάστημα τῶν ἑξήκοντα σταδίων βαδίζοντας, ἐν αἷς πάντως καὶ ὁ Δεσπότης ὤφθη τῷ Σίμωνι διὰ μέσου, ὁδοιπορούντων αὐτῶν ἐν τῇ ὑποστροφῇ. Καιομένη δὲ ἦν ἡ καρδία αὐτῶν, ἢ τῷ πυρὶ τῶν λόγων τοῦ Κυρίου· ἑρμηνεύοντος γὰρ αὐτοῖς, διεθερμαίνοντο ἔσωθεν καὶ συνδιετίθεντο ἐπὶ τοῖς λεγομένοις ὡς ἀληθέσιν· ἢ ὅτι ἑρμηνεύοντος αὐτοῖς τὰς Γραφὰς, ἐπάτασσεν ἔσωθεν ἡ καρδία αὐτῶν, ὅτι Οὗτος ὁ ἑρμηνεύων ἡμῖν ἐστιν ὁ Κύριος.

Vers. 36-44. « Dum autem hæc loquuntur, ste- C tit Jesus ipse in medio eorum, et dixit eis : Pax vobis. Expavefacti vero et conterriti, existimabant se spiritum videre : et dixit eis : Quid turbati estis, et cogitationes ascendunt in cordibus vestris? Videte manus meas et pedes meos, quia ego ipse sum. Contrectate me et videte, quia spiritus carnem et ossa non habet, sicut me videtis habere. Et cum hæc dixisset, ostendit eis manus ac pedes. Adhuc autem illis non credentibus præ gaudio, et mirantibus, dixit eis : Habetis hic aliquid edulii? At illi obtulerunt ei partem piscis assati, et aliquid de favo apiario: et accepit, et in conspectu illorum comedit, et dixit ad eos : Hæc sunt verba quæ locutus sum ad vos cum adhuc essem vobiscum, quod necesse foret impleri omnia quæ scripta sunt D in lege Mosi, et prophetis, et Psalmis de me. » Dominus propter salutem nostram omnia faciens, stat in medio discipulorum, volens illis resurrectionem credibiliorem fieri, et primum solita pacis imprecatione perturbationem illorum sedat. Et iterum ostendit quod ipse sit ille ipsorum magister, qui ita alloqui gaudeat, et eos ad prædicationem mittens animet. Verum quia animarum perturbatio verbis non sedabatur, monstrat eis etiam aliunde Filium Dei se esse, corda agnoscentem. « Quare enim, » inquit, « cogitationes ascendunt in corda vestra ? » Etenim in confesso est, solius Dei esse cognoscere corda Subjicit autem et aliud argumen-

« Ταῦτα δὲ αὐτῶν λαλούντων, καὶ αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν· καὶ εἶπεν αὐτοῖς· Τί τεταραγμένοι ἐστέ; Καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; Ἴδετε τὰς χεῖρας καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι. Ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου· καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν. Εἶπε δὲ αὐτοῖς· Οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως, καὶ προφήταις, καὶ Ψαλμοῖς περὶ ἐμοῦ. » Ὁ πάντα πρὸς σωτηρίαν ἡμῶν οἰκονομῶν Κύριος, ἵσταται ἐν μέσῳ τῶν μαθητῶν, πιστώσασθαι τὴν ἀνάστασιν θέλων. Καὶ πρῶτον μὲν διὰ τοῦ συνήθους προσφθέγματος τῆς εἰρήνης καταστέλλει τὸν θόρυβον αὐτῶν, ἅμα δὲ καὶ δείκνυσιν, ὡς αὐτὸς ἐκεῖνός ἐστιν ὁ διδάσκαλος αὐτῶν, ὁ τούτῳ τῷ προσρήματι χαίρων, καὶ τούτῳ καθοπλίσας καὶ αὐτοὺς, ὁπηνίκα πρὸς τὸ κήρυγμα ἔστειλεν. Ἐπεὶ δὲ διὰ τοῦ ῥήματος τούτου οὐ κατεστάλη ὁ τῆς ψυχῆς αὐτῶν θόρυβος, δείκνυσιν αὐτοῖς ἑτέρωθεν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐστιν, ὁ τὰς καρδίας γινώσκων. « Διατί γάρ, φησι, διαλογισμοὶ ἀναβαίνουσιν

ἐν ταῖς καρδίαις ὑμῶν; » πάντως δὲ τὸ γινώσκειν καρδίας Θεοῦ ὁμολογουμένως ἐστί. Ἐπιφέρει καὶ ἕτερον, τὴν ψηλάφησιν τῶν χειρῶν καὶ τῶν ποδῶν. Ὑμεῖς μὲν γάρ, φησί, μὲ πνεῦμα δοκεῖτε εἶναι, ἤτοι φάντασμα, οἷα πολλὰ τῶν τεθνεώτων μάλιστα περὶ τὰ μνήματα φαντάζειν εἴωθεν· ἀλλ' ἴστε, ὅτι τὸ μὲν πνεῦμα οὔτε σάρκα, οὔτε ὀστέα ἔχει· ἐγὼ δὲ καὶ σάρκα καὶ ὀστέα ἔχω, εἰ καὶ θειότερα καὶ πνευματικά. Τὸ γὰρ τοῦ Κυρίου σῶμα πνεῦμα μὲν οὐκ ἦν πνευματικὸν δέ, τουτέστι, πάσης παχύτητος ἐκτός, πνεύματι διοικούμενον. Τὸ μὲν γὰρ σῶμα, ὃ νῦν ἔχομεν, ψυχικόν ἐστι, τουτέστιν, ψυχῇ διοικούμενον, καὶ ζωογονούμενον ταῖς φυσικαῖς καὶ ψυχικαῖς ποιότησι καὶ δυνάμεσι. Τὸ δὲ μετὰ τὴν ἀνάστασιν πνευματικὸν ὠνόμασεν ὁ Παῦλος, ἤγουν πνεύματι ζωογονούμενον θείῳ καὶ διοικούμενον, καὶ οὐ ψυχῇ, τρόπῳ ἀποῤῥήτῳ καὶ πνευματικῷ πρὸς ἀφθαρσίαν μεταστοιχειωθέν, καὶ ἐν ταύτῃ συντηρούμενον. Τοιοῦτον οὖν χρὴ νοεῖν τὸ τοῦ Κυρίου σῶμα μετὰ τὴν ἀνάστασιν, πνευματικόν, καὶ λεπτόν, καὶ πάσης παχύτητος ἐκτός, καὶ οὔτε τροφῆς, οὔτε ἄλλου τινὸς δεόμενον, εἰ καὶ πρὸς πίστωσιν ἔφαγεν. Ὃ γὰρ ἔφαγεν, οὐ κατὰ φύσιν ἔφαγεν, ἀλλὰ κατ' οἰκονομίαν, ἵνα δείξῃ ὅτι αὐτὸ τὸ παθὸν σῶμα ἀνέστη. Κατὰ φύσιν μέντοι τοῦτο τῷ σώματι ἦν, τὸ κεκλεισμένων τῶν θυρῶν εἰσιέναι, τὸ ἀκόπως ἀπὸ τόπου εἰς τόπον μεταβαίνειν. Ἀπιστούντων οὖν τῶν μαθητῶν ἔτι, καὶ μηδὲ ἀπὸ τῆς ψηλαφήσεως ἀναπεισθέντων, καὶ ἕτερον προστίθησι, τὸ τῆς βρώσεως, θείᾳ τινὶ δυνάμει καταναλισκομένων τῶν βιβρωσκομένων. Πᾶν γὰρ τὸ φυσικῶς βιβρωσκόμενον διὰ τοῦ στόματος εἰς ἀφεδρῶνα χωρεῖ· τὰ δὲ οὐ φυσικῶς, ὡς εἴπομεν, ἀλλ' οἰκονομικῶς ἐβιβρώσκετο. Ἔχειν δέ τι καὶ αἴνιγμα ἔοικε τὰ τότε βρωθέντα· ἰχθύος γὰρ ὀπτοῦ μέρος φαγών, αἰνίττεται ὅτι τὴν φύσιν ἡμῶν τὴν ἐν τῷ ἁλμυρῷ τούτῳ βίῳ νηχομένην τῷ πυρὶ τῆς οἰκείας θεότητος ἐκτήξας, καὶ πᾶσαν ἣν εἶχεν ἐκ τῶν βαθέων τῶν ὑδάτων, μᾶλλον δὲ τῶν κυμάτων, ὑγρότητα ἐξικμάσας, θείαν βρῶσιν πεποίηκε ταύτην, τὴν πρώην βδελυκτὴν ἡδεῖαν βρῶσιν ἐργασάμενος τῷ Θεῷ. Τοῦτο γάρ, φησίν, αἰνίττεται τὸ μελίσσιον κηρίον, τὴν νῦν γλυκύτητα λέγω τῆς πρὶν ἀποβλήτου ἡμῶν φύσεως. Ἢ καὶ τοῦτο, οἶμαι, αἰνίττεται, διὰ μὲν τοῦ ὀπτοῦ ἰχθύος τὴν πρακτικήν, ὑφαιροῦσαν ἡμῶν τὴν πολλὴν ὑγρότητα καὶ παχύτητα διὰ τῆς τῶν ἐρημικῶν καὶ ἡσυχαστικῶν ἀνθράκων βοηθείας· τὴν δὲ γνῶσιν, ἤτοι θεωρίαν, διὰ τοῦ μελισσίου κηρίου, εἴπερ γλυκέα τὰ τοῦ Θεοῦ λόγια. Ἔστι δὲ κηρίον, ἀλλὰ κηφηνῶδες, τὸ τῆς Ἑλληνικῆς σοφίας. Ἔστι δὲ κηρίον μελίσσιον, τὸ τῆς θείας σοφίας· εἴπερ Χριστὸς ἡ μέλισσα, μικρὰ μὲν τῷ μεγέθει (συντετμημένος γὰρ ὁ λόγος, καὶ τῇ ῥώμῃ ἀσθενής· οὐκ ἐν δυνάμει γὰρ λόγου Παῦλος κηρύττει, ἵνα μὴ κενώσῃ τὸν σταυρόν), πλὴν βασιλεῦσι καὶ ἰδιώταις ἐράσμιος, εἰς ὑγίειαν ψυχικὴν προσφερομένοις τοὺς πόνους αὐτῆς.

« Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς Γραφάς, καὶ εἶπεν αὐτοῖς, ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ

tum, palpationem manuum et pedum ejus. Vos enim, inquit, spiritum putatis me esse, 496 vel phantasma qualia multa circa mortuorum sepulcra apparere solent: sed scitis quod spiritus quidem neque carnem neque ossa habet: ego autem carnem et ossa habeo, tametsi diviniora et spiritualia. Domini enim corpus spiritus quidem non erat, sed spirituale, hoc est, absque omni crassitudine, a spiritu gubernatum. Etenim corpus quod nunc habemus animale est, hoc est, ab anima regitur, et a naturalibus et animalibus qualitatibus ac viribus vivificatur. Quod autem post resurrectionem habebimus, spirituale nominavit Paulus [56], hoc est, quod a divino Spiritu vivificetur et gubernetur, et non ab anima modoque indicibili et spirituali ad incorruptionem alteratum sit et in ea conservatum. Tale igitur oportet intelligere Domini corpus post resurrectionem, spirituale, et subtile, et alienum ab omni crassitudine, neque cibi neque alterius cujusquam indigens, quamvis ad confirmationem illorum comederit. Quod enim comedit, non secundum naturam comedit, sed secundum dispensationem, ad docendum quod illud ipsum corpus quod passum est, surrexerit. Naturale autem huic corpori erat clausis januis ingredi, et absque labore e loco in locum transire. Itaque cum discipuli adhuc non crederent, neque per palpationem persuaderentur, addit et aliud indicium, comedens, divina quadam virtute consumendo quod edebat. Omnis enim cibus natura per os sumptus, ad secessum vadit: verum hæc non naturaliter, sed, ut diximus, secundum dispensationem comedit. Habet autem ænigma quoddam, quod partem piscis comederit: significat enim quod naturam nostram, quæ in salsuginoso hoc mari natat, igni suæ deitatis assarit, et exsiccarit omnem humorem quem ex profundis fluctibus habebat, ut fieret divinus cibus, et qui prius erat abominabilis, fieret nunc dulcis Deo: hoc enim significare dicitur favus mellis, dulcedinem dico naturæ nostræ prius abjectæ. Vel (ut opinor) significat per piscem assatum activam vitam, quæ tollit nostram humiditatem et crassitudinem auxilio carbonum solitariorum, et quietem amplexantium. Per favum autem apiarium, scientiam vel contemplationem. Siquidem dulcia eloquia Dei [57]. Est et alius favus agrestior, nempe gentilium sapientia. Siquidem Chsistus parva apis est magnitudine. Abbreviatum enim est verbum, et infirmum robore. Non enim in virtute sermonis Paulus prædicat, ut ne crucem evacuet [58]: verumtamen regibus et idiotis est amabilis afferentibus labores suos in sanitatem animarum.

VERS. 45-53. « Tunc aperuit mentem illorum, ut intelligerent Scripturas: et dixit eis. Sic scriptum est, et sic oportebat Christum pati, et resurgere a

[56] I Cor. xv, 44. [57] Psal. xviii, 16. [58] I Cor. i, 17.

mortuis tertio die, et 497 prædicari in nomine ejus pœnitentiam ac remissionem peccatorum in omnes gentes, initio facto ab Hierosolymis. Vos autem estis testes horum. Et ecce ego mitto promissum Patris mei super vos. Vos autem sedete in civitate Jerusalem usquequo induamini virtute ex alto. Eduxit autem eos foras usque in Bethaniam, et sublatis in altum manibus suis benedixit eis. Et factum est dum benediceret illis, recessit ab eis, et ferebatur in cœlum. Et ipsi adorato eo regressi sunt Jerusalem cum gaudio magno, et erant semper in templo laudantes et benedicentes Deum, Amen. » Postquam corda illorum pacificavit, et dubitationem loquendo, palpabilemque se exhibendo, ac comedendo sedavit, confirmata veritate resurrectionis corporis sui, tunc aperuit illorum mentem ad intelligendum Scripturas. Nisi enim quieta fuisset illorum anima, quomodo in tanta turbatione et inquietudine cognovissent? « Vacate enim, » inquit, « et cognoscite[59]. » Idcirco et docet eos quod necessarium fuerit Christum sic pati. Quomodo sic? Per lignum crucis. Quia enim per lignum interitus, ideo necessarium fuit per lignum corruptionem tolli, et aboleri voluptates quæ in ligno, per dolores quos in ligno pertulit invictus Dominus. Et deinde resurgere, inquit, tertio die, et prædicari in nomine ejus pœnitentiam et remissionem peccatorum in omnes gentes. De baptismo autem hoc loco dicit Nam et in hoc pœnitentia fit per confessionem et depositionem pristinorum malorum et impietatum, et simul comitatur remissio peccatorum. Quomodo autem baptisma in nomine solius Christi fieri intelligemus, præsertim cum alias doceamur hoc perfici in nomine Patris, et Filii, et Spiritus sancti? Igitur primum quidem dicimus quod quande dicimus baptisma fieri in nomine Christi, non dicimus puod oporteat in solius Christi nomine fieri, sed quod Christi baptisma quo Christus baptizatus est, spirituale sit, non Judaicum: neque quale Joannis in pœnitentiam solum, sed et communionem Spiritus sancti, et remissionem peccatorum conferat, ut ipse nobis ostendit cum baptizaretur in Jordane, monstrato in columbæ specie Spiritu sancto. Insuper baptisma in nomine Christi intellige, in morte Christi. Nam sicut ille mortuus triduanus resurrexit, ita et nos figuraliter in aqua sepulti, deinde emergimus animo incorrupti, et arrhabonem incorruptibilitatis corporis accipimus. Et aliter: Christi nomen in seipso continet et Patrem inungentem, et unctionem Spiritus, et unctum Filium. « In nomine Domini remissio peccatorum. » Ubi igitur fetulentæ linguæ baptizantium in Montanum, et Priscillam, et Maximillam? Vere nulla his, qui sic baptizantur, remissio, sed peccatorum augmentatio est: et hi quidem male peribunt. 498 In omnes autem gentes sermo exivit, a Jerusalem sumpto initio. Oportebat enim humanam

A ἀναστῆναι ἐκ νεκρῶν, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν, καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ. Ὑμεῖς δέ ἐστε μάρτυρες τούτων, καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο, ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης, καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν. » Ὅτε εἰρήνευσε, καὶ κατέστησε τὰς B καρδίας αὐτῶν δι' ὧν εἶπε, δι' ὧν ἐψηλαφήθη, δι' ὧν ἔφαγε πιστωσάμενος τὴν ἀληθῆ τοῦ σώματος αὐτοῦ ἀνάστασιν, τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς Γραφάς. Εἰ μὴ γὰρ ἐσχόλασεν ἡ ψυχὴ αὐτῶν, πῶς ἂν ἔγνω ταρασσομένη, καὶ μὴ καθεστῶσα; « Σχολάσατε γὰρ, φησὶ, καὶ γνῶτε. » Διὸ καὶ διδάσκει αὐτοὺς, ὅτι ἀναγκαῖον ἦν οὕτω παθεῖν τὸν Χριστόν. Οὕτω· πῶς; Διὰ ξύλου σταυροῦ· ἐπειδὴ διὰ ξύλου ὁ ὄλεθρος, ἀναγκαῖον ἦν καὶ διὰ ξύλου ἀναλυθῆναι τὴν φθορὰν, καὶ δι' ὀδυνῶν τῶν ἐν τῷ ξύλῳ διελθόντα ἀήττητον τὸν Κύριον, τὴν ἐν τῷ ξύλῳ ἡδονὴν καταργῆσαι, εἶτα. « καὶ ἀναστῆναι, φησὶ, τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη. » C Περὶ τοῦ βαπτίσματος ἐνταῦθά φησιν. Ἐν τούτῳ γὰρ μετάνοιά τε γίνεται διὰ τῆς ἐξαγορεύσεως καὶ ἀποθέσεως τῶν προτέρων κακιῶν καὶ ἀσεβειῶν. καὶ ἐπακολουθεῖ ἡ ἄφεσις τῶν ἁμαρτιῶν. Πῶς δὲ τὸ βάπτισμα νοήσομεν ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ μόνου γίνεσθαι, καὶ ταῦτα ἀλλαχοῦ διδασκόμενοι εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος τελεῖν τοῦτο; Πρῶτον μὲν οὖν τοῦτο φαμεν, ὅτι τὸ βάπτισμα ὅταν λέγωμεν ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ γίνεσθαι, οὐ τοῦτο λέγομεν, ὅτι δεῖ ἐπὶ μόνῳ τῷ τοῦ Χριστοῦ ὀνόματι τοῦτο τελεῖν, ἀλλ' ὅτι τὸ τοῦ Χριστοῦ βάπτισμα ὃ Χριστὸς ἐβαπτίσατο, τουτέστι, πνευματικὸν, οὐκ Ἰουδαϊκὸν, οὐδὲ οἷον τὸ Ἰωάννου εἰς μετάνοιαν μόνον, ἀλλὰ Πνεύματος ἁγίου κοινωνίαν καὶ ἄφεσιν ἁμαρτιῶν D παρεχόμενον, οἷον αὐτὸς ἔδειξε δι' ἡμᾶς βαπτισάμενος ἐν Ἰορδάνῃ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς δείξας. Ἔπειτα τὸ ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ βάπτισμα, ἀντὶ τοῦ, εἰς τὸν θάνατον τοῦ Χριστοῦ, νόει. Ὥσπερ γὰρ ἐκεῖνος θανὼν τριήμερος ἀνέστη, οὕτω καὶ ἡμεῖς ἐνθαπτόμενοι τυπικῶς τῷ ὕδατι, εἶτα ἀναδύνομεν ἄφθαρτοι τὰς ψυχὰς, καὶ τῆς τοῦ σώματος ἀφθαρσίας τοὺς ἀῤῥαβῶνας δεχόμενοι. Ἄλλως τε τὸ « Χριστὸς » ὄνομα ἐν ἑαυτῷ ἐμφαίνει καὶ τὸν Πατέρα τὸν χρίσαντα, καὶ τὸ χρίσμα τὸ Πνεῦμα, καὶ τὸν χρισθέντα Υἱόν. « Ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἄφεσις ἁμαρτιῶν. » Ποῦ λοιπὸν αἱ βορβορώδεις γλῶσσαι τῶν βαπτιζόντων εἰς Μοντανὸν, καὶ Πρίσκιλλαν, καὶ Μαξιμίλλαν; Ἀληθῶς

[59] Psal. XXV, 11.

οὐδεμία οὕτω τοῖς βαπτιζομένοις ἄφεσις, ἀλλὰ καὶ A προσθήκη ἁμαρτιῶν ἐπιγίνεται. Οὗτοι μὲν οὖν κακῶς ἀπώλοντο. Εἰς πάντα δὲ τὰ ἔθνη ὁ λόγος ἐξῆλθεν, ἀρξάμενος ἀπὸ Ἱερουσαλήμ. Ἔδει γὰρ τὴν φύσιν πᾶσαν ἐν Χριστῷ ἑνωθεῖσαν καὶ προσληφθεῖσαν, μὴ εἰς δύο λοιπὸν διαιρεῖσθαι τμήματα, Ἑβραίους καὶ ἐθνικούς, ἀλλ' ἄρξασθαι ἀπὸ Ἱερουσαλὴμ τὸν λόγον καὶ ἐν τοῖς ἔθνεσιν ἀναπαύσασθαι, ἑνοποιοῦντα τὴν φύσιν. « Ὑμεῖς δὲ, φησὶν, ἐστὲ μάρτυρες τούτων τῶν παθῶν, τῆς ἀναστάσεως. Εἶτα ἵνα μὴ ταραχθῶσι παρ' ἑαυτοῖς, καὶ λογίσωνται· Πῶς μαρτυρήσομεν ἄνθρωποι ἰδιῶται πρὸς ἔθνη ὑποστελλόμενοι, πρὸς τοὺς Ἱεροσολυμίτας ἀντιπαρεκδυόμενοι τοὺς καὶ σὲ ἀποκτείναντας, Θαρσεῖτε, φησὶ, τούτου ἕνεκα. Ἀποστελῶ γὰρ ὅσον οὔπω τὴν B ἐπαγγελίαν τοῦ Πατρός μου, ἣν εἶπον διʼ Ἰωὴλ, ὅτι « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, » καὶ τὰ ἑξῆς. Καθίσατε οὖν, οἱ νῦν δειλοὶ καὶ ἄνανδροι, ἕως οὗ ἐνδύσησθε δύναμιν οὐκ ἀνθρωπίνην, ἀλλʼ οὐράνιον. Οὐκ εἶπε δὲ, Δέξησθε, ἀλλʼ « Ἐνδύσησθε, » τὸ πάντοθεν φρουρητικὸν τῆς πνευματικῆς ὁπλίσεως ὑποφαίνων. « Ἐξήγαγε δὲ αὐτοὺς ἕως εἰς Βηθανίαν. » Τοῦτο νοήσομεν ἐν αὐτῇ τῇ τεσσαρακοστῇ ἡμέρᾳ γεγονέναι. Ἃ γὰρ οὗτοι ἐν ἐπιτομῇ λέγουσι, ταῦτα νόει μοι σὺ ἐν πολλαῖς ἡμέραις γίνεσθαι· ὡς αὐτὸς οὗτος ὁ Λουκᾶς φησιν ἐν ταῖς Πράξεσιν, ὅτι « Διʼ ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς. » Συχνάκις γὰρ ἐφίστατο, καὶ ἀφίστατο. Εὐλόγησε δὲ τοὺς μαθητὰς, τάχα μὲν καὶ δύναμιν φρουρὸν αὐτοῖς ἐντιθεὶς ἄχρι τῆς τοῦ Πνεύματος παρουσίας, τάχα δὲ καὶ ἡμᾶς διδάσκων, ἐπειδὰν C ἀποδημῶμεν, ταῖς εὐλογίαις τοὺς ὑφʼ ἡμᾶς παρακατατίθεσθαι. « Ἀνεφέρετο δὲ εἰς τὸν οὐρανόν. » Ἠλίας μὲν γὰρ, Ὡς εἰς οὐρανόν· ὡσανεὶ γὰρ ἐδόκει εἰς οὐρανὸν ἀναφέρεσθαι· ὁ δὲ Σωτὴρ εἰς τὸν οὐρανὸν αὐτὸν πρόδρομος πάντων ἀνελήλυθε, μετὰ τῆς ἁγίας σαρκὸς αὐτοῦ ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ, καὶ σύνεδρον αὐτὴν ἀποδεῖξαι τῷ Πατρί. Καὶ νῦν προσκυνεῖται ἡ φύσις ἡμῶν ἐν Χριστῷ ὑπὸ πάσης ἀγγελικῆς δυνάμεως. « Αὐτοὶ δὲ ὑπέστρεψαν μετὰ χαρᾶς μεγάλης, καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ. » Ὁρᾷς ἀρετήν; Οὔπω τὸ Πνεῦμα, καὶ πνευματικῶς διάγουσι. Οἱ γὰρ κεκλεισμένοι πρότερον, νῦν ἐν μέσοις τοῖς ἀρχιερεῦσι διάγουσι, καὶ οὐδὲν ἐν αὐτοῖς βιωτικόν· ἀλλὰ πάντων περιφρονήσαντες, ἐν τῷ ἱερῷ αἰνοῦσι διαπαντὸς τὸν Θεὸν, καὶ εὐλογοῦσιν. Ὧν μιμηταὶ καὶ ὑμεῖς γενόμενοι, ἐν ἱερῷ βίῳ διαπαντὸς εἴημεν, αἰνοῦντες διὰ τούτου τοῦ βίου καὶ εὐλογοῦντες τὸν Θεόν. Δόξα γὰρ Θεοῦ καὶ εὐλογία ὁ ἱερὸς καὶ ἐνάρετος βίος· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

naturam, quæ tota in Christo unita est et assumpta, non ultra in duas dirimi sectiones, Judæorum et gentilium, sed incipere sermonem a Jerusalem, et in gentibus requiescere, unitis generibus. Vos autem estis testes horum, passionis scilicet ac resurrectionis. Postea ne turbarentur intra se, et cogitarent, Quomodo testificabimur, qui privati homines ac idiotæ sumus contraque gentes mittimur, et contra Jeresolymitanos armamur qui et te occiderunt? dixit eis, « Confidite : » hujus rei gratia mittam propediem promissionem Patris, de qua dictum per Joelem, « Effundam de Spiritu meo super omnem carnem [60] » etc. Sedete igitur, qui nunc timidi et parum viriles, donec induamini virtute, non humana, sed cœlesti. Non dixit autem, accipiatis, sed, « induamini : » declarans omnino custodia spiritualis armaturæ muniendos. « Eduxit autem eos usque in Bethaniam. » Hoc intelligamus in die quadragesimo factum esse. Quæ enim illi breviter dicunt, tu in multis diebus facta esse intellige : sicut et ipse Lucas in Actis dicit quod per quadraginta dies visus sit eis [61]. Sæpe enim ad eos accessit, et ab eis iterum abscessit. Benedicit autem discipulos, fortassis infundens eis vim quæ custodiret usque in adventum Spiritus : fortassis etiam nos docens cum peregre proficiscimur, ut commendemus nobis subditos benedictionibus. Ferebatur autem sursum in cœlum: Elias enim quasi in cœlum (videbatur enim quasi in cœlum ferri), at Salvator in cœlum ipsum, Præcursor omnium, ascendit, ut cum sancta carne sua compareret ante conspectum Dei, et eam statueret cum Patre considentem. Et nunc adoratur natura nostra in Christo ab omni angelica virtute. Illi autem reversi sunt cum gaudio magno, et erant semper in templo. Vides virtutem? Nondum Spiritus, et spiritualiter vivunt. Qui enim prius inclusi erant, nunc inter medios pontifices vivunt, et nihil in eis temporale, sed contemptis omnibus in templo semper Deum laudant et benedicunt. Quorum imitatores etiam nos facti, in vita sancta semper simus, laudantes per hanc vitam et benedicentes Deum. Gloria enim Dei et benedictio est sancta et virtuosa vita : quoniam eum decet omnis gloria in sæcula sæculorum. Amen.

Τέλος τῆς εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον Ἑρμηνείας Θεοφυλάκτου.

*Theophylacti in Evangelium Lucæ Commentarii finis.*

[60] Joel. II, 23. [61] Act. I, 3.

# ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

## ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ.

—

# THEOPHYLACTI

ARCHIEPISCOPI BULGARIÆ

## ENARRATIO IN EVANGELIUM JOANNIS

—

### VITA JOANNIS

*Ex sophronio.*

499 Joannes, dilectus Jesu discipulus, filius Zebedæi, fratrer Jacobi, qui sub Herode post passionem Domini capite truncatus est, ultimus omnium Evangelium suum scripsit, id rogatus ab episcopis Asiæ contra Cerinthum et alios hæreticos, maxime vero contra grassantem tunc temporis errorem Ebionitarum qui dicebant Christum ante Mariam non fuisse. Unde coactus est divinam ejus generationem enarrare. Aliam addunt hujus libri causam prætextam. Cum nimirum legisset libros Matthæi, Marci et Lucæ, historiæ quidem textum approbavit, veraque illos dixisse testatus est, at uno duntaxat anno, quo Joannes passus est, post ejus incarcerationem historiam ordinasse. Omisso igitur tempore quo gesta sunt quæ a tribus aliis exponuntur ab anteriori tempore, vicelicet priusquam Joannes conjiceretur in carcerem, res gestas orsus est, prout manifeste patere poterit ei, qui accurate quatuor Evangelia evolverit : quod excludit discrepantiam illam quæ Joannis esse videtur a cæteris. Præterea scripsit Epistolam unam, cujus initium est, « Quod erat ab initio, » etc., quæ ab omnibus ecclesiasticis et eruditis viris admittitur. Reliquæ duæ, quarum primæ initium est, « Senior Electæ dominæ, » alterius, « Senior Gaio dilecto. » Quæ Joannis presbyteri dicuntur: cujus etiamnum aliud exstat Ephesi monumentum. Quidam etiam opinantur duo isthæc monumenta esse Joannis evangelistæ, de quo cum per ordinem ad Papiam auditorem venerimus, disseremus : decimo quarto igitur post obitum Neronis anno, persecutionem movente Domitiano, in insulam Patmon exsilio relegatus, Apocalypsim conscripsit, quam metaphrasi donarunt Justinus Martyr et Irenæus. Occiso demum Domitiano, ejusque ob nimiam crudelitaem gestis a senatu rescissis, sub Nerva orsus

A

### ΒΙΟΣ ΤΟΥ ΙΩΑΝΝΟΥ

*Ἐκ τοῦ Σωφρονίου.*

Ἰωάννης, ὃν Ἰησοῦς πάνυ ἠγάπησεν, υἱὸς Ζεβεδαίου, ἀδελφὸς Ἰακώβου τοῦ ὑπὸ Ἡρώδου μετὰ τὸ πάθος τοῦ Κυρίου ἀποκεφαλισθέντος, ἔσχατος πάντων ἔγραψεν Εὐαγγέλιον, παρακληθεὶς παρὰ τῶν τῆς Ἀσίας ἐπισκόπων, καὶ κατὰ Κηρίνθου καὶ ἄλλων αἱρετικῶν· καὶ μάλιστα τηνικαῦτα τοῦ τῶν Ἐμβιωνιτῶν δόγματος ἀνακύψαντος, τῶν φασκόντων τὸν Χριστὸν πρὸ Μαρίας μὴ γεγενῆσθαι. Ὅθεν ἠναγκάσθη τὴν θείαν γέννησιν αὐτοῦ εἰπεῖν. Καὶ ἄλλην δὲ αἰτίαν τούτου τοῦ συγγράμματος φέρουσιν. Ἀναγνοὺς γὰρ Ματθαίου, Μάρκου καὶ Λουκᾶ τὰ τεύχη, ἐδοκίμασε μὲν τὸ ὕφος τῶν ἱστοριῶν, καὶ ἀληθῆ αὐτοὺς εἰρηκέναι ἐβεβαίωσεν. Ἑνὸς δὲ
B ἐνιαυτοῦ μόνον, ἐν ᾧ καὶ ἔπαθε, μετὰ τὴν φυλακὴν Ἰωάννου τὴν ἱστορίαν συντάξαι. Ἐάσας τοίνυν τὸν ἐνιαυτὸν οὗ τὰ πεπραγμένα παρὰ τῶν τριῶν ἐξετέθη, τοῦ ἀνωτέρου χρόνου, πρὶν ἢ τὸν Ἰωάννην ἐμβληθῆναι εἰς τὴν εἱρκτὴν, τὰς πράξεις ἐξέθετο· καθὰ σαφηνισθῆναι δυνήσεται τοῖς ἐπιμελῶς τοῖς τέτταρσιν Εὐαγγελίοις ἐντυγχάνουσιν· ὅπερ καὶ τὴν διαφωνίαν τὴν δοκοῦσαν εἶναι Ἰωάννου μετὰ τῶν λοιπῶν εἴργει. Ἔγραψε δὲ μίαν Ἐπιστολὴν, ἧς ἡ ἀρχή ἐστιν· « Ὃ ἦν ἀπ' ἀρχῆς· » ἥτις παρὰ πάντων τῶν ἐκκλησιαστικῶν καὶ πεπαιδευμένων ἀνδρῶν ἐγκρίνεται. Αἱ δὲ λοιπαὶ δύο, ὧν ἡ ἀρχή ἐστι, πρώτης μὲν, « Ὁ πρεσβύτερος Ἐκλεκτῇ κυρίᾳ· » δευτέρας δὲ, « Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ· » Ἰωάννου πρεσβυτέρου λέγονται· οὗ ἔτι καὶ νῦν
C ἕτερον μνῆμα ἐν τῇ Ἐφέσῳ τυγχάνει. Καί τινες νομίζουσι, τὰ δύο μνημεῖα Ἰωάννου εἶναι τοῦ εὐαγγελιστοῦ, περὶ οὗ, ἡνίκα κατὰ τάξιν εἰς Παπίαν τὸν τούτου ἀκροατὴν ἔλθωμεν, ἐξηγησόμεθα. Τοιγαροῦν τεσσαρεσκαιδεκάτῳ ἔτει, δεύτερον μετὰ Νέρωνα διωγμὸν κινοῦντος Δομετιανοῦ, εἰς Πάτμον νῆσον περιορισθεὶς, συνέταξεν Ἀποκάλυψιν, ἣν μετέφρασεν Ἰουστῖνος μάρτυς καὶ Εἰρηναῖος. Σφαγέντος δὲ

Δομετιανοῦ, καὶ τῶν πράξεων αὐτοῦ διὰ τὴν πολλὴν A ὠμότητα παρὰ συγκλήτου ἀκυρωθεισῶν, ἐπὶ Νέρβα εἰς Ἔφεσον ἀναζεύξας, ἕως Τραϊανοῦ τοῦ βασιλέως ἐκεῖσε διατελέσας, πάσας τὰς τῆς Ἀσίας ἐθεμελίωσε καὶ ᾠκοδόμησεν ἐκκλησίας· καὶ λίαν γηράσας, ἑξηκοστῷ ὀγδόῳ ἐνιαυτῷ μετὰ τὸ πάθος τοῦ Κυρίου τελευτήσας, πλησίον τῆς προειρημένης πόλεως ἠξιώθη τῆς κοιμήσεως.

est Ephesum, ubi a Trajanum usque degit, inibique omnes Asiæ fundavit et auxit ecclesias, usquequo provecta ætate, anno post passionem Christi sexagesimo octavo, prope urbem prædictam obdormivit.

## ΒΙΟΣ ΙΩΑΝΝΟΥ ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ.

Ἐκ τῆς τοῦ Δωροθέου μάρτυρος καὶ Τυρίων ἐπισκόπου συνόψεως.

Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, ὁ καὶ εὐαγγελιστὴς τοῦ Κυρίου γενόμενος, ὃν καὶ ἠγάπα ὁ Κύριος, ἐν μὲν τῇ Ἀσίᾳ ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ὑπὸ δὲ Τραϊανοῦ βασιλέως ἐξωρίσθη ἐν τῇ νήσῳ Πάτμῳ, διὰ τὸν λόγον τοῦ Κυρίου. Ἐκεῖ δὲ ὤν, καὶ τὸ ἅγιον Εὐαγγέλιον ἔγραψε, καὶ ἐξέδωκεν ἐν Ἐφέσῳ διὰ Γαΐου τοῦ ξενοδόχου καὶ διακόνου, ᾧ καὶ Παῦλος ὁ ἀπόστολος μαρτυρεῖ, λέγων Ῥωμαίοις· « Ἀσπάζε- B ται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ ὅλης τῆς Ἐκκλησίας. » Μετὰ δὲ τὴν τελευτὴν Τραϊανοῦ ἐπάνεισιν ἀπὸ τῆς νήσου ὁ μακάριος Ἰωάννης, καὶ παραμένει ἐν Ἐφέσῳ, καὶ ἔζησεν ἔτη ρκʹ, καὶ μετὰ ταῦτα ζῶν ἑαυτὸν ἐκεῖ ἔθαψε Θεοῦ βουλήσει. Εἰσὶ δὲ οἳ λέγουσι, μὴ ἐπὶ Τραϊανοῦ αὐτὸν ἐξορισθῆναι ἐν Πάτμῳ, ἀλλὰ ἐπὶ Δομετιανοῦ, υἱοῦ Οὐεσπασιανοῦ.

## 500 VITA JOANNIS EVANGELISTÆ

*Ex synopsi Dorothæi martyris et episcopi Tyriorum.*

Joannes evangelista, frater Domini ac dilectus appellatus, in Asia Evangelium prædicavit, ob idque sub Trajano in Patmon insulam exsilio relegatus. Ubi et Evangelium scripsit, et Ephesi edidit per Caium xenodochum et diaconum, de quo et ipse Paulus testatur ad Romanos scribens, « Salutat vos Gaius hospes meus et totius Ecclesiæ. » Post obitum vero Trajani ab insula reversus Ephesi moratus est, vixitque centum et viginti annos, quibus exactis Deo volente ibidem seipsum sepelit. Sunt autem qui dicant eum non sub Trajano, sed sub Domitiano Vespasiani filio in exsilium abiisse.

## ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΥ.

αʹ. Περὶ τῆς μαρτυρίας τοῦ Ἰωάννου περὶ Χριστοῦ. Περὶ τοῦ Ἰωάννου ἐρωτηθέντος, εἰ ἔστιν ὁ Χριστός. Περὶ Ἀνδρέου, Πέτρου, Φιλίππου καὶ Ναθαναὴλ κληθέντων.

βʹ. Περὶ τοῦ ἐν Κανᾷ γάμου. Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ. Περὶ τοῦ, Λύσατε τὸν ναὸν τοῦτον.

γʹ. Περὶ τοῦ Νικοδήμου καὶ Ἰησοῦ. Περὶ τοῦ C Ἰησοῦ καὶ Ἰωάννου βαπτιζόντων. Περὶ καθαρισμοῦ.

δʹ. Περὶ τῆς Σαμαρείτιδος. Περὶ τοῦ υἱοῦ τοῦ βασιλικοῦ.

εʹ. Περὶ τοῦ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχοντος ἐν ἀσθενείᾳ. Περὶ τῶν Ἰουδαίων ζητούντων ἀποκτεῖναι τὸν Ἰησοῦν.

ϛʹ. Περὶ τῶν πέντε ἄρτων καὶ δύο ἰχθύων. Περὶ τῆς ἀναχωρήσεως τοῦ Ἰησοῦ, ἵνα μὴ ποιήσωσιν αὐτὸν βασιλέα. Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου. Περὶ τοῦ ὄχλου ἑπομένου τῷ Ἰησοῦ τοῖς πλοιαρίοις. Περὶ τοῦ ὄχλου ζητοῦντος σημεῖον. Περὶ τοῦ ἄρτου ἐκ τοῦ οὐρανοῦ. Περὶ πολλῶν μαθητῶν ἀπελθόντων ἀπὸ τοῦ Ἰησοῦ. Περὶ τῆς ὁμολογίας τοῦ Πέτρου περὶ τοῦ D Χριστοῦ.

ζʹ Περὶ τῆς ἀναβάσεως τοῦ Κυρίου ὡς ἐν κρυπτῷ εἰς τὴν ἑορτήν. Περὶ τῶν Ἰουδαίων θαυμαζόντων, πῶς ὁ Ἰησοῦς γράμματα οἶδε μὴ μεμαθηκώς. Περὶ τοῦ σχίσματος τοῦ ὄχλου περὶ Χριστοῦ. Περὶ τῆς τῶν ἀρχόντων καὶ Νικοδήμου ἀμφισβητήσεως.

ηʹ. Περὶ τῶν ἐρωτώντων τὸν Ἰησοῦν περὶ τοῦ Πατρὸς αὐτοῦ. Περὶ τοῦ Ἰησοῦ ἐλευθέρωσιν

## 501 SUMMA CAPITUM EVANGELII SECUNDUM JOANNEM.

1. *Quomodo Joannes interrogatum miserit, an Jesus esset ille Christus. De vocatione Andreæ, Petri, Philippi et Nathanael.*

2. *De nuptiis in Cana Galilææ. De expulsis e templo. De hoc, Solvite templum istud.*

3. *De Nicodemo et Jesu. De Jesu et Joanne baptizantibus. De purificatione.*

4. *De Samaritano. De filio reguli.*

5. *De eo qui a triginta et octo annis in infirmitate jacebat. De Judæis quærentibus Dominum occidere.*

6. *De quinque panibus et duobus piscibus. De secessione Christi ne facerent eum regem. De ambulatione supra mare. De turba quæ Dominum sequebatur in navibus. De turba signum petente. De pane qui de cœlo descendit. De discipulis qui Christum reliquerant. De confessione Petri in Christum.*

7. *Quomodo Christus clanculum ad festivitatem venerit. De Judæis mirantibus, quomodo Christus litteras sciret a nullo edoctus. De divisione turbæ ob Christum. De ambiguitate principum et Nicodemi.*

8. *De iis qui Dominum interrogabant de Patre. Quomodo Christus sequentibus se libertatem pro-*

*miserit. De iis qui dicebant Christum dæmonium habere. De judæis conantibus Jesum lapidare quia se Abrahæ prætulisset.* A

9. *De cæco a nativitate.*

10. *De bono pastore et mercenario. Quomodo Jesus interrogatus sit in porticu, dum ambularet.*

11. *De suscitatione Lazari. Quomodo consilium inierunt summi sacerdotes et Pharisæi de occidendo Christo. De prophetia Caiphæ.*

12. *De muliere pedes Christi ungente. De iis quæ Judas dixit. De pullo asinæ. De Græcis adeuntibus et interrogantibus Philippum. De voce e cælo audita.* B

802 13. *De pelvi sive maluvio. Quomodo Judas exiverit ut Christum traderet. De præcepto se invicem diligendi. De eo qui Petrum interrogavit, quo abiret Jesus.*

14. *De Thoma ignorante quo Dominus abiret. De Juda Thaddæo interrogante Jesum. De spiritu consolatore.*

15. *De vera vite, agricola et pampino.*

16. *Quomodo Jesus eo quæ discipulis eventura erant, prædixit. De hoc, Parum videbitis me. Quomodo Pater quæcunque ab eo petierint homines daturus sit.*

17. *Oratio Jesu pro datis sibi a Patre discipulis.* C

18. *De traditione Jesu. De Judæis retro cadentibus. De Petro qui abscidit auriculam servo pontificis. Quomodo Jesus ductus sit ad Annum, Caipham et Pilatum.*

19. *De flagellatione Christi. De crucifixione Christi. De iis qui juxta crucem astabant. Quomodo petitum est corpus Christi. De sepelitione Christi.*

20. *De resurrectione Christi. De apparitione, Christi, primum Mariæ Magdalenæ deinde cæteris apostolis congregatis.* D

21. *De apparitione Christi Petro facta post resurrectionem, cæterisque piscantibus in mari Tiberiadis. Quomodo Christus Petro dixerit: Pasce oves meas.*

ἐπαγγελλομένου τοῖς ἑπομένοις αὐτῷ. Περὶ τῶν εἰπόντων ὅτι δαιμόνιον ἔχει ὁ Ἰησοῦς. Περὶ τῶν πειρωμένων Ἰουδαίων λιθοβολεῖν τὸν Ἰησοῦν, ὅτι τοῦ Ἀβραὰμ προέκρινεν αὐτόν.

θ'. Περὶ τοῦ ἐκ γενετῆς τυφλοῦ.

ι'. Περὶ τοῦ καλοῦ ποιμένος καὶ μισθωτοῦ. Περὶ τοῦ Ἰησοῦ ἐρωτηθέντος, ἐν τῇ στοᾷ περιπατοῦντος.

ια'. Περὶ τῆς ἐγέρσεως τοῦ Λαζάρου. Περὶ τῆς τῶν ἀρχιερέων καὶ τῶν Φαρισαίων βουλῆς περὶ τοῦ ἀποκτεῖναι τὸν Ἰησοῦν. Περὶ ὧν εἶπεν ὁ Καϊάφας.

ιβ'. Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ. Περὶ ὧν εἶπεν Ἰούδας. Περὶ τοῦ ὀναρίου. Περὶ τῶν Ἑλλήνων προσελθόντων καὶ ἐρωτώντων τὸν Φίλιππον. Περὶ τῆς φωνῆς ἐκ τοῦ οὐρανοῦ ἀκουσθείσης.

ιγ'. Περὶ τοῦ νιπτῆρος. Περὶ τοῦ ἐξελθόντος Ἰούδα ἵνα τὸν Χριστὸν παραδῷ. Περὶ τῆς ἐντολῆς τοῦ ἀγαπᾷν ἀλλήλους. Περὶ τοῦ ζητοῦντος Πέτρου, ποῦ ὑπάγει ὁ Κύριος.

ιδ'. Περὶ Θωμᾶ ἀγνοοῦντος ποῦ ὑπάγει ὁ Κύριος. Περὶ τοῦ Ἰούδα τοῦ Θαδδαίου ἐρωτῶντος τὸν Ἰησοῦν. Περὶ τοῦ Παρακλήτου.

ιε'. Περὶ τῆς ἀληθινῆς ἀμπέλου, καὶ γεωργοῦ, καὶ κλήματος.

ις'. Περὶ του Ἰησοῦ προλέγοντος τὰ συμβησόμενα τοῖς μαθηταῖς. Περὶ τοῦ, Μικρὸν, καὶ ὄψεσθέ με. Περὶ τοῦ τὸν Πατέρα ὅσα ἂν αἰτήσωνται δώσειν.

ις'. Περὶ τῆς προσευχῆς τοῦ Ἰησοῦ πρὸς τὸν Πατέρα ὑπὲρ τῶν δεδομένων ἑαυτῷ μαθητῶν.

ιη'. Περὶ τῆς παραδόσεως τοῦ Ἰησοῦ. Περὶ τῶν Ἰουδαίων χαμαὶ πεσόντων. Περὶ τοῦ Πέτρου ἀποκόψαντος τὸ ὠτίον τῷ τοῦ ἀρχιερέως δούλῳ. Περὶ τοῦ Ἰησοῦ ἀπαγομένου πρὸς Ἄνναν, καὶ Καϊάφαν, καὶ Πιλάτον.

ιθ'. Περὶ τῆς τοῦ Χριστοῦ μαστιγώσεως. Περὶ τῆς σταυρώσεως τοῦ Χριστοῦ. Περὶ τῶν παρὰ τῷ σταυρῷ ἑστώτων. Περὶ τῆς αἰτήσεως τοῦ Κυριακοῦ σώματος. Περὶ τῆς ταφῆς αὐτοῦ.

κ'. Περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ. Περὶ τῆς φανερώσεως τοῦ Χριστοῦ, πρῶτον μὲν τῇ Μαρίᾳ τῇ Μαγδαληνῇ, ἔπειτα δὲ τοῖς μαθηταῖς συνηγμένοις.

κα. Περὶ τῆς φανερώσεως τοῦ Ἰησοῦ μετὰ τὴν ἀνάστασιν Πέτρῳ καὶ ἑτέροις ἁλιεύουσιν ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος. Περὶ τοῦ τῷ Πέτρῳ λεχθέντος· Βόσκε τά πρόβατά μου.

# ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ.

—

# ENARRATIO IN EVANGELIUM JOANNIS

—

### ΠΡΟΟΙΜΙΟΝ. A

Ἡ τοῦ ἁγίου Πνεύματος δύναμις ἐν ἀσθενείᾳ τελειοῦται, καθὰ γέγραπται, καὶ πιστεύομεν· ἐν ἀσθενείᾳ δὲ οὐ σώματος μόνον, ἀλλὰ δὴ καὶ λόγου, καὶ σοφίας ἐν γλώττῃ κειμένης. Καὶ τοῦτο δῆλον ἐκ πολλῶν μὲν καὶ ἄλλων, μάλιστα δὲ ἐκ τοῦ περὶ τὸν μέγαν Θεολόγον καὶ ἀδελφὸν τοῦ Χριστοῦ ἐν χάριτι ὁρωμένου. Οὗτος γὰρ ἁλιέως μὲν πατρὸς ἦν, τὴν αὐτὴν δὲ τέχνην τῷ πατρὶ μεταχειριζόμενος, οὐ μόνον ἀμαθὴς ἦν τῆς Ἑλληνικῆς καὶ Ἰουδαϊκῆς παιδεύσεως, ἀλλὰ καὶ πάντῃ ἀγράμματος, καθὰ δὴ καὶ ὁ θειότατος Λουκᾶς ἐν ταῖς Πράξεσιν ἱστορεῖ περὶ αὐτοῦ. Καὶ γὰρ δὴ καὶ ἡ πατρὶς αὐτοῦ εὐτελεστάτη καὶ ἄσημος, ὡς χωρίον εἶναι οὐ λογικῆς, ἀλλ' ἁλιευτικῆς τέχνης. Βηθσαϊδᾶ γὰρ τοῦτον ἐξήνεγκεν. Ἀλλ' ὅμως ὁ τοιοῦτος, ὁ ἀγράμματος, ὁ ἄσημος, ὁ μηδὲν ἔχων B περίβλεπτον, ἴδε ποίου τετύχηκε πνεύματος, ὥστε ἃ μηδεὶς τῶν ἄλλων εὐαγγελιστῶν ἡμᾶς ἐδίδαξεν, αὐτὸς ταῦτα βροντῆσαι. Ἐπειδὴ γὰρ ἐκείνων καταγενομένων περὶ τὸ σωματικὸν τοῦ Χριστοῦ, μηδὲν δὲ περὶ τῆς πρὸ αἰώνων αὐτοῦ ὑπάρξεως τρανώτερον καὶ σαφέστερον εἰπόντων, δέος ἦν μή ποτέ τινες χαμαιπετεῖς, καὶ μηδὲν ὑψηλὸν νοῆσαι δυνάμενοι, νομίσωσι τὸν Χριστὸν τότε πρῶτον εἰς ὕπαρξιν ἐλθεῖν, ὅτε ἀπὸ Μαρίας ἐγεννήθη, καὶ οὐχὶ πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθῆναι, ὃ πάντως πέπονθε Παῦλος ὁ Σαμοσατεύς. Τούτου ἕνεκεν ὁ μέγας Ἰωάννης περὶ τῆς ἄνω γεννήσεως διαλαμβάνει, καίτοι οὐδὲ τὴν σάρκωσιν τοῦ Λόγου ἀμνημόνευτον καταλείψας· φησὶ γάρ· « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο. » Ὡς δέ τινές φασι, καὶ ἠξίωσαν αὐτὸν οἱ ὀρθόδοξοι συγγρά- C ψαι περὶ τῆς ἄνω γεννήσεως, οἷα ἀναφανέντων τινῶν αἱρετικῶν ἐν ταῖς ἡμέραις ἐκείναις, τῶν δογματιζόντων ἄνθρωπον ψιλὸν ὑπάρξαι τὸν Ἰησοῦν. Ὅτε δὴ λέγεται ὁ ἅγιος τὰ τῶν ἄλλων εὐαγγελιστῶν ἀναγνούς, θαυμάσαι μὲν ἐκείνους τῆς περὶ πάντα ἀληθοῦς ἀφηγήσεως, ἐπικρῖναι δὲ ὡς ὑγιῶς ἔχοντα, καὶ μηδὲν πρὸς χάριν εἰπόντας τῶν ἀποστόλων. Ἃ μέντοι οὐ σαφῶς εἶπον ἐκεῖνοι, ἢ τελείως παρέλιπον, ταῦτα αὐτὸν ἐξαπλῶσαι, καὶ τρανῶσαι, καὶ προσθεῖναι διὰ τοῦ ἰδίου Εὐαγγελίου· ὃ καὶ συνέγραψεν ἐν Πάτμῳ τῇ νήσῳ ἐξόριστος διατελῶν, μετὰ τριακονταδύο ἔτη τῆς τοῦ Χριστοῦ ἀναλήψεως. Ἠγαπᾶτο δὲ πάντων μάλιστα μαθητῶν Ἰωάννης τῷ Κυρίῳ, ὡς ἁπλοῦς

### PRÆFATIO.

503 Sancti Spiritus potentia in infirmitate perficitur [55-56], sicut et scriptum est et credimus: infirmitate autem non corporis tantum, sed et sermonis, et sapientiæ quæ in lingua sita. Manifestumque est id cum ex multorum aliorum, tum ex Joannis magni theologi qui frater Christi, gratia. Hic enim patre quidem piscatore natus, eamdem quam pater exercebat artem. Non solum autem imperitus erat gentilium disciplinarum et Judaicæ eruditionis, sed plane totus illitteratus, quemadmodum divinissimus Lucas in Actis apostolorum de eo tradit [57]. Nam et patria ejus vilis et obscura, non insignibus artibus clara, sed piscaturæ apta, Bethsaida erat. Nihilominus illitteratus ille, ignobilis ille, quique in nullo spectabilis erat, vide quantum sortitus sit spiritum. Etenim quæ nullus aliorum evangelistarum nos docuit, ea ipse intonare ausus est. Nam cum illi occupati fuissent in carnali substantia Christi explicanda, nihilque clare et manifeste satis de substantia ejus dixissent, quam ante sæcula habuit: metuebatur ne quando quidam humi repentes, nihilque sublime intelligere valentes, putarent Christum tunc primum subsistere cœpisse, quando ex Maria natus est, et non ante sæcula ex Patre natum esse, id quod utique Paulo Samosateno accidit. Propterea magnus Joannes de superna ejus generatione tractat, quamvis interim et incarnationem Verbi non 504 relinquit intactam; dicit enim, « Et verbum caro factum est. » Dicunt autem nonnulli quod etiam ipsum rogaverint quidam orthodoxi, ut conscriberet de superna nativitate, eo quod tunc diebus illis pullularent hæretici aliqui Christum hominem esse purum docere non reveriti. Dicitur quoque quod sanctus ille, cum legisset ea quæ ab aliis evangelistis erant scripta, admiratus sit illos de omnibus quidem vera narrasse, et judicarit illos recte et nihil ad gratiam apostolorum scripsisse. Cæterum quæ illi non manifeste dixerunt, vel omnino prætermiserunt, ea ipse explanare, et liquida facere, adjicereque proprio Evangelio cœpit, quod et exsul in Patmo insula conscripsit post triginta duos annos post assumptum in cœlos Christum. Dilectus est autem

55-56 II Cor. XI, 9. 57 Act. IV.

Joannes præ discipulis omnibus maxime a Domino, eo quod absolute mitis erat, suavissimisque moribus, ac mundo corde, nempe virgo. Unde et amplius notitiæ Dei donum ei concreditum est, mysteriisque plerisque incognitis ipse delicatus est. « Beati » enim, inquit, mundi corde, quoniam ipsi Deum videbunt 58. » Erat insuper et cognatus Domini. Quomodo autem? Audi. Joseph ille Deiparæ sponsus habuit ex priore uxore liberos septem, quatuor mares et tres femellas, Martham, Esther et Salomen; et illius sane, Salomes inquam, filius erat Joannes ille. Comperitur itaque Dominus esse avunculus ejus, quoniam Joseph habitus est pater Domini, illius autem Joseph filia Salome et proinde habita soror Domini; atque sic Joannes ejus filius, nepos Domini. Fortassis autem non absurdum fuerit nomina et matris ejus et evangelistæ aperire. Etenim mater ejus quæ Salome dicebatur, interpretatur *pacifica*, Joannes autem *gratia ejus*. Sciat igitur omnis anima quod pax quæ erga homines, et quæ in anima ab affectionibus libera, mater sit divinæ gratiæ, et generat istam in nobis. Animam enim quæ adhuc turbatur, et pugnat contra homines alios, et contra seipsam, non verisimile est divinam consequi gratiam. Consideremus autem et mirabilius quiddam quod circa sanctum illum evangelistam accidit. Tres ille unus matres habere comparet: Salomen natura (*a*), tonitruum, filius enim est tonitrui propterea quod in Evangelio vocalissimus fuerit et Deiparam: nam inquit, Ecce mater tua. Verum hæc ante enarrationem dicta sufficiant: nunc incipienda dictorum ejus reseratio.

## 505 CAPUT I.

***Testimonium Joannis de Christo. Quomodo Joannes interrogatum miserit, an Jesus esset ille Christus. De vocatione Andreæ, Petri, Philippi et Nathanaelis.***

VERS. 1. « In principio erat Verbum. » Sicut et in procemio dicebam, ita denuo dico, quod cum evangelistæ alii inferiorem nativitatem Domini, educationem et incrementum late narrarunt, ea Joannes transcurrat quidem, uti satis a condiscipulis suis dicta, de deitate autem ejus qui propter nos homo factus est, disserat: tametsi si diligenter consideraveris, neque illi de deitate Unigeniti dicere neglexerunt, sed ejus mentionem fecerunt, quamvis non diffuse: neque iste ita sublimitati verbi intentus fuit, ut omnino posthaberet dispensationem ejus in carne. Unus enim erat spiritus qui movebat omnium animas. Itaque nobis de Filio disserit. Etenim Pater nobis ex veteri lege notus erat: tametsi nec de Patre obticeat, sed et ejus meminit de Filio loquens. Ostendit igitur sempiternitatem Unigeniti, dicendo: « In principio erat Verbum, » hoc est, a principio erat. Quod enim a

58 Matth. v, 8.

(*a*) Edit. Lut. non habet, *Salomen natura*.

A τε καὶ πρᾳότατος, καὶ χρηστοηθέστατος, καὶ ὡς καθαρὸς τὴν καρδίαν, ἤγουν παρθένος. Ἐξ οὗ δὴ χαρίσματος καὶ τὴν θεολογίαν ἐπιστεύθη, τῶν ἀθεάτων τοῖς πολλοῖς μυστηρίων κατατρυφήσας. « Μακάριοι γὰρ, φησὶν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. » Ἦν δὲ ἄρα καὶ συγγενὴς τοῦ Κυρίου· καὶ πῶς, ἄκουσον. Ἰωσὴφ ὁ τῆς πανάγνου Θεοτόκου μνηστὴρ ἔσχεν ἐκ προτέρας γυναικὸς παῖδας ἑπτὰ, τέσσαρας ἄῤῥενας καὶ τρεῖς θηλείας, τὴν Μάρθαν, τὴν Ἐσθὴρ, τὴν Σαλώμην, ἧς, λέγω, τῆς Σαλώμης, υἱὸς ἦν οὗτος ὁ Ἰωάννης. Εὑρίσκεται τοίνυν ὁ Κύριος θεῖος αὐτοῦ ὤν. Ἐπεὶ γὰρ πατὴρ τοῦ Κυρίου ὁ Ἰωσὴφ, τούτου δὲ τοῦ Ἰωσὴφ θυγάτηρ ἡ Σαλώμη· ἀδελφὴ ἄρα τοῦ Κυρίου ἡ Σαλώμη λογίζεται, ὥστε καὶ ὁ ταύτης υἱὸς Ἰωάννης ἀνεψιὸς τοῦ Κυρίου. Οὐκ ἄτοπον δὲ ἴσως καὶ τὰ ὀνόματα τῆς μητρὸς αὐτοῦ B καὶ αὐτοῦ τοῦ εὐαγγελιστοῦ ἀναπτύξαι. Ἡ μήτηρ Σαλώμη καλουμένη, ἑρμηνεύεται εἰρηνικὴ, ὁ δὲ Ἰωάννης, χάρις αὐτῆς. Γινωσκέτω οὖν πᾶσα ψυχὴ, ὡς ἡ εἰρήνη ἡ πρός τε τοὺς ἀνθρώπους. καὶ ἡ κατὰ ψυχὴν ἀπὸ τῶν παθῶν, μήτηρ γίνεται τῆς θείας χάριτος, καὶ γεννᾷ ταύτην ἐν ἡμῖν. Τὴν γὰρ ταραττομένην ψυχὴν, καὶ ἔτι μάχας ἔχουσαν πρός τε τοὺς ἄλλους ἀνθρώπους, καὶ πρὸς ἑαυτὴν, οὐκ εἰκὸς τῆς θείας ἀξιωθῆναι χάριτος. Ἐπεσκεψώμεθα δὲ καί τι θαυμασιώτερον συμβὰν περὶ τοῦτον δὴ τὸν εὐαγγελιστὴν Ἰωάννην. Μόνος γὰρ οὗτος τρεῖς μητέρας ἀναφαίνεται ἔχων, τὴν φυσικὴν τὴν Σαλώμην, τὴν βροντὴν (υἱὸς γὰρ βροντῆς διὰ τὴν τοῦ Εὐαγγελίου μεγαλοφωνίαν), καὶ τὴν Θεοτόκον· « Ἰδοὺ γὰρ, φησὶν, ἡ μήτηρ σου. » C Ἀλλ' ἐπεὶ ταῦτα ἡμῖν πρὸ τῆς ἐξηγήσεως εἴρηται, ἀρκτέον ἤδη καὶ τῆς τοῦ ῥητοῦ ἀναπτύξεως.

## ΚΕΦΑΛ. Α'.

Περὶ τῆς μαρτυρίας τοῦ Ἰωάννου περὶ Χριστοῦ. Περὶ τοῦ Ἰωάννου ἐρωτηθέντος, εἰ ἔστιν ὁ Χριστός. Περὶ Ἀνδρέου, Πέτρου, Φιλίππου καὶ Ναθαναὴλ κληθέντων.

« Ἐν ἀρχῇ ἦν ὁ Λόγος. » Ὅπερ καὶ ἐν προοιμίοις εἶπον, πάλιν καὶ τοῦτο ἐρῶ, ὅτι τῶν ἄλλων εὐαγγελιστῶν τὴν κάτω γέννησιν τοῦ Κυρίου, τὴν ἀνατροφὴν, τὴν αὔξησιν πλατέως ἀφηγησαμένων, οὗτος μὲν ἐκεῖνα παρατρέχει, ὡς αὐτάρκως τοῖς συμμαθηταῖς αὐτοῦ ῥηθέντα, περὶ δὲ τῆς θεότητος τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος διαλέγεται· καίτοι εἰ ἀκριβῶς θεωρήσεις, οὔτε ἐκεῖνοι τὸ περὶ τῆς τοῦ Μονογενοῦς D θεότητος εἰπεῖν παρῴσαντο, ἀλλ' ἐπεμνήσθησαν, εἰ καὶ μὴ πλατέως, οὔτε οὗτος πρὸς τὸν ὑψηλότερον λόγον ἀποβλέψας, ἠμέλησε πάντη τῆς ἐνσάρκου οἰκονομίας· ἓν γὰρ ἦν Πνεῦμα τὸ κινοῦν τὰς τῶν ἁπάντων ψυχάς. Διαλέγεται οὖν ἡμῖν περὶ τοῦ Υἱοῦ. ὁ γὰρ Πατὴρ ἤδη ἀπὸ τῆς Παλαιᾶς γνώριμος ἦν. Καίτοι οὐδὲ τὸν Πατέρα ἀπεσιώπησεν, ἀλλὰ καὶ περὶ τούτου μέμνηται, καὶ περὶ τοῦ Υἱοῦ λέγει. Δείκνυσι τοίνυν τὸ ἀΐδιον τοῦ Μονογενοῦς ἐν τῷ λέγειν· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » τουτέστιν, ἀπ' ἀρχῆς ἦν. Τὸ γὰρ ἀπ'

ἀρχῆς ὄν, οὐ μὴ εὑρεθῇ πάντως χρόνος, ὅτε οὐκ ἦν. Καὶ πόθεν, φησὶ, δῆλον ὅτι τὸ, « Ἐν ἀρχῇ ἦν, » ταυτὸν σημαίνει τῷ, ἀπ' ἀρχῆς; Πόθεν; Καὶ ἀπ' αὐτῆς μὲν τῆς κοινῆς ὑπολήψεως, μάλιστα δὲ ἀπ' αὐτοῦ τούτου τοῦ εὐαγγελιστοῦ. Φησὶ γὰρ ἐν μιᾷ τῶν αὐτοῦ ἐπιστολῶν· « Ὃ ἦν ἀπ' ἀρχῆς (12), ὃ ἑωράκαμεν. » Ὁρᾷς οὖν πῶς αὐτὸς ἑαυτὸν ὁ ἠγαπημένος ἑρμηνεύει; Ναὶ, φησὶν, ἀλλ' ἐγὼ τὸ, « ἐν ἀρχῇ, » οὕτω νοῶ, ὥσπερ καὶ παρὰ τῷ Μωσεῖ· « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός. » Ὥσπερ γὰρ ἐκεῖ οὐχ ὡς ἀϊδίου ὄντος τοῦ οὐρανοῦ τὸ, « ἐν ἀρχῇ, » νοεῖται, οὕτως οὐδ' ἐνταῦθα τὸ, « ἐν ἀρχῇ, » νοήσω, ὡς ἀϊδίου ὄντος τοῦ Μονογενοῦς. Ταῦτα μὲν ὁ αἱρετικός. Ἡμεῖς δὲ πρὸς ταύτην τὴν ἀνόητον ἔνστασιν οὐδὲν ἕτερον ἐροῦμεν, ἀλλ' ἢ τοῦτο· Ὦ σοφιστὰ τῆς κακίας, πῶς τὸ ἑξῆς ὑπεκράτησας; Ἀλλ' ἡμεῖς τοῦτο ἐροῦμεν, κἂν σὺ μὴ θέλῃς. Ἐκεῖ μὲν γὰρ ὁ Μωσῆς φησιν· « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· » ἐνταῦθα δὲ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. » Τίς οὖν κοινωνία τῷ « ἐποίησε, » πρὸς τὸ « ἦν; » Εἰ μὲν γὰρ ἐγέγραπτο καὶ ἐνταῦθα· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Υἱὸν, ἐσίγησα ἄν· νῦν δὲ, « Ἐν ἀρχῇ ἦν· » ἐξ οὗ νοῶ τὸ ἀϊδίως εἶναι τὸν Λόγον, ἀλλὰ μὴ ὕστερον, καθὼς ὑμεῖς φλυαρεῖτε. Τίνος δὲ ἕνεκεν οὐκ εἶπεν· Ἐν ἀρχῇ ἦν ὁ Υἱὸς, ἀλλ', « ὁ Λόγος, » ἄκουε. Ὅτι διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν, ἵνα μὴ ἀκούσαντες εὐθὺς ἐξ ἀρχῆς υἱὸν, νοήσωμεν γέννησιν ἐμπαθῆ καὶ σωματικὴν, τούτου ἕνεκεν Λόγον αὐτὸν ἐκάλεσεν· ἵνα σὺ μάθῃς ὅτι ὥσπερ ὁ λόγος γεννᾶται ἐκ τοῦ νοὸς ἀπαθῶς, οὕτω καὶ οὗτος ἐγεννήθη ἐκ τοῦ Πατρὸς ἀπαθῶς· καὶ ἄλλως δὲ αὐτὸν Λόγον ἐκάλεσεν, ἐπειδὴ τὰ τοῦ Πατρὸς ἡμῖν ἀπήγγειλεν, ὥσπερ καὶ πᾶς λόγος τὰ τοῦ νοὸς ἀπαγγέλλει βουλεύματα, ἅμα δὲ καὶ ἵνα δείξῃ αὐτὸν συναΐδιον τῷ Πατρὶ ὄντα. Ὥσπερ γὰρ οὐκ ἔστιν εἰπεῖν νοῦν ὄντα ποτὲ χωρὶς λόγου, οὕτως οὐδὲ τὸν Πατέρα καὶ τὸν Θεὸν χωρὶς τοῦ Υἱοῦ. Μετὰ τοῦ ἄρθρου δὲ εἶπεν· Ὁ Λόγος. Εἰσὶ γὰρ καὶ ἄλλοι πολλοὶ λόγοι τοῦ Θεοῦ, οἷον δὴ, φημὶ, αἱ προφητεῖαι, καὶ τὰ προστάγματα· καθὸ εἴρηται περὶ τῶν ἀγγέλων, ὅτι δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τουτέστι, τὰ προστάγματα αὐτοῦ· ἀλλ' ὁ κυρίως Λόγος οὐσία τις ἐστὶν ἐνυπόστατος.

« Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. » Καὶ ἐνταῦθα σαφέστερον δείκνυσι συναΐδιον τὸν Υἱὸν τῷ Πατρί. Ἵνα γὰρ μὴ νομίσῃς, ὅτι ἦν ποτε ὁ Πατὴρ χωρὶς τοῦ Υἱοῦ, φησὶν, ὅτι « Ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, » τουτέστι μετὰ Θεοῦ, ἐν τοῖς κόλποις τοῖς πατρικοῖς. Τὸ γὰρ, « πρὸς, » ἀντὶ τοῦ, μετὰ, ὀφείλεις νοῆσαι, ὡς καὶ ἀλλαχοῦ κεῖται· « Οὐχὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ πρὸς ἡμᾶς εἰσιν; » ἀντὶ τοῦ, μεθ' ἡμῶν ἀναστρέφονται; Οὕτω κἀνταῦθα τὸ, « πρὸς τὸν Θεὸν, » νόησον, ἀντὶ τοῦ, μετὰ Θεοῦ ἦν, σὺν τῷ Θεῷ, ἐν τοῖς κόλποις αὐτοῦ. Οὐκ ἐνδέχεται γὰρ τὸν

A principio est, ejus omnino nullum tempus inventum quando non erat. Et unde dixerit quis, Manifestum quod in principio idem sit quod a principio? Unde? Ex ipsa quidem communi conceptione, maxime autem ab hoc ipso evangelista. Inquit enim in una suarum epistolarum: « Quod erat ab initio, quod vidimus [59]. » Vides igitur quod ille dilectus Domini seipsum interpretetur? Etiam, inquit. Sed ego istud, « in principio, » sic intelligo, quemadmodum et a Mose dictum est, « In principio fecit Deus [60]. » Sicut enim illic istud, in principio, non intelligitur quasi cœlum fuerit sempiternum, sic neque hoc loco quod sempiternus sit unigenitus. Hæc quidem hæreticus. Nos autem ad hanc stultam B instantiam nihil aliud dicimus, quam hoc: O sophista malitiæ, quomodo quod sequitur subticuisti? At nos, etiam hoc te nolente, dicemus. Nam illic quidem Moses dicit, « In principio fecit Deus cœlum et terram: » hoc autem loco, « In principio erat Verbum. » Quæ igitur communio verbi, fecit, ad verbum, erat? Equidem siluissem, si hoc loco scriptum fuisset, In principio fecit Deus Filium; nunc autem inquit, « In principio erat. » Ex quo intelligo sempiternum fuisse verbum, et non posterius conditum, sicut vos nugamini. Quare autem non dixit, « In principio erat » Filius, sed, « Verbum? » Audi, propter auditorum infirmitatem, ne audito statim ab initio **506** Filii nomine, cogitaremus nativitatem corporalem, et ab affectionibus proficiscentem. Et ejus gratia ipsum vocavit Verbum, quo discas, C quod sicut verbum gignitur ex mente sine passione, ita et hic a Patre natus est absque ulla affectione. Vel aliter: ipsum appellavit Verbum, quia nobis quæ sunt Patris annuntiavit, quemadmodum omne verbum mentis voluntates annuntiat, insuper ut ostendat coæternum esse Patri Filium. Sicut enim dici nequit mentem aliquando esse absque verbo, ita neque Patrem et Deum absque Filio. Dictum est autem cum articulo, illud Verbum. Sunt enim alia multa Dei verba, ut prophetiæ et mandata: secundum quod dictum est do angelis, potentes virtute, facientes verbum ejus, hoc est, mandata ejus. Sed proprie Verbum subsistentia est personam constituens.

VERS. 2. « Et illud Verbum erat apud Deum. » D Et hoc loco manifestius indicat coæternum Patri Filium. Ne enim existimes quod Pater aliquando fuerit absque Filio, dicit, « Et illud Verbum erat apud Deum, » hoc est, cum Deo, in sinibus paternis. « Apud, » enim intelligere debes pro, cum: sicut et alio loco dictum est [61], « Nonne fratres ejus et sorores ejus apud nos sunt? » hoc est, nobiscum sunt, et nobiscum conversantur? Sic et hoc loco, apud Deum, intellige, hoc est, cum Deo erat, cum Deo, in sinibus ejus. Impossibile enim est Deum absque

59 I Joan. I, 1. 60 Gen. I, 1. 61 Marc. VI, 3.

Ex collatione codd. Venet. S. Marci.

(12) Cod. 32 addit: ὃ ἀκηκόαμεν.

sermone et sapientia et virtute esse. Idcirco quia A verbum et sapientia et virtus Patris exsistit Filius, credimus ipsum semper esse apud Deum, hoc est, cum Patre Et quomodo, inquit, fieri potest, ut patre posterior non sit filius? Quomodo? Disce a corporali exemplo. Splendor solis nonne ab ipso sole est? Etiam omnino. Nunquid ergo et posterior sole, ita ut sine eo sol intelligatur? Hoc dici non potest. Quomodo enim sol esset, splendorem non habens? Igitur multo magis hoc de Patre et Filio intelligetur. Filius enim, Patris cum sit splendor [68], sicut et Paulus dicit, semper cum Patre credendus est fulgere nec esse illo posterior. Attende hic et Sabellium Lyben hoc dicto confutari. Ille enim docuit quod Pater, et filius, et Spiritus, una persona sint, et quod unica illa persona apparuerit aliquando ut B Pater, interdum ut Filius, nonnunquam ut Spiritus sanctus. Hæc nugatur mendacis patris filius, malignoque spiritu plenus, arguitur autem manifeste ex hoc quod dicitur, « Et illud Verbum erat apud Deum. » Manifeste enim evangelista hoc loco alium dicit esse Verbum, et alium Deum, hoc est Patrem. Nam quia Verbum erat apud Deum, manifestum quod duæ personæ introducantur, etiam si una natura sit in his duobus. Quod autem 507 una natura sit, audi. « Et Deus erat illud Verbum. » Vides quod et Verbum erat Deus? et ita una erat natura Patris et Filii, quia et una divinitas. Confundantur igitur et Arius et Sabellius. Arius quidem, qui creaturam dicit Filium Dei et facturam. Confutetur autem per hoc quod dicit, « In principio erat, et Deus erat illud Verbum. » Sabellius vero negans C personarum trinitatem, sed asserens unitatem, rejiciatur per hoc quod dicitur, « Et illud Verbum erat apud Deum. » Manifeste enim hoc loco alium esse Verbum, et alium esse Patrem declarat magnus Joannes, etiamsi non sit aliud et aliud. Alius enim et alius de personis dicitur, aliud et aliud de naturis. Et ut exemplo manifestius faciamus, Petrus et Paulus sunt alius et alius: sunt enim personæ duæ: sed non aliud et aliud. Una enim eorum natura est, humanitas. Sic igitur de Patre ac Filio dicendum. Alius enim sunt et alius, duæ personæ; non autem aliud et aliud: una enim natura eorum, deitas. « Illud erat in principio apud Deum. » Ille Deus Verbum nunquam separatus est a Deo Patre. Quia enim dixerat, « Deus erat Verbum: » ne quis diabo- D lica illusione turbet quosdam, dicens: Ergo quia et Verbum Deus est, aliquando insurget contra Patrem, ut gentiles fabulantur? et segregans se ab eo, adversarius erit? propterea dicit quod licet Deus sit Verbum, nihilominus cum Deo Patre est, et ab eo nunquam separatus. Non minus facile fuerit et Arianis respondere: Surdi, audite, qui dicitis opus et facturam esse Dei Filium. Intelligite qua le nomen imposuerit evangelista Filio Dei Verbum enim ipsum vocavit: vos autem, opus et

[68] Hebr. I, 3.

A Θεὸν ἄλογον ἢ ἄσοφον εἶναί ποτε, ἢ ἀδύνατον. Διὰ τοῦτο πιστεύομεν, ὅτι ἐπεὶ λόγος, καὶ σοφία, καὶ δύναμις τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, ἀεὶ ἦν πρὸς τὸν Θεὸν, ἀντὶ τοῦ, σὺν τῷ Πατρὶ, καὶ μετὰ τοῦ Πατρός. Καὶ πῶς, φησὶν, υἱὸν ὄντα μὴ εἶναι ὕστερον τοῦ πατρός; Πῶς; Μάνθανε ἀπὸ τοῦ ὑλικοῦ ὑποδείγματος. Τὸ ἀπαύγασμα τοῦ ἡλίου ἆρα οὐκ ἐξ αὐτοῦ ἐστι τοῦ ἡλίου; Ναὶ πάντως. Ἆρα οὖν καὶ ὕστερόν ἐστι τοῦ ἡλίου, ὥστε ἐννοηθῆναί ποτε ἥλιον χωρὶς τούτου; Οὐκ ἔστιν εἰπεῖν. Πῶς γὰρ ἂν καὶ εἴη ἥλιος μὴ ἀπαύγασμα ἔχων; Ὅπερ οὖν ἐπὶ τούτου, πολλῷ μᾶλλον ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ νοηθήσεται. Ἀπαύγασμα γὰρ ὢν ὁ Υἱὸς τοῦ Πατρὸς, καθὼς ὁ Παῦλος λέγει, ἀεὶ τῷ Πατρὶ συνεκφαίνεσθαι πιστευθήσεται, καὶ οὐχ ὕστερος ἔσται αὐτοῦ. Νόει δέ μοι καὶ Σαβέλ- B λιον τὸν Λίβυν ἐκ τούτου τοῦ ῥητοῦ ἀνατρεπόμενον. Ἐκεῖνος γὰρ ἐδογμάτιζεν, ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἓν πρόσωπόν εἰσι, καὶ τοῦτο τὸ ἓν πρόσωπον ποτὲ μὲν ἐφάνη ὡς Πατὴρ, ποτὲ δὲ ὡς Υἱὸς, ποτὲ δὲ ὡς Πνεῦμα. Ταῦτα ἐφλυάρει ὁ τοῦ πατρὸς τοῦ ψεύδους υἱὸς, καὶ τοῦ πονηροῦ πλήρης πνεύματος. Ἐλέγχεται δὲ προφανῶς ἐκ τούτου, λέγω δὴ τοῦ· « Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. » Σαφέστατα γὰρ ὁ εὐαγγελιστὴς ἐνταῦθα λέγει, ἄλλον εἶναι τὸν Λόγον, καὶ ἄλλον τὸν Θεὸν ἤτοι τὸν Πατέρα. Ἐπεὶ γὰρ ὁ Λόγος ἦν σὺν τῷ Θεῷ, πρόδηλον ὅτι δύο πρόσωπα εἰσάγονται, εἰ καὶ μία φύσις τούτοις τοῖς δυσίν. Ὅτι δὲ μία φύσις, ἄκουε. « Καὶ Θεὸς ἦν ὁ Λόγος. » Ὁρᾷς ὅτι καὶ ὁ Λόγος Θεός; ὥστε μία φύσις τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ἐπεὶ καὶ μία θεότης. Αἰσχυνέσθωσαν τοίνυν καὶ Ἄρειος καὶ Σαβέλλιος· Ἄρειος μὲν, κτίσμα λέγων C τὸν Υἱὸν τοῦ Θεοῦ καὶ ποίημα, ἐντρεπέσθω διὰ τοῦ, « Ἐν ἀρχῇ ἦν, καὶ Θεὸς ἦν ὁ Λόγος. » Σαβέλλιος δὲ, ὁ μὴ λέγων τριάδα προσώπων, ἀλλὰ μονάδα, διὰ τοῦ, « Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. » Τρανῶς γὰρ ἐνταῦθα ἄλλον εἶναι τὸν Λόγον, καὶ ἄλλον τὸν Πατέρα, κηρύττει ὁ μέγας Ἰωάννης, εἰ καὶ μὴ ἄλλο καὶ ἄλλο. Τὸ μὲν γὰρ ἄλλος καὶ ἄλλος ἐπὶ τῶν προσώπων λέγεται, τὸ δὲ ἄλλο καὶ ἄλλο, ἐπὶ τῶν φύσεων. Οἷον, ἵνα σαφέστερον τὸ νόημα ἐκθήσωμαι, Πέτρος καὶ Παῦλος, ἄλλος μὲν καὶ ἄλλος· δύο γὰρ πρόσωπα· οὐκ ἄλλο δὲ καὶ ἄλλο· μία γὰρ φύσις αὐτοῖς ἡ ἀνθρωπότης. Οὕτως οὖν καὶ ἐπὶ Πατρὸς καὶ Υἱοῦ δογματιστέον· ἄλλος μὲν γὰρ καὶ ἄλλος· δύο γὰρ πρόσωπα· οὐκ ἄλλο δὲ καὶ ἄλλο· μία γὰρ φύσις ἡ θεότης. « Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. » Οὗτος D ὁ Θεὸς Λόγος οὐδέποτε ἐχωρίσθη τοῦ Θεοῦ καὶ Πατρός. Ἐπεὶ γὰρ εἶπεν, ὅτι « Καὶ Θεὸς ἦν ὁ Λόγος, » ἵνα μή τις σατανικὴ ὑπόνοια ἐκταράξῃ τινὰς, Ἆρα μήποτε ἐπεὶ καὶ ὁ Λόγος Θεός ἐστιν, ἐπανέστη τῷ Πατρὶ, ὡς οἱ παρ' Ἕλλησι μυθευόμενοι, καὶ οἷον ἀποχωρισθεὶς αὐτοῦ, ἀντίθεος γέγονε; διὰ τοῦτο τοίνυν φησὶν, ὅτι εἰ καὶ Θεός ἐστιν ὁ Λόγος, ἀλλ' οὖν πάλιν πρὸς τὸν Θεὸν καὶ Πατέρα ἐστὶ, σὺν αὐτῷ ὢν, καὶ οὐδέποτε χωριζόμενος. Οὐ χεῖρον δὲ καὶ πρὸς τοὺς Ἀρειανίζοντας καὶ τοῦτο εἰπεῖν· Οἱ κωφοὶ, ἀκούσατε, οἱ λέγοντες ἔργον εἶναι καὶ ποίημα τοῦ

Θεοῦ τὸν Υἱὸν αὐτοῦ, σύνετε ποῖον ὄνομα τέθεικεν ὁ εὐαγγελιστὴς τῷ Υἱῷ τοῦ Θεοῦ. Λόγον γὰρ αὐτὸν ἐκάλεσεν· ὑμεῖς δὲ ἔργον αὐτὸν καὶ ποίημα ὀνομάζετε. Λόγος ἐστὶν, οὐκ ἔργον, οὐδὲ κτίσμα. Διττοῦ δὲ ὄντος τοῦ λόγου (ὁ μὲν γάρ ἐστιν ἐνδιάθετος, ὃν καὶ μὴ λέγοντες ἔχομεν, φημὶ δὴ τὴν τοῦ λέγειν δύναμιν· καὶ κοιμώμενος γάρ τις, καὶ μὴ λέγων, ὅμως ἔχει τὸν λόγον ἐν αὐτῷ κείμενον, καὶ τὴν δύναμιν οὐκ ἀπέβαλεν· ὁ μὲν οὖν ἐστιν ἐνδιάθετος, ὁ δὲ προφορικὸς, ὃν καὶ διὰ τῶν χειλέων προφέρομεν τὴν τοῦ λέγειν δύναμιν τοῦ ἐνδιαθέτου, καὶ ἐντὸς κειμένου, εἰς ἐνέργειαν προάγοντες)· διττοῦ τοίνυν ὄντος τοῦ λόγου, οὐδέτερος τούτων ἁρμόζει ἐπὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ· Οὔτε γὰρ προφορικὸς, οὔτε ἐνδιάθετός ἐστιν ὁ Λόγος τοῦ Θεοῦ. Ἐκεῖνοι μὲν γὰρ τῶν φυσικῶν καὶ καθ' ἡμᾶς· ὁ δὲ τοῦ Πατρὸς Λόγος ὑπὲρ φύσιν ὢν, οὐχ ὑποβάλλεται τοῖς κάτω τεχνολογήμασιν. B Ὥστε διαπέπτωκε τοῦ Ἕλληνος Πορφυρίου τὸ σόφισμα. Ἐκεῖνος γὰρ ἀνατρέπειν πειρώμενος τὸ Εὐαγγέλιον, τοιαύταις ἐχρῆτο διαιρέσεσιν. Εἰ γὰρ Λόγος, φησὶν, ὁ Υἱὸς τοῦ Θεοῦ, ἤτοι προφορικός ἐστιν ἢ ἐνδιάθετος· ἀλλὰ μὴν οὔτε τοῦτο, οὔτε ἐκεῖνο· οὐκ ἄρα οὐδὲ Λόγος ἐστίν. Ἔφθασε μὲν οὖν λύσας ὁ εὐαγγελιστὴς τὸ σόφισμα τοῦτο διὰ τοῦ εἰπεῖν, ὅτι τὸ ἐνδιάθετον καὶ τὸ προφορικὸν ἐπὶ τῶν καθ' ἡμᾶς καὶ τῶν φυσικῶν λέγεται· ἐπὶ δὲ τοῦ ὑπὲρ φύσιν, οὐδὲν τοιοῦτον. Πλὴν καὶ τοῦτο ῥητέον, ὡς εἰ μὲν ἦν τὸ ὄνομα τοῦτο τὸ Λόγος ἄξιον τοῦ Θεοῦ, καὶ κυρίως ἐπ' αὐτοῦ καὶ οὐσιωδῶς λεγόμενον, εἶχεν ἂν λόγον ἡ ἀπορία τοῦ Ἕλληνος· νῦν δὲ οὔτε ἄλλο ὄνομα εὕροι ἄν τις κύριον ἐπὶ Θεοῦ, οὔτε τὸ, Λόγος, αὐτὸ οὐσιωδῶς ἐστι C καὶ κυρίως, δηλωτικὸν δὲ μόνον ἐστὶ τοῦ ἀπαθῶς γεννηθῆναι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς, ὥσπερ ὁ λόγος ἐκ τοῦ νοῦ, καὶ τοῦ αὐτὸν γεγονέναι τοῦ πατρικοῦ θελήματος ἄγγελον. Ὥστε τί ἐπιδράττῃ τοῦ ὀνόματος, ὦ ταλαίπωρε; Ἢ που καὶ Πατέρα ἀκούων, καὶ Υἱὸν, καὶ Πνεῦμα ἐπὶ τὰ ὑλικὰ καταπεσῇ, καὶ σαρκικοὺς ἀνατυπώσεις τῷ νῷ πατέρας, καὶ υἱοὺς, καὶ πνεῦμα ἀέριον, νότιον τυχὸν ἢ βόρειον, ἤ τι ἄλλο τῶν ἐργαζομένων τοὺς κλύδωνας; Ἀλλὰ γὰρ εἰ βούλῃ μαθεῖν ποῖος Λόγος ἐστὶν ὁ τοῦ Θεοῦ, ἄκουσον τῶν ἐφεξῆς.

« Πάντα δι' αὐτοῦ ἐγένετο » Μὴ νομίσῃς, φησὶ, λόγον εἰς ἀέρα χεόμενον καὶ λυόμενον, ἀλλὰ ποιητὴν πάντων νοητῶν καὶ αἰσθητῶν. Ἀλλὰ πάλιν οἱ περὶ τὸν Ἄρειον ἐπιφύονται, λέγοντες ὅτι ὥσπερ λέγομεν διὰ τοῦ πρίονος γενέσθαι τὴν θύραν ὡς δι' ὀργάνου, ἕτερον μέντοι τὸν τεχνίτην τὸν κινοῦντα τὸ ὄργανον· D οὕτω καὶ διὰ τοῦ Υἱοῦ γενέσθαι τὰ πάντα, οὐχ ὡς αὐτοῦ ποιητοῦ ὄντος, ἀλλ' ὀργάνου, ὥσπερ ἐκεῖ ὁ πρίων, τοῦ μέντοι Θεοῦ καὶ Πατρὸς ποιητοῦ ὄντος καὶ χρωμένου τῷ Υἱῷ ὡς ὀργάνῳ. Ὥστε ποίημα, φασὶν, ὁ Υἱὸς, ἐπὶ τούτῳ κτισθεὶς, ἐπὶ τῷ δι' αὐτοῦ γενέσθαι τὰ πάντα· ὥσπερ ὁ πρίων ἐπὶ τούτῳ γίνεται, ἐπὶ τῷ δι' αὐτοῦ ἐνεργηθῆναι τὰ τεκτονικὰ ἔργα. Ταῦτα μὲν ἡ πονηρὰ τοῦ Ἀρείου φατρία. Ἡμεῖς δέ τι πρὸς τούτους ἐροῦμεν ἁπλοῦν καὶ εὐθὲς, ὡς εἰ ἐπὶ τούτῳ ἔκτισεν, ὥς φατε, ὁ Πατὴρ τὸν Υἱὸν, ἵνα ὄργανον ἔχῃ τοῦτον πρὸς συμπλήρωσιν τῆς κτίσεως, ἀτιμότερος ἔσται ὁ Υἱὸς τῆς κτίσεως.

A facturam vocatis eum, qui neque opus est, neque factura. Nam cum duplex sit verbum (aliud quidem mentale, quod habemus etiam nihil loquentes, intellige autem virtutem loquendi : ita enim et dormiens et nihil loquens habet vim loquendi in seipso sitam, et virtutem non abjecit : est igitur aliud internum, aliud vero enuntiativum, quod per labia proferimus, hoc est vis eloquendi, cum id quod intus situm est in mente, in opus producimus), cum igitur duplex sit verbum, neutrum horum congruit in Filium Dei. Neque enim vel enuntiativum vel mentale Verbum est Filius Dei. Verba enim illa naturalia sunt, et qualia apud nos. Verbum autem Patris super naturam est, nec subjectum artificiis illis loquendi inferioribus. Atque ita cadit Porphyrii gentilis sophisma. Ille enim tentans subvertere Evangelium, B talibus utebatur divisionibus. Si enim, inquit, Filius Dei Verbum est, vel est pronuntiativum, vel mentale : verum neque hoc est, neque illud: ergo neque Verbum est. **508** Solutum itaque prius est sophisma hoc, quia dicimus quod mentale et pronuntiativum verbum est de his quæ apud nos de naturalibus dicuntur: de eo autem quod supra naturam est, nihil tale. Verumtamen et hoc dicendum : Si quidem nomen Verbi dignum esset Deo, et proprie de illo ac substantialiter diceretur, haberet utique locum gentilis dubitatio; at neque ullum aliud proprium nomen quis invenerit dignum Deo: neque Verbum ipsum substantialiter et proprie est nomen Unigeniti, sed tantum manifestat absque affectione natum C de Patre Filium, quemadmodum verbum de mente, et quod Filius sit paternæ voluntatis nuntius. Et proinde, o miser, quid vellicas nomen, aut profecto cum dicitur Pater, et Filius, et Spiritus, ad materialia laberis, et carnales mente fingis patres, et septem filios, et spiritum aerium, meridionalem forte, vel septentrionalem vel alium excitantem tempestatem? Cæterum si scire vis quale sit Verbum Dei, audi reliqua quæ sequuntur.

Vers. 3. « Omnia per ipsum facta sunt. Ne existimes, inquit, verbum quod in aera diffunditur et dissolvitur, sed factorem omnium tam mentalium quam sensibilium. Hic iterum Ariani insurgunt, et dicunt quod sicut dicimus securi fabricari januam D quasi insrumento, et alium esse fabrum qui movet hoc organum, ita et per Filium fieri omnia, non quod ipse sit factor, sed instrumentum, sicut illic securis, et Filio ut instrumento utatur, cum tamen Deus et Pater faciat. Et ita factura, aiunt, est Filius, ad hoc facta ut per ipsum fiant omnia, sicut et securis ad hoc fit ut per eam omnia artificialia elaborentur. Et hæc sunt maligna Arii nugamenta. Nos autem quid illis dicemus simpliciter ac recte? Quod si in hoc creavit, ut dicit, Pater Filium, ut intrumentum haberet ad completionem creaturæ, indignior fuerit Filius creatura. Nam sicut securi, quæ est instrumentum, alia quæ per eam fiunt,

digniora sunt : propter illa enim securis, non illa propter securim; ita et creatura dignior est Unigenito. Propter illam enim, ut dicunt ipsi, Pater creavit eum, et ita ut si non fuisset Deus omnia creaturus, neque unigenitum produxisset. Quid his verbis insipientius? Etiam, inquit, et quomodo non dixit quod ipsum Verbum fecerit omnia, sed usus est præpositione «per?» Quomodo? Ut ne suspiceris illum ingenitum et absque principio esse Filium, et Deo adversarium, ejus gratia dixit quod Pater per Verbum fecerit omnia. Finge enim regem quemdam qui habet filium, et conditurus est civitatem, ei concredere illius exstructionem. Sicut igitur dicens quod per Filium regis condita sit civitas, non servum dicit filium 509 regis, sed monstrat quod hic filius habeat patrem, et non sit solus : sic etiam hoc loco evangelista dicens per Filium facta omnia, manifestavit quod Pater mediatore illo ad conditionem rerum, ut sic dicam, usus fuerit, non se minore, sed æqualis potestatis, et ut valente talia perficere. Insuper hoc tibi dixerim quod si te offendit præpositio «per,» et quæris invenire in Scriptura sermonem quemdam qui dicat quod Verbum ipsum fecerit omnia, audi David : «Principio tu, Domine, terram fundasti, et opera manuum tuarum sunt cœli [67·41].» Vides quomodo non dixerit, quia Per te facti sunt cœli, et fundata est terra : sed, «Tu fundasti, et opera manuum tuarum sunt cœli.» Quod autem hæc de Unigenito David, et non de Patre dicit, disces etiam hoc et ab ipso quidem Apostolo, qui utitur hoc dicto in epistola ad Hebræos. Disces quoque ex eodem psalmo cum dicit : «Dominus in terram aspexit, ut audiat gemitum, et ut solvat mortificatos, et ut annuntiet in Sion nomen Domini [42].» Nunquid alium significat quam Filium Dei? Hic enim in terram aspexit, sive hanc dicas quam inhabitamus, sive hanc nostram naturam quæ terræ involuta est, sive carnem juxta illud, « Terra es. » Quam et assumpsit, solvitque nos compeditos peccatorum vinculis, et filios occisorum Adæ scilicet et Evæ, ut annuntiet in Sion nomen Domini. Stans enim in templo docuit de Patre suo, quemadmodum et ipse dicit : « Manifestavi nomen tuum hominibus [43]. » Hæc igitur cui congruunt? Patrine an Filio? Omnino Filio. Nam ipse annuntiavit nomen Patris in Jerusalem docens. Itaque postquam hæc dixit David, subdit: «Et tu ab initio, Domine, terram fundasti, et opera manuum tuarum sunt cœli.» Annon manifeste Filium inducit factorem, et non instrumentum? Quod si præpositio «per,» diminutionem tibi inducere videtur, quid dices cum Paulus apponat hanc Patri? dicit enim : « Fidelis Deus, per quem vocati sumus in societatem Filii sui [44]. » Num instrumentum hoc loco facit Patrem? Et iterum, «Paulus apostolus per voluntatem Dei [45].» Et de his quidem satis. Redeamus ad ea unde digressi sumus. « Omnia per ipsum facta sunt. » Moses quidem ap

A Ὥσπερ γὰρ τοῦ πρίονος ὀργάνου ὄντος τιμιώτερά εἰσι τὰ δι' αὐτοῦ γινόμενα· ὁ γὰρ πρίων δι' ἐκεῖνα ἐγένετο, οὐχὶ ἐκεῖνα διὰ τὸν πρίονα· οὕτω καὶ ἡ κτίσις τιμιωτέρα ἔσται τοῦ Μονογενοῦς. Δι' ἐκείνην γὰρ, ὡς λέγουσιν αὐτοὶ, ὁ Πατὴρ ἔκτισεν αὐτόν· ὡς ἐάν γε μὴ ἔμελλεν ὁ Θεὸς κτίσαι τὰ πάντα, οὐδὲ τὸν Μονογενῆ παρήγαγε. Τούτων τῶν ῥημάτων τί ἀνοητότερον; Ναὶ, φησὶ, καὶ πῶς οὐκ εἶπεν, Αὐτὸς ὁ Λόγος ἐποίησε τὰ πάντα, ἀλλ' ἐχρήσατο ταύτῃ τῇ προθέσει τῇ, «διά;» Πῶς; Ἵνα μὴ ἀγέννητον καὶ ἄναρχον ὑπονοήσῃς εἶναι τὸν Υἱὸν καὶ ἀντίθεον, τούτου ἕνεκεν εἶπεν, ὡς ὁ Πατὴρ διὰ τοῦ Λόγου ἐποίησε τὰ πάντα. Ὑπόθες γάρ τινα ἔχοντα υἱὸν βασιλέα, μέλλοντα δὲ κτίσαι πόλιν, ἐμπιστεῦσαι τῷ υἱῷ τὴν ταύτης κτίσιν. Ὥσπερ οὖν ὁ λέγων· Διὰ τοῦ Υἱοῦ τοῦ βασιλέως B ἐκτίσθη ἡ πόλις, οὐ δοῦλον εἰσάγει τὸν υἱὸν τοῦ βασιλέως, ἀλλὰ δείκνυσιν, ὅτι οὗτος ὁ υἱὸς ἔχει καὶ πατέρα, καὶ οὐ μόνος ἐστίν· οὕτω καὶ ἐνταῦθα ὁ εὐαγγελιστὴς εἰπὼν διὰ τοῦ υἱοῦ γεγενῆσθαι τὰ πάντα, ἐδήλωσεν ὅτι ὁ Πατὴρ μεσίτῃ αὐτῷ πρὸς τὴν κτίσιν, ἵν' οὕτως εἴπω, ἐχρήσατο, οὐχ ὡς ἐλάττονι αὐτῷ, ἀλλὰ ὡς μᾶλλον ἰσοδυνάμῳ, καὶ ὡς ἰσχύοντι τηλικαύτην ἐκτελεῖν ἐπίτασιν. Καὶ τοῦτό σοι λέγω, ὅτι ἐὰν σε ταράττῃ ἡ «διὰ» πρόσθεσις, καὶ ζητῇς εὑρεῖν ἐν τῇ Γραφῇ ῥῆσίν τινα λέγουσαν ὅτι αὐτὸς ὁ Λόγος ἐποίησε τὰ πάντα, ἄκουε τοῦ Δαυΐδ· «Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί.» Ὁρᾷς πῶς οὐκ εἶπεν, ὅτι Διὰ σοῦ ἐγένοντο οἱ οὐρανοὶ, καὶ ἐθεμελιώθη ἡ γῆ, ἀλλὰ, «Σὺ ἐθεμελίωσας, καὶ ἔργα χει- C ρῶν σού εἰσιν.» Ὅτι δὲ ταῦτα περὶ τοῦ Μονογενοῦς ὁ Δαυΐδ, ἀλλ' οὐ περὶ τοῦ Πατρὸς λέγει, μάθοις ἂν καὶ ἀπ' αὐτοῦ τοῦ Ἀποστόλου, συγχρωμένου τῷ ῥητῷ ἐν τῇ πρὸς Ἑβραίους· μάθοις δ' ἂν καὶ ἀπ' αὐτοῦ τοῦ ψαλμοῦ. Εἰπὼν γὰρ, ὅτι «Ὁ Κύριος ἐπέβλεψεν ἐπὶ τὴν γῆν, τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ, καὶ λῦσαι τοὺς τεθανατωμένους, καὶ τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου,» τίνα ἄλλον δηλοῖ, ἢ τὸν Υἱόν τοῦ Θεοῦ; Οὗτος γὰρ ἐπὶ τὴν γῆν ἐπέβλεψεν, εἴτε ταύτην ἐφ' ἧς κινούμεθα, εἴτε τὴν ἡμετέραν φύσιν τὴν γεωθεῖσαν, εἴτε τὴν σάρκα, κατὰ τὸ «Γῆ εἶ,» ἣν καὶ προσείληφεν, ἔλυσέ τε ἡμᾶς τοὺς πεπεδημένους ταῖς τῶν οἰκείων ἁμαρτημάτων πλοκαῖς, καὶ υἱοὺς τῶν τεθανατωμένων, τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, καὶ ἀνήγγειλεν ἐν Σιὼν τὸ ὄνομα Κυρίου. Ἐν γὰρ τῷ ἱερῷ ἑστὼς ἐδίδασκε περὶ τοῦ Πατρὸς αὐτοῦ· καθὰ καὶ D αὐτὸς λέγει· «Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις.» Ταῦτα τοίνυν τίνι ἁρμόζουσι, τῷ Πατρὶ, ἢ τῷ Υἱῷ; Πάντα τῷ Υἱῷ. Αὐτὸς γὰρ ἀνήγγειλε τὸ ὄνομα τοῦ Πατρὸς, διδάσκων. Μετὰ γοῦν τὸ ταῦτα εἰπεῖν ὁ μακάριος Δαυΐδ, ἐπάγει· «Καὶ σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί.» Ἆρ' οὐ φανερῶς τὸν Υἱὸν παρεισάγει ποιητὴν, ἀλλ' οὐκ ὄργανον; Εἰ δὲ πάλιν ἡ «διὰ» πρόθεσις ὕφεσίν τινα δοκεῖ σοι εἰσάγειν, τί φήσεις, ὅταν ὁ Παῦλος τιθῇ ταύτην ἐπὶ τοῦ Πατρός; Φησὶ γάρ· «Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλή-

[63·41] Psal. ci, 26. [42] Ibid. 20-22. [43] Joan. xvii, 6. [44] I Cor. i, 9. [45] Ibid. 1.

θημεν εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ.» Ἄρα ὄργανον A ἐνταῦθα ποιεῖ τὸν Πατέρα; Καὶ πάλιν, «Παῦλος ἀπόστολος διὰ θελήματος Θεοῦ.» Ἀλλὰ ταῦτα μὲν ἱκανά· ἐπανιτέον δὲ πάλιν ὅθεν ἐξέβημεν. «Πάντα δι' αὐτοῦ ἐγένετο.» Μωσῆς μὲν περὶ τῆς ὁρατῆς κτίσεως διαλαβὼν, οὐδὲν ἡμῖν περὶ τῶν νοητῶν διετράνωσεν· ὁ δ' εὐαγγελιστὴς ἑνὶ ῥήματι πάντα περιλαβὼν, φησί· «Πάντα δι' αὐτοῦ ἐγένετο,» τὰ ὁρατὰ καὶ τὰ νοητά. «Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονεν.» Ἐπειδὴ εἶπεν, ὅτι πάντα αὐτὸς ἔκτισεν, ἵνα μὴ νομίσῃ τις, ὅτι καὶ τὸ Πνεῦμα τὸ ἅγιον αὐτὸς ἔκτισε, προστίθησιν, ὅτι «Πάντα δι' αὐτοῦ ἐγένετο.» Ποῖα δὲ πάντα; Τὰ γενόμενα· ὥσπερ εἰ ἔλεγεν, ὅτι Εἴ τι ἔστι τῆς γεννητῆς φύσεως, ἐκεῖνο γέγονεν ὑπὸ τοῦ Λόγου, τὸ δὲ Πνεῦμα οὐκ ἔστιν ἐπὶ τῆς γεννητῆς φύσεως, διὸ οὐδὲ γέγονεν ὑπ' αὐτοῦ. Χωρὶς οὖν τῆς τοῦ Λόγου δυνάμεως οὐδὲν ἐγένετο ὃ γέγονεν, ἀντὶ τοῦ, ὃ γεννητῆς φύσεως ἦν.

«Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀν- B θρώπων.» Οἱ μὲν οὖν Πνευματομάχοι οὕτως ἀναγινώσκουσι τὸ παρὸν χωρίον· Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· εἶτα ἐνταῦθα στίξαντες, ἀναγινώσκουσιν ὡς ἀφ' ἑτέρας ἀρχῆς· Ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν· καὶ ἑρμηνεύουσι κατὰ τὸν οἰκεῖον νοῦν τὸ χωρίον, λέγοντες ὅτι ἐνταῦθα περὶ τοῦ Πνεύματος διαλαμβάνει ὁ εὐαγγελιστὴς λέγων, τουτέστι, τὸ Πνεῦμα τὸ ἅγιον ζωὴ ἦν. Ταῦτα λέγουσιν οἱ περὶ Μακεδόνιον, σπεύδοντες δεῖξαι κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, καὶ συγκαταριθμῆσαι αὐτὸ τοῖς γενομένοις. Ἡμεῖς δὲ οὐχ οὕτως, ἀλλὰ στίξαντες ἐν τῷ, «ὃ γέγονεν,» ἀπ' ἀρχῆς ἑτέρας ἀναγινώσκομεν τὸ, «Ἐν αὐτῷ ζωὴ ἦν.» Ἐπειδὴ γὰρ εἶπε περὶ τῆς δημιουργίας, ὅτι «Πάντα δι' αὐτοῦ ἐγένετο,» λέγει λοιπὸν καὶ περὶ τῆς προ- C νοίας, ὅτι οὐ μόνον ἐδημιούργησεν, ἀλλὰ καὶ τὴν ζωὴν τῶν δημιουργηθέντων αὐτός ἐστιν ὁ συνέχων· καὶ γὰρ «Ἐν αὐτῷ ζωὴ ἦν.» Οἶδα δὲ παρά τινι τῶν ἁγίων οὕτως ἀναγνωσθὲν τὸ χωρίον τοῦτο· «Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν ἐν αὐτῷ·» εἶτα ἐνταῦθα στίξας, ἤρξατο τοῦ ἐφεξῆς, «Ζωὴ ἦν·» καὶ οἶμαι ὅτι οὐδὲ αὕτη ἡ ἀνάγνωσις ἔσφαλται, ἀλλὰ τοῦ αὐτοῦ ὀρθοῦ νοήματος ἔχεται. Καὶ οὗτος γὰρ ὁ ἅγιος ὀρθοδόξως ἐνόησεν, ὅτι χωρὶς τοῦ Λόγου οὐδὲ ἓν ἐγένετο, ὃ γέγονεν ἐν αὐτῷ. Πάντα γὰρ ὅσα γεγόνασι καὶ ἐκτίσθησαν ἐν αὐτῷ τῷ Λόγῳ φημὶ, χωρὶς αὐτοῦ οὐ γεγόνασιν. Εἶτα ἀπὸ ἄλλης ἀρχῆς· «Ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.» Ζωὴν δὲ ὁ εὐαγγελιστὴς ὀνομάζει τὸν Κύριον, ὡς τὴν τῶν ἁπάντων ζωὴν συνέχοντα, ἀλλὰ καὶ ὡς τῆς πνευ- D ματικῆς ζωῆς πρόξενον πᾶσι τοῖς λογικοῖς. Φῶς δὲ, οὐ τοιοῦτον αἰσθητὸν, ἀλλὰ νοητὸν, τὴν ψυχὴν φωτίζον αὐτήν. Οὐκ εἶπε δὲ, ὅτι τῶν Ἰουδαίων μόνων ἐστὶ φῶς, ἀλλὰ πάντων ἀνθρώπων. Πάντες γὰρ ἄνθρωποι, καθὸ νοῦν ἐλάβομεν καὶ λόγον παρὰ τοῦ κτίσαντος ἡμᾶς Λόγου, κατὰ τοῦτο λεγόμεθα φωτισθῆναι ὑπ' αὐτοῦ. Ὁ γὰρ λόγος ὁ δοθεὶς ἡμῖν, δι' ὃν καὶ λογικοὶ καλούμεθα, φῶς ἐστιν ὁδηγοῦν ἡμᾶς εἰς τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα.

«Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία

A visibili creatura loquens, nihil nobis de mentalibus manifestavit. Evangelista autem uno verbo complexus omnia, inquit, « Omnia per ipsum facta sunt, » tam visibilia quam invisibilia[46], « Et sine ipso factum est nihil quod factum est. » Quia dixit quod omnia fecerit, ut ne quis existimet quod et Spiritum sanctum creaverit, apponit quod « omnia per ipsum facta. » Et quæ omnia? Quæ facta sunt: perinde ac si diceret, quod Si quid est ex natura 510 condita, illud factum est a Verbo: Spiritus autem quia non est illius factæ naturæ non factus est ab eo. Itaque sine virtute Verbi nihil factum est quod factum est, id est, quod est natura illius creatæ ac factæ.

B Vers. 4. « In ipso vita erat, et vita erat lux hominum. » Pneumatomachi, qui Spiritum negant Deum, hanc particulam sic legunt: « Et sine ipso factum est nihil » Deinde hoc loco facto puncto legunt quasi ab altero principio, « Quod factum est, in ipso vita erat. » Et interpretantur locum juxta suam mentem, dicentes, quod hoc loco de Spiritu sancto evangelista disserat, dicens: Quod factum est in ipso, hoc est, Spiritus sanctus, vita erat. Hæc autem dicunt Macedoniani, conantes ostendere Spiritum sanctum esse creaturam, et annumerare eum his quæ facta sunt. Nos autem non sic, sed puncto facto postquam dixit quod factum est, novum principium legimus, « In ipso vita erat. » Postquam C enim dixit de opificio quod omnia per ipsum facta sint, dicit postea de ejus providentia, quod non solum condiderit, sed etiam ipse sit is qui vitam omnium creaturarum conservet. Etenim « in ipso vita erat. » Scio autem a sanctorum quodam particulam hac sic lectam: « Et sine ipso factum est nihil quod factum est in ipso: » deinde posito signo, cœpta quæ sequuntur, « Vita erat. » Opinorque etiam hanc lectionem non malam, sed rectam habere sententiam. Sanctus enim ista orthodoxe intellexit, quia sine Verbo nihil factum est quod factum est in ipso. Omnia enim quæcunque facta sunt, et condita sunt in ipso Verbo, inquam, sine ipso non sunt facta. Deinde aliud initium erat, « Vita erat, et vita erat lux hominum. » Vitam evangelista nominat Domi- D num, eo quod contineat vitam omnium in se, et quod spiritualis vitæ conciliator fuerit omnibus ratione præditis Lux autem non aliqua sensibilis, sed spiritualis, quæ ipsam animam illustret. Non dixit autem, quod Judæorum lumen duntaxat sit, sed omnium hominum. Omnes enim homines secundum quod mentem accepimus et rationem ab eo quod nos creavit Verbo, dicimur illustrari ab eo. Nam ratio data nobis, secundum quam rationales vocamur, lux est, quæ ducit nos ad quæ sunt facienda, et quæ non sunt facienda.

Vers. 5. « Et lux in tenebris lucet, et tenebræ

[46] Coloss. I, 16.

eam non comprehenderunt.» Lux, hoc est Veabum Dei, in tenebris, hoc est morte et errore, lucet. Nam et ipse mortuus sic mortem superavit, ut et eos quos prius absorpserat, coegerit ipsam evomere. Et in errore gentili fulget prædicatio. «Et tenebræ eam non comprehenderunt.» Mors enim eum non comprehendit, neque error. Invictum enim est lumen hoc, Deus Verbum, inquam. Quidam autem 811 tenebras existimarunt et carnem et vitam. Verbum enim factum in vita et carne hac fulsit. Et tenebræ, adversaria inquam potestas, tentarunt quidem et persecutæ sunt lumen, sed invictum et infatigabile offenderunt. Tenebræ autem dicitur caro, non quod secundum naturam sit talis, absit, sed propter peccatum. Caro enim nihil omnino habet malum, si naturaliter moveatur: sed si præter naturam moveatur et peccato serviat, tenebræ fit et dicitur.

VERS. 6. «Fuit homo missus a Deo, nomen ei Joannes.» Postquam disseruit nobis de subsistentia Verbi Dei ante sæcula: quia et de incarnatione Verbi dicturus est, sermonem de Præcursore interserit. Et quis alius quam Joannes Præcursor haberet sermonem de ipsius nativitate, qui præcurrit et ante nativitatem Domini? Dicit igitur de Præcursore evangelista, quod fuit homo missus a Deo, missus, inquam, a Deo; pseudoprophetæ enim non a Deo missi erant. Cæterum cum audieris quod missus fuerit a Deo, nihil privatum vel humanum dicere putes, sed divina omnia. Et idcirco etiam angelus dicitur. Angeli virtus enim est nihil proprium dicere. Item cum angelum audieris, ne putes quod natura sit angelus, vel ex cœlo descenderit, sed propter opus et ministerium vocatur angelus. Quia enim ministravit prædicationi, et prænuntius fuit Domini, ejus gratia dictus est angelus. Propterea evangelista subvertens quorumdam opinionem qui suspicabantur Joannem natura fuisse angelum, dicit: «Fuit homo missus a Deo.»

VERS. 7. «Hic venit in testimonium, ut testimonium perhiberet de lumine, ut omnes crederent per illum.» Hic, inquit, qui missus erat a Deo, venit ut testimonium perhiberet de lumine. Deinde ne quis existimet quod hujus testimonio opus habuerit ad gloriam Unigenitus, quasi aliqua ex parte inops, idcirco addidit quod venit testificaturus de Filio Dei: non quod illius testimonio habeat opus, sed ut omnes credant per illum. Num et omnes per ipsum crediderunt? Minime. Quomodo igitur inquit evangelista ut omnes credant? Quomodo? Quantum in illo erat, propterea testificabatur, ut omnes trahat. Quamvis autem quidam discredant, non tamen ideo ille reprehendendus: quoniam et sol in hoc lucet, ut omnes illuminet, at si quis in caliginosa quadam domo se incluserit et jubare non fruatur, quid hoc ad solem? Sic igitur et hoc loco missus quidem

A αὐτὸ οὐ κατέλαβεν.» Τὸ φῶς, ἤγουν ὁ Λόγος τοῦ Θεοῦ, ἐν τῇ σκοτίᾳ, τουτέστιν, ἐν τῷ θανάτῳ καὶ τῇ πλάνῃ φαίνει. Καὶ γὰρ καὶ ἐν τῷ θανάτῳ γενόμενος, οὕτως αὐτοῦ περιεγένετο, ὡς καὶ οὓς ἔφθασε καταπιεῖν, ἀναγκάσαι αὐτὸν ἐξεμέσαι· καὶ ἐν τῇ πλάνῃ τῇ Ἑλληνικῇ λάμπει τὸ κήρυγμα. «Καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.» Οὔτε γὰρ ὁ θάνατος αὐτοῦ περιεγένετο, οὔτε ἡ πλάνη. Ἀκαταγώνιστον γάρ ἐστι τὸ φῶς τοῦτο, ὁ Θεὸς Λόγος φημί. Τινὲς δὲ σκοτίαν ἐνόμισαν τὴν σάρκα καὶ τὸν βίον. Καὶ ἐν σαρκὶ οὖν γενόμενος καὶ ἐν τῷ βίῳ τούτῳ ὁ Λόγος ἔλαμψε· καὶ ἡ σκοτία, ἡ ἀντικειμένη λέγω δύναμις, ἐπείρασε μὲν, καὶ ἐδίωξε τὸ φῶς, ἀλλ' εὗρεν ἀκαταμάχητον καὶ ἀήττητον. Σκοτία δὲ λέγεται ἡ σὰρξ, οὐχ ὡς κατὰ φύσιν τοιαύτη οὖσα, ἄπαγε! ἀλλ' ὡς διὰ τὴν

B ἁμαρτίαν. Ἡ γὰρ σὰρξ οὐδὲν ὅλως ἔχει κακὸν φυσικῶς κινουμένη, παρὰ φύσιν δὲ κινηθεῖσα, καὶ πρὸς ἁμαρτίαν ὑπηρετήσασα, σκοτία καὶ γίνεται καὶ λέγεται.

«Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης.» Μετὰ τὸ διαλεχθῆναι ἡμῖν περὶ τῆς πρὸ αἰώνων ὑπάρξεως τοῦ Θεοῦ Λόγου, ἐπειδὴ μέλλει καὶ περὶ τῆς τοῦ Λόγου σαρκώσεως εἰπεῖν, παρεμβάλλει τὸν τοῦ Προδρόμου λόγον. Καὶ τί γὰρ ἄλλο, ἢ Πρόδρομος ὢν ὁ Ἰωάννης ἔχει καὶ τὸν περὶ τῆς αὐτοῦ γενέσεως λόγον, προτρέχοντα τῆς τοῦ Κυρίου ἐνσάρκου γεννήσεως; Φησὶν οὖν περὶ τοῦ Προδρόμου ὁ εὐαγγελιστὴς, ὅτι «Ἐγένετο ἀπεσταλμένος παρὰ Θεοῦ,» ἀντὶ τοῦ, ἀπεστάλη παρὰ Θεοῦ.

C Οἱ γὰρ ψευδοπροφῆται οὐκ ἐκ Θεοῦ. Ὅταν δὲ ἀκούσῃς, ὅτι ἀπεστάλη παρὰ Θεοῦ, μηδὲν ἴδιον νομίσῃς ἢ ἀνθρώπινον λέγειν, ἀλλὰ πάντα θεῖα. Διὰ τοῦτο καὶ ἄγγελος λέγεται, ἀγγέλου δὲ ἀρετὴ μηδὲν ἴδιον λέγειν. Ἄγγελον δὲ ἀκούσας, μὴ νόμισε, ὅτι φύσει ἄγγελος ἦν, ἢ ἐκ τῶν οὐρανῶν κατέβη· ἀλλὰ διὰ τὸ ἔργον καὶ τὴν διακονίαν ἄγγελος καλεῖται. Ἐπεὶ γὰρ ὑπηρέτησε τῷ κηρύγματι, καὶ προήγγειλε τὸν Κύριον, τούτου ἕνεκεν ἐκλήθη ἄγγελος. Διὸ καὶ ὁ εὐαγγελιστὴς ἀνατρέπων τὴν τῶν πολλῶν ὑπόνοιαν, τῶν ἴσως νομισάντων, ὅτι ἄγγελος ἦν ὁ Ἰωάννης τῇ φύσει, φησίν· «Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ.»

«Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Οὗτος, φησὶν, ὁ ἀπεσταλμένος παρὰ Θεοῦ, ἵνα μαρτυρήσῃ

D περὶ τοῦ φωτός. Εἶτα ἵνα μή τις νομίσῃ, ὅτι ἐχρήζεν ἄρα τῆς τούτου μαρτυρίας ὁ Μονογενὴς ὡς ἐλλιπὴς ὢν, διὰ τοῦτο προστίθησιν, ὅτι ἦλθε μαρτυρήσων περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ· οὐχ ὡς αὐτοῦ τῆς ἐκείνου χρῄζοντος μαρτυρίας, ἀλλ' ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Ἆρα οὖν καὶ πάντες ἐπίστευσαν δι' αὐτοῦ; Οὐχί. Πῶς οὖν φησιν ὁ εὐαγγελιστής. «Ἵνα πάντες πιστεύσωσι;» Πῶς; Ὅσον τὸ ἐπ' ἐκείνῳ, διὰ τοῦτο ἐμαρτύρησεν, ἵνα πάντας ἑλκύσῃ· εἰ δὲ ἠπίστησάν τινες, οὐκ ἐκεῖνος μεμπτέος. Ἐπειδὴ καὶ ὁ ἥλιος ἐπὶ τούτῳ ἀνατέλλει, ἵνα πάντας φωτίσῃ· εἰ δέ τις ἀποκλείσας ἑαυτὸν ἐν ζοφώδει οἰκήματι, οὐκ ἀπολαύοι τῆς ἀκτῖνος αὐτοῦ, τί τοῦτο πρὸς τὸν ἥλιον; Οὕτω κἀνταῦθα, ἀπεστάλη μὲν ὁ Ἰωάννης, ἵνα πάντες

πιστεύσωσιν· εἰ δὲ μὴ τοῦτο ἀπέβη, οὐκ ἐκεῖνος αἴτιος.

« Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. » Ἐπειδὴ ὡς ἐπὶ πολὺ συμβαίνει τὸν μαρτυροῦντα κρείττονα εἶναι τοῦ μαρτυρουμένου, ἵνα μὴ νομίσῃς, ὅτι καὶ Ἰωάννης μαρτυρῶν [περὶ] Χριστοῦ κρείττων αὐτοῦ ἦν· τὴν πονηρὰν ταύτην ὑποψίαν περιαιρῶν, φησίν· Οὐκ ἦν ἐκεῖνος τὸ φῶς. Ἀλλ' εἴποι ἄν τις· Ἆρα οὐδὲ τὸν Ἰωάννην, οὔτε τινὰ ἄλλον τῶν ἁγίων εἴποιμεν φῶς; Φῶς μὲν εἴποιμεν ἕκαστον τῶν ἁγίων· τὸ φῶς δὲ οὐκ ἂν εἴποιμεν μετὰ τοῦ ἄρθρου. Οἷον, ἐάν σε ἔροιτό τις· Ἆρα ὁ Ἰωάννης φῶς ἐστι; κατάνευσον· εἰ δὲ οὕτως ἐρωτήσει· Ἆρα ὁ Ἰωάννης τὸ φῶς ἐστιν; εἰπὲ, Οὔ. Οὐ γάρ ἐστιν αὐτὸς τὸ φῶς κυρίως, ἀλλὰ φῶς κατὰ μετοχὴν, ἔχον τὴν λάμψιν ἐκ τοῦ ἀληθινοῦ φωτός.

Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. » Μέλλει εἰπεῖν περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Μονογενοῦς, ὅτι ἦλθεν εἰς τὰ ἴδια, ὅτι σὰρξ ἐγένετο. Ἵνα τοίνυν μὴ νομίσῃ τις, ὅτι πρὸ τοῦ σαρκωθῆναι οὐκ ἦν, τούτου ἕνεκα ἀνάγει τὴν διάνοιαν ἐπὶ τὴν ἐπέκεινα πάσης ἀρχῆς ὕπαρξιν, καί φησιν· Ἦν καὶ πρὸ τοῦ σαρκωθῆναι τὸ φῶς τὸ ἀληθινόν. Διὰ τούτου δὲ τὴν Φωτεινοῦ καὶ Παύλου τοῦ Σαμοσατέως αἵρεσιν ἀνατρέπει, τῶν δογματισάντων τότε ὑπάρξαι τὸν Μονογενῆ, ὅτε ἀπὸ Μαρίας ἐγεννήθη· πρὸ τούτου δὲ μὴ εἶναι. Ἄκουε καὶ σὺ, ὁ Ἀρειανὸς, ὁ μὴ λέγων ἀληθινὸν Θεὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τί φησιν ὁ εὐαγγελιστής· « τὸ φῶς τὸ ἀληθινόν· » καὶ σὺ δὲ, ὦ Μανιχαῖε, ὁ λέγων, ὅτι τοῦ πονηροῦ δημιουργοῦ ἐσμεν κτίσματα, ἄκουε, ὅτι τὸ φῶς τὸ ἀληθινὸν φωτίζει πάντα ἄνθρωπον. Εἰ οὖν ὁ πονηρὸς δημιουργὸς σκότος ἐστὶν, οὐκ ἂν φωτίσῃ τινά· ὥστε τοῦ φωτὸς τοῦ ἀληθινοῦ ἐσμεν κτίσματα. Καὶ πῶς, φησὶ, φωτίζει πάντα ἄνθρωπον, ὅπου γε βλέπομέν τινας ἐσκοτισμένους. Ὅσον τὸ ἐφ' ἑαυτῷ, πάντας φωτίζει. Εἰπὲ γάρ μοι, οὐ πάντες λογικοί; οὐ πάντες φύσει γινώσκοντες τὸ καλὸν καὶ τοὐναντίον; οὐκ ἔχοντες δύναμιν ἐννοῆσαι ἀπὸ τῶν κτισμάτων τὸν Κτίστην; Ὥστε ὁ λόγος ὁ δοθεὶς ἡμῖν, καὶ παιδαγωγῶν ἡμᾶς φύσει, ὃς καὶ φυσικὸς νόμος καλεῖται, οὗτος ἂν κληθείη φῶς, τὸ δοθὲν ἡμῖν παρὰ Θεοῦ· εἰ δὲ τινες κακῶς τῷ λόγῳ ἐχρήσαντο, ἑαυτοὺς ἐσκότισαν. Τινὲς δὲ οὕτω λύουσι τὴν ἔνστασιν ταύτην· Φωτίζει, φησὶν, ὁ Κύριος πάντα ἄνθρωπον τὸν ἐρχόμενον εἰς τὸν κόσμον, ἤτοι εἰς τάξιν βελτίονα, καὶ σπουδάζοντα κοσμῆσαι τὴν οἰκείαν ψυχὴν, καὶ μὴ ἐᾶσαι ἄκοσμόν τε καὶ ἀκαλλῆ.

« Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. » Ἐν τῷ κόσμῳ ἦν ὡς Θεὸς πανταχοῦ παρών· ἀλλὰ δὴ καὶ κατὰ προνοητικὸν καὶ συνε[κ]τικὸν λεχθείη ἂν ἐν τῷ κόσμῳ εἶναι. Καίτοι τί τοῦτο, φησὶ, λέγω, ὅτι ἐν τῷ κόσμῳ ἦν, ὅπου γε οὐδὲ ὁ κόσμος ἂν ἦν, εἰ μὴ αὐτὸς αὐτὸν ἐποίησε; Πανταχόθεν δὲ Δημιουργὸν αὐτὸν δείκνυσιν· ἅμα μὲν καὶ τὴν τοῦ Μάνεντος λύσσαν ἀναστέλλων, τοῦ λέγοντος, πονηρὸν δημιουργὸν παραγαγεῖν τὰ σύμπαντα· ἀλλὰ δὴ καὶ τὴν τοῦ Ἀρείου, τοῦ φήσαντος κτίσμα εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ ἅμα δὲ καὶ

A fuit Joannes, ut omnes credant: quamvis autem evenerit contrarium, ille in causa non est.

VERS. 8. « Non erat ille lux illa, sed ut testaretur de luce. » Quandoquidem, ut sæpe fieri solet, qui testatur major est eo cui testimonium perhibet, ne existimes quod Joannes testificans Christo major illo fuerit; malam suspicionem illam sic interimens, inquit, Non erat ille lux illa. Sed dixerit quispiam: Igitur non erit vel Joannes, vel quispiam sanctorum vocandus lux? Lucem utique recte dixerimus unumquemque sanctorum, sed lucem illam cum articulo neutiquam dicemus. Unde si quis tibi dixerit, Joannes lux est? annue. Si autem interrogarit, Nunquid Joannes lux illa est! dic, Non. Non B enim ipse proprie lux est, sed lux per participationem, habens fulgorem a vera luce.

VERS. 9. « Erat lux illa lux vera, quæ illuminat omnem hominem venientem in mundum. » Dicturus est de incarnatione Unigeniti, quod venerit in propria, quod caro factus sit. Ne igitur quis suspicetur quod non fuerit antequam incarnaretur, ejus gratia subvehit mentem nostram in substantiam, quæ ultra omne principium est, et inquit: Erat etiam antequam incarnaretur lux illa vera. Et per hoc Photini et Pauli Samosateni subvertit hæresim, qui docent in suis dogmatibus Unigenitum tunc cœpisse, quando de Maria natus est, et ante hoc non fuisse. Audi et tu, Ariane, qui negas verum Deum Filium Dei, quid dicat evangelista: « Erat lux illa vera. » Et tu quoque, Manichæe, qui dicis quod simus creaturæ C opificis diaboli, audi, quia lux illa vera illuminat omnem hominem. Si igitur malignus ille opifex tenebræ est, nullum utique illuminat: atque ita veræ lucis creaturæ sumus. Et quomodo, inquit, illuminat omnem hominem, cum videamus tam multos obtenebratos? Quantum ad ipsum attinet, illuminat omnes. Dic enim, obsecro, nonne omnes rationales sunt? nonne omnes natura scientes bonum et malum? nonne omnes habent virtutem ex creaturis cognoscendi Creatorem? Et ita ratio data nobis, et natura nos instruens, quæ et naturalis lex vocatur, hæc vocata est lux nobis a Deo data. Quod si quidam ratione usi non sunt, hi seipsos obtenebrarunt. Nonnulli hanc dubitationem ita solvunt: Illuminat, D inquiunt, Dominus omnem hominem venientem in mundum: hoc est, eos qui sunt in statu meliori, et dantes operam ut ornetur anima sua, neque illam inornatam et turpem esse sinentes.

VERS. 10. « In mundo erat, et mundus per ipsum factus est, et mundus eum non cognovit. » In mundo erat, sicut Deus ubique præsens. Quin et propter providentiam, et conservativam vim qua omnia conservat, dicendus est in mundo esse: atqui cur hoc, inquit, dico quod in mundo fuerit, quoniam neque mundus ipse fuisset, nisi ille ipsum condidisset? Ubique ipsum ostendit opificem, partim ut Manichæi insaniam reprimeret, qui dicit malignum opificem produxisse omnia: et Arium confutaret, qui dixit Filium Dei esse creaturam: partim ut omnem

hominem induceret ut confiteatur Factorem, et non A 513 serviat creaturis, sed adoret Conditorem. At mundus, inquit, eum non cognovit : hoc est, promiscuus ille populus, qui mundanis addictus est negotiis. Mundus enim significat quidem et universum hoc, sicut hoc loco dictum est, quod mundus per ipsum factus est : significat autem et eos qui mundana sapiunt: sicut hic dicit quod mundus eum non cognovit, hoc est terreni homines, quoniam sancti omnes et prophetæ agnoverunt.

VERS. 11. « In propria venit, et proprii eum non receperunt » Hoc loco manifestissime ingreditur sermonem de incarnatione : et est totus sententiæ contextus is, Erat quidem absque carne lux vera in mundo, et non agnoscebatur : deinde in propria B venit cum carne. Propria autem ejus vel totum mundum intellige, vel Judæos quos eligit ut funiculum hæreditatis, et ut portionem peculiumque suum. « Et proprii eum non receperunt, » vel Judæi, vel cæteri homines qui ab eo conditi. Igitur quemadmodum deplorat dementiam hominum, ita et admiratur misericordiam Domini. Qui proprii ejus, inquit, erant, non omnes receperunt eum. Nullum Dominus necessitate cogit et attrahit, sed voluntatem reliquit et electionem.

VERS. 12. « Quotquot autem receperunt eum, dedit eis potestatem fieri filios Dei, his qui credunt in nomine ejus. » Sive servi, sive liberi, sive pueri, sive senes, sive Barbari, sive Græci, quot- C quot receperunt eum, dedit eis potestatem filios Dei fieri. Qui autem sunt illi ? Hi qui credunt in nomine ejus, hi scilicet qui suscepto Verbo lucem veram per fidem receperunt, et declararunt. Cujus gratia non dixit quod fecerit eos filios Dei, sed quod potestatem dederit eis filios Dei fieri ? Cujus gratia ? audi : Quia non sufficit ad custodiam puritatis baptizari, sed et multo studio est opus ut imago adoptionis in Filium Dei, figurata in baptismate, incontaminata servetur: idcirco multi quidem in baptismo gratiam receperunt adoptionis, per ignaviam autem non fuerunt filii Dei usque ad finem. Fortassis autem quis etiam hoc dixerit quod multi recipiunt eum per hoc quod solum credunt, quales sunt qui dicuntur catechumeni, nondum autem facti sunt filii Dei; potestatem autem tunc habent, cum voluerint D baptizari, et hanc gratiam consequi, adoptionem, inquam, in filios. Dicet autem quis et hoc : Quamvis in baptismo adoptionis beneficium accipiamus, tamen quod perfectum est in resurrectione accepturi sumus, et perfectissimam adoptionem tunc recepturos nos speramus: sicut et Paulus inquit : Quia adoptionem filiorum accipimus [37]. Quapropter et hic evangelista non dixit, « Quotquot receperunt eum, » fecit eos filios Dei : sed, « Dedit eis potestatem filios Dei fieri, » hoc est, 514 dedit ut in futuro sæculo gratiam illam suscipiant.

[37] Rom. VIII, 23, et Galat. IV, 5.

πάντα ἄνθρωπον ἐνάγων εἰς τὸ ὁμολογῆσαι τὸν Ποιητὴν, καὶ μὴ λατρεῦσαι τοῖς κτίσμασιν, ἀλλὰ προσκυνῆσαι τὸν Κτίστην. « Ὁ κόσμος δὲ, φησὶν, αὐτὸν οὐκ ἔγνω, » ἀντὶ τοῦ, ὁ χυδαῖος λαὸς, ὁ τοῖς τοῦ κόσμου προστετηκὼς πράγμασι. Τὸ γὰρ « κόσμος » ὄνομα σημαίνει μὲν καὶ τὸ σύμπαν τοῦτο, καθὰ ἐνταῦθα εἴρηται, ὅτι « Ὁ κόσμος δι' αὐτοῦ ἐγένετο · » σημαίνει δὲ καὶ τοὺς τὰ κοσμικὰ φρονοῦντας · καθὰ ἐνταῦθά φησιν, ὅτι « Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, » ἀντὶ τοῦ, οἱ γήϊνοι ἄνθρωποι · ἐπεὶ οἵγε ἅγιοι πάντες καὶ οἱ προφῆται ἐπέγνωσαν.

« Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. » Ἐνταῦθα φανερώτατα εἰς τὸν περὶ τῆς ἐνσάρκου οἰκονομίας λόγον εἰσβάλλει, καὶ ἔστιν ἡ ὅλη ὑφὴ τοῦ νοήματος τοιαύτη · Ἦν μὲν χωρὶς σαρκὸς τὸ φῶς τὸ ἀληθινὸν ἐν τῷ κόσμῳ, καὶ οὐκ ἐπεγινώσκετο · εἶτα καὶ εἰς τὰ ἴδια ἦλθε μετὰ σαρκός. Ἴδια δὲ αὐτοῦ ἢ τὸν ὅλον κόσμον νοήσεις, ἢ τὴν Ἰουδαίαν, ἣν ἐξελέξατο ὡς σχοίνισμα κληρονομίας, καὶ ὡς μερίδα, καὶ ὡς περιουσιασμὸν αὐτοῦ. « Καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον, » ἢ οἱ Ἰουδαῖοι, ἢ καὶ οἱ λοιποὶ ἄνθρωποι, οἱ ὑπ' αὐτοῦ κτισθέντες. Ὥσπερ οὖν ἀποκλαίεται τὴν ἄνοιαν τῶν ἀνθρώπων, καὶ θαυμάζει τὴν φιλανθρωπίαν τοῦ Δεσπότου. Ἴδιοι, φησὶν, ὄντες αὐτοῦ, οὐ πάντες παρέλαβον αὐτόν. Οὐ γὰρ ἀνάγκῃ τινὰ ἐφέλκεται ὁ Κύριος, ἀλλὰ γνώμῃ καὶ προαιρέσει.

« Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ » Κἂν δοῦλοι, κἂν ἐλεύθεροι, κἂν παῖδες, κἂν γέροντες, κἂν Βάρβαροι, κἂν Ἕλληνες, ὅσοι ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. Τίνες δὲ εἰσιν οὗτοι ; Οἱ πιστεύοντες εἰς τὸ ὄνομα αὐτοῦ. Ὥστε οἱ λαβόντες τὸν Λόγον καὶ τὸ φῶς τὸ ἀληθινὸν, διὰ τῆς πίστεως ἔλαβον καὶ ὑπεδέξαντο. Τίνος δὲ χάριν οὐ εἶπεν, ὅτι ἐποίησεν αὐτοὺς τέκνα Θεοῦ, ἀλλ' ὅτι ἐξουσίαν ἔδωκεν αὐτοῖς τέκνα Θεοῦ γενέσθαι ; Τίνος ἕνεκεν ; Ἄκουε ; ὅτι οὐκ ἐξαρκεῖ πρὸς τὴν φυλακὴν τῆς καθαρότητος τὸ βαπτισθῆναι, ἀλλὰ καὶ πολλῆς σπουδῆς χρεία. ὥστε τὴν ἐν τῷ βαπτίσματι τυπωθεῖσαν εἰκόνα τῆς υἱοθεσίας ἀκηλίδωτον διαφυλάξαι · διὸ πολλοὶ ἔλαβον μὲν τὴν διὰ τοῦ βαπτίσματος χάριν τῆς υἱοθεσίας, ῥαθυμήσαντες δὲ οὐκ ἐγένοντο τέκνα Θεοῦ ἄχρι τέλους. Τάχα δ' ἄν τις εἴποι καὶ τοῦτο, ὅτι πολλοὶ λαμβάνουσι μὲν αὐτὸν διὰ τοῦ πιστεῦσαι μόνον, οἷοί εἰσιν οἱ λεγόμενοι Κατηχούμενοι, οὔπω δὲ ἐγένοντο τέκνα Θεοῦ · ἐξουσίαν μέντοι γε ἔχουσιν, εἰ βούλοιντο βαπτισθῆναι, καὶ ταύτης καταξιωθῆναι τῆς χάριτος, τῆς υἱοθεσίας φημί. Ἐρεῖ δέ τις καὶ τοῦτο, ὅτι Εἰ καὶ διὰ τοῦ βαπτίσματος τῆς υἱοθεσίας τὴν χάριν δεχόμεθα, ἀλλὰ τὸ τέλειον ἐν τῇ ἀναστάσει ἀπολαμβάνομεν, καὶ τὴν ἐντελεστάτην υἱοθεσίαν τότε ἐλπίζομεν ἀπολήψεσθαι · καθὰ δὴ καὶ Παῦλός φησιν · « Ὅτι τὴν υἱοθεσίαν ἀπεκδεχόμεθα. » Διὰ τοῦτο γοῦν καὶ οὗτος ὁ εὐαγγελιστὴς οὐκ εἶπεν, ὅτι Ὅσοι ἔλαβον αὐτὸν, ἐποίησεν αὐτοὺς τέκνα Θεοῦ, ἀλλ', « Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, » τουτέστιν, ἐν τῷ μέλλοντι αἰῶνι ἀπολήψεσθαι ταύτην τὴν χάριν.

« Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, A οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. » Σύγκρισιν ὥσπερ ποιεῖται τοῦ θείου καὶ τοῦ σαρκικοῦ τόκου, οὐκ ἀπεικότω ἀναμιμνήσκων ἡμᾶς τῶν σαρκικῶν ὠδίνων, ἀλλ' ὅπως διὰ τῆς συγκρίσεως ἐπιγνόντες ἡμεῖς τοῦ σαρκικοῦ τόκου τὸ ἀγεννὲς καὶ ταπεινὸν, πρὸς τὴν θείαν χάριν δράμωμεν. Φησὶ γοῦν· « Οἳ οὐκ ἐξ αἱμάτων ἐγεννήθησαν, » τῶν καταμηνίων δηλαδή· ἐκ τούτων γὰρ ἡ τροφὴ καὶ ἡ αὔξησις τῷ ἐμβρύῳ· (13) φασὶ δὲ ὅτι καὶ τὸ σπέρμα πρῶτον ἐξαιματοῦται, εἶτα εἰς σάρκα καὶ τὴν ἄλλην διασκευὴν μεταπλάττεται. Ἐπεὶ δὲ εἰκὸς ἦν τινας εἰπεῖν, ὅτι καὶ τοῦ Ἰσαὰκ λοιπὸν ἡ γέννησις τοιαύτη ἦν, οἵαν γεννῶνται οἱ πιστεύοντες εἰς Χριστόν· καὶ γὰρ καὶ ὁ Ἰσαὰκ οὐκ ἐξ αἱμάτων ἐγεννήθη· ἐξέλιπε γὰρ τῇ Σάῤῥᾳ τὰ καταμήνια· ἐπεὶ τοίνυν ἐνεδέχετό B τινας ὑπονοῆσαι τοῦτο, ἐπάγει τὸ, « Οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρός. » Καὶ γὰρ τῷ Ἰσαὰκ εἰ οὐκ ἐξ αἱμάτων ἡ γέννησις, ἀλλά γε ἐκ θελήματος ἀνδρός· ἤθελε γὰρ δήπου ὁ ἀνὴρ γεννηθῆναι αὐτῷ παιδίον ἐκ τῆς Σάῤῥας. Ἐκ θελήματος δὲ σαρκὸς, ὡς ἐκ τῆς Ἄννης ὁ Σαμουήλ. Εἴποις οὖν τὸν μὲν Ἰσαὰκ ἐκ θελήματος ἀνδρὸς, τὸν δὲ Σαμουὴλ ἐκ θελήματος σαρκὸς, τουτέστι, τῆς ἀνθρωπίνης (a)· ἐδίψα γὰρ τοῦ κτήσασθαι παῖδα ἡ στεῖρα αὕτη· τάχα δὲ καὶ ἀμφότερα ἐπὶ ἀμφοτέρων. Εἰ δέ τι καὶ ἕτερον βούλοιο μαθεῖν, ἄκουε, ὅτι ἡ κατὰ σάρκα μίξις ἢ ἀπὸ πυρώσεως φυσικῆς γίνεται· πολλάκις γάρ τις ἔτυχε διαπλάσεως θερμοτέρας, καὶ ἐκ τούτου ἐστὶν εὐκατάφορος πρὸς συνουσίαν (τοῦτο γοῦν ὠνόμασε θέλημα σαρκὸς), ἢ διὰ πονηρὰν συνήθειαν, καὶ ἀκόλαστον δίαιταν, ἡ πρὸς συνουσίαν ὁρμὴ C ἄσχετος γίνεται, ἣν θέλημα ἀνδρὸς ἐκάλεσεν, ὡς οὐ τῆς φυσικῆς διαπλάσεως, ἀλλὰ τῆς τοῦ ἀνδρὸς ἀκολασίας ἔργον οὖσαν. Ἴσως δὲ, ἐπεὶ ποτὲ μὲν εὑρίσκεται ἡ γυνὴ πρὸς συνουσίαν εὐκατάφορος, ποτὲ δὲ ὁ ἀνὴρ, διὰ μὲν τοῦ θελήματος τοῦ ἀνδρὸς τὴν τοῦ ἀνδρὸς λαγνείαν ἐδήλωσε· διὰ δὲ τοῦ θελήματος τῆς σαρκὸς, τὴν τῆς γυναικός. Νοήσεις (b) δ' ἂν εἰκότως καὶ θέλημα σαρκὸς τὴν ἐπιθυμίαν τὴν ἀναζωπυροῦ-

VERS. 13. « Qui non ex sanguinibus, neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo nati sunt. » Comparationem quodammodo facit divinæ et carnalis generationis, non absurde reducens nobis in memoriam carnales partus, ut agnita vilitate et humilitate carnalis generationis per comparationem, ad divinam gratiam curramus. Dicit igitur, « Qui non ex sanguinibus nati sunt, » menstruis scilicet. Ex illis enim embryo nutrimentum habet et incrementum. Dicunt autem quod et semen primum sanguinis naturam accipiat, et deinde in carnem et aliam dispositionem transformetur. Quia autem probabile est quosdam dicturos quod et nativitas Isaac fere talis fuerit, quali generantur credentes in Christum; etenim Isaac non ex sanguinibus natus est: defecerant enim Sarræ menstrua; itaque quia possibile est quosdam talia suspicari, subdit: « Neque ex voluntate carnis, neque ex voluntate viri. » Etenim quamvis nativitas Isaac non fuerit ex sanguinibus, erat tamen ex voluntate viri. Voluit enim utique vir generare sibi puerum de Sarra. Ex voluntate autem carnis, sicut ex Anna Samuel. Dixerit enim quis Isaac ex voluntate viri, Samuelem vero ex voluntate carnis, hoc est Annæ. Sitivit enim, inquit, ut possideret filium sterilis ista. Fortassis autem ambo ex utrisque. Quod si et aliud quid volueris discere, audi: Carnalis coitus vel fit a naturali ardore: sæpe enim quis calidioris complexionis est, et inde ad coitum est propensior, et hoc appellat voluntatem carnis: vel propter malam consuetudinem, et intemperantiam diætæ, impetus coeundi violentior fit, et illum nominat voluntatem viri, quod non sit ex naturali constitutione, sed opus sit virilis intemperantiæ. Fortassis autem quia mulier interdum invenitur ad coitum propensior, interdum vero vir, per voluntatem quidem carnis, intellexit mulieris, per voluntatem autem viri, viri lasciviam significavit. Intelliges autem recte per voluntatem carnis, concupiscentiam incendentem ad coitum carnem: per voluntatem autem viri, con-

**Ex collatione codd. Venet. S. Marci.**

(13) Cod. 31, ἐκ τούτων γὰρ ἡ τροφὴ καὶ ἡ D αὔξησις τῷ ἐμβρύῳ. Πάντες οἱ ἐξ ἀνδρῶν καὶ γυναικῶν τικτόμενοι φυσικὴν γέννησιν ἔχουσι τὴν ἐξ αἱμάτων. Ἐπεὶ δὲ τῶν ἀλλήλοις συναρμοζομένων ἀνδρῶν τε καὶ γυναικῶν, οἱ μὲν ἀνδριζόμενοι κατὰ τῆς ἐπιθυμίας τῆς σαρκὸς, συναρμόζονται διὰ παιδοποιίαν, οἱ δὲ ἀνδριζόμενοι κατ' αὐτῆς, δι' αὐτὴν συναρμόζονται τὴν ἐπιθυμίαν, τοὺς μὲν ἀποτικτομένους ἐκ τῶν κατὰ τῆς σαρκὸς ἀνδριζομένων παρεισάγει ἐκ θελήματος γεννᾶσθαι ἀνδρὸς, τοὺς δὲ δι' ἐπιθυμίαν σαρκὸς, ἐκ θελήματος σαρκὸς, καί φησι, τοὺς ἐκ Θεοῦ κατὰ χάριν τῆς υἱοθεσίας τικτομένους, μὴ κεκτῆσθαι ταύτην τὴν θείαν ἀπότεξιν φυσικῶς ὅλως, εἴτε γεγέννηνται ἐκ τοῦ διὰ παιδοποιίαν, εἴτε ἐκ τῆς δι' ἐπιθυμίαν σαρκὸς, τοὺς φυσικῶς ἀποτεκόντας αὐτοὺς, ἀλλήλοις συνέρχεσθαι.

¹ Ex illis enim embryo nutrimentum habet.

(a) Leg. τῆς Ἄννης.

(b) In cod. Rom. et edit. Lut. desunt ab νοήσεις, usque ad ταῦτα δὲ πάντα. Lacuna suppleta est ex codice Parisiensi apud Simonium tomo III *Criticæ* *in N. T.*, cap. 28, pag. 401. Sed hæc verba desiderantur in codicibus Venetæ Marcianæ bibliothecæ 26, 30, 31, 32.

Et quidem omnes qui ex viris feminisque nascuntur, naturalem generationem habent *ex sanguinibus*. Attamen, cum ex viris feminisque, qui invicem copulantur, alii quidem viriliter se habentes contra concupiscentiam copulantur nihilominus ad prolem habendam; alii in prolem minus propensi, propter ipsam concupiscentiam copulantur: hinc eos qui gignuntur ab iis qui contra concupiscentiam viriliter se habent, appellat natos *ex voluntate viri*, eos vero, qui concupiscentiæ impulsu progeniti sunt, *ex voluntate carnis*. Subditque, eos qui ex Deo nati sunt per gratiam adoptionis in filios, nullo naturali modo divinam hanc nativitatis rationem consecutos esse; sive prolis desiderium, sive carnis concupiscentia ipsorum parentes ad conjunctionem impulerit. Dicunt autem, » etc.

gressum ac copulam concupiscentis, qui operis est principium. Posuit autem ambo, quia multi concupiscunt quidem, at non statim a concupiscentia abstrahuntur, sed imperant illi, et in opus non labuntur. Cæterum qui vincuntur, illi primum a carne et titillante concupiscentia succensi concitantur ut coitum velint Igitur recte adjunxit evangelista voluntatem carnis voluntati viri, quia coitum natura præcedit concupiscentia, et in copula necessario præcedunt utraque. Hæc omnia dicta sunt propter eos qui multa sæpe interrogant stulte, quoniam proprie dicendo una ex omnibus **515** illis sententia declaratur, ipsius dico, quæ in carnali est generatione, vilitatis clarior manifestatio. Quid igitur plus habemus nos, qui in Christum credimus, quam Israelitæ in lege? Etenim et illi dicebantur filii Dei. Magnum sane inter nos et illos discrimen: quoniam lex in omnibus habebat umbram futurorum, neque adoptionem filiorum Dei dabat Israelitis, sed quasi in figura et typo, nos autem secundum veritatem, accepto Spiritu Dei per baptisma, clamamus: « Abba Pater [48]. » Sicut autem illorum baptisma in umbra et in figura erat, ita et adoptio nostram quoque præfigurabat. Propterea quamvis vocati fuerint filii, hoc tamen contigit eis in umbra, neque in veritate eamdem filiorum adoptionem habuerunt, quam nos nunc per baptisma.

VERS. 14. « Et Verbum caro factum est. » Postquam dixit quod nos credentes in Christum si voluerimus, efficiamur filii Dei, subinfert nunc et causam tanti boni. Dicit enim: Vis discere quid conciliarit nobis hanc adoptionem in filios? Quia « Verbum caro factum est. » Quando autem audieris quod Verbum caro factum est, ne opineris quod a sua natura destiterit, et in carnem versum sit. Neque enim Deus fuisset, si versum et alteratum fuisset; sed manens quod erat, factum est quod non erat. Apollinarius autem Laodicenus hinc hæresim excitavit. Dogma enim ejus erat, Dominum et Deum nostrum non suscepisse perfectam hominis naturam, videlicet corpus cum anima rationali, sed carnem solam mentalis et rationalis animæ expertem. Quid enim opus habebat anima Deus, inquit, qui habebat deitatem, quæ gubernabat corpus, sicut nos habemus animam corpus nostrum dirigentem? Habebat autem ansam, ut existimabatur, ex præsenti dicto, « Et Verbum caro factum est. » Non enim, inquit, dixit: « Et factum est » homo, sed, « caro: » et ita non suscepit animam quæ habet mentem ac rationem, sed carnem absque mente et ratione. Ignorabat autem miserabilis ille quod Scriptura plerumque a parte totum nominet, utpote commemoratura totum hominem, a parte, anima scilicet, ipsum nominat: ut, « Omnis anima quæ non circumciditur, occidatur [49]. » Ecce enim pro eo quod

A σαν πρὸς μίξιν τὴν σάρκα· θέλημα δὲ ἀνδρὸς, τὴν πρὸς τὸν συνδυασμὸν τοῦ ἐπιθυμοῦντος συγκατάθεσιν, ἥτις ἀρχὴ τῆς πράξεως. Ἔθηκε δὲ καὶ ἀμφότερα, ὅτι πολλοὶ ἐπιθυμοῦσι μὲν, οὐ μὴν εὐθὺς καὶ συναπάγονται τῇ ἐπιθυμίᾳ· ἀλλὰ κατακρατοῦσι ταύτης, καὶ πρὸς τὴν πρᾶξιν οὐκ ὀλισθαίνουσιν. Ὅσοι δὲ ἡττῶνται, ἐκεῖνοι πρῶτον ὑπὸ τῆς σαρκὸς καὶ τῆς ἐν ταύτῃ ὑποσμυχούσης ἐπιθυμίας διχαιόμενοι, πρὸς τὸ θέλειν μιγῆναι ἐκτρέπονται. Εὐτάκτως οὖν ὁ εὐαγγελιστὴς τὸ θέλημα τῆς σαρκὸς προέταξε τοῦ θελήματος τοῦ ἀνδρὸς, ὡς τῆς ἐπιθυμίας φυσικῶς προηγουμένης τῆς μίξεως, καὶ ἀμφοτέρων ἐπὶ τοῦ συνδυασμοῦ συντρεχόντων ἐξ ἀνάγκης. Ταῦτα δὲ πάντα εἴρηται διὰ τοὺς τὰ ἀνόητα πολλάκις ἐρωτῶν-
B τας· ἐπεὶ, τό γε κυριώτερον εἰπεῖν, μία διὰ πάντων τούτων ἔννοια δηλοῦται, φημὶ δὴ, ἡ τῆς τοῦ σαρκικοῦ τόπου εὐτελείας ἔμφασις. Τί οὖν πλέον ἔχομεν οἱ εἰς Χριστὸν πιστεύοντες τῶν ἐν τῷ νόμῳ Ἰσραηλιτῶν; Καὶ γὰρ κἀκεῖνοι υἱοὶ Θεοῦ ἐλέγοντο. Πολὺ τὸ διάφορον ἡμῶν κἀκείνων. Ἐπεὶ γὰρ ὁ νόμος ἐν πᾶσι σκιὰν εἶχε τῶν μελλόντων, οὐδὲ τὴν υἱοθεσίαν ἔχειν ἐδίδου τοῖς Ἰσραηλίταις, ἀλλ' ὡς ἐν τύπῳ καὶ σχήματι· ἡμεῖς δὲ κατὰ ἀλήθειαν λαβόντες τὸ Πνεῦμα τοῦ Θεοῦ διὰ τοῦ βαπτίσματος, κράζομεν· « Ἀββᾶ ὁ Πατήρ. » Ἐκείνοις δὲ ὥσπερ τὸ βάπτισμα τυπικὸν ἦν καὶ σκιῶδες, οὕτω καὶ ἡ υἱοθεσία τὴν ἡμετέραν προτυποῦσα. Κἂν οὖν υἱοὶ ἐκαλοῦντο, ἀλλὰ σκιωδῶς, καὶ οὐκ αὐτὴν τὴν ἀλήθειαν τῆς υἱοθεσίας εἶχον,
C ὡς ἡμεῖς νῦν διὰ τοῦ βαπτίσματος.

« Καὶ ὁ Λόγος σὰρξ ἐγένετο. » Εἰπὼν ὅτι τέκνα γινόμεθα Θεοῦ, εἰ θέλομεν, οἱ πιστεύσαντες εἰς Χριστὸν, ἐπιφέρει καὶ τὴν αἰτίαν τοῦ τηλικούτου ἀγαθοῦ. Τί γὰρ, φησὶ, προξένησεν ἡμῖν τὴν υἱοθεσίαν ταύτην, βούλει μαθεῖν; Τὸ τὸν Λόγον σάρκα γενέσθαι. Ὅταν δὲ ἀκούσῃς, ὅτι « Σὰρξ ἐγένετο, » μὴ νομίσῃς ὅτι ἐξέστη τῆς οἰκείας φύσεως, καὶ ἐτράπη εἰς σάρκα· οὐ γὰρ ἂν Θεὸς ἦν, εἴπερ ἐτρέπετο καὶ ἠλλοιοῦτο· ἀλλ' ὅτι μένων ὃ ἦν, ἐγένετο ὃ οὐκ ἦν. Ἀπολλινάριος δὲ ὁ Λαοδικεὺς ἐντεῦθεν αἵρεσιν συνεστήσατο. Ἐδογμάτισε γὰρ ὅτι ὁ Κύριος καὶ Θεὸς ἡμῶν οὐκ ἀνέλαβε τὴν τοῦ ἀνθρώπου φύσιν τελείαν, ἤγουν σῶμα μετὰ ψυχῆς λογικῆς, ἀλλὰ σάρκα μόνην, ψυχῆς λογικῆς καὶ νοερᾶς ἄμοιρον. Τί γὰρ ἔχρῃζεν ὁ Θεὸς τῆς ψυχῆς, ἔχων τὴν θεότητα κυβερνῶσαν τὸ
D σῶμα, ὃν τρόπον ἔχομεν ἡμεῖς τὴν ψυχὴν διεξάγουσαν τὸ ἡμῶν σῶμα; Εἶχε δὲ εἰς ἐπικουρίαν, ὡς ᾤετο, τὸ παρὸν ῥητόν· « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο. » Οὐ γὰρ, φησὶν, εἶπεν, ὅτι Ἄνθρωπος ἐγένετο, ἀλλὰ, « σάρξ. » Ὥστε οὐκ ἀνέλαβε ψυχὴν νοῦν ἔχουσαν καὶ λόγον, ἀλλὰ σάρκα ἄνουν καὶ ἄλογον. Ἠγνόει δὲ ἄρα ὁ ἐλεεινὸς, ὅτι ἡ Γραφὴ ἀπὸ τοῦ μέρους πολλάκις ὀνομάζει τὸ ὅλον· οἷον, μέλλουσα ἐπιμνησθῆναι ἀνθρώπου ὅλου, ἀπὸ μέρους, τῆς ψυχῆς λόγῳ ὀνομάζει αὐτόν· οἷον, « Πᾶσα ψυχὴ, ἥτις οὐ περιτμηθῇ, θανατούσθω. » Ἰδοὺ γὰρ ἀντὶ τοῦ εἰπεῖν, πᾶς ἄνθρωπος, εἶπε τὸ μέρος, τὴν ψυχὴν λέγω. Καὶ πάλιν ἀπὸ τῆς σαρκὸς ὀνομάζει τὸ ὅλον, ὡς ὅταν λέγῃ·

[48] Rom. VIII, 15 et Galat. IV, 6. [49] Gen. XVII, 14.

« Καὶ ὄψεται πᾶσα σὰρξ τὸ Σωτήριον τοῦ Θεοῦ · » πάντα γὰρ ἄνθρωπον μέλλων εἰπεῖν, τῷ τῆς σαρκὸς ὀνόματι προσεχρήσατο. Οὕτως οὖν καὶ ὁ εὐαγγελιστὴς, ἀντὶ τοῦ εἰπεῖν · Ὁ Λόγος ἄνθρωπος ἐγένετο, εἶπεν, « Ὁ Λόγος σὰρξ ἐγένετο, » ἀπὸ τοῦ μέρους τὸν ἄνθρωπον ὀνομάζων, τὸν ἐκ ψυχῆς καὶ σώματος συγκείμενον. Τάχα δὲ ἐπεὶ ἡ σὰρξ ἀλλότριόν ἐστι τῆς θείας φύσεως, θέλων ὁ εὐαγγελιστὴς δηλῶσαι τὴν ὑπεράπειρον συγκατάβασιν τοῦ Θεοῦ, τῆς σαρκὸς ἐμνήσθη, ἵν' ἐκπλαγῶμεν τὴν ἄφατον φιλανθρωπίαν αὐτοῦ, ὅτι, διὰ τὴν σωτηρίαν ἡμῶν, τὸ ἀλλότριον τῆς φύσεως αὐτοῦ καὶ ξένον παντάπασι, φημὶ δὴ τὴν σάρκα, προσέλαβεν. Ἡ μὲν γὰρ ψυχὴ ἔχει τινὰ συγγένειαν πρὸς Θεόν · ἡ δὲ σὰρξ παντάπασιν ἀκοινώνητος. Διὰ τοῦτο οὖν οἶμαι τὸν εὐαγγελιστὴν ἐνταῦθα μόνῳ τῷ τῆς σαρκὸς ὀνόματι χρήσασθαι, οὐχ ὡς ἀμοιροῦντος ψυχῆς τοῦ προσλήμματος, ἀλλὰ πρὸς ἔνδειξιν πλείω τοῦ θαυμαστοῦ καὶ φρικώδους μυστηρίου. Ἐπεὶ ἐὰν οὐ προσελάβετο ψυχὴν ἀνθρωπίνην ὁ Λόγος σαρκωθεὶς, ἀθεράπευτοι ἔτι εἰσὶν αἱ ψυχαὶ ἡμῶν · ὃ γὰρ οὐ προσελάβετο, οὐδὲ ἡγίασε. Καὶ τίς ὁ γέλως, τῆς ψυχῆς πρώτης παθούσης (ἐκείνη γὰρ ἡ ἐνδοῦσα τοῖς τοῦ ὄφεως λόγοις καὶ ἀπατηθεῖσα ἐν παραδείσῳ, εἶτα καὶ ἡ χεὶρ ἥψατο ἐπακολουθήσασα τῇ κυρίᾳ καὶ δεσποίνῃ τῇ ψυχῇ), τὴν μὲν θεράπαιναν, τὴν σάρκα, καὶ προσληφθῆναι, καὶ ἁγιασθῆναι, καὶ θεραπευθῆναι, τὴν δὲ κυρίαν ἐαθῆναι ἀπρόσληπτόν τε καὶ ἀθεράπευτον ; Ἀλλ' Ἀπολινάριος μὲν ἐῤῥέτω. Ἡμεῖς δὲ ὅταν ἀκούωμεν, ὅτι « Ὁ Λόγος σὰρξ ἐγένετο, » πιστεύομεν ὅτι ἄνθρωπος τέλειος, τῆς Γραφῆς εἰωθυίας καὶ σάρκα καὶ ψυχὴν μονομερῶς τὸν σύνθετον ἄνθρωπον ὀνομάζειν. Ἀνατρέπεται δὲ ἐκ τούτου τοῦ ῥητοῦ καὶ Νεστόριος. Ἐκεῖνος γὰρ ἔλεγεν, ὅτι οὐχ ὁ Θεὸς Λόγος αὐτὸς ἐκεῖνος ἐγένετο ἄνθρωπος, συλληφθεὶς ἐκ τῶν πανάγνων αἱμάτων τῆς ἁγίας Παρθένου, ἀλλ' ἔτεκεν ἡ Παρθένος ἄνθρωπον · οὗτος δὲ ὁ ἄνθρωπος, χαριτωθεὶς ἀρετῆς πάσης εἴδει, ἔσχε τὸν τοῦ Θεοῦ Λόγον συνημμένον αὐτῷ καὶ ἐξουσίαν διδόντα κατὰ πνευμάτων ἀκαθάρτων · καὶ ἐκ τούτου ἐδογμάτιζε δύο υἱοὺς, ἕνα τὸν τῆς Παρθένου, τὸν Ἰησοῦν τὸν ἄνθρωπον, καὶ ἕτερον τὸν Υἱὸν τοῦ Θεοῦ, συνημμένον μὲν τῷ ἀνθρώπῳ, καὶ ἀδιάσπαστον αὐτῷ ὄντα, ἀλλὰ κατὰ χάριν καὶ σχέσιν καὶ ἀγάπην, οἷα δὴ ἐναρέτου ὄντος τοῦ ἀνθρώπου. Ταῦτα ἐκεῖνος ἐθελοκωφῶν πρὸς τὴν ἀλήθειαν. Εἰ γὰρ ἠβούλετο, ἤκουσεν ἂν καὶ αὐτὸς τοῦ μακαρίου τούτου εὐαγγελιστοῦ λέγοντος, ὅτι « Ὁ Λόγος σὰρξ ἐγένετο. » Οὐ προφανῶς γὰρ ἐνταῦθα ἐλέγχεται ; Αὐτὸς γὰρ ὁ Λόγος ἄνθρωπος ἐγένετο. Οὐκ εἶπεν · Εὑρὼν ἄνθρωπον ὁ Λόγος, συνήφθη αὐτῷ, ἀλλ', Αὐτὸς ἐκεῖνος ἄνθρωπος ἐγένετο. Ἀνατρέπεται δὲ καὶ Εὐτυχὴς, καὶ Οὐαλεντῖνος, καὶ Μάνης ἐντεῦθεν. Οὗτοι γὰρ κατὰ φαντασίαν ἔλεγον φανῆναι τὸν Λόγον τοῦ Θεοῦ. Ἀκουέτωσαν οὖν, ὅτι « Ὁ Λόγος σὰρξ ἐγένετο. » Οὐκ εἶπεν, ὅτι Σὰρξ ἐφαντάσθη, ἢ ἔδοξεν, ἀλλ', ὅτι Ἐγένετο ἀληθείᾳ, καὶ οὐσίᾳ, καὶ οὐ φαν-

est omnis homo, dicit partem, animam scilicet Et iterum a carne nominat totum, ut quando dicit, « Et videbit omnis caro Salutare Dei [30]. » Dicere enim volens omnem hominem, carnis nomine usus est. Sic et evangelista pro eo quod est, Verbum homo factum est : dixit, « Verbum caro factum est : » a parte totum hominem nominans, ex anima et corpore constitutum. Fortassis autem quia caro a divina natura alienior est, volens evangelista significare immensam Dei misericordiam, carnis meminit, ut ineffabilem ejus benignitatem obstupescamus, quod propter nostram salutem, alienum a **516** natura sua, et omnibus modis peregrinum, carnem dico, assumpserit. Anima enim cognationem quamdam habet cum Deo, caro autem nullo modo communicat: et idcirco opinor evangelistam solo carnis nomine usum, non qued anima exspers sit assumptionis, sed ad majorem ostensionem mirandi et stupendi saeramenti. Nam si non assumpsisset animam humanam Verbum incarnatum, incurabiles adhuc essent animæ nostræ. Nam quod non assumpsit, non sanavit. Et quam ridiculum, cum anima prior ægrotarit ; illam enim, cum crederet sermonibus serpentis, decipereturque in paradiso, ut dominam et reginam secuta est manus, et fructum attigit ; si relinqueretur domina, et non assumeretur, nec curaretur, assumeretur autem et sanctificaretur et curaretur caro ? Verum Apollinarius valeat, nos autem quando audimus quod Verbum caro factum sit, credimus quod totus homo factus : quandoquidem Scripturæ mos est et carnem, et animam, ut a parte, totum hominem nominare. Convincitur autem et Nestorius ex hoc dicto. Dicebat enim ille quod non Deus Verbum fuerit ille homo conceptus ex sanctissimis sanguinibus sanctæ Virginis, sed peperit quidem Virgo hominem, iste autem homo gratiam assecutus in omni virtutum genere, habuerit Verbum Dei sibi coadunatum, quod potestatem ei dederat contra immundos spiritus : atque ita dicebat duos filios, unum Virginis Jesum hominem, et alium Filium Dei, qui adunatus quidem fuerit homini inseparabiliter, sed per habitum et gratiam et charitatem, quemadmodum etiam virtutibus prædito. Hæc ille, sua sponte ad veritatem surdus. Nam si voluisset, audivisset utique et beatum Joannem evangelistam dicentem, « Verbum caro factum est. » Nonne manifeste hic convincitur? Ipsum enim Verbum factum est homo. Non dixit quod invento homine virtutibus prædito, illi se adjunxerit, sed factum est ille ipse homo. Confutantur insuper et Eutyches et Valentinus et Manichæus hoc loco. Illi enim dixerunt quod apparuerit homo juxta apparentiam. Audiant igitur, « Verbum caro factum est. » Non dicit quod apparenter fuerit caro, sed quod fuerit veritas et substantia, et non phantasia. Absurdum enim et stultum esset credere quod cum Filius Dei veritas sit et dicatur, mentiatur incarna-

30 Psal. CXLIV, 21.

tionem. In hunc se modum mendax phantasia semper ostentat. « Et habitavit in nobis. » Quoniam supra dixerat, « Verbum caro factum est, » ut ne quis suspicetur quod una natura facta sit Christus, ideo subdit. « Et habitavit in nobis, » ut ostendat duas naturas, nostram scilicet, ac Verbi. Nam sicut alterius naturæ est tabernaculum, et alterius is qui inhabitat in eo : ita et Verbum in nobis habitare dicitur, hoc est, in nostra natura, et alterius 517 est naturæ quam sit nostra. Confundantur Armenii, qui unam colunt naturam. Discimus igitur per, « Verbum caro factum est, » quod ipsum Verbum homo factum est : et cum sit Filius Dei, factum est filius mulieris, quæ proprie Deipara dicitur, eo quod genuerit Deum in carne. Per hoc autem quod dicit, « Habitavit in nobis, » discimus duas naturas credendas in Christo. Nam etsi unus sit secundum hypostasin, hoc est, secundum personam : secundum naturas tamen duo, Deus videlicet et homo. Divina autem natura et humana non fuerint una, etiamsi apud unum videantur, Christum dico.

*Ibid.* « Et spectavimus gloriam ejus, gloriam velut Unigeniti a Patre, Plenum gratia et veritate. » Postquam dixit quod caro factum sit, subdit nunc, « Et spectavimus gloriam ejus, » cum videlicet esset in carne. Etenim cum faciem Mosi ex colloquio Dei factam clariorem Israelitæ videre nequiverint, multo magis apostoli nudæ deitatis Unigeniti capaces non fuissent, nisi per carnem apparuisset. Spectavimus autem gloriam, non talem qualem habebat Moses, vel cum qua gloria Cherubim et Seraphim prophetæ apparuerunt : sed talem gloriam, qualem decuit esse Unigeniti a Patre, quæ illi naturaliter inest. Nam « velut » hic non similitudinis, sed confirmationis et determinationis indubitatæ verbum est: sicut cum videmus regem cum gloria magna venientem, dicimus quod velut rex prodeat, hoc est, quod vere sit rex : ita etiam hoc loco intelligere debes, « velut Unigeniti, » quod gloria quam spectavimus, revera fuerit gloria Filii plena gratia et veritate. Gratia quidem plena, secundum quod sermo ejus gratiosus erat, ut sic dicam, juxta David, « Diffusa est gratia in labiis tuis [51]. » Et Evangelista. « Admirabantur omnes super sermonibus gratiæ qui procedebant ex ore ejus [52]. » Et omnibus sanitates conferebat, prout congruebat eis. Veritate autem plena erat secundum quod ea quæ prophetæ et Moses ipse vel dicebant vel faciebant, figuræ erant per omnia ; at, quæ Christus faciebat dicebatque, plena erant veritate, cum esset ipsamet gratia, et ipsamet veritas, aliisque suppeditaret eam, Ubi autem spectarunt gloriam illam ? Quidam suspicantur quod fortassis in monte Thabor. Fortassis autem et hoc verum est, quod non solum in

[51] Psal. XLIV, 3. [52] Luc. IV, 22.

A τασίᾳ. Ἄτοπον γὰρ καὶ ἀνόητον πιστεύειν, ὡς ὁ Υἱὸς τοῦ Θεοῦ, ἀλήθεια ὢν καὶ λεγόμενος, ἐψεύσατο τὴν ἐνανθρώπησιν· τοιοῦτον γὰρ ἡ φαντασία, ψευδὴς πάντως ἔνδειξις. « Καὶ ἐσκήνωσεν ἐν ἡμῖν. » Ἐπειδὴ ἄνω εἶπεν, ὅτι « Ὁ Λόγος σαρξ ἐγένετο, » ἵνα μή τις ὑπολάβῃ, ὅτι μία φύσις λοιπὸν ἐγένετο ὁ Χριστὸς, διὰ τοῦτο ἐπάγει τὸ, « Ἐσκήνωσεν ἐν ἡμῖν, » ἵνα δείξῃ τὰς δύο φύσεις, τήν τε ἡμετέραν, καὶ τὴν τοῦ Λόγου. Ὥσπερ γὰρ ἄλλης φύσεώς ἐστιν ἡ σκηνὴ, καὶ ἄλλης ὁ κατασκηνῶν ἐν αὐτῇ· οὕτω καὶ ὁ Λόγος σκηνῶσαι ἐν ἡμῖν λεγόμενος, τουτέστιν, ἐν τῇ ἡμετέρᾳ φύσει, ἄλλης ἂν εἴη φύσεως παρὰ τὴν ἡμετέραν. Αἰσχυνέσθωσαν οἱ Ἀρμένιοι, οἱ μίαν φύσιν πρεσβεύοντες. Μανθάνομεν οὖν, διὰ μὲν τοῦ, « Ὁ Λόγος σὰρξ ἐγένετο, » ὅτι αὐτὸς ὁ Λόγος ἄν-
B θρωπος ἐγένετο, καὶ υἱὸς ὢν τοῦ Θεοῦ, γέγονε καὶ γυναικὸς Υἱός· ἥτις καὶ κυρίως Θεοτόκος καλεῖται, ὡς τὸν Θεὸν γεννήσασα ἐν σαρκί. Διὰ δὲ τοῦ, « Ἐσκήνωσεν ἐν ἡμῖν, » τοῦτο διδασκόμεθα, τὸ δύο φύσεις πιστεύειν εἰς τὸν ἕνα Χριστόν. Εἰ γὰρ καὶ εἷς κατὰ ὑπόστασιν ἤγουν τὸ πρόσωπον, ἀλλὰ δύο κατὰ τὰς φύσεις· Θεὸς γὰρ καὶ ἄνθρωπος· θεία δὲ φύσις καὶ ἀνθρωπίνη οὐκ ἂν εἶεν ἕν, εἰ καὶ περὶ ἕνα θεωροῖντο, τὸν Χριστόν φημι.

« Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. » Ἐπειδὴ εἶπεν, ὅτι « Σὰρξ ἐγένετο, » ἐπιφέρει λοιπὸν, ὅτι « Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, » ἐν σαρκὶ δηλονότι ὄντος. Εἰ γὰρ τὸ πρόσωπον Μωσέως λαμπρυνθὲν ἐκ τῆς πρὸς Θεὸν ὁμιλίας οἱ Ἰσραηλῖται ἰδεῖν οὐκ ἠδύναντο, πολλῷ μᾶλλον τὴν θεότητα
C τοῦ Μονογενοῦς γυμνὴν οὐκ ἂν ἐχώρησαν οἱ ἀπόστολοι, εἰ μὴ διὰ τῆς σαρκὸς ἐπεφάνη. Ἐθεασάμεθα δὲ τὴν δόξαν οὐ τοιαύτην, οἵαν ἔσχεν ὁ Μωσῆς, ἢ μεθ' οἵας δόξης ὤφθησαν τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ τῷ προφήτῃ, ἀλλὰ τοιαύτην δόξαν, οἵαν ἔπρεπεν εἶναι μονογενεῖ Υἱῷ, ἐκ τοῦ Πατρὸς φυσικῶς αὐτῷ προσοῦσαν. Τὸ γὰρ « ὡς » ἐνταῦθα οὐχ ὁμοιώσεώς ἐστιν, ἀλλὰ βεβαιώσεως καὶ ἀναμφισβητήτου διορισμοῦ. Ὥσπερ βασιλέα βλέποντες μετὰ δόξης πολλῆς προερχόμενον, λέγομεν ὅτι ὡς βασιλεὺς προῆλθεν, ἀντὶ τοῦ, ὡς ὄντος καὶ κατὰ ἀλήθειαν βασιλεύς· οὕτως οὖν κἀνταῦθα τὸ, « ὡς Μονογενοῦς, » ὀφείλομεν νοῆσαι, ἀντὶ τοῦ, Ἡ δόξα, ἣν ἐθεασάμεθα, ὡς τῷ ὄντι κατὰ ἀλήθειαν Υἱοῦ δόξα ἦν. « Πλήρης χάριτος καὶ ἀληθείας. » Χάριτος μὲν πλήρης, καθὸ καὶ ὁ Λόγος αὐτοῦ κεχαριτωμένος ἦν,
D ἵνα οὕτως εἴπω, καθὰ καὶ Δαυῒδ λέγει· « Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου. » Καὶ ὁ εὐαγγελιστὴς, ὅτι « Ἐθαύμαζόν πάντες ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ. » Καὶ πᾶσι δὲ τὰς ἰάσεις ἐχαρίζετο τοῖς χρῄζουσιν αὐτῶν. Ἀληθείας δὲ πλήρης ἦν, καθὸ καὶ οἱ προφῆται, καὶ Μωσῆς αὐτὸς, ὅσα ἔλεγον ἢ ἔπραττον, πάντα τύποι ἦσαν· ὁ δὲ Χριστὸς ἃ ἔλεγε καὶ ἔπραττεν, ἅπαντα ἀληθείας πλήρη, αὐτόχαρις ὢν καὶ αὐτοαλήθεια, καὶ ἄλλοις ταῦτα χορηγῶν. Ποῦ δὲ ἐθεάσαντο τὴν

δόξαν; Ἴσως μὲν τινες ὑπολήψονται, ὅτι ἐν τῷ ὄρει τῷ Θαβώρ. Τάχα δὲ καὶ τοῦτο μὲν ἀληθὲς, πλὴν οὐκ ἐν τῷ ὄρει μόνῳ, ἀλλ' ἐν πᾶσιν οἷς ἔπραττε καὶ ἔλεγεν, ἔβλεπον τὴν δόξαν αὐτοῦ.

« Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· Οὗτος ἦν, ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. » Τὴν Ἰωάννου μαρτυρίαν συνεχῶς παραλαμβάνει ὁ εὐαγγελιστής· οὐχὶ τὸν Δεσπότην ἀξιόπιστον ἀπὸ τοῦ δούλου ποιῶν, ἀλλ' ἐπεὶ μεγάλην ὑπόληψιν εἶχον περὶ Ἰωάννου οἱ ὄχλοι, τούτου ἕνεκεν παραλαμβάνει εἰς τὴν περὶ τοῦ Χριστοῦ μαρτυρίαν τὸν παρ' ἐκείνοις νομιζόμενον μέγαν Ἰωάννην, καὶ διὰ τοῦτο ὑπὲρ ἅπαντας πιστευόμενον. Τὸ δὲ, « κέκραγε, » τὴν πολλὴν παῤῥησίαν τοῦ Ἰωάννου δεικνύει. Οὐ γὰρ ἐν γωνίᾳ, ἀλλὰ μετὰ πολλῆς τῆς παῤῥησίας ἐβόα περὶ Χριστοῦ. Τί δὲ ἔλεγεν; « Οὗτος ἦν, ὃν εἶπον· » καὶ πρὸ τοῦ ἰδεῖν τὸν Χριστὸν ὁ Ἰωάννης ἐμαρτύρει περὶ αὐτοῦ. Καὶ τοῦτο Θεοῦ πάντως εὐδοκία, ἵνα μὴ δόξῃ, τῷ προσώπῳ χαριζόμενος τοῦ Χριστοῦ, περὶ αὐτοῦ τὰ χρηστότερα μαρτυρεῖν. Διὸ καὶ λέγει· « Ὃν εἶπον, » τουτέστι, καὶ πρὶν ἰδεῖν αὐτὸν, « ὁ ὀπίσω μου ἐρχόμενος, » κατὰ τοὺς τῆς γεννήσεως δηλαδὴ χρόνους· ἓξ γὰρ μῆνας πρότερος ἦν ὁ πρόδρομος τοῦ Χριστοῦ κατὰ τὴν ἐν σαρκὶ γέννησιν. « Οὗτος ἔμπροσθέν μου γέγονεν, » ἀντὶ τοῦ, προτιμότερός μου καὶ ἐνδοξότερος ἐγένετο. Διὰ τί; Ὅτι καὶ πρῶτός μου ἦν κατὰ τὴν θεότητα. Οἱ δὲ Ἀρειανοὶ ἀνοήτως ἡρμήνευσαν τὸ ῥητὸν τοῦτο. Θέλοντες γὰρ δεῖξαι, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ οὐκ ἐγεννήθη ἀπὸ τοῦ Πατρὸς, ἀλλὰ γέγονεν ὡς ἓν τῶν κτισμάτων, φασὶν, ὅτι Ἰδοὺ ὁ Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ τὸ, « Ἔμπροσθέν μου γέγονεν, » ἀντὶ τοῦ, πρὸ ἐμοῦ γέγονε, καὶ ἐκτίσθη παρὰ τοῦ Θεοῦ, ὡς ἓν τῶν ποιημάτων. Ἐλέγχονται δὲ, κακῶς νοοῦντες τὸ ῥητὸν ἐκ τοῦ ἐφεξῆς. Ποία γὰρ ἔννοια ἐμφαίνεται ἐν τῷ λέγειν, ὅτι « Οὗτος, » ὁ Χριστὸς δηλαδὴ, « ἔμπροσθέν μου γέγονεν, » ἀντὶ τοῦ, πρὸ ἐμοῦ ἐκτίσθη, « διότι πρῶτός μου ἦν; » Ἀνόητον γὰρ παντάπασι τὸ λέγειν, ὅτι Τοῦτον ἔκτισεν ὁ Θεὸς πρότερον, διότι πρῶτός μου ἦν. Τοὐναντίον γὰρ ὤφειλε μᾶλλον εἰπεῖν, ὅτι Οὗτος πρῶτός μού ἐστι, διότι ἔμπροσθέν μου γέγονεν, ἤγουν ἐκτίσθη. Ταῦτα μὲν τὰ τῶν Ἀρειανῶν. Ἡμεῖς δὲ ὀρθοδόξως νοοῦμεν, ὅτι « Ὁ ὀπίσω μου ἐρχόμενος, » κατὰ τὴν ἐκ Παρθένου ἐν σαρκὶ γέννησιν, « ἔμπροσθέν μου γέγονεν, » ἀντὶ τοῦ, ἐνδοξότερος καὶ προτιμότερός μου ἐγένετο ἐκ τῶν περὶ αὐτὸν συμβάντων θαυμάτων, ἐκ τοῦ τόκου, ἐκ τῆς ἀνατροφῆς, ἐκ τῆς σοφίας. Καὶ εἰκότως τοῦτο. Καὶ γὰρ πρῶτός μου ἦν, κατὰ τὴν πρὸ αἰώνων ἐκ Πατρὸς γέννησιν, εἰ καὶ ὀπίσω μου ἦλθε κατὰ τὴν ἐν σαρκὶ παρουσίαν.

« Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. » Καὶ ταῦτα τοῦ Προδρόμου εἰσὶ ῥήματα λέγοντος περὶ τοῦ Χριστοῦ, ὅτι Ἡμεῖς πάντες οἱ προφῆται ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν. Οὐ γὰρ τοσαύτην ἔχει τὴν χάριν, ἴσην οἱ πνευματοφόρητοι ἄνθρωποι· ἀλλὰ πηγὴ ὑπάρχων παντὸς ἀγαθοῦ, καὶ πάσης σοφίας καὶ

monte, sed etiam in omnibus quæ dicebat et faciebat, spectabant gloriam ejus.

VERS. 15. « Joannes testatur de ipso, et clamavit, dicens: Hic erat de quo dicebam, qui post me venturus, ante me factus est, quia prior me erat. » Frequenter Joannis testimonium assumit evangelista, non ut Dominum fide dignum faciat e verbis servi, sed quia turbæ magnam de Joanne opinionem habebant, ejus gratia in testimonium Christi assumit Joannem, qui apud 518 illos magnus nominabatur, et super omnes alios esse credebatur. Verbum autem, « clamavit, » magnam fiduciam et libertatem Joannis ostendit. Non enim in angulo, sed magna cum libertate clamabat de Christo. Quid autem dicebat? « Hic erat de quo dicebam, » Joannes etiam antequam videret Christum, testificabatur de illo: idque singulari Dei voluntate, ut ne videatur gratificans personæ Christi, de eo honestiora testari, ideo dicit; « De quo dicebam, » hoc est, priusquam viderem eum, « qui post me venturus, » manifeste quantum ad nativitatis tempora. Sex enim mensibus prior fuit Præcursor Christi secundum nativitatem in carne « Hic ante me factus est, » hoc est, venerabilior et gloriosior me factus est. Quare? Quia et prior me erat, secundum deitatem. Ariani autem stulte interpretati dictum hoc sunt. Volentes enim demonstrare quod Filius Dei non sit genitus a Patre, sed factus sit sicut una aliarum creaturarum, dicunt, « Ecce Joannes testatur de eo, » « Ante me factus est, » hoc est, ante me factus et conditus est a Deo sicut una creaturarum. Redarguuntur autem, male intelligentes dictum, ex eo quod sequitur. Quæ enim sententia apparet si dicatur: Hic, Christus scilicet, ante me factus est, hoc est, prius quam ego conditus est, eo quod prior me fuerit? Omnibus enim modis stultum est dicere quod illum creaverit Deus prius, eo quod prior me erat: sed contrarium magis dicere oportebat: quia hic prior me est, ideo « ante me factus est, » hoc est, conditus est. Et hæc quidem Arianorum sunt dicta. Nos autem orthodoxe intelligimus quod qui post me venturus erat, juxta nativitatem in carne ex Virgine, ante me factus est, hoc est, gloriosior et dignior me fuit, propter miracula quæ circa ipsum acciderunt in partu, in educatione, in sapientia. Et merito hoc. Etenim prior me erat secundum nativitatem divinam ex Patre, quamvis post me venerit secundum adventum in carne.

VERS. 16. « Et de plenitudine ejus accepimus omnes, et gratiam pro gratia. » Et hæc Præcursoris verba sunt, dicentis de Christo, Nos prophetæ omnes de plenitudine ejus accepimus. Majorem enim gratiam habet, quam qui Spiritu afflabantur homines. Nam fons omnis boni et omnis sapientiæ ac prophetiæ exsistens, superfluit, et dat ipsam om-

nibus dignis, et effluens plenus manet, ac nunquam A exhauritur. Gratiam autem accepimus, Novi scilicet Testamenti, pro gratia veteris legis. Et quoniam Testamentum illud antiquatum est, pro eo Novum accepimus. Et quomodo, inquit, nominavit gratiam Vetus Testamentum? Eo quod Judæi gratia in filios adoptati et recepti fuerunt. Dicit enim: « Non quia vos multi estis, sed propter patres vestros vos elegi. » Patres quoque gratia suscepti fuerunt, et nos ex confesso gratia sumus salvati.

προφητείας, ὑπερβλύζει αὐτὴν πᾶσι τοῖς ἀξίοις, καὶ ἐν τῷ ὑπερβλύζειν πλήρης διαμένων, καὶ οὐδέποτε κενούμενος. Καὶ χάριν δὲ ἐλάβομεν, τὴν τῆς Καινῆς δηλαδὴ Διαθήκης, ἀντὶ τῆς χάριτος, τῆς παλαιᾶς νομοθεσίας. Ἐπεὶ γὰρ ἐκείνη ἡ Διαθήκη ἐγήρασε καὶ ἐσαθρώθη, ἀντ' ἐκείνης τὴν Νέαν ἐλάβομεν. Καὶ πῶς, φησὶν, ὠνόμασε χάριν τὴν Παλαιὰν Διαθήκην; Διότι καὶ οἱ Ἰουδαῖοι χάριτι υἱοθετήθησαν καὶ προσεδέχθησαν. Φησὶ γάρ, ὅτι « Οὐ διὰ τὸ πολυπληθεῖν ὑμᾶς, ἀλλὰ διὰ τοὺς πατέρας ὑμῶν ἐξελεξάμην ὑμᾶς. » Καὶ οἱ παλαιοὶ τοίνυν χάριτι προσεδέχθησαν, καὶ ἡμεῖς δὲ ὁμολογουμένως χάριτί ἐσμεν σεσωσμένοι.

819 VERS. 17. « Quia lex per Mosem data est, gratia et veritas per Jesum Christum facta est. » B Interpretatur nobis quomodo acceperimus gratiam magnam pro parva gratia; et dicit quod lex quidem per Mosem data sit, cum uteretur Deus mediatore homine Mose, Novum autem Testamentum per Jesum Christum, quod quidem et gratia nominatur, eo quod largitus sit nobis Deus non solum peccatorum remissionem, sed et filiorum adoptionem. Veritas autem vocatur, eo quod quæcunque patres olim in figura vel viderunt vel locuti sunt, ea clare hoc prædicarit. Novum igitur, inquam, Testamentum, quod et gratia nominatur et veritas, mediatorem non habet simplicem et purum hominem, sed Filium Dei. Et vide quomodo de vetere dicit: « Datum est per Mosen. » Minister enim et subditus ille erat. De Novo autem Testamento non dixit, Datum est, sed, « Factum est: » ut ostendat a Domino C nostro Jesu Christo, velut Domino, non servo, factam et ad finem perductam gratiam ac veritatem. Nam lex quidem data est a Deo, mediatore Mose, gratia autem facta est, non data, per Jesum Christum. Factum esse, auctoritatem quamdam sonat: datum vero, ministerium indicat.

« Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. » Ἑρμηνεύει ἡμῖν, πῶς ἐλάβομεν χάριν μεγίστην ἀντὶ μικρᾶς χάριτος· καί φησιν, ὅτι ὁ μὲν νόμος διὰ Μωσέως ἐδόθη, μεσίτῃ χρησαμένου τοῦ Θεοῦ ἀνθρώπῳ, τῷ Μωσεῖ φημι· ἡ δὲ Καινὴ Διαθήκη διὰ Ἰησοῦ Χριστοῦ, ἥτις καὶ χάρις ὀνομάζεται, διότι ἐχαρίσατο ἡμῖν ὁ Θεὸς οὐ μόνον τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ τὴν υἱοθεσίαν. Ἀλήθεια δὲ καλεῖται, καθ' ὅσον ὅσα οἱ πάλαι τυπικῶς ἢ εἶδον, ἢ εἶπον, ταῦτα λαμπρῶς αὕτη ἀνεκήρυξεν. Ἡ τοίνυν Καινὴ Διαθήκη, ἡ καὶ χάρις ὀνομαζομένη καὶ ἀλήθεια, οὐκ ἀνθρώπῳ ψιλῷ μεσίτῃ ἐχρήσατο, ἀλλὰ τῷ Υἱῷ τοῦ Θεοῦ. Καὶ ὅρα πῶς ἐπὶ μὲν τῆς Παλαιᾶς εἶπε τὸ, « Ἐδόθη διὰ Μωσέως· » ὑπουργὸς γὰρ καὶ ὑπηρέτης οὗτος ἦν. Ἐπὶ δὲ τῆς Καινῆς, οὐκ εἶπε τὸ, « ἐδόθη, » ἀλλὰ τὸ, « ἐγένετο, » ἵνα δείξῃ ὑπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς δεσπότου, οὐχὶ δούλου, γενομένην, καὶ εἰς τέλος προβᾶσαν τὴν χάριν καὶ τὴν ἀλήθειαν. Νόμος μὲν γὰρ ἐδόθη παρὰ Θεοῦ διὰ μέσου τοῦ Μωσέως· ἡ χάρις ἐγένετο, οὐχὶ ἐδόθη, διὰ Ἰησοῦ Χριστοῦ. Αὐθεντικὸν μὲν τὸ, « Ἐγένετο, » δουλικὸν δὲ τὸ, « ἐδόθη. »

VERS. 18. « Deum nemo vidit unquam, unigenitus Filius, qui est in sinu Patris, ille enarravit. » Quoniam dixerat quod « gratia et veritas per Jesum Christum facta sit, » istud ipsum volens adstruere, dicit: Nihil incredibile dixi. Nam Moses quidem neque Deum vidit, sicut neque alius quispiam: nec potuit nobis manifestam et liquidam de illo narrationem dicere: sed cum esset servus, D minister fuit solum legalis litteræ. Christns autem qui est Filius, et Unigenitus, et in sinu paterno est, non solum illum videt, sed etiam omnibus hominibus de illo annuntiat: atque ita, quia Filius est, et Patrem videt, et in sinu ejus est, merito gratiam et veritatem nobis dedit. Cæterum dixerit hic fortasse quispiam: Quomodo hoc loco discimus quod nullus viderit Deum, cum propheta dicat: « Vidi Dominum 53? » Vidit quidem propheta Deum, at non ipsam substantiam, sed similitudinem et apparentiam quamdam, sicut capere poterat. Et alius iterum in alia figura vidit, et alius in alia. Unde scilicet non ipsam veritatem viderunt: non enim

« Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς Υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. » Ἐπειδὴ εἶπεν, ὅτι « Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο, » τοῦτο θέλων κατασκευάσαι, φησὶν, ὅτι Οὐδὲν ἄπιστον εἴρηκα. Ὁ μὲν γὰρ Μωσῆς οὔτε Θεὸν ἑώρακεν, ὥσπερ οὐδ' ἄλλος τις, οὔτε εἶχεν ἡμῖν ἐξήγησιν τρανεστάτην καὶ σαφῆ περὶ αὐτοῦ εἰπεῖν· ἀλλὰ δοῦλος ὢν, ὑπηρέτησε μόνον πρὸς τὴν τοῦ νομικοῦ γράμματος διακονίαν. Ὁ δὲ Χριστὸς, Υἱὸς ὢν καὶ Μονογενὴς, καὶ ἐν τοῖς κόλποις ὢν τοῖς πατρικοῖς, οὐ μόνον αὐτὸν ὁρᾷ, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις ἐξηγεῖται περὶ αὐτοῦ. Ὥστε ἐπειδὴ Υἱός ἐστι, καὶ τὸν Πατέρα ὁρᾷ, οἷα δὴ ἐν τοῖς κόλποις αὐτοῦ ὢν, εἰκότως τὴν χάριν καὶ τὴν ἀλήθειαν ἡμῖν ἔδωκεν. Ἀλλ' ἐρεῖ τις ἴσως· Πῶς ἐνταῦθα μὲν μανθάνομεν, ὅτι οὐδεὶς ἑώρακε τὸν Θεὸν, ὁ δὲ προφήτης λέγει· « Εἶδον τὸν Κύριον; » Εἶδε μὲν ὁ προφήτης, ἀλλ' οὐκ αὐτὴν τὴν οὐσίαν, ἀλλ' ὁμοίωμά τι καὶ φαντασίαν τινά, ὡς ἐχώρει ἰδεῖν. Καὶ ἄλλος πάλιν ἐν ἄλλῳ τύπῳ εἶδε, καὶ ἄλλος ἐν ἄλλῳ. Ὅθεν δῆλον, ὅτι οὐκ αὐτὴν τὴν ἀλήθειαν ἔβλεπον· οὐ γὰρ ἂν ἐν

53 Isa. VI, 1.

διαφόροις σχήμασιν αὐτὴν ἐθεώρουν ἁπλῆν οὖσαν A καὶ ἀσχημάτιστον. Ἀλλ' οὐδὲ οἱ ἄγγελοι βλέπουσι Θεοῦ οὐσίαν, εἰ καὶ λέγονται τὸ πρόσωπον τοῦ Θεοῦ ὁρᾷν· τοῦτο γὰρ ἐνδεικτικόν ἐστι μόνου τοῦ φαντάζεσθαι ἀεὶ Θεόν. Ὁ Υἱὸς οὖν μόνος ὁρᾷ τὸν Πατέρα, καὶ ἐξηγεῖται αὐτὸν πᾶσιν ἀνθρώποις. Κόλπους δὲ ἀκούων πατρικοὺς, μηδὲν ὑποπτεύσῃς σωματικὸν ἐπὶ Θεοῦ. Τὴν γὰρ γνησιότητα, καὶ τὸ ἀχώριστον, καὶ συναΐδιον δεῖξαι βουλόμενος τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ὁ εὐαγγελιστὴς, τούτου τοῦ ὀνόματος ἐμνήσθη.

« Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ; Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγησεν, ὅτι Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός. » Εἶπεν ἀνωτέρω, ὅτι Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ· εἶτα εἰπὼν διὰ μέσου τί B ἐμαρτύρησεν ὁ Ἰωάννης περὶ τοῦ Χριστοῦ, ὅτι « Οὗτος ἔμπροσθέν μου γέγονε, » καὶ ὅτι « Ἡμεῖς πάντες οἱ προφῆται ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν, » ἐπιφέρει· « Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου. » Ποία; Ἣν ἀνωτέρω εἶπεν, ὅτι Ἔμπροσθέν μου γέγονε, » καὶ τὰ λοιπά· ἀλλὰ καὶ ἃ ἐφεξῆς λέγει, ὅτι » Οὐκ εἰμὶ ὁ Χριστὸς, » καὶ ταῦτα μαρτυρία Ἰωάννου εἰσίν. « Ἀπέστειλαν οὖν οἱ Ἰουδαῖοι πρὸς Ἰωάννην οὓς εἶχον κρείττονας· ἱερεῖς γὰρ καὶ Λευΐτας, καὶ τούτους Ἱεροσολυμίτας· ὡς ἂν οὗτοι, οἷα δὴ συνετώτεροι, πείσωσι τὸν Ἰωάννην διὰ κολακείας, ὁμολογῆσαι ἑαυτὸν Χριστόν. Ὅρα δὲ τὴν σκαιότητα· οὐκ ἐρωτῶσιν αὐτὸν εὐθέως· Σὺ εἶ ὁ Χριστός; ἀλλὰ, « Σὺ τίς εἶ; » Ἐκεῖνος δὲ, τὴν κακουργίαν εἰδὼς αὐτῶν, οὐ λέγει τίς ἦν, ἀλλ' ὁμολο- C γεῖ, ὅτι « Οὐκ εἰμὶ ὁ Χριστὸς, » πρὸς τὸν σκοπὸν αὐτῶν ἀποβλέπων, καὶ πανταχόθεν αὐτοὺς ἐπισπώμενος πρὸς τὸ πιστεῦσαι, ὅτι ἄλλος ἐστὶν ὁ Χριστὸς ὁ παρ' αὐτῶν νομιζόμενος εὐτελὴς, καὶ εὐτελοῦς πατρὸς, τέκτονος γάρ· καὶ εὐτελοῦς πατρίδος, Ναζαρὲτ γάρ· ἐξ ἧς οὐδὲν ἀγαθὸν εἶναι ἐπίστευον. Περὶ μέντοι αὐτοῦ τοῦ Προδρόμου μεγάλην δόξαν εἶχον· πατρός τε γὰρ ἀρχιερέως ἦν, καὶ βίου ἀγγελικοῦ καὶ ἀΰλου σχεδόν. Ὅθεν θαυμάσαι δίκαιον, πῶς ἐξ ὧν ᾤοντο ἐκεῖνοι βλάψαι τὴν τοῦ Χριστοῦ δόξαν, ἐκ τούτων συμποδίζονται. Ἐρωτῶσι μὲν γὰρ ὡς ἀξιόπιστον τὸν Ἰωάννην, ἵνα τῆς εἰς Χριστὸν ἀπιστίας τὴν ἐκείνου μαρτυρίαν ὑπόθεσιν ἔχωσιν, εἴπερ μὴ ὁμολογήσῃ αὐτὸν Χριστόν· τὸ δὲ εἰς τοὐναντίον περιε- D τράπη αὐτοῖς. Τοῦτον γὰρ, ὃν εἶχον ἀξιόπιστον, εὑρίσκουσι μαρτυροῦντα περὶ Χριστοῦ, καὶ μὴ εἰς ἑαυτὸν ἕλκοντα τὴν τιμήν.

« Καὶ ἠρώτησαν αὐτόν· Τί οὖν; Ἠλίας εἶ σύ; Καὶ λέγει· Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; Καὶ ἀπεκρίθη· Οὔ. Εἶπον οὖν αὐτῷ· Τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς; Τί λέγεις περὶ σεαυτοῦ; Ἔφη· Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης. » Τὸν Ἠλίαν προσεδόκων ἥξειν, ἀρχαίᾳ παραδόσει πειθόμενοι· διὸ ἐρωτῶσιν αὐτὸν εἰ ἔστιν Ἠλίας· καὶ γάρ τοι καὶ ὁ βίος αὐτοῦ ἐῴκει τῷ τοῦ Ἠλιοῦ Ἀρ-

diversis figuris illam vidissent, quæ simplex est et infigurabilis. Quin neque angeli vident Dei substantiam, quamvis dicantur videre faciem ejus. Hoc enim solum indicat, semper Deum eis apparere. Filius igitur solus videt Patrem, et enarrat illum omnibus hominibus. Sinum autem audiens paternum, non suspiceris aliquid corporale de Deo. Evangelista enim solens nobis indicare Filium Patri esse coæternum, ac verum et inseparabilem, hujus nominis mentionem fecit.

VERS. 19, 20. « Et hoc est testimonium **520** Joannis, quando miserunt Judæi ex Hierosolymis sacerdotes et levitas ut interrogarent eum, Tu quis es? Et confessus est, et non negavit. Et confessus est, Non sum ego Christus. » Dixit superius quod Joannes testetur de illo : et tum interseruit quid testatus sit Joannes de Christo, nempe quod « Hic ante me factus est » et quod « Nos omnes prophetæ de plenitudine ejus accepimus, » subdit, « Et hoc est Joannis testimonium. » Quale? Quod superius dixit, « Ante me factus est, » etc. Sed et quæ deinceps dicit : « Non sum Christus, » et hæc testimonia sunt Joannis. Porro Judæi ad Joannem miserant præstantiores quos habebant, sacerdotes videlicet et levitas, eosque Hierosolymitanos, qui utpote sapientiores, persuaderent Joanni per adulationem ut confiteretur se esse Christum. Vide autem quam sinistra sit illorum mens. Non interrogant eum statim, Tune es Christus? sed, « Tu qui es? » Verum ille cognita eorum malignitate, non dicit quis sit, sed confitetur, « Non sum Christus : » ad scopum utique illorum respiciens, et undequaque illos ad credendum alliciens, quod alius sit Christus, quem ipsi putant vilem, et ex vili patre, fabro videlicet, et contempta patria, nempe Nazareth, ex qua nihil boni esse credebant. Atqui de Præcursore ipso magnam habebant opinionem, eo quod natus erat ex patre sacerdotum principe, et vitam angelicam et quasi materiæ expertem ageret. Unde juste admiramur, quomodo per illa ipsa per quæ illi gloriæ Christi nocituros se putabant, impediuntur. Nam interrogabant quidem Joannem, ut fide dignum, quo testimonium illius suæ in Christum incredulitati prætexant, si quidem non confessus fuisset illum Christum. Verum secus evenit, et contra eos testimonium versum est. Etenim eum, quem pro fideli habebant, inveniunt præclara testari de Christo, et non sibi ipsi honorem arrogare.

VERS. 21-23. « Et interrogaverunt eum : Quid ergo? Elias es tu? Et dicit : Non sum. Es tu propheta ille? Et respondit : Non. Dixerunt ergo ei : Quis es, ut responsum demus his, qui nos miserunt? Quid dicis de te ipso? Ait : Ego vox clamantis in deserto : Dirigite viam Domini, sicut dixit Isaias propheta. » Eliam existimabant venturum veteri traditione persuasi : unde quærunt num sit Elias, eo quod et vita ejus similis erat vitæ Eliæ. Negat

igitur et hoc. « Propheta ille es tu? » Negat hoc etiam, tametsi propheta esset. Et quomodo igitur negat? Quomodo? Quia non interrogaverunt eum, Propheta es? sed : « Propheta ille es? » facta interrogatione cum articulo, hoc est, prepheta ille qui exspectabatur, de quo dixit Moses, « Prophetam suscitavit vobis Dominus Deus [54]. » Non negavit itaque Joannes se prophetam esse, sed prophetam 521 illum, qui exspectabatur. Quia enim audierant Mosen dicentem prophetam suscitandum, sperabant propter occasiones quasdam hunc futurum illum prophetam. Deinde iterum instant, « Dic nobis quis es? » Tunc respondit eis : « Ego vox clamantis in deserto. » Ego, inquit, sum, de quo scriptum est : « Vox clamantis in deserto. » Nisi enim adjeceris, « de quo scriptum est, » absurda quædam videretur sermonis constructio. Quid autem clamantis? « Dirigite viam Domini. » Servus, inquit, sum, et vias præparo Domino, corda vestra. Proinde illa facite recta, dolosi vos et obliqui, et facite æqua, ita ut Dominus Christus per vos iter faciat. Post hæc inducit Isaiam testem. Nam cum magnifica dixisset de Christo quod Dominus esset, ipse vero servi et præconis suscepisset opus, confugit ad prophetam. Fortassis autem quis sic exposuerit, « Ego vox clamantis, » hoc est : Ego sum vox Christi clamantis, id est, veritatem manifeste annuntiantis. Omnes enim qui in lege erant, submisse et humiliter sonabant, utpote qui nondum pervenerant ad tempus Evangelicæ veritatis. Et hæc sane erat vocis rudita, in Moses quia lex obscura erat, et non manifesta. Christus autem cum sit veritas ipsa, et annuntiet nobis omnia quæ Patris, clamans est. Ideo Joannes dicit : Ego sum vox Verbi clamantis, versans in deserto. Deinde sequitur aliud principium, « Dirigite viam Domini. » Merito autem dicitur Joannes vox, eo quod Præcursor erat Christi, sicut et vox verbum præcurrit. Et ut manifestius dicam : vox quidem est spiritus inarticulatus, qui a pectore egreditur : quando autem lingua articulatur, tunc fit verbum. Primum igitur vox, et deinde verbum. Prior Joannes, et deinde Christus secundum adventum in carne. Et baptisma quidem Joannis non erat articulatum : non enim fiebat in Spiritu : Christi vero articulatum erat. Nihil enim umbrarum vel figurarum continebat, sed fiebat in Spiritu.

VERS. 24, 25. « Et qui missi fuerant, erant ex Pharisæis, et interrogaverunt eum ac dixerunt ei : Cur ergo baptizas, si tu non es Christus, neque Elias, neque propheta ille? « Postquam per adulationem non potuerunt eum ad suas partes trahere, atrocioribus et minacibus verbis terrent, ut diceret quod volebant, et confiteretur se esse Christum, Quid igitur baptizas? dicentes; Quis tibi hanc dedit auctoritatem? Ostenditur autem ex hoc sermone, illos alium putasse esse Christum, et alium illum,

A νεῖται οὖν καὶ τοῦτο. « Ὁ προφήτης εἶ σύ; » Ἀρνεῖται καὶ τοῦτο, καίτοι γε προφήτης ἦν. Πῶς οὖν ἀρνεῖται; Πῶς; Ὅτι οὐχ ἠρώτησαν αὐτὸν, Προφήτης εἶ σύ; ἀλλ' « Ὁ προφήτης εἶ; » μετὰ τοῦ « ὁ, » ἄρθρου ποιησάμενοι τὴν ἐρώτησιν, ἀντὶ τοῦ, ἐκεῖνος ὁ προφήτης ὁ προσδοκώμενος, ὃν εἶπε Μωσῆς, ὅτι « Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεός. » Οὐκ ἠρνήσατο οὖν ὁ Ἰωάννης τὸ προφήτης εἶναι, ἀλλὰ τὸ, « ὁ προφήτης, » ἐκεῖνος ὁ προσδοκώμενος. Ἐπεὶ γὰρ ἤκουσαν Μωσέως εἰπόντος, ὅτι προφήτης ἀναστήσεται, ἤλπιζον κατά τινας καιροὺς γενήσεσθαι τοῦτον τὸν προφήτην. Εἶτα πάλιν ἐπίκεινται· Εἰπὲ οὖν ἡμῖν, τίς εἶ; Τότε ἀποκρίνεται αὐτοῖς· « Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. » Ἐγὼ, φησὶν, εἰμὶ, B περὶ οὗ γέγραπται· « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. » Εἰ μὴ γὰρ προσθήσεις τὸ, « περὶ οὗ γέγραπται, » ἄτοπός τις φαίνεται ἡ τοῦ λόγου σύνταξις. Τί δὲ βοῶντος; « Εὐθύνατε τὴν ὁδὸν Κυρίου. » Δοῦλος, φησὶν, εἰμὶ, καὶ προοδοποιῶ τῷ Κυρίῳ τὰς καρδίας ὑμῶν. Εὐθύνατε οὖν ταύτας, οἱ σκολιοὶ καὶ δόλιοι, καὶ ὁμαλίσατε, ὥστε ὁδὸν γενέσθαι τῷ Κυρίῳ Χριστῷ δι' ὑμῶν. Εἶτα ἐπεισάγει τὸν Ἡσαΐαν μάρτυρα. Μεγάλα γὰρ εἰπὼν περὶ τοῦ Χριστοῦ, ὅτι Κύριός ἐστι, καὶ ὅτι αὐτὸς δούλου καὶ κήρυκος ἔργον μεταχειρίζεται, καταφεύγει ἐπὶ τὸν προφήτην. Τάχα δ' ἄν τις τὸ, « Ἐγὼ φωνὴ βοῶντος, » οὕτως ἑρμηνεύσειεν, ὅτι Ἐγώ εἰμι φωνὴ τοῦ Χριστοῦ τοῦ βοῶντος, τουτέστι, τοῦ τὴν ἀλήθειαν τρανῶς διαγγέλλοντος. Οἱ μὲν γὰρ τοῦ νόμου πάντες ἰσχνόφωνοι, οἷα μὴ τῆς C ἀληθείας τοῦ Εὐαγγελίου καιρὸν ἐχούσης· καὶ τοῦτο ἦν ἄρα τὸ ἰσχνόφωνον τοῦ Μωσέως, τὸ τοῦ νόμου ἀτράνωτον καὶ ἀσαφές. Ὁ δὲ Χριστὸς οἷα δὴ αὐτοαλήθεια ὢν, καὶ πάντα ἡμῖν ἀπαγγείλας τὰ τοῦ Πατρὸς, βοῶν ἐστιν. Ὁ τοίνυν Ἰωάννης φησίν· Ἐγώ εἰμι ἡ φωνὴ τοῦ Λόγου τοῦ βοῶντος, ἐν τῇ ἐρήμῳ διάγων. Εἶτα ἀπ' ἄλλης ἀρχῆς· « Εὐθύνατε τὴν ὁδὸν τοῦ Κυρίου. » Εἰκότως λέγεται φωνὴ ὁ Ἰωάννης, ὡς Πρόδρομος ὢν τοῦ Χριστοῦ, ὥσπερ καὶ ἡ φωνὴ προτρέχει τοῦ λόγου· οἷον, ἵνα σαφέστερον εἴπω, φωνὴ μέν ἐστιν πνεῦμα ἀδιάρθρωτον, ὃ ἐκ τοῦ θώρακος ἔξεισιν· ὅταν δὲ ὑπὸ τῆς γλώττης διαρθρωθῇ, τότε γίνεται λόγος. Πρῶτον οὖν ἡ φωνὴ, εἶτα ὁ λόγος· πρότερος Ἰωάννης, εἶτα Χριστὸς κατὰ τὴν ἐν σαρκὶ παρουσίαν. Καὶ τὸ μὲν τοῦ Ἰωάννου βάπτισμα, D ἀδιάρθρωτον· οὐ γὰρ εἶχε τὸ, « ἐν Πνεύματι· » τὸ δὲ τοῦ Χριστοῦ, διηρθρωμένον, καὶ οὐδὲν τοῦ σκιώδους καὶ τυπικοῦ ἔχον· « ἐν Πνεύματι » γάρ.

« Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων· καὶ ἠρώτησαν αὐτὸν, καὶ εἶπον αὐτῷ· Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης; » Ἐπειδὴ διὰ κολακείας οὐκ ἠδύναντο αὐτὸν ἑλεῖν, διὰ σκληροτέρων καὶ ἐπιπληκτικωτέρων λόγων ἐκφοβοῦσιν· ἵνα εἴπῃ ὃ ἤθελον, καὶ ὁμολογήσῃ ἑαυτὸν Χριστὸν, « Τί οὖν βαπτίζεις; » λέγοντες· τίς σοι τοσαύτην ἐξουσίαν ἔδωκεν; Ὅσον δὲ ἐκ τοῦ λόγου τούτου, δείκνυται, ὅτι ἄλλον εἶναι ἐνόμιζον τὸν Χριστὸν, καὶ ἄλλον τὸν προσδοκώμενον προφή-

[54] Deut. XVIII, 18.

την. Λέγουσι γάρ· « Εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὔτε ὁ A προφήτης· » ἕτερον νοοῦντες τὸν Χριστὸν εἶναι, καὶ ἄλλον τὸν προφήτην, κακῶς εἰδότες. Ὁ γὰρ προφήτης αὐτός ἐστιν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν. Ταῦτα δὲ πάντα ἔλεγον, ὡς ἔφην, ὡς ἂν καταναγκάσωσιν ὁμολογῆσαι ἑαυτὸν Χριστόν· μᾶλλον δὲ, εἰ χρὴ τὸ ἀληθέστερον εἰπεῖν, ὡς βασκαίνοντες αὐτοῦ τῆς δόξης, ἐρωτῶσιν αὐτόν. Διὸ οὐδὲ πυνθάνονται, εἰ αὐτός ἐστιν ὁ Χριστὸς, ἀλλὰ, « Σὺ τίς εἶ; » ὡσανεὶ λέγοντες· Τίς εἶ σὺ ὁ τηλικούτῳ ἔργῳ ἐπιχειρῶν, τῷ βαπτίζειν καὶ καθαίρειν τοὺς ἐξομολογουμένους; Καὶ γάρ μοι φαίνονται οἱ Ἰουδαῖοι θέλοντες μηδὲ τὸν Ἰωάννην δόξαι παρὰ τοῖς πολλοῖς Χριστὸν, ἀλλ' ἀπὸ φθόνου καὶ βασκανίας ἐρωτᾷν αὐτόν· « Σὺ τίς εἶ; » Καταρατώτατοι τοίνυν, οἱ βαπτίζοντα ὑποδεχόμενοι, μεθ' ὃ δὲ βαπτισθῶσιν, ἀγνωμονοῦντες, ὄντως γεννήματα ἐχιδνῶν οἱ B Ἰουδαῖοι.

« Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων· Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε· αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ οὐκ εἰμὶ ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. » Ἴδε καὶ τὴν πραότητα τοῦ ἁγίου, καὶ τὴν ἀλήθειαν, τὴν μὲν, ὅτι οὐδὲν πρὸς αὐτοὺς τραχὺ φθέγγεται, καίτοι ἐπηρεαστὰς ὄντας· τὴν δὲ ἀλήθειαν, ὅτι μάρτυς ἐστι τῆς τοῦ Χριστοῦ δόξης εὐπαῤῥησίαστος· καὶ οὐκ ἀποκρύπτεται τὴν δόξαν τοῦ Κυρίου, ἑαυτῷ περιποιούμενος εὔκλειαν, ἀλλ' ὁμολογεῖ, ὅτι Ἐγὼ μὲν βαπτίζω εὐτελὲς βάπτισμα· ἐν ὕδατι γὰρ μόνῳ, οὐκ ἄφεσιν ἁμαρτιῶν ἔχοντι, ἀλλὰ προσπαρασκευάζοντι εἰς τὸ δέξασθαι τὸ πνευματικὸν βάπτισμα, τὸ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν δωρούμενον. « Μέσος δὲ ὑμῶν ἕστη- C κεν, ὃν ὑμεῖς οὐκ οἴδατε· » ἀναμεμιγμένος γὰρ τῷ πλήθει ὁ Κύριος, ἠγνοεῖτο τίς εἴη καὶ πόθεν. Τάχα δ' ἄν τις εἴποι, ὅτι καὶ κατ' ἄλλον τρόπον μέσος ἵστατο τῶν Φαρισαίων ὁ Κύριος, ἀλλ' ἠγνόουν αὐτόν. Ἐπεὶ γὰρ αὐτοὶ τὰς Γραφὰς ἐδόκουν ἐκμελετᾷν, ἐν δὲ ταύταις κατηγγέλλετο ὁ Κύριος, μέσος αὐτῶν ἦν, τουτέστιν, ἐν ταῖς καρδίαις αὐτῶν, ἀλλ' ἠγνόουν αὐτὸν, οἷα μὴ νοοῦντες τὰς Γραφὰς, εἰ καὶ ἐν ταῖς καρδίαις ταύτας εἶχον. Μή ποτε δὲ καὶ καθὸ μεσίτης Θεοῦ καὶ ἀνθρώπων ἦν ὁ Κύριος, μέσος ἵστατο τῶν Φαρισαίων, ἀποκαταλλάξαι θέλων αὐτοὺς τῷ Θεῷ, ἀλλ' ἠγνόουν αὐτόν. Συνεχῶς δὲ τίθησι τό· « Ὁ ὀπίσω μου ἐρχόμενος· » δεικνύων, ὅτι οὐ τελειωτικόν ἐστι τὸ αὐτοῦ βάπτισμα, ἀλλὰ προοδοποιητικὸν τοῦ πνευματικοῦ βαπτίσματος. Τὸ δὲ, « Ἔμπροσθέν μου γέγονεν, » ἀντὶ τοῦ, ἐντιμότερος, ἐνδοξότερος, καὶ τοσοῦτον, ὥστε οὐδὲ ἐν τοῖς ἐσχάτοις τῶν αὐτοῦ δούλων καταριθμεῖσθαί με· τὸ γὰρ λύειν τὸ ὑπόδημα τῆς ἐσχάτης διακονίας ἐστίν. Οἶδα δὲ παρά τινι τῶν ἁγίων τοιαύτην ἀναγνοὺς ἐξήγησιν· Τὸ ὑπόδημα εἰς τὴν τῶν ἁμαρτωλῶν σάρκα, καὶ τῇ φθορᾷ ὑποκειμένην, λαμβάνεται πανταχοῦ· ὁ δὲ ἱμὰς, ἤτοι ὁ λῶρος, εἰς τὸν δεσμὸν τῶν ἁμαρτιῶν. Ὁ τοίνυν Ἰωάννης ἐν μὲν τοῖς ἄλλοις, τοῖς ἐκπορευομένοις πρὸς αὐτὸν καὶ ἐξομολογουμένοις, ἴσχυε λύειν τὸν ἱμάντα τῶν ἁμαρτιῶν· σειραῖς γὰρ τῶν οἰκείων ἁμαρτιῶν σφιγγόμενοι ἐξήρχοντο πρὸς αὐτόν· καὶ διὰ τοῦ εἰς μετάνοιαν

A qui exspectabatur, prophetam. Dicunt enim: « Si tu non es Christus, neque propheta ille: » alium intelligentes Christum, et alium prophetam illum, male sentientes. Nam propheta ille, ipse est Christus et Deus noster. **522** Hæc autem omnia dicebant, sicut dixi ut urgerent eum quod confiteretur se esse Christum. Imo si veriora dicere licet, quasi invidentes ejus gloriæ, eum interrogant. Ideo non quærunt num ipse sit Christus, sed: « Tu quis es? » quasi dicentes, Quis es tu, qui tale opus attentas, baptizans et purificans confitentes? Etenim neque Joannem apud multos pro Christo haberi Judæi mihi velle videntur, sed ex livore et invidia interrogare eum, « Tu quis es? » Maxime igitur maledicti Judæi, et vere progenies viperarum, qui Joannem quidem baptizantem acceperunt: postquam autem baptizati sunt, ingrati fuerunt.

VERS. 26, 27. « Respondit eis Joannes, dicens: Ego baptizo in aqua: sed medius vestrum stat, quem vos nescitis: ipse est qui post me venturus est, qui ante me factus est, cujus ego non sum dignus ut solvam ejus corrigiam calceamenti. » Vide et mansuetudinem et veritatem sancti. Mansuetudinem quidem, eo quod nihil asperum ad eos loquitur, quamvis insolentes essent. Veritatem autem, quia liberrimus testis erat gloriæ Christi, neque Domini gloriam occultabat, ut sibi nobilitatem pareret, sed confitebatur: Ego quidem baptizo imperfecto baptismo: nam in sola aqua, non habente peccatorum remissionem, sed præparante ad suscipiendum spirituale baptisma, quod donat remissionem peccatorum. « Medius autem vestrum stat, quem vos nescitis. » Nam Dominus multitudini se miscuerat, et ignorabatur quis esset et unde. Fortassis autem quispiam dixerit quod et alio modo medius steterit inter Pharisæos Dominus, sed ignorarint eum. Quia enim videbantur Scripturas edicisse, quibus annuntiatus fuit Dominus, medius fuit inter eos, hoc est, in cordibus eorum: sed ignorabant eum, tanquam non intelligentes Scripturas, quamvis cordibus illas tenerent. Fortassis autem et secundum quod mediator Dei et hominum fuit Dominus, medius stetit inter Pharisæos, conciliare illos volens Deo, sed ignorabant eum. Continue autem ponit hoc: « Qui post me venturus est: » ostendens quod neque perfectum suum sit baptisma, D sed tantum præviun ad spirituale baptisma. « Ante me factus est, » hoc est, dignior et gloriosior, in tantum ut ego me non ausim numerare vel in ultimis ejus servis. Solvere enim calceum extremi ministerii est. Scio autem me apud sanctorum quemdam etiam hanc legisse expositionem: Calceus semper sumitur ad peccatricem carnem, et corruptioni subditam: corrigia autem ut vinculum peccatorum. Igitur Joannes in aliis quidem qui ad se egrediebantur et confitebantur, poterat solvere corrigiam peccatorum. Vinculis enim suorum peccatorum constricti ad ipsum egrediebantur. Et per hoc quod vocabat **523** eos ad

pœnitentiam, viam præparavit eis ad hoc ut perfecte corrigiam illam et calceamentum peccati abjiciant: in Christo autem non inveniens corrigiam, hoc est vinculum peccati, merito neque solvit, neque solvere potuit. Quomodo enim solvisset, in quo non inveniebat? « Peccatum enim non fecit, neque inventus est dolus in ore ejus [55]. » Calceamentum autem est adventus Domini ad nos: corrigia autem ejus, modus incarnationis, quo Verbum Dei unitum et quodammodo colligatum corpori. Utique hunc nodum solvere impossibile est. Quis enim posset solvere, quomodo Deus corpori colligatus sit?

VERS. 28. « Hæc in Bethania facta sunt trans Jordanem, ubi erat Joannes baptizans. » Quare dixit quod hæc in Bethania facta sint? Ut ostendat magni præconis libertatem, quod non in domo, neque in angulo, sed circa Jordanem, in media multitudine hæc de Christo prædicaverit. Sciendum autem quod exemplaria emendatiora habent, « in Bethabara. » Bethania enim non trans Jordanem est, sed prope Hierosolyma?

VERS. 29. « Postero die videt Joannes Jesum venientem ad se, et ait: Ecce agnus ille Dei, qui tollit peccatum mundi. » Sæpe Dominus venit ad Præcursorem, quare? Vel omnino quandoquidem sicut unus ex multis et ipse a Joanne baptizatus esset, ne putent quidam quod quasi peccatis obnoxius, æqualiter cum aliis baptizatus sit. Idcirco iterum venit, dans Joanni occasionem corrigendi hanc opinionem. Ideo et Baptista dicit, « Ecce agnus Dei, qui tollit peccata mundi. » Nam qui tam purus est, ut aliorum peccata tollere et abolere valeat, manifestum quod non acceperit æqualiter cum aliis confessionis baptisma. Exquire autem diligenter hoc dictum, « Ecce agnus ille Dei: » quia sermo est ad cupientes et quærentes videre illum agnum qui ab Isaia prædictus est. Ecce, inquit, agnus ille qui quæritur, ecce adest. Probabile enim multos prophetico libro Isaiæ edoctos quæsivisse quisnam ille agnus esset. Igitur Joannes demonstrat eum. Non dixit autem, agnus, sed dixit, « ille agnus. » Nam multi quidem agni, sicut et multi Christi; sed ille est verus agnus qui a Mose figuratur, et ab Isaia prædicitur. Porro agnus Dei dicitur Christus, sive quod Deus acceperit mortem Christi pro nostra salute, sive quod Deus tradiderit illum pro nobis ad mortem: quemadmodum dicere solemus: Sacrificium hoc illius est, hoc est, ille sacrificium hoc obtulit. Sic igitur et Dominus dicitur agnus Dei, eo quod Deus Pater, propter charitatem suam erga nos, illum dederit ad mortem. Non dixit autem, Qui abstulit peccatum, sed, « Qui tollit »

A αὐτοὺς παρακαλεῖν, προωδοποίει αὐτοὺς εἰς τὸ καὶ τελείως ἀποβαλέσθαι τὸν ἱμάντα τοῦτον, καὶ τὸ ἁμαρτωλὸν ὑπόδημα· ἐπὶ δὲ Χριστοῦ, ἱμάντα μὴ εὑρίσκων, ἤτοι σύνδεσμον ἁμαρτίας, εἰκότως οὐδὲ λύειν αὐτὸν ἐδύνατο. Πῶς γὰρ, ὃν οὐχ εὕρισκεν; « Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ δόλος. » Ὑπόδημα δὲ ἡ παρουσία τοῦ Κυρίου ἡ εἰς ἡμᾶς· ἱμὰς δὲ αὐτῆς, ὁ τρόπος τῆς σαρκώσεως, καὶ τοῦ πῶς συνεδέθη τῷ σώματι ὁ Λόγος τοῦ Θεοῦ. Τοῦτον οὖν τὸν τρόπον λύειν ἀδύνατον· τίς γὰρ δύναται λῦσαι πῶς συνεδέθη τῷ σώματι Θεός;

« Ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων. Τίνος ἕνεκεν εἶπεν, ὅτι « Ταῦτα ἐν Βηθανίᾳ ἐγένετο; » Ἵνα δείξῃ τὴν B παῤῥησίαν τοῦ μεγάλου κήρυκος, ὅτι οὐκ ἐν οἰκίᾳ, οὐδὲ ἐν γωνίᾳ, ἀλλὰ τὸν Ἰορδάνην καταλαβὼν, ἐν μέσῳ πλήθους ταῦτα περὶ Χριστοῦ ἀνεκήρυττε. Χρὴ δὲ γινώσκειν ὅτι τὰ ἀκριβῆ τῶν ἀντιγράφων, « ἐν Βηθαβαρᾷ, » ἔχει· ἡ γὰρ Βηθανία οὐχὶ πέραν τοῦ Ἰορδάνου, ἀλλ' ἐγγύς που τῶν Ἱεροσολύμων ἐστίν.

« Τῇ ἐπαύριον βλέπει (a) τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. » Συνεχῶς ὁ Κύριος ἔρχεται πρὸς τὸν Πρόδρομον· τίνος ἕνεκεν; Ἢ πάντως ἐπειδὴ ὡς εἷς τῶν πολλῶν ἐβαπτίσθη καὶ αὐτὸς ὑπὸ Ἰωάννου, ἵνα μὴ νομίσωσί τινες, ὅτι ὡς ἁμαρτίαις ἔνοχος ὢν ἐπίσης (14), τοῖς ἄλλοις ἐβαπτίσατο, ταύτην τὴν ὑπόνοιαν διορθώσασθαι βουλόμενος ὁ βαπτιστὴς, C φησίν· « Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν. » Ὁ γὰρ οὕτω καθαρὸς, ὥστε καὶ τὰ τῶν ἄλλων ἁμαρτήματα αἴρειν καὶ ἀφανίζειν, πρόδηλον, ὅτι οὐκ ἂν τὸ τῆς ἐξομολογήσεως βάπτισμα ἐπίσης τοῖς ἄλλοις ἐδέξατο. Ἐξέτασον δέ μοι καὶ τὸ ῥητόν· « Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, » ὡς πρὸς ἐπιθυμοῦντας ἰδεῖν τὸν ὑπὸ τοῦ Ἡσαΐου κηρυττόμενον ἀμνὸν, ὁ λόγος ἐστίν. Ἴδε ὁ ἀμνὸς, φησὶν, ὁ ζητούμενος, ἐκεῖνος ὁ ἀμνὸς ἰδοὺ πάρεστιν. Εἰκὸς γὰρ, πολλοὺς τῇ προφητικῇ τοῦ Ἡσαΐου βίβλῳ ἐμμελετήσαντας, ζητεῖν τίς ἂν εἴη ὁ ἀμνός. Ὁ τοίνυν Ἰωάννης ὑποδείκνυσιν αὐτόν· οὐκ εἶπε δὲ, ἀμνὸς, ἀλλ', « ὁ ἀμνός. » Πολλοὶ μὲν γὰρ ἀμνοὶ, ὥσπερ καὶ πολλοὶ Χριστοί· ἀλλ' ὁ ἀληθινὸς ἀμνὸς ὁ παρὰ Μωσῇ τυ- D πούμενος, καὶ παρὰ Ἡσαΐου κηρυττόμενος, οὗτός ἐστι. Τοῦ Θεοῦ δὲ λέγεται ἀμνὸς ὁ Χριστὸς, εἴτε τοῦ Θεοῦ ὡς προσδεξαμένου τὸν ἐπὶ σωτηρίᾳ ἡμῶν θάνατον τοῦ Χριστοῦ, εἴτε ὡς τοῦ Θεοῦ δόντος αὐτὸν ὑπὲρ ἡμῶν εἰς θάνατον. Ὥσπερ εἰώθαμεν λέγειν· Τόδε τὸ θῦμα τοῦ δεῖνος ἐστιν, ἀντὶ τοῦ· Ὁ δεῖνα τοῦτο προσήγαγεν· οὕτως οὖν καὶ ὁ Κύριος λέγεται ἀμνὸς τοῦ Θεοῦ, ὡς τοῦ Θεοῦ καὶ Πατρὸς διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην δόντος αὐτὸν εἰς σφαγὴν ὑπὲρ

[55] Isa. LIII, 9 et I Petr. II, 22.

Ex collatione codd. Venet. S. Marci.

(14) Cod. 26 et 30 sic: Ἐπίσης τοῖς ἄλλοις ἐβαπτίσατο. Διὰ τοῦτο πάλιν ἔρχεται διδοὺς τῷ Ἰωάννῃ ταύτην τὴν ὑπόνοιαν διορθώσασθαι. Διὸ καί φησιν ὁ Βαπτιστὴς, κ. τ. λ.

(a) In textu deest ὁ Ἰωάννης, uti in aliis codicibus apud Joan. Millium ad hunc locum.

ἡμῶν. Οὐκ εἶπε δὲ, ὁ ἄρας τὴν ἁμαρτίαν, ἀλλ', « ὁ αἴρων· » καθ' ἑκάστην γὰρ αἴρει τὰς ἁμαρτίας ἡμῶν, τὰς μὲν διὰ τοῦ βαπτισματος, τὰς δὲ διὰ μετανοίας. Καὶ οἱ μὲν θυόμενοι ἐν τῇ Παλαιᾷ ἀμνοὶ, οὐδενὸς ἁμαρτίας παντελῶς ἐξηφάνιζον· οὗτος δὲ τοῦ κόσμου παντὸς τὴν ἁμαρτίαν αἴρει, τουτέστιν ἀφανίζει, ἐκ μέσου ποιεῖ. Τίνος δὲ ἕνεκεν οὐκ εἶπεν, ἁμαρτίας· ἀλλ', « ἁμαρτίαν; » Τάχα μὲν καὶ διὰ τοῦ « ἁμαρτίαν, » εἰπεῖν, καθολικῶς εἶπεν, ὥσπερ εἰώθαμεν λέγειν, ὅτι ἀπέστη ὁ ἄνθρωπος, ἀντὶ τοῦ, πᾶσα ἡ ἀνθρωπότης ἀπὸ Θεοῦ· οὕτως οὖν κἀνταῦθα τὴν ἁμαρτίαν εἰπὼν, πάσας τὰς ἁμαρτίας ἐδήλωσεν· τάχα δὲ, ἐπεὶ παρακούσας ὁ ἄνθρωπος τοῦ Θεοῦ, εἰς τὰ πάθη ἐξετραχηλίσθη, ἡ ἁμαρτία τοῦ κόσμου ἡ παρακοὴ ἦν, ἣν ἐκ μέσου ἦρεν ὁ Κύριος, γενόμενος ὑπήκοος μέχρι θανάτου, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ ἰασάμενος.

« Οὗτος ἐστι περὶ οὗ ἐγὼ εἶπον· Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. » Ἄνω μὲν τοῖς ἀπὸ τῶν Φαρισαίων ἐλθοῦσιν ὁ Ἰωάννης ἔλεγεν, ὅτι « Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε, ὃς ἔμπροσθέν μου γέγονε· » νῦν δὲ καὶ δακτυλοδεικτεῖ αὐτὸν, καὶ ἐμφανίζει τοῖς ἀγνοοῦσιν. Οὗτος ἐκεῖνος ἐστι περὶ οὗ ἐμαρτύρουν, φησὶ πρὸς τοὺς Φαρισαίους, ὅτι ἔμπροσθέν μου γέγονεν, ἀντὶ τοῦ, ἐπισημότερός μου καὶ ἐντιμότερος. Διατί; « Ὅτι πρῶτός μου ἦν. » Ἄκουε, Ἄρειε, οὐκ εἶπεν, ὅτι Πρῶτός μου ἐκτίσθη, ἀλλ' « ὅτι ἦν. » Ἄκουε καὶ, ἡ τοῦ Σαμοσατέως φατρία, ὅτι οὐκ ἀπὸ Μαρίας ἤρξατο τοῦ εἶναι ὁ Κύριος, ἀλλὰ πρῶτος ἦν τοῦ Προδρόμου, κατὰ τὴν προαιώνιον ὕπαρξιν. Ἐπεὶ ἐὰν, ὡς ὑμεῖς φλυαρεῖτε, ἀπὸ Μαρίας ἀρχὴν ἔλαβε τοῦ εἶναι ὁ Κύριος, πῶς ἦν πρῶτος τοῦ Προδρόμου; Οὗτος γάρ τοι προδήλως ἓξ μησὶ προτερεῖ τοῦ Κυρίου κατὰ τὴν ἐν σαρκὶ γέννησιν. Ἀνὴρ δὲ λέγεται ὁ Κύριος, τάχα μὲν καὶ διὰ τὸ τῆς ἡλικίας τέλειον· τριακονταετὴς γὰρ ἐβαπτίσατο· τάχα δὲ καὶ ὡς πάσης ψυχῆς ἀνὴρ, καὶ τῆς Ἐκκλησίας νυμφίος. « Ἡρμοσάμην γὰρ, φησὶν ὁ Παῦλος, ὑμᾶς ἑνὶ ἀνδρὶ παραστῆσαι, » τῷ Χριστῷ δηλαδή. Φησὶν οὖν ὁ Πρόδρομος, ὅτι Ἐγὼ μέν εἰμι ὁ νυμφαγωγὸς καὶ προξενητής· ἔρχεται δὲ ὀπίσω μου ὁ ἀνήρ. Ἐγὼ γὰρ ἐφέλκομαι τὰς ψυχὰς πρὸς τὴν εἰς Χριστὸν πίστιν· αὐτὸς δέ ἐστιν ὁ ἀνὴρ, ὁ ταύταις μέλλων ἁρμοσθῆναι.

« Κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων. Καὶ ἐμαρτύρησεν ὁ Ἰωάννης λέγων, ὅτι Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτὸν, καὶ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ. Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. » Ἐπειδὴ συγγενὴς ἦν τοῦ Κυρίου ὁ Πρόδρομος· φησὶ γὰρ ὁ ἄγγελος πρὸς τὴν Παρθένον, ὅτι « Ἰδοὺ ἡ συγγενής σου Ἐλισάβετ

A in præsenti peccata nostra. Quotidie 524 enim tollit peccata nostra, et aliorum quidem per baptismum, aliorum autem per pœnitentiam. Et agni quidem qui in veteri lege immolabantur, nullius peccatum omnino abolebant : hic autem totius mundi peccatum tollit e medio et abolet. Quare autem non dixit, Peccata, sed, « Peccatum? » Fortasse quidem per hoc quod dicit peccatum, in genere dixit et de omnibus. Sicut enim dicere solemus : Defecit homo, hoc est omnis humanitas, a Deo : ita et hoc loco dicens « peccatum, » omnia peccata significavit. Fortassis autem, quia inobediens fuit homo Deo, et in varias affectiones incidit : peccatum mundi inobedientia fuit, quam e medio abstulit Dominus, factus obediens usque

B ad mortem [56], et contrarium contrario sanans.

VERS. 30. « Hic est de quo ego dicebam : Post me venit vir, qui ante me factus est, quia prior me erat. » Superius quidem iis qui a Pharisæis venerant, Joannes dicebat : « Medius vestrum stat, quem nescitis, qui ante me factus est: » nunc vero etiam digito ostendit illum, et manifestat ignorantibus. Hic est ille de quo testificabar, inquit Pharisæis, quod ante me factus sit, hoc est, dignior, me et insignior. Quare? « Quia prior me erat. » Audi, Ari, non dixit, Prior me conditus est, sed, « erat. » Audi et tu, Pauli Samosateni secta, quod non a Maria esse cœperit Dominus, sed Præcursore prior fuerit secundum substantiam suam,

C quam ante sæcula habuit, quoniam si, quemadmodum vos nugamini, Dominus a Maria initium suæ substantiæ assumpsisset, quomodo prior fuisset Præcursore? Etenim Præcursor manifeste sex mensibus antecessit Dominum juxta nativitatem in carne. Vir autem dicitur Dominus, fortassis propter ætatem perfectam, quoniam triginta annorum erat cum baptizaretur. Fortassis autem quod et omnis animæ vir sit, Et Ecclesiæ sponsus. « Adaptavi enim, inquit Paulus, vos uni viro ut virginem castam exhiberem [57] » Christo, scilicet. Dicit igitur Præcursor : Ego quidem pronubus et internuntius, veniet autem post me vir. Nam ego quidem traho animas ad fidem in Christum : ipse autem vir est qui illas sibi adjunget.

VERS. 31-34. « Et ego nesciebam illum : sed ut

D manifestetur Israeli, propterea veni ego in aqua baptizans Et testatus est Joannes, dicens : Vidi Spiritum descendentem specie columbæ de cœlo, et mansit super eum, et ego nesciveram eum: sed hic qui misit me ut baptizarem aqua, ille mihi dixit : Super quem videris Spiritum descendere, et manere super eum, hic est qui baptizat Spiritu sancto. Et ego vidi et testatus sum hunc esse Filium Dei. » Quoniam cognatus Domini erat Præcursor, dicit enim angelus virgini : « Ecce cognata 525 tua Elisabeth concepit [58-59] » ut ne quis suspi-

[56] Phil. II, 8. [57] II Cor. XI, 2. [58-59] Luc. I, 36.

cetur quod propter cognationem Præcursor gratificaturus fuerit Domino, et testimonium de ipso perhibuerit, ejus gratia sabinde dicit: «Et ego nesciveram illum,» ita suspicionem tollens: sed dicit, ut manifestetur Israeli : ideo veni baptizare : ut omnes, inquit, adducantur ad fidem in illum, et monstretur populis: nam propterea ego baptizo. Me enim baptizante. concurrunt populi, et cum congregantur, manifestatur eis Christus, qui a me prædicatur, et præsens præsentibus monstratur. Nisi enim propter baptismum confluerent, quomodo a Joanne monstraretur Dominus? Non enim ostiatim obambulabat, ut manu Chistum ostenderet. et unicuique monstraret. Igitur ea de causa, dicit, veni baptizare aqua, ut populis propter baptisma convenientibus a me manifestetur. Hoc autem loco discimus quod miracula pueritiæ Christi conficta sint, et mendacia, composita ab his qui deridere voluerunt mysterium. Nam si fuissent vera, quomodo ignotus fuisset Dominus qui hæc faciebat? Neutiquam enim verisimile fuerit, non fuisse celebrem eum qui talia faciebat miracula. Verum non ita est. Non enim antequam baptizaretur, signa fecit, neque cognitus erat «Sed is qui misit me ut baptizarem, ille mihi dixit : Super quem videris Spiritum descendere, ille est qui baptizat Spiritu sancto.» Joannes, ut dixi, quo testimonium non suspectum faceret de Christo, testimonium refert ad Deum et ad Patrem. Nam, Ego quidem, inquit, nesciebam illum: Pater autem revelavit mihi hunc in baptismate. Porro interrogaverit quispiam : Si ignoravit illum Joannes, quomodo Matthæus dicit quod prohibuerit eum, dicens : «Ego debeo a te baptizari?» Dicendum igitur quod sic intelligi debeat, «Nesciveram ipsum:» ante multum temporis, et ante baptismum nesciveram illum. Nam in baptismi tempore novi illum. Vel etiam aliter dicendum, quod noverit quidem illum quod esset Christus: quod autem ille esset qui baptizaret Spiritu sancto, tunc didicerit, quando vidit Spiritum descendentem. Dico igitur, quod nesciverit illum, hic sibi velit, quod nesciverit illum esse qui baptizet Spiritu sancto: sciebat tamen eum esse super multos, et ideo, secundum Matthæum, eum prohibebat, tanquam omnino majorem eum cognoscens. Postquam autem Spiritus sanctus descendit, manifestius agnovit, et aliis eum prædicavit Spiritus autem omnibus apparuit qui aderant, et non soli Joanni. Cur ergo, dicet quispiam, non crediderunt? Eo quod obtenebratum erat insipiens cor illorum: quia et cum viderunt eum facientem miracula, non
526 crediderunt. Quidam autem dicunt quod non omnes viderint, sed hi qui magis pii erant. Nam quamvis corporaliter descenderit Spiritus, verisimile tamen est non omnibus apparuisse, sed dignis : quandoquidem et prophetæ multa in sensibili specie viderunt, sicut Daniel et Ezechiel, quæ tamen nullus alius vidit. «Et vidi, et testatus sum quod hic est Filius Dei.» Et ubi testatus est Joan-

A συνέλαβεν· » ἵνα μή τις ὑπονοήσῃ, ὡς διὰ τὴν συγγένειαν καταχαρίζεται ὁ Πρόδρομος τῷ Κυρίῳ, καὶ τοιαῦτα μαρτυρεῖ περὶ αὐτοῦ, τούτου ἕνεκέν φησι συνεχῶς, ὅτι « Κἀγὼ οὐκ ᾔδειν αὐτόν, » τὰς ὑποψίας ἀναιρῶν· ἀλλ' ἵνα, φησὶ, φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον βαπτίζων. Ἵνα, φησὶ, πάντες ὁδηγηθῶσι πρὸς τὴν εἰς αὐτὸν πίστιν, καὶ ὑποδειχθῇ τοῖς λαοῖς, διὰ τοῦτο ἐγὼ βαπτίζω. Ἐμοῦ γὰρ βαπτίζοντος, συντρέχουσιν οἱ λαοί· συναγομένοις δὲ, φανεροῦται αὐτοῖς ὁ Χριστὸς ὑπ' ἐμοῦ κηρυττόμενος, καὶ παρὼν παροῦσι δεικνύμενος. Εἰ μὴ γὰρ διὰ τὸ βάπτισμα συνέτρεχον, πῶς ἂν ὑπεδείχθη παρὰ τοῦ Ἰωάννου ὁ Κύριος; Οὐ γὰρ ἂν τὰς οἰκίας περιερχόμενος καὶ περιάγων ἀπὸ χειρὸς τὸν Χριστὸν ἐδείκνυεν ἑκάστῳ. Διὰ τοῦτο οὖν, φησὶν, ἦλθον βα- B πτίζων ἐν ὕδατι, ἵνα διὰ τὸ βάπτισμα συνερχομένοις τοῖς λαοῖς, ὑπ' ἐμοῦ φανερωθῇ. Ἐντεῦθεν δὲ μανθάνομεν, ὅτι τὰ λεγόμενα παιδικὰ τοῦ Χριστοῦ θαύματα ψευδῆ εἰσι, καὶ παρὰ τῶν θελόντων διαγελᾶσθαι τὸ μυστήριον συντεθειμένα. Εἰ γὰρ ἦσαν ἀληθῆ, πῶς ἠγνοεῖτο ποιῶν ταῦτα ὁ Κύριος; Οὐ γὰρ δήπου ἦν εἰκὸς, τοιαῦτα θαυματουργοῦντα μὴ οὐχὶ περιβόητον εἶναι. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. Πρὸ γὰρ τοῦ βαπτισθῆναι οὔτε σημεῖα ἐποίησεν, οὔτε ἐγνωρίζετο. « Ἀλλ' ὁ πέμψας με βαπτίζειν, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, ἐκεῖνός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ. » Ἀνύποπτον τὴν περὶ Χριστοῦ μαρτυρίαν, ὡς ἔφην, ποιούμενος ὁ Ἰωάννης, ἀνάγει τὴν μαρ- C τυρίαν ἐπὶ τὸν Θεὸν καὶ Πατέρα. Ἐγὼ μὲν γὰρ, φησὶν, οὐκ ᾔδειν αὐτὸν, ὁ δὲ Πατὴρ μοι ἀπεκάλυψε τοῦτον ἐν τῷ βαπτίσματι. Ἀλλ' ἐρωτήσειεν ἄν τις· Εἰ οὐκ ᾔδει αὐτὸν Ἰωάννης, πῶς ὁ Ματθαῖός φησιν, ὅτι « Διεκώλυεν αὐτὸν λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι; » Ἔστιν οὖν εἰπεῖν τοῦτο· Τὸ, « Οὐκ ᾔδειν αὐτὸν, » οὕτως νόησον, ὅτι πρὸ πολλοῦ χρόνου καὶ πρὸ τοῦ βαπτίσματος οὐκ ᾔδει αὐτόν· ἐν μέντοι τῷ τοῦ βαπτίσματος καιρῷ, τότε ἔγνω αὐτόν. Ἢ καὶ ἄλλως ἔστιν εἰπεῖν, ὅτι ᾔδει μὲν αὐτὸν, ὅτι Χριστός ἐστιν· ὅτι δέ γε αὐτὸς ὁ βαπτίσων ἐστὶν ἐν Πνεύματι ἁγίῳ, τότε ἔμαθεν, ὅτε τὸ Πνεῦμα ἴδε καταβαῖνον. Λέγων οὖν, ὅτι « Οὐκ ᾔδειν αὐτὸν, » τοῦτο δίδωσι νοεῖν, ὅτι οὐκ ᾔδει, ὡς αὐτός ἐστιν ὁ ἐν Πνεύματι ἁγίῳ βαπτίσων· ὅτι μέντοι ὑπὲρ τοὺς πολλούς ἐστιν, ᾔδει. Διὸ καὶ, κατὰ τὸν Ματθαῖον, διε- D κώλυεν αὐτὸν, ὡς μείζονα πάντως εἰδώς· ἐπεὶ δὲ τὸ Πνεῦμα κατῆλθεν, τότε σαφέστερον ἐπιγνοὺς, καὶ τοῖς ἄλλοις ἐκήρυξεν αὐτόν. Τὸ δὲ Πνεῦμα πᾶσιν ὤφθη τοῖς παροῦσιν, καὶ οὐ μόνον Ἰωάννῃ. Τί οὖν, φησὶν, οὐκ ἐπίστευσαν; Διότι ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, ἐπεὶ καὶ θαυματουργοῦντα αὐτὸν βλέποντες, οὐκ ἐπίστευσαν. Τινὲς δέ φασιν, ὅτι οὐ πάντες εἶδον, ἀλλ' οἱ εὐλαβέστεροι. Εἰ γὰρ καὶ σωματικῶς κατέβη τὸ Πνεῦμα, ἀλλ' εἰκός ἐστι μὴ πᾶσιν ὀφθῆναι, ἀλλὰ τοῖς ἀξίοις, ἐπεὶ καὶ οἱ προφῆται πολλὰ ἐν αἰσθητῷ εἴδει εἶδον· οἷον ὁ Δανιὴλ, ὁ Ἐζεκιήλ· ἀλλ' ὅμως οὐδεὶς ἄλλος ἐθεώρει ταῦτα. « Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. » Καὶ ποῦ ἐμαρτύρησεν ὁ Ἰωάννης, ὅτ

οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ; Οὐδαμοῦ γὰρ γέγραπται τοῦτο· ἀμνὸν μὲν γὰρ λέγει, Υἱὸν δὲ Θεοῦ οὐδαμοῦ. Ὅθεν εἰκὸς στοχάζεσθαι, ὅτι καὶ ἕτερα πλείονα παραλέλειπται· οὐ γὰρ πάντα συνεγράφησαν.

« Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο, καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. » Διὰ τὴν τῶν ἀκουόντων ῥᾳθυμίαν ἀναγκάζεται ὁ Ἰωάννης τὰ αὐτὰ λέγειν, ἵνα τῷ συνεχεῖ γοῦν τῆς μαρτυρίας κατεργάσηταί τι· Οὐκ οὖν οὐδὲ διεψεύσθη, ἀλλὰ δύο μαθητὰς προσήγαγε (15) τῷ Χριστῷ. Νυμφαγωγὸς γὰρ ὢν τῷ ὄντι, πάντα ἐποίει, ὥστε προσαγαγεῖν τῷ νυμφίῳ τὴν ἀνθρωπίνην φύσιν· διὸ καὶ ὁ μὲν Χριστὸς σιγᾷ ὡς νυμφίος, ὁ δὲ πρόξενος ἅπαντα φθέγγεται. Καὶ ὡς νυμφίος δὲ παραγίνεται πρὸς τὸ πλῆθος ὁ Κύριος. Ἐπὶ γὰρ τῶν γάμων οὐχ ἡ νύμφη πρὸς τὸν νυμφίον, ἀλλ' οὗτος πρὸς ἐκείνην ἄπεισι, κἂν βασιλέως εἴη υἱός. Διὸ καὶ τὴν φύσιν ἡμῶν μέλλων νυμφεύσασθαι ὁ Κύριος, κατέβη πρὸς αὐτὴν ἐπὶ τὴν γῆν, καὶ γενομένων τῶν γάμων, ἔλαβεν αὐτὴν, ἀναληφθεὶς εἰς τὸν οἶκον τὸν πατρικόν. « Ἐμβλέψας οὖν, φησὶν, τῷ Ἰησοῦ ὁ Ἰωάννης, » τουτέστι, καὶ τοῖς ὀφθαλμοῖς ἐνδεικνύμενος τὴν χαρὰν ἣν εἶχεν ἐπὶ τῷ Χριστῷ, καὶ τὸ θαῦμα. « Ἴδε, φησὶν, ὁ ἀμνός. » Οἱ δὲ μαθηταὶ συνεχέσι μαρτυρίαις καταμαλαχθέντες, ἠκολούθησαν τῷ Ἰησοῦ, οὐ καταφρονήσαντες Ἰωάννου, μᾶλλον δὲ πεισθέντες αὐτῷ μαρτυροῦντι περὶ τοῦ Χριστοῦ τὰ κρείττονα.

nes quod hic est Filius Dei? Nusquam enim scriptum est. Nam agnum quidem dicit, Filium autem Dei nusquam. Unde verisimile est conjectare quod et plura alia prætermissa sint. Non enim omnia conscripta sunt.

VERS 35-37. « Postero die iterum stabat Joannes, et ex discipulis ejus duo, et intuitus Jesum ambulantem, dicit : Ecce Agnus ille Dei. Et audierunt eum duo discipuli loquentem, et secuti sunt Jesum. Propter audientium ignaviam cogitur Joannes eadem dicere, ut vel crebro testimonio efficiat aliquid : neque falsus est: Christo enim statim duos discipulos, obtulit. Nam cum revera pronubus esset, omnia faciebat, ut humanam naturam sponso adduceret. Ideo et Christus quidem tacet, ut sponsus : pronubus autem omnia loquitur. Et Dominus sicut sponsus venit ad multitudinem. In nuptiis enim non sponsa ad sponsum, sed sponsus ad illam abit, etiam si regis filius sit. Ideo et Dominus naturam nostram desponsaturus, descendit ad eam in terram, et factis nuptiis assumptus in cœlum, tulit eum in domum Patris. Itaque cum intuitus esset Jesum Joannes, hoc est, etiam corporalibus oculis præ se tulisset gaudium quod habebat in Christo, et admirationem; « Ecce, inquit, Agnus ille. « At discipuli crebris testimoniis demulsi, secuti sunt Jesum : non quidem contemnentes Joannem, sed magis obedientes ei, testanti de Christo meliora.

« Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· Τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββί » ὃ λέγεται ἑρμηνευόμενον, διδάσκαλε, ποῦ μένεις; Λέγει αὐτοῖς· Ἔρχεσθε, καὶ ἴδετε. Ἦλθον οὖν, καὶ εἶδον ποῦ μένει, καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην. Ὥρα δὲ ἦν ὡς δεκάτη. » Ὁ μὲν Ματθαῖος περὶ τοῦ Βαπτίσματος τοῦ Κυρίου διηγησάμενος, ἀνάγει αὐτὸν εὐθὺς εἰς τὸ ὄρος πειρασθησόμενον· ὁ δέ γε παρὼν εὐαγγελιστὴς, ὅσα ἐκείνῳ εἴρηται ἐάσας, τὰ μετὰ τὴν ἐκ τοῦ ὄρους κάθοδον διηγεῖται. Καὶ ἡ τῶν μαθητῶν τοίνυν τοῦ Ἰωάννου ἀκολούθησις, καὶ πρὸς τὸν Χριστὸν ἔλευσις, μετὰ τὸ κατελθεῖν ἐκ τοῦ ὄρους καὶ πειρασθῆναι γίνεται· δεικνύντος, οἶμαι, τοῦ λόγου, ὅτι οὐ χρὴ διδάσκαλόν τινα καθίστασθαι, εἰ μὴ πρότερον αὐτὸς ἀνελθὼν ἐπὶ τὸ τῆς ἀρετῆς ἄκρον (τοῦτο γὰρ τὸ ὄρος) καὶ πάντα νικήσας πειρασμὸν, ἄρῃ τὸ τρόπαιον κατὰ τοῦ πειράζοντος. Ἀκολουθοῦσι τοίνυν πρῶτον οἱ μαθηταὶ, καὶ τότε ἐρωτῶσιν αὐτὸν ποῦ μένει. Οὐ γὰρ δημοσίᾳ πολλῶν παρόντων, ἀλλὰ κατ' ἰδίαν ἐχρῆν διαλεχθῆναι ὡς περὶ ἀναγκαίων. Μᾶλλον δὲ, οὐδὲ αὐτοὶ πρῶτοι ἐρωτῶσιν, ἀλλ' ὁ Χριστὸς αὐτὸς ἐνάγει εἰς τὸ ἐρωτῆσαι. Λέγει γὰρ αὐτοῖς· « Τί ζητεῖτε; » οὐχ ὡς ἀγνοῶν (πῶς γὰρ ὁ εἰδὼς τὰς καρδίας τῶν ἀνθρώπων;), ἀλλ' ἵνα διὰ τῆς ἐρωτήσεως προσκαλέσηται αὐτοὺς εἰς τὸ εἰπεῖν ὃ βούλον-

VERS. 38, 39. « Conversus autem Jesus, et conspicatus eos sequentes se, dicit eis: Quid quæritis? Illi autem dicebant ei : Rabbi, quod dicitur, si quis interpretetur, *magister*, ubi manes? Dicit eis, Venite et videte. Venerunt igitur, et viderunt ubi maneret : et manserunt apud illum die illo. Hora autem erat quasi decima.» Matthæus quidem cum de baptismate narrasset, statim subducit illum in montem ut tentaretur : at præsens evangelista relictis iis, quæ ab illo dicta sunt, refert ea quæ post descensum de monte facta sunt. Igitur postquam de monte ubi tentatus fuit, descendit, sequitur discipulorum Joannis comitatio et accessus ad Christum. Opinor quod sermo demonstret quod non debeat aliquis constitui doctor, nisi prius ad fastigium conscenderit virtutum : hoc enim mons significat: et omnem devicerit tentationem, triumphum de tentatore referens. Sequuntur igitur primum discipuli, et tunc interrogant eum ubi maneat. Non 827 enim publice multis præsentibus, sed seorsim oportebat colloqui, quasi de rebus quibusdam necessariis. Imo illi non priores interrogant, sed Christus ipsos inducit ad interrogandum. Dicit enim eis, «Quid quæritis?» non tanquam ignorans, [quomodo enim ignoraret, qui sciebat corda hominum?] sed ut per interrogationem provocaret eos

**Ex collatione codd. Venet. S. Marci.**

(15) Cod. 31. εὐθὺς προσήγαγε.

ad dicendum quid vellent. Verisimile enim est eos erubuisse, et reveritos illum esse cui Joannes testimonium plus quam de homine dederat. Te autem velim admirari bonam illorum affectionem erga Christum. Non enim solum secuti sunt, sed et Rabbi salutant, hoc est magister, idque cum nihil adhuc ab illo audissent. Volentes itaque seorsim aliquid ab eo discere, interrogant ubi maneat. In quiete enim commodius et dicitur et auditur. Dominus vero non dicit eis signum domus : sed, « Venite, inquit, et videte. » Hoc autem facit tum ut magis alliciat eos ad sequendum se, tum ut probet eorum desiderium, ne graventur ex itinere. Nam si frigida mente accessissent, neutiquam ad domum fuissent secuti. Quomodo autem Christus alibi dicit quod « Filius hominis non habeat ubi caput reclinet [60], » hoc autem loco videtur habere domum? Non hæc inter se dissident. Etenim quando dicit quod « non habeat ubi caput reclinet, » non dicit quod nullum omnino habeat diversorium, sed quod non habeat proprium. Si igitur habitabat in domo, non propriam inhabitabat, sed alienam. Non frustra autem evangelista assignat tempus, quod fuerit hora quasi decima, sed ut doceat et doctores et discipulos, quod propter nullum tempus studia sua differre debeant, neque doctor prætexat aliquid, et dicat quod vespere sit : et discipulus sciat omne tempus esse doctrinæ, nec differendum auditum in crastinum. Hinc autem discimus quod discipuli habebant ventrem minime oneratum, sed jejuniis assuetum, eo quod tempus quod alii impendunt in quietem corporis, cibis gravati, et non valentes serio operi intendere, hoc illi insumebant in doctinam. Ita erant vere discipuli Joannis jejuniis clari. Vide autem, obsecro, quod Christus convertit se ad sequentes, et ostendit eis faciem suam. Nisi enim per bonam operationem secutus fueris Jesum, non pervenies ad contemplationem faciei Domini, neque ibis ad habitationem ejus, hoc est, non pervenies ad illuminationem divinæ scientiæ. Nam domus Christi, lux. « Lucem enim, inquit, habitat inaccessam [61]. » Propterea nisi quis seipsum purificaverit, et per purificationem secutus fuerit, quomodo scientia illustrabitur?

VERS. 40-42. « Erat autem Andreas frater Simonis Petri, unus ex duobus qui audierant a Joanne, et secuti fuerunt illum. Invenit hic prior fratrem suum Simonem, et dicit ei : Invenimus 528 Messiam, quod est si interpreteris, Chistus. Et duxit illum ad Jesum. Intuitus autem illum Jesus, dixit : Tu es Simon filius Jona, tu vocaberis Cephas, quod interpretari licet, Petrus. » Andreæ quidem nomen profert nobis, sed non alterius. Quidam autem dicunt illum esse Joannem, qui hæc scribit. Nonnulli autem aiunt, quod non fuerit ex nobilioribus ille. Præterea nulla utilitas fuerat etiam scire nomen. Cæterum Andreæ mentionem facit, quia et insignior

A ται. Εἰκὸς γὰρ αὐτοὺς καὶ ἐρυθριᾷν, καὶ δεδοικέναι αὐτὸν, ὡς ὑπὲρ ἄνθρωπον μαρτυρούμενον παρὰ τοῦ Ἰωάννου. Σὺ δέ μοι θαύμασον τὴν εὐγνωμοσύνην τούτων. Οὐ γὰρ μόνον ἠκολούθησαν, ἀλλὰ καὶ ῥαββὶ αὐτὸν καλοῦσιν, ὅ ἐστι, διδάσκαλε, καὶ ταῦτα οὔπω οὐδὲν παρ' αὐτοῦ ἀκούσαντες. Ἰδίᾳ μέντοι θέλοντές τι παρ' αὐτοῦ μαθεῖν, ἐρωτῶσι· « Ποῦ μένεις; » ἐν ἡσυχίᾳ γὰρ τὸ εἰπεῖν, καὶ ἀκοῦσαι ἁρμοδιώτερον. Ὁ δὲ Κύριος οὐ λέγει αὐτοῖς τὰ σημεῖα τῆς οἰκίας, ἀλλ' « Ἔρχεσθε, φησὶ, καὶ ἴδετε. » Τοῦτο δὲ ποιεῖ, ἅμα μὲν ἐπισπώμενος αὐτοὺς πλέον πρὸς τὴν ἀκολούθησιν, ἅμα δὲ γυμνάζων αὐτῶν τὸν πόθον, εἰ μὴ ἀποκάμοιεν πρὸς τὴν ὁδόν· εἰ γὰρ μετὰ ψυχρᾶς γνώμης προσῆλθον, οὐδ' ἂν πρὸς τὴν οἰκίαν B ἠκολούθησαν. Πῶς δὲ ἀλλαχοῦ φησιν, ὅτι « Ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι, » ἐνταῦθα δὲ φαίνεται οἰκίαν ἔχων; Οὐκ ἐναντίον τοῦτο ἐκείνῳ. Καὶ γὰρ ὅταν λέγῃ, « Οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι, » οὐ τοῦτο λέγει, τὸ μηδ' ὅλως ἔχειν καταγώγιον, ἀλλὰ τὸ μὴ ἴδιον ἔχειν. Εἰ ἔμενεν οὖν ἐν οἰκίᾳ, οὐκ ἐν ἰδίᾳ ἔμενεν, ἀλλ' ἐκ ἀλλοτρίᾳ. Οὐ μάτην δὲ ἐπισημαίνεται ὁ εὐαγγελιστὴς τὸν καιρὸν, ὅτι « Ὥρα ἦν ὡς δεκάτη, » ἀλλ' ἵνα καὶ τοὺς διδάσκοντας καὶ τοὺς μαθητιῶντας διδάξῃ, ὅτι οὐ διὰ τὸν καιρὸν ἀναβάλλεσθαι δεῖ, ἀλλὰ καὶ τὸν διδάσκαλον μὴ ὑπερτίθεσθαι, καὶ λέγειν, ὅτι Ὀψέ ἐστιν, αὔριον μαθήσῃ. καὶ τὸν μαθητὴν πάντα καιρὸν γινώσκειν μαθήσεως, καὶ μὴ ἀναβάλλεσθαι τὴν ἀκρόασιν εἰς τὴν αὔριον. Καὶ τοῦτο δὲ μανθάνομεν, C ὅτι οὕτως εἶχον ἁβαρῆ τὴν γαστέρα, καὶ ἔννηφον, ὥστε τὸν καιρὸν ὃν ἄλλοι δαπανῶσιν εἰς ἀνάπαυσιν σώματος, βαρούμενοι δήπου τοῖς βρώμασι, καὶ μὴ δυνάμενοι σπουδαίῳ ἔργῳ ἐπιχειρῆσαι, τοῦτον αὐτοὶ ἀνήλισκον εἰς ἀκρόασιν. Ὄντως Ἰωάννου τοῦ ἀτρόφου ἦσαν μαθηταί. Ὅρα δέ μοι, ὅτι πρὸς τοὺς ἀκολουθοῦντας αὐτῷ στρέφεται ὁ Ἰησοῦς, καὶ δεικνύει αὐτοῖς τὸ ἑαυτοῦ πρόσωπον. Εἰ μὴ γὰρ διὰ τῆς ἀγαθῆς πράξεως ἀκολουθήσῃς τῷ Ἰησοῦ, οὐκ ἂν φθάσῃς εἰς θεωρίαν τοῦ προσώπου Κυρίου, οὐδὲ ἀπελεύσῃ πρὸς τὴν καταμονὴν αὐτοῦ, τουτέστιν, οὐ φθάσεις εἰς τὸν τῆς θείας γνώσεως φωτισμόν· οἰκία γὰρ τοῦ Χριστοῦ τὸ φῶς. « Φῶς γὰρ, φησὶν, οἰκῶν ἀπρόσιτον. » Ὁ γάρ τοι μὴ καθάρας ἑαυτὸν, καὶ διὰ τῆς καθάρσεως ἀκολουθήσας, πῶς ἐν γνώσει φωτισθήσεται;

D « Ἦν δὲ Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ. Εὑρίσκει οὗτος πρῶτον τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, « Χριστός· » καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε. Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται, Πέτρος. » Τὸ μὲν τοῦ Ἀνδρέου ὄνομα γνωρίζει ἡμῖν, τὸ δὲ τοῦ ἑτέρου οὐδαμῶς. Φασὶ γάρ τινες αὐτὸν εἶναι τὸν Ἰωάννην τὸν ταῦτα γράφοντα· τινὲς δὲ ὅτι οὐκ ἦν τῶν ἐπισήμων ἐκεῖνος· ἅμα δὲ οὐδὲ κέρδος ἦν τι ἐκ τοῦ μαθεῖν τὸ ὄνομα. Τοῦ μέντοι Ἀνδρέου μέμνηται, καὶ

[60] Luc. IX, 58. [61] I Tim. VI, 26.

ὡς ἐπισήμου, καὶ ὡς τὸν ἴδιον ἀδελφὸν προσαγαγόν- A τος. Ὅρα δέ μοι φιλαδελφίαν, πῶς οὐκ ἀπεκρύψατο τὸν ἀδελφὸν τὸ ἀγαθὸν, ἀλλὰ κοινοῦται αὐτῷ τὸν θησαυρὸν, καὶ περιχαρείας φωνὴν ἀφίησιν, « Εὑρήκαμεν, » λέγων· ὡς ἔοικε γὰρ, ἐκ πολλοῦ ἐπόθουν καὶ ἐμελέτων τὴν ζήτησιν. Καὶ οὐχ ἁπλῶς λέγει, Μεσσίαν, ἀλλὰ, « τὸν Μεσσίαν, » μετὰ τοῦ ἄρθρου ἐκεῖνον αὐτὸν τὸν κυρίως ὄντα Χριστόν. Ὁ γὰρ προσδοκώμενος αὐτοῖς εἷς ἦν, εἰ καὶ πολλοὶ Χριστοὶ καὶ υἱοὶ τοῦ Θεοῦ προσηγορεύοντο. Ἤγαγε δὲ αὐτὸν πρὸς τὸν Ἰησοῦν, οὐχ ὡς εὔκολον ὄντα τὸ ἦθος, καὶ παντὶ λόγῳ συμπεριφερόμενον, ἀλλ' ὡς ὀξὺν μᾶλλον καὶ θερμὸν, καὶ εὐφυῶς παραδεξάμενον τοὺς λόγους, οὓς αὐτῷ εἴρηκεν ὁ ἀδελφὸς περὶ Χριστοῦ. Εἰκὸς γὰρ τὸν Ἀνδρέαν πλείω διαλεχθῆναι αὐτῷ, καὶ ἀκριβῶς τὰ περὶ Χριστοῦ ἐπαγγεῖλαι, ἅτε παρὰ τῷ Χριστῷ B μείναντα καὶ διδαχθέντα μυστικώτερά τινα. Εἰ δὲ ἐπιμένοι τις εὐκολίαν καταγινώσκων τοῦ Πέτρου, μανθανέτω καὶ τοῦτο, ὅτι οὐδὲ γέγραπται, ὅτι ἐπίστευσεν εὐθὺς τῷ Ἀνδρέᾳ. ἀλλ' ὅτι « ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν, » ὅπερ μᾶλλον στεῤῥᾶς διανοίας καὶ οὐ συμπεριφερομένης ἐστίν. Οὐ γὰρ ἁπλῶς παρεδέξατο τοὺς Ἀνδρέου λόγους, ἀλλ' ἠθέλησεν ἰδεῖν καὶ τὸν Χριστόν· ἵνα εἰ μὲν εὕρῃ τι ἀξιόλογον, ἀκολουθήσῃ, εἰ δὲ οὔκ, ἀναποδίσῃ· ὥστε τὸ ἀχθῆναι, πρὸς τὸν Ἰησοῦν οὐκ εὐηθείας, ἀλλ' ἀκριβείας γνώρισμα. Τί οὖν ὁ Κύριος; Ἀπὸ τοῦ προφητεῦσαι περὶ αὐτοῦ, ἀποκαλύπτειν ἄρχεται αὐτῷ ἑαυτόν. Ἐπεὶ γὰρ αἱ προφητεῖαι οὐδὲν ἔλαττον τῶν σημείων, εἰ μὴ καὶ μᾶλλον, πείθουσι τοὺς ἀνθρώπους, προφητεύει περὶ τοῦ Πέτρου. « Σὺ γὰρ, φησὶν, εἶ Σίμων υἱὸς Ἰωνᾶ· » εἶτα καὶ τὸ μέλλον· « Σὺ κληθήσῃ Κηφᾶς. » Ἀπὸ γὰρ τοῦ τὸ παρὸν εἰπεῖν, καὶ τὸ μέλλον πιστοῦται. Οὐκ εἶπε δὲ, C ὅτι Καλέσω σε ἐγὼ Πέτρον, ἀλλὰ, « κληθήσῃ. » Οὐ γὰρ ἠβούλετο ἐξ ἀρχῆς τὰ τῆς αὐθεντίας ἐπιδείκνυσθαι, ἐπεὶ οὐδὲ εἶχον πίστιν βεβαίαν περὶ αὐτοῦ. Τίνος δὲ ἕνεκεν τοῦτον μὲν Πέτρον ἐπονομάζει, τοὺς δὲ τοῦ Ζεβεδαίου, υἱοὺς βροντῆς; Ἵνα δείξῃ, ὅτι καὶ τὴν Παλαιὰν αὐτός ἐστιν ὁ δεδωκὼς, ὁ καὶ τὰ ὀνόματα, ὥσπερ τότε, καὶ νῦν μετατιθείς. τόν τε Ἄβραμ Ἀβραὰμ, καὶ τὴν Σάραν Σάῤῥαν καλέσας. Ἴσθι δὲ ὅτι Σίμων ἑρμηνεύεται « ὑπακοὴ, » Ἰωνᾶς δὲ « περιστερά. » Τέκνον οὖν τῆς πρᾳότητος, ἥτις διὰ τῆς περιστερᾶς δηλοῦται, ἡ ὑπακοή· ὁ δὲ τὴν ὑπακοὴν ἔχων καὶ Πέτρος γίνεται, εἰς στεῤῥότητα τοῦ καλοῦ διὰ τῆς ὑπακοῆς προβιβαζόμενος.

« Τῇ δὲ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει D αὐτῷ· Ἀκολούθει μοι. Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδᾶ ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. » Ὁ μὲν Ἀνδρέας τοῦ Προδρόμου ἀκούσας, καὶ ὁ Πέτρος τοῦ Ἀνδρέου, ἠκολούθησαν τῷ Ἰησοῦ· ὁ δὲ Φίλιππος φαίνεται μηδὲν ἀκούσας, καὶ ὅμως ἀκολουθήσας τῷ Κυρίῳ εὐθὺς, εἰπόντι πρὸς αὐτὸν τὸ, « Ἀκολούθει μοι. » Πόθεν οὖν οὕτως εὐθέως ἐπείσθη; Δοκεῖ τοίνυν

erat, et adducebat suum fratrem. Vide autem, obsecro, quantum amaverit fratrem, et quomodo non occultaverit ab eo bonum, sed communicarit ei thesaurum, emiseritque jucunditatis vocem, «Invenimus,» dicens. Et verisimile est, quod multo tempore desiderarint et meditati fuerint quærere illum. Neque simpliciter dicit: Messiam, sed, «Messiam» cum articulo, illum ipsum qui proprie est Christus. Unus enim erat qui ab eis exspectabatur, quamvis multi Christi et filii Dei appellarentur. Adduxit autem illum ad Jesum, non quod tam levibus esset moribus, ut ad omnem sermonem circumferretur, sed quod ferventi et bono animo susceperat sermones quos ei dixerat frater de Christo. Verisimile enim est, quod Andreas plura dixerit ei, et manifeste annuntiaverit de Christo, utpote edoctus secretiora quædam, eo quod manserat apud Christum. Quod si perseverat quis arguendo facilitatem Petri, discat et hoc non esse scriptum, quod crediderit statim Andreæ, sed quod Andreas duxerit illum ad Jesum, id quod magis solidæ mentis fuerit, et non quovis vento circumactæ. Non cum simpliciter recepit sermonem Andreæ, sed voluit videre et Christum, ut si quidem inveniret quod dignum fide, sequeretur, sin minus, resiliret: et ita duci ad Jesum, non levis, sed studiosæ mentis incidium erat. Quid igitur Dominus? Prophetando de illo, illi se manifestare incipit. Nam quia prophetiæ non minus quam signa, imo magis hominibus persuadent, prædicit de Petro. «Tu enim, inquit, es Simon filius Jona. «Deinde et quod futurum, «Tu vocaberis Cephas.» Nam cum quod præsens est dicitur, etiam futurum credibile fit. Non dixit autem: Ego te vocabo Petrum, sed, «vocaberis·» Nolebat enim ab initio auctoritatem suam indicare, eo quod nondum firmam in illum fidem haberent. Quamobrem autem agnominat hunc quidem Petrum, illos autem, filios inquam Zebedæi, filios tonitrui? Ut ostendat quod ipse sit qui et Vetus Testamentum dederit, et sicut nunc, ita etiam tunc mutaverit nomen Abram in Abraham et Saram in Sarram. Scias autem quod Simon interpretatur «obedientia,» Jonas vero «columba.» Igitur mansuetudinis quæ per columbam significatur, 529 filia est obedientia: et qui habet obedientiam etiam ipse Petrus efficitur, per obedientiam proficiens ut firmetur in bono.

VERS. 43-45. «Postero die voluit Jesus exire in Galilæam, et reperit Philippum; et dicit ei: Sequere me. Erat autem Philippus a Bethsaida civitate Andreæ et Petri. Reperit Philippus Nathanael, et dicit ei: de quo scripsit Moses in lege et prophetæ, invenimus, Jesum filium Joseph, Nazarenum.» Andreas quidem Præcursore audito, et Petrus Andrea, secuti sunt Jesum: at philippus videtur nullum audivisse, et statim secutus esse Dominum, dicentem ei: «Sequere me.» Unde hoc igitur, quod ille tam statim crediderit? Videtur igitur primum vox Domini animam illius stimulo quodam

charitatis tetigisse. Nos enim simpliciter Salvatoris vox dicebatur, sed dignos statim flagrare faciebat intrinsecus ad amandum ipsum: sicut et Cleopas dicit: « Nonne cor nostrum ardens erat in nobis, cum loqueretur nobis in via [62]? » Deinde autem Philippus, eo quod sollicitum cor habebat, et multum meditabatur scripta Mosis, exspectabatque semper Christum, statim simul atque vidit, credidit: propterea etiam dicit, « Invenimus Jesum: » quo ostendit quod semper quæsiverit. Fortassis autem et a Petro et Andrea de Christo didicit. Etenim verisimile est collocutos illos ei, qui ex eadem patria erat, et narrasse de Christo: id quod et Evangelista videtur insinuare per hoc quod dicit: Erat autem Philippus a civitate Andreæ et Petri. » Parva autem fuit ista civitas, quæ pagus rectius diceretur: unde et digna admiratione Christi virtus, quod ab his qui nullum afferebant fructum, præcipuos discipulos eleg rit. Igitur neque Philippus apud se bonum hoc retinet, sed communicat et Nathanaeli: et quia legisperitus erat Nathanael, ad legem et prophetas ipsum mittit Philippus, quia diligenter legem meditabatur. Porro filium dicit Joseph Dominum, quia ejus filius putabatur: et Nazarenum illum appellat, quamvis proprie a Bethleem, in qua natus, sed in Nazareth educatus fuit At quoniam nativitas ejus multis incognita erat, manifesta autem educatio, a Nazareth eum nominat, utpote illic enutritum.

πρῶτον μὲν ἡ τοῦ Κυρίου φωνὴ ἐν τῇ ψυχῇ αὐτοῦ ἐργάσασθαί τι κέντρον ἀγάπης. Οὐ γὰρ ἁπλῶς ἡ τοῦ Σωτῆρος φωνὴ ἐλέγετο, ἀλλὰ τοῖς ἀξίοις εὐθὺς ἐξέκαιε τὰ ἐντὸς πρὸς τὴν ἀγάπησιν αὐτοῦ· ὥσπερ καὶ οἱ περὶ τὸν Κλεόπαν φασί· « Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ; » Ἔπειτα δὲ καὶ διὰ τὸ μεμεριμνημένην καρδίαν ἔχειν τὸν Φίλιππον, καὶ συνεχῶς μελετᾷν τὰ Μωσέως, καὶ προσδοκᾷν ἀεὶ τὸν Χριστὸν, εὐθέως ὅτε εἶδεν, ἐπείσθη· διὸ καὶ φησιν· « Εὑρήκαμεν Ἰησοῦν· » ὃ δείκνυσιν ὡς ἐζήτει ἄν (16). Μή ποτε δὲ παρὰ τοῦ Ἀνδρέου καὶ τοῦ Πέτρου ἔμαθε περὶ τοῦ Χριστοῦ. Καὶ γὰρ ἐκ τῆς αὐτῆς πατρίδος ὄντι, εἰκὸς, συνομιλήσαντας τούτους, ἀφηγήσασθαι περὶ τοῦ Κυρίου· ὃ καὶ ὁ εὐαγγελιστὴς δοκεῖ παραινίττεσθαι διὰ τοῦ λέγειν· « Ἦν δὲ ὁ Φίλιππος ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. » Μικρὰ δέ τις ἦν αὕτη ἡ πόλις, καὶ κώμη μᾶλλον ἁρμόδιος λέγεσθαι. Ὅθεν καὶ θαυμάσαι ἄξιον τὴν τοῦ Χριστοῦ δύναμιν, ὅτι ἀπὸ τῶν οὐδένα καρπὸν φερόντων, τοὺς ἐκκρίτους τῶν μαθητῶν ἐξελέξατο. Οὐ τοίνυν οὐδὲ Φίλιππος παρ' ἑαυτῷ κατέχει τὸ ἀγαθὸν, ἀλλὰ μεταδίδωσι καὶ τῷ Ναθαναήλ. Καὶ ἐπειδὴ νομομαθὴς ἦν ὁ Ναθαναὴλ, ἐπὶ τὸν νόμον καὶ τοὺς προφήτας αὐτὸν παραπέμπει Φίλιππος· καὶ γὰρ ἀκριβὴς καὶ διεσκεμμένος ἦν τὰ νομικά. Υἱὸν δὲ τοῦ Ἰωσὴφ λέγει τὸν Κύριον, ἐπειδὴ τούτου παῖς ἐνομίζετο· καὶ ἀπὸ Ναζαρὲτ αὐτὸν ὀνομάζει, εἰ καὶ κυρίως ἀπὸ Βηθλεὲμ ἦν. Ἐν ἐκείνῃ γὰρ ἐγγεννήθη, ἐν δὲ Ναζαρὲτ ἀνετράφη· ἀλλ' ὅμως ἐπεὶ ἡ μὲν γέννησις αὐτοῦ τοῖς πολλοῖς ἄδηλος ἦν, ἡ δὲ ἀνατροφὴ δήλη, ἀπὸ Ναζαρὲτ τοῦτον ὀνομάζουσιν, ὡς ἐν ταύτῃ τραφέντα.

VERS. 46-48. « Et dixit ei Nathanael: A Nazareth potest aliquid boni esse? Dicit ei Philippus: Veni, et vide. Vidit Jesus Nathanael venientem ad se, et dicit de eo: Ecce verus Israelita, in quo dolus non est. Dicit ei Nathanael, Unde me nosti? Respondit Jesus, et dixit ei. Priusquam te Philippus vocaret, cum esses sub ficu, videbam te. » Philippus quidem Jesum Nazarenum dicebat, Nathanael autem, utpote in lege diligentior, cognoscebat ex Scripturis quod a Bethleem oportebat venire Christum, et propterea dicit: « A Nazareth potest esse aliquid boni? Philippus vero inquit: « Veni et vide, » 530 sciens quod si gustaret verba Christi, non esset discessurus. Porro laudatur a Christo Nathanael, utpote verus Israelita: non enim ad gratiam neque ad odium loquebatur. Non enim verba illa sunt incredulæ, sed diligentis et in lege versatæ mentis. quæ sciebat quod Christus non a Nazareth, sed Bethleem veniret. Quid igitur Nathanael? num laudibus stulte intumescit? Minime, sed urget, manifestius et evidentius quiddam discere volens. Ideo et interrogat, « Unde me nosti? » At Christus dicendo ei quæ nullus alius sciebat præterquam ipse et Philippus, quod solus et locutus esset et fecisset,

« Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε. Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε. » Ὁ μὲν Φίλιππος ἐκ Ναζαρὲτ τὸν Χριστὸν εἶπεν· ὁ δὲ Ναθαναὴλ, οἷα δὴ ἀκριβέστερος ὢν, ἐγίνωσκεν ἀπὸ τῶν Γραφῶν, ὅτι ἀπὸ Βηθλεὲμ δεῖ ἐλθεῖν τὸν Χριστόν· καὶ διὰ τοῦτό φησιν· « Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Ὁ δὲ Φίλιππος· « Ἔρχου καὶ ἴδε, » φησίν· εἰδὼς ὅτι ἐὰν γεύσηται τῶν ῥημάτων τοῦ Χριστοῦ, οὐκ ἀποστήσεται. Ἐπαινεῖται δὲ Ναθαναὴλ παρὰ Χριστοῦ, ὡς ἀληθῶς Ἰσραηλίτης, ἐπειδὴ οὐδὲν πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν εἶπεν. Οὐ γὰρ ἀπιστίας ἦσαν τὰ ῥήματα, ἀλλὰ ἀκριβείας καὶ νομομαθοῦς διανοίας, γινωσκούσης, ὅτι ὁ Χριστὸς οὐκ ἀπὸ Ναζαρὲτ, ἀλλ' ἐκ Βηθλεὲμ ἔρχεται. Τί τοίνυν ὁ Ναθαναήλ; ἆρα ἐχαυνώθη τῷ ἐπαίνῳ; Οὔκουν, ἀλλ' ἐπιμένει, σαφέστερον καὶ ἀκριβέστερόν τι βουλόμενος μαθεῖν· διὸ καὶ ἐρωτᾷ· « Πόθεν με γινώσκεις; » Ὁ δὲ Κύριος, διὰ τοῦ εἰπεῖν αὐτῷ, ἃ οὐδεὶς ἐγίνωσκε

[62] Luc. XXIV, 32.

Ex collatione codd. Venet. S. Marci.

(16) Cod. 32: ὡς ἐζήτει ἀεί.

πλὴν αὐτοῦ καὶ Φιλίππου, ὡς καταμόνας λαληθέντα A καὶ πραχθέντα, ἀποκαλύπτει τὴν οἰκείαν θεότητα. Ὁ γάρ τοι Φίλιππος καταμόνας καὶ οὐδενὸς παρόντος ὑπὸ τὴν συκῆν ὡμίλησεν τῷ Ναθαναὴλ, ἃ δὴ πάντα ὁ Χριστὸς καὶ μὴ παρὼν ἐγίνωσκε· διὸ καί φησιν· « Ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. » Πρὸ τοῦ πλησιάσαι δὲ τὸν Φίλιππον εἶπεν ὁ Κύριος περὶ τοῦ Ναθαναὴλ, ἵνα μή τις ὑποπτεύσῃ, ὅτι ὁ Φίλιππος εἶπε τὸ περὶ τῆς συκῆς καὶ τῶν ἄλλων, ἃ διελέχθη τῷ Ναθαναήλ. Ὅθεν ὁ Ναθαναὴλ ἐπιγνοὺς τὸν Κύριον, ὡμολόγησεν αὐτὸν Υἱὸν Θεοῦ. Ἄκουε γὰρ τί φησίν.

« Ἀπεκρίθη Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ῥαββὶ, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι, Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις· B μείζω τούτων ὄψει. Καὶ λέγει αὐτῷ· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἀπάρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. » Τὰ μέγιστα δύναται ἡ προφητεία εἰς τὸ ἐφελκύσασθαί τινας εἰς πίστιν, καὶ πλείονα δὲ τῶν θαυμάτων δύναμιν ἔχει. Τὰ μὲν γὰρ θαύματα δύνανται φαντασιωδῶς καὶ οἱ δαίμονες ὑποκρίνεσθαι· τὴν δὲ πρόγνωσιν τῶν μελλόντων καὶ προαγόρευσιν οὐδεὶς ἀκριβῶς ἔχει, οὔτε ἄγγελος, οὔτε πολλῷ μᾶλλον δαίμονες. Διὸ καὶ τὸν Ναθαναὴλ ὁ Κύριος ἐπεσπάσατο, εἰπὼν αὐτῷ τόν τε τόπον, καὶ ὅτι ἐφώνησεν αὐτὸν ὁ Φίλιππος, καὶ ὅτι ἀληθῶς ἐστιν Ἰσραηλίτης. Ἀκούσας οὖν ταῦτα Ναθαναὴλ, ἐν συναισθήσει γίνεται τῆς τοῦ Κυρίου C μεγαλειότητος, καθ' ὅσον τέως ἐνῆν, καὶ ὁμολογεῖ αὐτὸν Υἱὸν Θεοῦ. Πλὴν εἰ καὶ Υἱὸν Θεοῦ ὁμολογεῖ, ἀλλ' οὖν οὐχ ὡς ὁ Πέτρος. Ὁ μὲν γὰρ Πέτρος Υἱὸν Θεοῦ ἀνωμολόγησεν, ὡς Θεὸν ἀληθῆ· διὸ καὶ μακαρίζεται, καὶ τὴν Ἐκκλησίαν πιστεύεται. Ὁ δὲ Ναθαναὴλ ὡς ἄνθρωπον ψιλὸν αὐτὸν ὡμολόγησε, χάριτι διὰ τὴν ἀρετὴν υἱοθετηθέντα τῷ Θεῷ· καὶ τοῦτο δῆλον ἐκ τοῦ ἐπαγαγεῖν· « Σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. » Ὁρᾷς, ὅτι οὔπω ἔφθασεν εἰς τὴν τελείαν γνῶσιν τῆς ἀληθοῦς θεότητος τοῦ Μονογενοῦς; ὡς ἄνθρωπον γὰρ θεοφιλῆ, καὶ ὡς βασιλέα τοῦ Ἰσραὴλ αὐτὸν πιστεύει εἶναι. Εἰ δὲ ἀληθῶς Θεὸν ὡμολόγησεν, οὐκ ἂν εἶπεν αὐτὸν βασιλέα τοῦ Ἰσραὴλ, ἀλλὰ βασιλέα τοῦ παντός· διὸ οὐδὲ μακαρίζεται ὡς ὁ D Πέτρος. Ὅθεν καὶ ὁ Κύριος διορθούμενος αὐτὸν, καὶ ἀνάγων εἰς τὸ νοῆσαί τι ἄξιον τῆς αὐτοῦ θεότητος, « Ὄψεσθε, φησὶ, τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. » Μὴ γάρ με, φησίν, ὑπολάμβανε ψιλὸν ἄνθρωπον, ἀλλὰ Δεσπότην τῶν ἀγγέλων. Ὧ γὰρ ἄγγελοι διακονοῦσιν, οὐκ ἂν εἴη ἄνθρωπος ψιλὸς, ἀλλὰ Θεὸς ἀληθής. Ἐπὶ δὲ τοῦ σταυροῦ καὶ τῆς ἀναλήψεως ταῦτα ἐξέβησαν. Καὶ γὰρ καὶ πρὸς τῷ καιρῷ τοῦ πάθους ἄγγελος ἀπ' οὐρανοῦ ἐνίσχυσεν αὐτόν· καὶ ἐν τῷ τάφῳ, ἄγγελος· καὶ ἐν τῇ ἀναλήψει, ὡς ὁ Λουκᾶς ἱστορεῖ. Τινὲς δὲ συκῆν ἐνόησαν τὸν νόμον, ὡς καρπὸν ἔχοντα πρὸς καιρὸν γλυκαίνοντα, τῇ

63 Matth. XVI, 16.

A detegit et suam deitatem. Nam Philippus solus et nullo præsente sub ficu locutus erat Nathanaeli, quæ sane omnia Christus etiam absens cognoscebat. Proinde et dicit : « Cum esses sub ficu, vidi te. » Priusquam autem appropiaret Philippus, dixit Dominus de Nathanaele, ut ne quis suspicetur quod Philippus Christo dixerit de ficu, et aliis quæ locutus sit cum Nathanaele. Unde Nathanael, agnito Domino, fatetur eum Filium Dei. Audi enim quid dicat.

Vers. 49-51. Respondit Nathanael, et ait ei : Rabbi, tu es ille Filius Dei, tu es ille rex Israel. Respondit Jesus, et dixit ei: Quia dixi tibi : Videbam te sub ficu, credis : majora his videbis. Et B dicit ei Amen, amen dico vobis, posthac videbitis cœlum apertum, et angelos Dei ascendentes et descendentes super Filium hominis. » Maxime potens est prophetia, et efficacior miraculis ad alliciendum quosdam ad fidem. Dæmones enim etiam possunt miracula simulare, et apparenter facere : præscientiam autem futurorum et prædictionem evidentem nullus habet, neque angelus, et quanto minus dæmones? Ideo et Nathanaelem Dominus attraxit dicens ei locum, et quod vocasset eum Philippus, et quod vere esset Israelita. Nathanael igitur auditis illis sentire cœpit magnitudinem Domini, quantum tunc possibile erat, et fatetur C illum Filium Dei. Verumtamen quamvis Filium Dei fateatur, non tamen sicut Petrus. Nam Petrus quidem confessus est Filium Dei ut Deum verum, ideo et beatus prædicatur, et Ecclesia ei concreditur [63]. Nathanael vero ut hominem nudum quidem eum fatetur, gratia autem propter virtutem adoptatum in Filium Dei: et hoc manifestum ex eo quod subditur, « Tu es ille rex Israel. » Vides quod nondum venerat ad perfectam cognitionem veræ deitatis Unigeniti? Etenim quasi amicum Dei, et quasi regem Israel eum credit esse. Quod si vere eum Deum esset confessus, non dixisset eum regem Israel, sed regem universi. Unde non prædicatur beatus, sicut Petrus : et Dominus corrigens eum, D et inducens ad cognoscendum quiddam dignum sua deitate, « Videbitis, inquit, angelos Dei ascendentes et descendentes super Filium hominis. » 831 Ne enim, inquit, suspiceris me nudum hominem, sed Dominum angelorum. Cui enim angeli ministrant, is utique non fuerit purus homo, sed verus Deus. Porro hæc in cruce et ascensione evenerunt. Nam et ante tempus passionis angelus de cœlo confortavit eum, et in sepulcro visus est angelus, et in assumptione, sicut Lucas prodit. Sunt qui per ficum legem intellexerunt, quasi fructum habentem ad tempus dulcem, asperitate autem legalium observationum et difficultate mandatorum, quasi foliis obtectam. Dicunt igitur quod Nathanaelem

Dominus viderit, id est, placide intuitus sit, et intellectum ejus illustrarit, quamvis adhuc sub lege esset. Tu et hoc scias, si quid et hæc arrident, quod Nathanaelem Dominus vidit sub ficu, scilicet sub lege existentem (a), hoc est, intra legem, et profunda legis scrutantem. Nam si non esset scrutatus profunda legis neutiquam vidisset eum Dominus. Scias autem et hoc, quod Galilæa interpretatur «devolubilis.» Exivit igitur Dominus in devolubilem hjus mundi regionem, vel etiam humanam naturam: et nos sub ficu sumus, hoc est peccato dulci, cui etiam non parum amaritudinis adest propter pœnitudinem et judicia secutura Sicut misericors videt ac eligit eos qui fatentur ipsum Filium Dei, et regem ejus Israel qui videt Deum. Et si quidem studium adhibuerimus, et majoribus nos dignabitur spectaculis, et videbimus angelos ascendentes quidem ad summitatem cognitionis Dei: descendentes vero iterum, incognoscibilem ejus substantiam deprehendere non valentes. Vel aliter, Ascendit quis, quando versatur in sermonibus de deitate Unigeniti: descendit autem, quando tractare gaudet sermones de incarnatione et descensu in infernum.

τραχύτητι δὲ τῶν νομικῶν παρατηρημάτων, καὶ τῷ δυσκατεργάστῳ τῶν ἐντολῶν, ὥσπερ φύλλοις σκεπόμενον. Φασὶν οὖν, ὅτι τὸν Ναθαναὴλ εἶδεν ὁ Κύριος, ἀντὶ τοῦ ἱλαρῶς ἐπέβλεψε, καὶ τὴν σύνεσιν αὐτοῦ κατενόησεν, καὶ ἔτι ὑπὸ τὸν νόμον ὄντος. Σὺ δέ μοι κα' τούτῳ τὸν νοῦν ἐπίστησον, εἴγε θέλγῃ τοῖς τοιούτοις, ὅτι τὸν Ναθαναὴλ ὁ Κύριος εἶδεν ὑπὸ τὴν συκῆν, ἤτοι ὑπὸ τὸν νόμον, τουτέστιν ἐντὸς τοῦ νόμου, καὶ τὰ βάθη αὐτοῦ ἐρευνῶντα. Εἰ γὰρ μὴ τὰ βάθη τοῦ νόμου ἠρεύνα, οὐκ ἂν αὐτὸν εἶδεν ὁ Κύριος. Ἴσθι δὲ καὶ τοῦτο, ὅτι Γαλιλαία ἑρμηνεύεται, κατακυλιστή. Ἐξῆλθεν οὖν ὁ Κύριος εἰς τὴν κατακυλιστὴν τούτου τοῦ κόσμου ἢ χώραν, καὶ τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ ὄντας ἡμᾶς ὑπὸ τὴν συκῆν, τουτέστι τὴν ἐνήδονον ἁμαρτίαν, ᾗ καὶ δριμύτης οὐκ ὀλίγη σύνεστι διὰ τὴν μεταμέλειαν, καὶ τὰ ἐκεῖ δικαιωτήρια, ὡς φιλάνθρωπος εἶδε, καὶ ἐξελέξατο ὁμολογοῦντας αὐτὸν Υἱὸν Θεοῦ, καὶ βασιλέα τοῦ Ἰσραὴλ τοῦ ὁρῶντος Θεόν. Εἰ δέ γε ἐπιτείνοιμεν τὴν σπουδὴν, καὶ μειζόνων καταξιώσει ἡμᾶς θεαμάτων, καὶ ὀψόμεθα τοὺς ἀγγέλους ἀναβαίνοντας μὲν πρὸς τὸ ὕψος τῆς αὐτοῦ θείας γνώσεως, καταβαίνοντας δὲ πάλιν, διὰ τοῦ μὴ φθάνειν κατανοῆσαι τὴν ἄγνωστον οὐσίαν. Καὶ ἄλλως δὲ, ἀναβαίνει τις, ὅτε τοῖς περὶ τῆς θεότητος τοῦ Μονογενοῦς λόγοις ἐνδιατρίβει· καταβαίνει δὲ, ὅτε τοῖς περὶ σαρκὸς καὶ τῆς ἐν τῷ ᾅδῃ καταβάσεως ἐμφιλοχωρεῖ.

## CAPUT II.

*De nuptiis in Cana Galilææ. De expulsis e templo. De hoc, Solvite templum istud.*

VERS. 1-4. «Et die tertia factæ sunt nuptiæ in Cana Galilææ, et erat mater Jesu ibi. Vocatus est autem et Jesus ac discipuli ejus ad nuptias. Et cum defecisset vinum, dicit mater Jesu ad eum: Vinum non habent. Dicit ei Jesus: Quid mihi et tibi est, mulier? Nondum venit hora mea.» Vocant ad nuptias Dominum, non quod vidertnt miracula, vel aliud quiddam magnum: sed simpliciter vocant ut notum, unde hoc significans Evangelista, dicit: «Erat autem mater Jesu et fratres ejus ibi.» Igitur sicut illam et fratres, ita et Jesum vocaverunt. Affuit autem ipse, et vocationem non repulit, qui non respexit ad suam dignitatem, sed ad utilitatem et beneficia nostra. Nam qui non dedignatus 532 est fieri servus, multo magis non dedignatus est venire ad nuptias. Exhortatur autem illum mater ut faciat miraculum, quæ magnam de ipsius potestate sumpserat opinionem, tam ob conceptionem, quam ob partum. Omnia enim conservabat in corde suo [64], et ex illis cogitabat filium aliquid posse supra hominem. Neque enim mater ejus ut oraret eum ad faciendum aliquod miraculum, ex alio quod prius viderat facere, inducta est. Nam cum puer esset, nullum fecit miraculum: quia si fecisset, notus fuisset omnibus. Audiverat item mater de testimoniis Joannis, quæ de ipso erat testatus, videbatque jam et discipulos ipsum

## ΚΕΦΑΛ. Β'.

Περὶ τοῦ ἐν Κανᾷ γάμου. Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ. Περὶ τοῦ, Λύσατε τὸν ναὸν τοῦτον.

« Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ. Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· Οἶνον οὐκ ἔχουσι. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ καὶ σοί, γύναι; Οὔπω ἥκει ἡ ὥρα μου. » Καλοῦσιν εἰς τὸν γάμον τὸν Κύριον, οὐχ ὡς θαύματα ἰδόντες, οὐδ' ὡς μέγαν τινὰ, ἀλλ' ἁπλῶς καὶ ὡς γνώριμον, ὅθεν τοῦτο σημαίνων ὁ εὐαγγελιστής, φησίν· « Ἦν δὲ ἡ μήτηρ τοῦ Ἰησοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐκεῖ. » Ὥσπερ οὖν ἐκείνην καὶ τοὺς ἀδελφούς, οὕτω καὶ τὸν Κύριον ἐκάλεσαν. Ὁ δὲ Κύριος παραγίνεται, καὶ οὐκ ἀπαξιοῖ τὴν κλῆσιν, ὅτι μὴ εἰς τὴν οἰκείαν ἀξίαν ἑώρα, ἀλλὰ πρὸς τὴν ὠφέλειαν καὶ εὐεργεσίαν ἡμῶν. Ὁ γὰρ μὴ ἀπαξιώσας γενέσθαι ἐν δούλοις, πολλῷ μᾶλλον οὐκ ἂν ἀπηξίωσεν εἰς γάμον ἐλθεῖν. Παρακαλεῖ δὲ αὐτὸν ἡ μήτηρ εἰς θαυματουργίαν, μεγάλην περὶ τῆς αὐτοῦ δυνάμεως λαβοῦσα ὑπόληψιν ἀπό τε τῆς συλλήψεως, ἀπό τε τοῦ τόκου. Πάντα γὰρ συνετήρει ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ ἐκ τούτων ἐλογίζετο τὸν υἱὸν ὑπὲρ ἄνθρωπον δύνασθαι. Οὐ γὰρ δὴ ἀπὸ τοῦ καὶ ἄλλα θαύματα ποιῆσαι τὸν Ἰησοῦν, παρακαλέσαι αὐτὸν προήχθη ἡ μήτηρ εἰς τοῦτο. Παῖς γὰρ ὤν, οὐδὲν ἐθαυματούργησεν· ἦ γὰρ ἂν ἐπίσημος πᾶσιν ἦν. Ἅμα δὲ ἡ μήτηρ καὶ τῶν μαρτυριῶν Ἰωάννου ἐμέμνητο, ἃς περὶ αὐτοῦ ἐμαρ-

[64] Luc. XVIII, 19.

(a) Edit. Lut. *Dominum vidit adhuc sub lege exsistentem.*

τύρησεν, ἔβλεπέ τε ἤδη καὶ μαθητὰς αὐτῷ ἀκολου- A θοῦντας· καὶ ἐκ τούτων πάντων ἐτεκμαίρετο τὴν δύναμιν τοῦ Παιδός. Ὁ δὲ ἐπιτιμᾷ αὐτῇ, οὐκ ἀλόγως. Εἰ γὰρ, φησὶν, οὐκ ἔστιν οἶνος, ἔδει αὐτοὺς ἐκείνους τοὺς μὴ ἔχοντας προσελθεῖν, καὶ ἀξιῶσαι, οὐχὶ σὲ τὴν Μητέρα. Ἡ γὰρ περὶ τῶν οἰκείων παράκλησις σκάνδαλον γίνεται τοῖς ὁρῶσιν· ὅταν δὲ οἱ χρείαν ἔχοντες αὐτοὶ δέωνται, ἀνύποπτον τὸ πρᾶγμα γίνεται. Τὸ δὲ, « Οὔπω ἥκει ἡ ὥρα μου, » φησὶν, οὐχ ὡς ὑποκείμενος ἀνάγκαις καιρῶν, ἢ ὥρας παρατηρούμενος (πῶς γὰρ ὁ Ποιητὴς τῶν χρόνων καὶ τῶν αἰώνων;) ἀλλ' ὅτι πάντα μετὰ τοῦ καιροῦ τοῦ προσήκοντος ἐργάζεται. Ἐπεὶ οὖν ἄδηλος ἦν ἔτι, καὶ ἄγνωστος τοῖς πολλοῖς, καὶ οὐδὲ τοὺς μαθητὰς πάντας εἶχεν, ἀλλ' οὐδὲ οἱ ἐν τῷ γάμῳ αὐτὸν ἐγίνωσκον· ἢ γὰρ ἂν αὐτοὶ προσῆλθον καὶ παρεκάλουν περὶ τοῦ B οἴνου· ἐπεὶ οὖν ταῦτα πάντα ἦν, διὰ τοῦτό φησιν· « Οὔπω ἥκει ἡ ὥρα μου· » τουτέστιν, ἐπιτήδειος καιρὸς οὐ πάρεστιν. Ἀλλ' ἔτι ἐνίσταται ἡ τοῦ Ἀρείου λύττα, δεῖξαι πειρωμένη τὸν Κύριον ὑποκείμενον ὥραις καὶ καιροῖς. Μάνθανε τοίνυν, ὦ κατάρατε, ὡς εἰ ὑπέκειτο ὥραις, πῶς λοιπὸν ἐποίησε τὸ θαῦμα; Ἔδει γὰρ, κατὰ τὸν σὸν λόγον, ἐπεὶ δουλεύει ὥραις καὶ καιροῖς, οὔπω δὲ ἧκεν ἡ ὥρα αὐτοῦ, μὴ δυνηθῆναι θαυματουργῆσαι· ἀλλὰ μὴν ἐθαυματούργησεν· οὐκ ἄρα δουλεύει ὥραις. Ὅρα δέ μοι πῶς οὐκ ἄχρι τέλους, οὐδὲ διὰ πάντων ἀντιτείνει τῇ Μητρί· ἀλλ' ἐπιπλήξας μικρὸν, πάλιν τὴν ἀξίωσιν αὐτῆς πληροῖ, τιμῶν αὐτὴν, καὶ ἡμῖν τύπους διδοὺς τῆς πρὸς τεκόντας αἰδοῦς.

« Λέγει ἡ Μήτηρ αὐτοῦ τοῖς διακόνοις· Ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε. Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Γεμίσατε τὰς ὑδρίας ὕδατος. Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. Καὶ λέγει αὐτοῖς· Ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ. Καὶ ἤνεγκαν. » Τοῖς διακόνοις λέγει ἡ Μήτηρ· « Ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε· » ὥστε πλείονα γενέσθαι τὴν αἴτησιν, προσελθόντων αὐτῶν καὶ αἰτησαμένων· ὡς ἂν δειχθῇ, ὅτι οὐκ ἀσθενείας ἦν ἡ παραίτησις, ἀλλὰ τοῦ μὴ δόξαι ἐπιτρέχειν ταῖς θαυματουργίαις διὰ ἔνδειξιν καὶ κενὸν τῦφον. Αἱ δὲ ὑδρίαι αἱ λίθιναι, εἰς τὸν καθαρισμὸν τῶν Ἰουδαίων ἐχρημάτιζον. Οἱ γὰρ Ἰουδαῖοι καθ' ἑκάστην σχεδὸν ἀπεπλύνοντο, καὶ οὕτως ἤσθιον· οἷον, εἰ λεπροῦ ἥψαντο, εἰ νεκροῦ, εἰ γυναικὶ D ὡμίλησαν, ὡς ἀκάθαρτοι λοιπὸν ὄντες ἀπελούοντο. Ἐπεὶ οὖν ἡ Παλαιστίνη ἄνυδρος ἦν, καὶ οὐκ ἦν πολλαχοῦ πηγὰς εὑρίσκειν, ἐπλήρουν ἀεὶ τὰς ὑδρίας ὕδατος, ὥστε μὴ τρέχειν εἰς ποταμοὺς, εἴποτε ἀκάθαρτοι γένοιντο. Οὐκ ἁπλῶς οὖν εἶπεν, ὅτι « κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων· » ἀλλ' ἵνα μή τινες τῶν ἀπίστων ὑποπτεύσωσιν, ὅτι τρυγία τις ἦν ἐναπομείνασα, εἶτα τοῦ ὕδατος ἐπιβληθέντος καὶ κερασθέντος, οἶνος λεπτότατος γέγονε, δείκνυσιν, ὅτι οὐδέποτε ἐκεῖνα γεγόνασιν οἴνου δοχεῖα. Ἆρ' οὖν οὐκ ἠδύνατο καὶ χωρὶς τοῦ γεμισθῆναι τὰς ὑδρίας ὕδατος, δημιουργῆσαι οἶνον ἐξ οὐκ ὄντων; Ἠδύνατο

A sequentes: et ex his omnibus conjectabat virtutem Filii. At ille increpat eam, non absurde. Dicit enim, Si non adest vinum, oportet illos ipsos, quibus deest, accedere et rogare, et non te matrem. Nam quando hortantur a domesticis, scandalum fit videntibus. Quando autem hi rogant qui opus habent, suspicione res caret. Cæterum dicens, «Nondum venit hora mea,» non vult quod obnoxius sit necessitatibus temporum, vel horas observet, (quomodo enim hoc dicere possemus de Factore temporum et sæculorum?) sed quod omnia tempore congruo operetur. Igitur quoniam adhuc incognitus erat, et occultus multis, et nondum omnes habebat discipulos, et neque hi, qui in nuptiis erant, eum agnoscebant: nam alioquin ipsi accessissent, B et rogassent pro vino: quia hæc omnia ita se habebant: « Nondum, inquit, venit hora mea, » hoc est, opportunum tempus nondum adest. At hic adhuc urget Arii furor, qui monstrare nititur Dominum horis et temporibus subditum. Disce igitur, o maledicte, quod si fuisset horis et temporibus subjectus, quomodo postea fecisset miraculum? Oportebat enim, secundum sermonem tuum, quandoquidem serviret horis et temporibus, nondum autem venisset hora ejus, ut non posset miracula facere: sed miraculum fecit: non igitur servit horis. Vide autem, oro, quomodo non usque ad finem, neque per omnia resistit matri, sed cum eam parum perstrinxisset, iterum preces ejus implet, honorans illam, et nobis dat formam reverentiæ C erga parentes.

VERS. 5-8. « Dicit Mater ejus ministris: Quodcunque dixerit vobis, facite. Erant autem ibi hydriæ lapideæ sex positæ secundum purificationem Judæorum, capientes singulæ metretas binas ac ternas. Dicit eis Jesus: Implete hydrias aqua. Et impleverunt eas usque ad summum. Et dicit eis: Haurite nunc, et ferte architriclino: et tulerunt. » Ministris dicit Mater: « Quidquid dixerit vobis, facite. » Atque ita cum major fieret petitio, cumque accessissent et illi, ac petissent: ut monstretur quod non infirmitatis fuerit repulsa, sed ne videretur accurrere et festinare ad miraculorum operationem propter ostentationem 533 et vanam gloriam. Lapideæ autem hydriæ ad purificationem Judæorum aderant. Judæi enim ferme singulis horis abluebantur, et sic comedebant: D ut si tetigissent leprosum, vel mortuum, vel rem habuissent cum muliere, se lavabant, quasi immundi forent. Et cum Palæstina inaquosa sit, nec ubique inveniantur fontes, implebant semper hydrias aqua, ut non currerent ad flumina, si quando immundi fierent. Non temere igitur dixit: «secundum purificationem Judæorum.» Sed ne infidelium quidam suspicarentur quod mansissent in ea fæcis quædam reliquiæ, et dein aqua infusa et mista, vinum deinde tenuissimum factum sit, ostendit quod nunquam illa fuerint vini receptacula. Jam, num potuit etiam absque eo quod implerentur hydriæ

aqua, creare vinum ex nihilo? Potuit quidem, sed A sæpe obest magnitudo ne miracula creditu sint facilia. Interim hoc accedit, ut testes miraculi fiant ministri, qui aquam infuderant hydriis. Insuper ut discamus quod ipse sit ille qui et in vite liquorem aquæ in vinum convertat. Jubet autem ministros ut architriclino gustandum exhibeant. Non immerito, sed ut ne suspicentur quidam quod ebriorum conventus fuerit, quorum gustus corruptus esset, et qui ebrietatis vitio existimarent aquam vinum. Ne igitur locum haberet talis suspicio, jubet gustandum dari architriclino, qui sobrius erat. Etenim hi quibus tale concreditum est ministerium, magis sobrii sunt, ut eorum jussu omnia quæ illic geruntur, ordinate fiant et composite. Cæterum oremus ut hæc B in nobis quoque impleantur etiam nunc: neque ut fiant nuptiæ, hoc est conjunctio Dei cum anima nostra, quandiu sumus in Cana Galilææ, loco, inquam, inferioris hujus et devolubilis mundi, ejus qui rotatur, et rota alia. Nuptiæ illæ non fiunt sine præsentia Christi, et suæ Matris, et discipulorum ejus. Nisi enim quis crediderit in Christum qui natu est ex Maria virgine, et locutus est per apostolos, quomodo conjungetnr Deo? Sciamus igitur quid miraculi operetur Dominus in talibus nuptiis, et in tali conjunctione Dei ad animam. Aquam in vinum convertit, et sex nostras lapideas hydrias implet. Per aquam tu quidem intellexeris dissolutionem nostram et mollitiem in vita ac doctrina: per hydrias vero sex, quinque sensus per quos in operibus labimur: et sextam hydriam, rationalem vim, per quam C doctrinis periclitamur. Itaque Dominus noster Jesus Christus, verbum, inquam, evangelicum, nostros sensus, sive in virtute practica, sive contemplativa, si quid in eis aqueum est et resolutum, in vinum convertit, astringens et lætificans vitam et sermonem: atque ita implentur hydriæ nostræ bono hoc poculo: sensus scilicet, ne in operativa 834 vi labamur, et ratio, ne in prava incidamus dogmata. Observa autem quod et lapideæ hydriæ propter purificationem Judæorum stabant illic. Nam Judas quidem dicitur « confessio; » purificatur autem qui confitetur, per quinque sensus quibus prius peccarat. Oculus male viderat, sed oculus iterum lacrymas in confessione, profundit, at- D que ita servit purgationi. Audivit auris verba meretricia, sed iterum se inclinat ad verba oris Dei. Ita et in aliis sensibus. Sic et rationalis virtus in dogmatibus peccat, sed iterum mundat priorem malitiam quando ad pia dogmata redit. Cæterum lapidæ hydriæ ideo sunt, vel quod ex terra formati sumus, vel quod solida receptacula talis vini esse oporteat, et nusquam futilia. Lapidea hydria erat Pauli rationabilis vis, etiam quando persequebatur. Zelator enim erat paternarum ra-

A μὲν, ἀλλὰ πολλαχοῦ περικόπτει τὸ μέγεθος τῶν θαυμάτων, ὡς ἂν εὐπαραδεκτότερα γένοιντο· ἅμα δὲ ἵνα καὶ τοὺς διακόνους μάρτυρας ἔχῃ τοῦ θαύματος, τοὺς τὸ ὕδωρ ἐπιφορήσαντας ταῖς ὑδρίαις· ἔτι τε ἵνα μάθωμεν, ὅτι αὐτός ἐστιν, ὁ καὶ τὸ τῆς ἀμπέλου ὑγρὸν, ὕδωρ πάντως ὂν, εἰς οἶνον κατασκευάζων. Κελεύει οὖν τοῖς διακόνοις, ἵνα τῷ ἀρχιτρικλίνῳ δείξωσι τὸ γεῦμα· οὐκ ἀπεικότως, ἀλλ' ἵνα μή τινες ὑποπτεύσωσιν (17), ὅτι μεθυόντων σύλλογος ἦν, καὶ διέφθαρτο αὐτοῖς ἡ αἴσθησις, καὶ ὡς διεφθαρμένοι τῇ μέθῃ ᾤοντο τὸ ὕδωρ οἶνον. Ἵνα τοίνυν μὴ σχῇ χώραν ἡ τοιαύτη ὑπόνοια, τῷ ἀρχιτρικλίνῳ ἐπιτρέπει τὴν γεῦσιν, τῷ νήφοντι. Καὶ γὰρ ἐν τοῖς τοιούτοις οἱ τήνδε τὴν διακονίαν ἐμπεπιστευμένοι μάλιστα B νήφουσιν, ἵνα ἐν τάξει καὶ εὐκοσμίᾳ τὰ πάντα διὰ κελεύσματος αὐτῶν γίνωνται. Ἀλλ' εὐξώμεθα ταῦτα τελεσθῆναι καὶ ἐφ' ἡμῖν, νῦν οἷον γάμον μὲν γενέσθαι, ἤτοι συνάφειαν τοῦ Θεοῦ πρὸς τὴν ἡμετέραν ψυχὴν, ἕως ἔτι ἐσμὲν ἐν τῇ Κανᾷ τῆς Γαλιλαίας, τῷ χωρίῳ, λέγω, τοῦ κάτω τούτου καὶ κατακυλιστοῦ κόσμου, τοῦ ἄλλοτε ἄλλως μετακυλιομένου καὶ μετακυλίοντος. Ὁ γάμος δὲ οὗτος ἄνευ τῆς παρουσίας Χριστοῦ, καὶ τῆς αὐτοῦ μητρὸς, καὶ τῶν μαθητῶν, οὐ γίνεται. Εἰ μὴ γάρ τις πιστεύσει εἰς Χριστὸν τὸν ἐκ Μαρίας γεννηθέντα, καὶ ἐν τοῖς ἀποστόλοις λαλήσαντα, πῶς συναφθήσεται τῷ Θεῷ; Ἴδωμεν οὖν, τί θαυματουργεῖ ὁ Κύριος ἐν τῷ τοιούτῳ γάμῳ, καὶ τῇ τοιαύτῃ συναφείᾳ τοῦ Θεοῦ πρὸς τὴν ψυχήν. Τὸ ὕδωρ εἰς οἶνον μεταποιεῖ, τὰς ἓξ ὑδρίας ἡμῶν τὰς λιθίνας πληροῖ. Ὕδωρ μὲν οὖν νοήσαις ἂν τὸ ὑδαρὲς, καὶ C ὑγρὸν, καὶ διαλελυμένον ἡμῶν ἔν τε βίῳ καὶ δόγμασιν· ὑδρίας δὲ ἓξ, τάς τε πέντε αἰσθήσεις, δι' ὧν ἐν ταῖς πράξεσι σφαλλόμεθα, καὶ ἕκτην ὑδρίαν τὸ λογιστικὸν, δι' οὗ ἐν τοῖς δόγμασι σφαλερῶς διακείμεθα. Ὁ τοίνυν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ λόγος ὁ εὐαγγελικὸς, φημὶ, ἰώμενος τὰ ἡμέτερα σφάλματα, τά ἔν τε τῷ πρακτικῷ καὶ τῷ δογματικῷ, ἤτοι θεωρητικῷ, τὸ ἐν τούτοις ὑδαρὲς καὶ εὐδιάλυτον εἰς οἶνον μετατίθησι, τὸν στύφοντα λέγω καὶ εὐφραίνοντα βίον καὶ λόγον· καὶ οὕτω πληροῦνται αἱ ἓξ ὑδρίαι ἡμῶν τούτου τοῦ καλοῦ πόματος· αἵ τε αἰσθήσεις, ἵνα μὴ κατὰ τὸ πρακτικὸν πταίωμεν, καὶ ὁ λογισμὸς, ἵνα μὴ ἐν τοῖς δόγμασι προσπταίωμεν. Πρόσχες δὲ ὅτι αἱ λίθιναι ὑδρίαι διὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων ἵσταντο ἐκεῖ. Ἰούδας μὲν λέγεται « ἐξομολόγησις· » D καθαρίζεται δὲ ὁ ἐξομολογούμενος διὰ τῶν πέντε αἰσθήσεων, δι' ὧν πρότερον ἡμάρτανεν. Ὁ ὀφθαλμὸς εἶδε κακῶς, ἀλλ' ὀφθαλμὸς πάλιν δακρύει ἐν τῇ ἐξομολογήσει, καὶ οὕτω γίνεται εἰς καθαρισμόν. Ἤκουσε τὸ οὖς πορνικὰ ᾄσματα, ἀλλ' αὖθις κλίνεται εἰς ῥήματα στόματος Θεοῦ· οὕτω καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων. Πάλιν τὸ λογιστικὸν σφάλλεται ἐν τοῖς δόγμασιν, ἀλλ' αὖθις καθαίρει τὴν προτέραν κακίαν, εἰς τὸ ὀρθῶς δογματίζειν μεταπεσόν. Λίθιναι δὲ ὑδρίαι, ἢ διότι ἀπὸ γῆς ἡμῶν ἡ σύστασις, ἢ διὰ τὸ

**Ex collatione[t] codd. Venet. S. Marci.**

(17) Cod. 31. Ἵνα τῷ ἀρχιτρικλίνῳ ἐνέγκωσιν ἐκ τοῦ μεταβληθέντος εἰς οἶνον ὕδατος, τοῦτο δὲ ᾠκονομήθη, ὡς ἂν μή τινες ὑποπτεύσωσι, κ. τ. λ. « Ut architriclinio ferrent de aqua mutata in vinum. Hoc vero ita dispositum fuit, ne aliqui suspicari possent, » etc.

στεῤῥὰ δεῖν εἶναι τὰ τοῦ τοιούτου οἴνου μέλλοντα A ἔσεσθαι δοχεῖα, καὶ δυσκατάλυτα. Λιθίνη ὑδρία ἦν τοῦ Παύλου τὸ λογιστικὸν, καὶ ὅταν ἐδίωκε, ζηλωτὴς γὰρ ἦν τῶν πατρικῶν παραδόσεων ὑπὲρ πάντας τοὺς συνηλικιώτας · καὶ ὅταν ἐκήρυττε, τοσαύτην γὰρ τὴν ἐν τοῖς λογοις δύναμιν εἶχεν, ὥστε καὶ τοῖς Λυκαΰσιν Ἑρμῆς νομισθῆναι, ὡς τοῦ λόγου ἡγούμενος.

« Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστὶν (οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ), φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος, καὶ λέγει αὐτῷ · Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω · σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. » Ὁ ἀρχιτρίκλινος οὐχὶ τοὺς διακόνους ἐρωτᾷ, ἀλλὰ τὸν νυμφίον. Τίνος ἕνεκεν ; Κατ' οἰκονομίαν πάντως θείαν. Εἰ γὰρ τοὺς διακόνους ἠρώτησε, πάντως ἂν ἀπεκάλυψαν τὸ θαῦμα, οὐδεὶς δὲ ἂν αὐτοῖς ἐπίστευσεν. Ἀρχὴ γὰρ ἦν τῶν σημείων, καὶ B οὔπω οὐδεὶς εἶχεν ὑπόληψιν μεγάλην περὶ τοῦ Χριστοῦ · ὥστε καὶ τῶν διακόνων ἀφηγουμένων τὸ θαῦμα, οὐδεὶς ἂν ἐπίστευσε. Μετὰ ταῦτα μέντοι ὅτε καὶ ἕτερα σημεῖα ἐπεδείξατο, ἔμελλε καὶ τοῦτο πιστευθήσεσθαι, καὶ κατὰ μικρὸν οἱ διάκονοι πρὸς πάντας ἀφηγούμενοι τοῦτο, ἔδοξαν ἂν πιστοί. Διὰ τοῦτο ᾠκονόμησεν ὁ Κύριος, μὴ τοὺς διακόνους ἐρωτηθῆναι, ἀλλὰ τὸν νυμφίον. Οὐχ ἁπλῶς δὲ οἶνον ἐποίησεν, ἀλλὰ καὶ κάλλιστον. Τοιαῦτα γὰρ τὰ τοῦ Χριστοῦ θαύματα · πολλῷ βελτίω τῶν διὰ φύσεως τελουμένων. Τοῦ μὲν οὖν τὸ ὕδωρ οἶνον γενέσθαι, μάρτυρες οἱ διάκονοι, οἱ ἠντληκότες τὸ ὕδωρ · τοῦ δὲ κάλλιστον γενέσθαι, ὁ ἀρχιτρίκλινος · ἅπερ πάντα, δοῦ χρόνου προϊόντος, ἔμελλον κηρυχθέντα πιστωθῆναι βεβαιό- C τερον τοῖς ἀκούουσι. Δύνασαι δὲ νοῆσαι οἶνον μὲν τὸν εὐαγγελικὸν λόγον, ὕδωρ δὲ πάντα τὰ πρὸ τοῦ Εὐαγγελίου · ὑδαρέστερα γὰρ ἦσαν, καὶ πρὸς τὴν τοῦ λόγου τελείωσιν μὴ φθάνοντα. Οἷον τί φημι · Δέδωκε νόμους διαφόρους τῷ ἀνθρώπῳ ὁ Κύριος, ἕνα τὸν ἐν τῷ παραδείσῳ, δεύτερον τὸν ἐπὶ Νῶε, τρίτον τὸν ἐπὶ Ἀβραὰμ τῆς περιτομῆς, τέταρτον τὸν διὰ τοῦ Μωσέως, πέμπτον διὰ τῶν προφητῶν. Πάντες οὖν οὗτοι, ὡς πρὸς τὴν τοῦ Εὐαγγελίου ἀκρίβειαν καὶ δύναμιν συγκρινόμενοι, ὑδαρεῖς εἰσιν, εἴτις ἁπλῶς αὐτοὺς καὶ κατὰ τὸ γράμμα νοεῖ. Εἰ δ' ἐμβαθύνας τῷ πνεύματι, κατανοήσει τὰ κεκρυμμένα, εὑρήσει τὸ ὕδωρ οἶνον γεγενημένον · τὰ γὰρ ἁπλῶς λεγόμενα καὶ κατὰ τὸ γράμμα νοούμενα τοῖς πολλοῖς, D ὕδωρ ὄντα, πάντως ὁ πνευματικῶς ἀνακρίνων, εὑρήσει οἶνον κάλλιστον, ὕστερον πινόμενον, καὶ τηρούμενον παρὰ τοῦ νυμφίου Χριστοῦ · ἐπεὶ καὶ ἐν ἐσχάτοις καιροῖς ἐδείχθη τὸ Εὐαγγέλιον.

« Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. » Ὅτι μὲν μετὰ τὸ βάπτισμα ἤρξατο τῶν σημείων ὁ Κύριος, καὶ πρότερον εἰρήκαμεν. Ἔοικε δὲ καὶ πρῶτον σημεῖον τοῦτο ποιῆσαι τὸ τοῦ οἴνου. Φησὶ γάρ · « Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων. » Ἀλλ' ἐρεῖ τις, ὅτι εἰ καὶ ἀρχή ἐστι τῶν

A ditionum [65] super omnes coætaneos ; et quando prædicabat, tantam enim vim verbi habebat, ut a Lycaonibus Mercurius crederetur [66] utpote dux verbi.

VERS. 9, 10. « Postquam autem gustasset architriclinus aquam in vinum versam, neque sciret unde esset, sed ministri sciebant qui hauserant aquam, vocat sponsum architriclinus, et dicit ei : Omnis homo primo loco bonum vinum ponit, et cum inebriati fuerint, tunc id quod deterius est. Tu servasti bonum vinum usque ad hoc tempus. » Architriclinus non ministros, sed sponsum interrogat. Quare ? Omnino juxta divinam providentiam. Nam si ministros interrogasset, utique miraculum revelassent, B et nullus eis credidisset. Initium enim erat signorum, et nullus adhuc opinionem talem habebat de Christo : atque ita ministris narrantibus miraculum hoc nullus credidisset. Igitur postquam et alia signa ostensa sunt, credibile et hoc futurum erat, et paulatim ministri omnibus hoc enarrantes, fideles habiti fuerunt. Idcirco ordinavit Dominus ne ministri interrogarentur, sed sponsus. Porro non simpliciter fecit vinum, sed et optimum. Hæc enim, quæ miracula Christi sunt, multa meliora his sunt quæ per naturam fiunt. Et quod aqua factum sit vinum, testes sunt ministri qui hauserant aquam. Quod vero optimum fuerit, architriclinus testatus est : quæ sane omnia procedente tempore prædi- C cata, credibilioraque facta sunt audientibus. Potes autem intelligere ut vinum quidem sermonem evangelicum, aquam autem omnia quæ ante Evangelium, quæ liquidiora et insipidiora erant, et ad illius perfectionem non pervenientia : et ut aliquid exempli gratia dicam, Dominus homini varias leges dedit, unam in paradiso, secundam tempore Noe, tertiam sub Abraham, nempe circumcisionem, quartam per Mosen, quintam per prophetas. Omnes igitur illæ si conferantur cum Evangelii evidentia et virtute, aqueæ sunt, si quis 338 eas simpliciter et ad litteram intelligat. Quod si quis spiritu incedit, et intelligit abscondita, inveniet aquam mutatam in vinum. Nam quæ simpliciter dicuntur, et ad litteram intel- D liguntur, multis omnino aqua sunt. Qui autem spiritualiter dijudicat, inveniet vinum optimum, postea bibendum et servandum a sponso Christo : quandoquidem et in extremis temporibus monstratum est Evangelium.

VERS. 11. « Hoc fecit initium signorum Jesus in Cana Galilææ. et manifestavit gloriam suam, et crediderunt in eum discipuli ejus. » Quod Dominus signa operari cœperit post baptismum, et prius quidem diximus : videtur autem et hoc signum primo fecisse. Dicit enim : « Hoc fecit initium signorum. » At dicet quis, quod licet fuerit initium signorum, non tamen omnium, sed eorum quæ in Cana Gali-

[65] Galat. I, 14. [66] Act. XIV, 11.

lææ: nam cum plura ibi fecerit signa, hoc tamen primum fuit. Et hæc quidem illi dixerint: nos autem quamvis multa habeamus ad monstrandum quod initium fuerit omnium signorum (etenim cum dicit, « Manifestavit gloriam suam, et crediderunt in eum discipuli ejus, » indicat quod ante hoc non fecerit miraculum aliud, ab illo enim manifestavit gloriam suam), attamen non disceptabimus, sive hoc sive aliud fuerit prius. Quomodo autem manifestavit gloriam suam? Non multi interfuerunt, neque coram populo fuit factum. Verum quidem non tunc, sed postea miraculum hoc audituri erant omnes, unde usque in hunc diem celebratur, et in occulto non est. Quod autem et discipuli ejus crediderint in eum, ita intellige, quod fidem ampliorem et firmiorem acceperint: quia et prius quidem crediderant, sed non tam firmiter.

VERS. 12-17. « Post hæc descendit Capernaum ipse et mater ejus, et fratres ejus, et discipuli ejus, et ibi manserunt non multis diebus. Et in propinquo erat Pascha Judæorum, et ascendit Jesus Hierosolyma, et reperit in templo eos qui vendebant boves, et oves, et columbas, et nummularios sedentes. Et cum fecisset flagellum e funiculis, omnes ejecit de templo, oves simul ac boves, et nummulariorum effudit æs, mensasque subvertit, et iis qui columbas vendebant, dixit: Auferte ista hinc, nec facite domum Patris mei domum mercatus. Recordati vero sunt discipuli ejus quod scriptum est: Zelus domus tuæ exedit me[67]. » Descendit in Capernaum Dominus, non alterius usus gratia, quam ut matrem suam illic residere faceret, ut ne illam ubique post se traheret. Quoniam enim ad nuptias venerant in Cana, nuptiis habitis adducit matrem in domum suam in Capernaum. Manifestum autem quod propter hanc causam descenderit in Capernaum, ex eo quod neque multis illic manebat diebus, neque miraculum illic faciebat. Increduli enim erant ejus civitatis viri. 536 Ideo et alio loco Dominus eam miseram esse dicit[68]. Quod autem dicit evangelista fuisse prope Pascha, ostendit quod non ante multos dies Paschæ fuerit baptizatus. Porro ubi ascendit in Jerusalem, rem fecit magnæ auctoritatis. Vendentes enim oves et boves ejecit. Jam quod factum hoc et Matthæus commemorat[69], scias quod non semel hoc Christus fecerit, sed hoc quod Matthæus commemorat, fecit prope tempus passionis, quod autem apud Joannem, in exordio signorum. Idcirco hoc loco minus aspere dixit: « Ne feceritis domum Patris mei, domum mercatus. » Initium enim signorum adhuc erat, et nondum tanta signorum ostensorum erat auctoritas. Illic autem apud Matthæum dicit, « Non facite, inquit, speluncam latronum. » Manifeste enim illos latrones nominavit, quod ex injustis modis lucrum facerent. Quando enim quis

σημείων αὕτη, ἀλλ' οὐχὶ πάντων, ἀλλὰ τῶν ἐν Κανᾷ τῆς Γαλιλαίας. Διάφορα γὰρ, φησὶν, θαύματα ποιήσαντος ἐν Κανᾷ, αὕτη ἐστὶν ἡ ἀρχή. Ταῦτα μὲν εἴποι τις ἄν· ἡμεῖς δὲ, καίτοι πολλὰ ἔχοντες πρὸς τὸ δεῖξαι, ὅτι καὶ πάντων τῶν σημείων ἐστὶν ἀρχὴ (καὶ γὰρ τὸ, « Ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ τὸ « Ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, » ἐνδείκνυνται, ὅτι ἕτερον πρὸ τούτου θαῦμα οὐκ ἐποίησεν· ἀπ' ἐκείνου γὰρ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ), ὅμως οὐ διαφερόμεθα, εἴτε τοῦτο πρότερον, εἴτε ἕτερον γέγονε. Πῶς δὲ ἄρα ἐφανέρωσε τὴν δόξαν αὐτοῦ; Οὐδὲ γὰρ πολλοὶ προσεῖχον τῷ γενομένῳ, οὐδὲ ἐνώπιον δήμου γέγονεν. Ἀλλ' εἰ καὶ μὴ τότε, ἀλλ' ὕστερον ἔμελλον τὸ θαῦμα ἀκούσεσθαι πάντες· ὅθεν καὶ μέχρι τοῦ νῦν ᾄδεται, καὶ οὐ διέλαθε. Τὸ δὲ, « Οἱ μαθηταὶ αὐτοῦ ἐπίστευσαν εἰς αὐτὸν, » οὕτω νόησον, ἀντὶ τοῦ, πίστιν περισσοτέραν καὶ βεβαιοτέραν ἔλαβον εἰς αὐτόν· ἐπεὶ καὶ πρότερον πάντως ἐπίστευον, ἀλλ' οὐχ οὕτω βεβαίως.

« Μετὰ τοῦτο κατέβη εἰς Καπερναοὺμ αὐτὸς, καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας. Καὶ ἐγγὺς ἦν τὸ Πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς. Καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας, καὶ πρόβατα, καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους. Καὶ ποιήσας φραγγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα, καὶ τοὺς βόας· καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέτρεψε, καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου. Ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτοῦ, ὅτι γεγραμμένον ἐστίν· Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. » Κατέρχεται εἰς Καπερναοὺμ ὁ Κύριος, οὐδεμιᾶς ἄλλης χρείας ἕνεκεν, ἀλλ' ἢ τοῦ ἀποκαταστῆσαι τὴν μητέρα αὐτοῦ ἐκεῖ, ἵνα μὴ πανταχοῦ αὐτὴν ἐφέλκηται. Ἐπεὶ γὰρ διὰ τὸν γάμον ἦλθον εἰς Κανᾶ, τοῦ γάμου παρελθόντος, ἐπανάγει τὴν μητέρα εἰς τὸν ἐν Καπερναοὺμ οἶκον αὐτῆς. Δῆλον δὲ τοῦτο, ὅτι διὰ ταύτην τὴν αἰτίαν κατέβη εἰς Καπερναοὺμ, ἐκ τοῦ μήτε πολλὰς μεῖναι ἐκεῖ ἡμέρας, μήτε θαύματα ἐν αὐτῇ ποιῆσαι. Ἀπίστως γὰρ εἶχον πρὸς αὐτὸν οἱ τὴν πόλιν ταύτην οἰκοῦντες· διὸ καὶ ἀλλαχοῦ ὁ Κύριος ταλανίζει αὐτήν. Διὰ δὲ τοῦ εἰπεῖν ὁ εὐαγγελιστὴς, ὅτι « Ἦν ἐγγὺς τὸ Πάσχα, » δείκνυσιν ὅτι οὐ πρὸ πολλῶν ἡμερῶν τοῦ Πάσχα ἐβαπτίσατο. Ἀνελθὼν δὲ εἰς Ἱεροσόλυμα, ποιεῖ πρᾶγμα πολλῆς αὐθεντίας γέμον. Τοὺς γὰρ πωλοῦντας τὰ πρόβατα, καὶ τοὺς βόας, ἐξέβαλλε. Εἰ δὲ καὶ ὁ Ματθαῖος φησι τοῦτο πεποιηκέναι αὐτὸν, ἀλλ' ἴσθι ὡς οὐχ ἅπαξ τοῦτο ἐποίησεν, ἀλλὰ τὸ μὲν παρὰ τῷ Ματθαίῳ, ἐγγὺς τοῦ πάθους ποιεῖ· τὸ δὲ νῦν παρὰ τῷ Ἰωάννῃ, τῶν σημείων ἀρχόμενος· διὸ ἐνταῦθα ἀφειμένως εἶπε· « Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου, οἶκον ἐμπορίου. » Ἀρχὴ γὰρ τέως ἦν τῶν σημείων, καὶ οὔπω τοσαύτη παῤῥησία ἦν

[67] Psal. XVIII, 10. [68] Luc. X, 15. [69] Matth. XXI, 12.

αὐτῷ ἀπὸ τῆς τῶν σημείων ἐπιδείξεως. Ἐκεῖ δὲ, A παρὰ τῷ Ματθαίῳ, φημί· « Μὴ ποιεῖτε, φησὶ, σπήλαιον λῃστῶν. » Φανερῶς γὰρ λῃστὰς αὐτοὺς ὠνόμασε, ὡς ἐξ ἀδίκων κερδαίνοντας πόρων. Ὅταν γάρ τις τὸ ὀλίγου τιμώμενον πολλοῦ τιμήματος ἀξιοῖ, καὶ ἀπὸ πενήτων τυχὸν καὶ χηρῶν τὸ κέρδος ἐρανίζηται (ὡς ἐπὶ τὸ πολὺ γὰρ οὗτοι οἱ τὰ χρειώδη ἐξωνούμενοι, καὶ πιπράσκοντες), τί ἄλλο, ἢ ἔργον λῃστοῦ ποιεῖ, ἐκ συμφορῶν ἑτέρων κέρδη πραγματευόμενος; Τίνος δὲ ἕνεκεν ὅλως ἐκβάλλει τοὺς τοιούτους ἐκ τοῦ ἱεροῦ; Οὐκ ἀλόγως· ἀλλ' ἐπεὶ ἔμελλεν ἐν Σαββάτῳ θεραπεύειν, καὶ παραλύειν τὸν νόμον, ἵνα μὴ δόξῃ ἀντίθεος εἶναι, διορθοῦται ἐντεῦθεν τὴν τοιαύτην ὑπόληψιν. Οὐ γὰρ ἂν ὁ τοσοῦτον ζῆλον ἐπιδειξάμενος ὑπὲρ τοῦ οἴκου, τὸν τοῦ οἴκου δεσπότην τὸν Θεὸν B ἠθέτησεν. Οὐ γὰρ ἁπλῶς ἐξέβαλεν, ἀλλὰ καὶ φραγελλίῳ πλεκτῷ τύπτων, καὶ ἀνατρέπων τὰς τραπέζας, καὶ τὸ κέρμα, ἤτοι τὸ νόμισμα τῶν κολλυβιστῶν, ἐκχέων, καὶ ἔργῳ παρακεκινδυνευμένῳ ἐπιχειρῶν. Οὐκ ἂν οὖν ὁ εἰς κίνδυνον ῥίπτων ἑαυτὸν ὑπὲρ τοῦ οἴκου τοῦ Θεοῦ, παρέλυε τὸν νόμον τοῦ Θεοῦ ὡς ἀντίθεος, ἀλλὰ πάντως ὡς Υἱὸς ὤν, καὶ τὴν ἴσην ἐξουσίαν ἔχων τῷ Θεῷ καὶ Πατρὶ, τῷ καὶ τὸν περὶ τοῦ Σαββάτου νόμον δόντι. Διὸ οὐδὲ εἶπε· Τὸν οἶκον τοῦ Θεοῦ, ἀλλὰ, « Τὸν οἶκον τοῦ Πατρός μου· » δεικνύων ὅτι ἐξουσιάζει, ὡς Υἱὸς, τῶν τοῦ Πατρὸς πάντων. Κολλυβισταὶ δέ εἰσιν οἱ τὰ λεπτὰ νομίσματα πωλοῦντες, ἤτοι τοὺς νούμμους. Κόλλυβος γὰρ λέγεται τὸ λεπτὸν νόμισμα παρ' Ἕλλησιν, ὃ Ῥωμαῖοι νοῦμμον ὀνομάζουσι. Πολλοὶ καὶ τῶν ἀρχιερέων ἁμαρτάνουσι τοιαῦτα, οἷα τότε οἱ κάπηλοι, τοὺς βόας C πωλοῦντες ἐν τῇ Ἐκκλησίᾳ, λέγω δὴ, τοὺς ἐν λόγῳ διδασκαλικῷ διαπρέποντας μὴ περιποιούμενοι, ἀλλ' ἐκδιδόντες τοῖς κακουργεῖν βουλομένοις· ἀλλὰ καὶ τὰ πρόβατα, τὸν ἀφελέστερον καὶ κοινὸν λαὸν, καὶ τὰς περιστερὰς, τὰ πνευματικά φημι χαρίσματα, πιπράσκοντες, καὶ τοὺς πλείονα διδόντας, τοῖς μείζοσι βαθμοῖς ἐγκατατάττοντες· οὓς ὁ Κύριος ἐκβάλλει τοῦ ἱεροῦ, ἀναξίους τῆς ἀρχιερωσύνης κρίνων. Ἀλλὰ κἂν τις κέρμα καὶ νόμισμα, ἤτοι δόγμα καὶ λόγον, πωλῇ, καὶ τυχὸν διδάσκαλος ὢν, οὐ καταγγέλλει τὸν λόγον, εἰ μὴ κέρδος ἔχει, καὶ τούτου τὴν τράπεζαν ἀνατρέπει ὁ Κύριος, τὸν θρόνον λέγω τῆς διδασκαλίας, καὶ τὸν λόγον, ὃν ἐκεῖνος συνέχει διὰ κακίαν, μὴ διδοὺς αὐτὸν πᾶσιν, ὃν ὁ Κύριος Ἰησοῦς ἐκχέει διὰ φιλανθρωπίαν, καὶ τοῖς λαοῖς δίδωσιν, ἐκεῖνον μὲν παραλύων τῆς ἀρχῆς, ἄλλον δὲ τὸν ἄξιον ἐπὶ τὸν τῆς διδασκαλίας θρόνον καθίζων. Ἐμνήσθησαν δὲ οἱ μαθηταὶ, ὅτι γεγραμμένον ἐστίν· « Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. » Κατὰ βραχὺ γὰρ τὴν ἐπὶ τὸ κρεῖττον ἐπίδοσιν λαμβάνοντες, ἤδη καὶ τῶν Γραφῶν ἀναμιμνήσκονται, κἀκεῖθεν τὰς μαρτυρίας λαμβάνοντες, βεβαιοτέραν τὴν περὶ Χριστοῦ γνῶσιν καθιστῶσιν ἑαυτοῖς.

ex eo quod parvi pretii est, multum pretii petit, et a pauperibus fortassis et viduis lucrum corradit, sicut ferme solent hi qui necessaria venditant, quid aliud quam opus latronis facit, ex calamitatibus aliorum lucra comportans? Et quare illos e templo ejicit? Non immerito. Quia enim in Sabbato sanaturus erat, et soluturus legem: ut ne videatur contrarius Deo, corrigit hoc loco opinionem illam. Neque enim tantum zelum propter domum ostendens, sprevisset Deum, dominum domus. Non enim simpliciter ejicit, sed et flagello plexo percutit, et subvertit mensas, et æs, hoc est pecuniam nummulariorum effundit Et opus periculosum attentans, non se in periculum conjecisset pro domo Dei, solvens legem Dei ut adversarius: sed omnino ut Filius Dei, et æqualem habens potestatem Patri, qui legem de Sabbato statuerat. Ideo autem non dixit domum Dei, sed « domum Patris mei, » ostendens quod potestatem habeat sicut Filius in omnia quæ Patris erant. Nummularii autem, qui et collybistæ, sunt hi qui parva numismata vendunt. Collybos enim apud Græcos minutum numisma est, quod Romani nummum vocant. Multi autem ex pontificibus in hunc modum peccant. Nam et ipsi negotiatores vendunt boves in ecclesia: hoc est, qui præstantes sunt in verbo doctrinæ, non assumunt, sed tradunt his qui affligere volunt. Insuper et oves, hoc est, simpliciorem et communem populum: et columbas, hoc est, spiritualia dona vendunt, et majores dignitates conferunt his qui plura dant: quos Dominus ejicit e templo, indignos judicans sacerdotio. At hæc si quis æs et nummum, hoc est, et sermonem et dogma vendat, et fortassis cum sit doctor, non annuntiet verbum, nisi lucrum habeat, etiam ejus mensam subvertit Dominus, sedem dico doctrinæ, et sermonem quem ille cohibet propter malitiam,
537 non dans illum omnibus quem Dominus Jesus per misericordiam effundit, populisque dat, illum quidem a principatu dejiciens, et alium in doctrinæ sedem collocans. Recordati sunt autem discipuli ejus quod scriptum sit, « Zelus domus tuæ comedit me. » Paulatim enim incrementa boni sumentes, et Scripturarum recordantur, unde testimonia recipiendo, firmiorem de Christo scientiam apud se constituunt.

« Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ· D Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Εἶπον οὖν οἱ Ἰουδαῖοι· Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. Ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι τοῦτο ἔλεγεν αὐτοῖς, καὶ ἐπίστευσαν τῇ Γραφῇ, καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ

VERS. 18-22. « Responderunt ergo Judæi, et dixerunt ei: Quod signum ostendis nobis quod ista facias? Respondit Jesus, et dixit eis: Destruite templum hoc, et in tribus diebus erigam illud. Dixerunt ergo Judæi: Quadraginta sex annis extructum est templum hoc, et tu in tribus diebus eriges illud? At ille dicebat de templo corporis sui. Cum ergo resurrexisset a mortuis, recordati sunt discipuli ejus quod hoc dixisset, et crediderunt Scripturæ, et sermoni quem dixerat Jesus. » Postquam

viderunt Judæi Dominum magna potestate hæc facere, et dicere : «Ne feceritis domum Patris mei mercatum,» dicunt: Persuade nobis signo aliquo, quod Filius Dei sis tu, et quod illinc missus sis. Unde enim manifestum quod Pater tuus sit qui domus istius est Dominus? At ille per ænigma eis respondit : « Solvite templum hoc, » corpus omnino suum dicens, quod in ipso habitabat omnis divinitas Unigeniti. Ubi autem dixit, « Solvite, » non exhortatus est ad cædem, absit : sed quoniam sciebat facturos, certo eventurum affirmat. Audiant vero Ariani quomodo sicut Dominus et mortis destructor dicat, « Excitabo. » Non enim dicit, Excitabit Pater, sed, « Ego excitabo, » propria virtute usus, nullaque externa indigens. Cæterum Judæi de inanimato templo ipsum dicere autumantes hoc, derident eum. Cum quadraginta et sex annis sit ædificatum, quo pacto, dicunt, tu dicis in tribus diebus te excitaturum? Sciendum autem quod, quando a Solomone templum extructum est viginti annis, omnia perfecte absoluta fuerunt, postea autem post captivitatem, Hebræi accepta potestate illud reædificandi, cœperunt quidem sub Cyro rege ædificare : impediti autem ab his qui invidebant eis, prorogarunt stucturam usque ad Artaxerxem regem, sub quo nacti securitatem maximam, omni studio vix potuerunt perficere opus. Unde et dicitur Judæos ædificantes altera manu gladium, altera tenuisse ædificatorium instrumentum : usque adeo timebant vicinos Idumæos, non autem Persas, a quibus, ut dixi, securitatem omnem acceperant. Istam itaque structuram, post captivitatem aiunt quadraginta sex annis factam, eo quod prohiberentur et impedirentur Judæi a Cyro usque ad Artaxerxem. Et non est mirandum quod Judæi non intellexerint, 538 quandoquidem neque discipuli intelligebant. Obstabant enim duo magna: unum, quod resurrectio per se tam difficilis captu, imo omnibus ignota esset: alterum, quod Deus corpus ejus inhabitaret: «Etenim post resurrectionem cognoverunt discipuli, et crediderunt Scripturæ : » cui Scripturæ? Omni quæ de resurrectione tradit : manifestissime autem ei quæ dicit, « Non derelinques animam meam in inferno [70]; » et illi, « Dominus voluit purificare eum a plaga, et ostendere ei lumen [71]. » Manifeste enim illa de resurrectione dicuntur. Apollinarius autem tentat hoc loco patrocinium suæ hæreseos invenire. Volens enim persuadere inanimatam esse carnem Domini, dicit quod templum dicatur caro, templum autem inanimatum sit, inanimata ergo et caro est. Attonite et versute : tu et ligna et lapides, Domini carnem facies, quando quidem ex his est templum? Quando autem audieris Dominum, « Nunc turbata est anima mea [72] : » et, « Potestatem habeo ponendi ani-

A Ἰησοῦς. » Ἐπειδὴ ἔβλεπον τὸν Κύριον οἱ Ἰουδαῖοι μετὰ πολλῆς ἐξουσίας ταῦτα ποιοῦντα, καὶ λέγοντα, « Τὸν οἶκον τοῦ Πατρός μου μὴ ποιεῖτε ἐμπόριον, » φασί· Πεῖσον ἡμᾶς διά τινος σημείου, ὅτι Υἱὸς εἶ τοῦ Θεοῦ, καὶ ὅτι ἐκεῖθεν ἐπέμφθης· πόθεν γὰρ δῆλον, ὅτι Πατήρ σού ἐστιν ὁ τοῦ οἴκου τούτου Κύριος; Ὁ δὲ αἰνιγματωδῶς αὐτοῖς ἀποκρίνεται, « Λύσατε, λέγων, τὸν ναὸν τοῦτον, » τὸ σῶμα πάντως λέγων αὐτοῦ ἐπειδὴ ἐν αὐτῷ κατῴκει πᾶσα ἡ θεότης τοῦ Μονογενοῦς. Εἰπὼν δὲ, « Λύσατε, » οὐ προτρέπει αὐτοὺς εἰς μιαιφονίαν, ἄπαγε! ἀλλ' ἐπείπερ ἠπίστατο δράσοντας τοῦτο, ἀνυπερθέτως αὐτὸ τὸ συμβησόμενον ὑπαινίττεται. Ἀκουέτωσαν καὶ Ἀρειανοὶ, πῶς ὁ Κύριος, καὶ τοῦ θανάτου καταλυτὴς, φησὶ B τὸ, « Ἐγερῶ. » Οὐ γὰρ εἶπεν, ὅτι Ἐγερεῖ ὁ Πατὴρ, ἀλλ' εἶπεν, ὅτι « Ἐγερῶ ἐγὼ, » τῇ οἰκείᾳ δυνάμει χρώμενος, καὶ οὐκ ἄλλης ἔξωθεν προσδεόμενος. Οἱ δὲ Ἰουδαῖοι, περὶ τοῦ ἀψύχου ναοῦ δοκοῦντες αὐτὸν λέγειν, καταγελῶσιν αὐτοῦ. Διὰ γὰρ τεσσαράκοντα καὶ ἓξ ἐτῶν οἰκοδομηθέντα, πῶς, φασὶ, λέγεις αὐτὸς ἐν τρισὶν ἡμέραις ἐγερεῖν; Ἰστέον δὲ ὅτι, ὅτε μὲν παρὰ τοῦ Σολομῶντος ᾠκοδομήθη ὁ ναὸς τὸ πρῶτον, διὰ εἴκοσι ἐτῶν πάντα ἀνενδεῶς ἀπηρτίσθησαν· ὕστερον δὲ μετὰ τὴν αἰχμαλωσίαν, λαβόντες οἱ Ἑβραῖοι ἐξουσίαν οἰκοδομῆσαι αὐτὸν, ἤρξαντο μὲν ἐπὶ τῆς βασιλείας Κύρου ἀνοικοδομεῖν· εἶτα ἐμποδιζόμενοι παρὰ τῶν διαφθονούντων αὐτοῖς, παρέτειναν τὴν οἰκοδομὴν ἄχρι τῆς Ἀρταξέρξου βασιλείας· ἐπὶ τούτου δὲ πάσης ἀδείας ἀπολαύσαντες, C μετὰ πολλῆς σπουδῆς ἠδυνήθησαν (18) ἐκτελέσαι τὸ ἔργον· ὅτε δὴ καὶ λέγεται τοὺς Ἰουδαίους κτίζοντας, τῇ μὲν ἑτέρᾳ ταῖν χεροῖν δόρυ, θατέρᾳ δὲ οἰκοδομικὸν ἐργαλεῖον κατέχειν· οὕτως ἦσαν ἐν φόβῳ πολλῷ τοὺς πλησιοχώρους δεδοικότες Ἰδουμαίους, οὔ τί που τοὺς Πέρσας· παρ' ἐκείνων γὰρ, ὡς εἶπον, φημὶ δὴ, τῶν Περσῶν, ἄδειαν πᾶσαν ἔλαβον. Ταύτην τοίνυν τὴν οἰκοδομὴν τὴν μετὰ τὴν αἰχμαλωσίαν φασὶν ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσι γενέσθαι, ὡς κωλυθέντων τῶν Ἰουδαίων, καὶ διὰ τοῦτο παρατεινάντων ἀπὸ τῆς Κύρου βασιλείας ἄχρι καὶ τῆς Ἀρταξέρξου. Καὶ οὐ θαυμαστὸν, εἴπερ οἱ Ἰουδαῖοι οὐκ ἔγνωσαν, ὅπου γε οὐδὲ οἱ μαθηταί. Καὶ γὰρ δύο αὐτοὺς τὰ μέγιστα ἐνεπόδιζον· ἓν μὲν τὸ περὶ τῆς ἀναστάσεως δυσκατάληπτον ὂν, μᾶλλον δὲ παντά- D πασιν ἄγνωστον αὐτοῖς· ἕτερον δὲ, ὅτι Θεός ἐστιν ὁ ἐνοικῶν τῷ σώματι· μετὰ μέντοι τὴν ἀνάστασιν ἔγνωσαν οἱ μαθηταὶ, καὶ ἐπίστευσαν τῇ Γραφῇ· ποίᾳ Γραφῇ; Καὶ πάσῃ μὲν τῇ περὶ τῆς ἀναστάσεως διαλαμβανούσῃ· προδηλότατα δὲ τῇ, « Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην· » καὶ τῇ, « Κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, καὶ δεῖξαι αὐτῷ φῶς. » Ἐμφανέστατα γὰρ αὗται αἱ Γραφαὶ περὶ τῆς ἀναστάσεως διαλαμβάνουσιν. Ἀπολινάριος δὲ ἐντεῦθεν πειρᾶται συνηγορίαν εὑρέσθαι τῆς οἰκείας αἱρέσεως. Θέλων γὰρ συστῆσαι,

70 Psal. XV, 10. 71 Isa. LIII, 10 jux. a LXX. 72 Joan. XII, 27.

Ex collatione codd. Venet. S. Marci.

(18) Cod. 31, μόλις ἠδυνήθησαν.

ὅτι ἄψυχος ἦν ἡ τοῦ Κυρίου σὰρξ, φησὶν, ὅτι Ἐπειδὴ A ναὸς λέγεται ἡ σὰρξ, ἄψυχος δὲ ὁ ναὸς, ἄψυχος ἄρα καὶ αὕτη. Ἐμβρόντησε καὶ πολύτροπε· σὺ δὲ καὶ ξύλα καὶ λίθους ποιήσεις τὴν τοῦ Κυρίου σάρκα, ἐπειδὴ ἐκ τούτων ὁ ναός; Ὅταν δὲ ἀκούσῃς τοῦ Κυρίου, « Νυν ἡ ψυχή μου τετάρακται· » καὶ ὅτι « Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, » πῶς ταῦτα νοεῖς; Εἰ δὲ οὐ περὶ τῆς λογικῆς καὶ νοερᾶς ταῦτα ψυχῆς φὴς λέγεσθαι, τὸ, « Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου, » που θήσεις; οὐ γὰρ δήπου περὶ τῆς ἀλόγου ψυχῆς καὶ τοῦτο νοήσεις. Τὸ δὲ, « Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, » τί σοι δοκεῖ; Ἀλλὰ σὺ μὲν φθείρου μετὰ τῶν σῶν.

mam [73], » quomodo ea intelligis? Quod si tu non de mentali et rationali anima hæc dicta asseris, quo referes hoc, « Pater, in manus tuas commendo spiritum meum [74]? » Utique de irrationali anima non intellexeris. De hoc autem, « Non derelinques animam meam in inferno, » quid tibi videtur? At tu una cum tuis pereas.

## ΚΕΦΑΛ. Γʹ.

### Περὶ τοῦ Νικοδήμου καὶ Ἰησοῦ. Περὶ τοῦ Ἰησοῦ καὶ Ἰωάννου βαπτιζόντων. Περὶ καθαρισμοῦ.

« Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ Πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες τὰ σημεῖα ἃ ἐποίει, Αὐδὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν B πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου. Αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τῷ ἀνθρώπῳ. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων (Νικόδημος ὄνομα αὐτῷ), ἄρχων τῶν Ἰουδαίων· οὗτος ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτὸς, καὶ εἶπεν αὐτῷ· Ῥαββὶ, οἴδαμεν, ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ τὰ σημεῖα ταῦτα δύναται ποιεῖν, ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ. » Ἔδοξαν μέν τινες πιστεύειν εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ, ὅτε ἦν ἐν τῇ ἑορτῇ, ἀλλ' οὐ βεβαία ἦν ἡ πίστις αὐτῶν. Πρὸς καιρὸν γὰρ προσέχοντες τῷ Χριστῷ οὐχ ὡς Θεῷ, ἀλλ' ὡς ἀνθρώπῳ θεοφορουμένῳ, πάλιν καὶ ταύτης αὐτῆς τῆς οὐδαμινῆς πίστεως ἐξέπιπτον. Ὅτι δὲ τοιοῦτοι ἦσαν, δῆλον ἐκ τῶν ἑξῆς. C « Αὐτὸς γὰρ, φησὶν, ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, » οὐδὲ ὡς τῷ ὄντι πιστοῖς πάντα τὰ δόγματα ἐνεχείριζεν, ἐμβατεύων ταῖς καρδίαις αὐτῶν, καὶ γινώσκων τί ἦν ἐν αὐταῖς περὶ αὐτοῦ. Οὐ γὰρ διελάνθανεν αὐτὸν οἷος ἦν ὁ λογισμὸς ἐν ἑκάστῳ ἀνθρώπῳ τῷ δοκοῦντι πιστεύειν. Σχεδὸν δὲ καὶ Νικόδημος τοιοῦτος ἦν· ἐπίστευε μὲν γὰρ καὶ οὗτος τῷ Ἰησοῦ, καὶ φαίνεται πρὸς τοὺς Ἰουδαίους ὑπὲρ τοῦ Κυρίου λέγων, ὅτι δεῖ μετὰ ἐρεύνης καὶ ἐξετάσεως καταδικάσαι αὐτόν· ἀλλὰ καὶ μετὰ τὸν σταυρὸν πολλὴν ἐπιμέλειαν καὶ φιλοτιμίαν πρὸς τὸν ἐνταφιασμὸν ἐνδείκνυται. Οὐ μέντοι γε, ὡς ἐχρῆν, ἐπίστευσεν· ἀλλ' ἔτι τῆς Ἰουδαϊκῆς ἀσθενείας ἐχόμενος, νύκτωρ μὲν ἔρχεται πρὸς τὸν Ἰησοῦν διὰ τὸν φόβον τῶν Ἰουδαίων, διδάσκαλον δὲ αὐτὸν ἀποκαλεῖ, ὡς ψιλὸν ἄνθρωπον· τοιαύτην γὰρ ὑπόληψιν εἶχε περὶ D αὐτοῦ· διὸ καὶ ἐπάγει, ὅτι « Οὐδεὶς δύναται ταῦτα ποιεῖν, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ. » Ὁρᾷς, ὅτι ὡς ἀνθρώπῳ προφήτῃ, καὶ παρὰ τοῦ Θεοῦ ἠγαπωμένῳ, πρόσεισι τῷ Ἰησοῦ; Τί οὖν ὁ Κύριος; Οὐκ ἐλέγχει αὐτὸν ἐπιπληκτικῶς, οὐδέ φησι· Διὰ τί οὖν πρὸς τὸν ἐκ Θεοῦ ἀποσταλέντα διδάσκαλον ἔρχῃ νυκτος; Διατί μὴ παῤῥησιάζῃ; Οὐδὲν τούτων φησὶν, ἀλλ' ἱλαρῶς αὐτῷ περὶ θείων καὶ ὑψηλῶν διαλέγεται. Σημείωσαι δὲ, ὅτι πολλὰ θαύματα ποιοῦντος τοῦ Χριστοῦ, οὐδὲν τούτων ὁ παρὼν εὐαγγελιστὴς διηγεῖται· ἢ ὡς τοῖς ἄλλοις εὐαγγελισταῖς ῥηθέντων, ἢ ὡς τὴν κατὰ μέρος ἀφήγησιν ὑπερβαινόντων.

## CAPUT III.

### *De Nicodemo et Jesu. De Jesu et Joanne baptizantibus. De purificatione.*

VERS. 1, 2. « Cum autem esset Hierosolymis in Pascha in die festo, multi crediderunt in nomen ejus, videntes signa ejus quæ edebat. Ipse autem Jesus non credebat semetipsum eis, eo quod ipse nosset omnes, nec opus haberet ut quisquam testaretur de homine. Ipse enim sciebat quid esset in homine. Erat autem homo ex Pharisæis Nicodemus nomine, princeps Judæorum: hic venit ad Jesum nocte, et dixit ei: Rabbi, scimus quod a Deo venisti, magister. Nullus enim hæc signa potest facere quæ tu facis, nisi Deus sit cum eo. » Videbantur quidem nonnulli credere in nomine Jesu, cum esset in festo, sed non firma illorum fides erat: ad tempus enim attendebant Christo, non ut Deo, sed ut homini qui Deo afflabatur: ac iterum a fide illa contemptibili excidebant. Nam quod tales fuerint, manifestum ex sequentibus. « Jesus enim ipse, inquit, non credebat se eis, » neque omnia dogmata, ut his qui vere credunt, concredebat. Scrutator enim est cordium [75], et sciebat quid sentirent de ipso. Non enim ignorabat quales essent cogitationes in singulis hominibus [76] qui credere videbantur. Ferme et Nicodemus talis erat, qui et 830 ipse credebat Jesu, et videtur pro Domino contra Judæos loqui, quod oporteat cum scrutatione et examine condemnari illum: quin etiam post crucem multum officii et liberalitatis in sepultura exhibuit. Cæterum, quia non ut oportebat, credulus erat, et adhuc infirmitate Judaica tenebatur, nocte quidem venit ad Jesum, propter timorem Judæorum. Magistrum autem ipsum vocat, quasi purum hominem: talem enim opinionem de eo conceperat: idcirco et subdit: « Nullus potest talia facere, nisi Deus sit cum eo. » Vides quod sicut ad prophetam et hominem dilectum a Deo, accedit ad Jesum. Quid igitur Dominus? Non arguit, neque dicit, Quare igitur ad magistrum qui a Deo missus est venisti nocte? Quare non fidenter et publice accedis? Nihil horum dicit, sed læte ei de divinis et sublimibus disserit. Nota autem quod quamvis Christus multa fecerit miracula, nullum tamen illorum narrat evangelista, vel quod ab aliis traduntur evangelistis, vel quod majora sint quam quæ particulatim recenseantur.

[73] Joan. x, 18. [74] Luc. XXIII, 46. [75] Jerem. XVII, 10. [76] Psal. XCIII, 11.

VERS. 3. « Respondit Jesus, et dixit ei : Amen, A amen dico tibi, nisi quis natus fuerit superne, non potest videre regnum Dei. » Videntur verba quæ a Salvatore dicta, nihil alludere ad ea, quæ a Nicodemo dicta : at si quis recte attenderit, valde congruere inveniet. Quandoquidem Nicodemus humilem de Christo habebat opinionem, nempe quod magister esset, ac Deus esset cum illo, dicit ei Dominus : Merito ita de sentis; nondum enim natus es superne, hoc est, a Deo spirituali nativitate, sed carnalis es : et cognitio quam de me habes, non est spiritualis, sed animalis, et humana. Ego autem dico tibi, quod nisi tu, et quisquis alius fuerit, superne et ex Deo nati fueritis, et piam et dignam de me opinionem habueritis, extra re- B gna cœlorum estis. Nativitas enim per baptismum, illuminationem præbens animæ regnum Dei, hoc est, unigenitum illius Filium, videre, hoc est, intelligere dat. Nam sicut Dei sapientia Filius est, ita et regnum quoque Dei dicitur. Hoc sane regnum nemo videt, hoc est, intelligit, o Nicodeme, nisi natus fuerit a Deo : atque ita etiam tu, quoniam nondum natus es spiritualiter, propterea non vides me regnum Dei, sicut oportet, sed humilem opinionem de me habes.

VERS. 4, 5. « Dicit ad eum Nicodemus : Quomodo potest homo nasci, cum sit senex? Num potest in ventrem matris suæ iterum introire, ac renasci? C Respondit Jesus : Amen, amen dico tibi, nisi quis renatus fuerit ex aqua et Spiritu, non potest intrare in regnum Dei. » Audiens Nicodemus doctrinam plus quam humanam, stupescit, et passus humanum quiddam interrogat, Quomodo potest? Id quod incredulitatis est signum. Ubi enim fides non est,
540 illic quæritur, Quomodo hoc? et, Quare hoc? Propterea ridicula Nicodemi verba apparent. Neque enim intellexit spiritualem nativitatem, sed mentionem corporalis ventris facit. Postquam enim audivit, « Nisi quis ἄνωθεν, » e supernis, fuerit natus, existimatur ἄνωθεν ab initio, et denuo, atque tale quippiam dici : Nisi quis ab initio et denuo nascatur : et propterea dicit : Quomodo potest is qui senex est, denuo intrare in uterum ma- D tris suæ? Nam duo illum faciebant perplexum, nativitas scilicet spiritualis, et regnum. Neque enim nomen regni cœlorum auditum erat aliquando apud Judæos. Nunc igitur de nativitate dubitat, propterea et Christus ei manifestius spiritualis nativitatis modum revelat : « Nisi quis nascatur, dicens, ex aqua et Spiritu. » Homo cum ex duobus constet, ex corpore et anima, habet nativitatis quoque duplicem modum. Aqua enim si visibiliter accipiatur, ad corporis pertinet purificationem; Spiritus vero invisibiliter concurrens, ad invisibilis animæ regenerationem pertinet. Quod si rogas, quomodo aqua potest generare? interrogabo et ego, quomodo semen et ipsum aquosum exsistens, potest in hominem

A « Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ἀμὴν, ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. » Δοκεῖ τὰ παρὰ τοῦ Σωτῆρος πρὸς τὸν Νικόδημον ῥηθέντα, οὐδεμίαν κοινωνίαν ἔχειν πρὸς ἃ εἴρηκεν ὁ Νικόδημος· τῷ δὲ προσέχοντι καὶ πολλὴ κοινωνία ἐμφανήσεται. Ἐπεὶ γὰρ ὁ Νικόδημος ὑπόληψιν εἶχε περὶ Χριστοῦ ταπεινὴν, ἵνα διδάσκαλος ἐστι, καὶ ὅτι ὁ Θεός ἐστι μετ' αὐτοῦ, φησὶ πρὸς αὐτὸν ὁ Κύριος, ὅτι Εἰκότως ἔχεις τοιαύτην ὑπόληψιν περὶ ἐμοῦ. Οὔπω γὰρ ἐγεννήθης ἄνωθεν, τουτέστιν, ἐκ Θεοῦ πνευματικὴν γέννησιν, ἀλλ' ἔτι σαρκικὸς εἶ, καὶ ἡ γνῶσις, ἣν ἔχεις περὶ ἐμοῦ, οὐκ ἔστι πνευματικὴ, ἀλλὰ ψυχικὴ καὶ ἀνθρωπική. Ἐγὼ δὲ λέγω σοι, ὅτι καὶ σὺ, καὶ B ἄλλος ὀστισοῦν, ἐὰν μὴ ἄνωθεν καὶ ἐκ Θεοῦ γεννηθέντες, τὴν ἀξίαν δόξαν περὶ ἐμοῦ λάβοιτε, ἔξω τῆς βασιλείας ἐστέ. Ἡ γὰρ διὰ τοῦ βαπτίσματος γέννησις φωτισμὸν ἐμποιοῦσα τῇ ψυχῇ, τὴν τοῦ Θεοῦ βασιλείαν, ἤτοι τὸν μονογενῆ Υἱὸν αὐτοῦ βλέπειν, τουτέστι, νοεῖν, δίδωσιν. Ὥσπερ γὰρ Θεοῦ σοφία ὁ Υἱὸς, οὕτω δὴ καὶ βασιλεία Θεοῦ αὐτὸς ἂν λέγοιτο. Ταύτην δὲ τὴν βασιλείαν οὐκ ἂν ἴδοι τις, τουτέστι, νοήσοι, ὦ Νικόδημε, εἰ μὴ γεννηθῇ ἐκ τοῦ Θεοῦ. Ὥστε καὶ σὺ, ἐπεὶ οὐκ ἐγεννήθης οὔπω πνευματικῶς, διὰ τοῦτο οὐ βλέπεις ἐμὲ, τὴν βασιλείαν τοῦ Θεοῦ, καθὰ δεῖ, ἀλλὰ ταπεινὴν δόξαν ἔχεις περὶ ἐμοῦ.

« Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος, Πῶς δύναται ἄνθρωπος γεννηθῆναι, γέρων ὤν; Μὴ δύναται εἰς C τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι; Ἀπεκρίθη Ἰησοῦς· Ἀμὴν, ἀμὴν λέγω σοι, ἐὰν μήτις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. » Ἀκούων ὁ Νικόδημος μείζω ἀνθρωπίνης διδασκαλίας, ἐκπλήττεται, καὶ παθὼν ἀνθρώπινον πάθος, ἐρωτᾷ· « Πῶς δύναται; » ὅπερ ἀπιστίας ἐστὶ σημεῖον. Ὅπου γὰρ πίστις οὐκ ἔστιν, ἐκεῖ τὸ, Πῶς τόδε; καὶ, Διὰ τί τόδε; Διὸ καὶ καταγέλαστα τὰ τοῦ Νικοδήμου ῥήματα φαίνονται. Οὐ γὰρ ἐνενόησε γέννησιν πνευματικὴν, ἀλλὰ γαστρὸς σωματικῆς μέμνηται. Ἐπεὶ γὰρ ἤκουσε τὸ, « Ἐὰν μή τις γεννηθῇ ἄνωθεν, » ἐνόμισε τὸ ἄνωθεν οὕτω λέγεσθαι, ἀντὶ τοῦ, ἐξ ἀρχῆς, ἐκ δευτέρου· ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον· Ἐὰν μή τις γεννηθῇ ἐξ ἀρχῆς D καὶ ἐκ δευτέρου. Διὰ τοῦτο οὖν φησι, Πῶς δύναται γέρων ὢν δεύτερον εἰσελθεῖν εἰς την κοιλίαν τῆς μητρὸς αὐτοῦ; Δύο γὰρ ἦσαν τὰ ποιοῦντα αὐτὸν ἀπορεῖν, ἥ τε γέννησις ἡ πνευματικὴ, ἥ τε βασιλεία. Οὐδὲ γὰρ ὄνομα βασιλείας οὐρανῶν ἠκούσθη ποτὲ παρὰ Ἰουδαίοις. Τέως δ' οὖν περὶ τῆς γεννήσεως ἀπορεῖ, διὸ καὶ ὁ Χριστὸς σαφέστερον αὐτῷ τὸν τῆς γεννήσεως τῆς πνευματικῆς τρόπον ἀποκαλύπτει, « Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος, λέγων, καὶ Πνεύματος. » Διπλοῦς γὰρ ὢν ὁ ἄνθρωπος, ἐκ ψυχῆς καὶ σώματος, διπλοῦν ἔχει καὶ τὸν τῆς γεννήσεως τρόπον. Τὸ μὲν γὰρ ὕδωρ ὁρατῶς λαμβανόμενον, εἰς τὴν τοῦ σώματος κάθαρσιν νοεῖται· τὸ δὲ Πνεῦμα ἀοράτως συντρέχον, εἰς τὴν τῆς ἀοράτου ψυχῆς ἀναγέννησιν. Εἰ δὲ ἐρωτᾷς· Πῶς τὸ ὕδωρ δύναται

γεννῆσαι, ἐρωτήσω κἀγώ· Πῶς τὸ σπέρμα, ὑδατῶδες ὂν καὶ αὐτὸ, δύναται εἰς ἄνθρωπον διαπλασθῆναι; Ὥσπερ οὖν ἐπὶ τοῦ σωματικοῦ σπέρματος, τὸ πᾶν, τῆς τοῦ Θεοῦ χάριτός ἐστιν· οὕτω καὶ ἐπὶ τοῦ βαπτίσματος, ὕδωρ ὑπόκειται. Ἀλλὰ τὸ Πνεῦμα τὰ πάντα ἐνεργεῖ, καὶ ἡ διὰ τῶν εὐχῶν ἐπίκλησις, τοῦ Θεοῦ δὲ μᾶλλον παρουσία. Ταφῆς γὰρ καὶ ἀναστάσεως σύμβολα καὶ εἰκὼν ἐν τῷ ὕδατι τούτῳ τελεῖται. Αἱ τρεῖς καταδύσεις, τῆς τριημέρου ταφῆς σύμβολα· εἶτα ἀναδύνει ὁ ἄνθρωοος ὥσπερ ὁ Κύριος, λαμπρότερον καὶ φαιδρότερον τὸ τῆς ἀφθαρσίας ἔνδυμα φορῶν, καὶ τὴν φθορὰν ἐγκαταδυθίσας τῷ ὕδατι.

« Τὸ γεγεννημένον ἐν τῆς σαρκὸς, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐστι. Μὴ θαυμάσῃς, ὅτι εἶπόν σοι, ὅτι δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. Τὸ πνεῦμα ὅπου θέλει, πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει. Οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος. » Ἀπάγων τὸν Νικόδημον ὁ Κύριος ἀπὸ τῆς σαρκικῆς γεννήσεως, φησί· « Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· τὸ δὲ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμα »· τουτέστι, πνευματικός ἐστιν ὁ ἄνθρωπος ὁ γεγεννημένος διὰ τοῦ βαπτίσματος· τὸ γὰρ πνεῦμα, ἀντὶ τοῦ, πνευματικὸς, ὀφείλεις νοῆσαι. Οὐ γὰρ δὴ Πνεῦμα θεῖον γίνεται ὁ βαπτισθεὶς, ἀλλὰ τὴν ἐν Πνεύματι υἱοθεσίαν καὶ χάριν καὶ τιμὴν λαβὼν, τοῦ πνευματικὸς εἶναι καταξιοῦται. Ὁρῶν δὲ τὸν Νικόδημον ἔτι θορυβούμενον φησί· « Μὴ θαυμάσῃς. » Εἶτα ἀπὸ αἰσθητοῦ παραδείγματος πειρᾶται διδάσκειν αὐτόν. « Τὸ πνεῦμα γὰρ, φησὶν, ὅπου θέλει, πνεῖ. » Ἀπὸ ἀνέμου, φησὶ, μάνθανε τὰ μείζονα. Ὁ γὰρ ἄνεμος (τοῦτον γὰρ ἐνταῦθά φησι πνεῦμα) ὅπου θέλει, πνεῖ· καὶ τὸν ἦχον αὐτοῦ ἀκούεις, ἀλλ' ὅμως οὐκ οἶδας τὴν φορὰν αὐτοῦ. Ἀκάθεκτος γάρ ἐστι, καὶ ἀκώλυτος, καὶ φυσικῇ ἐξουσίᾳ τὴν ὁποιδήποτε ὁρμὴν ἔχει. Τὸ δὲ, « Ὅπου θέλει πνεῖ, » φησὶν, οὐχ ὡς προαιρετικοῦ ὄντος τοῦ ἀνέμου, καὶ θέλησιν ἔχοντος, ἀλλ' ὡς ἔφην, τὴν ἀπὸ φύσεως αὐτῷ προσοῦσαν φορὰν καὶ ἀκώλυτον ἐξουσίαν δεῖξαι βουλόμενος. Εἰ οὖν τὸν ἄνεμον, τοῦτο δὴ τὸ αἰσθήσει ὑποπίπτον πνεῦμα, ἀγνοεῖς, πῶς καὶ ποῦ πνεῖ, πῶς τὴν ἀπὸ τοῦ θείου Πνεύματος ἀναγέννησιν περιεργάζῃ; Εἰ τοῦτο τὸ πνεῦμα οὐ δύναται κατασχεθῆναι, πολλῷ μᾶλλον ἡ τοῦ ἁγίου Πνεύματος χάρις, νόμοις φύσεως οὐχ ὑπενεχθήσεται. Αἰσχυνέσθω Μακεδόνιος ὁ Πνευματομάχος, καὶ πρὸ τούτου Εὐνόμιος· ὁ μὲν δοῦλον ποιῶν τὸ Πνεῦμα, καίτοι γε ἤκουσεν ἐνταῦθα, ὅτι Ἄνεμος ὅπου θέλει, πνεῖ· πολλῷ οὖν μᾶλλον τὸ Πνεῦμα αὐτεξουσιωτέραν ἕξει τὴν κίνησιν, καὶ ὅπου θέλει, καὶ ὡς θέλει, ἐνεργήσει· ὁ δὲ Εὐνόμιος αὐτά τε ταῦτα πρότερος ἁμαρτὼν, καὶ κτίσμα εἰπὼν τὸ Πνεῦμα, καὶ πρός γε ἀπαυθαδιασάμενος, οὕτω γινώσκειν Θεὸν, ὡς ἑαυτὸν αὐτός. Ἀκουέτω οὖν, ὅτι οὐδὲ τοῦ ἀνέμου τὴν φορὰν, καὶ τὴν ὁρμὴν οἶδε· πῶς οὖν Θεοῦ οὐσίας κατατολμᾷς, ἀλιτήριε.

« Ἀπεκρίθη Νικόδημος, καὶ εἶπεν αὐτῷ· Πῶς δύναται ταῦτα γενέσθαι; Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; Ἀμὴν, ἀμὴν λέγω σοι, ὅτι ὃ οἴδαμεν, λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν, μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. Εἰ τὰ ἐπί-

transformari? Igitur sicut in corporali semine totum est gratiæ divinæ, ita et in baptismate aqua subdita est, et Spiritus omnia operatur, et invocatio per preces, imo Dei præsentia. Symbola enim sepulturæ et resurrectionis in aqua illa perficiuntur. Tres mersiones triduanæ sepulturæ symbola sunt: deinde emergit homo, sicut Dominus, fulgidior et clarior, incorruptionis ferens indumenta, qui in aqua corruptionem summersit

VERS. 6-8. «Quod natum est in carne, caro est: et quod natum est ex Spiritu, spiritus est. Ne admireris quod dixi, Oportet vos nasci e supernis. Spiritus ubi vult spirat, et vocem ejus audis, sed nescis unde veniat, et quo vadat. Sic est omnis qui natus est ex Spiritu.» Abducens Dominus Nicodemum a carnali nativitate, dicit: «Quod natum est ex carne, caro est; et quod natum est ex Spiritu, spiritus est.» Hoc est, spiritualis est homo, qui natus est per baptismum. Per spiritum enim, spiritualem intelligere debes. Neque enim spiritus divinus fit baptizatus, sed cum adoptionem filiorum in Spiritu, et gratiam et honorem susceperit, spiritualis esse meretur. Videns autem Nicodemum adhuc perturbari, dicit: «Ne mireris.» Deinde sensibili exemplo docere eum tentat: «Spiritus enim, ubi vult, spirat.» A vento, inquit, disce majora. Ventus enim, quem hoc loco spiritum vocat, ubi vult, spirat: et sonum ejus audis, et ignoras tamen unde feratur; nequit enim comprehendi vel prohiberi; naturali enim potestate fertur in aliquem 541 locum incertum. Cæterum *ubi vult spirat*, inquit, non quod ventus voluntatem habeat, sed, ut dixi, a natura indita illi potestas quæ prohiberi nequit, ostenditur. Si igitur ventum, qui spiritus est sensibus subjectus, ignoras, quomodo et quo spiret, quomodo regenerationem a divino Spiritu curiosius inquiris? Si hic spiritu comprehendi nequit, multo minus sancti Spiritus gratia legibus naturæ subdetur. Confundatur Macedonius, Spiritus oppugnator, et qui antecessit illum Eunomius. Ille enim servum facit Spiritum, quamvis audierit hoc loco quod ventus quo vult spirat, multo igitur magis Spiritus sanctus liberiorem habet motionem, et quo vult, et sicut vult, operabitur. Eunomius vero in illo ipso peccans, et creaturam dixit Spiritum, et in tantam pervenit pervicaciam, quasi cognosceret Deum sicut ipse seipsum. Audiat igitur quod neque venti impetum neque finem sciat. Quomodo igitur Dei substantiam cognoscet impostor?

VERS. 9-12. Respondit Nicodemus, et dixit ei: Quomodo possunt hæc fieri? Respondit Jesus, et dixit: Tu es ille magister Israelis, et hæc ignoras? Amen, amen dico tibi, quod scimus, loquimur: et quod vidimus, testamur: et testimonium nostrum non accipitis. Si terrena dixi vobis, et non creditis

quomodo si dixero vobis cœlestia, credituri estis? » Nicodemus adhuc in Judaica imperfectione subsistit: propterea iterum rogat: «Quomodo possunt hæc fieri?» Ideo et Dominus monstrans ei quod per imperfectionem ita loquitur, dicit: Tu cum sis doctor in Israel, si recordatus fueris miraculorum quæ in Veteri Testamento traduntur de formatione hominis et alia, quomodo formatus sit, quomodo ex latere uxor, quomodo prodigia in Ægypto, quomodo in mari Rubro, quomodo sterilis pepererit, et similia: si hæc considerares sicut doctor in Israel, non discrederes his quæ nunc dico. Verumtamen ego quidem quod scio, dico : et quod vidi, hoc est, clare cognovi. Neque enim corporalem visionem significat cum dicit, «Vidimus,» sed cognitionem certissimam. « At vos testimonium nostrum, hoc est, meum non accipitis. » Hæc autem dicit Dominus, non ad Nicodemum, sed ad genus Judæorum, qui usque ad finem increduli fuerunt. Igitur « Si terrena dixi vobis, et non creditis» hoc est, si de generatione quæ est in baptismo, dixi vobis, et non recepistis, sed interrogastis dicentes, «Quomodo? » terrenam autem hanc nativitatem nominat, quod super terram facta sit in beneficium hominum : quamvis enim cœlestis sit secundum gratiam et honorem, at baptizamur cum super terram sumus; si igitur de hac terrena nativitate dicens, inveni vos incredulos, de supercœlesti nativitate, quæ ineffabilis, qua 542 unigenitus Filius a Patre natus est, cum audieritis, quomodo credetis? Quidam autem per terrenum intellexerunt similitudinem de vento: ita ut quod dicitur, sic se habeat : Si exemplum a terrenis dedi vobis, et neque sic persuasi estis, quomodo poteritis superiora discere?

VERS. 13. «Et nullus ascendit in cœlum, nisi qui de cœlo descendit, Filius hominis, qui est in cœlo.» Neque hoc videtur cum his quæ præcesserunt, recte convenire. At si quis diligenter mentem Domini inspexerit, apparebunt etiam illa bene cohærere cum superioribus. Quia enim magistrum Dominum et prophetam nominabat Nicodemus: Ne putes me, inquit, quasi prophetam qui de terra est, a Deo missum doctorem, sed e supernis me scias descendisse ut Filium, non a terra esse. Nullus igitur prophetarum ascendit in cœlum, nisi ego solus ascensurus sum, qui et descendi. Filium autem hominis cum audiveris descendisse de cœlo, ne existimes quod caro e cœlo descenderit. Hoc enim Apollinarius docuit, quod Christus habuerit corpus de cœlo, quod per virginem transierit quasi per canalem. Verum quia una hypostasis, hoc est, una persona Christus, ex duabus naturis constituta est, ideo omnia quæ sunt hominis dicuntur de Verbo: et iterum ea quæ sunt Verbi, attribuuntur homini. Sic et hoc loco quoque Filius hominis dicitur descendere de cœlo, eo quod una sit persona, et una hypostasis. Deinde ut ne cum audiveris, Qui descendit, putes quod non sit in cœlo, dicit : « Is

A γεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε · πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε ; » Ἔτι ἐπὶ τῆς Ἰουδαϊκῆς εὐτελείας ὁ Νικόδημος ἵσταται · διὰ τοῦτο ἐρωτᾷ πάλιν · « Πῶς δύναται ταῦτα γενέσθαι ; » Διὸ καὶ ὁ Κύριος δεικνύων αὐτῷ, ὅτι ἀπὸ ἀφελείας ταῦτα φθέγγεται, φησί · Σὺ διδάσκαλος ὢν τοῦ Ἰσραὴλ, εἰ ἀναμνησθεὶς τὰ ἐν τῇ Παλαιᾷ παράδοξα θαύματα ἀπὸ τῆς τοῦ ἀνθρώπου πλάσεως, καὶ τὰ ἑξῆς, πῶς πέπλασται, πῶς ἐκ πλευρᾶς ἡ γυνὴ, πῶς τὰ ἐν Αἰγύπτῳ τεράστια, πῶς τὰ ἐν Ἐρυθρᾷ, πῶς στεῖραι ἔτεκον, καὶ τὰ ὅμοια · εἰ ταῦτα ἀναλογίσῃ, ὡς διδάσκαλος τοῦ Ἰσραὴλ, οὐδὲ περὶ ὧν λέγω νῦν ἀπιστήσεις. Πλὴν ἐγὼ μὲν ὃ οἶδα λέγω, καὶ ὃ ἑώρακα, τουτέστιν, ἀκριβῶς ἔγνωκα. Οὐ γὰρ δήπου σωματικὴν ὄψιν τὸ, « Ἑωράκαμεν, » δηλοῖ, ἀλλὰ γνῶσιν ἀκριβεστάB την · ἀλλ' ὑμεῖς τὴν μαρτυρίαν ἡμῶν, τουτέστιν, ἐμοῦ, οὐ λαμβάνετε. Ταῦτα δὲ λέγει ὁ Κύριος οὐ πρὸς τὸν Νικόδημον, ἀλλὰ πρὸς τὸ γένος τῶν Ἰουδαίων ἀποτεινόμενος τῶν ἀπιστησάντων ἄχρι τέλους. Εἰ οὖν τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, τουτέστιν, εἰ περὶ τῆς ἐν τῷ βαπτίσματι γινομένης ἀναγεννήσεως εἶπον ὑμῖν, καὶ οὐ παραδέξασθε, ἀλλ' ἠρωτήσατε τὸ, « Πῶς ; » (ἐπίγειον δὲ ταύτην τὴν γέννησιν ὀνομάζει, ὡς ἐπὶ γῆς τελουμένην πρὸς εὐεργεσίαν τῶν ἐπὶ γῆς ἀνθρώπων · εἰ γὰρ καὶ ἐπουράνιός ἐστι κατὰ τὴν χάριν καὶ τὴν τιμὴν, ἀλλ' οὖν ἐπὶ γῆς ὄντες βαπτιζόμεθα) · εἰ τοίνυν περὶ ταύτης τῆς ἐπιγείου γεννήσεως εἰπὼν, εὗρον ὑμᾶς ἀπιστοῦντας · περὶ τῆς ἐπουρανίου γεννήσεως τῆς C ἀποῤῥήτου, ἣν ὁ μονογενὴς Υἱὸς ἐγεννήθη ἀπὸ τοῦ Πατρὸς, ἀκούσαντες, πῶς πιστεύσετε ; Τινὲς δὲ, ἐπίγειον, τὸ τοῦ ἀνέμου παράδειγμα ἐνόησαν . ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον · Εἰ τὸ ὑπόδειγμα ἀπὸ τῶν ἐπιγείων δέδωκα ὑμῖν, καὶ οὐδὲ οὕτως ἐπείσθητε, πῶς δυνήσεσθε τὰ ἀνώτερα μαθεῖν.

« Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. » Οὐδὲ τοῦτο φαίνεται ἔχειν τινὰ κοινωνίαν πρὸς τὰ πρὸ αὐτοῦ. Εἰ δέ τις ἀκριβῶς ὁρᾷ τὸν νοῦν τοῦ Κυρίου, καὶ μάλα φανήσεται τοῖς πρὸ αὐτοῦ κοινωνοῦν. Ἐπεὶ γὰρ διδάσκαλον τὸν Κύριον, καὶ προφήτην ὠνόμαζεν ὁ Νικόδημος, Μὴ νόμιζέ με, φησὶν, ὡς προφήτην ἀπὸ γῆς ὄντα, παρὰ Θεοῦ ἀπεστάλθαι διδάξοντα · ἀλλ' ἄνωθέν με νόμιζε D κατελθεῖν, ὡς Υἱὸν, οὐκ ἀπὸ γῆς εἶναι. Οὐδεὶς οὖν τῶν προφητῶν ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ἐγὼ μέλλω μόνος ἀναβῆναι, ὡς καὶ κατῆλθον. Υἱὸν δὲ ἀνθρώπου ἀκούσας καταβῆναι ἐξ οὐρανοῦ, μὴ νομίσῃς, ὅτι ἡ σὰρξ ἐκ τοῦ οὐρανοῦ κατέβη, (τοῦτο γὰρ Ἀπολιναρίου τοῦ δογματίσαντος τὸ σῶμα ἐξ οὐρανοῦ ἔχοντα τὸν Χριστὸν, διὰ τῆς Παρθένου ἐλθεῖν ὡς διὰ σωλῆνος) · ἀλλ' ἐπεὶ μία ἡ ὑπόστασις, ἤγουν ἓν πρόσωπον ἦν ὁ Χριστὸς ἐκ δύο φύσεων σύνθετος, τὰ τοῦ ἀνθρώπου ὀνόματα λέγονται ἐπὶ τοῦ Λόγου, καὶ πάλιν τὰ τοῦ Λόγου τῷ ἀνθρώπῳ προστίθενται. Οὕτως οὖν κἀνταῦθα ὁ Υἱὸς τοῦ ἀνθρώπου λέγεται κατελθεῖν ἐξ οὐρανοῦ, ὡς ἑνὸς ὄντος τοῦ προσώπου, καὶ μιᾶς τῆς ὑποστάσεως. Εἶτα ἵνα μὴ ἀκούσας, ὅτι κατέβη, νομίσῃς, ὡς καταβὰς οὐ

ἔστι λοιπὸν ἐν οὐρανῷ, φησίν, « Ὁ ὢν ἐν τῷ οὐρανῷ. » Μὴ γὰρ δὴ ἐπειδὴ ἤκουσας, ὅτι κατέβην, νομίσῃς μὴ εἶναί με καὶ ἐκεῖ· ἀλλὰ κἀνταῦθα πάρειμι σωματικῶς, κἀκεῖ συγκάθημαι τῷ Πατρὶ θεϊκῶς.

« Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόλληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. » Προειπὼν περὶ τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως, λέγει λοιπὸν καὶ περὶ τῆς διὰ του σταυροῦ γενομένης ἡμῖν εὐεργεσίας. Ὁ γὰρ σταυρὸς, καὶ ὁ θάνατος, αἴτιος ἡμῖν τῆς διὰ τοῦ βαπτίσματος χάριτος, εἴγε βαπτιζόμενοι, τὸν θάνατον τοῦ Κυρίου εἰκονίζομεν. Οὐ λέγει δὲ προφανῶς, ὅτι Μέλλω σταυρωθῆναι· ἀλλὰ τοῦ ὄφεως μέμνηται, καὶ τῆς Παλαιᾶς ἱστορίας· ἅμα μὲν διδάσκων ἡμᾶς, ὅτι συγγενῆ τὰ παλαιὰ τοῖς καινοῖς, καὶ εἷς καὶ ὁ αὐτός ἐστι νομοθέτης Παλαιᾶς τε καὶ Νέας Διαθήκης, κἂν Μαρκίων, καὶ Μάνης, καὶ ὁ λοιπὸς τῶν τοιούτων αἱρετικῶν κατάλογος, ἀθετῶσι τὴν Παλαιὰν, τοῦ πονηροῦ δημιουργοῦ λέγοντες αὐτὴν εἶναι νομοθεσίαν· ἅμα δὲ καὶ παιδεύων, ὅτι εἰ πρὸς εἰκόνα χαλκῆν βλέποντες ὄφεως οἱ Ἰουδαῖοι, τὸν θάνατον ἔφευγον· πολλῷ μᾶλλον ἡμεῖς, εἰς τὸν ἐσταυρωμένον βλέποντες, καὶ πιστεύοντες, τὸν ψυχικὸν ἐκφεύγομεν θάνατον. Ὅρα δέ μοι τὸν τύπον πρὸς τὴν ἀλήθειαν. Ἐκεῖ ὄφεως ὁμοίωμα, εἶδος μὲν ἔχον θηρίου, τὸν ἰὸν δὲ οὐκ ἔχον· οὕτω κἀνταῦθα, ἄνθρωπος ὁ Κύριος, ἀλλ' ἁμαρτίας ἰοῦ ἐλεύθερος, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἐλθὼν, τουτέστιν, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίᾳ ὑποκειμένης, ἀλλ' οὐχὶ σὰρξ ἁμαρτίας ὑπάρχων. Καὶ τότε μὲν οἱ ὁρῶντες, σωματικὸν, ἡμεῖς δὲ ψυχικὸν ἐκφεύγομεν θάνατον· καὶ τότε μὲν δήγματα ὄφεων ἰᾶτο ὁ κρεμάμενος, νῦν δὲ τοῦ νοητοῦ δράκοντος τὰς πληγὰς θεραπεύει Χριστος. « Ὑψωθῆναι » δὲ ἀκούων, νόει τὸ, κρεμασθῆναι. Ἐφ' ὕψους γὰρ ἐκρεμάσθη, ἵνα καὶ τὸν ἀέρα ἁγιάσῃ, ὁ τὴν γῆν ἁγιάσας διὰ τοῦ ἐπ' αὐτῆς περιπατῆσαι. Φόει δὲ καὶ τὸ, δοξασθῆναι. Καὶ γὰρ ὄντως ὕψος καὶ δόξα τοῦ Χρισνοῦ ὁ σταυρὸς γέγονεν. Ἐν ᾧ γὰρ ἐδόκει κατακριθῆναι, ἐν τούτῳ κατέκρινε τὸν ἄρχοντα τοῦ κόσμου τούτου. Οἷόν τι λέγω· Ὁ Ἀδὰμ δικαίως ἀπέθανεν· ἥμαρτε γάρ. Ὁ Κύριος ἀδίκως ἀπέθανεν· οὐχ ἥμαρτε γάρ. Μέχρι μὲν οὖν τῆς τοῦ Κυρίου σταυρώσεως, δικαίως κατεκράτει τῶν ἀνθρώπων ὁ θάνατος· ἐπεὶ δὲ ἀναμάρτητος εὑρέθη ὁ Κύριος, τί λοιπὸν δίκαιον ἐπ' αὐτῷ εἶχεν ὁ διάβολος, ἵνα θανατώσῃ αὐτόν; Ὥστε ἐπεὶ ἀδίκως ἐθανατώθη, νενίκηκε τὸν θανατώσαντα αὐτὸν, καὶ οὕτως ἠλευθέρωσε καὶ τὸν Ἀδὰμ ἐκ τοῦ θανάτου, τοῦ δικαίως ἐπαχθέντος αὐτῷ, ὡς ἁμαρτήσαντι. Καὶ ἄλλως δέ· Δύο ἦσαν τὰ κρατοῦντα τοῦ ἀνθρωπίνου γένους, ἡδονὴ, καὶ λύπη· διὰ δὴ τοίνυν τῶν δύο τούτων ἐλθὼν ὁ Κύριος, ἀήττητος εὑρέθη. Προσέβαλε μὲν γὰρ αὐτῷ πρότερον ἐν τῷ ὄρει ὁ πειράζων δι' ἡδονῆς· εὑρὼν δὲ ταύτῃ ἀνάλωτον, ὕστερον τὸ μέγα μηχάνημα τὴν λύπην προσήγαγεν, ἵνα κἂν

A qui est in cœlo. » Noli enim suspicari me propterea non esse illic, quia descendi : sed et hic adsum corporaliter et illic sedeo cum Patre ut Deus.

VERS. 14, 15. «Et sicut Moyses exaltavit serpentem in eremo, ita exaltari oportet Filium hominis, ut omnis qui credit in illum, non pereat, sed habeat vitam æternam. »Postquam dixit de generatione per baptismum, nunc dicit de beneficio quod per crucem nobis factum est. Crux enim et mors auctor nobis fit gratiæ, quæ per baptismum data est, siquidem cum baptizamur, mortem Domini repræsentamus. Non dicit autem manifeste, Crucifigendus sum: sed meminit serpentis[77], et veteris historiæ, interim
B docens vetera cognata novis, et unum esse legislatorem Veteris et Novi Testamenti: tametsi Marcion et Manichæus et reliqua id genus hæreticorum cohors, Vetus rejiciant, dicentes ipsum a malo opifice esse conditum. Docet item, cum Judæi videntes ærei serpentis imaginem, mortem effugerint, multo magis nos ad crucifixum respicientes et credentes animæ mortem effugituros. Vide autem, oro, figuram, et confer cum veritate Illic serpentis similitudo formam quidem habet bestiæ, venenum autem non habet 543. Ita et hoc loco homo Dominus, sed a peccati veneno liber, in similitudine carnis peccati venit, hoc est, in similitudine carnis peccato obnoxiæ, quæ minime caro peccati esset. Et tunc quidem videntes evadebant mortem corporis: nunc
C autem qui vident, mortem animæ. Tunc quidem suspensus, serpentium ictus sanabat: nunc autem spiritualis draconis plagas curat Christus. Exaltatum autem audiens, intellige quidem et suspensum esse. In summo enim suspensus est, ut et aerem sanctificaret, qui terram sanctificarat in illa ambulando. Intellige autem quid sit glorificari. Nam revera, sublimitas et gloria Christi (*a*), crux fuit. Per hoc enim quo visus est condemnari, condemnavit hujus mundi principem. Ut clarius dicam, Adam juste mortuus est, peccarat enim : Dominus injuste mortuus est, non enim peccarat. Igitur usque ad crucifixionem juste prævaluit hominibus mors. Quia autem absque peccato inventus est Christus, quid igitur in illo juris habebat diabolus,
D ut occideret ipsum? Atque ita quia injuste mortuus est, vicit eum a quo occisus est : et sic liberavit Adamum a morte, quæ illi juste inferebatur, utpote ei qui peccarat. Et aliter : Duo fuerunt quæ dominium habebant in humanum genus : voluptas, et tristitia. A duobus autem illis invictus repertus est Dominus. Nam invaserat quidem prius illum in monte, tentans per voluptatem: et cum experiretur hac via vinci non posse, majorem postea machinam, tristitiam scilicet, adhibuit, ut saltem per illam devinceret : et propterea commovit omnia contra illum : discipulos, ut negarent; milites, ut

[77] Num. XXXI, 9.

(*a*) Edit. Lut. legit tantum, *gloria Christi*.

illuderent; prætereuntes, ut blasphemarent; et in A summa Judæos,ut crucifigerent; et sic quoque invictum comperit. Non enim potuit crucis dolor efficere ut crucifigentes haberet odio,sed diligebat eos, et pro eis orabat dicens : « Ne statuas illis, Pater,peccatum hoc. » Vides quomodo vicerit per hoc ipsum, per quod videbatur victus esse? Sic igitur exaltatio et gloria ejus, crux fuit.

Πάτερ, τὴν ἁμαρτίαν ταύτην. » Ὁρᾷς πῶς νενίκηκεν ἐν δόξα γέγονεν ὁ σταυρός.

VERS. 15-17. «Sic enim Deus dilexit mundum, ut Filium suum unigenitum daret, ut omnis qui credit in eum,non pereat, sed habeat vitam æternam. Non enim misit Deus Filium suum in mundum ut condemnet mundum:sed ut servetur mundus per eum.» Mira Dei erga mundum dilectio,et tanta, ut non dederit vel prophetam, vel angelum, B sed Filium suum, atque illum unigenitum. Angelum si quidem dedisset,non erat res parva. Quare? Quia angelus quidem minister ejus fidelis et servus,nos autem inimici et apostatæ:nunc autem dato Filio,quanto excellentiorem exhibuit charitatem! Item si multos habens filios unum dedisset, et hoc maximum fuisset; nunc vero Unigenitum 844 dedit. Igitur bonitas digne laudanda est. Ariani autem dicunt quod Unigenitus dicatur eo quod solus ipse factus sit et conditus a Deo, omnia autem alia ab illo.Quibus simpliciter respondemus:Si quidem Unigenitus dictus fuisset,nec additum esset Filius, haberet rationem impudens vestrum commentum: at nunc cum non solum Unigenitus, sed et Filius dicatur,non permittit sic intelligere Unigenitum(*a*), C sed vult illum solum ex Patre natum. Vide autem, oro,quod sicut supra dixit Filium hominis descendisse de cœlo, quamvis non descenderit caro de cœlo,sed propter unam personam et unam hypostasim,ea quæ Dei sunt, attribuit homini : ita et hoc loco, ea quæ hominis sunt, attribuit Verbo Deo. Dedit enim,inquit,Deus Filium suum in mortem: quamvis impassibilis permanserit Deus : attamen quia unus et idem fuit per hypostasim,et qui Verbum Dei, et homo qui pro nobis patiens,Filius dicitur datus esse, in quantum et vere passus, non in sua natura, sed in sua carne Quod autem lucrum, dari Filium? O magnum,et supra humanam mentem! ut omnis qui credit in illum, duo illa lu- D cretur : unum quidem, quod non perit; alterum, quod vitam habet, atque vitam æternam. Vetus enim lex promittebat eos qui in illa Deo placebant, implendos longitudine dierum: Evangelium autem non temporariam vitam largitur, sed æternam et indissolubilem. Quia enim duo sunt adventus Christi,et ille qui fuit,et ille qui venturus est : de

A διὰ ταύτης γοῦν κρατήσῃ αὐτοῦ· καὶ διὰ τοῦτο παρεκίνησε πάντα κατ' αὐτοῦ, τοὺς μαθητὰς ἀρνήσασθαι, τοὺς στρατιώτας ἐμπαίζειν, τοὺς παραπορευομένους βλασφημεῖν, καὶ ἁπλῶς τοὺς Ἰουδαίους θανατῶσαι. Ἀλλὰ καὶ οὕτως εὗρεν αὐτὸν ἀήττητον. Οὐ γὰρ ἠδυνήθη ἐν τῷ σταυρῷ λύπη πεῖσαι τὸν Κύριον μισῆσαι τοὺς σταυροῦντας, ἀλλὰ γὰρ ἠγάπα πάλιν καὶ ὑπερηύχετο λέγων· « Μὴ στήσῃς αὐτοῖς, ᾧ ἐδόκει ἡττᾶσθαι; Οὕτως οὖν καὶ ὕψωσις αὐτοῦ καὶ

« Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόλληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. » Πολλὴ ἡ τῆς ἀγάπης τοῦ B Θεοῦ πρὸς τὸν κόσμον ἐπίτασις, καὶ τοσαύτη, ὥστε οὐκ ἄγγελον, οὐ προφήτην δοῦναι, ἀλλὰ τὸν Υἱὸν αὐτοῦ, καὶ τοῦτον μονογενῆ. Καὶ ἄγγελον μὲν γὰρ εἰ ἔδωκεν, οὐδὲν οὕτω μικρὸν ἦν τὸ πρᾶγμα. Διατί; Διότι ὁ μὲν ἄγγελος, διάκονος αὐτοῦ πιστὸς καὶ ὑπηρέτης· ἡμεῖς δὲ, ἐχθροὶ καὶ ἀποστάται. Νῦν δὲ Υἱὸν δοὺς, ποίαν ὑπερβολὴν ἀγάπης παρῆκε; Πάλιν, εἰ πολλοὺς ἔχων υἱοὺς, ἕνα δέδωκε, καὶ τοῦτο ὑπέρμεγα· νῦν δὲ τὸν Μονογενῆ δέδωκεν. Ἄρα οὖν ἔστιν ἀξίως ὑμνῆσαι τὴν ἀγαθότητα. Οἱ δὲ Ἀρειανοὶ λέγουσιν ὅτι Μονογενὴς λέγεται, διότι αὐτὸς μόνος γέγονε, καὶ ἐκτίσθη ὑπὸ Θεοῦ, τὰ δ' ἄλλα πάντα ὑπ' αὐτοῦ. Πρὸς οὓς ἁπλοῦς ὁ λόγος, ὅτι Εἰ μὲν Μονογενὴς ἐλέγετο χωρὶς τοῦ Υἱὸς, εἶχεν ἂν λόγον τὸ κομψὸν ὑμῶν εὕρημα· νῦν δὲ μετὰ τοῦ Μονογενοῦς καὶ τὸ C Υἱὸς λεγόμενον, οὐ δίδωσιν οὕτω νοεῖν τὸν Μονογενῆ, ἀλλὰ τὸν μόνον γεννηθέντα ἐκ τοῦ Πατρός. Ὅρα δέ μοι, ὅτι ὥσπερ ἄνω εἶπεν, ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου κατέβη ἐκ τοῦ οὐρανοῦ, καίτοι οὐ κατέβη ἡ σὰρξ ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὅμως διὰ τὸ ἓν πρόσωπον, καὶ τὴν μίαν ὑπόστασιν, τὰ τοῦ Θεοῦ προσέθηκε τῷ ἀνθρώπῳ· οὕτω κἀνταῦθα τὸ ἔμπαλιν τὰ τοῦ ἀνθρώπου προστίθησι τῷ Θεῷ Λόγῳ. Ἔδωκε γὰρ, φησὶν, ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς θάνατον· καίτοι ὁ Θεὸς ἀπαθὴς διέμεινεν· ἀλλ' ἐπεὶ εἷς καὶ ὁ αὐτὸς καθ' ὑπόστασιν ἦν ὅ τε τοῦ Θεοῦ Λόγος, καὶ ὁ τὰ πάθη ὑφιστάμενος ἄνθρωπος· ὁ Υἱὸς λέγεται διδόσθαι, ὃς καὶ ἀληθῶς ἔπασχεν ἐν τῇ οἰκείᾳ σαρκί (19). Τί δὲ τὸ κέρδος τοῦ δοθῆναι τὸν Υἱόν; Ὡς μέγα καὶ ὑπὲρ D ἔννοιαν ἀνθρωπίνην, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, δύο ταῦτα κερδάνῃ· ἓν μὲν, τὸ μὴ ἀπολέσθαι· ἕτερον δὲ, τὸ καὶ ζωὴν ἔχειν, καὶ ταύτην αἰώνιον. Ἡ μὲν γὰρ Παλαιὰ, τοὺς ἐν ταύτῃ εὐαρεστοῦντας τῷ Θεῷ, μακρότητος ἡμερῶν ἐμπιπλᾷν ὑπισχνεῖτο· τὸ δὲ Εὐαγγέλιον, οὐ προσκαίρῳ ζωῇ φιλοτιμεῖται, ἀλλὰ καὶ αἰωνίῳ καὶ ἀκαταλύτῳ. Ἐπεὶ δὲ δύο εἰσὶν αἱ τοῦ Χριστοῦ παρουσίαι, ἥ τε ἤδη γεγενημένη,

[78] Luc. XXIII, 34. [79] I Joan. IV. 9.

Ex collatione codd. Venet. S. Marci.

(19) Cod. 31 plenius : Ὃς καὶ ἀληθῶς ἔπασχεν, οὐ τῇ οἰκείᾳ φύσει, ἀλλὰ τῇ οἰκείᾳ σαρκί.

(*a*) Edit Lut. non habet *unigenitum*.

καὶ ἡ μέλλουσα, περὶ τῆς προτέρας λέγει παρουσίας, ὅτι οὐκ ἀπεστάλη ὁ Υἱὸς ἵνα κατακρίνῃ τὸν κόσμον. Ἐπεὶ εἰ ἐπὶ τοῦτο ἦλθε, πάντες ἂν κατεκρίθησαν· πάντες γὰρ ἥμαρτον, καθὰ καὶ Παῦλός φησιν· ἀλλὰ προηγουμένως ἐπὶ τὸ σῶσαι τὸν κόσμον ἦλθε, καὶ τοῦτο σκοπὸς ἦν αὐτῷ· κατὰ συμβεβηκὸς δὲ κρίνει τοὺς μὴ πιστεύσαντας. Ὁ μέντοι Μωσαϊκὸς νόμος, προηγουμένως εἰς ἔλεγχον τῆς ἁμαρτίας ἦλθε, καὶ κατάκρισιν τῶν παραβαινόντων. Οὐδενὶ γὰρ συνεχώρει, ἀλλ' ἅμα τε εὗρεν ἁμαρτάνοντά τι, καὶ ἅμα τὴν δίκην ἐπῆγεν. Ἡ μὲν οὖν πρώτη παρουσία οὐκ εἶχε σκοπὸν τὸ κρίνειν, εἰ μὴ κατὰ συμβεβηκὸς, τοὺς ἀπιστήσαντας· οὗτοι γὰρ ἤδη κέκρινται· ἡ δέ γε δευτέρα παρουσία, πάντως ἐπὶ τῷ πάντας κρῖναι, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, γενήσεται.

« Ὁ πιστεύων εἰς τὸν Υἱὸν, οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἦλθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. Πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ· ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ ἐστιν εἰργασμένα. » Τί ἐστιν, « Ὁ πιστεύων εἰς τὸν Υἱὸν, οὐ κρίνεται; » Ἆρα γὰρ, ἐὰν ἀκάθαρτον ἔχῃ βίον, οὐ κρίνεται; Μάλιστα μὲν τοὺς τοιούτους οὐδὲ γνησίως πιστοὺς ὁ Παῦλός φησι. « Θεὸν γὰρ, φησὶν, ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. » Πλὴν ἐνταῦθα τοῦτό φησιν, ὅτι κατ' αὐτὸ τοῦτο τὸ πιστεῦσαι, οὐ κρίνεται· τῶν μέντοι πονηρῶν ἔργων χαλεπωτέρας εὐθύνας δώσει· ἀπιστίας δὲ ἕνεκεν οὐ κολάζεται· ἅπαξ γὰρ ἐπίστευσεν. « Ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται. » Πῶς; Πρῶτον μὲν, ὅτι καὶ αὕτη ἡ ἀπιστία κατάκρισίς ἐστι. Τὸ γὰρ ἐκτὸς εἶναι τοῦ φωτὸς, αὐτὸ μόνον τιμωρία μεγίστη. Ἔπειτα εἰ μὴ καὶ ἐντεῦθεν ἤδη τῇ γεέννῃ δίδοται, ἀλλ' οὖν τὰς ἀφορμὰς τῆς μελλούσης τιμωρίας ἐντεῦθεν συνῆξε· καθάπερ καὶ ὁ φονεὺς, κἂν μὴ τῇ ψήφῳ τοῦ κρίνοντος καταδικασθῇ, τῇ τοῦ πράγματος καταδεδίκασται φύσει· καὶ ὁ Ἀδὰμ δὲ, ᾗ ἡμέρᾳ ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἀπέθανε, καίτοι ἔζη, ἀλλὰ τῇ ἀποφάσει καὶ τῇ τοῦ πράγματος φύσει τεθνηκὼς ἦν. Πᾶς οὖν ἄπιστος, κατάκριτός ἐστιν ἐντεῦθεν ἤδη, ὡς τῇ κολάσει πάντως παραδοθησόμενος, καὶ οὐδὲ εἰς κρίσιν ἀχθησόμενος, κατὰ τὸ, « Οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει· » οὐδὲ γὰρ λόγου ἀξιοῦνται οἱ ἀσεβεῖς, ὥσπερ οὐδὲ ὁ διάβολος. Ἐν κρίσει μὲν οὖν οὐκ ἀναστήσονται, ἐν κατακρίσει δέ. Οὕτω καὶ ἐν τῷ Εὐαγγελίῳ φησὶν ὁ Κύριος, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου, ἤδη κέκριται, οὐ μόνον ὡς αὐτὸς ἀπιστήσας, ἀλλὰ καὶ τὸν Ἰούδαν προδότην ποιήσας, καὶ τοῖς ἄλλοις τῆς ἀπωλείας γεγονὼς πρόξενος. Εἰ δὲ ὁ Κύριος ἐν παραβολαῖς εἰσάγει τοὺς κολασθησομένους λόγου ἀξιουμένους, μὴ θαυμάσῃς· πρῶτον μὲν ὅτι

priore adventu dicit, quod non missus sit Filius ut condemnet mundum; quia si propter hoc venisset, condemnati fuissent utique omnes. Omnes enim peccaverunt[80], sicut et Paulus dicit. Sed præcipue ad hoc venit, et mundum servaret, atque hæc intentio ejus fuit: per accidens autem judicat eos qui non crediderunt. Lex vero Mosaica præcipue venit, ut reprehenderet peccatum, et condemnaret prævaricantes. Nulli enim ignoscit, sed simul atque invenerit peccantem in aliquo, pœnam infert. Itaque primus adventus non propter judicium factus, nisi per accidens, judicans eos qui non crediderunt, qui jam judicati sunt; secundus vero erit ut omnes judicet, et unicuique secundum opera sua faciat.

VERS. 18-21. « Qui credit in Filium, non judicatur: qui vero non credit, jam judicatus est, quia non credidit in nomen unigeniti Filii Dei. Hæc est autem condemnatio, quod lux venit in mundum, et dilexerunt homines magis tenebras quam lucem. Erant enim eorum opera mala. Omnis enim qui mala agit, odit lucem, nec venit ad lucem, ne arguantur opera ipsius. Qui autem operatur veritatem, venit ad lucem, ut conspicua fiant facta ipsius, quod per Deum sint facta. » Quid est, « Qui credit in Filium 545 non judicatur? » Nunquid si immundam egerit vitam, non judicatur? Maxime quidem. Non enim vere fideles sunt ejusmodi, ut Paulus dicit: « Deum enim, inquit, fatentur se scire, operibus autem negant[81]. » Verum tamen hoc loco dicit, quod propter ipsum credere non judicatur: dabit autem pœnas graves malorum operum: propter incredulitatem autem quam non habet, non punietur: semel enim credidit. « At qui non credidit, jam judicatus est. » Quomodo? Primum quidem quoniam et ipsa incredulitas condemnatio est: esse enim extra lucem, per se maximum supplicium est; deinde quamvis non hic gehennæ traditus sit, sed congregavit hic futuri supplicii occasiones, sicut et homicida, tametsi non sententia judicis condemnetur, natura tamen rei condemnatus est. Et Adam die quo comedit de ligno, mortuus est[82] et quamvis viveret, sententia tamen et natura rei mortuus fuit. Omnis igitur incredulus hic jam condemnatus est, ut qui omnino supplicio tradendus est, et non in judicium producendus, juxta illud, « Non resurgent impii in judicio[83]. » Indigni enim habentur ut rationem dent impii, sicut et diabolus. In judicium igitur non resurgent, sed in condemnationem. Ita et in Evangelio dicit Dominus, quod princeps hujus mundi, jam judicatus est[84], non solum quod ipse non crediderit, sed quod et Judam proditorem fecerit, et aliis perditionis fuerit auctor. Quamvis autem Dominus in parabolis adducat puniendos quasi eos a quibus sumatur ratio, ne mireris Primum quidem eo ipso, qui parabolæ sunt ea quæ

80 Rom. III, 23. 81 Tit. I, 16. 82 Gen. III, 17. 83 Psal. I, 5. 84 Joan. XVI, 11.

dicuntur, non oportet autem omnia quæ in parabolis dicuntur, quasi canones ac leges assumere. In die enim illo unusquisque conscientiam habens pro judicio quod falli nequeat, non opus habebit alio qui reprehendat, sed semetipsum quisque confutabit, ac abibit. Deinde Dominus non inducit incredulos, quod mereantur ut rationem reddant: sed credentes quidem, ac misericordes. Nos autem de impiis et incredulis loquimur. Aliud autem est impius ac infidelis: et aliud immisericors et peccator. « Hoc est judicium, quia lux venit in mundum. » Ostendit hoc loco infideles omni excusatione destitutos. Ista enim condemnatio est, inquit, quia venit ad eos lux, et neque sic ad illam accesserunt. Non enim in hoc solo peccarunt, quod ipsi non quæsiverunt lucem, sed hoc pessimum est, quod lux ad illos venit, et illam non susceperunt: propterea et condemnati sunt. Nam siquidem non venisset lux, potuissent homines prætexere ignorasse se quid esset bonum: verum quia venit quidem Deus Verbum, deditque verbum suum ut illuminaret, non susceperunt autem, illi omni excusatione posthac carent. Ut autem 546 nullus dicat, Nemo præfert tenebras luci, ponit causam propter quam tenebris adhæserint homines: « Erant enim, inquit, opera illorum mala. » Quia enim Christianismus non solum recta dogmata, sed et honestam vitam exigit: ipsi autem voluerunt luto peccati involvi, ideo nolunt improbi ad lucem Christianismi venire, et se meis subjicere legibus. Porro qui facit veritatem, et contendit et aspirat ad vitam quæ Deo placeat, is ad Christianismum veluti ad lucem accedit, ut magis in bono proficiat, et appareant ejus opera secundum Deum facta. Qui enim talis est cum fide recta, et vitam quoque honestam instituit, lucet omnibus hominibus, et in illo glorificatur Deus. Et ita gentilibus incredulitatis causa facta est immunditia vitæ. Sed forte dixerit quis: Quid igitur? non sunt et Christiani improbi, et gentiles honestæ vitæ? Fateor et ipse quidem improbos Christianos: at bonos gentiles inveniri non asseveraverim. Et natura quidem mansueti et boni reperiuntur quidam (hoc autem non est virtus); excercitatione et meditatione boni, nullus invenietur: et quamvis boni quidam habiti sint, omnia tamen ad vanam gloriam fecerunt. Qui autem operatur propter gloriam, et non propter bonum ipsum, siquando tempus invenerit, malis indulgebit concupiscentiis. Nam apud nos et interminatio gehennæ, et omne aliud studium, et vitæ innumerabilium sanctorum vix conservant homines in virtute: quo pacto nugæ gentilium illos in bono continebunt? Magna quoque res fuerit, si non et pessimos reddiderunt.

VERS. 22-24. « Post hæc venit Jesus et discipuli ejus in terram Judæam, et illic morabatur cum eis, ac baptizabat. Baptizabat autem et Joannes in Ænon

παραβολαί εἰσι τὰ λεγόμενα, καὶ οὐ δεῖ πάντα τὰ ἐν παραβολαῖς λεγόμενα, ὡς νόμους καὶ κανόνας παραλαμβάνειν. Ἐν γὰρ τῇ ἡμέρᾳ ἐκείνῃ ἕκαστος τὸ συνειδὸς ἔχων ἀπαραλόγιστον δικαστὴν, οὐ δεῖται ἑτέρου ἐλέγχου, ἀλλ' ἐγκεχαλινωμένος αὐτὸς ὑφ' ἑαυτοῦ ἄπεισιν. Ἔπειτα οὐκ ἀπίστους εἰσάγει ὁ Κύριος ἀξιουμένους λόγου, ἀλλὰ πιστοὺς μὲν, ἀσπλάγχνους δὲ καὶ ἀνελεήμονας. Ἡμεῖς δὲ περὶ ἀσεβῶν καὶ ἀπίστων λέγομεν· ἕτερον δὲ ἀσεβὴς καὶ ἄπιστος, καὶ ἕτερον ἀνελεήμων καὶ ἁμαρτωλός. (a) Δείκνυσιν ἐνταῦθα πάσης ἀπολογίας ἐστερημένους, τοὺς μὴ πιστεύσαντας. Αὕτη γάρ ἐστιν ἡ κατάκρισις, φησὶν, ὅτι ἦλθε πρὸς αὐτοὺς τὸ φῶς, οὐδὲ οὕτως προσέδραμον αὐτῷ. Οὐ γὰρ τοῦτο μόνον ἥμαρτον, ὅτι οὐκ ἐζήτησαν αὐτοὶ τὸ φῶς, ἀλλὰ τὸ χείριστον τοῦτό ἐστιν, ὅτι ἐκεῖνο ἦλθε πρὸς αὐτοὺς, καὶ ὅμως οὐ παρεδέξαντο· διὰ τοῦτο καὶ κατακεκριμένοι εἰσίν. Εἰ μὲν γὰρ μὴ ἦλθε τὸ φῶς, εἶχον ἂν οἱ ἄνθρωποι ἄγνοιαν τοῦ καλοῦ προβαλέσθαι· ἐπεὶ δὲ ἦλθε μὲν ὁ Θεὸς Λόγος, δέδωκε δὲ τὸν λόγον αὐτοῦ, ὥστε φωτίζειν, οὐ παρεδέξαντο δὲ, πάσης ἀπολογίας λοιπὸν ἐστέρηνται. Ἵνα δὲ μή τις εἴποι, ὅτι Οὐδεὶς ἂν τὸ σκότος προτιμήσειε τοῦ φωτὸς, τίθησι καὶ τὴν αἰτίαν, ἀφ' ἧς οἱ ἄνθρωποι τῷ σκότει προσῆλθον. « Ἦν γὰρ, φησὶ, πονηρὰ αὐτῶν τὰ ἔργα. » Ἐπειδὴ γὰρ ὁ Χριστιανισμὸς, οὐ μόνον δόγματα ὀρθὰ, ἀλλὰ καὶ πολιτείαν σεμνὴν ἀπαιτεῖ, αὐτοὶ δὲ ἠβούλοντο τῷ βορβόρῳ τῆς ἁμαρτίας ἐγκυλίεσθαι, διὰ τοῦτο οὐκ ἠθέλησαν οἱ τὰ φαῦλα πράσσοντες, πρὸς τὸ φῶς τοῦ Χριστιανισμοῦ ἐλθεῖν, καὶ τοῖς ἐμοῖς νόμοις ὑποβαλεῖν ἑαυτούς. Ὁ δέ γε ποιῶν τὴν ἀλήθειαν, ὁ πρὸς βίον δηλαδὴ νεύων σεμνὸν καὶ θεάρεστον, προστρέχει τῷ Χριστιανισμῷ ὡς φωτὶ, ἵνα μᾶλλον ἐν τῷ ἀγαθῷ προκόψῃ, καὶ φανῇ αὐτοῦ τὰ ἔργα κατὰ Θεόν. Ὁ γὰρ τοιοῦτος, μετὰ τοῦ πιστεύειν ὀρθῶς, καὶ πολιτείαν σεμνὴν κατορθῶν, λάμπει πᾶσιν ἀνθρώποις, καὶ δοξάζεται Θεὸς ἐν αὐτῷ. Ὥστε τῆς ἀπιστίας αἰτία γέγονε τοῖς Ἕλλησιν ἡ ἀκαθαρσία τοῦ βίου. Ἀλλ' ἴσως ἐρεῖ τις· Τί οὖν; οὐκ εἰσὶ Χριστιανοὶ φαῦλοι, καὶ Ἕλληνες ἐπαινετοὶ κατὰ βίον; Τὸ μὲν οὖν εἶναι φαύλους Χριστιανοὺς, καὶ αὐτός φημι· τὸ δὲ Ἕλληνας ἀγαθοὺς εὑρεθῆναι, οὐκ ἄν ποτε φαίην. Ἀπὸ φύσεως μὲν γὰρ ἐπιεικεῖς, καὶ ἀγαθοὶ εὑρεθεῖέν τινες (τοῦτο δὲ οὐκ ἔστιν ἀρετή)· ἀπὸ ἀσκήσεως δὲ καὶ μελέτης τοῦ ἀγαθοῦ· οὐδείς· Εἰ δὲ τινες ἔδοξαν ἀγαθοὶ, ἀλλὰ πρὸς δόξαν πάντα ἐποίουν· ὁ δὲ δόξης ἕνεκα πράσσων, καὶ οὐ δι' αὐτὸ τὸ καλὸν, ὅταν καιρὸν εὕρῃ, τῇ πονηρᾷ ἐπιθυμίᾳ χρήσεται. Εἰ γὰρ παρ' ἡμῖν, καὶ γεέννης ἀπειλὴ, καὶ ἄλλη πᾶσα ἐπιμέλεια, καὶ βίοι ἀναριθμήτων ἁγίων, μόλις κατέχουσι τοὺς ἀνθρώπους ἐν ἀρετῇ· σχολῇ γε αἱ παρ' Ἕλλησι φλυαρίαι, καὶ μιαρίαι, τοὺς παρ' ἐκείνοις ἐν τῷ καλῷ καθέξουσι. Μέγα μὲν οὖν, εἰ καὶ μὴ παγκάκους ἐργάσαιντο.

« Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν, καὶ ἐβάπτιζεν. Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων

(a) In edit. Lut. deest Scripturæ textus, αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον.

ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ, ὅτι ὕδατα πολλὰ ἦν A ἐκεῖ, καὶ παρεγένοντο καὶ ἐβαπτίζοντο. Οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης. » Μέχρι μὲν ἡ ἑορτὴ τοῦ Πάσχα συνίστατο, ἐν Ἱεροσολύμοις ἦν ὁ Ἰησοῦς· ἐπεὶ δὲ παρῆλθεν αὕτη, ἐξῆλθεν ἐπὶ τὴν Ἰουδαίαν γῆν, καὶ πλησίον τοῦ Ἰορδάνου διέτριβεν, ἔνθα πολλοὶ συνέτρεχον. Οὐκ ἐζήτει δὲ τοὺς πολυοχλοῦντας τόπους διὰ φιλοτιμίαν κενὴν, ἢ ἐπίδειξιν. ἀλλὰ πλείοσι τὴν ὠφέλειαν καὶ τὸ ἀγαθὸν κοινοῦσθαι θέλων· ἐπεὶ καὶ εἰς τὰς ἑορτὰς ἀνέβαινε, δι' αὐτὸ τοῦτο, ὡς πλείονας ὠφελήσων καὶ λόγῳ, καὶ θαυμάτων ἐπιδείξεσιν. Ἀκούων δὲ ὅτι ἐβάπτιζε, μὴ αὐτὸν ἐκεῖνον νόμιζε βαπτίζειν, ἀλλὰ τοὺς αὐτοῦ μαθητάς· τὸ δὲ τῶν μαθητῶν ἔργον, εἰς τὸν Διδάσκαλον ἀναφέρει ὁ εὐαγγελιστής. Ἐπείτοι γε προϊὼν αὐτὸς οὗτος ὁ εὐαγγελιστὴς, φησὶν, ὅτι « Ἰησοῦς B οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ. » Ἐρωτᾷς δέ· Τίνος ἕνεκεν αὐτὸς οὐκ ἐβάπτιζε; Μάνθανε· Προλαβὼν εἶπεν ὁ Ἰωάννης, ὅτι « Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ· » Πνεῦμα δὲ ἅγιον οὔπω ἦν δεδωκὼς, διότι οὐδὲ καιρὸς ἦν. Εἰ τοίνυν ἐβάπτιζεν, ἢ χωρὶς Πνεύματος ἐβάπτιζεν ἄν, καὶ τί λοιπὸν διέφερε τοῦ Ἰωάννου; ἢ ἐδίδου ἂν Πνεῦμα καὶ πρὸ καιροῦ, ὅπερ ἀνάξιον τοῦ πάντα ἐν καιρῷ ποιοῦντος Θεοῦ. Τίς δὲ ἦν ὁ καιρὸς τῆς τοῦ Πνεύματος δόσεως; Ὁ μετὰ τὴν ἀνάληψιν. Ἔδει γὰρ ἐμφανισθῆναι τὴν ἀνθρωπίνην φύσιν τῷ Πατρὶ ἀναμάρτητον ἐν Χριστῷ Ἰησοῦ· καὶ οὕτω διαλλαγέντος τοῦ Θεοῦ πρὸς ἡμᾶς, τὸ Πνεῦμα ὡς πλοῦτον καὶ φιλοτιμίαν ἐπιπεμφθῆναι. Οἱ τοίνυν μαθηταὶ τοῦ Ἰησοῦ ἐβάπτιζον, ἵνα πλείους τῇ σωτηριώδει διδασκαλίᾳ προσάξωσι. Τούτων δὲ C βαπτιζόντων, καὶ ὁ Ἰωάννης ἔτι βαπτίζει, καὶ οὐκ ἐπαύσατο, δύο κατορθῶν ἐν ταυτῷ· ἓν μὲν, τὸ τοῖς προστρέχουσιν αὐτῷ περὶ Χριστοῦ λέγειν, καὶ προσάγειν αὐτοὺς αὐτῷ· ἕτερον δὲ, τὸ τοὺς μαθητὰς μὴ εἰς ζῆλον, καὶ πλείονα φιλονεικίαν ἐρεθίσαι. Εἰ γὰρ ἐπαύσατο τοῦ βαπτίζειν, τί οὐκ ἂν ἐποίησαν οἱ μαθηταὶ αὐτοῦ, φθονώτερον διακείμενοι πρὸς Χριστόν; Εἰ γὰρ μυριάκις βοῶν, καὶ τῶν πρωτείων ἀεὶ τῷ Χριστῷ παραχωρῶν, οὐκ ἔπεισεν αὐτοὺς αὐτῷ προσδραμεῖν· εἰς πόσον ἂν φθόνον οὐκ ἐκίνησεν αὐτοὺς, εἴγε τοῦ βαπτίζειν ἐπαύσατο; Διὸ καὶ ὁ Χριστὸς τότε μάλιστα ἤρξατο κηρύττειν, ὅτι Ἰωάννης κατεκλείσθη, διὰ τὸν φθόνον τῶν τοῦ Βαπτιστοῦ μαθητῶν. Οἶμαι δὲ καὶ τὴν τελευτὴν Ἰωάννου διὰ τοῦτο συγχωρηθῆναι ταχίστην γενέσθαι, ὥστε πᾶσαν τὴν τοῦ πλήθους διάθεσιν ἐπὶ τὸν Χριστὸν μετελθεῖν, καὶ μηκέτι ταῖς περὶ ἀμφοτέρων, Ἰωάννου καὶ Χριστοῦ, σχί- D ζεσθαι γνώμαις. Βαπτίζουσι τοίνυν οἱ τοῦ Χριστοῦ μαθηταὶ βάπτισμα μηδὲν πλέον ἔχον τοῦ βαπτίσματος Ἰωάννου. Ἄμφω γὰρ ἀτελῆ, ὡς τοῦ Πνεύματος ἄμοιρα· αἰτία μέντοι ἀμφοτέροις μία, τὸ προσάγειν Χριστῷ τοὺς βαπτιζομένους.

« Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίων περὶ καθαρισμοῦ. Καὶ ἦλθον πρὸς τὸν Ἰωάννην, καὶ εἶπον αὐτῷ· Ῥαββί, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε, οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. Ἀπεκρίθη, καὶ εἶπεν ὁ Ἰωάννης· Οὐ δύναται ἄν-

juxta Salim: quia aquæ multæ erant illic, et veniebant et baptizabantur. Nondum enim conjectus fuerat Joannes in carcerem.» Erat Jesus Hierosolymis usque ad festum Paschæ: et postquam illud præteriit, exivit in terram Judæam, et prope Jordanem versabatur, ubi multi conveniebant. Non quærebat autem populosa loca propter inanem gloriam, vel ostentationem: sed cupiebat pluribus suam bonitatem communicare, et usui esse: quoniam et eam ob causam ad festum ascenderat, utpote plurimis profuturus doctrina et miraculis. Audiens autem quod baptizarit, ne putes quod per se baptizarit, sed per discipulos. Hoc enim discipulorum opus in Magistrum refert evangelista. Nam in progressu idem hic evangelista dicit quod « Jesus non baptizarit, sed discipuli ejus. » Sed quæris, Quare non ipse baptizavit? Disce. Præoccupans dixit Joannes: « Ille vos baptizabit Spiritu sancto. » Spiritus autem sanctus nondum erat datus, eo quod nondum tempus erat. Igitur si baptizasset, vel absque Spiritu **847** baptizasset: quæ intercessisset inter ipsum et Joannem differentia? vel dedisset Spiritum, atque ante tempus, sed id indignum Deo, qui in tempore facit omnia. Quod autem tempus dandi Spiritum? Tempus post assumptionem. Oportebat enim ut humana natura Deo Patri demonstraretur a peccato immunis in Christo Jesu: atque ita Deo nobis reconciliato, Spiritus tanquam opulenta quædam liberalitas mitteretur. Proinde discipuli Jesu baptizabant, ut plures ad Salvatoris doctrinam adducerent. Unde et his baptizantibus, etiam Joannes baptizabat, et non cessabat, duo bona faciens: unum quidem, quia ad se venientes de Christo loquens ad illum adducebat; alterum vero, quia curabat ne discipuli sui in majorem zelum et contemptionem provocarentur. Si enim cessasset baptizare, quid non fecissent discipuli ejus, alioqui majore invidia Christum persequentes? Nam cum sæpe clamarit, et primas semper Christo tribuerit, non persuasit eis ut accederent ad illum: in quantam ergo invidiam impulisset, si cessasset baptizare? Idcirco et Christus tunc maxime cœpit prædicare, quando Joannes inclusus est, propter invidiam discipulorum Baptistæ. Opinor autem permissam Joannis mortem maturari, ut omnis populus paratus ad Christum transiret, et non dividerentur sententiæ de Christo et Joanne. Baptizant igitur discipuli Christi baptismo, qui nihil habebat amplius quam baptismus Joannis: ambo enim imperfecti, et nondum habentes Spiritum, eademque utrique causa, ut adducantur ad Christum baptizati.

VERS. 25-27. « Orta autem est quæstio ex discipulis Joannis cum Judæis de purificatione. Et venerunt ad Joannem et dixerunt ei: Rabbi, qui erat tecum trans Jordanem, cui tu testimonium perhibuisti, ecce is baptizat, et omnes veniunt ad eum. Respondit Joannes, et dixit: Non potest homo acci-

pere quiddam nisi fuerit ei datum e cœlo. » Facta est quæstio de baptismate adversus Judæum quemdam contendentibus discipulis Joannis. Nam Judæus quidem præferebat baptisma discipulorum Christi: discipuli autem Joannis baptisma sui magistri. Cum ergo de purificatione, hoc est baptismo, quæsitum esset, accedunt ad magistrum suum, et incipiunt obiter vellicare eum, dicentes : « Rabbi, qui erat tecum, » qui in ordine erat discipulorum, ut a te discessit, « baptizat: » – « Cui tu testimonium dedisti. » Hoc est, quem baptizasti, quem tu clarum fecisti, eadem nunc audet quæ tu. Sed et aliud : ad te nulli nunc veniunt, ad illum vero omnes: Omnes, inquit veniunt ad eum, contempto te. Joannes autem volens eos terrere, et ostendere quod pugnent contra Deum, prohibentes Christum, et abstrahentes a glorificatione ejus, dicit : « Non potest homo a se quidquam accipere, » etc. Nam nisi superne, inquit, datum esset, neutiquam crevisset is, cui **548** invidetis; et ita in duobus peccatis : nam et contrarii estis divino consilio, et attentatis impossibile. Interim autem et consolatur eos placide, eo quod non sit homo qui vincat ipsos, sed Deus. Quin et nos, inquit, superne habuimus quod habuimus, non a nobis. Quod si præclariora sunt quæ agit Christus, non oportet admirari. Deus enim vult.

VERS. 28-30. « Ipsi vos testes estis quod dixerim, Non sum ego Christus: sed missus sum ante illum. Qui habet sponsam, sponsus est : amicus autem sponsi, qui stat et audit eum, gaudio gaudet propter vocem sponsi. Hoc autem gaudium meum impletum est. Illum oportet crescere, me vero minui. » Ipsi, inquit, vos scitis quod ego testimonium dedi, quod major me sit. Igitur si omnino meum attenditis testimonium, discite illum mihi præferendum. Et hoc est gaudium meum, quod ad illum omnes accedant. Si quidem non accessisset ad sponsum sponsa, hoc est, populus, doluissem utique ego pronubus : nunc autem cum hoc fiat, valde gaudeo. Video enim sponsum Christum loquentem sponsæ, populo scilicet, et docentem ipsum. Non simpliciter autem dixit, « Qui stat. » Ostendit enim finem esse operum suorum, et stare jam non ultra operantem, et quod se nunc oportet stare, et solum audire Christum docentem, et disserentem sponsæ. Meum enim, inquit, opus perfectum est, et tradidi ipsi populum. Oportet igitur meam quidem gloriam imminui, illius autem augeri. Igitur quomodo imminuitur gloria Præcursoris? Vel omnino sicut lucifer a sole occultatur, et videtur quidem multis quod extinctum sit lumen, at revera non est exstinctum, sed a majori occultatur, ita et Præcursor velut lucifer a spirituali sole occultatus, imminui dicitur. Crescit autem Christus, secundum quod paulatim manifestat se per signa et miracula, non secundum profectum in virtutibus: absit: hoc enim Nestorii deliramentum esset: sed secundum ostensionem et manifestationem deitatis. Paulatim enim

A θρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. » Ἐγένετο ζήτησις περὶ τοῦ βαπτίσματος πρὸς Ἰουδαῖόν τινα φιλονεικούντων τῶν Ἰωάννου μαθητῶν. Ὁ μὲν γὰρ Ἰουδαῖος, τὸ βάπτισμα τῶν Χριστοῦ μαθητῶν προετίθει· οἱ δὲ μαθηταὶ Ἰωάννου, τὸ τοῦ διδασκάλου. Ζητήσαντες δὲ περὶ τοῦ καθαρισμοῦ, ἤτοι τοῦ βαπτίσματος, προσίασι τῷ αὐτῶν διδασκάλῳ. καὶ ἄρχονται παρακνίζειν αὐτὸν, λέγοντες· « Ῥαββὶ, ὃς ἦν μετὰ σοῦ, » ὃς τάξιν εἶχε μαθητοῦ, ἀποσχίσας « βαπτίζει. » — « Ὧι σὺ μεμαρτύρηκας, » ἀντὶ τοῦ, Ὃν σὺ ἐβάπτισας, ὃν σὺ λαμπρὸν ἐποίησας, τοιαῦτά (*a*) σοι τολμᾷ· ἀλλὰ καὶ ἕτερον, τὸ σοὶ μὲν μὴ προσέχειν τινὰς, αὐτῷ δὲ πάντας. Πάντες γὰρ, φησὶν, ἔρχονται πρὸς αὐτὸν, καταφρονήσαντές σου. Ἰωάννης δὲ θέλων αὐτοὺς ἐκφοβῆσαι, καὶ δεῖξαι,
B ὅτι τῷ Θεῷ πολεμοῦσι, κωλύοντες τὸν Χριστὸν, καὶ τοῦ δοξάζεσθαι αὐτὸν ἀπείργοντες, φησίν· « Οὐ δύναται ἄνθρωπος λαβεῖν ἐφ' ἑαυτοῦ οὐδὲν, » καὶ τὰ ἑξῆς. Εἰ γὰρ μὴ ἄνωθεν, φησὶ, δεδομένον ἦν, οὐκ ἂν ηὔξανεν ὁ παρ' ὑμῶν φθονούμενος. Ὥστε δύο ἁμαρτάνετε ἐν ταυτῷ· ἓν μὲν, τὸ ἐναντιοῦσθαι τῇ τοῦ Θεοῦ βουλῇ· ἕτερον δὲ, τὸ ἀδύνατον ἐπιχειρεῖν· Ἅμα δὲ καὶ ἠρέμα παραμυθεῖται αὐτοὺς, ὅτι Οὐκ ἄνθρωπός ἐστιν ὁ νικῶν ὑμᾶς, ἀλλὰ Θεός. Ἀλλὰ καὶ ἡμεῖς, φησὶν, ἄνωθεν εἴχομεν ὃ εἴχομεν, οὐκ οἴκοθεν. Εἰ δὲ λαμπρότερα τὰ τοῦ Χριστοῦ, οὐ χρὴ θαυμάζειν. Θεὸς γὰρ βούλεται.

« Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ἐμοὶ, ὅτι εἶπον· Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς, καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. Αὕτη οὖν
C ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. » Αὐτοὶ, φησὶν, ὑμεῖς γινώσκετε, ὅτι ἐγὼ μεμαρτύρηκα αὐτῷ, ὅτι μείζων ἐμοῦ ἐστιν. Εἰ οὖν ὅλως τῇ ἐμῇ μαρτυρίᾳ προσέχετε, μάθετε, ὅτι ἐκεῖνος ἐμοῦ προτιμητέος, καὶ τοῦτό ἐστιν ἡ ἐμὴ χαρὰ, τὸ ἐκείνῳ πάντας προσέρχεσθαι. Εἰ μὲν γὰρ μὴ προσήρχετο τῷ νυμφίῳ νύμφη, τουτέστιν, ὁ λαὸς, τότε ἂν ἤλγησα ἐγὼ ὁ νυμφαγωγός· νῦν δὲ τούτου γενομένου, χαρᾷ χαίρω. Βλέπω γὰρ τὸν νυμφίον Χριστὸν φωνοῦντα τῇ νύμφῃ, τῷ λαῷ, καὶ διδάσκοντα αὐτόν. Οὐχ ἁπλῶς δὲ εἶπε καὶ τὸ, « Ἑστηκώς. » Δείκνυσι γὰρ ὅτι τὰ αὐτοῦ πέπαυται, καὶ ἔστη, οὐκέτι ἐνεργοῦντα, καὶ ὅτι αὐτὸν λοιπὸν ἑστάναι χρὴ, καὶ μόνον ἀκούειν τοῦ Χριστοῦ διδάσκοντος,
D καὶ διαλεγομένου πρὸς τὴν νύμφην. Τὸ γὰρ ἐμὸν, φησὶν, ἔργον ἤνυσται, καὶ παρέδωκα αὐτῷ τὸν λαόν. Χρὴ τοίνυν τὴν ἐμὴν δόξαν ἐλαττοῦσθαι, τὴν δὲ ἐκείνου αὐξάνειν. Πῶς δὲ ἄρα ἐλαττοῦται ἡ δόξα τοῦ Προδρόμου; Ἢ πάντως, ὥσπερ ὁ ἑωσφόρος ὑπὸ τοῦ ἡλίου ἀποκρύπτεται, καὶ δοκεῖ μὲν τοῖς πολλοῖς, ὅτι ἔσβεσται τὸ φῶς, τῇ δὲ ἀληθείᾳ οὐκ ἔσβεσται, ἀλλ' ὑπὸ τοῦ μείζονος κρύπτεται, οὕτω καὶ Πρόδρομος ὁ ἑωσφόρος ὑπὸ τοῦ νοητοῦ ἡλίου κρυπτόμενος, ἐλαττοῦσθαι λέγεται· αὔξει δὲ ὁ Χριστὸς, καθὸ κατὰ βραχὺ ἐκφαίνει ἑαυτὸν διὰ τῶν θαυμάτων· οὐ κατὰ προκοπὴν τὴν ἐν ἀρετῇ αὔξων (μὴ γένοιτο! τοῦτο γὰρ Νεστορίου τὸ παραλήρημα), ἀλλὰ κατὰ

(*a*) **Interpres legit** τὰ αὐτά. **EDIT. PATR.**

τὴν ἔκφανσιν καὶ ἐπίδειξιν τῆς θεότητος. Κατ' ὀλίγον A γὰρ, ὅτι Θεός ἐστιν, ἐξέφαινε, καὶ οὐκ ἀθρόως. Πεπλήρωται οὖν, φησὶν, ἡ ἐμὴ χαρὰ ἐπὶ τῷ νυμφίῳ. Τὸ γὰρ ἔργον, ὃ ἐπιστεύθην ὡς νυμφαγωγὸς, ὁρῶ προχωρῆσαν. Πάσης τοίνυν ψυχῆς νυμφίος, ὁ Κύριος· νυμφὼν δὲ, ἔνθα ἡ συνάφεια γίνεται, ὁ τόπος τοῦ βαπτίσματος, ἤτοι ἡ Ἐκκλησία. Δίδωσι δὲ ἀῤῥαβῶνα τῇ νύμφῃ, ἁμαρτιῶν ἄφεσιν, Πνεύματος ἁγίου κοινωνίαν· τὰ δὲ τελειότερα ἐν τῷ μέλλοντι, ὅτε τὰ κρείττω καὶ ὑψηλότερα μυσταγωγήσει τοῖς ἀξίοις. Σημείωσαι δὲ, ὅτι οὐδεὶς ἄλλος ἐστὶ νυμφίος, εἰ μὴ μόνος ὁ Χριστός. πάντες δέ οἱ διδάσκοντες, νυμφαγωγοί εἰσιν, ὥσπερ οὖν καὶ ὁ Πρόδρομος. Οὐδεὶς γὰρ ἄλλος δωτήρ ἐστι τῶν ἀγαθῶν, εἰ μὴ ὁ Κύριος· οἱ δὲ ἄλλοι πάντες, μεσῖται, καὶ τῶν παρὰ τοῦ Κυρίου δεδομένων ἀγαθῶν διάκονοι. B

« Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν· ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ. Ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστί καὶ ὃ ἑώρακε, καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ· καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. Ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ. Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεός τὸ Πνεῦμα. » Συγκρίνει ἑαυτὸν ὁ Πρόδρομος τῷ Χριστῷ, καί φησιν, ὅτι Ἐκεῖνος μὲν ἄνωθεν ἔρχεται ἐκ τοῦ Πατρός, καὶ ἐπάνω πάντων ἐστὶν, ἐξῃρημένος πάντων καὶ τὴν Πατρῴαν ὑπεροχὴν ἀποσώζων· ἐγὼ δὲ ἐκ γῆς ὢν, γήϊνα λαλῶ, εὐτελῆ καὶ ταπεινὰ, ὡς πρὸς σύγκρισιν τῆς τοῦ Χριστοῦ διδασκαλίας. Ἐπείτοιγε καί τὰ αὐτοῦ τοῦ Προδρόμου, θεῖα ἦσαν· ὡς δὲ πρός τὰ τοῦ Χριστοῦ συγκρινόμενα, πολὺ τὸ χθα- C μαλὸν ἔχουσιν. Ἐκεῖνος, φησὶν, ὃ ἑώρακε καὶ ἤκουσε, λαλεῖ· τουτέστιν, ἃ παρὰ τοῦ Πατρὸς ἤκουσε, καὶ ἃ ἑώρακεν, ἤγουν, ἃ ἀκριβῶς οἶδεν, ἐκεῖνα λαλεῖ καὶ μαρτυρεῖ. Ἀλλὰ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς τῶν μὴ τῇ ἀληθείᾳ προσεχόντων λαμβάνει. Ὃς δὲ λάβῃ τὴν μαρτυρίαν, ἤτοι τὴν διδασκαλίαν αὐτοῦ, ἐσφράγισεν, ἀντὶ τοῦ, ἔδειξεν, ἐβεβαίωσεν, ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. Ὁ γὰρ τῷ παρὰ Θεοῦ ἀπεσταλμένῳ πιστεύων, τῷ Θεῷ πιστεύει, καὶ λοιπὸν σφραγίζει, καὶ ἀποδείκνυσιν, ὅτι ὡς ἀληθεῖ ὄντι ἐπίστευσεν· ὥσπερ οὖν πάλιν ὁ ἀπιστῶν τῷ παρὰ τοῦ Θεοῦ ἀπεσταλμένῳ, δεικνύει, ὅτι ψεύστης ἐστὶ, καὶ διὰ τοῦτο οὐκ ἐπίστευσεν αὐτῷ, οἷα δὴ ψευδομένῳ· ὥστε ὁ τῷ Χριστῷ πιστεύων, δείκνυσι τὸν Θεὸν ἀληθῆ, ἐξ αὐτοῦ τούτου πάντως, τοῦ πιστεῦσαι τῷ παρ' αὐτοῦ ἀπεσταλμένῳ. Πρόδηλον γὰρ, ὅτι ὡς ἀληθεῖ ὄντι D αὐτῷ ἐπίστευσε. καὶ εἰκότως. Οἱ μὲν γὰρ ἄλλοι πάντες, φησὶ, μέτρῳ τὴν ἐνέργειαν ἔλαβον τοῦ Πνεύματος· αὐτῷ δὲ τῷ Χριστῷ οὐκ ἐκ μέτρου δέδωκε μίαν τυχὸν ἢ δύο ἐνεργείας, ἀλλ' αὐτὸς τὸ Πνεῦμα ὁλόκληρον ἔχει οὐσιωδῶς. Τοῖς μὲν οὖν προφήταις ὁ Θεὸς καὶ δίδωσι τὸ Πνεῦμα, ἤτοι τὴν ἐνέργειαν τοῦ Πνεύματος, καὶ ἐν μέτρῳ δίδωσι· Χριστῷ δὲ οὔτε ἐν μέτρῳ, οὔτε ὅλως δίδωσιν· ἔχει γὰρ αὐτὸ οὐσιωδῶς ὁ Χριστός. Ὅταν δὲ ἀκούσῃς, ὅτι ὁ Χριστὸς, ἃ ἤκουσε παρὰ τοῦ Πατρὸς, ἐκεῖνα λαλεῖ, μὴ νόμιζε αὐτὸν ἐνδεᾶ ὄντα γνώσεως, παρὰ τοῦ Πατρὸς

A declaravit se Deum esse, et non repente simul. « Impletum igitur, inquit, meum gaudium in sponso. » Nam meum opus, quod mihi ut pronubo concreditum, video profecisse. Omnis igitur animæ sponsus, Dominus : thalamus autem ubi copula fit, locus baptismatis, hoc est, Ecclesia. Dat autem arrhabonem sponsæ, peccatorum remissionem, Spiritus sancti communionem: perfectiora vero in futuro, quando dignos in meliora et sublimiora introducet. Nota autem quod nullus alius est sponsus, quam solus Christus : omnes autem docentes pronubi sunt, sicut et Præcursor quoque. Nullus enim alius dator est bonorum, quam solus Dominus: alii autem omnes mediatores, et ministri bonorum quæ a Domino dantur.

B VERS. 32-34. « Qui e supernis venit, super 549 omnes est : qui a terra profectus est, terrenus est, et de terra loquitur. Qui e cœlo venit, supra omnes est, et quod vidit et audivit, hoc testatur, et testimonium ejus nemo accipit. Qui accipit ejus testimonium, is obsignavit quod Deus verax sit. Nam is quem misit Deus, verba Dei loquitur. Non enim ad mensuram dat Deus Spiritum » Comparat se Præcursor Christo, et dicit quod ille quidem e supernis venerit a Patre, et super omnes sit, egregius super omnes, et Paternam servans excellentiam: Ego autem qui de terra sum terrena loquor, vilia et humilia, si cum doctrina Christi conferantur. Quamvis auautem quæ a Præcursore fiebant, divina erant, collata tamen cum his quæ a Christo, valde humilia C apparebant. Ille, inquit, quod vidit et audivit, loquitur, hoc est, quæ a Patre audivit, et quæ vidit, hoc est, clare novit, illa loquitur et testatur. Et testimonium ejus nullus ex his qui veritatem non attendunt, recipit. Qui autem recipit testimonium, hoc est doctrinam, ejus, obsignavit, hoc est, monstravit et stabilivit, quod Deus verus sit. Qui enim credit ei qui a Deo missus est, Deo credit, et consequenter obsignat et demonstrat quod ei qui verax sit, crediderit: sicut e diverso qui non credit ei qui a Deo missus est, ostendit quod mendax sit, et propter hoc non credit ei, utpote mendax. Et ita qui Christo credit, ostendit quod Deus est verax, ex eo quod credidit ei qui ab ipso missus est. Manifestum enim quod illi ut veraci crediderit. Et merito. Nos enim alii omnes ad mensuram accepimus operationem Spiritus, ipsi D autem Christo non ad mensuram dedit unam vel duas virtutes, sed ipse Spiritum integrum habet substantialiter. Igituret prophetis dedit Deus Spiritum, hoc est, operationem Spiritus, et ad mensuram dedit : Christo autem non ad mensuram, et neque omnino dedit : habet enim illum Christus substantialiter. Quando autem audis quod Christus loquitur illa quæ audivit a Patre, ne putes illum indigere ut scientiam ab illo discat, sed quia quæcunque sic Filius, a Patre naturaliter scit, quasi illi consubstantialis, ejus gratia dicitur a Patre audire quæ scit: quemadmodum si videris filium patri

per omnia similem, dicis : Omnia a patre habet, hoc est, Nulli similis est quam patri. Audiens igitur missum esse, quasi radium intellige eum a sole, nempe Patre, ipsum missum esse. Nonne et ita dicere solemus, quod sol radios emiserit, hoc est, miserit in terram, et nusquam radium alterius substantiæ dicimus esse, vel posteriorem quam sol? Sic quoque et Filium missum esse a spirituali sole, scilicet Patre, huic mundo, veluti deradiationem, et radium, et lumen, et qualitercunque quantum congruit vocare illum volueris. Non 550 intempestivum autem fuerit hoc loco dicere quomodo habeat Filius Spiritum, et quomodo dicatur Spiritus Filii. Dicit enim et Apostolus: «Spiritum Filii sui in corda vestra misit, clamantem, Abba Pater [85]. » Et iterum : «Si autem quis Spiritum Christi non habuerit, hic non est ejus [86]. » Sane Latini male hæc exponentes (*a*), et minus recte intelligentes, dicunt quod Spiritus etiam ex Filio procedat. Nos autem hoc quidem primum dicimus ad eos, quod aliud sit esse ex quopiam, et aliud esse cujusdam: ut Spiritus est quidem Spiritus Filii absque dubio, et ab omni Scriptura hoc approbatum est; cæterum esse ex Filio, nulla Scriptura testatur, ut ne duo principia Spiritus introducamus Patrem et Filium. Profecto, inquiunt: nam et inspiravit discipulis, et dixit : « Accipite Spiritum sanctum [87]. » O desipientiam ! Si tunc dedit discipulis Spiritum quando insufflavit, quomodo postea dixit eis, «Accipietis virtutem supervenientis Spiritus sancti super vos, non post multos hos dies [88]; » vel quomodo in Pentecoste credimus factum descensum Spiritus, siquidem in vespera dici resurrectionis dedit illum? tunc enim inspiravit. At hæc quidem valde ridicula. Manifestum enim quod tunc illis Spiritum sanctum non dederit, sed donum unum Spiritus sancti, remissionem scilicet peccati Statim enim subdit : «Quorum remiseritis peccata.» Habet autem spiritum Filius substantialiter, ut consubstantialem sibi, non a quo operationem recipiat, sicut prophetæ. Dicitur autem Spiritus Filii secundum quod veritas est Filius, et virtus, et sapientia, Spiritus autem sanctus, et veritatis et fortitudinis et sapientiæ Spiritus ab Isaia describitur, et aliter, quia per Filium hominibus datur, propterea Filii dicitur. Crede igitur tu Spiritum a Patre quidem proficisci, per Filium autem dari creaturæ, atque hic sit tibi canon orthodoxæ doctrinæ.

A μανθάνειν· ἀλλ' ἐπεὶ πάντα, ὅσα εἶδεν ὁ Υἱὸς φυσικῶς, πάντα ἐκ τοῦ Πατρὸς ἔχει ὡς ὁμοούσιος αὐτῷ, τούτου ἕνεκεν λέγεται παρὰ τοῦ Πατρὸς ἀκούειν, ὅσα οἶδεν· ὥσπερ εἰ ἴδοις υἱὸν κατὰ πάντα τῷ πατρὶ ἐοικότα, λέγεις ὅτι Πάντα ἐκ τοῦ πατρὸς ἔχει, ἀντὶ τοῦ, Οὐδενὶ ἄλλῳ ὅμοιος ἀπέβη, ἢ τῷ πατρί· Ἀκούων δὲ ἀπεστάλθαι, ὡς ἀκτῖνα νόησον ἀπὸ τοῦ ἡλίου τοῦ, Πατρὸς, αὐτὸν ἀποσταλῆναι. Ἢ οὐχ οὕτω λέγομεν, ὅτι Ἀπέστειλε τὰς ἀκτῖνας ὁ ἥλιος ; καὶ Ἀφῆκε τὸ φῶς ὁ ἥλιος, ἀντὶ τοῦ, ἔπεμψε τῇ γῇ, Καὶ οὐδέ που τὴν ἀκτῖνα, ἑτέρας οὐσίας λέγομεν εἶναι, ἢ ὑστέραν τοῦ ἡλίου. Οὕτως οὖν καὶ τὸν Υἱὸν ἀπεστάλθαι τῷ κόσμῳ παρὰ τοῦ νοητοῦ ἡλίου, τοῦ Πατρὸς, ὡς ἀπαύγασμα καὶ ἀκτῖνα, καὶ φῶς, καὶ ὡς ἂν βούλοιο, καθ' ὅσον ἐγχωρεῖ, καλεῖν αὐτόν. Οὐκ ἄκαιρον δὲ εἰπεῖν, ἐνταῦθα τοῦ λόγου γενομένου, πῶς ἔχει ὁ Υἱὸς τὸ B Πνεῦμα, καὶ πῶς λέγεται τὸ Πνεῦμα τοῦ Υἱοῦ. Φησὶ γὰρ καὶ ὁ Ἀπόστολος· « Τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ὑμῶν ἀπέστειλε, κρᾶζον· Ἀββᾶ ὁ Πατήρ· » καὶ πάλιν, « Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. » Οἱ γὰρ Λατῖνοι, κακῶς ταῦτα ἐκδεχόμενοι καὶ παρανοοῦντες, φασὶν, ὅτι τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται. Ἡμεῖς δὲ πρῶτον μὲν τοῦτό φαμεν πρὸς αὐτοὺς, ὅτι ἄλλο ἐστὶ τὸ εἶναι ἔκ τινος, καὶ ἄλλο τὸ εἶναί τινος· οἷον, τὸ Πνεῦμα εἶναι μὲν τοῦ Υἱοῦ Πνεῦμα, ἀναμφίβολον, καὶ παρὰ τῆς Γραφῆς πάσης βεβαιούμενον· εἶναι δὲ ἐκ τοῦ Υἱοῦ, οὐδεμία Γραφὴ μαρτυρεῖ, ἵνα μὴ δύο τοὺς αἰτίους τοῦ Πνεύματος εἰσάξωμεν, τόν τε Πατέρα καὶ τὸν Υἱόν. Ναὶ, φασὶν, ἀλλ' ἐνεφύσησε τοῖς μαθηταῖς, καὶ εἶπε· « Λάβετε Πνεῦμα ἅγιον. » Βαβαὶ C τῆς παροινίας ! Εἰ τότε ἔδωκε τοῖς μαθηταῖς τὸ Πνεῦμα, ὅτε ἐνεφύσησε, πῶς λοιπὸν ἔλεγεν αὐτοῖς, ὅτι « Λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς οὐ μετὰ πολλὰς ταύτας ἡμέρας ; » ἢ πῶς ἐν τῇ Πεντηκοστῇ πιστεύομεν τὴν κάθοδον γενέσθαι τοῦ Πνεύματος, εἴγε ἐν τῇ ὀψίᾳ τῆς ἀναστασίμου ἡμέρας ἔδωκεν αὐτό ; τότε γὰρ δήπου ἐνεφύσησεν. Ἀλλὰ ταῦτα μέν ἐστι πλατὺς γέλως. Φανερὸν γὰρ, ὡς τότε αὐτοῖς οὐ τὸ ἅγιον Πνεῦμα δέδωκεν, ἀλλὰ χάρισμα ἓν τῶν τοῦ Πνεύματος, τὸ ἀφιέναι τὰς ἁμαρτίας. Εὐθὺς γὰρ ἐπάγει· « Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας. » Τὸ δὲ Πνεῦμα οὐσιωδῶς ἔχει ὁ Υἱὸς, ὡς ὁμοούσιον αὐτῷ, οὐχ ὡς ἐνεργούμενος ὑπ' αὐτοῦ· οἱ γὰρ προφῆται ἐνεργοῦνται. Λέγεται δὲ τὸ Πνεῦμα εἶναι τοῦ Υἱοῦ, καθὸ ἀλήθεια μέν ἐστιν ὁ Υἱὸς, καὶ δύναμις, καὶ σοφία· τὸ δὲ ἅγιον Πνεῦμα, καὶ ἀληθείας, καὶ ἰσχύος, καὶ σοφίας Πνεῦμα παρὰ τοῦ Ἡσαΐου ἀναγέγραπται. Καὶ ἄλλως δὲ, ἐπεὶ διὰ Υἱοῦ χορηγεῖται, τοῖς ἀνθρώποις, διὰ τοῦτο τοῦ Υἱοῦ λέγεται. Πίστευε σὺ τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς μὲν προϊέναι, δι' Υἱοῦ δὲ χορηγεῖσθαι τῇ κτίσει, καὶ οὗτος ἔσται σοι κανὼν ὀρθοδοξίας.

VERS. 35, 36. « Pater diligit Filium, et omnia dedit illi in manu. Qui credit in Filium, habet vitam æternam: qui autem incredulus est Filio, non videbit vitam, sed ira Dei manet super eum. » Postquam dixit de Christo sublimia, nunc iterum humilia loquitur, sermonem auditoribus attemperans, ut capi possit. Ideo dicit, Pater diligit Filium, quasi

« Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν Υἱόν, ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ, οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν. » Εἰπὼν περὶ τοῦ Χριστοῦ τὰ ὑψηλὰ, νῦν πάλιν τὰ ταπεινὰ φθέγγεται, εὐπαράδεκτον τὸν λόγον τοῖς ἀκροαταῖς ποιῶν. Διὰ τοῦτο, φησὶν, ἀγαπᾷ ὁ Πατὴρ τὸν Υἱόν, ὡς περὶ ἐν-

[85] Galat. IV, 6. [86] Rom. VIII, 9. [87] Joann. XX, 22. [88] Act. I, 5.

(*a*) Vide dissertationem præviam, num. XIX, col. 81. EDIT. PATR.

θρώπου τινὸς θαυμαστοῦ διαλεγόμενος, καὶ πάντα A δέδωκεν ἐν τῇ χειρὶ τοῦ Υἱοῦ, κατὰ τὸ ἀνθρώπινον. Εἰ δὲ καὶ κατὰ τὸ θεϊκὸν, τί τοῦτο; Δέδωκε ὁ Πατὴρ τὰ πάντα τῷ Υἱῷ, λόγῳ φύσεως, ἀλλ' οὐ χάριτος. Ἐπεὶ γὰρ καὶ τὸ εἶναι ἐκ τοῦ Πατρὸς ἔχει, εἰκότως καὶ πάντα ἐκ τοῦ Πατρὸς λέγεται ἔχειν. Ἔχει τοίνυν τὰ πάντα ὁ Υἱὸς, τά τε ἐν οὐρανῷ, τά τε ἐπὶ γῆς· δεσπόζει γὰρ ἁπάντων, κἂν μὴ βούλωνται. Ὕστερον μέντοι, ὅτε κατὰ τὴν δευτέραν παρουσίαν πᾶν γόνυ κάμψει αὐτῷ, τὴν παντελῆ δεσποτείαν πάντων λήψεται· ὅτε οὐκέτι ἡ κακία δύναμιν ἔχει, ἀλλ' ἀνενέργητος μένουσα, δείκνυσι τὴν φύσιν τοῦ ἀγαθοῦ ἐξ ἀρχῆς πᾶσιν ἐνοῦσαν, καὶ τὰ πάντα συνέχουσαν. « Ὁ πιστεύων εἰς τὸν Υἱὸν, ἔχει τὴν αἰώνιον ζωὴν ἐν αὐτῷ, » αὐτὸν λέγω τὸν Χριστὸν, B ὃς ζωή ἐστιν ἀληθῶς. « Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα. » — « Ὁ δὲ ἀπειθῶν οὐκ ὄψεται τὴν ζωήν. » Ὁ γὰρ ἀποστὰς ἑκουσίως τῆς ζωῆς, πῶς ἕξει αὐτὴν, ἥτις ἐστὶν ὁ Χριστός; Ὡς καὶ Παῦλός φησιν· « Ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς, οἱ πρὸς τὴν κακίαν νεκροὶ καὶ ἀκίνητοι γενόμενοι, φανερωθήσεσθε ἐν δόξῃ. » — « Ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν, » Οὐκ εἶπεν, ὅτι μενεῖ αὐτὸν, ἀλλ', « ἐπ' αὐτὸν, » δεικνὺς ὅτι οὐδέποτε αὐτοῦ ἀποστήσεται. Ἵνα γὰρ μὴ ἀκούσας θάνατον, πρόσκαιρον τοῦτον νοήσῃς, φησὶν, ὅτι « μενεῖ ἐπ' αὐτὸν, » ἐπὶ τὸν ἀπειθήσαντα, καὶ ἀΐδιος ἔσται ἡ κόλασις. Διὰ τούτων δὲ πάντων τῶν ῥημάτων ἐνάγει ὁ Βαπτιστὴς καὶ συνωθεῖ τοὺς ἀκούοντας πάντας εἰς τὴν τοῦ Χριστοῦ πίστιν. Οὐ γὰρ μάτην C ταῦτά φησιν, ἀλλὰ καὶ τοὺς οἰκείους μαθητὰς καὶ τοὺς ἄλλους πάντας παιδεύει, μηκέτι φθονεῖν τῷ Χριστῷ, ἀλλ' ὡς Θεῷ προσέχειν.

de homine quodam admirabili loquens. Et omnia dedit in manu Filii juxta humanitatem. Si autem et secundum divinitatem, quid hoc? Dedit Pater omnia Filio ratione naturæ, sed non gratiæ; quoniam enim et esse a Patre habet, merito et omnia dicitur a Patre habere. Habet igitur omnia Filius, tam quæ in cœlo, quam quæ in terra. Dominatur enim omnibus, etiamsi quidam nolint. Postea vero in secundo adventu, quando omne genu flectetur ei, perfectum omnium accipiet dominium: quando malitia non ultra habebit 881 virtutem, sed inefficax manens ostendet naturam boni a principio omnibus insitam, et omnia continentem. Qui credit in Filium, habet vitam æternam in ipso, » ipsum dico Christum, qui vere vita est. « In ipso enim vivimus et movemur [91]. » « Qui autem incredulus est, non videbit vitam. » Nam qui sponte recessit a vita, quo pacto habebit eam, quæ est Christus? sicut et Paulus inquit: « Quando Christus manifestabitur vita nostra, tunc et vos qui ad malitiam mortui et immobiles facti, manifestabimini in gloria [92]. » — « Sed ira Dei manet super illum. » Non dixit quod maneat illum, sed super illum, ostendens quod nunquam ab eo recedat. Ut ne mortem credas temporalem, dicit quod maneat super eum qui incredulus fuerit, et perpetuum erit supplicium. Per omnia autem verba hæc inducit Baptista et compellit auditores omnes ad fidem Christi. Non enim in vanum hæc dixit, sed suos discipulos et alios omnes instruit ne invideant Christo, sed et Deo auscultent.

## ΚΕΦΑΛ. Δ'.

Περὶ τῆς Σαμαρείτιδος. Περὶ τοῦ υἱοῦ τοῦ βασιλικοῦ.

« Ὡς οὖν ἔγνω ὁ Κύριος ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει, ἢ Ἰωάννης (καίτοι γε αὐτὸς ὁ Ἰησοῦς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ), ἀφῆκε τὴν Ἰουδαίαν γῆν, καὶ ἀπῆλθε πάλιν εἰς τὴν Γαλιλαίαν. Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας. » Ὁ φιλάνθρωπος, ἅπαξ δι' ἡμᾶς σαρκωθεὶς, πάντα πρὸς ἡμετέραν ὠφέλειαν διαπράττεται. Ἀμέλει καὶ νῦν D ἀκούσας, ὅτι οἱ Φαρισαῖοι περὶ τῆς δόξης αὐτοῦ ἤκουσαν, καὶ γνοὺς, ὅτι εἰς φθόνον κινηθήσονται τὸν κατ' αὐτοῦ, ὑποχωρεῖ εἰς τὴν Γαλιλαίαν· δύο ταῦτα διδάσκων ἡμᾶς· ἓν μὲν, τὸ φείδεσθαι τῶν ἐχθρῶν, καὶ πάντα τρόπον πειρᾶσθαι μὴ διδόναι αὐτοῖς ἀφορμὴν σκανδάλου ἢ φθόνου· ἕτερον δὲ, τὸ μὴ ἐπιῤῥίπτειν ἑαυτοὺς τοῖς πειρασμοῖς ἀνοήτως καὶ ἀνονήτως, ἀλλ' ὑποχωρεῖν πρὸς καιρὸν, μέχρις ἂν ἡ μανία ῥαΐσῃ. Καίτοι δὲ δυνατὸς ὢν ἐπισχεῖν τοὺς αὐτῷ φθονοῦντας, κἂν εἰ κατ' αὐτοῦ ὥρμησαν, ὅμως ὑπεξίσταται, ὥστε μὴ φαντασίαν δόξαι τὴν οἰκονομίαν τῆς σαρκός. Εἰ γὰρ συχνάκις διὰ μέσου αὐτῶν ἐξήρχετο, τί οὐκ ἂν εἶπον οἱ Φαντασιοδοκῆται,

## CAPUT IV.

*De Samaritana. De filio reguli.*

VERS. 1-4. « Ut cognovit Dominus audisse Pharisæos quod Jesus plures discipulos faceret ac baptizaret quam Joannes (quanquam Jesus ipse non baptizaret, sed discipuli ejus), reliquit Judæam terram, et abiit iterum in Galilæam. Oportebat autem eum transire per Samariam. » Misericors Dominus semel propter nos incarnatus, omnia ad nostram salutem facit. Itaque et nunc cum audisset quod Pharisæi de gloria ipsius audiverint, et sciret contra ipsum ad invidiam concitandos, secedit in Galilæam, duo nos docens: unum quidem, ut parcamus inimicis, et omni modo tentemus non dare eis occasionem scandali vel invidiæ; alterum, ne injiciamus nos in tentationem insipienter et inutiliter, sed secedamus ad tempus, donec insania resideat. Quamvis autem potens sit cohibere invidentes sibi, etiamsi impetu quodam nunc urgerent, non tamen hoc egit, ne videretur phantasticum habere corpus: si enim sæpe per medium illorum exiisset, quid non dixissent Phantasiodocetæ, Manichæi, inquam, et Valentiniani et Eutychiani? Insi-

[91] Act. XVII, 28. [92] Coloss. III, 4.

nuans autem evangelista invidiam pronam esse ad calumniam, dicit, quamvis Jesus non baptizarit, invidi tamen volentes concitare Pharisæos contra Christum, calumniabantur eum quasi baptizasset. « Oportebat autem ipsum transire per Samariam. » Veluti obiter et non destinato itinere Samaritanos adibat. Vide enim quod non dixerit, Oportebat ipsum abire in Samariam, sed, « transire per Samariam. » Volebat enim occasionem omnem calumniæ Judæis exscindere, ut dicere 552 non possint quod, relictis eis, concesserit ad gentes, quas abominabantur. Quando autem abegerunt eum, tunc accessit ad gentiles, et neque tunc ex proposito, sed obiter.

VERS. 5, 6. « Venit ergo in civitatem Samariæ quæ dicitur Sychar, juxta prædium quod dedit Jacob Joseph filio suo [93]. Erat autem ibi fons Jacob. » Operæ pretium fuerit dicere unde Samaritani originem duxerint, et unde appellationem illam sortiti fuerint. Somor enim mons vocabatur ab eo a quo possidebatur, sicut et Isaias dicit : « Et caput Somor Ephraim [94]. » Qui autem ad montem illum habitabant, primum non vocabantur Samaritani, sed Israelitæ dicebantur [95]. Cum autem offendissent Deum, traditi sunt variis temporibus Assyriis. Tandem Assyrius, cum defectionem meditarentur, supervenit tenuitque captivos, et non ultra in suam regionem abire permisit, suspicans iterum defecturos : sed illos quidem transtulit in Babylonios et Medos, Samariam autem gentibus ex diversis locis congregatis coloniam dedit. Porro quum hæc facta essent, Deus monstrare volens barbaris quod non propter impotentiam, sed propter peccata illis Judæos servire fecerit, immisit leones in eos, qui in Samaria habitant, barbaros, qui illos perdebant omnes. Rex vero cum hoc audisset, misit ad quosdam ex senioribus Judæis, et rogavit quid faciendum, ut non ultra leones perdant eos, qui in Samaria, barbaros. Illi autem enarrabant Deum Israel suspicere locum illum, et non sinere habitare illic eos qui sua legitima ignorent. Igitur si curæ sibi sint barbari qui illic, mittat Judæos sacerdotes qui Dei legitima barbaris tradant, et sic placent Deum. Obtemperat illis rex, et mittit sacerdotem quemdam traditurum his, qui in Samaria, barbaris legem Dei. At illi non omnes libros divinos receperunt, sed tantum quinque libros Moysis, Genesim, Exodum, Leviticum, Numeros et Deuteronomium: neque perfecte ab impietate discesserunt, et posterioribus quidem temporibus abstiterunt ab idolorum cultu, Deumque coluerunt. Itaque Judæi a captivitate regressi æmulabantur illos, utpote Assyrios genere, et a monte Samaritanos vocabant. Ille vero Abraham et Jacob progenitores suos nominabant : quoniam Abraham Chaldæus fuerat, et Jacob, pro-

A οἱ περὶ Μάνεντα, λέγω, καὶ Οὐαλεντῖνον, καὶ τὸν κατάρατον Εὐτυχῆ; Αἰνιττόμενος δὲ ὁ εὐαγγελιστὴς τὸ τοῦ φθόνου συκοφαντικὸν, φησὶν, ὅτι καίτοι γε ὁ Ἰησοῦς οὐκ ἐβάπτιζεν, ἀλλ' ὅμως οἱ φθονοῦντες, βουλόμενοι ὑποκνίζειν τοὺς Φαρισαίους κατὰ Χριστοῦ, ἐσυκοφάντουν αὐτὸν ὡς βαπτίζοντα. « Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας. » Ὡς πάρεργον γὰρ ὁδοῦ ἐποιεῖτο τοὺς Σαμαρείτας. Ὅρα γὰρ ὅτι οὐκ εἶπεν, Ἔδει αὐτὸν ἀπέρχεσθαι εἰς Σαμάρειαν, ἀλλὰ, « διέρχεσθαι διὰ τῆς Σαμαρείας. » Ἐβούλετο γὰρ πρόφασιν πᾶσαν κατηγορίας τοῖς Ἰουδαίοις ἐκκόψαι, ὥστε μὴ ἔχειν αὐτοὺς λέγειν, ὅτι ἀφεὶς αὐτοὺς εἰς τὰ ἔθνη τὰ βδελυκτὰ μετῆλθεν. Ὅταν γὰρ ἀπήλαυνον αὐτὸν, τότε τοῖς ἐθνικοῖς παρέβαλε· καὶ οὐδὲ τότε προηγουμένως, ἀλλ' ἐκ
B παρέργου.

« Ἔρχεται οὖν εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Συχὰρ, πλησίον τοῦ χωρίου, ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. Ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. » Ἄξιον εἰπεῖν, πόθεν οἱ Σαμαρεῖται συνέστησαν, καὶ πόθεν τὴν προσηγορίαν ταύτην ἔλαβον. Σομὸρ τὸ ὄρος ἐκαλεῖτο ἀπὸ τοῦ κτησαμένου αὐτὸ, καθὰ καὶ Ἡσαΐας φησίν· « Ἡ κεφαλὴ Σομόρων Ἐφραΐμ. » Οἱ δὲ ὑπὸ τὸ ὄρος οἰκοῦντες, οὐ Σαμαρεῖται τὸ πρῶτον, ἀλλ' Ἰσραηλῖται ἐλέγοντο. Προσκρούσαντες δὲ τῷ Θεῷ, παρεδόθησαν κατὰ διαφόρους καιροὺς τοῖς Ἀσσυρίοις. Τέλος δὲ ὁ Ἀσσύριος ἐπελθὼν αὐτοῖς, ἀποστασίαν μελετήσασιν, εἷλέ τε αὐτοὺς, καὶ οὐκ ἔτι μένειν κατὰ χώραν ἀφίησιν, ὑποπτεύων τὴν αὖθις ἀποστασίαν· ἀλλὰ τούτους μὲν εἰς Βαβυλωνίους
C καὶ Μήδους μετήγαγεν, ἐκεῖθεν δὲ ἔθνη ἐκ διαφόρων τόπων ἀγαγὼν, κατῴκισεν ἐν τῇ Σαμαρείᾳ. Τούτων δὲ γενομένων, βουλόμενος ὁ Θεὸς δεῖξαι τοῖς βαρβάροις, ὅτι μὴ δι' ἀσθένειαν, ἀλλ' δι' ἁμαρτίαν ἐξέδωκε τοὺς Ἰουδαίους αὐτοῖς, ἐπαφίησι λέοντας τοῖς μετοικισθεῖσιν ἐν Σαμαρείᾳ βαρβάροις, οἵτινες τούτους ἐλυμαίνοντο ἀπαξάπαντας. Ἀπαγγελθέντος δὲ τούτου τῷ βασιλεῖ, μεταστέλλεταί τινας τῶν ἐν αἰχμαλωσίᾳ γερόντων Ἰουδαίων, καὶ ἐρωτᾷ, τί ποιητέον εἴη, ἂν μηκέτι οἱ λέοντες λυμαίνωνται τοὺς ἐν τῇ Σαμαρείᾳ βαρβάρους. Οἱ δὲ ὑφηγοῦνται αὐτῷ, ὅτι ὁ Θεὸς τοῦ Ἰσραὴλ ἐφορᾷ τὸν τόπον ἐκεῖνον, καὶ οὐκ ἀνέχεται κατοικεῖν ἐκεῖ τοὺς μὴ τὰ αὐτοῦ εἰδότας νόμιμα. Εἴ τι οὖν αὐτῷ μέλει τῶν ἐκεῖ βαρβάρων,
D στεῖλαι ἱερεῖς Ἰουδαίους, οἳ τὰ τοῦ Θεοῦ νόμιμα τοῖς βαρβάροις παραδώσουσιν, καὶ οὕτως ἐξιλεωθήσεσθαι τὸν Θεόν. Πείθεται τούτοις ὁ βασιλεὺς, καὶ πέμπει ἱερέα τινὰ παραδώσοντα τοῖς ἐν Σαμαρείᾳ βαρβάροις τὸν τοῦ Θεοῦ νόμον. Οἱ δὲ πάντα μὲν τὰ θεῖα βιβλία οὐκ ἐδέξαντο, μόνα δὲ τὰ πέντε τοῦ Μωσέως, τὴν Γένεσιν, τὴν Ἔξοδον, τὸ Λευϊτικὸν, τοὺς Ἀριθμοὺς καὶ τὸ Δευτερονόμιον. Ἀλλ' οὐδὲ τελείως τῆς δυσσεβείας ἀπέστησαν· χρόνοις δὲ ὕστερον τῶν μὲν εἰδώλων ἀπέστησαν, ἐσέβοντο δὲ τὸν Θεόν. Οἱ τοίνυν Ἰουδαῖοι ἐκ τῆς αἰχμαλωσίας ἐπανελθόντες ζηλοτύπως ἀεὶ πρὸς αὐτοὺς εἶχον, ἅτε Ἀσσυρίους ὄντας τὸ γένος, καὶ ἀπὸ τοῦ ὄρους Σαμαρείτας αὐτοὺς

93 Gen. XLVIII, 22. 94 Isa. VII, 9. 95 IV Reg. XVII, 6.

ἐκάλουν. Ἐκεῖνοι δὲ τοῦ Ἀβραὰμ καὶ Ἰακὼβ ἐαυ- A τοὺς ἀπογόνους ὠνόμαζον. Ὅ τε γὰρ Ἀβραὰμ Χαλδαῖος ἦν, ὅ τε Ἰακὼβ διὰ τὴν ἐκεῖσε πηγὴν οἰκεῖος αὐτοῖς ἐλογίζετο. Οἱ γοῦν Ἰουδαῖοι μετὰ πάντων τῶν ἐθνικῶν καὶ αὐτοὺς ἐβδελύσσοντο· ὅθεν καὶ τῷ Κυρίῳ προσονειδίζοντες ἔλεγον· « Σαμαρείτης εἶ. » Καὶ αὐτὸς δὲ τοῖς μαθηταῖς ἔλεγε· « Εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. » Τίνος δὲ ἕνεκεν ὁ εὐαγγελιστὴς περὶ τοῦ χωρίου τοῦ Ἰακὼβ καὶ τῆς πηγῆς ἀκριβολογεῖται; Πρῶτον μὲν, ἵνα ὅταν ἀκούσῃς τῆς γυναικὸς λεγούσης, ὅτι « Ἰακὼβ ὁ πατὴρ ἡμῶν ἔδωκεν ἡμῖν τὴν πηγὴν ταύτην, » μὴ ξενισθῇς. Ὁ γὰρ τόπος ἐκεῖνος ἦν τὰ Σύκιμα, ἔνθα οἱ υἱοὶ Ἰακὼβ Συμεὼν καὶ Λευὶ τὸν χαλεπὸν ἐκεῖνον εἰργάσαντο φόνον, διὰ τὸ τὴν ἀδελφὴν αὐτῶν Δεῖναν βιασθῆναι ὑπὸ τοῦ Συκιμιτῶν ἄρχοντος. B Ἔπειτα δὲ καὶ τοῦτο μανθάνομεν ἀπὸ τοῦ τὸν εὐαγγελιστὴν καταλέγειν ἡμῖν τὰ περὶ τοῦ χωρίου καὶ τῆς πηγῆς, ὅτι ἡ τῶν Ἰουδαίων ἀποβολὴ πάλαι ἐγένετο διὰ τὰς ἁμαρτίας αὐτῶν· καὶ προσκρουσάντων αὐτῶν τῷ Θεῷ, οἱ ἐθνικοὶ κατέσχον τοὺς τόπους· καὶ ἃ οἱ πατριάρχαι διὰ τὴν εἰς Χριστὸν πίστιν ἐκτήσαντο, ταῦτα αὐτοὶ διὰ τὴν δυσσέβειαν ἀπώλεσαν. Ὥστε οὐδὲν καινὸν, οὐδὲ νῦν εἰ οἱ ἐθνικοὶ ἀντὶ τῶν Ἰουδαίων εἰσήχθησαν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Τὸ δὲ χωρίον ὃ ἔδωκεν Ἰακὼβ τῷ Ἰωσὴφ, Σύχιμα ἔλεγετο. Ἐπεὶ γὰρ οἱ παῖδες τοῦ Ἰακὼβ τοὺς Συκιμίτας ἀπολέσαντες, τὴν πόλιν ἐξερήμωσαν, ταύτην δὴ τὴν ἐξερημωθεῖσαν δέδωκεν εἰς κλῆρον τῷ Ἰωσὴφ ὁ πατήρ.

pter fontem quem illic habuerat, proprius illorum putabatur. At Judæi cum gentibus aliis etiam istos abominabantur: unde et Domino opprobrantes dicebant, « Samaritanus es [96]. » Et ipse discipulis suis dicebat, « In civitatem Samaritanorum ne intraveritis [97]. » Quare autem evangelista de loco Jacob et fonte tam diligenter disserit? Primum quidem, ut quando audieris dicentem mulierem, « Pater noster Jacob dedit nobis fontem illum, » ne mireris. Locus enim ille erat 553 Sycima, ubi filii Jacob Simeon et Levi gravem illam cædem commiserunt [98], eo quod sororem illorum Dinam oppresserat Sycimorum princeps. Insuper et hoc discimus, ex eo quod evangelista nobis narrat ea quæ de fonte et loco, quod etiam olim rejecti fuerint propter peccata sua Judæi, et cum offendissent Deum, gentes illorum loca possederint: et quæ patriarchæ propter suam in Deum fidem possederant, ea illi propter impietatem amiserunt: et ita nihil novum si et nunc gentiles pro Judæis in regnum cœlorum sint introducti. Prædium autem quod dedit Jacob Joseph, Sycima dicebatur. Quoniam enim filii Jacob Sycimitas perdiderant, et civitatem desolaverant: eam utpote desolatam pater in hæreditatem filio Joseph dedit

C « Ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ. Ὥρα ἦν ὡσεὶ ἕκτη. Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Δός μοι πιεῖν. Οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσιν. » Κεκοπιακέναι τὸν Κύριον ἐκ τῆς ὁδοιπορίας φάσκων ὁ εὐαγγελιστὴς, δείκνυσιν ἡμῖν ἅμα μὲν τὸ ἄτυφον αὐτοῦ καὶ ἀπέριττον (οὐδὲ γὰρ ὑποζυγίοις ἐχρᾶτο πρὸς τὴν ὁδοιπορίαν, ἀλλὰ πεζὸς ὥδευε, παιδεύων καὶ ἡμᾶς τὸ μὴ πολλῶν δεῖσθαι), ἅμα δὲ καὶ τὸ συντόνως αὐτὸν ὁδεύειν καὶ μὴ ῥαθύμως. Ἐξ οὗ μανθάνομεν καὶ ἡμεῖς τὸ μετὰ συντονίας καὶ ἐπιμελείας πράττειν τὸ ἔργον τοῦ Θεοῦ. Τὸ δὲ, « Ἐκαθέζετο οὕτω, » σημαίνοι ἂν τὸ ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ ὅτι οὐκ ἐπὶ θρόνου, ἀλλ' οὕτως, ἀφελῶς δηλονότι, ἐπὶ ἐδάφους ἀναπαύων τὸ D σῶμα, καὶ παρὰ τῇ πηγῇ ἀναψύχων αὐτό. Εἶτα καὶ ἑτέραν αἰτίαν εἰσάγει τοῦ καθῆσθαι αὐτὸν παρὰ τῇ πηγῇ, τὸ εἶναι σταθερὰν μεσημβρίαν. « Ὥρα γὰρ, φησίν, ἦν ὡσεὶ ἕκτη. » Ὥστε καὶ διὰ τὸ τῆς ὥρας θαλπεινὸν ἐδεῖτο ἀναπαύσεώς τε καὶ ἀναψύξεως. Καὶ ἄλλως δέ· ἵνα μή τις αἰτιάσηται τὸν Κύριον, πῶς τοῖς μαθηταῖς αὐτοῦ ἐγκελευόμενος εἰς ὁδὸν ἐθνῶν μὴ ἀπελθεῖν, αὐτὸς εἰς Σαμαρείτας ἔρχεται, διὰ τοῦτό φησιν, ὅτι ἡ ἐπὶ τοῦ τόπου καθέδρα διὰ τὸν κόπον γέγονε, καὶ ὅτι ἡ πρὸς τὴν γυναῖκα διάλεξις εὔλογον εἶχεν ἀφορμὴν, τὸ δίψος. Ἐπεὶ γὰρ ἐδίψα ἀκολούθως κατὰ τὸ ἀνθρώπινον, ἐδεῖτο καὶ ποτοῦ. Ζητοῦντι δὲ ὁμιλεῖ τὸ γύναιον ὁμιλίαν ψυχῆς φιλο-

Vers. 6-8. « Jesus ergo fatigatus ex itinere, sedebat sic super fontem. Hora erat ferme sexta; venit mulier Samaritana, ut hauriret aquam, Dicit ei Jesus: Da mihi quod bibam. Nam discipuli ejus abierant in civitatem ut cibos emerent. » Fatigatum Dominum ex itinere narrans evangelista, ostendit nobis Dominum a fastu et rerum abundantia alienum fuisse. Non enim jumentis utebatur ad iter, sed pedes ibat, instruens etiam nos non multis opus habere. Insuper dicit et ipsum incidere strenue, et non ignaviter. Ex quo discimus et nos ut cum constantia et diligentia faciamus opus Dei. Quod autem sedebat sic, significat simpliciter, et ut forte obveniebat, et non super sede, sed simpliciter videlicet super pavimento, refocillans corpus, et apud fontem se recreans. Deinde et aliam causam inducit quare sederit apud fontem. Erat enim tempus meridianum: « Hora enim, inquit, erat quasi sexta: » atque etiam propter horæ calorem opus habebat rifrigerio et recreatione. Vel aliter dicit, ut ne quis reprehenderit Dominum, quomodo, cum præcipisset discipulis ut ne viam gentium ingrederentur, ipse ad Samaritanos venerit: idcirco dicit quod sedens in loco propter fatigationem fuerit, et quod colloquium cum muliere rationabilem habuerit causam, sitim scilicet. Quoniam enim sitiebat, consequenter humano more indigebat et potu. Quærenti autem occurrit mulier, anima discendi avida. Quid igitur opus erat facto? repelleretne mulierem

[96] Joan. VIII, 6. [97] Matth. X, 5. [98] Gen. XXXIV, 27.

adeo studiosam, colloquentem et sitientem ea de quibus dubitabat, ut audiret? Absit. Non fuisset hoc divinæ misericordiæ. Vide autem, oro, et ex hoc quàm procul a fastu fuerit Dominus. Solus enim relinquitur in via, cum discipuli abivissent in civitatem ut emerent alimenta. Usque adeo enim nullam curam ventris agebant, ut quo tempore ferme omnes a prandio dormiunt, illi cibos emerent, et panes duntaxat : ut et nos discamus varietatem ciborum parvi facere. Vide obsecro, et diligentiam evangelistæ. 654 Neque enim dixit affirmative, Hora erat sexta, sed ut minus a veritate excidat, ferme sexta, inquit, securum faciens sermonem.

Vers. 9-11. «Dicit illi mulier Samaritana : Quomodo tu, Judæus cum sis, potum a me poscis, quæ sum mulier Samaritana? Non enim commercium habent Judæi cum Samaritanis. Respondit Jesus, et dixit ei : Si scires donum Dei, et quis sit qui dicit tibi, Da mihi quod bibam, tu petisses ab eo, et dedisset tibi aquam vivam. Dicit ei mulier : Domine, neque quo haurias habes, et puteus profundus est: unde ergo habes aquam illam vivam? » Ab habitu et veste forsitan, et alia corporis forma, et colloquio ipso existimavit Samaritana Judæum esse Dominum; ideo et ad ipsum dicit : « Quomodo tu Judæus cum sis, » etc. Vide autem quomodo circumspecta fuerit mulier. Nam si cavere oportebat, Dominum oportebat, non illam. Non enim dixit quod Samaritani consuetudinem non habent cum Judæis, sed, Judæi non habent consuetudinem cum Samaritanis. Attamen neque sic tacet, sed existimans Dominum rem illicitam facere, corrigit quod præter legem fiebat. Christus autem non prius manifestat se, quam virtus mulieris monstretur. Postquam autem indicata est mulieris virtus, et quod tam circumspecta et diligens esset, tunc tandem incipit loqui cum ea de sublimibus : « Si scires enim, inquit, donum Dei, » hoc est, si cognosceret quid donet Deus, nempe æterna et incorruptibilia : scires autem et me, quod cum Deus sim, ut possim hæc tibi dare : tu quæsivisses utique et accepisses aquam vivam. Gratiam autem Spiritus sancti aquam dicit esse, propterea quod purificat et multum refrigerii præbet suscipientibus. Porro aquam dicit non stantem, qualis est in puteis et lacubus, putris et corrupta, sed vivam, hoc est scaturientem, et quæ moveatur. Nam gratia Spiritus semper agilem ad bonum facit animam, ascensiones semper disponentem. Talem aquam bibit Paulus viventem et semper mobilem, cum oblivisceretur eorum quæ post se, et ad anteriora se extenderet. « Dicit ei mulier : Domine. » Vides quomodo statim ab humili cogitatu desistens, magnum ei honorem attribuat, Dominum vocando? Neque tamen in profundum verborum Christi venerat. Nam aliter quidem ille dicit, aliter autem illa intelligit verba de aqua.

A μαθοῦς. Τί οὖν λοιπὸν ἔδει ποιῆσαι; ὑπεκλέπτετο τὴν γυναῖκα οὕτω φιλομαθῶς διακειμένην, καὶ ἀφεῖσαν ἀκοῦσαι τῶν ἐφ' οἷς ἠπόρει; Ἄπαγε! οὐ Θεοῦ φιλανθρωπίας τοῦτο. Ὅρα δέ μοι καὶ ἀπὸ τούτου τὸ ἄτυφον τοῦ Κυρίου. Μόνος γὰρ καταλιμπάνεται ἐπὶ τῆς ὁδοῦ, τῶν μαθητῶν ἀπελθόντων εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. Τοσοῦτον γὰρ ἐν δευτέρῳ τὰ τῆς γαστρὸς ἐτίθεντο, ὥστε ἐν ᾧ καιρῷ πάντες σχεδὸν καὶ ὑπνώττουσι μετὰ τὸ ἀριστῆσαι, οὗτοι τροφὰς ἠγόραζον, ἄρτους δηλαδὴ μόνους, ἵνα καὶ ἡμεῖς μάθωμεν τῆς ποικιλίας τῶν ἐδεσμάτων ὀλιγωρεῖν. Ὅρα δέ μοι καὶ τὴν ἀκρίβειαν τοῦ εὐαγγελιστοῦ. Οὐδὲ γὰρ εἶπεν ἀποφαντικῶς, Ὥρα ἦν ἕκτη, ἀλλὰ διὰ τὸ μὴ ἀποπεσεῖν τῆς ἀληθείας, « ὡσεὶ ἕκτη, » ἔφη, τὸ ἀσφαλὲς τῷ λόγῳ προμηθούμενος.

B « Λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις· Πῶς σὺ Ἰουδαῖος ὤν, παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; Οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις. Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῇ· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. Λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ, πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; » Ἀπὸ τοῦ σχήματος καὶ τῆς στολῆς ἴσως, καὶ τῆς ἄλλης περὶ τὸ σῶμα διαθέσεως, καὶ αὐτῆς τῆς ὁμιλίας, ἐνόμισεν ἡ Σαμαρεῖτις Ἰουδαῖον εἶναι τὸν Κύριον· διὸ καὶ πρὸς αὐτὸν λέγει· « Πῶς σὺ Ἰουδαῖος ὤν. » καὶ τὰ ἑξῆς. Ὅρα δὲ πῶς διεσκέμμενον ἦν τὸ γύναιον. Εἰ γὰρ ἔδει C φυλάξασθαι, τὸν Κύριον ἔδει, οὐκ ἐκείνην. Οὐ γὰρ εἶπεν, ὅτι Ἰουδαίοις οὐ συγχρῶνται Σαμαρεῖται, ἀλλ', Ἰουδαῖοι Σαμαρείταις οὐ προσίενται. Ἀλλ' ὅμως ἡ γυνὴ οὐδὲ οὕτως σιγᾷ, ἀλλ' οἰηθεῖσα τὸν Κύριον πρᾶγμα παράνομον ποιεῖν, διορθοῦται τὸ μὴ κατὰ νόμον γινόμενον. Ὁ δὲ Χριστὸς οὐ πρότερον ἐκκαλύπτει ἑαυτὸν, πρὶν ἡ ἀρετὴ τῆς γυναικὸς δειχθείη. Ἐπεὶ γὰρ ἐδείχθη τοῦ γυναίου ἡ ἀρετὴ, καὶ ὅτι οὕτως διεσκεμμένη καὶ ἀκριβής ἐστι, τότε ἄρχεται λοιπὸν αὐτῇ ὁμιλεῖν τὰ ὑψηλότερα. « Εἰ ᾔδεις γὰρ, φησὶ, τὴν δωρεὰν τοῦ Θεοῦ, » τουτέστιν, εἰ ἐγίνωσκες, τί δωρεῖται Θεὸς, καὶ ὅτι αἰώνια καὶ ἄφθαρτα, ᾔδεις δὲ καὶ ἐμὲ, ὅτι Θεὸς ὢν δύναμαι ταῦτά σοι δοῦναι, σὺ ἂν ἐζήτησας καὶ ἔλαβες ὕδωρ ζῶν. Τὴν χάριν δὲ τοῦ ἁγίου Πνεύματος, ὕδωρ φησὶν εἶναι, D διότι τε καθαίρει καὶ πολλὴν παραψυχὴν χορηγεῖ τοῖς ὑποδεχομένοις· ὕδωρ δὲ οὐχ ἱστάμενον, οἷα τὰ ἐν λάκκοις καὶ φρέασι σηπεδονώδη καὶ διεφθορότα, ἀλλὰ ζῶν, τουτέστιν ἀναβλύζον, ἀναπηδῶν, κινούμενον. Ἡ γὰρ χάρις τοῦ Πνεύματος ἀεικίνητον πρὸς τὸ ἀγαθὸν τὴν ψυχὴν ἐργάζεται, ἀναβάσεις ἀεὶ διατιθεμένην. Τοιοῦτον ὕδωρ ἔπιε Παῦλος ζῶν καὶ ἀεικίνητον, τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. « Λέγει αὐτῷ ἡ γυνή· Κύριε. » Ὁρᾷς πῶς εὐθὺς τῆς ταπεινῆς ἐννοίας ἀποστᾶσα, πολλὴν τὴν τιμὴν αὐτῷ ἀπονέμει, Κύριον ὀνομάζουσα; Οὐ μέντοι εἰς τὸ βάθος τῶν τοῦ Χριστοῦ ῥημάτων ἔφθασεν, ἀλλ' ἄλλως μὲν ἐκεῖνος λέγει, ἄλλως δὲ ἐκείνη νοεῖ τὰ περὶ τοῦ ὕδατος.

« Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, A ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ; Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον. Λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. » Πατέρα ἑαυτῆς ποιεῖται τὸν Ἰακώβ, εἰς τὴν Ἰουδαϊκὴν εὐγένειαν αὐτὴν συνωθοῦσα. Ὅρα δέ μοι τὴν σύνεσιν τῆς γυναικὸς, πῶς εὐθὺς ἀπὸ τῆς τῶν ὑδάτων διαφορᾶς συλλογίζεται καὶ τὴν διαφορὰν τῶν διδόντων. Εἰ γὰρ, φησὶ, τοιοῦτον ὕδωρ δώσεις, B πάντως μείζων εἶ τοῦ τὸ παρὸν ὕδωρ δεδωκότος ἡμῖν Ἰακώβ. Τὸ δὲ, « Καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν, » ἔπαινός ἐστι τῆς τοῦ ὕδατος ἡδύτητος. Τοσοῦτον γὰρ, φησὶν, ἠρέσκετο τῇ πηγῇ ὁ πατριάρχης, ὥστε καὶ αὐτὸς πιεῖν, καὶ οἱ υἱοὶ αὐτοῦ. Τὸ δὲ καὶ τὰ θρέμματα αὐτοῦ πιεῖν, ἐνδεικτικόν ἐστι τῆς ἀφθονίας τοῦ ὕδατος. Οὐ μόνον γὰρ, φησὶν, ἡδύ ἐστι τὸ ὕδωρ, καὶ οὕτως ἡδὺ, ὡς καὶ τὸν Ἰακὼβ πιεῖν ἐξ αὐτοῦ· ἀλλὰ καὶ δαψιλὲς, καὶ οὕτως, ὥστε καὶ πρὸς τὸ πλῆθος τῶν θρεμμάτων τοῦ πατριάρχου ἀρκέσαι. Εἰπούσης δὲ τῆς γυναικὸς τὸ, « Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν; » ὁ Κύριος φανερῶς μὲν οὐ λέγει, ὅτι Ναὶ μείζων εἰμὶ, ἵνα μὴ δόξῃ κομπάζειν, μήπω δοὺς ἀπόδειξιν τῆς οἰκείας δυνάμεως· δι' ὧν δὲ λέγει, τοῦτο κατασκευάζει· « Ὁ πίνων μὲν γὰρ ἐκ τοῦ ὕδα- C τος τούτου διψήσει· ὁ δὲ ἐκ τοῦ ἐμοῦ πίνων οὐ μὴ διψήσει. » Ὥστε εἰ θαυμάζεις τὸν Ἰακὼβ τὸν δόντα τὸ ὕδωρ τοῦτο, πολλῷ μᾶλλον ἐμὲ χρὴ θαυμάσαι, τὸ πολὺ βέλτιον ὕδωρ παρέχοντα. Ὃ γὰρ ἐγὼ δίδωμι, πηγὴ γίνεται ὕδατος ἀεὶ καὶ ἀεὶ πληθυνομένου. Οὐ γὰρ ὅσον λάβωσιν οἱ ἅγιοι ἐκ Θεοῦ, τοσοῦτον καὶ ἄχρι τέλους τηροῦσιν· ἀλλὰ σπέρματα μὲν καὶ ἀρχὰς τοῦ ἀγαθοῦ δέχονται διὰ τῆς χάριτος, προσδαπανῶσι δὲ καὶ αὐτοὶ καὶ αὔξουσιν· ὃ καὶ διὰ τῆς τῶν ταλάντων παραβολῆς σημαίνει ὁ Κύριος, καὶ διὰ τοῦ πανδοχέως. Καὶ γὰρ ὁ τὰ δύο τάλαντα λαβὼν, ἐκέρδησεν ἄλλα δύο διὰ τῆς ἐπεργασίας· καὶ τῷ πανδοχεῖ δὲ, τῷ τὸν τραυματισθέντα ὑπὸ λῃστῶν ὑποδεξαμένῳ, ὑπισχνεῖται ὁ Κύριος, ὅτι Ὃ ἐὰν D προσδαπανήσῃς οἴκοθεν, ἐγὼ δώσω σοι. Τοῦτο οὖν κἀνταῦθα αἰνίττεται· Δίδωμι μὲν ἐγὼ ὕδωρ τῷ διψῶντι, ἐκεῖνο δὲ, ὅπερ δίδωμι, οὐ μένει τοσοῦτον, ἀλλὰ πλημμυρεῖ, καὶ πηγὴ γίνεται. Δέδωκε δὲ τῷ Παύλῳ ὕδωρ βραχὺ ὁ Κύριος, τὰς τοῦ Ἀνανίου κατηχήσεις, ἀλλὰ πηγὴν ὁ Παῦλος τὸ βραχὺ ἐκεῖνο τῆς διδασκαλίας ὕδωρ τοῦ Ἀνανίου ἀπέδειξεν, ὥστε ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ φθάσαι τὰ τῆς πηγῆς ἐκείνης ῥεύματα. Ἡ γυνὴ δὲ πῶς ποτε ἄρα περὶ ταῦτα διάκειται; Ταπεινῶς μὲν ἔτι (νομίζει γὰρ περὶ ὕδατος αἰσθητοῦ τοὺς λόγους εἶναι), πλὴν ἀλλ' ἐμφαίνει καί τινα προκοπήν. Τὸ μὲν γὰρ πρότερον ἠπόρει, λέγουσα· « Πόθεν ἔχεις ὕδωρ ζῶν; » νῦν δὲ

VERS. 12-15. « Num tu major es patre nostro Jacob, qui dedit nobis puteum, et ipse ex eo bibit, et filii ejus, et pecora ejus? Respondit Jesus, et dixit ei: Omnis qui bibit ex aqua hac, sitiet iterum. Quisquis autem biberit ex aqua, quam ego dabo ei, non sitiet in æternum: sed aqua quam ego dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam. Dicit illi mulier: Domine, da mihi istam aquam, ut non sitiam, neque veniam huc ad hauriendum. 553 » Patrem suum facit Jacob, se intrudens in nobilitatem Judaicam. Vide autem, obsecro, prudentiam mulieris, quomodo statim a varietate aquarum ratiocinatur et dantium varietatem. Dicit enim: Si talem aquam es daturus, omnino major es patre Jacob, qui nobis dedit hanc aquam. Quod autem ipse ex eo bibit, laus est bonitatis aquæ; tantum enim placuit fons ille patriarchæ, ut et ipse biberit, et filii ejus. Quod autem et pecora ejus biberint, indicium est copia aquarum. Non enim solum dulcis est aqua, et ita dulcis, ut et Jacob ex ea biberit, sed et larga, et sic larga, ut suffecerit multitudini pecorum patriarchæ Jacob. Cum autem diceret mulier, « Num tu major est patre nostro? » Dominus quidem manifeste non dicit, Profecto major sum, ut non videatur arrogans esse, cum nondum aliquod specimen suæ virtututis exhibuisset: hoc tamen parat ea quæ dicit. Dicit enim: « Qui bibit ex hac aqua, iterum sitiet: qui autem ex mea bibit, non sitiet in æternum. » Atque ita si miraris Jacob qui dedit aquam talem, multo magis admirari oportet eum qui præbet longe meliorem aquam. Quam enim ego do, fons fit aquæ, quæ in dies magis ac magis multiplicatur. Non enim quam parum accipiunt sancti a Deo, ita usque ad finem servant, sed semina quidem et initia accipiunt boni per gratiam, insumunt autem et ipsi, ac crescere faciunt: id quod per parabolam talentorum significat Dominus, et per hospitem. Etenim qui acceperat duo talenta, lucratus est alia duo 98, sed sua præparatione: et hospiti qui susceperat vulneratum latronibus, pollicetur Dominus, quidquid præterea impenderis de tuo, dabo tibi 99. Illud igitur et hoc loco innuit: Equidem aquam do sitienti: illa autem, quam ego do, non manet tanta, sed etiam multiplicatur, ac fons efficitur. Dedit Paulo aquam 1 brevem Dominus, Ananiæ instructiones: ac brevem illam aquam doctrinarum Ananiæ Paulus fontem esse demonstravit, ita ut a Jerusalem usque ad Illyricum pervenirent illius fontis prosilientes fluxus Et mulier quomodo in his affecta est? Humiliter quidem adhuc se gerit: opinatur enim de sensibili aqua sermones haberi: profectum tamen quemdam indicat. Nam primum quidem dubitabat, dicens: « Unde habes aquam viventem? » Nunc autem et sermonem sine dubio suscipit, dicens: « Da mihi hanc aquam. » Videtur igitur hæc esse prudentior Nicodemo. Nam ille quidem cum multa audivisset, talia

98 Matth. xxv, 22. 99 Luc. x, 35. 1 Act. ix, 10.

dicebat : « Quomodo possunt hæc fieri? » ista autem incipit contemnere etiam fontem Jacob. Nam dicit : Si talem aquam habes, da mihi, ut non ultra veniam huc ad hauriendum. Vides quod prætulerit ipsi Jacob Dominum.

Ἰακώβ. Εἰ γὰρ, φησὶ, τοιοῦτον ὕδωρ ἔχεις, δός μοι, προέκρινε τὸν Κύριον τοῦ Ἰακώβ.

VERS. 16-22. « Dicit ei Jesus : 556 Vade, voca virum tuum, et veni huc. Respondit mulier, et dixit ei: Non habeo virum. Dicit ei Jesus: Bene dixisti, Non habeo virum: quinque enim viros habuisti, et nunc quem habes, non est tuus vir. Hoc vere dixisti. Dicit ei mulier : Domine, video quod propheta es tu. Patres nostri in monte hoc adoraverunt, et vos dicitis quod Hierosolymis est locus ubi oporteat adorare. Dicit ei Jesus : Mulier, crede mihi, venit hora quando neque in monte hoc, neque in Hierosolymis adorabitis Patrem. Vos adoratis quod nescitis: nos adoramus quod scimus: quia salus ex Judæis est. » — « Vade, voca virum tuum. » Quia videbat illam urgentem ad recipiendum, et cogentem se ad dandum, dicit: « Vade, voca virum tuum, » quasi ostendat quod etiam illum oporteat esse participem hujus doni mei. Illa autem festinans, et ut recipiat, et ut simul lateat, dicit : « Non habeo virum. » At Dominus per prophetiam nunc revelat suam virtutem, et priores ejus viros numerat et eum qui nunc ignorabatur arguit. Nunquid igitur illa ægre ferebat, cum talia audiret? vel relicto illo fugiebat? Non, sed magis admirata est et confortata, dicens: « Domine, video quod propheta es tu, » et de dogmatibus divinis statim illum interrogat, non de corporalibus, ut de sanitate corporis, vel divitiis : ita sapientiæ avidam, et virtuti deditam habebat animam; sed quid? « Patres nostri in monte illo adoraverunt. » Quod dicit propter Abraham et Jacob. Etenim illuc tradunt Isaac in sacrificium adductum[1]. « Et quomodo, inquit, vos dicitis quod in Hierosolymis oportet adorare? » Vidisti quomodo sublimior fuerit? Nam quæ paulo ante sollicita erat ne siti ultra vexaretur, nunc de dogmatibus rogat. Idcirco et Christus visa ejus sapientia hoc quidem ejus dogma non solvit. Non enim erat satis serium et magni momenti, sed aliud quoddam majus dogma manifestat, id quod neque Nicodemo neque Nathanaeli revelaverat. « Venit enim, inquit, hora quando neque in Hierosolymis neque in hoc loco adorabitur Deus. » Nam tu quidem, inquit, conaris ostendere res Samaritanorum digniores iis, quæ apud Judæos aguntur : ego autem dico tibi quod neque hæc neque illa habent dignitatem, sed alius quispiam status erit illis dignior. Verumtamen et sic Judæos vobis Samaritanis digniores affirmo. « Vos enim, inquit, adoratis quod nescitis : nos autem Judæi, quod scimus. » Porro seipsum Ju-

A ἀνενδοιάστως δεξαμένη τὸν λόγον, φησί · « Δός μοι τοῦτο τὸ ὕδωρ. » Ἔοικεν οὖν αὕτη συνετωτέρα εἶναι τοῦ Νικοδήμου. Ἐκεῖνος μὲν γὰρ, μυρίων ἀκούσας τοιοῦτον, ἔλεγε · « Πῶς ταῦτα γενέσθαι δύναται ; » αὕτη δέ ἄρχεται καταφρονεῖν ἤδη καὶ τῆς πηγῆς τοῦ Ἰακώβ. Εἰ γὰρ, φησὶ, τοιοῦτον ὕδωρ ἔχεις, δός μοι, καὶ οὐκ ἔτι ἐλεύσομαι ὧδε, ὥστε ἀντλεῖν. Ὁρᾷς πῶς προέκρινε τὸν Κύριον τοῦ Ἰακώβ.

« Λέγει αὐτῇ ὁ Ἰησοῦς · Ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. Ἀπεκρίθη δὲ ἡ γυνὴ, καὶ εἶπεν αὐτῷ · Οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς · Καλῶς εἶπας, ὅτι Ἄνδρα οὐκ ἔχω. Πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ · τοῦτο ἀληθῶς εἴρηκας. Λέγει αὐτῷ ἡ γυνή · Κύριε, θεωρῶ, ὅτι προφήτης εἶ σύ. Οἱ πατέρες ἡμῶν B ἐν τούτῳ τῷ ὄρει προσεκύνησαν, καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν. Λέγει αὐτῇ ὁ Ἰησοῦς · Γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν (a). » — « Ὕπαγε, φώνησόν σου τὸν ἄνδρα. » Ἐπεὶ γὰρ ἑώρα αὐτὴν ἐπικειμένην, ὥστε λαβεῖν, καὶ ἀναγκάζουσαν αὐτὸν δοῦναι, φησί · « Φώνησόν σου τὸν ἄνδρα · » ὡσανεὶ ἐνδεικνύμενος, ὅτι Κἀκεῖνον δεῖ κοινωνόν σοι γενέσθαι τῆς δωρεᾶς ταύτης τῆς ἐμῆς. Ἐκείνη δὲ ἅμα μὲν λαθεῖν, ἅμα δὲ καὶ λαβεῖν σπεύδουσα, φησίν · « Οὐκ ἔχω ἄνδρα. » Ὁ δὲ Κύριος, διὰ προφητείας λοιπὸν ἀποκαλύπτων τὴν οἰκείαν δύναμιν, τούς τε προτέρους ἀριθμεῖ, καὶ τὸν νῦν ἐγκρυπτόμενον ἤλεγξεν. Ἆρα οὖν ἐδυσχέρανεν ἐκείνη C ταῦτα ἀκούσασα ἢ ἀφεῖσα τοῦτον ἔφυγεν ; Οὔκουν, ἀλλὰ θαυμάσασα μᾶλλον καὶ προσκαρτερήσασα πλέον λέγει · « Κύριε, θεωρῶ, ὅτι προφήτης εἶ σύ · » καὶ περὶ δογμάτων ἐνθέων αὐτὸν ἐρωτᾷ, οὐ περὶ βιωτικῶν, οἷον, σώματος ὑγείας, ἢ χρημάτων, οὕτω φιλόσοφον εἶχεν καὶ εὐφυᾶ πρὸς ἀρετὴν τὴν ψυχήν. Ἀλλὰ τί ; « Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν. » Ταῦτα δὲ λέγει διὰ τοὺς περὶ τὸν Ἀβραάμ · καὶ γὰρ ἐν ἐκείνῳ φασὶν ὑπ' αὐτοῦ ἀνηνέχθαι τὸν Ἰσαὰκ εἰς θυσίαν. Καὶ πῶς, φησὶν, « ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις δεῖ προσκυνεῖν ; » Εἶδες πῶς ὑψηλοτέρα γέγονεν ; Ἡ γὰρ πρὸ μικροῦ μεριμνῶσα ὑπὲρ τοῦ μὴ σκύλλεσθαι διὰ τοῦ δίψην, περὶ δογμάτων ἐρωτᾷ. Διὸ καὶ ὁ Χριστὸς ἰδὼν τὴν αὐτῆς σύνεσιν, τοῦτο μὲν τὸ ἀπόρημα αὐτῆς οὐ λύει D (οὐ γὰρ ἦν περισπούδαστον), ἄλλο δὲ μεῖζον δόγμα ἀποκαλύπτει, ὅπερ οὐδὲ Νικοδήμῳ, οὐδὲ Ναθαναὴλ ἀπεκάλυψεν. Ἔρχεται γὰρ, φησὶν, ὥρα, ὅτε οὔτε ἐν Ἱεροσολύμοις, οὔτε ἐνταῦθα προσκυνηθήσεται ὁ Θεός. Σὺ μὲν γὰρ, φησὶ, σπουδάζεις δεῖξαι τὰ τῶν Σαμαρειτῶν ἐντιμότερα τῶν παρὰ τοῖς Ἰουδαίοις· ἐγὼ δὲ λέγω σοι, ὅτι οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔχουσι τὸ πρεσβεῖον, ἀλλ' ἑτέρα τις ἔσται κατάστασις, ἀμφοτέρων ἀμείνων. Πλὴν καὶ οὕτω τοὺς Ἰουδαίους σεμνοτέρους τῶν Σαμαρειτῶν ὑμῶν ἀποφαίνω. Ὑμεῖς γὰρ, φησί,

[1] Gen. XXII.

(a) Ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. Hæc verba hic desunt, et aliquibus etiam in aliis codicibus apud Millium; quæ tamen infra exponuntur a Theophylacto.

προσκυνεῖτε οὐκ οἴδατε· ἡμεῖς δὲ οἱ Ἰουδαῖοι, ὃ οἴδαμεν. Ἑαυτὸν δὲ μετὰ τῶν Ἰουδαίων ἀριθμεῖ, διότι πρὸς τὴν ὑπόνοιαν τῆς γυναικὸς φθέγγεται· ὡς προφήτην γὰρ Ἰουδαῖον αὐτὸν ὑπενόει ἐκείνη, καὶ διὰ τοῦτό φησι· « Ἡμεῖ προσκυνοῦμεν. » Πῶς δὲ οὐκ ᾔδεισαν οἱ Σαμαρεῖται ὃ προσεκύνουν; Τόπῳ περικλείεσθαι ἐνόμιζον τὸν Θεόν. Διὸ καὶ πέμψαντες, ὅτε ὑπὸ τῶν λεόντων κατεβιβρώσκοντο, ὡς ἄνω εἴρηται, ἀπήγγειλαν τῷ βασιλεῖ τῶν Ἀσσυρίων, ὅτι ὁ τοῦ τόπου Θεὸς αὐτοὺς οὐ παραδέχεται. Ἔνθεν τοι καὶ ἔμειναν ἄχρι πολλοῦ καὶ εἴδωλα θεραπεύοντες. καὶ οὐκ αὐτὸν δὲ τὸν Θεόν. Ἰουδαῖοι δὲ ταύτης ἦσαν ἀπηλλαγμένοι τῆς ὑπονοίας, καὶ Θεὸν τῶν ἁπάντων αὐτὸν ᾔδεισαν, εἰ καὶ μὴ πάντες. « Ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί. » Διπλῆν ἔννοιαν τοῦτο δίδωσιν ἡμῖν. Ἢ γὰρ ὅτι τῇ οἰκουμένῃ τὰ ἀγαθὰ ἐκ τῶν B Ἰουδαίων γέγονε (τὸ γὰρ εἰδέναι Θεὸν, καὶ καταγινώσκειν εἰδώλων, ἐκεῖθεν τὴν ἀρχὴν ἔσχε, καὶ τὰ ἄλλα πάντα δόγματα, καὶ αὐτὸ δὲ τοῦτο τὸ τῆς προσκυνήσεως παρ' ἡμῖν (a) τοῖς Σαμαρείταις, εἰ καὶ μὴ ὀρθῶς, ἀπὸ γοῦν τῶν Ἰουδαίων τὴν ἀρχὴν ἔσχεν)· ἢ σωτηρίαν τὴν οἰκείαν παρουσίαν ὀνομάζει, ἥτις ἐκ τῶν Ἰουδαίων γέγονεν. Ἔστι δὲ καὶ αὐτὸν τὸν Κύριον σωτηρίαν νοῆσαι, ὃς ἐγένετο ἐκ τῶν Ἰουδαίων τὸ κατὰ σάρκα.

A dæis annumerat, eo quod juxta opinionem mulieris loquitur. Illa enim suspicabatur Judaicum prophetam esse, et propterea dicit : « Nos adoramus. » Quomodo autem nesciverunt Samaritani quod adorarunt? Loco putabant concludi Deum : ideo et cum misissent, quando a leonibus devorabantur,ut supra dictum 557 est,et annuntiassent regi Assyriorum se a Deo loci non suscipi:ibi manserunt multo tempore, et coluerunt idola, et non ipsum quoque verum Deum. Judæi autem ab hoc errore liberi fuerunt,et sciverunt esse unum Deum omnium, tametsi non omnes. « Quia salus ex Judæis est. » Duplicem sensum hoc nobis dat. Vel enim quod orbi ex Judæis bona provenerint: scire enim Deum, et contemnere idola, inde exordium habuere, aliaque omnia sana dogmata: etiam ipsa adoratio, quæ apud vos Samaritanos, tametsi non recta fuerit, a Judæis originem duxit : vel salutem nominat suum adventum, qui ex Judæis fuit. Potest autem et Dominus ipse dici salus,quia ex Judæis fuit secundum carnem.

« Ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. » Εἰ καὶ πλέον ὑμῶν τῶν Σαμαρειτῶν ἔχομεν ἡμεῖς οἱ Ἰουδαῖοι τῷ τρόπῳ τῆς προσκυνήσεως, ἀλλὰ καὶ τὰ τῶν Ἰουδαίων τέλος C ἕξει λοιπόν. Οὐ γὰρ τὰ τῶν τόπων ἀμειφθήσεται μόνον, ἀλλὰ καὶ τὰ τοῦ τρόπου τῆς λατρείας· καὶ ταῦτα ἐπὶ θύραις ἐφέστηκε, καὶ νῦν ἐστιν· οὐ γὰρ, ὡς τὰ παρὰ τῶν προφητῶν εἰρημένα, παράτασιν χρονικὴν λήψονται. Ἀληθινοὺς δὲ προσκυνητάς φησι τοὺς κατὰ τὸν αὐτοῦ νόμον πολιτευομένους, οἳ οὐ τόπῳ περικλείουσι τὸν Θεὸν, ὡς οἱ Σαμαρεῖται, ἢ λατρείᾳ θεραπεύουσιν αὐτὸν σωματικῇ, ὡς Ἰουδαῖοι, ἀλλ' ἐν πνεύματι καὶ ἀληθείᾳ, τουτέστι διὰ τῆς ψυχῆς, διὰ τῆς τοῦ νοὸς καθαρότητος Ἐπεὶ γὰρ ὁ Θεὸς πνεῦμά ἐστι, τουτέστιν ἀσώματος, δεῖ αὐτὸν προσκυνεῖν ἀσωμάτως, ὅ ἐστι κατὰ ψυχήν. Τοῦτο γὰρ διὰ τοῦ, « ἐν πνεύματι, » δηλοῖ· καὶ γὰρ καὶ πνεῦμα, καὶ ἀσώματον ἡ ψυχή. Ἐπεὶ δὲ πολλοὶ δοκοῦσι μὲν αὐτὸν προσκυνεῖν κατὰ ψυχὴν, οὐκ ὀρ- D θὴν δὲ δόξαν περὶ αὐτοῦ ἔχουσιν, ὡς οἱ αἱρετικοὶ, διὰ τοῦτο προσέθηκε τὸ, « ἐν ἀληθείᾳ. » Δεῖ γὰρ καὶ κατὰ νοῦν προσκυνεῖν τῷ Θεῷ, ἀλλὰ καὶ ἀληθῆ δόξαν περὶ αὐτοῦ ἔχειν. Τάχα δέ τις ἐρεῖ, ὅτι τὰ δύο τῆς καθ' ἡμᾶς φιλοσοφίας ἐνταῦθα μέρη αἰνίττεται, πρᾶξιν λέγω καὶ θεωρίαν, διὰ τῶν δύο τούτων· διὰ μὲν τοῦ, « ἐν πνεύματι, » τὸ πρακτικόν. « Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, τὰς πράξεις τοῦ σώματος θανατοῦσι, » κατά τὸν θεῖον Ἀπόστολον· καὶ πάλιν· « Ἡ σὰρξ, ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος· τὸ δὲ

VERS. 23, 24. « Sed venit hora, et nunc est, quando veri adoratores adorabunt Patrem in spiritu ac veritate. Nam et Pater tales quærit qui adorent ipsum Spiritus est Deus, et eos qui adorant eum, in spiritu ac veritate oportet adorare. » Quamvis nos Judæi,quantum ad modum adorationis attinet, plus habeamus quam vos Samaritani, attamen et res Judæorum nunc finem habituræ sunt.Non enim in solis locis mutatio erit,sed et modus colendi alterabitur: et hæc in foribus sunt,et nunc est hora. Non enim sicut ea quæ a prophetis dicta in longum tempus differentur. Veros autem adoratores dicit eos qui secundum ipsius legem vivunt, qui non loco aliquo includunt Deum sicut Samaritani, vel cultu colunt corporali,sicut Judæi : sed spiritu et veritate, hoc est, per animam, per puritatem mentis.Quia enim Deus spiritus est,hoc est incorporeus,oportet ipsum adorare incorporaliter,videlicet in anima.Hoc enim significat,in spiritu. Etenim anima spiritus est incorporens.Quoniam autem multi videntur adorare in anima, non tamen rectam habent scientiam,sicut hæretici:ideo addidit,et in veritate.Oportet enim et mente adorare Deum, et sanam opinionem de ipso habere. Fortassis autem quispiam dicet,quod duæ partes nostræ philosophiæ hic insinuentur,praxis dico et contemplatio per duo ista.Nam cum dicit,«in spiritu,» practice docetur.«Quicunque enim spiritu Dei aguntur[3], » opera corporis mortificant secundum divinum Apostolum, Et iterum : «Caro concupiscit adversus spiritum,spiritus autem contra carnem [4]. » Et ita practice insinuatur per hoc quod dicit, « in spiritu. » Per hoc autem quod dicitur « in veritate, »

[3] Rom. VIII, 14. [4] Gal. V, 17.

(a) Ἡμῖν pro ὑμῖν.

contemplativa. Porro hæc et Paulus dicit. « Epulemur, inquit, in azymis sinceritatis, » hoc est, puritatis vitæ, id quod est practices: « et veritatis[5], » id quod est contemplativæ. Contemplatio enim occupatur circa veritatem doctrinæ verbi. Vel aliter: Quoniam peculiare erat Samaritanis Deum loco 558 includere, et dicere quod in hoc loco oporteat adorare, apud Judæos autem omnia in figura [6] et umbra fiebant, in spiritu adorare, opponitur adorationi Samaritanorum, ut dictum hunc sensum habeat: Vos quidem Samaritani localem quemdam cultum offertis Deo, veri autem adoratores non localem offerent. In spiritu enim colent, hoc est, mente et anima. Sed neque sicut Judæi in typo et umbra adorabunt, sed in veritate: quia Judaicorum morum et observationum futurus est finis. Fortassis autem Judaica lex, secundum litteram intellecta, figura erat et umbra. Quod dicitur, « in spiritu [7], » opponitur litteræ. Non enim lex litteræ a nobis observatur, sed lex spiritus. Nam littera quidem occidit, Spiritus autem vivificat. Et quod dicitur, « in veritate, » opponitur umbræ et figuræ. « Venit igitur, inquit, hora, » imo nunc est, corporalis mei scilicet adventus tempus, « quando veri adoratores, » neque sicut Samaritani, uno loco adorabunt, sed omni loco secundum spiritum et incorporaliter adorationem offerentes: sicut et Paulus dicit: « Cui servio in spiritu meo [8], » neque sicut Judæi figuralem et umbratilem futurorum ostensivum cultum adducent, sed verum et nihil umbratbile habentem. « Tales enim quærit adoratores Deus, » quoniam spiritus est, spirituales, et quia veritas est, veros.

VERS. 25-27. « Dicit ei mulier: Scio quod Messias venturus est, qui dicitur Christus: cum ergo venerit ille, nobis nuntiabit omnia. Dicit ei Jesus: Ego sum qui loquor tibi. Et continuo venerunt discipuli ejus, et mirabantur quod cum muliere loqueretur. Nemo tamen dixit: Quid quæris, aut cur loqueris cum ea? » Unde mulier sciebat venturum Messiam, qui dicitur Christus? Ex Mosaicis Scripturis. Nam superius diximus quod quinque libros Mosi Samaritani receperint Quia igitur Mosaica receperant, ex illis cognoverunt prophetias de Christo, et quod Filius sit Dei. Nam cum dicitur: « Faciamus hominem [8*], » tanquam ad Filium dicta esse a Patre manifestum est. Et Abrahæ quoque in tabernaculo Filius loquebatur, et Jacob de ipso prædicens dicebat [9]: « Non deficiet princeps de Juda, donec veniat cui repositum est [10]. » Et ipse Moses quoque dicit: « Prophetam suscitabit vobis Dominus de fratribus vestris sicut me, illum audietis [11]. » Et multa alia Christi adventum prædicunt. Propterea dicit mulier: « Scio quod ven-

A πνεῦμα, κατὰ τῆς σαρκός· » ὥστε τὴν πρακτικὴν αἰνίττεται διὰ τοῦ, « ἐν πνεύματι· » διὰ δὲ τοῦ, « ἐν ἀληθείᾳ, » τὸ θεωρητικόν. Ταῦτα δὲ καὶ Παῦλός φησιν, ὅταν λέγῃ, « ἐν ἀζύμοις εἰλικρινείας, » ἤτοι καθαρότητος βίου, ὅ ἐστι τοῦ πρακτικοῦ, « καὶ ἀληθείας, » ὅ ἐστι τοῦ θεωρητικοῦ· τὸ γὰρ θεωρητικὸν περὶ τὴν ἀλήθειαν καταγίνεται τοῦ δογματικοῦ λόγου. Καὶ ἄλλως· Ἐπεὶ τῶν Σαμαρειτῶν ἴδιον ἦν τὸ περικλείειν τόπῳ τὸν Θεὸν, καὶ λέγειν ὅτι ἐν τούτῳ τῷ τόπῳ δεῖ προσκυνεῖν, τοῖς δὲ Ἰουδαίοις τυπικῶς πάντα ἐτελεῖτο καὶ σκιωδῶς· τὸ μὲν, « ἐν πνεύματι, » πρὸς ἀντιδιαστολὴν τῶν Σαμαρειτῶν φησιν, ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον· Ὑμεῖς μὲν, οἱ Σαμαρεῖται, τοπικήν τινα λατρείαν προσάγετε τῷ Θεῷ· οἱ δὲ ἀληθινοὶ προσκυνηταὶ οὐ τοπικὴν προσάξουσιν· ἐν πνεύματι γὰρ λατρεύσουσιν, ἤτοι
B τῷ νῷ καὶ τῇ ψυχῇ. Ἀλλ' οὐδὲ κατὰ τοὺς Ἰουδαίους ἐν τύπῳ καὶ σκιᾷ προσκυνήσουσιν, ἀλλ' ἐν ἀληθείᾳ, οἷα τῶν Ἰουδαϊκῶν ἐθῶν τε καὶ παρατηρημάτων μελλόντων καταλυθῆναι. Τάχα δὲ ἐπεὶ ὁ Ἰουδαϊκὸς νόμος, κατὰ τὸ γράμμα νοούμενος, τύπος καὶ σκιὰ ἦν, πρὸς ἀντιδιαστολὴν μὲν τοῦ γράμματος κεῖται τὸ, « ἐν πνεύματι· » (οὐκ ἔτι γὰρ ὁ τοῦ γράμματος ἐν ἡμῖν πολιτεύεται νόμος, ἀλλ' ὁ τοῦ πνεύματος· « Τὸ μὲν γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ· ») πρὸς ἀντιδιαστολὴν δὲ τοῦ τύπου καὶ τῆς σκιᾶς, τὸ, « ἐν ἀληθείᾳ. » Ἔρχεται οὖν, φησὶν, ὥρα, μᾶλλον δὲ καὶ νῦν ἐστιν, ὁ τῆς ἐμῆς δηλαδὴ σωματικῆς παρουσίας καιρὸς, ὅτε οἱ ἀληθινοὶ προσ-
C κυνηταὶ οὔτε κατὰ Σαμαρείτας, ἐν τόπῳ ἑνὶ προσκυνήσουσιν, ἀλλ' ἐν παντὶ τόπῳ κατὰ πνεῦμα, καὶ ἀσωμάτως τὴν προσκύνησιν προσάγοντες (ὥσπερ καὶ Παῦλός φησιν· « Ὧ λατρεύω ἐν τῷ πνεύματί μου ») · οὔτε κατὰ τοὺς Ἰουδαίους, τυπικὴν, καὶ σκιώδη, καὶ τῶν μελλόντων ἐμφαντικὴν λατρείαν προσάξουσιν, ἀλλ' ἀληθῆ καὶ μηδὲν σκιῶδες ἔχουσαν. Τοιούτους γὰρ ζητεῖ τοὺς προσκυνητὰς ὁ Θεός· ἐπειδὴ πνεῦμά ἐστι, πνευματικοὺς, καὶ ἐπειδὴ ἀλήθειά ἐστιν, ἀληθινούς.

« Λέγει αὐτῷ ἡ γυνή· Οἶδα ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός. Ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ λαλῶν σοι. Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν, ὅτι μετὰ γυναικὸς ἐλάλει. οὐδεὶς μέντοι εἶπε· Τί ζητεῖς, ἢ τί λαλεῖς μετ' αὐτῆς; » Πόθεν ἡ γυνὴ ἠπίστατο, ὅτι Μεσσίας ἔρχε-
D ται ὁ λεγόμενος Χριστός; Ἐκ τῶν Μωσαϊκῶν Γραφῶν. Καὶ γὰρ ἔφημεν εἰπόντες, ὅτι τὴν Πεντάτευχον Μωσέως οἱ Σαμαρεῖται ἐδέξαντο. Ἐπεὶ οὖν τὰ Μωσαϊκὰ ἐδέξαντο, ἐκ τούτων ᾔδεισαν τὰς περὶ Χριστοῦ προφητείας, καὶ ὅτι Υἱός ἐστι τοῦ Θεοῦ. Τό τε γὰρ, « Ποιήσωμεν ἄνθρωπον, » ὡς πρὸς τὸν Υἱὸν εἰρῆσθαι παρὰ τοῦ Πατρὸς ἐμφαίνει· καὶ τῷ Ἀβραὰμ δὲ ἐν τῇ σκηνῇ ὁ Υἱὸς ἦν ὁ διαλεγόμενος· καὶ ὁ Ἰακὼβ περὶ αὐτοῦ προφητεύων ἔλεγε τὸ, « Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται· » καὶ αὐτὸς δὲ Μωϋσῆς, « Προφήτην ἀναστήσει Κύριος ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε· » καὶ πολλὰ ἕτερα τὴν τοῦ Χριστοῦ παρουσίαν ἀνακηρύττουσι. Διὰ τοῦτο οὖν φησιν

[5] I Cor. v, 7. [6] I Cor. x, 11. [7] II Cor. III, 6. [8] Rom. I, 9. [8*] Gen. I, 26. [9] Gen. XVII et XVIII. [10] Gen. XLIX, 10. [11] Deut. XVIII, 18.

ἡ γυνή· « Οἶδα ὅτι ἔρχεται Μεσσίας. Ὁ δὲ Κύριος A λοιπὸν ἐκκαλύπτει αὐτῇ ἑαυτὸν, οὕτω τῆς ἀκολουθίας τοῦ λογου ἀπαιτησάσης. Εἰ δὲ εὐθὺς ἐξ ἀρχῆς εἶπεν, ὅτι Ἐγώ εἰμι ὁ Χριστὸς, οὔτε τὴν γυναῖκα ἔπεισεν ἄν, καὶ ἔδοξε φορτικός τις εἶναι καὶ ἀλαζών· νῦν δὲ κατὰ μικρὸν αὐτὴν προβιβάσας ἐπὶ τὸ ἀναμνησθῆναι τῆς περὶ Χριστοῦ προσδοκίας, οὕτως ἤδη ἑαυτὸν ἐκκαλύπτει. Τίνος δὲ ἕνεκεν τοῖς μὲν Ἰουδαίοις συνεχῶς ἐρωτῶσιν, « Εἰπὲ ἡμῖν εἰ σὺ εἶ ὁ Χριστὸς, » οὐκ ἀπεκάλυψεν ἑαυτὸν, τῇ δὲ γυναικὶ λέγει; Ἐκείνοις μὲν οὐδὲν λέγει, διότι οὐκ ἐπὶ τῷ μαθεῖν ἠρώτων, ἀλλ' ἐπὶ τῷ μᾶλλον συκοφαντῆσαι· ταύτῃ δὲ, διὰ τὸ εὐγνώμονα εἶναι, φανερῶς ἑαυτὸν ἀποκαλύπτει. Καὶ γὰρ ἐξ ἁπλῆς γνώμης καὶ διανοίας, καὶ ποθοῦσα μαθεῖν τὸ ἀληθὲς, ἠρώτα, καὶ B δῆλον ἐκ τῶν μετὰ ταῦτα. Καὶ γὰρ ἀκούσασα, οὐ μόνον αὐτὴ ἐπίστευσεν, ἀλλὰ καὶ ἄλλους εἰς πίστιν ἐσαγήνευσεν, καὶ πανταχοῦ ἡ γυνὴ φαίνεται καὶ ἀκριβουμένη καὶ πιστή. Ἀπαρτισθείσης δὲ λοιπὸν τῆς πρὸς τὴν γυναῖκα ὁμιλίας καὶ διδασκαλίας, εὐκαίρως ἀπήντησαν οἱ μαθηταὶ, καὶ ἐθαύμαζον τὸ ἄτυφον αὐτοῦ, ὅτι οὕτως ὢν ἔνδοξος καὶ περιβόητος παρὰ πᾶσιν, ἠνείχετο μετὰ τοσαύτης συγκαταβάσεως γυναικὶ διαλέγεσθαι πενιχρᾷ καὶ Σαμαρείτιδι. Θαυμάζοντες δὲ, ὅμως οὐ θαῤῥοῦσιν ἐρωτῆσαι, περὶ τίνος αὐτῇ διαλέγεται· οὕτως ἦσαν πεπαιδευμένοι, καὶ τὴν μαθηταῖς πρέπουσαν εὐλάβειαν ἐτήρουν πρὸς τὸν διδάσκαλον. Εἰ δὲ που καὶ φαίνοιντο παῤῥησιαζόμενοι, ὥσπερ Ἰωάννης ἡνίκα πίπτει ἐπὶ τὸ στῆθος, καὶ ὅταν προσιόντες λέγωσιν. « Τίς μείζων; » C καὶ ὅταν οἱ τοῦ Ζεβεδαίου παρακαλῶσιν, ἵνα εἷς ἐξ εὐωνύμων, καὶ εἷς ἐκ δεξιῶν καθίσωσιν· ἀλλ' ἐκεῖνα ὡς εἰς αὐτοὺς ἀνήκοντα, καὶ τέως ἀναγκαῖα αὐτοῖς φαινόμενα, ἐξετάζουσιν. Ἐνταῦθα δὲ, ἐπεὶ μὴ τοσοῦτον αὐτοῖς διέφερε τὸ ζητεῖν, ὃ μὴ ἀναγκαῖον ἦν ὅλως, διὰ τοῦτο οὐ χρῶνται τῇ παῤῥησίᾳ ὡς μὴ ἐχούσῃ καιρόν.

« Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις· Δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός; Ἐξῆλθον οὖν ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν. » Τοσοῦτον ἀνήφθη τὴν καρδίαν ἡ γυνὴ ὑπὸ τῶν εἰρημένων, ὥστε καὶ τὴν ὑδρίαν ἀφεῖναι· οὕτως ἄρα ταχέως προετίμησε τὸ ὕδωρ τοῦ Χριστοῦ τῆς τοῦ Ἰακὼβ πηγῆς· καὶ D δὴ ἀπόστολος γίνεται, ὑπὸ τῆς τὴν καρδίαν αὐτῆς περιλαβούσης πίστεως χειροτονηθεῖσα, καὶ πόλιν ὁλόκληρον διδάσκει, καὶ ἐφέλκεται. « Δεῦτε, φησὶν, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα. » Ὄντως ἐπειδὰν ἐπυρώθη ἡ ψυχὴ πυρὶ θείῳ, πρὸς οὐδὲν τῶν ἐν γῇ ὁρᾷ, οὐ πρὸς αἰσχύνην, οὐ πρὸς ἀτιμίαν. Ἰδοὺ οὖν καὶ αὕτη οὐκ αἰσχύνεται καὶ τὰ οἰκεῖα ἐκπομπεύουσα, ἀλλὰ φησιν· « Ὅς εἶπέ μοι πάντα ὅσα ἐποίησα. » Καίτοι γε ἠδύνατο καὶ ἑτέρως εἰπεῖν· Δεῦτε, ἴδετε προφήτην προφητεύοντα· ἀλλ' οὐχ οὕτως, ἀλλὰ καταφρονεῖ τῆς οἰκείας δόξης καὶ πρὸς τὸ κηρύξαι τὴν ἀλήθειαν ἀποβλέπει μό-

[12] Matth. XXVI, 63.

turus sit Messias. » At nunc se illi manifestat Dominus, ita consequentia sermonis exigente. Sane si statim ab initio dixisset, Ego sum Christus, neque mulieri persuasisset, et visus fuisset onerosus quispiam et arrogans : nunc paulatim ad hoc inducit, ut mentio fiat exspectationis Christi. Ita jam se illi detegit. Cujus gratia Judæis quidem continuo **559** interrogantibus : « Dic nobis, num tu es Christus [12], » non revelavit seipsum, mulieri autem dicit? Illis quidem nihil dicit, eo quod non interrogabant discendi gratia, sed calumniandi animo : huic autem, quia studiosa erat, manifeste se revelat. Nam quod simplici mente et cogitatione discendique desiderio rogaverit, manifestum ex his quæ sequuntur. Nam ut audivit, non solum ipsa credidit, sed etiam alios ad fidem adduxit, semperque apparet et fidelis, et diligenter inquirens. Absoluto autem colloquio cum muliere ac doctrina, tempestive occurrerunt discipuli, et admirati sunt humilitatem ejus, quod cum tam gloriosus esset, et apud omnes celebris, non dedignatus sit cum tam paupere et Samaritana muliere tanta cum modestia sermonem habere. Admirantes autem, non audent rogare de quo loquatur ei; adeo erant bene compositi, servantes suam erga præceptorem reverentiam. Quod si alicubi apparuerint fidenter loquentes, sicut Joannes cum recumberet super pectus, et cum accederent et dicerent : « Quis major? » et cum filii Zebedæi obsecrarent ut unus a dextris, et alter a sinistris sederent : illa inquirunt quasi ad se attinentia, et tunc eis necessaria visa. Hoc autem loco quia non usque adeo ipsorum intererat quærere, neque necessarium omnino, propterea non utuntur fiducia, eo quod non habeant tempus opportunum.

VERS. 28-30. « Reliquit ergo hydriam suam mulier, et abiit in civitatem, et dicit illis hominibus : Venite, videte hominem qui dixit mihi omnia quæ feci : num hic est ille Christus? Exierunt ergo e civitate, et veniebant ad eum. » In tantum accensum est cor mulieris dictis Dominicis, ut et aquam relinqueret. Sic igitur statim prætulit aquam Christi fonti Jacob, et fit apostola ordinata a fide, quæ cor ejus occupaverat, docetque et attrahit totam civitatem. « Venite, inquit, videte eum qui mihi dixit omnia quæcunque feci. » Profecto quoniam accensa fuit anima divino igni, ad nihil eorum quæ in terra respicit : non ad confusionem, non ad ignominiam, nec ac aliud quippiam. Ecce igitur et ista non veretur sua secreta pandere, sed ait, « Qui dixit mihi omnia quæ feci. » Quamvis posset et aliter dicere : Venite, videte prophetam prophetantem : at non sic. Contemnit autem suam gloriam, et ad hoc solum spectat ut prædicet veritatem. Non dicit autem, Hic est Christus, affirma-

tive; sed, « Numquid hic est Christus? » volens etiam illos calculum addere, et facere sermonem creditu faciliorem. Etenim si affirmasset hunc esse Christum, fortassis refugissent quidam sententiam ejus, neque tam diffamatæ credidissent. Intellexerunt autem quidam 560 per quinque viros Samaritanæ, quinque libros Mosi, quos solos Samaritana recipiebat (*a*). « Quem autem nunc habes, » dicit, hoc est, verbum meum, quod nunc a me accipis, « non est vir tuus. » Nondum enim conjuncta fuisti, inquit, Jesus, meæ doctrinæ. Dixerit autem quis Samaritanam gerere typum humanæ naturæ. Natura enim nostra olim quidem in monte habitabat, mente scilicet plena gratiæ divinæ. Nam priusquam peccaret Adam, omnibus divinis ornatus erat donis. Erat enim et propheta. Unde et a somno expergefactus prædixit de formatione mulieris et habitudine viri erga illam, dicebatque: « Hoc nunc os ex ossibus meis, » et Propter hoc relinquet homo patrem suum et matrem [13]. » Proinde tunc erat natura nostra in excelso monte mentis. Sed ubi offendit Deum, abducta est captiva, et sanctum quidem semen ejus, omnem diviniorem dico cogitationem, diabolus captivam in Babylonem inde abduxit, hoc est, in confusionem hujus mundi, et pro eis inhabitare fecit barbaricas cogitationes, quas leones, bonæ scilicet cogitationes, quæ habitabant in nobis, devorabant, donec persuasum est eis ut reciperent divina eloquia, nec tamen illa integre receperunt: malitia enim cum semel in monte mentis nostræ habitare cœperit, suscipit quidem Mosi libros, non autem integre bonum amplexatur, sed adhuc sub maledicto manet. Igitur Jesus iter faciens, hoc est, multas vias transiens, et modos pro salute nostra tractans, et interim minis malorum, interim afflictionibus, interim beneficiis, interim bonorum promissionibus, nostram vitam lucrari quærit: et fatigatus quidem est talibus modis attentans nos corrigere: invenit autem alium modum regendi, qui ei et placuit, unde super illum sedit et requievit. Et quis ille? Fons baptismatis, in quo naturæ nostræ quasi Samaritanæ cuipiam benefecit. Fons autem iste baptismatis fons Jacob merito dicitur, hoc est supplantatoris. In fonte enim isto supplantamus diabolum, quia et Dominus in illo contrivit caput draconis, quem dedit escam populis Æthiopum [14]. Dracone autem isto non alii quidem pascuntur et oblectantur, quam obtenebrati et nigri anima, et divinæ lucis non participes. Huic autem nostræ naturæ quinque viri conjuncti fuerunt, variæ scilicet leges a Deo datæ ei, nempe lex in paradiso, lex quæ tempore Noe, lex quæ data Abrahæ, lex quæ data Mosi, lex quæ data per prophetas. Nam et Noe post diluvium præceptum quoddam suscepit, et Abraham circumcisionem. Iis

νον. Οὐ λέγει δὲ, ὅτι Οὗτός ἐστιν ὁ Χριστὸς, ἀποφαντικῶς, ἀλλὰ, « Μήτι οὗτός ἐστιν ὁ Χριστός; » βουλομένη λοιπὸν αὐτοὺς ἐκείνους συμψήφους λαβεῖν, καὶ εὐπαραδεκτότερον ποιοῦσα τὸν λόγον. Εἰ γὰρ ἀπεφήνατο, ὅτι Οὗτός ἐστιν ὁ Χριστὸς, τυχὸν ἂν καὶ ἀπεδυσπέτησάν τινες, τὴν ψῆφον αὐτῆς ὡς διαβεβλημένης μὴ παραδεχόμενοι. Ἐνόησαν δέ τινες τοὺς πέντε ἄνδρας τῆς Σαμαρείτιδος εἶναι τὰ πέντε βιβλία, ἃ ἡ Σαμαρεῖτις μόνη παρεδέχετο. « Ὃν δὲ νῦν ἔχεις, » φησὶ, τουτέστιν, ὁ λόγος ὁ ἐμὸς, ὃν νῦν ἐξ ἐμοῦ δέχῃ, « οὐκ ἔστι σου ἀνήρ· » οὔπω γὰρ συνεζεύχθης, φησὶ, τῇ ἐμῇ τοῦ Ἰησοῦ διδασκαλίᾳ. Εἴποι δ' ἄν τις καὶ εἰς τύπον τῆς ἀνθρωπίνης φύσεως λογίζεσθαι τὴν Σαμαρεῖτιν. Ἡ γὰρ φύσις ἡμῶν πάλαι μὲν ἐν ὄρει κατῴκει, τῷ νοΐ τῷ πλήρει τῆς θείας χάριτος. Πρὶν ἢ γὰρ ἁμάρτῃ ὁ Ἀδὰμ, πᾶσι θείοις ἐκεκόσμητο χαρίσμασι. Καὶ γὰρ καὶ προφήτης ἦν. Ἐγερθεὶς γὰρ ἀπὸ τοῦ ὕπνου, περί τε τῆς διαπλάσεως τῆς γυναικὸς, καὶ περὶ τῆς πρὸς αὐτὴν σχέσεως τοῦ ἀνδρὸς ἀπεφήνατο. Ἔφησε γάρ· « Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου· » καὶ ὅτι « Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα. » Ἦν μὲν οὖν ἡ φύσις ἡμῶν ἐν τῷ ὄρει τούτῳ, τῷ ὑψηλῷ νοΐ, ἀλλὰ προσκρούσασα τῷ Θεῷ, αἰχμάλωτος ἀπήχθη, καὶ τὸ μὲν σπέρμα τὸ ἅγιον, πᾶσαν ἔννοιαν λέγω θειοτέραν, ὁ αἰχμαλωτίσας ἡμᾶς διάβολος ἀπήγαγεν εἰς Βαβυλῶνα, τὴν σύγχυσίν φημι τοῦδε τοῦ κόσμου· ἀντενῴκισε δὲ καὶ τοὺς βαρβαρικοὺς λογισμοὺς, οὓς οἱ λέοντες, οἱ βασιλεύοντες ἐν ἡμῖν ἀγαθοὶ λογισμοὶ, κατήσθιον, ἄχρις ἂν ἔπεισαν αὐτοὺς παραδέξασθαι τὰ τοῦ Θεοῦ λόγια. Ἀλλ' οὐδὲ ταῦτα ὁλοκλήρως· ἡ γὰρ κακία ἅπαξ ἐν τῷ ὄρει ἡμῶν, τῷ νοΐ λέγω, κατοικήσασα, ἐδέξατο μὲν τὰ Μωσέως, οὐχ ὁλοκλήρως δὲ τοῦ καλοῦ ἐγένετο, ἀλλὰ καὶ ἔτι ὑπὸ κατάραν ἦν. Ὁ τοίνυν Ἰησοῦς ὁδοιπορήσας, τουτέστι, πολλὰς ὁδοὺς οἰκονομιῶν καὶ τρόπους πρὸς ἡμετέραν σωτηρίαν μετελθὼν, καὶ ποτὲ μὲν ἀπειλαῖς, ποτὲ δὲ κακῶν πληγαῖς, ποτὲ δὲ εὐεργεσίαις, ἄλλοτε δὲ ἀγαθῶν ὑποσχέσεσι μεθοδεύων τὴν ἡμετέραν ζωὴν, ἀπέκαμε μὲν, τοιούτοις τρόποις ἐπιχειρῶν ἡμᾶς διορθώσασθαι, εὗρε δὲ καὶ ἄλλην οἰκονομίαν, ἐν ᾗ καὶ ἐκάθισε, καὶ ἐπανεπαύσατο ἀρεσθεὶς ταύτῃ. Ποίαν; Τὴν πηγὴν τοῦ βαπτίσματος, ἐν ᾗ τὴν φύσιν ἡμῶν ὥσπερ τινὰ Σαμαρεῖτιν εὐηργέτησεν. Ἡ δὲ πηγὴ αὕτη τοῦ βαπτίσματος πηγὴ Ἰακὼβ εἰκότως ἂν λεχθείη, τουτέστι πτερνιστοῦ. Ἐν αὐτῇ γὰρ τῇ πηγῇ πτερνίζει τις τὸν διάβολον· ἐπεὶ καὶ ὁ Κύριος ἐν ταύτῃ συνέθλασε τὴν κεφαλὴν τοῦ δράκοντος, ὃν καὶ ἔδωκε βρῶμα λαοῖς τοῖς Αἰθίοψι. Τῷ γὰρ δράκοντι τούτῳ οὐκ ἄλλοι τινὲς ἐνευφραίνονται καὶ τρέφονται, εἰ μὴ οἱ ἐζοφωμένοι καὶ μέλανες τὴν ψυχὴν, καὶ τοῦ θείου φωτὸς ἀμέτοχοι. Ταύτῃ δὲ τῇ φύσει ἡμῶν πέντε ἄνδρες συνεζύγησαν· οἱ διάφοροι νόμοι, οἱ παρὰ τοῦ Θεοῦ

[13] Gen. XI, 23, 24. [14] Psal. LXVIII, 14.

(*a*) In edit. Lut. *quos solos Samaritani recipiunt*. In textu Græco leg. μόνα. Samaritis suis, qu unum Pentateuchum recipiebant, adhærebat mulier.

δοθέντας αὐτῇ, ὁ ἐν τῷ παραδείσῳ, ὁ ἐπὶ τοῦ Νῶε, ὁ ἐπὶ τοῦ Ἀβραάμ, ὁ ἐπὶ τοῦ Μωσέως, ὁ διὰ τῶν προφητῶν. Ὁ Νῶε γὰρ μετὰ τὸν κατακλυσμὸν διαταγήν τινα ἐδέξατο, καὶ ὁ Ἀβραὰμ τὴν τῆς περιτομῆς. Τούτοις οὖν τοῖς πέντε νόμοις συζυγεῖσα ἡ φύσις, καὶ ἕκτον προσέλαβεν ὕστερον ὃν οὐκ εἶχεν ἄνδρα, οὐδὲ συνεζύγη οὐδέπω, τὸν τῆς Καινῆς Διαθήκης. Νοήσειε δ' ἄν τις ἕκτον νόμον, ὃν ἄνδρα οὐκ εἶχεν ἡ φύσις, τὸν τῆς εἰδωλολατρείας. Τοῦτον γὰρ δὴ τὸν νόμον οὐκ εἶχεν ἐκ Θεοῦ δοθέντα αὐτῇ σύζυγον, ἀλλ' ὡς μοιχαλὶς ἐμίγνυτο τούτῳ. Διὸ καὶ ὁ προφήτης φησί· « Καὶ ἐμοιχῶντο ἐν τῷ ξύλῳ· » καὶ πάλιν· « Ἐξεπόρνευσαν ὀπίσω παντὸς ξύλου, » διὰ τὰ γλυπτὰ δηλαδὴ καὶ τὰ δένδρα ἃ ἐτίμων. Εἰς τοσοῦτον γὰρ ἀνοησίας ἐξετραχηλίσθη ἡ φύσις, ὥστε καὶ δένδροις ὡραίοις διὰ τὸ κάλλος θύειν, κυπαρίσσοις καὶ πλατάνοις, καὶ τοῖς τοιούτοις. Ὅτε τοίνυν τὸν ἕκτον τοῦτον μοιχὸν ὁ ἄνθρωπος ἔστερξε, καὶ εἰς εἰδωλολατρείας ἐξωλίσθησε, τότε ὁ Κύριος ἐλθὼν ἀπαλλάττει ἡμᾶς ταύτης· διὸ καί φησιν· « Ὃν νῦν ἔχεις. » Καὶ γὰρ ὄντως κατὰ τοὺς τῆς τοῦ Χριστοῦ παρουσίας χρόνους εἰς Ἑλληνισμὸν καὶ Ἰουδαίων οἱ σοφώτεροι ἐξετράπησαν· καὶ δηλοῖ ἡ τῶν Φαρισαίων αἵρεσις, εἱμαρμένῃ καὶ ἀστρολογίᾳ πιστεύουσα. Ἔστι δὲ Σαμαρεῖτις καὶ πᾶσα ψυχὴ ἡ ταῖς πέντε αἰσθήσεσιν ἀλόγως ὑποζυγεῖσα, εἶτα καὶ τὴν περὶ τὰ δόγματα σφαλερώτατα, οἱόν τινα ἕκτον μοιχὸν προσλαβομένη, ἣν ὁ Ἰησοῦς εὐεργετεῖ, εἴτε διὰ τοῦ βαπτίσματος, εἴτε διὰ τῆς πηγῆς τῶν δακρύων. Καὶ τὰ δάκρυα γὰρ φρέαρ τοῦ Ἰακὼβ ἂν λεχθεῖεν, τοῦ ἡμετέρου νοῦ, τοῦ πτερνίζοντος τὴν κακίαν. Ἐξ οὗ ὕδατος αὐτός τε ὁ νοῦς πίνει, καὶ οἱ υἱοὶ αὐτοῦ οἱ λογισμοί, καὶ τὰ θρέμματα αὐτοῦ, τὰ ἄλογα μέρη τῆς ψυχῆς, θυμὸς καὶ ἐπιθυμία· τὰ γὰρ δάκρυα τῷ νῷ καὶ τοῖς λογισμοῖς καὶ τοῖς λοιποῖς εἰς ἀναψυχὴν γίνονται.

« Ἐν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ῥαββί, φάγε. Καὶ εἶπεν αὐτοῖς. Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. Ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους· Μήτις ἤνεγκεν αὐτῷ φαγεῖν; Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. » Ἠρώτων οἱ μαθηταὶ τὸν Κύριον, ἀντὶ τοῦ, παρεκάλουν, ὥστε φαγεῖν, οὐκ ἐκ προπετοῦς γνώμης, ἀλλ' ἐκ πολλῆς φιλοστοργίας τῆς πρὸς τὸν διδάσκαλον· καὶ γὰρ ἔβλεπον αὐτὸν κεκμηκότα ὑπὸ τῆς ὁδοιπορίας καὶ τῆς ἐπικειμένης φλογός. Ὁ δὲ Κύριος, γινώσκων ὅτι ἡ Σαμαρεῖτις μέλλει ἐπισπάσασθαι πᾶσαν σχεδὸν τὴν πόλιν πρὸς αὐτόν, καὶ ὅτι πιστεύσωσιν αὐτῷ οἱ Σαμαρεῖται, « Ἐγώ, φησί, βρῶσιν ἔχω φαγεῖν, » τουτέστι τὴν σωτηρίαν τῶν ἀνθρώπων· οὕτω γὰρ ταύτης ἐπιθυμῶ, ὡς οὐδεὶς ὑμῶν τῆς αἰσθητῆς βρώσεως. Ταύτην δὲ τὴν βρῶσιν, ἣν ἔχω φαγεῖν, ὑμεῖς οἱ μαθηταί μου οὐκ οἴδατε. Παχεῖς γὰρ ὄντες ἔτι, καὶ μὴ δυνάμενοι νοῆσαι τὰ αἰνιγματωδῶς ὑπ' ἐμοῦ λεγόμενα, οὐκ οἴδατε ὅτι βρῶσιν ὀνομάζω τὴν τῶν ἀνθρώπων σωτηρίαν. Καὶ ἄλλως δέ· Οὐκ οἴδατε ταύτην τὴν βρῶσιν· οὐ γὰρ γινώσκετε, ὅτι πιστεύσουσί μοι οἱ

itaque quinque legibus conjuncta natura et sextam accepit, quam tamen non habebat ut virum. Nondum enim conjungebat sibi legem Novi Testamenti. Intellexerit 561 autem quis per sextam legem, quam ut virum non habebat natura, legem idololatriæ. Hanc enim legem non habebat a Deo datam sibi conjugem, sed velut adulterum jungebat sibi. Ideo et propheta dicit : « Et adulterabantur in ligno [15]. » Et iterum, « Fornicati post omne lignum [16], » propter sculptilia scilicet et arbores quas colebant. Eo enim dementiæ pervenerat natura, ut et arboribus pulchris propter pulchritudinem sacrificaret, cyparissis videlicet, et platanis, et similibus. Quando igitur sextum illum adulterum homines dilexerunt, et in idololatriam exciderunt, tunc Dominus veniens liberavit nos ab ea Ideo et dicit, « Quem nunc habes. » Nam profecto tempore adventus Jesu Christi, etiam Judæorum sapientiores in gentilium errorem inciderant. Et manifestavit hoc Pharisæorum hæresis, quæ fato et astrologiæ credebat. Est et Samaritana omnis anima, quæ sensibus quinque imprudenter subjecta est, deinde periculosam doctrinam veluti sextum quemdam adulterum suscipit, cui Jesus benefacit, vel per per baptismum, vel per fontem lacrymarum. Nam et lacrymæ fons Jacob dicuntur, mente nostra supplantante malitiam : ex qua aqua et ipsa mens bibit, et cogitationes ejus, quæ filii dicuntur et pecora, ceu irrationales partes animæ, ira et concupiscentia. Lacrymæ enim menti et cogitationibus et reliquis in refrigerium fiunt.

VERS. 31-34. « Interea rogabant eum discipuli dicentes : Rabbi, comede. Ille autem dixit eis : Ego cibum habeo comedendum, quem vos nescitis. Dicebant ergo discipuli inter se : Num quis attulit ei quod ederet? Dicit ei Jesus : Meus cibus est, ut faciam quod vult is qui misit me, et perficiam opus ejus. » Rogabant discipuli Dominum, hoc est, obsecrabant ut comederet : non temeraria quadam mente, sed magna dilectione erga magistrum. Etenim videbant ipsum defatigatum ex itinere et calore flagrante. Dominus autem sciens Samaritanam fere totam civitatem ad se evocaturam, et Samaritanos in se credituros : Ego, inquit, cibum habeo comedendum, » hoc est, salutem hominum: quam tanto desiderio avebat, quanto nullus nostrum sensibilem cibum. Hunc autem cibum quem habeo comedere, vos discipuli mei nescitis. Crassi enim cum vos adhuc sitis, et intelligere nequeatis quæ obscurius a me dicuntur, nescitis quod cibum salutem hominum nominem. Et aliter: Hunc cibum nescitis, ignoratis enim quod Samaritani credituri sunt mihi et salvabuntur. Qui igitur discipuli? Adhuc dubitant num quis attulisset ei quod comedat. Non autem

[15] Jer. III, 6. [16] Ezech. XXIII, 37.

propter solitam ipsorum reverentiam erga illum A interrogare audent. Porro ille quamvis ipsi non interrogassent, revelat 562 obscurius dictum, et dicit: « Meus cibus est, ut faciam voluntatem ejus qui me misit, » voluntas enim Dei est salus hominum, « et perficiam opus ejus. » Prophetæ quidem et lex minime potuerunt perficere opus Dei. Imperfecti enim erant, utpote figuras et umbras futurorum continentes. At Dominus perfecit opus Dei, nostram dico salutem et renovationem. Forsitan et per opus Dei intelligere potes hominem, quem solus Filius Dei, ostensa natura nostra in seipso nullis peccatis obnoxia, perfecit, hoc est, declaravit perfectum et absolutum in omni bono opere per divinam in carne vitam: et usque ad finem vicit mundum. Et lex B quoque Dei opus est, secundum quod digito Dei scripta [17]: quam legem perfecit Dominus. « Finis enim legis, Christus [18]: » quoniam cessare fecit omnia quæ in lege fiebant, et a corporali cultu ad spiritualum eam transtulit. Cæterum Dominus sæpe loquitur obscurius, ut attentiores faciat auditores, et excitet eos ad interrogandum et discendum quod obscure dicebatur. Cibum autem nominans hominum salutem, docet discipulos ut et ipsi cum ordinati sint in magistros orbis, minoris faciant corporalem cibum, omneque desiderium suum eo tranferant, ut salvent homines. Observa autem quod et Dominus ipse accipiebat cibos a quibusdam propositos. Dicunt enim discipuli: « Num quis attulit ei ut comedat? » Non quasi opus habens aliorum mi- C nisterio, (quomodo enim aliorum indigeret ministerio, « qui dat escam omni carni [19]? ») sed ut afferentes mercedem habeant, et assuescant simul et ipsi alios pascere. Et interim dat exemplum omnibus hominibus, ut non erubescamus paupertatem, neque grave putemus si ab aliis pascamur, præsertim ii qui docent: et maxime necessarium est alios habere ciborum curatores, ut ipsi non divulsi curis, ministerio verbi vacemus: propterea discipulis imperavit ut a discentibus pascantur.

A Σαμαρεῖται, καὶ αἰσθήσονται. Τί οὖν οἱ μαθηταί; Ἔτι διαπορoῦσι, Μή τις ἤνεγκεν αὐτῷ φαγεῖν; Οὐ τολμῶσι γὰρ, διὰ τὴν συνήθη αὐτοῖς εὐλάβειαν, πεῦσιν προσαγαγεῖν αὐτῷ. Ἐκεῖνος μέντοι, καίτοι ἐκείνων μὴ ἐρωτησάντων, ἀποκαλύπτει τὸ αἰνιγματωδῶς ῥηθὲν, καί φησιν· « Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με (θέλημα γὰρ Θεοῦ ἡ τῶν ἀνθρώπων σωτηρία), καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. » Οἱ μὲν γὰρ προφῆται καὶ ὁ νόμος οὐκ ἠδυνήθησαν τελειῶσαι τὸ τοῦ Θεοῦ ἔργον· ἀτελεῖς γὰρ ἦσαν, τύπους καὶ σκιὰς τῶν μελλόντων ἀγαθῶν ἐμφαίνοντες. Ὁ δὲ Κύριος ἐτελείωσε τὸ τοῦ Θεοῦ ἔργον, τὴν ἡμετέραν λέγω σωτηρίαν καὶ ἀνακαίνισιν. Τάχα δέ μοι νόει Θεοῦ ἔργον τὸν B ἄνθρωπον, ὃν ἐτελείωσε μόνος ὁ Υἱὸς τοῦ Θεοῦ, ἐν ἑαυτῷ ἀναμάρτητον ἀποδείξας τὴν φύσιν ἡμῶν καὶ ἐν παντὶ ἔργῳ ἀγαθῷ, διὰ τῆς ἐν σαρκὶ θείας πολιτείας τετελειωμένην καὶ ἀπηρτισμένην ἀποφήνας, καὶ ἄχρι τέλους νικήσας τὸν κόσμον. Καὶ ὁ νόμος δὲ Θεοῦ ἔργον ἐστὶ, καθὸ δακτύλῳ Θεοῦ ἐγράφη, ὃν νόμον ἐτελείωσεν ὁ Κύριος. Τέλος γὰρ νόμου Χριστὸς, ὡς πάντα τὰ ἐν τῷ νόμῳ τελούμενα καταπαύσας, καὶ ἀπὸ τῆς σωματικῆς λατρείας ἐπὶ τὴν πνευματικὴν ταῦτα μεταγαγών. Αἰνιγματωδῶς δὲ φθέγγεται πολλάκις ὁ Κύριος προσεκτικωτέρους ποιῶν τοὺς ἀκροατὰς, καὶ διεγείρων αὐτοὺς εἰς τὸ ἐρωτῆσαι καὶ μαθεῖν τὸ συγκεκαλυμμένως λεγόμενον. Βρῶσιν δὲ ὀνομάζων τὴν τῶν ἀνθρώπων σωτηρίαν, διδάσκει τοὺς μαθητὰς, ἵνα καὶ αὐτοὶ, ὅτε δὴ χειροτονηθεῖεν C διδάσκαλοι τῆς οἰκουμένης, περὶ ἐλάττονος ποιοῖντο τὴν σωματικὴν βρῶσιν, ὅλην τὴν ἐπιθυμίαν πρὸς τὸ σώζειν ἀνθρώπους μετενεγκόντες. Σημείωσαι δὲ, ὅτι καὶ τὰ παρά τινων προσφερόμενα βρώματα ἐδέχετο ὁ Κύριος. Φασὶ γὰρ οἱ μαθηταί· « Μή τις ἤνεγκεν αὐτῷ φαγεῖν; » Τοῦτο δὲ ἐποίει, οὐχ ὡς χρήζων τῆς παρ' ἑτέρων διακονίας, (πῶς γὰρ ὁ διδοὺς τροφὴν πάσῃ σαρκί;) ἀλλ' ἵνα οἱ προσφέροντες μισθὸν ἔχωσι, καὶ συνεθισθῶσι καὶ ἄλλους τρέφειν, καὶ ἅμα τύπον διδοὺς πᾶσιν ἀνθρώποις τοῦ μὴ ἐπαισχύνεσθαι τὴν πτωχείαν, μηδὲ βαρὺ νομίζειν τὸ παρ' ἄλλων τρέφεσθαι. Ἴδιον δὲ τοῖς διδάσκουσι καὶ ἀναγκαιότατον τοῦτό ἐστι, τὸ ἄλλους ἔχειν τῆς τροφῆς φροντιστὰς, ἵν' αὐτοὶ ἀπερίσπαστοι ὄντες, διακονῶσι τὴν τοῦ λόγου διακονίαν. Διὸ καὶ τοῖς μαθηταῖς τοῦτο ἐπέταξε, τὸ παρὰ τῶν μαθητευομένων τρέφεσθαι.

VERS. 35-37. Nonne vos dicitis: Adhuc quatuor D menses sunt, et messis veniet? Ecce dico vobis, attollite oculos vestros, et videte regiones, quoniam albæ sunt jam ad messem. Et qui metit, mercedem accipit et congregat fructum in vitam æternam: ut et qui seminat, simul gaudeat, et qui metit. In hoc enim est sermo verus, quod alius est qui seminat, et alius est qui metit. Ego misi vos ad metendum quod vos non laborastis. Alii laboraverunt, et vos in labores eorum introistis. » Incipit nunc manifestius revelare discipulis ea quæ prius obsurius dixerat. Nam vos quidem, inquit, dicitis, hoc est putatis, quod messis sensibilis illa quatuor mensibus futura sit: ego autem dico vobis quod aderit spiri-

D « Οὐχ ὑμεῖς λέγετε, ὅτι Τετράμηνόν ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. Καὶ ὁ θερίζων, μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον· ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. Ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ἀληθινὸς, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων. Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε. Ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. » Ἄρχεται νῦν σαφέστερον ἀνακαλύπτειν τοῖς μαθηταῖς τὰ αἰνιγματωδῶς προῤῥηθέντα. Ὑμεῖς μὲν γὰρ φησὶ, λέγετε, ἀντὶ τοῦ, νομίζετε, ὅτι ὁ θερισμὸς ἐν τῇ τετραμήνῳ ταύτῃ ἔρχεται, ὁ αἰσθητὸς δηλαδή·

[17] Deut. IX, 10. [18] Rom. X, 4. [19] Psal. CXXXV, 25.

ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πάρεστιν ὁ νοητὸς θερισμός. A Ταῦτα δὲ ἔλεγε διὰ τοὺς Σαμαρείτας ἤδη προσερχομένους αὐτῷ. Ἐπάρατε οὖν τοὺς ὀφθαλμοὺς ὑμῶν, εἴτε τοὺς νοητοὺς, εἴτε τοὺς αἰσθητοὺς, καὶ θεάσασθε τὸ πλῆθος τῶν προσερχομένων Σαμαρειτῶν, καὶ τὰς εἰς τὴν πίστιν προθύμους καὶ ἑτοίμους ψυχὰς αὐτῶν, αἵτινες ὥσπερ χῶραι λευκασμέναι δέονται θερισμοῦ. Καθάπερ γὰρ οἱ στάχυες, ὅταν λευκανθῶσιν, ἕτοιμοι εἰς θερισμὸν, οὕτω καὶ οὗτοι πρὸς σωτηρίαν εἰσὶ παρεσκευασμένοι. « Καὶ ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον· ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων. » Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Οἱ προφῆται ἔσπειραν, ἀλλ' οὐκ ἐθέρισαν. Οὐ μὴν διὰ τοῦτο ἀπεστέρηνται τῆς ἡδονῆς, ἀλλὰ σὺν ἡμῖν χαίρουσιν, εἰ καὶ μὴ σὺν ἡμῖν θερίζουσιν, B ὅπερ ἐν τοῖς αἰσθητοῖς θερισμοῖς οὐκ ἔστιν. Ἐκεῖ γὰρ ἐὰν συμβῇ ἄλλον σπεῖραι, καὶ ἄλλον θερίσαι, λύπη τῷ μὴ θερίζοντι. Ἐν δὲ τοῖς πνευματικοῖς, οὐχ οὕτως· ἀλλὰ καὶ οἱ προφῆται προκηρύξαντες, καὶ προμαλάξαντες τῶν ἀνθρώπων τὰς γνώμας, χαίρουσι σὺν ἡμῖν τοῖς εἰς σωτηρίαν τοὺς ἀνθρώπους ἐφελκύσασι. Τὸ δὲ, « Ἐγὼ ὑμᾶς ἀπέστειλα θερίζειν, ὃ οὐχ ὑμεῖς κεκοπιάκατε, » διὰ τοῦτό φησιν ὁ Κύριος, ἵν' ὅταν ἀποστέλλῃ τοὺς μαθητὰς ἐπὶ τὸ κήρυγμα, μὴ θορυβηθῶσιν, ὡς εἰς πρᾶγμα ἐπίπονον ἀποστελλόμενοι. Τὸ γὰρ ἐπιπονώτερον, φησὶν, οἱ προφῆται ἀνεδέξαντο, ὑμεῖς δὲ ἐπὶ τὸ ἕτοιμον πέμπεσθε. Λόγον δὲ ἀληθινόν φησι, παροιμίαν τινὰ περιφερομένην παρὰ τῷ πλήθει, ὅτι « Ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων. » C Ὅρα δὲ, πῶς πάντα δεσποτικῶς λέγει καὶ ἐξουσιαστικῶς· « Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν. » Ἀκουέτωσαν οἱ περὶ Μαρκίωνα τὸν κατάρατον, καὶ Μάνεντα, καὶ τοὺς τοιούτους, οἳ τὴν Παλαιὰν Διαθήκην ἀπαλλοτριοῦσι τῆς Νέας· κἀντεῦθεν γὰρ ἐλέγχονται. Εἰ γὰρ ἀλλοτρία ἦν ἡ Παλαιὰ, πῶς οἱ ἀπόστολοι ἐθέρισαν τὰ τῶν προφητῶν; Ὥστε ἐπεὶ τὰ τῆς Παλαιᾶς οἱ ἀπόστολοι ἐθέρισαν, οὐκ ἀλλοτρία τῆς Καινῆς Διαθήκης ἐκείνη, ἀλλ' ἀμφότεραι μία. Ἀκουέτωσαν καὶ οἱ περὶ Ἄρειον πῶς ὡς Κύριος καὶ ἐξουσιαστὴς πέμπει τοὺς μαθητάς· πέμπει δὲ, ἵνα ἀπὸ τῶν γηΐνων θερίσωσι, καὶ ἐκτέμωσι τοὺς προστετηκότας αὐτοῖς καὶ Ἕλληνας καὶ Ἰουδαίους, καὶ εἰς τὴν ἅλω ἀποκομίζωσιν αὐτοὺς, τὴν Ἐκκλησίαν λέγω· ἐν ᾗ γενόμενοι διὰ τοῦ D ἀλουσθοι παρὰ τῶν βοῶν, τουτέστι τῶν διδασκάλων, καὶ ὑποκεῖσθαι αὐτοῖς, τρίβονται, καὶ πᾶν ἀχυρῶδες, καὶ σαρκικὸν, καὶ τοῦ πυρὸς ὑπέκκαυμα ἀποβαλλόμενοι, καθαροὶ κόκκοι τῇ οὐρανίῳ ἀποθήκῃ ἐναποτίθενται, εἶτα καὶ βρῶμα γίνονται τοῦ Θεοῦ τῇ σωτηρίᾳ τούτων ἐνευφραινομένου. Οὕτως ὁ Παῦλος ἐθέριζε τῆς γῆς ἀποτέμνων, καὶ διδάσκων ἡμᾶς, ὅτι τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ὑπάρχει. Χρῶνται δέ τινες καὶ ἐπὶ τῶν γερόντων χαριέντως τῷ, « Θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν, » διὰ τὰς πολιὰς δηλαδὴ, καὶ τὸν τοῦ θανάτου θερισμόν.

« Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης, ὅτι Εἶπέ μοι πάντα ὅσα ἐποίησα. Ὡς οὖν

tualis messis Hæc autem dicebat propter 563 Samaritanos, qui jam veniebant ad ipsum. Attollite igitur oculos vestros, vel spirituales vel sensibiles, et spectate multitudinem Samaritanorum, et animas ipsorum ad fidem alacres et promptas, quæ quasi regiones albæ, opus habent messoribus. Nam sicut aristæ cum fuerint albæ, paratæ sunt ad messem, ita et hæ ad salutem sunt præparatæ. « Et metens mercedem accipit, et colligit fructum in vitam æternam, ut et seminans simul gaudeat, et metens : » quod hunc sensum habet, Prophetæ seminaverunt, sed non messuerunt, neque propterea privati sunt voluptate, sed nobiscum lætantur (a); et quamvis nobiscum non metant, id quod in sensibilibus messibus non est. Illic enim si evenerit quod alius seminat, et alius metit, tristitia est non metenti. In spiritualibus autem non sic, sed et prophetæ antea prædicaverunt, et præmollierunt hominum mentes, unde vobiscum gaudent, qui homines ad salutem capitis. « Ego vos autem misi ut metatis quod vos non elaborastis, » propterea dicit Dominus, ne discipuli ad prædicationem missi turbentur quasi ad rem difficilem : nam quod onerosum erat, prophetæ susceperant; vos autem in præparata mittimini. At sermonem verum dicit, proverbium vulgo jactatum: « Alius est qui seminat, et alius qui metit. » Observa autem quomodo omnia ex auctoritate et dominio indicet « Ego mihi vos ad mentendum. » Audiant maledicti Marcionitæ et Manichæi, et similes, qui Vetus Testamentum a Novo abalienant: nam et de hoc loco redarguuntur. Etenim si alienum fuisset Vetus, quomodo apostoli messuissent ea quæ a prophetis seminata? Unde quia apostoli messuerunt ea quæ in Veteri, non alienum est ipsum a Novo Testamento, sed utraque unum sunt. Audiant et Ariani, quomodo tanquam Dominus et potestatem habens mittat discipulos. Mittit autem ut de terrenis metant et exsecent eos qui terrenis affixi erant, tam gentiles quam Judæos, invehantque illos in aream, Ecclesiam dico, in qua conculcentur a bobus, hoc est doctoribus; et jaceant sub illis ac triturentur, cum omnes paleas, et ignis fomitem, et quidquid carneum est, abjecerint, et facti pura grana in cœlestis penu reponantur, ac deinde cibus fiant Dei, qui gaudet in salute eorum. Ita Paulus messuit, a terra resecans, et docens nos quod municipatus noster in cœlis sit 20. Cavillantur autem quidam hoc dicto lepide senes, videri regiones quod albæ sint ad messem, propter canos scilicet, et messem mortis.

VERS. 39-42. « Ex civitate autem illa multi Samaritanorum crediderunt in eum propter sermonem mulieris testificantis quod dixisset sibi omnia quæ-

20 Philipp. III, 20.

(a) Edit. Lut. non habet, *sed nobiscum lætantur*.

cunque fecisset. Cum venissent ergo ad illum Samaritani, 864 rogaverunt eum ut apud se maneret: et mansit ibi duos dies, ac multo plures crediderunt propter sermonem ipsius, et mulieri dicebant: Jam non propter tuam orationem credimus: ipsi enim audivimus, et scimus quod hic est vere Salvator mundi Christus.» Propter sermonem mulieris multi Samaritani credunt, utpote prudenter apud se judicantes quod vitam suam mulier non vulgasset ad hoc ut gratificaretur alteri, nisi vere magnus quis esset et super multos qui ab illa prædicabatur. Ideo et fidem operibus commonstrantes, obsecrabant illum ut perpetuo apud ipsos esset. « Manere» enim hoc significat, perpetuum domicilium apud illos habere. Verum ille in hoc non obtemperat, sed ad duos tantum dies manet: unde « et multo plures crediderunt propter doctrinam ejus.» Tametsi evangelista non enarret particulatim mirabilia doctrinæ ejus verba, eventu tamen docet, ut intelligamus virtutem divinæ illius doctrinæ Nam et multa alia et magna transeunt evangelistæ, eo quod non ad ostentationem, sed ad veritatem declarandam scribunt. Itaque cum Dominus esset apud Samaritanos, verisimile est eum diviniora quædam docuisse; unde nullo viso signo credunt, et obsecrant ut maneat. Judæi autem quamvis pluribus sermonibus et signis fruerentur, adhuc persequebantur, profecto « inimici hominis, domestici ejus [21]. » Vide item quomodo brevi multitudo præcellat eam a qua docta fuerat: non enim prophetam vocant, neque Salvatorem Israel, sed mundi: et cum articulo, « Hic est Salvator, » Ille proprie et vere salvaturus omnes. Venerunt enim multi ut salvarent, et lex, et prophetæ et angeli; sed hic est ille verus Salvator.

VERS. 43-45. « Post duos autem dies exiit inde, et abiit in Galilæam. Ipse enim Jesus testatus est quod propheta in sua patria honorem non haberet. Cum ergo venisset in Galilæam, exceperunt eum Galilæi, cum omnia vidissent quæ fecerat Hierosolymis in die festo; nam et ipsi venerant ad diem festum.» Cum exisset a Samaria Dominus, in Galilæam digreditur. Deinde ne quis inquirat et dubitet quare non semper maneat in Galilæa, sed per intervalla peregrinetur apud eos, maxime cum videatur esse ex Galilæa: dicit quod propterea non manserit in Galilæa, quia nullum honorem illi exhibuerant. « Ipse enim Jesus testatus fuit quod propheta in sua patria in honore non sit.» Consuevimus enim nos homines contemnere ea quæ valde familiaria, semper magis attendentes alienis et insolitis. Quid igitur? Non videmus etiam multos apud suos in honore haberi? Sane hoc valde rarum. Si autem nonnulli inveniuntur qui in patria sua in 865 honore habentur, multo magis in terra aliena: ita ut honor qui eis in patria impenditur, si conferatur cum eo qui in terra aliena, ignominia esse inveniatur. Nam

A ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας, καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ· τῇ τε γυναικὶ ἔλεγον, ὅτι Οὐκ ἔτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου ὁ Χριστός. » Διὰ τὸν λόγον τῆς γυναικὸς πιστεύουσιν οἱ Σαμαρεῖται, ὡς συνετοὶ παρ' ἑαυτοῖς κρίναντες, ὡς οὐκ ἂν τὸν οἰκεῖον βίον ἡ γυνὴ ἐξεπόμπευσεν ὑπὲρ τοῦ χαρίσασθαι ἑτέρῳ, εἰ μὴ ἀληθῶς μέγας τις ἦν καὶ ὑπὲρ τοὺς πολλοὺς ὁ ὑπ' αὐτῆς κηρυττόμενος· διὸ καὶ τὴν πίστιν τοῖς ἔργοις δεικνύντες, παρεκάλουν αὐτὸν δι' ὅλου παρ' ἑαυτοῖς εἶναι· τὸ γὰρ, « μεῖναι, » τοῦτο σημαίνει τὸ κατοικῆσαι τελείως παρ' αὐτοῖς. Ὁ δὲ B τοῦτο μὲν οὐ πείθεται, δύο δὲ μόνας ἡμέρας μένει· ὅθεν καὶ πολλῷ πλείους αὐτῶν ἐπίστευσαν διὰ τὴν διδασκαλίαν αὐτοῦ. Καὶ γὰρ ὁ εὐαγγελιστὴς οὐκ ἐξηγεῖται τὰ κατὰ μέρος θαυμαστὰ τῆς διδασκαλίας αὐτοῦ ῥήματα, ἀλλ' ἡμῖν γε δίδωσι νοεῖν ἐκ τοῦ τέλους τῶν πραγμάτων τὴν δύναμιν τῆς θείας αὐτοῦ διδασκαλίας. Πολλὰ γάρ τοι καὶ τῶν μεγάλων παρατρέχουσιν οἱ εὐαγγελισταὶ, ὅτι μὴ πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν γράφουσιν, ἀλλὰ πρὸς ἀλήθειαν. Καὶ παρὰ τοῖς Σαμαρείταις οὖν γενόμενον τὸν Κύριον εἰκὸς θειότερά τινα διδάξαι· ὅθεν οὐδὲ σημεῖον οὐδὲν ἰδόντες, πιστεύουσι καὶ παρακαλοῦσι μένειν. Ἰουδαῖοι δὲ καὶ λόγων μυρίων καὶ σημείων καταπολαύσαντες, ἔτι ἐδίωκον, ὄντως « ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ αὐτοῦ. » Ὅρα δέ μοι πόσον βραχὺ τὸ πλῆθος τὴν C διδάξασαν αὐτοὺς ὑπερηκόντισαν. Οὐ γὰρ προφήτην αὐτὸν λέγουσιν, οὐδὲ Σωτῆρα τοῦ Ἰσραὴλ, ἀλλὰ τοῦ κόσμου, καὶ μετὰ τοῦ ἄρθρου, « Οὗτός ἐστιν ὁ Σωτὴρ, » ὁ κυρίως καὶ τῷ ὄντι σώσας πάντας. Ἦλθον μὲν γὰρ πολλοὶ σῶσαι, καὶ νόμος, καὶ προφῆται, καὶ ἄγγελοι, ἀλλ' οὗτός ἐστιν ὁ ἀληθινὸς Σωτήρ.

« Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν· αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. Ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ὅσα ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. » Ἐξελθὼν ἀπὸ Σαμαρείας ὁ Κύριος, εἰς τὴν Γαλιλαίαν ἀπέρχεται. Εἶτα, ἵνα μὴ D ἐξετάζῃ τις, καὶ διαπορῇ, τίνος ἕνεκεν οὐκ ἐν τῇ Γαλιλαίᾳ ἀεὶ ἦν, ἀλλ' ἐκ διαλείμματος αὐτοῖς ἐπιδημεῖ, καὶ ταῦτα ἐκ τῆς Γαλιλαίας εἶναι δοκῶν, φησὶν, ὅτι διὰ τοῦτο οὐκ ἐν τῇ Γαλιλαίᾳ παρέμενε, διότι οὐδεμίαν τιμὴν πρὸς αὐτὸν ἐνεδείκνυντο. « Αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι ἄτιμός ἐστιν. » Εἰώθαμεν γὰρ οἱ ἄνθρωποι τῶν ἐν συνηθείᾳ καταφρονεῖν, ἀεὶ τοῖς ξένοις καὶ ἀηθέσι προσέχοντες. Τί οὖν; Οὐχ ὁρῶμεν πολλοὺς καὶ παρὰ τοῖς οἰκείοις τιμωμένους; Μάλιστα μὲν οὖν σπάνιον τὸ τοιοῦτον· εἰ δέ πού τινες εὑρεθεῖεν ἐν τῇ πατρίδι τιμώμενοι, πολλῷ μᾶλλον ἐν τῇ ἀλλοτρίᾳ τιμηθήσονται, ὥστε συγκρινομένη ἡ ἐν τῇ πατρίδι τιμὴ πρὸς τὴν ἐν τῇ ἀλλοτρίᾳ, ἀτιμία εὑρεθήσεται.

[21] Mich. VII, 6.

Ὁ γάρ τοι φθόνος, τοῖς συμπατριώταις οὐ συγχωρεῖ A τὴν προσήκουσαν τιμὴν ἀποδιδόναι, ἀλλ' ὑφειμένην τὴν ταύτην ἀποδιδόασιν, αἰσχύνην οἰκείαν ἡγούμενοι τὴν τοῦ ὁμοφύλου εὐδοκίμησιν. Ἐλθόντι οὖν τῷ Κυρίῳ εἰς Γαλιλαίαν ἐπίστευσαν οἱ Γαλιλαῖοι, τὰ σημεῖα ἰδόντες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις. Πλὴν οἱ Σαμαρεῖται δοκιμώτεροι. οἱ καὶ χωρὶς σημείων πιστεύσαντες ἀπὸ του λόγου τῆς γυναικός. Ὅρα δὲ πανταχοῦ τοὺς ἀποβλήτους μὲν δοκοῦντας, εὐδοκιμοῦντας ἐν τῇ πίστει Σαμαρείτας λέγω καὶ Γαλιλαίους· (καὶ γὰρ καὶ τούτους ἐξουθένουν ὡς ἀγροικότερον διακειμένους· διὸ καὶ ἔλεγον, ὅτι « Προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται). » τοὺς δὲ ἐκλεκτοὺς νομιζομένους, ἀποβαλλομένους, οἷοι ἦσαν οἱ Ἱεροσολυμῖται Ἰουδαῖοι. Εἰκότως ἄρα καὶ οἱ ἐθνικοὶ παρεδέχθημεν. Ἐν γὰρ τῇ οἰκείᾳ πατρίδι, τῇ τῶν Ἰουδαίων, εἴποι B ἄν τις, συναγωγῇ, τιμὴν οὐκ ἔσχεν ὁ προφήτης Χριστὸς, καθὰ Μωϋσῆς λέγει, ὅτι « Προφήτην ἀναστήσει Κύριος ἡμῶν. »

Ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. Καὶ ἦν τις βασιλικὸς, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ. Οὗτος ἀκούσας, ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθεν πρὸς αὐτὸν, καὶ ἠρώτα αὐτὸν, ἵνα καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἔμελλε γὰρ ἀποθνήσκειν Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν. Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. Λέγει πρὸς αὐτὸν ὁ βασιλικός· Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, ὁ υἱός σου ζῇ. Καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ, ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἀπορεύετο. » C Ἀναμιμνήσκει ἡμᾶς ὁ εὐαγγελιστὴς τοῦ ἐν Κανᾷ θαύματος, ὅπου ἐγένετο τὸ ὕδωρ οἶνος, ἅμα μὲν διὰ τὸ αὐξῆσαι τῶν Σαμαρειτῶν τὸ ἐγκώμιον (οἱ μὲν γὰρ Γαλιλαῖοι, φησὶ, καὶ ἀπὸ τῶν ἐν Ἱεροσολύμοις καὶ ἀπὸ τῶν παρ' αὐτοῖς γενομένων σημείων αὐτόν ἐδέξαντο· οἱ δὲ Σαμαρεῖται ἀπὸ μόνης τῆς μαρτυρίας τῆς γυναικὸς, καὶ τῆς αὐτοῦ τοῦ Κυρίου διδασκαλίας), ἅμα δὲ καὶ ἵνα δείξῃ ἡμῖν, ὅτι καὶ ὁ βασιλικὸς ἀπὸ τοῦ ἐν Κανᾷ θαύματος ἀγαθήν τινα περὶ τοῦ Χριστοῦ ὑπόληψιν ἐδέξατο. εἰ καὶ μὴ τὴν ἀξίαν. Βασιλικὸν δὲ τοῦτον καλεῖ, ἢ ὡς ἐκ γένους ὄντα βασιλικοῦ, ἢ ἀξίωμά τι ἀρχῆς ἕτερον οὕτω καλούμενον ἔχοντα. Ἆρα οὖν, φησὶ, καὶ αὐτός ἐστιν οὗτος τῷ παρὰ τῷ Ματθαίῳ ἑκατοντάρχῳ; καὶ γὰρ κἀκεῖνος ἐν Καπερναοὺμ ἦν. Οὐκ οἶμαι τοίνυν τὸν αὐτὸν εἶναι, D ἀλλ' ἕτερον. Ἐκεῖνος μὲν γὰρ καὶ βουλόμενον ἐλθεῖν τὸν Χριστὸν διακωλύει, λέγων· « Οὐκ εἰμὶ ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· » οὗτος δὲ εἰς τὴν οἰκίαν αὐτοῦ ἕλκει τὸν Ἰησοῦν. Κἀκείνου μὲν ὁ παῖς, ἤγουν ὁ δοῦλος, παρέσει κατείχετο· τούτου δὲ ὁ υἱὸς πυρετῷ. Κἀκεῖ μὲν ἀπὸ τοῦ ὄρους καταβὰς, εἰς Καπερναοὺμ εἰσῆλθε· νῦν δὲ, ἀπὸ τῆς Σαμαρείας, καὶ οὐκ εἰς Καπερναοὺμ, ἀλλ' εἰς Κανᾶ. Ἐπὶ πᾶσιν, ἐκεῖνος μὲν ἑκατόνταρχος· οὗτος δὲ, βασιλικὸς τὸ ἀξίωμα. Ἀξιοῖ μὲν οὖν ὁ βασιλικὸς τὸν Κύριον κατελθεῖν ὡς ἰάσηται τὸν υἱόν· ὁ δὲ Κύριος καθ-

A invidia compatriotis non sinit congruum honorem reddi, sed parum illis tribuunt cives, suam confusionem existimantes gloriam contribulium. Cum venisset igitur Dominus in Galilæam, crediderunt Galilæi, quia viderant signa facta in Hierosolymis. Atqui Samaritani probatiores erant qui et absque signis verbo mulieris crediderant. Vide autem ubique eos qui abjecti habebantur, celebrari ut potiores fide, Samaritanos dico et Galilæos. Nam hos contemnebant ut agrestiores ; ideo et dicebant : « Propheta ex Galilæa non surrexit [22], » eos vero qui electi putabantur, abjici. quales fuerunt Hierosolymitani Judæi. Merito igitur et gentiles suscepti sunt. Nam in sua patria, hoc est in synagoga Judæorum, honorem non habebat propheta B Christus, sicut Moses dicit. « Prophetam suscitabit vobis Dominus [23]. »

VERS 46-50. « Venit ergo Jesus iterum in Cana Galilææ, ubi fecerat ex aqua vinum. Et erat quidam regius cujus filius infirmabatur Capernaum. Hic cum audisset quod Jesus advenisset a Judæa in Galilæam, abiit ad eum, et rogabat eum ut descenderet ac sanaret ipsius filium : siquidem is agebat animam. Dixit ergo Jesus ad eum: Nisi signa et prodigia videritis, non credetis. Dixit ad eum regius : Domine, descende priusquam moriatur filius meus. Dicit ei Jesus: Vade, filius tuus vivit. Credidit homo sermoni quem dixerat ei Jesus, et ibat. » Recordari nos facit evangelista miraculi in Cana, ubi C aqua facta est vinum, et interim ut crescat laus Samaritanorum. Nam et Galilæi quidem, inquit, susceperunt eum propter signa quæ facta sunt in Hierosolymis, et apud se : Samaritani autem ob solius mulieris testimonium, et ipsius Domini doctrinam. Ostendit insuper quod et regius ille ex miraculo quod in Cana erat factum, bonam quamdam de Christo opinionem conceperat, tametsi minus dignam. Regium autem illum vocat, vel quod ex regio erat genere, vel quod gerebat dignitatem quamdam ob quam sic vocabatur. Num igitur, dicet quis, idem est cum centurione apud Matthæum ? Nam et ille ex Capernaum erat. Non opinor equidem illum esse, sed alium Nam ille quidem et volentem venire Christum prohibet, dicens : « Non sum dignus ut D sub tectum meum ingrediaris [24]. » Iste vero Jesum in domum suam trahit. Et illius quidem puer paralysi detinebatur, servus videlicet: istius autem filius febri. Et illic quidem cum a monte descendisset, et Capernaum ingressus est: nunc autem a Samaria, et non in Capernaum, 566 sed in Cana. In summa, ille centurio, hic autem regius fuit dignitate. Orat igitur regius ille Dominum ut descendat ad sanandum filium. At Dominus perstringit eum, utpote non perfectam, sed parvam habentem fidem. Dicendo enim, « Descende, priusquam moriatur filius

[22] Joan. VII, 52. [23] Deut. XVIII, 15. [24] Matth. VIII, 8

meus, » infirmitatem fidei suæ ostendit: quia non credebat quod, si contingeret mori filium, potens esset eum suscitare. Propterea perstringens eum dicit: « Nisi signa et prodigia videritis, non credetis. » Interim autem et alios cives Capernaum accusat. Videntur enim ubique ob multam incredulitatem condemnari. Igitur quoniam infirmæ mentis erat regius, et urgebat Dominum ut descenderet ad sanandum filium: ostendens ei Salvator quod etiam absens posset ipsum sanare, dicit: « Vade, filius tuus vivit. » Denique pueri quidem sanavit febrem, patris autem incredulitatem. Scias autem aliud esse signum, aliud prodigium. Nam prodigium fit præter naturam, ut est aperire oculos cæci nati, et excitare mortuum: signum autem non præter naturam, ut est sanare infirmum. Perficiet autem et nunc hoc miraculum Dominus, si quis illum adeat. Omnis homo est regius quidam non solum quoad cognatus propter animam regi omnium, sed etiam quod ipse regiam dignitatem supra omnes accepit. Invenitur autem sæpe habens quidem mentem quasi filium igne illicitarum voluptatum et concupiscentiis male laborantem. Si igitur accesserit ad Jesum, et petiverit ab eo ut descendat, hoc est, misereatur et remittat illi peccata priusquam ex toto a morbo voluptatum moriatur: (si enim nostri non misereretur Deus, sed observaret iniquitates, et secundum illas ulcisceretur, quisnam sustineret? [25]) si igitur accesserit, ut dictum est, assequetur quod quærit, et recipiet mentem suam sanam. Verumtamen vide et quid dicat ad illum Dominus: « Vade, filius tuus vivit, » hoc est, ne sis immobilis ad bonum, sed vade, et incessabilem motionem ostende ad bonum. Tunc enim filius tuus vivet. Si autem quieveris, non ambulans, morietur plane mens tua, eo quod ad bonum te non promoveris.

A απτόμενος αὐτοῦ, ὡς μὴ τελείαν τὴν πίστιν, ἀλλ' ἐκ μέρους ἔχοντος (καὶ γὰρ τὸ εἰπεῖν, « Κατάβηθι πρὶν ἀποθανεῖν τὸν υἱόν μου, » τὴν ἀσθένειαν τῆς πίστεως αὐτοῦ ἐμφαίνει, ὡς μὴ πιστεύοντος, ὅτι εἰ καὶ συμβῇ αὐτὸν ἀποθανεῖν, δυνατός ἐστιν ἀναστῆσαι αὐτόν), διὰ ταῦτα οὖν καθαπτόμενος αὐτοῦ, φησίν· « Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε· » ἅμα δὲ καὶ τῶν ἑτέρων πολιτῶν κατηγορῶν τῶν ἐν τῇ Καπερναούμ. Φαίνονται γὰρ πανταχοῦ πολλὴν ἀπιστίαν κατηγορούμενοι. Ἐπεὶ οὖν ἀσθενὴς ἦν ὁ βασιλικὸς τὴν γνώμην, καὶ κατήπειγε τὸν Κύριον κατελθεῖν εἰς θεραπείαν τοῦ παιδὸς, δεικνύων αὐτῷ ὁ Σωτὴρ, ὅτι καὶ ἀπὼν δύναται αὐτὸν θεραπεῦσαι, λέγει· « Πορεύου, ὁ υἱός σου ζῇ. » Ἀμέλει τοῦ μὲν παιδὸς τὸν πυρετὸν, τοῦ πατρὸς δὲ τὴν ἀπιστίαν ἰάσατο. Γίνωσκε δὲ, ὡς ἄλλο τέρας, καὶ ἄλλο σημεῖον. Τέρας μὲν γὰρ τὸ παρὰ φύσιν,
B οἷον τὸ διανοῖξαι ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου, καὶ ἐγεῖραι νεκρόν· σημεῖον δὲ, τὸ οὐκ ἔξω τῆς φύσεως, οἷον τὸ ἰᾶσθαι ἄῤῥωστον. Τελέσει δὲ καὶ τοῦτο τὸ θαῦμα καὶ νῦν ὁ Κύριος ἐπὶ παντὸς τοῦ προσερχομένου. Οἷον βασιλικός ἐστι πᾶς ἄνθρωπος, οὐ μόνον ὡς τοῦ βασιλέως πάντων συγγενὴς διὰ τὴν ψυχὴν, ἀλλὰ καὶ ὡς αὐτὸς βασιλικὴν ἀρχὴν κατὰ πάντων δεξάμενος. Εὑρίσκεται δὲ πολλάκις ἔχων τις τὸν νοῦν, οἷα υἱὸν, πυρὶ ἡδονῶν ἀτόπων καὶ ἐπιθυμίαις κακῶς ἔχοντα. Εἰ τοίνυν προσέλθῃ τῷ Ἰησοῦ, καὶ αἰτήσει αὐτὸν καταβῆναι, τουτέστι, συγκαταβάσει φιλανθρωπίας χρήσασθαι, καὶ συγχωρῆσαι αὐτῷ τὰς ἁμαρτίας πρὶν ἢ τελείως ἀπὸ τῆς νόσου τῶν ἐπιθυμιῶν ἀπονεκρωθῇ, (εἰ μὴ γὰρ συγκαταβαίη ἡμῖν ὁ Θεὸς, ἀλλὰ τὰς ἀνομίας παρατηρήσαιτο, καὶ κατ'
C ἐκείνας ἐξετάσειε, τίς λοιπὸν ὑποστήσεται;) εἰ προσέλθῃ τοίνυν, ὡς εἴρηται, τεύξεται τοῦ ζητουμένου, καὶ ἀπολήψεται τὸν νοῦν αὐτοῦ ὑγιᾶ. Πλὴν ὅρα καὶ τί φησιν ὁ Κύριος πρὸς αὐτόν· « Πορεύου, ὁ υἱός σου ζῇ· » τουτέστι, Μὴ ἀκίνητος ἔσο πρὸς τὸ καλὸν, ἀλλὰ πορεύου, καὶ κίνησιν ἀκατάπαυστον ἐνδείκνυσο πρὸς τὸ ἀγαθόν· τότε γὰρ ὁ υἱός σου ζῇ. Εἰ δὲ παύσῃ τοῦ πορεύεσθαι, τεθνήξεταί σου πάντως ὁ νοῦς, τῇ περὶ τὸ καλὸν ἀκινησίᾳ τὴν νέκρωσιν λαβών.

VERS. 51-56. « Jam autem eo descendente, servi occurrerunt ei, et nuntiaverunt ei, dicentes, Filius tuus vivit. Sciscitatus est ergo horam ab eis in qua vegetius se habuisset. Et dixerunt ei: Heri, hora septima reliquit eum febris. Cognovit ergo pater quod illa hora erat in qua dixit sibi Jesus, Filius tuus vivit, et credidit ipse, et domus ejus tota. Hoc iterum secundum signum edidit Jesus, cum venisset a Judæa in Galilæam. » Obstupefacti servi repentina morbi mutatione, occurrunt domino, bonum nuntium afferentes de sanitate 567 filii. Non enim simpliciter et sicut fieri solet, sed subito liberatus est a febre, ut ita ostendatur miraculum hoc non fuisse naturæ, sed virtutis Christi. Ut ergo didicit a servis horam in qua puer vegetius se habuisset, hoc est, melius habuisset, et in meliorem transisset valetudinem, plene credidit Domino. Prior enim ejus fides imperfecta erat. Ne enim mihi dixeris

« Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ, καὶ ἀπήγγειλαν λέγοντες, ὅτι Ὁ υἱός σου ζῇ. Ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν, ἐν ᾗ κομψότερον ἔσχεν. Καὶ εἶπον αὐτῷ, ὅτι Χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός. Ἔγνω οὖν ὁ πατὴρ, ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι Ὁ υἱός σου ζῇ, καὶ ἐπίστευσεν αὐτὸς, καὶ ἡ οἰκία
D αὐτοῦ ὅλη. Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς, ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. » Ἐκπλαγέντες οἱ δοῦλοι τὴν ἀθρόαν μεταβολὴν τῆς νόσου, ἀπαντῶσι τῷ κυρίῳ, εὐαγγελιζόμενοι αὐτῷ τὴν τοῦ υἱοῦ ὑγείαν. Οὐ γὰρ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἀθρόον ἀπηλλάγη τοῦ πυρετοῦ, ὥστε δειχθῆναι μὴ φύσεως ἀκολουθίαν εἶναι τὸ πρᾶγμα, ἀλλὰ τῆς δυνάμεως τοῦ Χριστοῦ. Μαθὼν δὲ παρὰ τῶν δούλων τὴν ὥραν, ἐν ᾗ κομψότερον ὁ παῖς ἔσχεν, ἀντὶ τοῦ, ἐπὶ τὸ βέλτιον καὶ εὐρωστότερον μετῆλθεν ὁ παῖς, τελείως πιστεύει τῷ Κυρίῳ. Ἡ γὰρ προτέρα

[25] Psal. cxxix, 3.

πίστις αὐτοῦ ἀτελὴς ἦν. Μὴ γάρ μοι εἴπῃς, ὅτι Καὶ μὴν οὐκ ἂν προσῆλθεν, εἰ μὴ ἐπίστευσεν. Εἰώθασι γὰρ οἱ πατέρες ἀπὸ τῆς πρὸς τοὺς παῖδας φιλίας, οὐ μόνον οἷς θαῤῥοῦσιν ἰατροῖς προσιέναι, ἀλλὰ καὶ τοῖς ἀτέχνοις, μηδὲν τῶν δεόντων παραλιπεῖν βουλόμενοι. Προσῆλθε μὲν οὖν ἀπὸ πίστεως, εἴγε καὶ τοῦτο δώσομεν, ἀλλὰ ψυχρᾶς καὶ ἀτελοῦς, ἣν οὐδὲ πίστιν ἄν τις καλέσειε. Τότε δὲ τελείως ἐπίστευσεν, ὅτε καὶ περὶ τῆς ὥρας ἔμαθε. Τίνος δὲ ἕνεκεν ὁ εὐαγγελιστής φησιν, ὅτι δεύτερον τοῦτο τὸ σημεῖον ἐποίησεν ἐν Κανᾷ; Ἵνα δείξῃ τοὺς Σαμαρείτας πολλῶν ἀξίους ἐγκωμίων. Καὶ γάρ, φησί, καὶ δευτέρου τούτου τοῦ σημείου γενομένου, οὐδέπω οἱ Γαλιλαῖοι πρὸς τὸ ὕψος ἐκείνων ἔφθασαν, τῶν μηδὲν ἰδόντων σημεῖον.

## ΚΕΦΑΛ. Ε'.

Περὶ τοῦ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχοντος ἐν τῇ ἀσθενείᾳ. Περὶ τῶν Ἰουδαίων ζητούντων ἀποκτεῖναι τὸν Ἰησοῦν.

« Μετὰ ταῦτα ἦν ἡ ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις προβατικὴ κολυμβήθρα ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδᾶ, πέντε στοὰς ἔχουσα. Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ. Ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγένετο, ᾧ δήποτε κατείχετο νοσήματι. » Ἑορτὴ τῶν Ἰουδαίων, ἡ τῆς Πεντεκοστῆς, οἶμαι. Ἀναβαίνει δὲ ἐν ταύτῃ ὁ Κύριος· ἅμα μέν, ἵνα μὴ δόξῃ ἐναντίος τῷ νόμῳ, ἀλλὰ φαίνηται συνεορτάζων τοῖς πολλοῖς· ἅμα δέ, ἵνα πλείους διὰ σημείων διδασκαλίας ἐπισπάσηται, καὶ μάλιστα τὸ πλῆθος τὸ ἄδολον. Ἐν γὰρ ταῖς ἑορταῖς εἰώθασι συνέρχεσθαι καὶ ἀγρόται, καὶ ἀστικοὶ χειρώνακτες, τὰς ἄλλας ἡμέρας τοῖς ἔργοις συνασχολούμενοι. Προβατικὴ δὲ ἐλέγετο ἡ κολυμβήθρα, διότι τὰ πρὸς θυσίαν πρόβατα ἐκεῖ συνήγετο, καὶ τὰ ἔγκατα αὐτῶν ἐπλύνοντο ἐκεῖ. Εἶχον δὲ οἱ πολλοὶ ὑπόληψιν, ὅτι καὶ ἀπὸ μόνου τοῦ πλύνεσθαι τὰ ἐντόσθια τῶν ἱερείων δύναμίν τινα λαμβάνει θειοτέραν τὸ ὕδωρ, διὸ καὶ τὸν ἄγγελον ἐπιφοιτᾷν τούτῳ τῷ ὕδατι ὡς ἐκλεκτῷ, καὶ θαυματουργεῖν. Ἔοικεν ἄρα ἡ θεία πρόνοια πόῤῥωθεν ὁδοποιοῦσα τοῖς Ἰουδαίοις πρὸς τὴν εἰς Χριστὸν πίστιν, τὸ τῆς κολυμβήθρας ταύτης θαῦμα προοικονομῆσαι. Ἐπεὶ γὰρ ἔμελλε βάπτισμα δίδοσθαι πολλὴν ἔχον δύναμιν, καὶ δωρεὰν μεγίστην, οἷα καθαῖρον ἁμαρτίας, καὶ ζωοποιοῦν τὰς ψυχάς, προζωγραφεῖ Θεὸς τὸ βάπτισμα ἐν τοῖς Ἰουδαϊκοῖς, καὶ δίδωσι μὲν καὶ ὕδωρ αὐτοῖς καθαῖρον μολυσμοὺς οὐ κυρίως ὄντας, ἀλλὰ δοκοῦντας οἷον τοὺς ἀπὸ τοῦ ἅψασθαι νεκροῦ, ἢ λεπροῦ, καὶ τῶν τοιούτων ἑτέρων· δίδωσι δὲ καὶ τὸ τῆς κολυμβήθρας ταύτης θαῦμα, ὁδηγοῦν αὐτοὺς εἰς τὴν παραδοχὴν τοῦ βαπτίσματος. Ἄγγελος γὰρ κατὰ καιρὸν καταβαίνων, διετάρασσε τὸ ὕδωρ, καὶ ἰαματικὴν ἐνετίθει τούτῳ δύναμιν. Οὐ γὰρ δήπου ἡ τοῦ ὕδατος φύσις, αὐτὴ καθ' ἑαυτὴν ἰᾶτο (ἢ γὰρ ἂν διὰ παντὸς τοῦτο ἐγίνετο), ἀλλ' ἐπὶ τῇ τοῦ ἀγγέλου ἐνεργείᾳ τὸ πᾶν

A quod non accessisset nisi credidisset. Nam et patres consueverunt, præ amore erga filios, non solum accedere ad medicos quibus bene fidunt, sed et ad imperitos, nihil ex his quæ facere oporteat, intermittentes. Accessit quidem ex fide, siquidem et hoc dabimus; sed frigida et imperfecta, quam neque fidem quis recte vocaverit. Tunc autem perfecte credidit, quando et de hora didicit. Et quare evangelista dicit quod secundum hoc signum fecerit in Cana? Ut ostendat Samaritanos multis dignos laudibus. Etenim dicit, et cum secundo hoc fieret signum, nondum pervenerunt Galilæi ad sublimitatem illorum qui nullum viderant signum.

B

## CAPUT V.

*De eo qui a triginta et octo annis in infirmitate jacebat. De Judæis quærentibus Dominum occidere.*

VERS. 1-4. « Post hæc erat dies festus Judæorum, et ascendit Jesus Hierosolyma. Est autem Hierosolymis probatica piscina, quæ cognominatur Hebraice Bethesda, quinque porticus habens. In his jacebat multitudo languentium, cæcorum, claudorum, aridorum, exspectantium aquæ motum. Angelus enim descendebat certo tempore in piscinam, et turbabat aquam. Itaque qui primus descendisset post turbationem aquæ, sanus fiebat a quocunque detinebatur morbo. » Dies festus erat Judæorum, Pentecoste opinor. Ascendit in eo Dominus; partim ne videretur esse adversarius legi, sed compareret C cum reliquis diem festum agens; partim ut plures per signa et doctrinas alliceret et maxime turbam simplicem. Solebant enim die festo convenire et rustici et opifices urbani, qui aliis diebus in operibus suis erant occupati. Probatica autem dicebatur piscina, eo quod oves illic ad sacrificium congregabantur, et intestina earum abluebantur. Multi autem opinabantur quod sola ablutione intestinorum sacrificalium, virtutem quandam diviniorem acciperet aqua, et propterea angelus ad aquam ut electam accederet, et miraculum operaretur. Videatur utique divina sapientia a longe viam facere Judæis ad fidem in Christum, præordinando miraculum piscinæ. Nam quoniam baptisma daturum 668 erat magnam virtutem, et maximum donum, utpote pu- D rificans peccatum et vivificans animas, præfigurat Deus baptisma in rebus Judaicis, et ipsis quoque aquam dat quæ purificet sordes, quæ non sordes proprie erant, sed videbantur esse: ut si quando tetigissent mortuum, vel leprosum, vel aliquid tale. Dat autem et piscinæ hujus miraculum, quod doceret eos ad susceptionem baptismatis. Angelus enim tempore opportuno descendebat, et turbabat aquam, et sanativam illi virtutem indebat. Nusquam enim ista natura aquæ est, ut per se sanet, alioqui hoc perpetuo fieret; sed totum in angelo situm erat, quidquid erat efficaciæ. Ita et apud nos aqua baptismatis, aqua est simpliciter: cum autem acces-

serit Spiritus sancti gratia, propter invocationem Dei, morbos solvit animarum; et si quis cæcus fuisset, obcæcatis oculis animæ ne possit judicare bonum a malo; et si claudus quis fuisset, qui non movebatur ad faciendum bonum et proficiendum in melius; et si aridus et desperati omnino fuisset morbi, nulliusque boni particeps ab aqua illa curabatur. Et tunc infirmitas impediebat quosdam ne sanarentur: nunc autem in baptismo nullum est obstaculum. Non enim uno sanato alii relinquuntur non curati; sed etiam totus orbis confluere et, non imminueretur gratia.

ἔκειτο. Οὕτως οὖν καὶ ἐφ' ἡμῖν τὸ τοῦ βαπτίσματος ὕδωρ, ὕδωρ ἐστὶν ἁπλῶς, δεξάμενον δὲ τὴν τοῦ Πνεύματος χάριν διὰ τῶν θείων ἐπικλήσεων, τὰ ψυχικὰ νοσήματα λύει· κἂν τυφλὸς εἴη τις τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς πεπηρωμένος, καὶ μὴ δυνάμενος διακρῖναι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, κἂν χωλὸς ἀκίνητος πρὸς ἐργασίαν καλοῦ, καὶ προκοπὴν τὴν ἐπὶ τὸ κρεῖττον, κἂν ξηρὸς παντάπασι καὶ ἀπεγνωσμένος, καὶ μηδενὸς ἀγαθοῦ μετουσίαν ἔχων, πάντας τὸ ὕδωρ τοῦτο ἰᾶται. Καὶ τότε μὲν ἡ ἀσθένεια ἐνεπόδιζέ τισι πρὸς τὴν θεραπείαν, νῦν δὲ πρὸς τὸ βαπτισθῆναι οὐδὲν ἔχωμεν κώλυμα. Οὐ γὰρ ἑνὸς θεραπευομένου, οἱ ἄλλοι ἀθεράπευτοι ἐῶνται· ἀλλὰ κἂν πᾶσα ἡ οἰκουμένη συνέλθῃ, οὐκ ἐλαττοῦται ἡ χάρις.

VERS. 5-7. « Erat autem quidam homo illic qui triginta et octo annos morbo tenebatur. Hunc cum vidisset Jesus decumbentem, et cognovisset quod jam multum temporis morbo teneretur, dicit ei: Vis sanus fieri? Respondit ei languidus: Domine, hominem non habeo, ut, cum turbata fuerit aqua, mittat me in piscinam; sed interim dum ego venio, jam alius ante me descendit.» Stupenda paralytici constantia: annos habebat triginta octo, et quotannis liberari a morbo exspectans assidebat, et impediebatur a potentioribus præventus, nec tamen destitit neque desperavit. Ideo et Dominus interrogat eum, volens monstrare nobis fortitudinem hominis; non enim interrogat quasi discere quippiam vellet. Hoc enim non solum superfluum esset, sed insipiens, quærere an æger velit sanari. Factum ergo ut monstretur nobis hominis patientia. Quid igitur ille? Multa cum mansuetudine respondet: Etiam, inquit, Domine, volo quidem, sed non habeo hominem qui possit me in aquam inferre. Nihil blasphemum respondit, non arguit Christum ut stultam interrogationem interrogantem; non maledixit diei nativitatis, sicut pusillanimes facimus, idque cum in leviores morbos inciderimus; sed mansuete et placide responsum dat, tametsi nesciret quisnam esset qui interrogabat. Namque hoc solum existimavit utilitatis sibi 569 accedere fortassis, ut inferret ipsum in aquam, et propterea blande Christo loquitur. Non dixit autem Christus, Vis? sanabo te, ut ne videretur gloriam quærere.

« Ἦν δέ τις ἄνθρωπος ἐκεῖ, τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ. Τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνούς, ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· Θέλεις ὑγιὴς γενέσθαι; Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. » Ἐκπληκτικὴ ἡ καρτερία τοῦ παραλύτου. Ἔτη τριάκοντα καὶ ὀκτὼ εἶχε, καὶ καθ' ἕκαστον ἐνιαυτὸν ἀπαλλαγήσεσθαι τοῦ νοσήματος προσδοκῶν, ἐνηδρεύετο ἐμποδιζόμενος ὑπὸ τῶν δυνατωτέρων. Καὶ ὅμως ἀφίστατο, οὐδὲ ἀπεγίνωσκε· διὸ καὶ ἐρωτᾷ αὐτὸν ὁ Κύριος, θέλων δεῖξαι ἡμῖν τὴν καρτερίαν τοῦ ἀνθρώπου· οὐ γὰρ δὴ ὡς μαθησόμενος ἐρωτᾷ. Τοῦτο γὰρ οὐ μόνον περιττόν, ἀλλὰ καὶ ἀνόητον, τὸ ἐρωτᾷν εἰ θέλει ὁ νοσῶν ὑγιᾶναι. Ὅπερ οὖν εἶπον, ἵνα δείξῃ ἡμῖν τὴν καρτερίαν τοῦ ἀνθρώπου, διὰ τοῦτο ἐρωτᾷ. Τί οὖν ἐκεῖνος; Μετὰ πολλῆς ἐπιεικείας ἀποκρίνεται· Ναί, φησί, Κύριε, θέλω μέν, ἀλλ' οὐκ ἔχω ἄνθρωπον τὸν δυνάμενόν με ἐμβαλεῖν τῷ ὕδατι. Οὐδὲν βλάσφημον ἀπεκρίνατο, οὐκ ἀπεπέμψατο τὸν Χριστόν, ὡς ἐρωτήσαντα ἄτοπον ἐρώτημα, οὐ κατηράσατο τὴν ἡμέραν τῆς γεννήσεως, οἷα οἱ μικρόψυχοι ποιοῦμεν, καὶ ταῦτα ἐλαφροτέραις νοσήμασι περιπίπτοντες. ἀλλὰ πράως καὶ δυσωπητικῶς ποιεῖται τὴν ἀπόκρισιν, καίτοι γε μὴ εἰδώς, ὅστις ποτὲ ἦν ὁ ἐρωτῶν, ἀλλ' ἢ τοῦτο μόνον ἴσως ἐνόμισε, χρησιμεύει[ν] αὐτῷ τὸν Χριστόν, ὥστε ἐμβαλεῖν αὐτὸν εἰς τὸ ὕδωρ, καὶ διὰ τούτων ἐπισπάσασθαι καὶ δυσωπῆσαι τῶν ῥημάτων βούλεται. Οὐκ εἶπε δὲ ὁ Χριστός, Θέλεις; θεραπεύσω σε, ἵνα μὴ δόξῃ κομπάζειν.

VERS. 8-10. « Dicit ei Jesus: Surge, tolle grabatum tuum et ambula. Et statim sanus factus est homo ille, et sustulit grabatum suum et ambulabat. Erat autem Sabbatum in die illo. Dicebant ergo Judæi ei qui sanatus fuerat: Sabbatum est, non licet tibi tollere grabatum.» Jubet tolli lectulum, volens credibilius fieri miraculum quod faciebat, ne putaretur esse phantasma quoddam. Nisi enim membra firme fuissent solidata, lectulum ferre non potuisset. Non autem exegit ab eo fidem antequam sanasset, sicut in aliis quibusdam; quia æger ille nondum viderat eum signa facientem. Etenim Dominus fidem exigere non solebat ab illis

« Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. Καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει. Ἦν δὲ Σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· Σάββατόν ἐστιν· οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον. » Κελεύει ἆραι τὸ κλινίδιον, πιστώσασθαι βουλόμενος τὸ γενόμενον θαῦμα, ὥστε μηδένα νομίσαι φαντασίαν αὐτὸ εἶναι. Οὐ γὰρ ἄν, εἰ μὴ βεβαίως καὶ σφόδρα συνεπάγη αὐτῷ τὰ μέλη, τὴν κλίνην φέρειν ἠδύνατο. Οὐκ ἀπαιτεῖ δὲ αὐτὸν πρὸ τῆς ἰάσεως πίστιν, ὥσπερ ἐπὶ ἄλλων τινῶν, ὅτι οὐδέπω αὐτὸν εἶδεν ὁ ἀσθενῶν σημεῖον πεποιηκότα. Καὶ γὰρ κἀκείνους, οὓς ἀπαι-

τεῖ πίστιν ὁ Κύριος, οὐ πρὸ τῶν θαυμάτων, ἀλλὰ μετὰ τὸ ποιῆσαι ἐνώπιον αὐτῶν τὰ θαύματα, ἀπαιτεῖ αὐτοὺς τὴν πίστιν. Ὅρα δέ μοι πῶς ἅμα τε ἤκουσε καὶ ἐπίστευσεν. Οὐ γὰρ διεκρίθη καθ' ἑαυτόν, καὶ εἶπεν· Οὐ λῆρος οὗτος, ὃς αὐθωρὸν ἐγερθῆναί με ἐγκελεύεται; τριάκοντα ὀκτὼ ἔτη ἔχων, οὐκ ἐπέτυχον ἰάσεως, καὶ οὕτως ἀθρόον ἐγερθήσομαι; Οὐδὲν τοιοῦτον, ἀλλὰ πιστεύσας ἠγέρθη. Ἐν Σαββάτῳ δὲ θεραπεύει, διδάσκων τοὺς ἀνθρώπους ἑτέρως νοεῖν τὰς τοῦ νόμου παρατηρήσεις, καὶ μὴ τῇ σωματικῶς νοουμένῃ ἀργίᾳ δοκεῖν τιμᾷν τὸ Σάββατον, ἀλλὰ τῇ τῶν κακῶν ἀποχῇ. Ἐπεὶ τόγε ἀγαθοποιεῖν ἐν Σαββάτῳ, οὐκ ἂν ὁ νόμος ἐκώλυε, νόμος ὢν τοῦ Θεοῦ τοῦ ἀγαθοποιοῦντος.

« Ἀπεκρίθη αὐτοῖς· Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. Ἠρώτησαν οὖν αὐτόν· Τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει; Ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν, ὄχλου ὄντος ἐν τῷ τόπῳ. » Χρὴ θαυμάσαι τὴν τοῦ ἀνθρώπου πρὸς Ἰουδαίους παῤῥησίαν, πῶς ἐπιχειρούντων αὐτῷ καὶ λεγόντων, « Οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατόν σου διὰ τὸ Σάββατον, » αὐτὸς μετὰ παῤῥησίας ἀνεκήρυττε τὸν εὐεργέτην· « Ὁ ποιήσας με ὑγιῆ, αὐτός μοι εἶπεν· » ὡσανεὶ τοιαῦτα λέγων· Ληρεῖτε, καὶ παραπαίετε, κελεύοντες μὴ πείθεσθαι τῷ ἀπὸ μακρᾶς οὕτω καὶ χαλεπῆς με νόσου ἀπαλλάξαντι. Οἱ δὲ Ἰουδαῖοι οὐκ ἐρωτῶσιν αὐτόν, Τίς ἐστιν ὁ ποιήσας σε ὑγιῆ; ἀλλά, Τίς ἐστιν ὁ εἰπών σοι· Ἆρον τὸν κράββατον; » Οὕτως ἄρα πρὸς μὲν τὸ καλὸν ἐθελοντὶ ἐτύφλωττον, τὴν δὲ δοκοῦσαν παράβασιν τοῦ Σαββάτου ἄνω καὶ κάτω προέφερον· ὁ δὲ Ἰησοῦς ἐξένευσε, πρῶτον μέν, ἵνα ἀπόντος αὐτοῦ ἀνύποπτος γένηται ἡ μαρτυρία ἡ περὶ τῆς ὑγείας, καὶ μὴ δόξῃ ὁ ἄνθρωπος καταχαρίζεσθαι αὐτῷ, ἀλλὰ τῇ ἀληθείᾳ προσμαρτυρεῖν· ἔπειτα, ἵνα μὴ ἐπὶ πλεῖον ἀνάψῃ τοῖς Ἰουδαίοις τὸν θυμόν. Οἶδε γὰρ καὶ ὄψις μόνη τοῦ διαφθονουμένου, οὐ μικρὸν τοῖς βασκαίνουσιν ἐνιέναι σπινθῆρα φθόνου· διὰ τοῦτο ἀφίησιν αὐτὸ καθ' ἑαυτὸ τὸ ἔργον ἐξετάζεσθαι. Οἱ γὰρ ἐγκαλοῦντες Ἰουδαῖοι, εἰς ἐξέτασιν καὶ λόγους τὸ γεγονὸς φέροντες, ἐξακουστότερον αὐτὸ ποιοῦσιν.

« Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ· Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. Ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ ἀπήγγειλε τοῖς Ἰουδαίοις, ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ. Καὶ διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίησεν ἐν Σαββάτῳ. » Ἐκ τοῦ φάναι τὸν Κύριον τῷ παραλύτῳ, « Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, » μανθάνομεν πρῶτον μέν, ὅτι ἐξ ἁμαρτιῶν ἐτέχθη τῷ ἀνθρώπῳ τὸ νόσημα· δεύτερον δέ, ὅτι ἀληθὴς ὁ περὶ τῆς γεέννης λόγος, καὶ ὅτι ἀΐδιός ἐστιν ἡ τιμωρία. Ποῦ γὰρ νῦν εἰσιν οἱ λέγοντες, ὅτι Ἐν μιᾷ ὥρᾳ ἐπόρνευσα, καὶ πῶς ἀθάνατα κολασθήσομαι; Ἰδοὺ γὰρ καὶ οὗτος οὐκ ἐν τοσούτοις ἥμαρτεν ἔτεσιν, ἐν ὅσοις ἐκολάζετο, ἀλλ' ὁλόκληρον

A antequam in conspectu eorum faceret miracula, sed postquam vidissent miracula, exigebat fidem. Attende autem quod simul atque audivit, credidit Non enim secum murmuravit, et dixit : Nonne nugatur iste, qui eodem momento me surgere jubet (a)? Triginta et octo annos habens, nunquam sanitatem assecutus sum, et sic repente surgam? Nihil tale cogitavit, sed credidit ac surrexit. In Sabbato sanat, docens hominem aliter intelligere legis observationes, et non putare coli Sabbatum otio corporali, sed malorum abstinentia. Nam benefacere alicui in Sabbato lex non prohibet, quæ lex est Dei semper benefacientis.

B VERS. 11-13. « Respondit eis : Qui me sanum fecit, is mihi dixit: Tolle grabatum tuum et ambula. Interrogaverunt ergo eum : Quis est ille homo qui dixit tibi : Tolle grabatum tuum et ambula? Is autem qui sanus fuerat effectus, nesciebat quis esset. Jesus enim subduxit se, quod turba esset in eo loco. » Admirari convenit hominis erga Judæos in dicendo libertatem, quando urgentibus illis et dicentibus, « Non tibi licet tollere grabatum tuum per Sabbatum, » ipse cum fiducia libere prædicat benefactorem : « Qui fecit me sanum, ille mihi dixit, » veluti hujusmodi quædam proferens: Deliratis et desipitis jubentes ne obediam ei qui me a tam diuturno et difficili morbo liberavit. At Judæi non interrogant eum : Quis est qui te sanum fecit? C sed, « Quis est qui dixit tibi, Tolle grabatum? » Ita ad bonum sponte excœcabantur, sursumque ac deorsum rapiebant Sabbati violationem, ut sibi videbatur. At Jesus se subduxerat: primum quidem ut absente ipso testimonium sanitatis illius suspicione magis carere, et ne videretur gratificari ei, sed veritatem testari. Insuper ut ne Judæorum invidiam magis accenderet. Solet enim et aspectus ejus cui invidetur, non parvam invidiæ flammam immittere invidentibus. **570** Propterea permittit factum ipsum per se examinari. Porro Judæi reprehendentes cum factum inquirerent, multis sermonibus celebrius illud reddunt.

D VERS. 14-16 « Postea eum reperit Jesus in templo, et dixit ei : Ecce sanus factus es : ne posthac pecces, ne quid deterius tibi contingat. Abiit ille homo, et nuntiavit Judæis quod Jesus esset qui ipsum fecisset sanum. Et propter hoc persequebantur Judæi Jesum, et quærebant eum occidere, quod ista fecisset in Sabbato. » Ex eo quod Dominus paralytico dixit : « Vide, sanus factus es; ne posthac pecces, » primum quidem discimus, ex peccatis natos hominum morbos, deinde vera enarrari de gehenna æternumque esse supplicium. Jam ubi nunc sunt qui dicun : [Ad unam horam indulsi rei venereæ, quomodo in perpetuum puniar? Ecce enim etiam hic non tot annis peccaverat quot puniebatur, sed ferme integram hominis vitam in

(a) Edit. Lut., *Me jubes surgere, qui nunc triginta octo annos habeam, et salutem nunquam sim assecutus; et sic repente surgerem?*

supplicii mensuram amplam impendit. Sane peccata non judicantur tempore, sed ipsa delictorum natura. Quin hic et illud discimus, quod licet gravem luamus pro primis peccatis pœnam, si deinde iterum in eadem incidamus peccata, iterum graviora patiemur, idque merito. Qui enim priori supplicio non emendatus est, ad majora tormenta ducetur, tanquam insensatus et contemptor. Et quare, inquit, non omnes sic puniuntur? Etenim multos improborum videmus bene valentes corpore, et in deliciis ac prosperitate viventes. Verum quod illi nihil hic patiuntur, viaticum erit eis ad supplicium gravius, quod alibi ferent. Et hoc Paulus manifeste dicebat: « Cum enim judicamur a Domino, » hic scilicet, « erudimur, ut ne cum hoc mundo condemnemur [26], » alibi videlicet: nam quæ hic fiunt, admonitionis sunt: quæ autem alibi, suppliciorum. Quid igitur? numquid omnes morbi sunt ex peccatis? Non omnes quidem, sed plures. Morbi enim aliqui propter peccata accidunt, sicut et istius paralytici, et in libris Regum videmus quemdam laborantem dolore pedum propter peccatum [27]. Aliqui autem sunt propter probationem et prædicationem sicut morbus Job, ut monstretur ejus virtus. Quidam autem etiam ab ignavia oriuntur, utpote gula et ebrietate. Sunt autem nonnulli qui conjecturam sumunt ex hoc quod Dominus dicit, « Ne posthac pecces: » et asserunt quod Dominus sciverit quod paralyticus ille indicaturus esset et significaturus Judæis, postquam reperisset eum in templo: et propterea dicit: « Ne ultra pecces. » Sed non est ita. Videtur enim pius homo esse. Nam « reperit eum, inquit, Jesus in templo, » nisi enim pius fuisset, exposuisset se voluptati et deliciis in domum currens,
871 et effugisset Judæorum insaniam, ne illis rationem redderet: sed nihil horum terruit eum ut desisteret a templo. Sed et postquam agnovit Jesum, vide quanta gratitudine eum Judæis prædicet. Non enim dicit, Jesus est qui dixit mihi: Tolle grabatum; id quod illi audire volebant; sed is qui ipsum sanum fecit: id quod audire non ferebant, pro crimine habentes Sabbati violationem? Quod autem Judæi persequebantur Dominum, quid propterea peccavit homo qui illum eis ostendit? Ipse enim grata mente, ut et alios ad fidem attraheret, prædicabat Servatorem. At cum illi persequerentur benefactorem, ipsorum erat crimen. Porro per probaticam piscinam intellige baptisma, in quo Jesus Dominus noster, ovis illa pro nobis immolata, lotus est et baptizatus pro nobis. Quinque autem porticus habet ista piscina. Quatuor enim virtutes, et una contemplativa, in baptismate apparent. Igitur humana natura, veluti paralyticus quidam, cujus omnes animales virtutes morbo correptæ sunt, jacet triginta octo annis ægrotans. Neque enim recte se habebat in fide Trinitatis, neque octavum sæculum, resurrectionem dico, et

[26] I Cor. XI, 32. [27] II Reg. 15.

A ἀνθρώπου βίον σχεδὸν ἠνάλωσεν ἐν τῷ μέτρῳ τῆς τιμωρίας. Οὐ γὰρ χρόνῳ τὰ ἁμαρτήματα κρίνεται, ἀλλ' αὐτῇ τῇ φύσει τῶν πεπλημμελημένων. Μετὰ τούτων κἀκεῖνο μανθάνομεν, ὅτι κἂν χαλεπὴν δῶμεν ὑπὲρ τῶν προτέρων ἁμαρτημάτων τὴν δίκην, εἶτα τοῖς αὐτοῖς ἁμαρτήμασι πάλιν ἐμφορῶμεν, χαλεπώτερα πάλιν πεισόμεθα· καὶ μάλα εἰκότως. Ὁ γὰρ μηδὲ τῇ προτέρᾳ τιμωρίᾳ βελτιωθεὶς, ἐπὶ μείζονα ἄγεται κολαστήρια, ὡς ἀναίσθητος καὶ καταφρονητής. Καὶ τίνος ἕνεκεν, φησὶν, οὐ πάντες οὕτω κολάζονται; Καὶ γὰρ πολλοὺς ὁρῶμεν τῶν φαύλων εὐσωματοῦντας, καὶ σφριγῶντας, καὶ εὐημεροῦντας. Ἀλλὰ τὸ μηδὲν αὐτοὺς παθεῖν ἐνταῦθα, ἐφόδιον γίνεται μείζονος ἐκεῖ τιμωρίας· καὶ τοῦτο δηλῶν ὁ Παῦλος
B ἔλεγεν, ὅτι « Κρινόμενοι ὑπὸ Κυρίου, » ἐνταῦθα δηλονότι, « παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν, » ἐκεῖ δηλαδή· τὰ μὲν γὰρ ἐνταῦθα νουθεσίας, τὰ δὲ ἐκεῖ τιμωρίας ἐστί. Τί οὖν; Πάντα τὰ νοσήματα ἐξ ἁμαρτημάτων; Οὐ πάντα μὲν, ἀλλὰ τὰ πλείονα. Τὰ μὲν γὰρ δι' ἁμαρτήματα, ὥσπερ καὶ τοῦ παραλύτου τούτου, καὶ ἐν ταῖς Βασιλείαις δὲ ὁρῶμέν τινα ποδαλγίᾳ περιπεσόντα δι' ἁμαρτίας· τὰ δὲ δι' εὐδοκίμησιν καὶ ἀνάῤῥησιν, ὥσπερ ἐπὶ τοῦ Ἰὼβ, ἵνα δειχθῇ ἡ ἀρετὴ αὐτοῦ· γίνονται δέ τινα καὶ ἀπὸ ῥᾳθυμίας, οἷον γαστριμαργίας καὶ μέθης. Τινὲς δὲ ἀπὸ τοῦ εἰπεῖν τὸν Κύριον, « Μηκέτι ἁμάρτανε, » στοχαζόμενοι ἀποφαίνονται, ὅτι τοῦτον τὸν παράλυτον ᾔδει ὁ Κύριος μέλλοντα ὑποδεῖξαι αὐτὸν, καὶ καταμηνῦσαι τοῖς Ἰουδαίοις, μεθ' ὃ εὗρεν αὐτὸν ἐν
C τῷ ἱερῷ, καὶ διὰ τοῦτό φησι· « Μηκέτι ἁμάρτανε. » Ἀλλ' οὐκ ἔστι τοῦτο. Φαίνεται γὰρ εὐλαβὴς ὁ ἄνθρωπος. « Εὑρίσκει γὰρ αὐτὸν, φησὶν, ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ. » Καίτοι εἰ μὴ εὐλαβὴς ἦν, ἀνέσει καὶ τρυφῇ ἂν ἐξέδωκεν ἑαυτὸν, οἴκαδε δραμὼν, καὶ ἐξέφυγεν ἂν τὴν τῶν Ἰουδαίων μανίαν, καὶ τὰς λογοπραγίας· ἀλλ' οὐδὲν τούτων αὐτὸν ἐποίησεν ἀποστῆναι τοῦ ἱεροῦ· ἀλλὰ καὶ μετὰ τὸ ἐπιγνῶναι τὸν Ἰησοῦν, ὅρα πῶς αὐτὸν εὐγνωμόνως ἀνακηρύττει τοῖς Ἰουδαίοις. Οὐ γὰρ λέγει, ὅτι Ἰησοῦς ἐστιν ὁ εἰπὼν Ἆρον τὸν κράββατον, ὅπερ ἐκεῖνοι ἤθελον ἀκούειν, ἀλλ' ὁ ποιήσας αὐτὸν ὑγιῆ, ὅπερ ἀκούειν οὐκ ἠνείχοντο, ἔγκλημα ποιούμενοι τὴν τοῦ Σαββάτου παράλυσιν. Εἰ δὲ Ἰουδαῖοι ἐδίωκον τὸν Κύριον, τί παρὰ τοῦτο ἥμαρτεν ὁ ἄνθρωπος, ὑποδείξας αὐτὸν αὐτοῖς; Αὐτὸς μὲν γὰρ ἀπ' εὐγνώμονος διανοίας, ἵνα καὶ τοὺς ἄλλους ἐφελκύσηται πρὸς πίστιν, ἐκήρυττε τὸν θεραπευτήν·
D εἰ δὲ ἐκεῖνοι ἐδίωκον τὸν εὐεργέτην, ἐκείνων τὸ ἔγκλημα. Νόει δέ μοι προβατικὴν κολυμβήθραν, τὴν τοῦ βαπτίσματος χάριν, ἐν ᾗ τὸ ὑπὲρ ἡμῶν τυθὲν πρόβατον Ἰησοῦς ὁ Κύριος, ἐλούσθη βαπτισάμενος ὑπὲρ ἡμῶν. Πέντε δὲ στοὰς ἔχει αὕτη ἡ κολυμβήθρα. Αἱ γὰρ τέσσαρες ἀρεταὶ, καὶ τὸ θεωρητικὸν καὶ δογματικὸν, τῷ βαπτίσματι συνεμφαίνονται. Ἡ τοίνυν ἀνθρωπίνη φύσις, οἷά τις παράλυτος, πάσας τὰς ψυχικὰς δυνάμεις παραθεῖσα, κατέκειτο τριάκοντα καὶ ὀκτὼ ἔτη νοσοῦσα. Οὔτε γὰρ ἐν τῇ εἰς Τριάδα πίστει ὑγιῶς εἶχεν, οὔτε ὄγδοον αἰῶνα, ἀνάστασιν λέγω

καὶ κρίσιν τῶν βεβιωμένων, βεβαίως ἐπίστευε γενήσεσθαι. Διὸ καὶ οὐχ εὕρισκε θεραπείαν· οὐδὲ γὰρ εἶχεν ἄνθρωπον τὸν ἐμβαλοῦντα εἰς τὴν κολυμβήθραν, τουτέστιν, οὔπω ἐγεγόνει ἄνθρωπος ὁ Υἱὸς τοῦ Θεοῦ, ὃς ἔμελλε διὰ τοῦ βαπτίσματος ὑγιᾶσαι αὐτόν. Ὅτε δὲ γέγονεν ἄνθρωπος, τότε ὑγίασε μὲν τὴν φύσιν ἡμῶν, προσέταξε δὲ καὶ τὸ κλινίδιον ἆραι, τουτέστι, καὶ τὸ σῶμα κοῦφον ποιῆσαι καὶ ἐλαφρὸν, καὶ ἆραι ἀπὸ τῆς γῆς, μὴ βαρυνόμενον σαρξὶ καὶ μερίμναις γηΐναις, ἀλλὰ τῆς πρὸς τὸ καλὸν ῥᾳθυμίας ἐξαναστῆσαι, καὶ περιπατεῖν, ὅ ἐστι κινεῖσθαι πρὸς τὴν τοῦ ἀγαθοῦ ἐργασίαν. Τὸ δὲ ταράσσεσθαι τὸ ὕδωρ τῆς κολυμβήθρας τοῦτο δηλοῖ, τὸ ἐν αὐτῇ θορυβεῖσθαι τὰ πνεύματα τῆς πονηρίας, συντριβόμενα καὶ συμπνιγόμενα τῇ τοῦ ἁγίου Πνεύματος χάριτι. Εἴη B δὲ καὶ ἡμᾶς ἐπιτυχεῖν τῆς ὑγείας, τοὺς παρειμένους μὲν, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀκινητοῦντας, μὴ ἔχοντας δὲ ἄνθρωπον, τουτέστιν, ἀνθρώπινον λογισμὸν, οἷα παρασυμβληθέντας τοῖς κτήνεσιν τοῖς ἀνοήτοις, ἵνα βάλλῃ ἡμᾶς εἰς τὴν τῶν δακρύων τῆς μετανοίας κολυμβήθραν, εἰς ἣν ὁ πρῶτος ἐμβὰς θεραπεύεται. Ὁ γὰρ εἰς τοὺς ὑστέρους καιροὺς ἀναβαλλόμενος, καὶ ὑπερτιθεὶς τὴν μετάνοιαν, καὶ μὴ σπεύδων ἐνταῦθα μετανοῆσαι, ἀλλ' ὑστερῶν, οὐ τυγχάνει τῆς ἰάσεως. Πρῶτος οὖν σπούδασον ἐμβῆναι, ἵνα μή σε προλάβῃ ὁ θάνατος. Ταύτην δὲ τὴν κολυμβήθραν τῆς μετανοίας ἄγγελος ταράσσει. Ποῖος; Ὁ τῆς μεγάλης βουλῆς τοῦ Πατρὸς, ὁ Χριστὸς καὶ Σωτήρ. Εἰ γὰρ μὴ ἅψηται τῆς καρδίας ἡμῶν ὁ θεῖος λόγος, καὶ ταραχὴν ἐργάσηται ἐν ταύτῃ C διὰ μνήμης τῶν ἐν τῷ μέλλοντι αἰῶνι κολαστηρίων, οὐκ ἄλλως ἐνεργηθήσεται ἡ κολυμβήθρα αὕτη, οὐδὲ ὑγεία γίνεται τῇ παρειμένῃ ψυχῇ. Προβατικὴ δ' ἂν εἰκότως κληθείη αὕτη· τὰ γὰρ ἐντόσθια καὶ οἱ λογισμοὶ τῶν εἰς θυσίαν ζῶσαν ἁγίων εὐάρεστον τῷ Θεῷ ἑτοιμαζομένων, καὶ ἀκάκων γινομένων, ὡς πρόβατα ἐν ταύτῃ ἀπολύονται. Γένοιτο οὖν ἡμᾶς τῆς ὑγείας τυχεῖν, καὶ ἐν τῷ ἱερῷ εὑρεθῆναι μετὰ τὴν ὑγείαν, ἤγουν, μηκέτι ἀνιέροις λογισμοῖς μολυνθῆναι, ἵνα μὴ χεῖρον ἡμῖν ἡ μέλλουσα κόλασις γένηται.

« Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς· Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Διὰ τοῦτο οὖν μᾶλλον αὐτὸν ἐζήτουν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ Σάββατον, ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. » Οἱ μὲν Ἰουδαῖοι ὡς ἐργασαμένῳ ἐν Σαββάτῳ τὴν θεραπείαν, ἐγκαλοῦσι τῷ Χριστῷ· αὐτὸς δὲ οἷα δὴ ὁμότιμος ὢν D τῷ Πατρὶ καὶ τῆς αὐτῆς ἐξουσίας, φησὶν, ὅτι Ὥσπερ ὁ Θεὸς καὶ Πατήρ μου ἐργάζεται καὶ ἐν Σαββάτῳ, καὶ οὐκ ἐγκαλεῖται αὐτῷ, οὕτως οὐδὲ ἐμοί. Πῶς δὲ ὁ Πατὴρ ἐργάζεται ἕως ἄρτι, τοῦ Μωσέως λέγοντος, ὅτι « Κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ; » Θέλεις μαθεῖν, πῶς ἐργάζεται ἔτι ὁ Θεός; Ὅρα τὴν οἰκουμένην, καὶ κατάμαθε τὰ τῆς Προνοίας ἔργα· ἥλιον ἀνατέλλοντα, δυόμενον, θάλασσαν, πηγὰς, ποταμοὺς, ζῶα πάντα ἁπλῶς δημιουργηθέντα· καὶ ἴδοις ἂν τὴν κτίσιν τὰ ἑαυτῆς ἐνεργοῦσαν, μᾶλλον δὲ ἐνεργουμένην, καὶ κινουμένην τῷ ἀρρήτῳ τῆς Προνοίας λόγῳ. Πάντως δὲ ἡ Πρόνοια καὶ ἐν Σαββάτῳ

A judicium operum hujus vitæ firmiter credebat fore: ideo et non invenit curam. Non enim habebat hominem qui inferret in piscinam, hoc est, nondum erat factus homo Filius Dei, qui per baptismum illum sanaturus esset. Quando autem factus est homo, tunc sanavit quidem naturam nostram: præcepit autem et lectulum ferre, hoc est, et corpus leve facere et expeditum, et sustollere a terra, ne gravetur carnibus et terrenis curis, sed surgat a desidia ad bonum, et ambulet, quod est moveri ad operationem boni. Turbari autem aquam piscinæ significat quod in ipsa turbentur spiritus malitiæ, contriti et suffocati gratia Spiritus. Utinam et nos assequamur sanitatem, qui dissoluti sumus, et ad B omne opus bonum immobiles, neque habemus hominem, hoc est, humanam rationem, utpote comparati jumentis insipientibus, ut portet nos in piscinam pœnitentiæ lacrymarum, in quam qui primus ingreditur, sanatur. Nam qui pœnitentiam differt in tempora posteriora, nec festinat hic pœnitere, sed procrastinat, non assequitur sanitatem. Primus festina ingredi, ne te mors præoccupet. Hanc autem piscinam pœnitentiæ angelus turbat, qualis? Ille magni consilii Patris, Christus et Salvator. Nam nisi tetigerit cor nostrum divinum verbum, et turbationem fecerit in illo propter memoriam futurorum suppliciorum, nunquam efficax erit piscina ita, neque sanitas erit animæ dissolutæ. Probatica autem quædam dicitur ista. Nam intestina et cogi- C tationes quæ in sacrificium vivum, sanctum, beneplacitum **672** Deo præparantur, et innocentia fiunt; sicut πρόβατα, hoc est, oves, in ista abluntur. Itaque faxit Deus ut sanitatem consequamur, et in templo post sanitatem inveniamur, hoc est, ne ultra profanis cogitationibus inquinemur, ut ne in graviorem incidamus pœnam futuram.

VERS. 17, 18. « Jesus autem respondit eis: Pater meus usque ad hoc tempus operatur, et ego operor. Propterea magis quærebant eum Judæi interficere, quia non solum solvisset Sabbatum, sed et Patrem suum dixisset Deum, æqualem se Deo faciens. » Judæi quidem crimen imponunt Christo, nempe D quod operatus sit in Sabbato sanationem: ipse autem tanquam æqualis Patri et ejusdem auctoritatis dicit: Sicut Deus et Pater meus operatur etiam in Sabbato, et reprehensione caret, ita neque ego crimini obnoxius sum. Quomodo autem Pater operatur usque ad hoc tempus, cum Moyses dicat quod quieverit Deus ab omnibus operibus suis [20]? Vis discere quomodo operatur adhuc Deus? Vide dispensationem rerum, et disce opera Providentiæ, solem orientem, occidentem, mare, fontes, flumina, animalia, et simpliciter omnes facturas, et videbis creaturam opera sua operari, imo operationem recipere, et moveri ineffabili Providentiæ verbo. Omnino autem

[20] Gen. II, 2.

supplicii mensuram amplam impendit. Sane peccata non judicantur tempore, sed ipsa delictorum natura. Quin hic et illud discimus, quod licet gravem luamus pro primis peccatis pœnam, si deinde iterum in eadem incidamus peccata, iterum graviora patiemur, idque merito. Qui enim priori supplicio non emendatus est, ad majora tormenta ducetur, tanquam insensatus et contemptor. Et quare, inquit, non omnes sic puniuntur? Etenim multos improborum videmus bene valentes corpore, et in deliciis ac prosperitate viventes. Verum quod illi nihil hic patiuntur, viaticum erit eis ad supplicium gravius, quod alibi ferent. Et hoc Paulus manifeste dicebat: « Cum enim judicamur a Domino, » hic scilicet, « erudimur, ut ne cum hoc mundo condemnemur [26], » alibi videlicet: nam quæ hic fiunt, admonitionis sunt: quæ autem alibi, suppliciorum. Quid igitur? numquid omnes morbi sunt ex peccatis? Non omnes quidem, sed plures. Morbi enim aliqui propter peccata accidunt, sicut et istius paralytici, et in libris Regum videmus quemdam laborantem dolore pedum propter peccatum [27]. Aliqui autem sunt propter probationem et prædicationem sicut morbus Job, ut monstretur ejus virtus. Quidam autem etiam ab ignavia oriuntur, utpote gula et ebrietate. Sunt autem nonnulli qui conjecturam sumunt ex hoc quod Dominus dicit, « Ne posthac pecces: » et asserunt quod Dominus sciverit quod paralyticus ille indicaturus esset et significaturus Judæis, postquam reperisset eum in templo: et propterea dicit: « Ne ultra pecces. » Sed non est ita. Videtur enim pius homo esse. Nam « reperit eum, inquit, Jesus in templo, » nisi enim pius fuisset, exposuisset se voluptati et deliciis in domum currens,
871 et effugisset Judæorum insaniam, ne illis rationem redderet: sed nihil horum terruit eum ut desisteret a templo. Sed et postquam agnovit Jesum, vide quanta gratitudine eum Judæis prædicet. Non enim dicit, Jesus est qui dixit mihi: Tolle grabatum; id quod illi audire volebant; sed is qui ipsum sanum fecit: id quod audire non ferebant, pro crimine habentes Sabbati violationem? Quod autem Judæi persequebantur Dominum, quid propterea peccavit homo qui illum eis ostendit? Ipse enim grata mente, ut et alios ad fidem attraheret, prædicabat Servatorem. At cum illi persequerentur benefactorem, ipsorum erat crimen. Porro per probaticam piscinam intellige baptisma, in quo Jesus Dominus noster, ovis illa pro nobis immolata, lotus est et baptizatus pro nobis. Quinque autem porticus habet ista piscina. Quatuor enim virtutes, et una contemplativa, in baptismate apparent. Igitur humana natura, veluti paralyticus quidam, cujus omnes animales virtutes morbo correptæ sunt, jacet triginta octo annis ægrotans. Neque enim recte se habebat in fide Trinitatis, neque octavum sæculum, resurrectionem dico, et

A ἀνθρώπου βίον σχεδὸν ἠνάλωσεν ἐν τῷ μήκει τῆς τιμωρίας. Οὐ γὰρ χρόνῳ τὰ ἁμαρτήματα κρίνεται, ἀλλ' αὐτῇ τῇ φύσει τῶν πεπλημμελημένων. Μετὰ τούτων κἀκεῖνο μανθάνομεν, ὅτι κἂν χαλεπὴν δῶμεν ὑπὲρ τῶν προτέρων ἁμαρτημάτων τὴν δίκην, εἶτα τοῖς αὐτοῖς ἁμαρτήμασι πάλιν ἐμφορώμεν, χαλεπώτερα πάλιν πεισόμεθα· καὶ μάλα εἰκότως. Ὁ γὰρ μηδὲ τῇ προτέρᾳ τιμωρίᾳ βελτιωθεὶς, ἐπὶ μείζονα ἄγεται κολαστήρια, ὡς ἀναίσθητος καὶ καταφρονητής. Καὶ τίνος ἕνεκεν, φησὶν, οὐ πάντες οὕτω κολάζονται; Καὶ γὰρ πολλοὺς ὁρῶμεν τῶν φαύλων εὐσωματοῦντας, καὶ σφριγῶντας, καὶ εὐημεροῦντας. Ἀλλὰ τὸ μηδὲν αὐτοὺς παθεῖν ἐνταῦθα, ἐφόδιον γίνεται μείζονος ἐκεῖ τιμωρίας· καὶ τοῦτο δηλῶν ὁ Παῦλος
B ἔλεγεν, ὅτι « Κρινόμενοι ὑπὸ Κυρίου, » ἐνταῦθα δηλονότι, « παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν, » ἐκεῖ δηλαδή· τὰ μὲν γὰρ ἐνταῦθα νουθεσίας, τὰ δὲ ἐκεῖ τιμωρίας ἐστί. Τί οὖν; Πάντα τὰ νοσήματα ἐξ ἁμαρτημάτων; Οὐ πάντα μὲν, ἀλλὰ τὰ πλείονα. Τὰ μὲν γὰρ δι' ἁμαρτήματα, ὥσπερ καὶ τοῦ παραλύτου τούτου, καὶ ἐν ταῖς Βασιλείαις δὲ ὁρῶμέν τινα ποδαλγίᾳ περιπεσόντα δι' ἁμαρτίας· τὰ δὲ δι' εὐδοκίμησιν καὶ ἀνάῤῥησιν, ὥσπερ ἐπὶ τοῦ Ἰὼβ, ἵνα δειχθῇ ἡ ἀρετὴ αὐτοῦ· γίνονται δέ τινα καὶ ἀπὸ ῥᾳθυμίας, οἷον γαστριμαργίας καὶ μέθης. Τινὲς δὲ ἀπὸ τοῦ εἰπεῖν τὸν Κύριον, « Μηκέτι ἁμάρτανε, » στοχαζόμενοι ἀποφαίνονται, ὅτι τοῦτον τὸν παράλυτον ᾔδει ὁ Κύριος μέλλοντα ὑποδεῖξαι αὐτὸν, καὶ καταμηνῦσαι τοῖς Ἰουδαίοις, μεθ' ὃ εὗρεν αὐτὸν ἐν
C τῷ ἱερῷ, καὶ διὰ τοῦτό φησι· « Μηκέτι ἁμάρτανε. » Ἀλλ' οὐκ ἔστι τοῦτο. Φαίνεται γὰρ εὐλαβὴς ὁ ἄνθρωπος. « Εὑρίσκει γὰρ αὐτὸν, φησὶν, ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ. » Καίτοι εἰ μὴ εὐλαβὴς ἦν, ἀνέσει καὶ τρυφῇ ἂν ἐξέδωκεν ἑαυτὸν, οἴκαδε δραμὼν, καὶ ἐξέφυγεν ἂν τὴν τῶν Ἰουδαίων μανίαν, καὶ τὰς λογοπραγίας· ἀλλ' οὐδὲν τούτων αὐτὸν ἐποίησεν ἀποστῆναι τοῦ ἱεροῦ· ἀλλὰ καὶ μετὰ τὸ ἐπιγνῶναι τὸν Ἰησοῦν, ὅρα πῶς αὐτὸν εὐγνωμόνως ἀνακηρύττει τοῖς Ἰουδαίοις. Οὐ γὰρ λέγει, ὅτι Ἰησοῦς ἐστιν ὁ εἰπών· Ἆρον τὸν κράββατον, ὅπερ ἐκεῖνοι ἤθελον ἀκοῦσαι, ἀλλ' ὁ ποιήσας αὐτὸν ὑγιῆ, ὅπερ ἀκούειν οὐκ ἠνείχοντο, ἔγκλημα ποιούμενοι τὴν τοῦ Σαββάτου παράλυσιν. Εἰ δὲ Ἰουδαῖοι ἐδίωκον τὸν Κύριον, τί παρὰ τοῦτο ἥμαρτεν ὁ ἄνθρωπος, ὑποδείξας αὐτὸν αὐτοῖς; Αὐτὸς μὲν γὰρ ἀπ' εὐγνώμονος διανοίας, ἵνα καὶ τοὺς ἄλλους ἐφελκύσηται πρὸς πίστιν, ἐκήρυττε τὸν θεραπευτήν·
D εἰ δὲ ἐκεῖνοι ἐδίωκον τὸν εὐεργέτην, ἐκείνων τὸ ἔγκλημα. Νόει δέ μοι προβατικὴν κολυμβήθραν, τὴν τοῦ βαπτίσματος χάριν, ἐν ᾗ τὸ ὑπὲρ ἡμῶν τυθὲν πρόβατον Ἰησοῦς ὁ Κύριος, ἐπλύθη βαπτισάμενος ὑπὲρ ἡμῶν. Πέντε δὲ στοὰς ἔχει αὕτη ἡ κολυμβήθρα. Αἱ γὰρ τέσσαρες ἀρεταὶ, καὶ τὸ θεωρητικὸν καὶ θεαματικὸν, τῷ βαπτίσματι συνεμφαίνονται. Ἡ τοίνυν ἀνθρωπίνη φύσις, οἷά τις παράλυτος, πάσας τὰς ψυχικὰς δυνάμεις παραθεῖσα, κατέκειτο τριάκοντα καὶ ὀκτὼ ἔτη νοσοῦσα. Οὔτε γὰρ ἐν τῇ εἰς Τριάδα πίστει ὑγιῶς εἶχεν, οὔτε ὄγδοον αἰῶνα, ἀνάστασιν λέγω

[26] I Cor. xi, 32. [27] II Reg. 15.

καὶ κρίσιν τῶν βεβιωμένων, βεβαίως ἐπίστευε γενήσεσθαι. Διὰ καὶ οὐχ εὕρισκε θεραπείας· οὐδὲ γὰρ εἶχεν ἄνθρωπον τὸν ἐμβαλοῦντα εἰς τὴν κολυμβήθραν, τουτέστιν, οὔπω ἐγεγόνει ἄνθρωπος ὁ Υἱὸς τοῦ Θεοῦ, ὃς ἔμελλε διὰ τοῦ βαπτίσματος ὑγιᾶσαι αὐτόν. Ὅτε δὲ γέγονεν ἄνθρωπος, τότε ὑγίασε μὲν τὴν φύσιν ἡμῶν, προσέταξε δὲ καὶ τὸ κλινίδιον ἆραι, τουτέστι, καὶ τὸ σῶμα κοῦφον ποιῆσαι καὶ ἐλαφρὸν, καὶ ἆραι ἀπὸ τῆς γῆς, μὴ βαρυνόμενον σαρξὶ καὶ μερίμναις γηΐναις, ἀλλὰ τῆς πρὸς τὸ καλὸν ῥᾳθυμίας ἐξαναστῆσαι, καὶ περιπατεῖν, ὅ ἐστι κινεῖσθαι πρὸς τὴν τοῦ ἀγαθοῦ ἐργασίαν. Τὸ δὲ ταράσσεσθαι τὸ ὕδωρ τῆς κολυμβήθρας τοῦτο δηλοῖ, τὸ ἐν αὐτῇ θορυβεῖσθαι τὰ πνεύματα τῆς πονηρίας, συντριβόμενα καὶ συμπνιγόμενα τῇ τοῦ ἁγίου Πνεύματος χάριτι. Εἴη δὲ καὶ ἡμᾶς ἐπιτυχεῖν τῆς ὑγείας, τοὺς παρειμένους μὲν, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀκινητοῦντας, μὴ ἔχοντας δὲ ἄνθρωπον, τουτέστιν, ἀνθρώπινον λογισμὸν, οἷα παρασυμβληθέντας τοῖς κτήνεσιν τοῖς ἀνοήτοις, ἵνα βάλλῃ ἡμᾶς εἰς τὴν τῶν δακρύων τῆς μετανοίας κολυμβήθραν, εἰς ἣν ὁ πρῶτος ἐμβὰς θεραπεύεται. Ὁ γὰρ εἰς τοὺς ὑστέρους καιροὺς ἀναβαλλόμενος, καὶ ὑπερτιθεὶς τὴν μετάνοιαν, καὶ μὴ σπεύδων ἐνταῦθα μετανοῆσαι, ἀλλ' ὑστερῶν, οὐ τυγχάνει τῆς ἰάσεως. Πρῶτος οὖν σπούδασον ἐμβῆναι, ἵνα μή σε προλάβῃ ὁ θάνατος. Ταύτην δὲ τὴν κολυμβήθραν τῆς μετανοίας ἄγγελος ταράσσει. Ποῖος; Ὁ τῆς μεγάλης βουλῆς τοῦ Πατρὸς, ὁ Χριστὸς καὶ Σωτήρ. Εἰ γὰρ μὴ ἅψηται τῆς καρδίας ἡμῶν ὁ θεῖος λόγος, καὶ ταραχὴν ἐργάσηται ἐν ταύτῃ διὰ μνήμης τῶν ἐν τῷ μέλλοντι αἰῶνι κολαστηρίων, οὐκ ἄλλως ἐνεργηθήσεται ἡ κολυμβήθρα αὕτη, οὐδὲ ὑγεία γίνεται τῇ παρειμένῃ ψυχῇ. Προβατικὴ δ' ἂν εἰκότως κληθείη αὕτη· τὰ γὰρ ἐντόσθια καὶ οἱ λογισμοὶ τῶν εἰς θυσίαν ζῶσαν ἁγίαν εὐάρεστον τῷ Θεῷ ἑτοιμαζομένων, καὶ ἀκάκων γινομένων, ὡς πρόβατα ἐν ταύτῃ ἀπολύνονται. Γένοιτο οὖν ἡμᾶς τῆς ὑγείας τυχεῖν, καὶ ἐν τῷ ἱερῷ εὑρεθῆναι μετὰ τὴν ὑγείαν, ἤγουν, μηκέτι ἀνιέροις λογισμοῖς μολυνθῆναι, ἵνα μὴ χείρων ἡμῖν ἡ μέλλουσα κόλασις γένηται.

judicium operum hujus vitæ firmiter credebat fore: ideo et non invenit curam. Non enim habebat hominem qui inferret in piscinam, hoc est, nondum erat factus homo Filius Dei, qui per baptismum illum sanaturus esset. Quando autem factus est homo, tunc sanavit quidem naturam nostram: præcepit autem et lectulum ferre, hoc est, et corpus leve facere et expeditum, et sustollere a terra, ne gravetur carnibus et terrenis curis, sed surgat a desidia ad bonum, et ambulet, quod est moveri ad operationem boni. Turbari autem aquam piscinæ significat quod in ipsa turbentur spiritus malitiæ, contriti et suffocati gratia Spiritus. Utinam et nos assequamur sanitatem, qui dissoluti sumus, et ad omne opus bonum immobiles, neque habemus hominem, hoc est, humanam rationem, utpote comparati jumentis insipientibus, ut portet nos in piscinam pœnitentiæ lacrymarum, in quam qui primus ingreditur, sanatur. Nam qui pœnitentiam differt in tempora posteriora, nec festinat hic pœnitere, sed procrastinat, non assequitur sanitatem. Primus festina ingredi, ne te mors præoccupet. Hanc autem piscinam pœnitentiæ angelus turbat, qualis? Ille magni consilii Patris, Christus et Salvator. Nam nisi tetigerit cor nostrum divinum verbum, et turbationem fecerit in illo propter memoriam futurorum suppliciorum, nunquam efficax erit piscina ita, neque sanitas erit animæ dissolutæ. Probatica autem quædam dicitur ista. Nam intestina et cogitationes quæ in sacrificium vivum, sanctum, beneplacitum **872** Deo præparantur, et innocentia fiunt; sicut πρόβατα, hoc est, oves, in ista abluuntur. Itaque faxit Deus ut sanitatem consequamur, et in templo post sanitatem inveniamur, hoc est, ne ultra profanis cogitationibus inquinemur, ut ne in graviorem incidamus pœnam futuram.

« Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς· Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Διὰ τοῦτο οὖν μᾶλλον αὐτὸν ἐζήτουν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ Σάββατον, ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. » Οἱ μὲν Ἰουδαῖοι ὡς ἐργασαμένῳ ἐν Σαββάτῳ τὴν θεραπείαν, ἐγκαλοῦσι τῷ Χριστῷ· αὐτὸς δὲ οἷα δὴ ὁμότιμος ὢν τῷ Πατρὶ καὶ τῆς αὐτῆς ἐξουσίας, φησὶν, ὅτι Ὥσπερ ὁ Θεὸς καὶ Πατήρ μου ἐργάζεται καὶ ἐν Σαββάτῳ, καὶ οὐκ ἐγκαλεῖται αὐτῷ, οὕτως οὐδὲ ἐμοί. Πῶς δὲ ὁ Πατὴρ ἐργάζεται ἕως ἄρτι, τοῦ Μωσέως λέγοντος, ὅτι « Κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ; » Θέλεις μαθεῖν, πῶς ἐργάζεται ἔτι ὁ Θεός; Ὅρα τὴν οἰκουμένην, καὶ κατάμαθε τὰ τῆς Προνοίας ἔργα· ἥλιον ἀνατέλλοντα, δυόμενον, θάλασσαν, πηγὰς, ποταμοὺς, ζῶα πάντα ἁπλῶς δημιουργηθέντα· καὶ ἴδοις ἂν τὴν κτίσιν τὰ ἑαυτῆς ἐνεργοῦσαν, μᾶλλον δὲ ἐνεργουμένην, καὶ κινουμένην τῷ ἀρρήτῳ τῆς Προνοίας λόγῳ. Πάντως δὲ ἡ Πρόνοια καὶ ἐν Σαββάτῳ

VERS. 17, 18. « Jesus autem respondit eis: Pater meus usque ad hoc tempus operatur, et ego operor. Propterea magis quærebant eum Judæi interficere, quia non solum solvisset Sabbatum, sed et Patrem suum dixisset Deum, æqualem se Deo faciens. » Judæi quidem crimen imponunt Christo, nempe quod operatus sit in Sabbato sanationem: ipse autem tanquam æqualis Patri et ejusdem auctoritatis dicit: Sicut Deus et Pater meus operatur etiam in Sabbato, et reprehensione caret, ita neque ego criminí obnoxius sum. Quomodo autem Pater operatur usque ad hoc tempus, cum Moyses dicat quod quieverit Deus ab omnibus operibus suis [99]? Vis discere quomodo operatur adhuc Deus? Vide dispensationem rerum, et disce opera Providentiæ, solem orientem, occidentem, mare, fontes, flumina, animalia, et simpliciter omnes facturas, et videbis creaturam opera sua operari, imo operationem recipere, et moveri ineffabili Providentiæ verbo. Omnino autem

[99] Gen. II, 2.

Providentia et in Sabbato sua operatur. Atque ita quia Pater operatur, et in Sabbato creaturam gubernat, merito et ego, inquit, Filius ejus operor. At illi invidia correpti, quærebant eum occidere, non solum quod solveret Sabbatum, sed et Patrem suum diceret Deum, æqualem se faciens Deo. Nam quia se Filium dicebat, necessario honore se faciebat parem Deo. Omnis enim filius ejusdem naturæ est cum patre. Ubi hoc loco est Arius? profecto cæcus factus est circa lumen. Filium enim nominans Christum Patris, non dat ei quod eamdem naturam habeat cum Patre, sed creaturam increati Patris Filium fatetur: tametsi vel Judæos oportebat in magistros assumere, qui propter hoc persequebantur Dominum, quod se Filium diceret Dei: unde necessario colligebant quod æqualis esset Deo: quoniam nisi magna fuisset Filii dignitas et fecisset se æqualem Deo, quare persecuti fuissent illum Judæi.

Vers. 19-21. «Respondit itaque Jesus et dixit eis: Amen, amen dico vobis, non potest Filius facere a se quidquam nisi quod viderit Patrem facientem. Quæcunque enim ille fecerit, hæc itidem et Filius facit. Pater enim diligit Filium, et omnia demonstrat ei quæ ipse facit: et majora his demonstrabit ei opera, ut vos miremini. Sicut enim Pater suscitat mortuos et vivificat, sic et Filius quos vult vivificat.» — «Non potest Filius a seipso facere aliquid» secundum quod nihil alienum vel novum habet **573** a Patre, sed per omnia similis est Patri: neque aliam habet substantiam, ut et aliam virtutem habeat, et consequenter aliam operationem; sed quia eamdem habet substantiam, eamdem habet et virtutem; et propter hoc etiam eadem operatur, et non potest aliud quid facere præter id quod Pater facit. Non enim aliam virtutem habet, vel inferiorem, vel superiorem paterna; sed una est substantia, una virtus, una operatio Patris et Filii. Profecto, inquit, sed Pater quasi doctor quidam est Filii, quodammodo ei demonstrans quomodo oporteat operari. Nam nisi Filius viderit Patrem facientem, nihil facit. Igitur interrogo talia nugantes Arium et Eunomium, quomodo docet Pater Filium? in sapientia, vel non? Omnino in sapientia. Quæ autem sapientia Dei? Nonne ipse Filius? Etiam prefecto. Itaque Filius docet seipsum. Papæ quanta vestra insipientia! Siquidem quasi puerum quemdam traditis Patri Filium erudiendum. Ego autem cum Dei sapientia assero, si quid movit Pater non sine Filio movit. Ipse enim est sapientia ejus: si quid potest Pater, non sine Filio potest. Ipse enim est ejus potentia. Quod autem hæc vera sint, audi: «Quia quæcunque facit Pater, ea et Filius similiter facit.» Si Pater cum potestate et virtute, et Filius similiter. Non igitur inferior Filius Patre. Quod autem humiliter dicta sint, «Ostendit ei omnia:» Et, «Majora his ostendet,» non oportet admirari. Nam ad homines loquitur, qui contra ipsum clamabant, et præ invidia dissecabantur. Et nisi

τὰ οἰκεῖα ἐνεργεῖ. Ὥστε ἐπεὶ ὁ Πατὴρ ἐργάζεται, καὶ ἐν Σαββάτῳ τὴν κτίσιν διακυβερνᾷ, εἰκότως κἀγὼ, φησὶν, ὁ Υἱὸς αὐτοῦ ἐργάζομαι. Οἱ δὲ, διατηκόμενοι τῷ φθόνῳ, ἐζήτουν αὐτὸν ἀποκτεῖναι, οὐ μόνον, ὅτι ἔλυε τὸ Σάββατον, ἀλλ' ὅτι καὶ Πατέρα αὐτοῦ ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. Ἐπεὶ γὰρ Υἱὸν ἔλεγεν ἑαυτὸν, ἀναγκαίως ἰσότιμον ἐποίει ἑαυτὸν τῷ Θεῷ· πᾶς γὰρ υἱὸς τῆς αὐτῆς ἐστι φύσεως τῷ πατρί. Ποῦ Ἄρειος ἐνταῦθα; Ὄντως τετύφλωται περὶ τὸ φῶς. Υἱὸν γὰρ ὀνομάζων τὸν Χριστὸν τοῦ Πατρὸς, οὐκ ἐδίδου αὐτῷ τὸ καὶ τὴν αὐτὴν φύσιν ἔχειν τῷ Πατρὶ, ἀλλὰ κτίσμα τὸν τοῦ ἀκτίστου Πατρὸς Υἱὸν ὡμολόγει. Καίτοι Ἰουδαίους γοῦν ἔδει διδασκάλους παραλαβεῖν, οἳ διὰ τοῦτο ἐδίωκον τὸν Κύριον, ὅτι Υἱὸν ἑαυτὸν ἔλεγε τοῦ Θεοῦ. Ἀναγκαίως γὰρ συνήγετο, καὶ ἴσος εἶναι Θεῷ· ἐπεὶ εἰ μὴ μέγα ἦν τὸ τοῦ Υἱοῦ ἀξίωμα, καὶ εἰς ἴσον ἦγεν ἑαυτὸν τῷ Θεῷ, τίνος ἕνεκεν ἐδίωκον αὐτόν;

«Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα. Ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. Ὁ γὰρ Πατὴρ φιλεῖ τὸν Υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωοποιεῖ· οὕτω καὶ ὁ Υἱὸς, οὓς θέλει ζωοποιεῖ.» — «Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν,» καθὸ οὐδὲν ἀλλότριον, οὐδὲ ξένον τοῦ Πατρὸς ἔχει, ἀλλὰ πάντα ἔοικε τῷ Πατρί· καὶ οὐκ ἄλλην ἔχει οὐσίαν, ἵνα καὶ ἄλλης δύναμιν ἔχῃ, καὶ ἀκολούθως ἄλλην ἐνέργειαν· ἀλλ' ἐπεὶ τὴν αὐτὴν ἔχει οὐσίαν, τὴν αὐτὴν ἔχει καὶ δύναμιν. Διὰ τοῦτο δὲ καὶ τὰ αὐτὰ ἐνεργεῖ, καὶ οὐ δύναται ἄλλο τι ποιῆσαι, παρ' ὃ ὁ Πατὴρ ποιεῖ. Οὐ γὰρ ἄλλην δύναμιν ἔχει ἢ ὑποδεεστέραν, ἢ ὑπερτέραν τῆς πατρικῆς· ἀλλὰ μία οὐσία, μία δύναμις, μία ἐνέργεια Πατρὶ καὶ Υἱῷ. Ναὶ, φησὶν, ἀλλ' οἷόν τις διδάσκαλός ἐστιν ὁ Πατὴρ τοῦ Υἱοῦ, ὑποδεικνύων αὐτῷ, πῶς δεῖ ἐργάζεσθαι. Ἐὰν γὰρ μὴ βλέπῃ τὸν Πατέρα ὁ Υἱὸς ποιοῦντα, οὐδὲν ποιεῖ. Οὐκοῦν ἐρωτῶ Ἄρειον καὶ Εὐνόμιον, τοὺς ταῦτα ληροῦντας, πῶς διδάσκει ὁ Πατὴρ τὸν Υἱόν. Ἐν σοφίᾳ, ἢ οὔ; Πάντως ἐν σοφίᾳ. Τίς δὲ ἡ σοφία τοῦ Θεοῦ; Ἆρ' οὐχὶ ὁ Υἱός; Ναὶ πάντως. Ὁ Υἱὸς ἄρα διδάσκει ἑαυτόν. Βαβαὶ τῆς ἀνοίας ὑμῶν! εἴγε ὡς παῖδά τινα παραδιδόατε τῷ Πατρὶ τὸν Υἱὸν μαθησόμενον. Ἐγὼ δὲ μετὰ τῆς τοῦ Θεοῦ σοφίας ἀποφαίνομαι, ὅτι εἴ τι οἶδεν ὁ Πατὴρ, οὐκ ἄνευ τοῦ Υἱοῦ οἶδεν· αὐτὸς γάρ ἐστιν ἡ σοφία αὐτοῦ. Εἴ τι δύναται ὁ Πατὴρ, οὐκ ἄνευ τοῦ Υἱοῦ δύναται· αὐτὸς γάρ ἐστιν ἡ δύναμις αὐτοῦ. Ὅτι δὲ ταῦτα ἀληθῆ, ἄκουε· «Ὅ τι ἂν ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ.» Εἰ ὁ Πατὴρ μετ' ἐξουσίας καὶ δυνάμεως, καὶ ὁ Υἱὸς ὁμοίως. Οὐκ ἄρα ὑποδεέστερος ὁ Υἱὸς τοῦ Πατρός. Εἰ δὲ ταπεινῶς εἴρηται τὸ, «Δείκνυσιν αὐτῷ πάντα,» καὶ τὸ, «Μείζονα τούτων δείξει,» οὐ χρὴ θαυμάζειν. Πρὸς γὰρ ἀνθρώπους διαλέγεται φωνοῦντας, κατ' αὐτοῦ, καὶ διαπριομένους τῷ φθόνῳ. Καὶ εἰ μὴ πανταχοῦ παρέπλεκε τὰ τα-

πεινὰ τοῖς ὑψηλοῖς, τί οὐκ ἂν ἐποίουν, ὅπου γε καὶ οὕτω ταπεινῶς τὰ πλείω φθεγγομένου, λυττῶσι; Τί δέ ἐστι, τό, « Καὶ μείζονα τούτων δείξει ; » Ἐπειδὴ παράλυτον ἔσφιγξε, μέλλει δὲ καὶ νεκρὸν ἐγείρειν, διὰ τοῦτό φησιν · Εἰ θαυμάζετε ὅτι παράλυτον ὑγιῆ πεποίηκα, μείζονα τούτων ὄψεσθε. Ὅτι δὲ τὸ δεῖξαι ῥῆμα ταπεινὸν ὄν, κατ' οἰκονομίαν εἶπεν, ἵνα τὴν μωρίαν αὐτῶν παραμυθήσηται, ἄκουε τῶν ἐφεξῆς. « Ὡς γὰρ ὁ Πατήρ, φησίν, ἐγείρει τοὺς νεκρούς, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ. » Ἐγείρει μὲν οὖν ὁ Υἱός, ὥσπερ ὁ Πατήρ, καὶ διὰ τούτου δείκνυσι τὸ τῆς δυνάμεως ἀπαράλλακτον · διὰ δὲ τοῦ, « Οὓς θέλει, τῆς ἐξουσίας τὴν ἰσότητα. Ταῦτα δὲ πάντα οἱ μὲν Ἀρειανοὶ κατὰ τῆς Υἱοῦ δόξης ἐκλαμβάνονται, οἱ δὲ ὀρθόδοξοι ὑπὲρ ταύτης νοοῦμεν.

« Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα. Ὁ μὴ τιμῶν τὸν Υἱόν, οὐ τιμᾷ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν. Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ τῶν λόγων μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. » Ἔδειξεν ἑαυτὸν εὐεργετεῖν δυνάμενον διὰ τῶν πολλῶν σημείων, ὧν ἐποίησεν. Ἐπεὶ δὲ οὐκ (20) ἐδυσώπησεν αὐτούς, ἢ ἐπεσπάσατο πρὸς τὸ τιμῆσαι αὐτόν, ὡς ἄξιον ἦν, φησίν, ὅτι « Τὴν κρίσιν πᾶσαν ὁ Πατὴρ τῷ Υἱῷ δέδωκεν, » ἵνα καὶ ὁ φόβος τῆς κρίσεως πείσῃ αὐτοὺς τιμὴν πρὸς αὐτὸν ἐνδείξασθαι. Εἰώθαμεν γὰρ οἱ ἄνθρωποι, καὶ μάλιστα οἱ ἀλογώτεροι, φόβῳ μᾶλλον ἢ εὐεργεσίαις, τὸ δέον μεταμανθάνειν. Τὸ δέ, « Ἔδωκε τὴν κρίσιν τῷ Υἱῷ ὁ Πατήρ, » οὕτω νόησον, ὅτι κριτὴν αὐτὸν ἐγέννησεν, ὥσπερ ἀκούεις καὶ τό, « Ζωὴν ἔδωκεν αὐτῷ, » καὶ νοεῖς, ὅτι ζῶντα αὐτὸν ἐγέννησεν. Ἐπεὶ γὰρ ὁ Πατήρ ἐστιν αἴτιος τῷ Υἱῷ τοῦ εἶναι, τὰ πάντα, ὅσα ἔχει ὁ Υἱός, λέγεται λαβεῖν παρὰ τοῦ Πατρός, ὡς ἐξ αὐτοῦ φυσικῶς ταῦτα ἔχων. Καὶ τὴν κρίσιν οὖν ἔχει ἐκ τοῦ Πατρὸς οὕτως, ὡς ἔχει αὐτὴν ὁ Πατήρ. Ἵνα γὰρ μὴ ἀκούοντες αἴτιον εἶναι τὸν Πατέρα τοῦ Υἱοῦ, νοήσωμεν ὅτι οὗτός ἐστιν αἴτιος αὐτοῦ, ὥσπερ καὶ τῶν κτισμάτων, καὶ διὰ τοῦτο τῆς τιμῆς ἐλάττωσιν εἰσαγάγωμεν, φησὶν ὅτι οὐδεμία παραλλαγὴ τῷ Υἱῷ πρὸς τὸν Πατέρα. Ὁ γὰρ ἐξουσίαν ἔχων κολάζειν, καὶ τιμᾷν, ὡς βούλεται, ταυτὰ δύναται τῷ Πατρί · διὸ καὶ δεῖ αὐτὸν τιμᾷν οὕτως ὡς τὸν Πατέρα. « Ἵνα γάρ, φησί, πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα. » Οἱ γοῦν περὶ τὸν Ἄρειον, ἐπειδὴ ὡς κτίσμα τιμᾷν οἴονται τὸν Υἱόν, καὶ τὸν Πατέρα λοιπὸν ὡς κτίσμα τιμῶντες ἐλέγχονται. Ἢ γὰρ οὐ τιμῶσιν ὅλως τὸν Υἱόν, καὶ μετὰ τῶν Ἰουδαίων ταττέσθωσαν · ἢ εἴπερ τιμῶσι μὲν αὐτόν, ὡς κτίσμα δέ, πρέπει δὲ τιμᾷν αὐτὸν ὥσπερ καὶ τὸν Πατέρα, ἐλέγχονται πάντως καὶ τὸν Πατέρα ὡς κτίσμα τιμῶντες. Καὶ ἄλλως δέ, κατὰ τὸ ἐπαγόμενον · πῶς τιμῶσι τὸν Πατέρα,

A ubique humilia summis interseruisset, quid non tandem fecissent? quandoquidem insaniunt cum tam multa humiliter loquitur. Quid autem est, «Et majora his ostendet?» Quoniam paralyticum solidaverat, etiam mortuum suscitaturus est, idcirco dicit : Si admiramini quod paralyticum sanum feci, majora his videbitis. Quod autem et hoc verbum monstrabit, humile sit, et per dispensationem dictum, ut insaniam illorum demulceret, audi sequentia. «Nam sicut Pater suscitat mortuos, ita et Filius quos vult, vivificat.» Igitur suscitat quidem Filius sicut Pater, et ideo monstrat potestatem suam nil differentem. Sed et per verbum, «quos vult,» indicat suæ cum Patre potestatis æqualitatem. Hæc autem omnia Ariani quidem exponunt contra gloriam Filii, nos autem orthodoxi pro illa intelligimus.

B VERS. 22-24. «Neque enim Pater judicat quemquam, sed omne judicium dedit Filio, ut omnes honorent Filium, sicut honorant Patrem. Qui non honorat Filium, non honorat Patrem qui misit illum. Amen, amen dico vobis, qui sermonem meum audit, et credit ei qui misit, habet vitam æternam, et in condemnationem 874 non veniet, sed transivit a morte in vitam, » Monstrarat seipsum posse benefacere per multa signa quæ fecerat. Quia autem benefaciendo non placuit eos, nec attraxerat ut se honorarent, sicut dignum erat, dicit quod «Pater omne judicium dederit Filio,» ut vel timor judicii illis persuadeat quo ipsum honore prosequantur. Consuevimus enim nos homines, præser- C tim hi qui crassiore mente præditi sumus, metu potius quam beneficiis quod oportet addiscere. Jam quod dicit, «Dedit judicium Pater Filio,» sic intellige, quod judicem eum genuerit, sic etiam cum audis quod vitam dederit illi, intelligas quod viventem illum genuerit. Quia enim Pater auctor est Filio ut sit, omnia quæcunque habet Filius, dicitur accipere a Patre, eo quod ex illo naturaliter hæc habeat. Igitur et judicium habet a Patre, sicut habet illud Pater: ut ne audientes auctorem esse Patrem Filii, intelligamus quod sic sit auctor ejus, sicut et creaturarum, et propterea honoris imminutionem introducamus : ait quod in nullo minor Filius est Patre. Nam qui habet potestatem puniendi et ho- D norandi sicut vult, eadem potest quæ Pater, ideo et oportet illum honorare eodem modo quo Patrem. Dicit enim, «Ut omnes honorent Filium, sicut honorant Patrem.» Et ita Ariani quia veluti creaturam putant honorandum Filium, et Patrem quoque sicut creaturam honorari debere, redarguuntur : vel omnino non honorant Filium, et cum Judæis ordinantur. Vel si quidem honorant eum, honorant vero ut creaturam, decet autem honorari ipsum sicut et Patrem, redarguuntur omnino et Patrem sicut creatura honorare. Et aliter secundum hoc quod subditur, quomodo honorant Patrem,

Ex collatione codd. Venet. S. Marci.

(20) Cod. 26, ἐπειδὴ εὐεργετῶν οὐκ.

qui non honorant Filium? Subdit enim, « Qui non honorat Filium, non honorat Patrem. » Qui non honorat, inquit, ita ut dixi, sicut et Patrem. Quia si quis dicat quod creatura quidem Filius sit, excellentissima autem omnium creaturarum, et opinetur tribui Filio falsum illum et vanum honorem, inhonorat omnino et Patrem qui misit illum. Dixit autem « eum qui misit, » ne exasperarentur, sicut prædiximus. Nam doctrinam (ut dictum est) mirabiliter implectit. Interdum quidem sublimia de se testimonia, ut dignum erat, fert: interdum autem humilia, propter insaniam inimicorum Judæorum. Nam si cum et surrexisset a mortuis, et ascendisset in cœlos, et per apostolos suam monstrasset virtutem, insurrexerunt Arius et Eunomius contra gloriam ejus, et in creaturam ipsum deduxerunt: Judæi qui tunc erant, qui videbant ipsum in carne ambulare cum publicanis et meretricibus, **575** et comedere et bibere sicut unum ex multis; quid non fecissent si omnia sublimia de se dixisset, et non admiscuisset etiam humilia? Idcirco et subdit: « Qui audit meos sermones, et credit ei qui me misit, habet vitam æternam. » Et mentes eorum etiam per hoc exhilarat, cum audiunt quod audientes sermones ejus, Deo sint credituri. Non enim dixit, Qui credit mihi: sed, « Ei qui me misit. » Igitur qui credit illi, in judicium, hoc est, in supplicium non venit, sed vivit vitam æternam, non subiens mortem animæ ac æternam, etiamsi naturalem et temporalem non effugiat.

VERS. 25-29. « Amen, amen dico vobis, quod venit hora, et nunc est, quando mortui audient vocem Filii Dei: et qui audierint, vivent. Sicut enim Pater habet vitam in semetipso, sic dedit et Filio in semetipso habere vitam: et potestatem dedit ei judicandi quoque, quia Filius hominis est. Nolite mirari hoc; quia venit hora in qua omnes qui in monumentis sunt, audient vocem ejus; et prodibunt qui bona fecerunt, in resurrectionem vitæ; qui vero male egerunt, in resurrectionem condemnationis. » Dixerat superius quod qui non honorat Filium, non honorat Patrem; sublimia quædam de se locutus: quæ ut ne videantur per arrogantiam et inanem gloriam dicta, adjungit et demonstrationem per opera, dicens « Quod venit hora. » Deinde ut ne longum suspicentur tempus, inquit. « Et nunc est, quando mortui audient vocem Filii Dei, » hoc est, meam, qui vobiscum conversor. Dicit autem hæc de iis quos suscitaturus erat; ut de filio viduæ, filia archisynagogi et Lazaro. Deinde et rationem affert dictorum demonstrativam; dicit enim: « Sicut Pater vitam habet in semetipso, ita dedit et Filio vitam habere in semetipso, » ut vivificet audientes vocem ejus. Non solum autem potestatem dedit ei vivificandi, sed et faciendi judicium et puniendi. Sæpe autem in medium affert sermones de judicio, ut auditores excitet. Cui enim persuasum est quod suscitandus

οἱ μὴ τιμῶντες τὸν Υἱόν; Ἐπάγει γάρ· « Ὁ μὴ τιμῶν τὸν Υἱὸν, οὐ τιμᾷ τὸν Πατέρα. » Ὁ μὴ τιμῶν, φησὶν, οὕτως, ὡς εἶπον, καθὼς καὶ τὸν Πατέρα· ἐπεὶ εἴ τις λέγει, ὅτι κτίσμα μὲν ὁ Υἱὸς, ὑπερέχων δὲ πάντων τῶν κτισμάτων, καὶ δοκοίη χαρίζεσθαι τῷ Υἱῷ ψευδῆ ταύτην καὶ ματαίαν τιμὴν, ἀτιμάζει πάντως καὶ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν. Τὸ δὲ, « πέμψαντα, » εἶπεν, ἵνα μὴ ἐκθηριωθῶσι, καθὰ προείπομεν. Τὴν γὰρ διδασκαλίαν, ὡς εἴρηται, πλέκει θαυμασίως, ποτὲ μὲν τὰ ὑψηλὰ ἑαυτῷ προσμαρτυρῶν, ὡς ἦν ἄξιον, ποτὲ δὲ, διὰ τὴν μανίαν τῶν ἐχθρῶν Ἰουδαίων, τὰ ταπεινά. Εἰ γὰρ καὶ ἀναστάντος ἐκ νεκρῶν, καὶ ἀναβάντος εἰς οὐρανοὺς, καὶ διὰ τῶν ἀποστόλων δείξαντος τὴν οἰκείαν δύναμιν, B ἐπανέστησαν Ἄρειος καὶ Εὐνόμιος τῇ δόξῃ αὐτοῦ, καὶ εἰς κτίσμα αὐτὸν κατήγαγον· οἱ τότε Ἰουδαῖοι βλέποντες αὐτὸν ἐν σαρκὶ περιπατοῦντα μετὰ τῶν τελωνῶν καὶ πορνῶν, καὶ τρώγοντα, καὶ πίνοντα, ὡς ἕνα τῶν πολλῶν, τί οὐκ ἂν ἐποίησαν, εἰ πάντα ὑψηλὰ περὶ ἑαυτοῦ ἔλεγε, καὶ μὴ συγκατεμίγνυε καὶ τὰ ταπεινά; Διὸ καὶ ἐπάγει· « Ὁ ἀκούων μου τοὺς λόγους, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον. » Τὰς δὲ γνώμας αὐτῶν καὶ διὰ τούτων ἱλαρύνει ἀκουόντων, ὅτι Θεῷ μέλλουσι πιστεύειν ἀκούοντες τοὺς λόγους αὐτοῦ. Οὐ γὰρ εἶπεν, ὅτι Ὁ πιστεύων ἐμοὶ, ἀλλὰ, « Τῷ πέμψαντί με. » Ὁ τοίνυν πιστεύων ἐκείνῳ, εἰς κρίσιν, ἤτοι εἰς κόλασιν, οὐκ ἔρχεται, ἀλλὰ ζῇ ἀΐδιον ζωὴν, θάνατον τὸν ψυχικὸν καὶ αἰώνιον μὴ ὑφ- C ιστάμενος, εἰ καὶ τὸν φυσικὸν τὸν πρόσκαιρον ὑποσταίη.

« Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ, καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν· ὅτι Υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται, οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. » Εἰπὼν ἀνωτέρω, ὅτι « Ὁ μὴ τιμῶν τὸν Υἱὸν, οὐ τιμᾷ τὸν Πατέρα, καὶ ὑψηλά τινα περὶ αὐτοῦ φθεγξάμενος, ἵνα μὴ δόξῃ κόμπος εἶναι ἃ λέγει, καὶ τῦ- D φος διάκενος, παρέχει καὶ τὴν διὰ τῶν ἔργων ἀπόδειξιν λέγων, ὅτι « Ἔρχεται ὥρα· » εἶτα, ἵνα μὴ μακρὸν ὑποπτεύσωμεν τὸν χρόνον, φησί· « Καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ, » τουτέστι, νῦν ἐμοῦ μεθ' ὑμῶν διατρίβοντος. Ταῦτα δὲ λέγει περὶ ὧν ἔμελλεν ἀναστῆσαι νεκρῶν, οἷον τοῦ υἱοῦ τῆς χήρας, τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου, καὶ τοῦ Λαζάρου. Εἶτα καὶ λογισμὸν ἐπάγει τῶν εἰρημένων ἀποδεικτικόν. « Ὥσπερ γὰρ, φησὶν, ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· » ἵνα ζωογονῇ τοὺς ἀκούοντας αὐτοῦ τῆς φωνῆς. Οὐ μόνον δὲ ἐξουσίαν δέδωκεν αὐτῷ ζωογονεῖν, ἀλλὰ καὶ κρίσιν ποιεῖν, ὥστε κολάζειν καὶ τιμωρεῖσθαι. Συνεχῶς δὲ τοὺς περὶ κρίσεως λόγους εἰς τὸ μέσον ἄγει, ἵνα τοὺς ἀκροατὰς ἐπαγάγηται.

Ὁ γὰρ πεισθεὶς, ὅτι καὶ ἀναστήσεται, καὶ αὐτῷ δώσει τὰς εὐθύνας τῶν πεπλημμελημένων, προσδραμεῖται πάντως αὐτῷ, ἐξιλεούμενος αὐτὸν, ὡς μέλλοντα αὐτοῦ κριτὴν ἔσεσθαι. Μὴ θαυμάζετε δὲ, ὅτι Υἱὸς ἀνθρώπου ἐστίν. Εἰ γὰρ καὶ Υἱὸς ἀνθρώπου ἐστὶν, ἀλλὰ καὶ Θεός ἐστιν· ὥστε τὴν κρίσιν εἰκότως ἔχει, ὡς Υἱὸς Θεοῦ. Εἰ δὲ καὶ ἄνθρωπος φαίνεται, μὴ θαυμάζετε. Χρὴ δὲ γινώσκειν, ὅτι Παῦλος ὁ Σαμοσατεὺς, ψιλὸν ἄνθρωπον δογματίζων τὸν Κύριον, οὕτως ἀνεγίνωσκε τοῦτο τὸ χωρίον· « Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ, καὶ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστίν· » ἐνταῦθα δὲ στίζων, ἀπ' ἄλλης ἀρχῆς ἀνεγίνωσκε τὸ, « Μὴ θαυμάζετε τοῦτο. » Ἀνόητον δὲ τελείως ἐστὶ τὸ οὕτως ἀναγινώσκειν. Τὴν γὰρ κρίσιν δέδωκε τῷ Υἱῷ ὁ Πατὴρ, οὐχ ὅτι Υἱὸς ἀνθρώπου ἐστὶν, ἀλλ' ὅτι Θεός. Ἐκεῖνος μὲν οὖν μὴ δεχόμενος εἰπεῖν τὸν Χριστὸν Θεὸν, ἀλλ' Υἱὸν ἀνθρώπου, οὕτως ἐνόει κριτὴν αὐτὸν εἶναι, οὐχ ὡς Θεὸν, ἀλλ' ὡς Υἱὸν ἀνθρώπου· ἡμεῖς δὲ οὕτω νοοῦμεν, ὡς εἴρηται. Εἰπὼν δὲ περὶ τῆς μερικῆς ἀναστάσεως, τοῦ Λαζάρου, φημὶ καὶ τῶν ἄλλων, οἳ πάλαι δηλαδὴ ἔθανον, νῦν λέγει περὶ τῆς καθόλου· « Ὅτι ἔρχεται ὥρα, ἐν ᾗ οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ Θεοῦ· » περὶ τῆς καθολικῆς γὰρ ἀναστάσεως ἐνταῦθά φησιν. Ἐπειδὴ δὲ εἶπεν ἀνωτέρω, ὅτι « Ὁ πιστεύων, εἰς κρίσιν οὐκ ἔρχεται, » ἵνα μὴ νομίσωμεν, ὅτι ἡ πίστις μόνη εἰς σωτηρίαν ἀρκεῖ, φησὶν, ὅτι « Ἀναστήσονται, οἱ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως, οἱ τὰ ἀγαθὰ, εἰς ἀνάστασιν ζωῆς. » Οὐκ ἄρα ἡ πίστις μόνη χωρὶς ἔργων δικαιοῖ, ἀλλὰ καὶ τὰ ἔργα προσεῖναι δεῖ· τότε γὰρ καὶ κυρίως πίστις ἐστίν. Ὅρα δὲ διπλῆν τὴν διδασκαλίαν γινομένην, διὰ φόβου καὶ ἱλαρότητος. Τὸ μὲν γὰρ κατακριθῆναι τοὺς τὰ φαῦλα πράξαντας, ἐκφοβεῖ· τὸ δὲ εἰς ζωὴν ἀναστῆναι τοὺς τὰ ἀγαθὰ πράξαντας, δι' ἱλαρότητος προτρέπεται.

« Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω, κρίνω· καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. » Καθὰ καὶ ἐν τοῖς ἀνωτέρω λέλεκται, τὴν ἀπαραλλαξίαν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἐνδείκνυνται ταῦτα τὰ ῥήματα, τὸ, « Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδὲν, » καὶ ὅσα τοιουτότροπα. Οὐδὲν γὰρ ξένον καὶ ἀλλότριον τοῦ Πατρὸς δύναμαι ἐγὼ ποιεῖν· οὔτε γὰρ θέλημα ἔχω ἄλλο τὸ παρὰ τὸ πατρικὸν, οὔτε δύναμιν. Καθὼς δὲ ἀκούω παρὰ τοῦ Πατρὸς, οὕτω κρίνω· τουτέστιν, ὡς ἂν αὐτὸς ὁ Πατὴρ κρίνει, οὕτω κἀγώ. Ταῦτα δὲ λέγει διὰ τὸ δεῖξαι, ὡς πολλάκις ἔφημεν, τὸ ἀπαράλλακτον καὶ ἐν ἔργοις, καὶ λόγοις, καὶ κρίσεσιν. Ἵνα γὰρ μή τινες, ἄνθρωπον ὁρῶντες αὐτὸν, σκανδαλίζωνται, πῶς ὁ φαινόμενος ἄνθρωπος δικαίαν κρίσιν ποιήσειεν, τοῦ Δαυὶδ εἰπόντος, « Πᾶς ἄνθρωπος ψεύστης· » ἔφθασε μὲν εἰπὼν, ὅτι Μὴ θαυμάζετε, διότι Υἱός ἀνθρώπου εἰμί· λέγει δὲ καὶ νῦν, ὅτι Δικαία ἡ κρίσις μού ἐστι, καθὸ κρίνω, ὡς ἀκούω τοῦ Πατρός μου κρίνοντος. Μὴ γὰρ τὸ ἐμὸν θέλημα ζητῶ, ἀλλὰ τὸ τοῦ Πατρός. Ὁ μὲν θέλων τὸ ἑαυτοῦ βούλημα κυ-

28* Psal. CXV, 11.

A sit recepturus delictorum pœnas, omnino currit ad ipsum placatque et suum futurum judicem. Ne admiremini autem quod Filius hominis est; nam quamvis Filius hominis, est tamen et Deus. Et ita judicium merito habet sicut Filius Dei. Si autem et homo appareat, ne admiremini. Sciendum autem quod Paulus Samosatenus docens Dominum purum esse hominem, sic legit hunc locum : Et potestatem dedit ei judicium faciendi, quia Filius hominis est. » Hoc autem loco punctum faciens, ab alio principio legit. « Ne admiremini hoc. » Valde autem stultum est sic legere. Non enim dedit Pater Filio judicium quod Filius hominis sit, sed quia Deus. 876 Unde ille non patiens ut Christus dicatur Deus, B sed Filius hominis, si cogitabat judicem illum esse, non ut Deum, sed ut Filium hominis. Nos autem sic intelligimus, ut dictum est. Postquam autem dixit de particulari resurrectione, Lazari videlicet et aliorum qui iterum mortui sunt : nunc dicit de universali : « Quia venit hora in qua hi qui in monumentis sunt, audient vocem Dei. » Nam de universali resurrectione hic loquitur. Quoniam dixerat superius, « Qui credit, in judicium non venit, » ne putemus quod fides sola ad salutem sufficiat, dicit quod « Resurgent hi qui mala fecerunt, in resurrectionem condemnationis; qui autem bona, in resurrectionem vitæ, » Non igitur sola fides absque operibus justificat, sed oportet etiam opera adesse, tunc enim proprie fides est. Vide autem geminam doctrinam fieri per metum et lætitiam. C Nam cum dicit condemnari impia facientes, deterret. Cum autem dicit resurgere ad vitam eos qui bona fecerunt, per lætitiam exhortatur.

VERS. 30. « Non possum ego ex meipso facere quidquam : sicut audio, judico, et judicium meum justum est; quia non quæro voluntatem meam, sed voluntatem ejus, qui misit me Patris. » Sicut et in superioribus dictum est, eadem Patris et Filii potestas ostenditur hisce verbis, « Non possum ego facere ex meipso quidquam : » et quæcunque hujus generis sunt. Nihil enim alienum et peregrinum a Patre ego possum facere; neque enim voluntatem aliam habeo præter paternam, neque aliam D potestatem. Verum sicut audio a Patre, ita judico : hoc est, sicut ipse Pater judicat, ita et ego. Hæc autem dicit ut ostendat, sicut sæpe diximus, in nullo sibi deesse aliquid a Patre, sive in sermonibus, sive in operibus, sive in judiciis. Nam ut ne quidam hominem videntes eum offenderentur, quomodo cum appareat homo, justum faciat judicium, cum David dicat : « Omnis homo mendax 28* ; » prævenit quidem, dicens : Ne admiremini de eo quod Filius hominis sum; nam et Deus sum. Dicit autem : Et nunc justum judicium meum est, eo quod judico sicut audio Patrem meum judicantem.

«Non enim meam voluntatem quæro, sed Patris.» Nam qui suam voluerit stabilire, fortassis suspectus erit, quod corrumpat quod justum est: qui autem non sua spectat, quo prætextu posset injuste judicare? Ego igitur non quæro voluntatem meam, neque enim ego meam habeo voluntatem, sed quod vult Pater, illud et ego.

VERS. 31-35. «Si ego testimonium perhiberem de meipso, testimonium meum non esset verum. Alius est qui testimonium perhibet de me. Et scio verum esse testimonium quod testatur de me. Vos misistis ad Joannem, et is testimonium reddidit veritati. 877 Ego autem non ab homine testimonium accipio; sed hæc dico, ut vos salvi fiatis. Ille erat lucerna ardens et lucens, vos autem voluistis ad tempus exsultare in luce ejus.» Apparet hic contraria dicere Dominus. Etenim alicubi videtur testari de se, sicut Samaritanæ dicebat: «Ego sum Christus:» et cæco, et alias sæpe. Si igitur hæc falsa sunt, quæ nobis salutis spes? Non autem hæc sola videtur esse contrarietas, sed et alia non minor. Nam et in progressu dicit: «Si ego testimonium perhibeo de meipso, testimonium meum verum est [29].» Quomodo igitur convenient quæ pugnare videntur? Id quidem quod dicit, «Si ego testificor de meipso, testimonium meum non est verum,» dicit ad opinionem Judæorum, quoniam enim illi dicturi erant ei: Tu testimonium perhibes de teipso; nullus autem qui de se ipso testificatur, fide dignus est. Dicit urgendo illos: Non testimonium perhibeo ego de meipso, alioqui juxta vestram sententiam non dignus essem cui crederetur. «Alius enim est qui testimonium de me perhibet,» Joannes scilicet. Quod autem dicit, «Et si ego testimonium perhibeo, testimonium meum verum est,» secundum concessionem dicit. Accedens enim sermoni Judæorum, dicit: Esto quod ego testimonium de meipso perhibeam; et si ego igitur testimonium de meipso perhibeam, testimonium meum verum est. Nam cum Deus sim, fide dignus sum. Atque ita primum dixit illos urgendo, non ego testimonium perhibeo, sed Præcursor. Secundum autem se illis opponendo, vel etiam concedendo, dicens: «Si etiam ego testimonium perhibeam, testimonium meum verum est.» Porro tria, inquit, habeo testimonia, Joannem, opera mea, Patrem meum. Et primum ponit Joannem. Ut ne quis dicat ei. Quid igitur si ille ad gratiam testificatus est tibi? dicit, Vos ipsi misistis ad Joannem. Omnino autem non misissetis interrogantes, nisi eum fide dignum habuissetis. Atque ita etiam vos ipsi testes estis, quod verax fuerit Joannes: quamvis ego quidem, cum Deus sim, humano testimonio opus non habeam, et Dominus servi testimonio. Quia autem vos digniorem illum putastis, et ipsi magis quam mihi attendistis, et ad illum quidem accessistis, mihi autem neque miracula facienti creditis: propterea vobis in me-

ρῶσαι, ἴσως ἂν ὑποπτευθείη, ὡς παραφθείρων τὸ δίκαιον· ὁ δὲ μὴ τὰ ἑαυτοῦ σκοπῶν, τίνα ἂν ἔχῃ πρόφασιν τοῦ μὴ τὰ δίκαια ψηφίζεσθαι; Ἐγὼ τοίνυν οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν· οὐδὲ γὰρ ἔχω ἐμὸν θέλημα· ἀλλ' ὃ θέλει ὁ Πατὴρ, ἐκεῖνο κἀγώ.

«Ἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ. Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ. Ἐγὼ δὲ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω· ἀλλὰ ταῦτα λέγω, ἵνα ὑμεῖς σωθῆτε. Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος, καὶ φαίνων, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ.» Φαίνεται ἐνταῦθα ἐναντία λέγων ὁ Κύριος. Καὶ γὰρ πολλαχοῦ φαίνεται μαρτυρήσας ἑαυτῷ, ὥσπερ τῇ Σαμαρείτιδι ἔφη· «Ἐγώ εἰμι ὁ Χριστός·» καὶ τῷ τυφλῷ, καὶ ἑτέρωθι πολλαχοῦ. Ἐὰν οὖν ταῦτα ὦσι ψευδῆ, ποία ἡμῖν σωτηρίας ἐλπίς; Οὐ τοῦτο δὲ μόνον δοκεῖ ἐναντίωμα, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον. Προϊὼν γὰρ, φησὶν, ὅτι. «Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι.» Πῶς οὖν συμβιβασθήσονται ταῦτα δοκοῦντα μάχεσθαι; Ὃ μὲν λέγει, ὅτι «Ἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής,» λέγει ὡς πρὸς τὴν ὑπόληψιν τῶν Ἰουδαίων. Ἐπεὶ γὰρ ἔμελλον ἐκεῖνοι ἴσως εἰπεῖν αὐτῷ, ὅτι Σὺ μαρτυρεῖς περὶ σεαυτοῦ, οὐδεὶς δὲ μαρτυρῶν ἑαυτῷ, ἀξιόπιστός ἐστι, φησὶν ἐνστατικῶς, ὅτι Οὐ μαρτυρῶ ἐγὼ περὶ ἐμαυτοῦ· ἢ γὰρ ἂν κατὰ τὴν ὑμετέραν γνώμην οὐκ ἄξιος εἴην πιστεύεσθαι. «Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ,» ὁ Ἰωάννης. Ὃ δὲ λέγει, ὅτι «Κἂν ἐγὼ μαρτυρῶ, ἡ μαρτυρία μου ἀληθής ἐστι,» κατὰ συνδρομὴν λέγει, συντρέχων γὰρ τῷ λογισμῷ τῶν Ἰουδαίων, φησὶν, ὅτι Ἔστω, ὅτι ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ. Κἂν ἐγὼ τοίνυν μαρτυρῶ, ἀληθής ἐστιν ἡ μαρτυρία μου· Θεὸς γὰρ ὢν, ἀξιόπιστός εἰμι. Ὥστε τὸ μὲν πρῶτον ἐνστατικῶς εἶπεν, ὅτι Οὐκ ἐγὼ μαρτυρῶ, ἀλλ' ὁ Πρόδρομος· τὸ δὲ δεύτερον, κατὰ ἀντιπαράστασιν, ἤτοι συνδρομὴν, ὅτι «Κἂν ἐγὼ μαρτυρῶ, ἀληθής ἐστιν ἡ μαρτυρία μου.» Τρεῖς οὖν, φησὶν, ἔχω μάρτυρας, τὸν Ἰωάννην, τὰ ἔργα μου, τὸν Πατέρα μου. Καὶ πρῶτον τὸν Ἰωάννην τίθησιν, ἵνα μήτις εἴπῃ αὐτῷ· Τί οὖν, εἰ ἐκεῖνος πρὸς χάριν ἐμαρτύρησέ σοι; φησὶν, ὅτι Ὑμεῖς αὐτοὶ ἀπεστείλατε πρὸς Ἰωάννην. Πάντως δὲ οὐκ ἂν ἀπεστείλατε ἐρωτῶντες, εἰ μὴ ἀξιόπιστον αὐτὸν ἐνομίζετε. Ὥστε καὶ ὑμεῖς αὐτοὶ μαρτυρεῖτε, ὅτι ἀληθὴς ἦν ὁ Ἰωάννης, Καίτοι ἐγὼ μὲν, οἷα δὴ Θεὸς ὢν, οὐ δέομαι ἀνθρωπίνης μαρτυρίας, τῆς τοῦ δούλου ὁ Δεσπότης. Ἐπεὶ δὲ ὑμεῖς αὐτὸν ἀξιοπιστότερον ἡγεῖσθε, καὶ αὐτῷ μᾶλλον προσέχετε ἤπερ ἐμοὶ, κἀκείνῳ μὲν προσεδράμετε, ἐμοὶ δὲ οὐδὲ θαυματουργοῦντι πιστεύετε· διὰ τοῦτο ἀναμιμνήσκω τῆς Ἰωάννου μαρτυρίας, καὶ πάντα ποιῶ, καὶ ἀναδέχομαι καὶ τὰ ἀνάξια τῆς ἐμῆς θεότητος, ἵνα ὑμεῖς σωθῆτε. Λύχνον

[29] Joan. VIII, 14.

δὲ καιόμενον τὸν Ἰωάννην φησὶ, καθὼς καὶ ἐκ γῆς εἶχε τὴν διάπλασιν, καὶ οὐκ οἴκοθεν τὸ φῶς, ἀλλ' ἀπὸ τῆς τοῦ Πνεύματος χάριτος καὶ πρόσκαιρον. Ἅμα τε γὰρ ἐφάνη ἡ τοῦ Κυρίου ἡμέρα, ἤτοι διδασκαλία, καὶ ἀπεκρύβη ὁ λύχνος. Ὑμεῖς δὲ, πρὸς ὥραν μὲν ἀπεδέξασθε τὰ εἰρημένα παρ' αὐτοῦ, καὶ ἠγαλλιάσθητε ἐν αὐτῷ· εἶτα ἐπιλαθόμενοι ὧν περὶ ἐμοῦ εἶπεν, ἐμείνατε ἐπὶ τῆς προτέρας ἀπιστίας. Εἰ γὰρ ἐκείνῳ ἅπαξ βεβαίως ἐπιστεύσατε, ταχέως ἂν ὑμᾶς πρὸς τὴν ἐμὴν ἐχειραγώγησε πίστιν.

« Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου. Τὰ γὰρ ἔργα ἃ ἔδωκέ μοι ὁ Πατὴρ, ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ B περὶ ἐμοῦ, ὅτι ὁ Πατήρ με ἀπέσταλκε· καὶ ὁ πέμψας με Πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ· οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν· ὅτι ὃν ἀπέστειλε ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. » Ἐμαρτύρησε μὲν, φησὶν, Ἰωάννης περὶ ἐμοῦ, Ἰωάννης ὁ πάντων δοκῶν ὑμῖν ἀξιοπιστότατος. Ἐπεὶ δὲ εἰκὸς εὑρεθῆναί τινας συκοφάντας, οἳ τυχὸν ἐροῦσι· Καὶ τί πρὸς ἡμᾶς; Ἰωάννης ἐχαρίζετό σοι, καὶ διὰ τοῦτο τὰ χρηστότερα ἐπεμαρτύρει· Ὑμεῖς, φησὶν, ἐπέμψατε πρὸς Ἰωάννην, καὶ ἠρωτήσατε, ἀληθῆ πάντως αὐτὸν νομίζοντες. Πλὴν ἔχω καὶ ἄλλην μαρτυρίαν μείζω τοῦ Ἰωάννου. Τὰ ἔργα καὶ ἃ ἔδωκέ μοι ὁ Πατὴρ, τουτέστιν. Ἀνέθετό μοι ὁ Πατὴρ, ἵνα τελειώσω αὐ- C τὰ, μαρτυροῦσι περὶ ἐμοῦ. Λέγει δὲ ἔργα, τὰ θαύματα δήπου, οἷον τὴν τοῦ παραλύτου ἀνόρθωσιν, καὶ τὰ λοιπά. Ἐπεὶ δὲ ἐνεκάλουν αὐτῷ, ὅτι ἐν Σαββάτῳ ταῦτα ποιεῖ, λέγοντες, ὅτι « Οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ὅτι τὸ Σάββατον οὐ τηρεῖ· » δείκνυσιν αὐτοῖς, ὅτι τὰ τῷ Πατρὶ δεδογμένα ποιεῖ, καὶ ὅτι μᾶλλον ἐκ τοῦ Θεοῦ ἐστι, καθὼς τὰ παρὰ τοῦ Θεοῦ δεδομένα αὐτῷ ἔργα τελεῖ. « Τὰ γὰρ ἔργα, φησὶν, ἃ ἔδωκέ μοι ὁ Πατὴρ, ἵνα τελειώσω αὐτά. » Ἐπεὶ οὖν ὁ Πατὴρ δέδωκε ταῦτα, ὑμεῖς ἐστε ἀντίθεοι οἱ ἐναντιούμενοι τοῖς τοιούτοις ἔργοις. « Καὶ ὁ πέμψας με Πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ, » Ποῦ δὲ μεμαρτύρηκε περὶ αὐτοῦ ὁ Πατήρ; Τινὲς μὲν λέγουσιν, ὡς ἐπὶ τοῦ βαπτίσματος, ὅταν εἶπεν· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός. » Κρεῖττον δὲ οἶμαι νοεῖν, ὅτι διὰ πάσης τῆς Γραφῆς ἐμαρτύρησε περὶ αὐτοῦ ὁ Θεὸς, διά τε D τοῦ νόμου καὶ τῶν προφητῶν. Ἀλλ' ὑμεῖς, φησὶν, οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε, τοῦ Πατρὸς λέγω, οὔτε εἶδος αὐτοῦ ἑωράκατε, ἀλλὰ παντάπασιν ἄγνωστος ὑμῖν ἐστι· διότι καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν· τουτέστι, Τὰς Γραφὰς τὰς περὶ ἐμοῦ μαρτυρούσας οὐκ οἴδατε, εἰ καὶ δοκεῖτε ὅτι οἴδατε, καὶ καυχᾶσθε, ὡς τὰ Λόγια τοῦ Θεοῦ ἐμπιστευθέντες. Πόθεν δῆλον, ὅτι οὐκ οἴδατε τὰς Γραφάς; « Ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. » Ὥσπερ οὖν οὔτε φωνὴν Θεοῦ ἠκούσατε (οὐ γὰρ ἔχει φωνὴν ὁ Θεὸς αἰσθητὴν), οὔτε

A moriam reduco Joannis testimonium; omnia facio et recipio etiam indigna mea deitate, ut vos salvi fiatis. Lucernam autem ardentem Joannem dicit, eo quod de terra habet formationem, et non per se ipsum est lumen, sed a gratia Spiritus, ac temporarium. At ubi apparuit dies Domini, hoc est, doctrina, occulta est lucerna. **578** Cæterum vos ad horam quidem recepistis ea quæ ab illo dicta sunt, et exsultatis in ipso, et deinde obliti eorum quæ de me dixit, mansistis in priori incredulitate. Nam si illi semel firmiter credidissetis, quamprimum vos ad meam adduxisset fidem.

Vers. 36-38 «At ego testimonium habeo majus testimonio Joannis. Opera enim quæ dedit mihi B Pater ut perficiam ea, ipsa opera quæ ego facio, testimonium perhibent de me, quod Pater me miserit. Et qui misit me Pater, ipse testatus est de me : neque vocem ejus unquam audistis, neque speciem ejus vidistis, et sermonem ejus non habetis in vobis manentem, quia quem misit ille, ei vos non creditis. » Testatus quidem est Joannes de me qui vobis omnium maxime fide dignus videbatur: verumtamen quia verisimile est fore quosdam sycophantas qui fortassis dicent, Et quid ad nos? si Joannes gratificari tibi voluerat, et propteea blandiora quædam attestatus est? Vos, inquit, misistis ad Joannem, et interrogastis, veracem per omnia illum existimantes. Verumtamen et ego aliud testimonium habeo majus Joaune. Opera C enim quæ dedit mihi Pater, hoc est, quæ statuit mihi Pater ut perficiam, ea testantur de me. Dicit autem opera, mirabilia illa scilicet, quale fuit paralytici restitutio, etc. Verumtamen quia arguebant eum quod in Sabbato hæc faceret dicentes : « Hic non est ex Deo, quia Sabbatum non servat[30], » ostendit eis quod faciat ea quæ a Patre decreta, et quod magis a Deo sit, eo quod injuncta sibi a Deo opera faciat. «Opera enim, inquit, quæ dedit mihi Pater ut perficiam ea.» Quia igitur Pater dedit mihi illa, vos estis Deo adversarii, qui illis operibus adversamini; et qui misit me Pater, ipse testatur de me. Ubi autem testatus est de eo Pater? Quidam dicunt quod in baptismate, quando dixit : « Hic est Filius meus dilectus[31]. » Opinor autem quod magis intelligat quod per omnem Scri- D pturam testatus sit de eo Deus, tam per legem quam per prophetas «Sed vos, inquit, neque vocem ejus audistis, Patris, inquam neque speciem ejus vidistis. » Ideo omnibus modis incognitus vobis est. Ideo et sermonem ejus non habetis manentem in vobis; hoc est, Scripturas quæ de me testantur, nescitis : tametsi videamini scire et gloriari in eloquiis Dei quæ vobis concredita sunt. Hinc autem manifestum quod nesciatis Scripturas, quia « ei quem ille misit, non creditis. » Igitur sicut neque vocem Dei audivistis (non enim habet Deus vocem sensibilem) neque speciem ejus vidi-

30 Joan. IX, 16. 31 Matth. XVII, 5.

stis (specie enim et figura caret); ita neque sermonem ejus, Scripturas dico quæ de me testantur, habetis in vobis.

VERS. 39-42. « Scrutamini Scripturas, quia 570 vos videmini in ipsis vitam æternam habere. Et illæ sunt quæ testantur de me : nec vultis ad me ut vitam habeatis. Gloriam ab hominibus non accipio, sed cognovi vos quod dilectionem Dei non habeatis in vobis. » Dixerat eis, Sermo Dei, hoc est, Scripturæ quæ de me testantur, non sunt in vobis. Docens igitur quomodo poterunt habere sermonem Dei, inquit : « Scrutamini Scripturas : in illis enim vos putatis habere vitam. » Vide autem quomodo non dixerit, Habetis vitam; sed, Videmini, monstrans quod nullum verum fructum perciperent, si a lectione sola exspectent salvari, non accedente fide. « Nam illæ testimonium quidem perhibent de me; sed vos non vultis venire ad me, ut vitam habeatis. » Unde hinc discimus quod ex proposito fuerunt mali. Non enim dixit, Non potestis venire; sed, « Non vultis venire. » Audiant Manichæi, quod non natura malum, sed voluntate constet. Postquam autem eos memores fecit testimonii Joannis, et Patris, et operum suorum quæ propter salutem illorum tantum faciebat, suspicari poterant multi quod hæc amore gloriæ diceret. Idcirco inquit : « Gloriam ab hominibus non accipio, » hoc est, Non indigeo, neque talem habeo naturam quæ opus habeat humana gloria. At vos me persequimini, quasi propter amorem Dei hoc faciatis, sed non est ita. « Novi enim vos quod dilectionem Dei non habeatis in vobis, » etiamsi valde hoc jactetis, quod me persequamini propter Deum. Merito igitur Judæi dicuntur dilectionem Dei non habere, quia persequebantur ipsam dilectionem, Filium Dei. Unde merito etiam dicuntur non habere sermonem Dei manentem in semetipsis. Sermonem enim et Deum rejiciebant.

VERS. 43-47. « Ego veni in nomine Patris mei, nec recipitis me : si alius venerit in nomine suo, illum recipietis. Quomodo vos potestis credere, qui gloriam a vobis invicem accipitis, et gloriam quæ a solo Deo proficiscitur, non quæritis? Nolite putare quod ego accusaturus sim vos apud Patrem : est qui accusat vos Moses in quo speratis. Si enim credidissetis Mosi, credidissetis utique mihi : de me enim ille scripsit Si autem illius scriptis non creditis, quomodo verbis meis credetis? » — « Ego quidem, inquit, veni in nomine Patris mei. » Nam et ubique Patrem celebrat, et ab ipso se dicit missum esse, et nihil posse facere a seipso, et prorsus humilia multa loquitur, volens e medio tollere omnem ingratitudinis ratio-

A εἶδος αὐτοῦ ἑωράκατε (ἀνείδεος γὰρ ἐστι καὶ ἀσχημάτιστος)· οὕτως οὐδὲ τὸν λόγον αὐτοῦ, λέγω δὲ τὰς Γραφὰς τὰς περὶ ἐμοῦ μαρτυρούσας, ἔχετε ἐν ἑαυτοῖς.

« Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε. Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω, ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. » Εἶπεν αὐτοῖς, ὅτι, Ὁ λόγος τοῦ Θεοῦ, τουτέστιν, αἱ Γραφαὶ αἱ περὶ ἐμοῦ μαρτυροῦσαι, οὐκ ἔστιν ἐν ὑμῖν. Διδάσκων οὖν πῶς δυνήσονται σχεῖν τὸν λόγον τοῦ Θεοῦ, φησίν· « Ἐρευνᾶτε τὰς Γραφάς· ἐν αὐταῖς γὰρ δοκεῖτε ὑμεῖς ζωὴν ἔχειν. » Ὅρα δὲ πῶς οὐκ εἶπεν, B Ἔχετε ζωὴν, ἀλλ', « Ὅτι δοκεῖτε· » δοκεῖτε δὲ εἶπε, δεικνὺς ὅτι οὐδὲν κατὰ ἀλήθειαν ἐκεῖθεν ἐκαρποῦντο, ἀπὸ τῆς ἀναγνώσεως μόνης σώζεσθαι προσδοκῶντες, πίστεως μὴ προσούσης. « Ἐκεῖναι μὲν γάρ εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ· ἀλλ' ὑμεῖς οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε. » Ὥστε κἀντεῦθεν μανθάνομεν, ὡς ἐκ προαιρέσεως ἦσαν κακοί. Οὐκ εἶπε γὰρ, ὅτι Οὐ δύνασθε ἐλθεῖν, ἀλλ' ὅτι « Οὐ θέλετε ἐλθεῖν. » Ἀκουέτωσαν Μανιχαῖοι, ὅτι οὐ φύσει τὸ κακὸν, ἀλλὰ προαιρέσει συνίσταται. Ἐπεὶ δὲ ἀνέμνησεν αὐτοὺς τῆς Ἰωάννου μαρτυρίας, καὶ τῆς τοῦ Πατρὸς, καὶ τῆς διὰ τῶν ἔργων αὐτοῦ, διὰ τὴν σωτηρίαν αὐτῶν μόνον ταῦτα ποιῶν· εἰκὸς δὲ ἦν πολλοὺς ὑποπτεύειν, ὅτι δόξης ἔρωτι ταῦτα λέγει· διὰ τοῦτό φησιν, ὅτι « Δόξαν παρὰ C ἀνθρώπων οὐ λαμβάνω· » τουτέστι, Δόξης οὐ δέομαι· οὐδὲ γὰρ φύσιν ἔχω τοιαύτην, ὥστε δεῖσθαι τῆς παρὰ ἀνθρώπων δόξης. Ὑμεῖς δὲ διώκετέ με προφασιζόμενοι, ὅτι δι' ἀγάπην Θεοῦ τοῦτο ποιεῖτε. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. « Ἔγνωκα γὰρ ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς· » κἂν ἄνω καὶ κάτω τοῦτο προβάλλησθε, τὸ διὰ τὸ διώκειν με (21). Εἰκότως οὖν οἱ Ἰουδαῖοι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ εἶχον, ἐπεὶ ἐδίωκον τὴν αὐτοαγάπην, τὸν Υἱὸν τοῦ Θεοῦ. Εἰκότως καὶ τὸν λόγον αὐτοῦ οὐκ εἶχον μένοντα ἐν αὐτοῖς· τὸν γὰρ Λόγον καὶ Θεὸν παρῃτοῦντο.

« Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. Πῶς δύνασθε ὑμεῖς πι- D στεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε; Μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. Εἰ γὰρ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε; » — « Ἐγὼ μὲν, φησὶν, ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου » (καὶ γὰρ πανταχοῦ τὸν Πατέρα ὑμνεῖ, καὶ παρ' αὐτοῦ φησιν ἀπεστάλθαι, καὶ οὐδὲν δύνασθαι ποιεῖν ἀφ' ἑαυτοῦ· καὶ ὅλως τὰ πεινὰ πολλὰ φθέγγεται, πᾶσαν πρόφασιν ἀγνωμο-

**Ex collatione codd. Venet. S. Marci.**

(21) Cod. 31, τὸ διὰ τὸ τὸν Θεὸν, διώκειν με·

σύνης ἐκκόψαι βουλόμενος)· ἄλλος δὲ ἐλεύσεται, ὁ Ἀντίχριστος δηλονότι, ὃς μέλλει ἀποδεικνύναι, ὅτι αὐτός ἐστι μόνος Θεός. Ἐμὲ μὲν οὖν τὸν ἐν ὀνόματι τοῦ Πατρὸς ἐλθόντα, τουτέστι, τὸν λέγοντα παρὰ τοῦ Πατρὸς ἀπεστάλθαι, οὐ δέχεσθε, ἐκεῖνον δὲ δέξεσθε. Τοῦτο δὲ συμβαίνει ὑμῖν, διότι ἐκεῖνος μὲν τὴν τοῦ βίου δόξαν ὑμῖν ἐπαγγελεῖται ἣν ὑμεῖς ζητεῖτε, θέλοντες τὴν παρὰ ἀλλήλων δόξαν λαμβάνειν, καὶ τὴν παρὰ τοῦ μόνου Θεοῦ διαπτύοντες· ἐγὼ δὲ οὐδὲν ἐν βίῳ περίβλεπτον ὑμῖν ἐπαγγέλλομαι, ἀλλὰ πολλὴν ἐνορᾶτε δυσκολίαν τοῖς ὑπ' ἐμοῦ λεγομένοις. Διὰ τοῦτο οὖν, φησὶν, ἐμοὶ οὐ πιστεύετε· οὐδὲν γὰρ τερπνὸν βιωτικὸν προσδοκᾶτε ἕξειν ἀπ' ἐμοῦ. Καὶ ἄλλως δέ· « Οὐ πιστεύετέ μοι, ὡς δόξαν τὴν παρὰ ἀλλήλων θέλοντες. » Ἄρχοντες μὲν γὰρ καὶ διδάσκαλοι αὐτοὶ μόνοι θέλοντες δοκεῖν παρὰ τῷ πλήθει, οὐ δέχονταί με, ἵνα μὴ ἐλαττωθείη αὐτοῖς ἡ δόξα· λαοὶ δὲ, τὴν παρὰ τῶν ἀρχόντων ἀγάπην ζητοῦντες, οὐ θέλουσι προσδραμεῖν ἐμοὶ, ἵνα μὴ τῆς παρὰ τῶν ἀρχόντων τιμῆς δι' ἐμὲ ἐκπέσωσιν. Ἐπεὶ δὲ καὶ τὸν Μωϋσῆν ἄνω καὶ κάτω προέφερον, φησὶν, ὅτι Αὐτὸς κατηγορήσει ὑμῶν· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε. Ποῦ δὲ ἔγραψε περὶ αὐτοῦ; Καὶ ἐν πολλοῖς μὲν ἄλλοις (καὶ γὰρ τὸ, « Προφήτην ὑμῖν ἀναστήσει Κύριος, » περὶ Χριστοῦ ἦν, καὶ ἄλλα πολλὰ, τὰ μὲν ἐν λόγοις, τὰ δὲ ἐν σημείοις καὶ συμβόλοις, οἷον τὸ τῆς βάτου θαῦμα· καὶ γὰρ πῦρ μὲν ἡ θεότης· βάτος δὲ ἀκανθώδης, ἡ ἁμαρτωλὸς φύσις, ἧς ἐπιλαβόμενον τὸ πῦρ τῆς θεότητος, ἀκατάφλεκτον ταύτην ἐτήρησε, τῷ φωτὶ λαμπρύναν, καὶ τῶν οἰκείων μὲν αὐχημάτων μεταδεδωκὸς, τῶν δὲ ἐκείνης ἐλαττωμάτων μὴ μετειληφὸς), οὐχ ἥκιστα δὲ καὶ τοῦτο Μωσῆς εἴρηκεν, εἰς τὴν τοῦ Χριστοῦ πίστιν συμβαλλόμενον. Ἐὰν γὰρ, φησὶ, προφήτης ἀναστῇ, σημεῖα ποιῶν, καὶ ἀφιστῶν ἀπὸ Θεοῦ, μὴ πιστεύσητε αὐτῷ· οἷός ἐστιν ὁ Ἀντίχριστος. Ἐὰν δὲ ἀναστῇ προφήτης σημεῖα ποιῶν, καὶ πρὸς τὸν Θεὸν καὶ Πατέρα ἄγων, μᾶλλον οὐκ ἀφιστῶν αὐτοῦ, τούτῳ πιστεύσατε. Ὁ Χριστὸς οὖν ἐν ὀνόματι τοῦ Πατρὸς ἐλθὼν, καὶ σημεῖα μὲν ποιῶν, μὴ ἀπάγων δὲ αὐτοὺς τῆς θεοσεβείας, αὐτὸς ἦν ὁ παρὰ Μωσεῖ προφητευόμενος. « Εἰ οὖν τοῖς Μωϋσέως γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε; » Ἐκεῖνος, φησὶν, ἔγραψε, καὶ πάρεισιν ὑμῖν ἀεὶ πρὸ ὀφθαλμῶν τὰ βιβλία, ὥστε, κἂν ἐπιλάθοισθε, ἔχειν πάλιν ῥᾳδίαν τὴν ἀνάμνησιν· καὶ ὅμως οὐ πιστεύετε τοῖς γεγραμμένοις· καὶ πῶς πιστεύσετε τοῖς ἐμοῖς ἀγράφοις ῥήμασι; Τί οὖν ταῦτα λέγεις, ὦ Κύριε, ἐπεὶ οἶδας, ὅτι οὐ πιστεύσουσιν; Εἰ καὶ οἶδα, φησὶν, ὅτι παρακούσουσιν, ἀλλ' ὅμως λέγω, ἵνα μὴ ὕστερον προφασίζωνται, ὅτι Εἰ εἶπας, ἐπιστεύσαμεν. Ἄλλως τε, ἐκεῖνοι μὲν οἱ τότε, οἷα ἀγνώμονες, οὐκ ἐπίστευον· τοὺς δὲ μετέπειτα μέλλοντας πιστεύειν, οὐκ ἦν εἰκὸς, οὐδὲ δίκαιον, στερηθῆναι τῆς ἀπὸ τῶν τοῦ Χριστοῦ ῥημάτων ὠφελείας.

nem. Alius autem veniet, Antichristus scilicet, qui se monstraturus est quod ipse solus sit Deus. Igitur me quidem, qui in nomine Patris veni, hoc est, dico me missum a Patre, non recipitis, illum autem recipietis. Porro hoc ideo eveniet vobis, quia 380 ille vobis gloriam vitæ pollicebitur, quam vos quæritis, cupientes gloriam mutuum accipere, ei respuentes veram gloriam, quæ a solo Deo est. Ego autem nihil præclarum vobis in hac vita polliceor, sed videtis multam difficultatem in his quæ a me dicuntur; et propterea inquit, mihi non creditis. Nihil enim quod jucundum est in hac vita, exspectatis vos habituros a me. Et aliter: « Non creditis mihi, qui gloriam a vobis invicem accipitis. » Nam principes quidem et magistri ipsi soli volentes haberi apud vulgus, non accipiunt me, ne imminuatur eorum gloria. Populi autem quærentes diligi a principibus, non me accedere volunt, ut ne excidant propter me ab honore quem a principibus habent. Quoniam autem et Mosen multum jactabant, inquit, ipse accusabit vos, nam de me ille scripsit. Ubi autem scripsit de eo? Etenim dictum hoc, « Prophetam suscitabit vobis Dominus [32], » de Christo erat, et alia multa tam in verbis quam in signis et symbolis, ut miraculum rubi. Nam et ignis quidem deitas: rubus autem spinosus, peccatrix natura, quam suscepit ignis deitas, et incombustam servavit luce fulgidam; et suos quidem radios illi communicavit, imperfectiones autem illius in se non suscepit. Etiam non Moses dixit, quod conducebat valde ad fidem Christi: nam inquit [33], « Si propheta surrexerit signa faciens, et recedere faciens a Deo, ne credatis illi, qualis erit Antichristus: Si autem surrexit propheta faciens signa, et ad Deum et Patrem ducens, et non recedere faciens, illi credite. » Igitur Christus in nomine Patris venit, et signa quidem faciens, et non recedere jubens eos a Dei cultu, ipse erat qui a Mose prædictus. « Itaque si Mosi scriptis non creditis, quomodo meis verbis credetis? » Ille, inquit, et scripsit, et sunt libri semper ante oculos vestros, et ita ut etiam si obliviscamini, possitis iterum facile in memoriam reducere. Attamen non creditis scriptis, et quomodo credetis verbis meis non scriptis? Cur igitur hæc dicis, o Domine, cum scires quod non credituri essent? Quamvis sciam, inquit, quod non credant, dico tamen, ut ne habeant postea quod prætexant, Si dixisses, credidissemus. Et aliter: Illi quidem qui tunc erant, utpote ingrati, non credebant: ab his autem qui postea credituri, non erat consentaneum neque justum auferri verborum Christi utilitatem.

## ΚΕΦΑΛ. Ϛ'.

Περὶ τῶν πέντε ἄρτων καὶ δύο ἰχθύων. Περὶ τῆς ἀναχωρήσεως τοῦ Ἰησοῦ, ἵνα μὴ ποιήσωσιν

## 381 CAPUT VI.

*De quinque panibus et duobus piscibus. De secessione Christi ne facerent eum regem. De am-*

[32] Deut. XVIII, 15. [33] Deut. XIII, 1.

*bulatione supra mare. De turba quæ Dominum sequebatur in navibus. De turba signum petente. De pane qui de cœlo descendit. De discipulis qui Christum reliquerunt. De confessione Petri.*

VERS. 1-4. « Post hæc abiit Jesus trans mare Galilææ, quod est Tiberiadis, et sequebatur eum turba multa, quia videbant ejus signa quæ faciebat super his qui infirmabantur. Subiit autem in montem Jesus, et ibi sedebat cum discipulis suis. Erat autem prope Pascha, dies festus Judæorum. » Postquam Dominus locutus est Judæis durioribus verbis, quibus in invidiam accendebantur et stomachabantur, demulcet nunc eos secedendo, et abiit trans mare Tiberiadis. Mare autem dicit stagnum. Congregationes enim aquarum, maria vocavit divina Scriptura. Et aliter : Transit de loco in locum, probans multitudinis studium. Ignaviores enim manebant in suis locis, studiosiores autem sequebantur eum. Verumtamen vide quod etiam sequentes non propter doctrinam, sed propter corporalem miraculorum utilitatem secuti sunt. Nam propterea dicit : « Quia videbant signa quæ faciebat super his qui infirmabantur. » Meliores autem sunt et sapientiæ avidiores de quibus Matthæus [34] : « Obstupescebant enim, inquit, in doctrina ejus, quia docebat illos tanquam potestatem habens. » Ascendit autem in montem propter miraculum futurum. Non enim arrogans erat, et vanæ gloriæ cupidus, ut in mediis civitatibus miracula operaretur: sed fugiens vanam hominum gloriam, solitudinem quærebat, etiam non istud erudiens. Insuper volens mystica quædam discipulis communicare, ascendit in montem, id quod semper solebat facere, quia et opus est ut ab omni tumultu liberetur, et locum quærat ab omni strepitu purum, si quis talia loqui velit. « Erat enim prope, inquit Pascha, dies festus Judæorum. » Nec tamen ascendit, sed in Galilæam discedit, non enim ultra præceptis legalibus erat obnoxius, ut et festus dies legis perficeret. Et aliter : persequente ipsum malitia Judaica, occasionem apprehendit ut paulatim legem abroget, ostendens animadvertentibus cessasse figuram ut advenit veritas. Observa autem quod festum fuerit Judæorum, non autem fuerit dies festus Christi, cum Christo eo non ascenderit, sed soli Judæi.

VERS. 5-9. « Cum sustulisset ergo oculos Jesus, et vidisset quod multa turba veniret ad se, dicit ad Philippum : Unde emennus panes ut edant isti ? Hoc autem dicebat tentans eum; ipse enim sciebat **582** quid esset facturus. Respondit ei Philippus : Ducentorum denariorum panes non sufficiunt eis, ut unusquisque pusillum quippiam accipiat. Dicit ei unus ex discipulis ipsius, Andreas frater Simonis Petri : Est puer unus hic, qui habet quinque panes hordeaceos et duos pisces: sed hæc quid sunt in-

[34] Matth. 7, 28.

A αὐτὸν βασιλέα. Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου. Περὶ τοῦ ὄχλου ἑπομένου τῷ Ἰησοῦ τοῖς πλοιαρίοις. Περὶ τοῦ ὄχλου ζητοῦντος σημεῖον. Περὶ τοῦ ἄρτου ἐκ τοῦ οὐρανοῦ. Περὶ τῶν πολλῶν μαθητῶν ἀπελθόντων ἀπὸ τοῦ Ἰησοῦ. Περὶ τῆς γνώμης τοῦ Πέτρου περὶ τοῦ Χριστοῦ.

« Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τιβεριάδος. Καὶ ἠκολούθησεν αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. Ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. Ἦν δὲ ἐγγὺς τὸ Πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων. » Διαλεχθεὶς τοῖς Ἰουδαίοις σκληρότερον ὁ Κύριος, ἐπειδὴ ἐκ τῶν τοιούτων ῥημάτων φθόνον καὶ θυμὸν ἐκίνησεν ἐν αὐτοῖς, καταπραΰνει αὐτοὺς διὰ τῆς ἀναχωρήσεως, καὶ πέραν τῆς θαλάσσης

B τῆς Τιβεριάδος ἀπέρχεται. Θάλασσαν δὲ λέγει τὴν λίμνην· τὰ γὰρ συστήματα τῶν ὑδάτων, θαλάσσας ἐκάλεσεν ἡ θεία Γραφή. Ἄλλως δέ· Μεταβαίνει ἀπὸ τόπου εἰς τόπον, δοκιμάζων τὴν τοῦ πλήθους προαίρεσιν· τῶν γὰρ ῥᾳθυμοτέρων κατὰ χώραν μενόντων, οἱ σπουδαιότεροι ἠκολούθησαν αὐτῷ. Πλὴν ὅρα, ὅτι καὶ οἱ ἀκολουθοῦντες, οὐ διὰ τὴν διδασκαλίαν, ἀλλὰ διὰ τὴν ἐκ τῶν θαυμάτων σωματικὴν ὠφέλειαν ἠκολούθουν. « Διότι γὰρ, φησὶν, ἑώρων τὰ σημεῖα, ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. » Κρείττονες δέ εἰσιν οἱ παρὰ τῷ Ματθαίῳ καὶ φιλοσοφώτεροι. « Ἐξεπλήσσοντο γὰρ, φησὶν, ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων. » Ἄνεισι δὲ εἰς τὸ ὄρος διὰ τὸ μέλλον γίνεσθαι σημεῖον. Οὐ γὰρ φιλόκομπός

C τις καὶ φιλενδείκτης ἦν, ἵνα ἐν μέσαις πόλεσι θαυματουργῇ· ἀλλὰ φεύγων τὴν κενὴν τῶν πολλῶν δόξαν, ἡσυχίαν ζητεῖ. Καὶ ἡμᾶς τοῦτο παιδεύων, ἅμα δὲ καὶ τοῖς μαθηταῖς μυστικά τινα θέλων κοινολογήσασθαι, τὸ ὄρος ζητεῖ. Ἀεὶ γὰρ τοῦτο ἔθος αὐτῷ ποιεῖν· ἐπειδὴ καὶ δεῖ πάσης ταραχῆς ἀπηλλάχθαι, καὶ τόπον ζητεῖν παντὸς θορύβου καθαρὸν, τὸν τοιαῦτα διαλεξόμενον. « Ἦν δὲ, φησὶν, ἐγγὺς τὸ Πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων. » Καὶ ὅμως οὐκ ἀναβαίνει, ἀλλ' εἰς τὴν Γαλιλαίαν ἀναχωρεῖ· οὐ γὰρ ἔτι τοῖς τοῦ νόμου διατάγμασιν ὑπέκειτο, ἵνα καὶ τὰς νομικὰς τελῇ ἑορτάς. Ἄλλως τε, καὶ τῆς Ἰουδαϊκῆς πονηρίας διωκούσης αὐτὸν, ἀφορμὴν λαβὼν, ἠρέμα ὑπεκλύει τὸν νόμον· δεικνύων τοῖς προσέχουσιν, ὅτι πέπαυται ὁ τύπος τῆς ἀληθείας ἐλθούσης. Ὅρα δὲ καὶ τὸ, « Ἡ ἑορτὴ τῶν Ἰουδαίων. » Οὐ γὰρ τοῦ Χριστοῦ ἦν ἑορτὴ (πῶς γὰρ τοῦ μὴ ἀναβαίνοντος

D εἰς αὐτήν ;), ἀλλὰ μόνων τῶν Ἰουδαίων.

« Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς, καὶ θεασάμενος, ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν, λέγει πρὸς τὸν Φίλιππον· Πόθεν ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι ; Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει, τί ἔμελλε ποιεῖν. Ἀπεκρίθη αὐτῷ Φίλιππος· Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν βραχύ τι λάβῃ. Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας, ὁ ἀδελφὸς Σίμωνος Πέτρου· Ἔστι παιδάριον ἓν ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα

τί ἐστιν εἰς τοσούτους; » Τίνος ἕνεκεν εἶπε, τὸ, «Ἀναβλέψας A τοῖς ὀφθαλμοῖς ὁ Ἰησοῦς; » Ἵνα μάθωμεν, ὅτι οὐκ ἐρέμβετο τοὺς ὀφθαλμοὺς τῇδε κἀκεῖσε· ἀλλ' ἐπὶ συννοίας καθήμενος καὶ προσοχῆς καὶ ἀκριβείας, οἷα δὲ τοῖς μαθηταῖς περί τινων θειοτέρων διαλεγόμενος, τέλος ἀνέβλεψε τοῖς ὀφθαλμοῖς, καὶ ἐρωτᾷ περὶ τοῦ ὄχλου, πόθεν διατραφήσεται. Οὐκ ἄλλον δὲ ἐρωτᾷ, ἀλλὰ Φίλιππον. Οὗτος γὰρ ἦν ὁ πλείονος δεόμενος διδασκαλίας, ὁ μετὰ ταῦτα λέγων· «Δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν. » Διὰ τοῦτο πρὸ πολλοῦ αὐτὸν ῥυθμίζει, καὶ διὰ τῆς ἐρωτήσεως ἐνάγει αὐτὸν εἰς τὸ ἀεὶ μνημονεύειν τοῦ θαύματος. Εἰ μὲν γὰρ ἁπλῶς τὸ σημεῖον ἐγένετο, οὐκ ἂν τοσοῦτον ἐφάνη τὸ θαῦμα· νυνὶ δὲ πρότερον αὐτὸν ἀναγκάζει ὁμολογῆσαι τὴν σπάνιν, ἵνα ἀκριβέστερον καταμάθῃ τοῦ μέλλοντος γίνεσθαι θαύματος τὸ μέγεθος, καὶ μὴ δυνηθῇ λοιπὸν ἐκβαλεῖν τὴν μνήμην B τῶν ὁμολογηθέντων. Διὰ τοῦτό φησι· Πόθεν ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι; » Λέγει δὲ ταῦτα πειράζων τὸν Φίλιππον, τουτέστι, θέλων αὐτὸν γνώριμον καταστῆσαι, τίνα πίστιν ἔχει. Οὐ γὰρ δὴ ὡς ἀγνοῶν αὐτὸς τὴν τοῦ Φιλίππου γνώμην, ἐρωτᾷ αὐτὸν, ἀλλὰ τοῖς ἄλλοις θέλων δεῖξαι αὐτόν. «Αὐτὸς γὰρ ὁ Κύριος, ᾔδει τί ἔμελλε ποιεῖν. » Τὸν οὖν Φίλιππον πειράσας εἴγε πίστιν ἔχει, καὶ εὑρὼν αὐτὸν ἀνθρωπίνως ἔτι διακείμενον, ναὶ μὴν καὶ τὸν Ἀνδρέαν εὑρίσκει τοιοῦτον. Εἰ γὰρ καὶ ὑψηλότερόν τι τοῦ Φιλίππου ἐφαντάσθη (ἐκείνου γὰρ εἰπόντος, ὅτι «Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν, » αὐτὸς πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια ὑποδεικνύει, ἐννοήσας ἴσως καὶ τὰ τῶν προφητῶν θαύματα, ὅπως C ὁ Ἐλισσαῖος ἐποίει τὸ ἐπὶ τῶν ἄρτων σημεῖον, ὅτε ἡ Σαμάρεια εἰς ἔσχατον ἀπωλείας ἦλθεν), ἀλλ' ὅμως καὶ Ἀνδρέας ἐλέγχεται, μηδὲν ἐπάξιον τοῦ Κυρίου ἐννοήσας. Φησὶ γάρ· «Ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; » Ἐνόμισε γὰρ, ὅτι αὐξήσει μὲν ἴσως ὁ Κύριος τοὺς ἄρτους, ἀλλ' ἐὰν ἦσαν πλείονες, πλείων ἂν καὶ ἡ αὔξησις ἐγίνετο, ἐπισφαλῶς πάντως νοῶν. Ὁ γὰρ Κύριος καὶ ἐκ μὴ ὄντων ἠδύνατο ἄρτους ποιεῖν τῷ πλήθει ἀρκοῦντας· ὅμως ἵνα μὴ δόξῃ ἡ κτίσις ἀλλοτρία εἶναι τῆς αὐτοῦ σοφίας, αὐτῇ τῇ κτίσει κέχρηται πρὸς τὴν ὑπόθεσιν τῶν θαυμάτων· καὶ ἀφορμὴν λαβὼν τοὺς ἄρτους, ὥσπερ ὕλην τινὰ, οὕτως εἰδοποιεῖ τὸ θαῦμα. Αἰσχυνέσθωσαν οἱ Μανιχαῖοι λέγοντες, ὅτι ὁ ἄρτος, καὶ πάντα τὰ ἐν τῇ κτίσει, τοῦ πονηροῦ Θεοῦ εἰσι δημιουργήματα· καὶ διὰ τοῦτο ἐάν τις αὐτοῖς δῷη ἄρτον, μὴ λαμβάνοντες αὐτὸν ἐκ τῶν ἐκείνου χειρῶν, ἀλλὰ πόῤῥωθεν μὲν αὐτὸν ῥίψαι C ἐπιτάττοντες, ἱστάμενοι δὲ καὶ καταρώμενοι τῷ δόντι· Ὁ σπείρας σε, σπαρείη· ὁ ἀλήσας σε, ἀλεσθείη τὰς σάρκας, καὶ ὅσα τοιουτότροπα. Αἰσχυνέσθωσαν οὖν ἀκούοντες, ὅτι ὁ τοῦ ἀγαθοῦ Θεοῦ Υἱὸς ὁ Χριστὸς, ἄρτους ἐπλήθυνεν. Εἰ δὲ κακὸν ἦσαν κτίσμα, οὐκ ἂν ὁ ἀγαθὸς τὸ κακὸν ἐπλήθυνεν, ἵνα μὴ λέγω καὶ αὐτὸς ἄρτους ἤσθιεν. Ἀλλ' ἐρωτήσοι ἄν τις· Ἆρα τοῦτο τὸ τῶν ἄρτων θαῦμα, τὸ

ter tam multos?» Quare dixit, «Cum sustulisset oculos suos? » Ut discamus quod non solitus sit hinc et inde vagari oculis, sed compositus et attentus sedere, utpote docens discipulos diviniora quædam. Denique sustulit oculos et rogat de turba quomodo alenda sit. Non alium autem interrogat quam Philippum. Ipse enim majori indigebat eruditione, qui postea dicebat: «Ostende nobis Patrem, ac sufficit nobis [35].» Et propterea antea illum instruit, et per interrogationem inducit eum, ut miraculi semper sit memor. Nam si quidem miraculum simpliciter fuisset factum, non usque adeo visum fuisset illi miraculum : nunc autem priusquam fieret, illum compellit fateri paucitatem panum, ut evidentius addiscat futuri miraculi magnitudinem, et non e memoria rejiciat ea quæ confessus est. Idcirco dicit : « Unde ememus panes ut comedant hi?» Dicit autem hæc tentans Philippum, hoc est, volens notum facere, quam haberet ille fidem. Neque enim ut ignorans de sententia Philippi interrogabat, sed aliis monstrare volebat. « Nam ipse Dominus sciebat quid facturus esset. » Igitur ut tentavit Philippum num quid haberet ille fidem, et invenit ipsum adhuc affectum ut hominem: insuper et Andream quoque talem invenit, tametsi sublimius quiddam Philippo sentientem. Illo enim dicente quod ducentorum denariorum panes non sufficiunt, ille quinque panes hordeaceos et duos pisces commonstravit, cogitans forte prophetarum miracula, ut Elisæi in panibus signum, « cum Samaria in extremum venisset inopiam[36].» Redarguitur tamen et Andreas nihil dignum Domino cogitans. Dicit enim : «Sed hæc quidem sunt inter tam multos? » Existimabat enim quod multiplicaturus quidem panes esset Dominus, sed si essent plures, major et multiplicatio futura esset, a recto sensu prorsus aberrans. Nam Dominus etiam ex nihilo potuisset panes facere, qui turbæ sufficerent : attamen ne videretur creatura non esse ex ipsius sapientia, ipsa creatura usus est in materiam miraculorum, et acceptis quinque panibus uti materia quadam, præclarum istud miraculum fecit. Confundantur Manichæi, dicentes quod panis et omnes creaturæ factæ sint a malo Deo : et propterea si quis dederit eis panem, non accipiunt illum de manibus illius, sed procul quidem illum abjici jubent, stantes autem, et maledicentes ei qui dedit, dicunt : Qui seminavit te, dispergatur : et qui pinsuit te, pinsatur carne, et similia. 383 Confundantur itaque audientes quod boni Dei Filius Christus panes multiplicarit. Nam si mala fuisset creatura, bonus quod malum esset utique non multiplicasset : ut taceam interim, quod et ipse panes comedit. Cæterum si quis interrogaverit, num idem sit hoc miraculum panum cum eo quod apud Matthæum describitur? dicimus, Certe idem est.

[35] Joan. XIV, 8, 9. [36] III Reg. IV, 38.

Quamvis autem illuc discipuli accedunt admonentes de turba ut dimittatur, hoc autem loco ipse Jesus interrogat unde pascatur : non opus est admirari. Verisimile enim est utrumque factum esse, et discipulos prius admonuisse Dominum de turbis dimittendis, et tunc Philippum interrogatum esse a Domino unde alantur.

VERS. 10-13. « Dixit autem Jesus : Facite ut homines discumbant. Erat autem gramen multum in eo loco. Discubuerunt ergo viri numero ferme quinquies mille. Accepit autem panes Jesus, cumque gratias egisset, distribuit discipulis; discipuli vero, discumbentibus. Similiter et ex piscibus quantum volebant. Ut autem impleti sunt, dicit discipulis suis: Colligite quæ superfuerunt fragmenta, ne quid pereat. Collegerunt ergo, et impleverunt duodecim cophinos fragmentorum ex quinque panibus hordeaceis, quæ superfuerant his qui comederant. » Jussit eos facere discumbere, quasi parata mensa. Discipuli autem quamvis prius increduli, attamen alacriter recumbere faciunt homines. « Erat autem gramen. » Quoniam ver erat : erat enim, inquit, Pascha, quod in primo mense veris perficiebatur. Porro soli viri numerantur ab evangelista, qui legis sequitur consuetudinem. Etenim et Moses a vigesimo anno et supra numeravit populum, nulla mentione facta mulierum : quo docetur omne quod virile et juvenile est, dignum censeri ut numeretur apud Deum. Et acceptis panibus gratias agit, ostendens quod ante cibum gratiæ agendæ sint Deo. Insuper quia turba erat, ideo coram turba gratias agit, ut omnibus persuadeat quod secundum voluntatem Dei advenerit, et quod non sit adversarius Deo, sed omnia referat in Patrem. Nam quando seorsum facit miraculum, nihil tale facit, etiamsi majus quoddam faciat: quando autem coram multis miraculum operatur, tunc ad Deum respicit. Ostendit autem quod non ex infirmitate hoc faciat, sed propter dispensationem quam diximus, ex eo quod majora faciat auctoritate quadam, et tanquam Dominus. Dicunt insuper quidam quod etiam propter hoc gratias egerit, ut ignoraretur a principe mundi usque ad tempus passionis, et ex hoc dæmon non cognosceret ipsum esse Deum, sed deciperetur, et inescaretur, atque sic per crucem conficeretur. Cæterum permittit Dominus ut supersint tot fragmenta, non propter ostentationem, absit: sed ne credatur per phantasmata satiatos esse homines, appareat autem 584 omnibus quod vere satiati fuerint, quandoquidem tot residua fuerint : atque propter hanc causam jussit etiam fragmenta colligi, ut videntes ea, miraculi facti magis essent memores. Oportet autem non solum mirari quod superfuerint, sed etiam quod non plures neque pauciores, quam qui numero pares

A αὐτό ἐστι τῷ παρὰ τῷ Ματθαίῳ (22) ; Τὸ αὐτό ἐστι. Εἰ δὲ ἐκεῖ μὲν προσέρχονται οἱ μαθηταὶ ὑπομιμνήσκοντες περὶ τοῦ ὄχλου, ἵνα ἀπολυθῶσιν, ἐνταῦθα δὲ αὐτὸς ὁ Ἰησοῦς ἐρωτᾷ, πόθεν διατρεφεῖεν, οὐ χρὴ θαυμάζειν. Εἰκὸς γάρ ἐστιν ἀμφότερα γενέσθαι, καὶ τῶν μαθητῶν πρότερον ὑπομνησάντων τὸν Κύριον περὶ τοῦ ἀπολυθῆναι τοὺς ὄχλους, ἐρωτηθῆναι τὸν Φίλιππον ὑπὸ τοῦ Κυρίου, πόθεν διατραφήσονται.

« Εἶπε δὲ ὁ Ἰησοῦς · Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. Ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. Ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. Ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας, διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις · ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. B Ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ · Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται. Συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν. » Ὡς ἑτοίμου τῆς τραπέζης οὔσης, ἐκέλευσεν αὐτοὺς εὐθέως ἀναπεσεῖν. Οἱ δὲ μαθηταὶ, καίτοι πρότερον ἀπιστοῦντες, ὅμως προθύμως κατακλίνουσι τοὺς ἀνθρώπους. « Ἦν δὲ χόρτος, » ἔαρος ὄντος. Ἦν γὰρ, φησὶ, τὸ Πάσχα · τοῦτο δὲ ἐν τῷ πρώτῳ τοῦ ἔαρος μηνὶ ἐτελεῖτο. Μόνοι δὲ οἱ ἄνδρες ἀριθμοῦνται παρὰ τοῦ εὐαγγελιστοῦ, τῇ νομικῇ συνηθείᾳ ἀκολουθοῦντος. Καὶ γὰρ καὶ Μωσῆς ἀπὸ εἰκοσαετοῦς καὶ ἀνωτέρω ἠρίθμησε τὸν λαὸν, μηδόλως μνημονεύσας γυναικῶν · δηλοῦντος τοῦ λόγου, ὅτι πᾶν ὅσον ἀνδρῶδες καὶ νεανικὸν, τίμιον, καὶ ἄξιον ἀριθμοῦ παρὰ Θεῷ. C Λαβὼν δὲ τοὺς ἄρτους εὐχαριστεῖ, δεικνὺς, ὅτι πρὸ τροφῆς εὐχαριστεῖν δεῖ τῷ Θεῷ· ἅμα δὲ καὶ ἐπειδὴ ὄχλος ἦν, διὰ τοῦτο εὐχαριστεῖ ἐνώπιον τοῦ ὄχλου, ἵνα πεισθῶσι πάντες, ὅτι κατὰ γνώμην Θεοῦ παρεγένετο, καὶ ὡς οὐκ ἔστιν ἀντίθεος, ἀλλὰ πάντα πρὸς τὸν Πατέρα ἀναφέρει. Ὅτε μὲν γὰρ κατὰ μόνας ποιεῖ σημεῖα, οὐδὲν τοιοῦτον ποιεῖ, καίτοι μείζω τελῶν · ὅταν δὲ ἐνώπιον πολλῶν θαυματουργῇ, τότε πρὸς τὸν Θεὸν ἀναβλέπει. Δείκνυσι δὲ, ὅτι οὐκ ἀσθενείᾳ τοῦτο ποιεῖ, ἀλλὰ δι' οἰκονομίαν, ἣν εἴπομεν, ἐκ τοῦ τὰ μείζονα δεσποτικῶς καὶ αὐθεντικῶς ποιεῖν. Λέγουσι δέ τινες διὰ τοῦτο αὐτὸν εὐχαριστεῖν, ἵνα λάθῃ, τὸν τοῦ κόσμου ἄρχοντα ἄχρι καὶ τοῦ καιροῦ τοῦ πάθους, καὶ μὴ ἐντεῦθεν ἤδη οἰηθείη αὐτὸν Θεὸν, D ἀλλ' ἀπατηθῇ, καὶ δελεασθῇ, καὶ οὕτω διὰ τοῦ σταυροῦ νεκρωθείη. Συγχωρεῖ δὲ ὁ Κύριος περισσεῦσαι (23) τοὺς ἄρτους, οὐ δι' ἐπίδειξιν · ἄπαγε ! ἀλλ' ὥστε μὴ φαντασίᾳ νομισθῆναι τὸ κορεσθῆναι τοὺς ἀνθρώπους, ἀλλὰ πᾶσι φανῆναι, ὅτι τοσοῦτον ἀληθῶς ἐκορέσθησαν, ὥστε καὶ ἐπερίσσευσαν τοσαῦτα · διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ τὰ κλάσματα κελεύει συναχθῆναι, ἵνα ὁρῶντες ταῦτα, τοῦ γεγονότος ἀναμιμνήσκωνται θαύματος ἐπὶ πλέον. Χρὴ δὲ οὐ μόνον θαυμάσαι, ὅτι ἐπερίσσευσαν, ἀλλὰ καὶ τὴν ἀκρίβειαν τοῦ περισσεύματος, ὅτι οὔτε πλεῖον, οὔτε

## Ex collatione codd. Venet. S. Marci.

(22) Cod. 31, Τὸ αὐτό ἐστι τῷ παρὰ τῷ Ματθαίῳ ; Λέγομεν οὖν, ὅτι καὶ τὸ αὐτό ἐστιν.
(23) Item cod., Περισσεῦσαι τοσαῦτα κλάσματα.

ἔλαττον, ἀλλ' ἰσαρίθμους τῶν μαθητῶν τοὺς κοφίνους τῶν λειψάνων ἐποίησαι περιττεῦσαι· ἵνα πάντες βαστάσωσι, καὶ μηδὲ ὁ Ἰούδας ἄμοιρος καταλειφθείη, ἀλλ' ἔχῃ καὶ τοῦτο τὸ θαῦμα δεικτικὸν τοῦ εἶναι Θεὸν τὸν αὐτοῦ διδάσκαλον, καὶ ὠφεληθείη κἀκ τούτου, κἂν διὰ τὴν αὐτοῦ κακίαν εἰς κατάκρισιν μᾶλλον αὐτοῦ τοῦτο γέγονε· τὸν γὰρ τοσαῦτα περιττεύματα ποιήσαντα, ἐξ ὧν καὶ αὐτὸς κόφινον ἐβάστασε, τοῦτον προδέδωκεν. Οὐ γὰρ δὴ μάτην τοῖς ἀποστόλοις προσέταξε βαστάσαι τοὺς κοφίνους, ἀλλ' ἵνα ἀεὶ ἀναμιμνήσκωνται τοῦ θαύματος, ὡς μέλλοντες ἔσεσθαι διδάσκαλοι τῆς οἰκουμένης. Τὸ μὲν γὰρ πλῆθος, οὐδὲν μέγα ἔμελλον καρπώσασθαι· παραυτίκα γὰρ ἐπελάθοντο τοῦ θαύματος, οὕτως ἦσαν ἀνόητοι· οἱ δὲ μαθηταὶ, οὐ τὰ τυχόντα ἔμελλον κερδαίνειν. Μανθάνομεν δὲ ἀπὸ τοῦ γεγονότος μὴ μικροψυχεῖν ἐν ταῖς στενοχωρίαις τῆς πενίας, μηδὲ δειλιᾷν πρὸς φιλοξενίαν καὶ μετάδοσιν, ἀλλὰ πιστεύειν, ὅτι κἂν ἕνα ἄρτον ἔχωμεν, πληθυνεῖ τοῦτον ὁ τὰ τοσαῦτα περιττεῦσαι ποιήσας ἐκ πέντε ἄρτων. Κατ' ἀλληγορίαν δὲ, ὅτε ἐκπεφοίτηκε τῶν Ἱεροσολύμων ὁ Κύριος, κατὰ τὸ ἐν προφήταις εἰρημένον, «Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου.» τότε δὴ εἰς τὴν Γαλιλαίαν τῶν ἐθνῶν ἄπεισιν, τοὺς ἐθνικοὺς προσλαμβανόμενος· καὶ ὄχλος αὐτῷ πολὺς ἀκολουθεῖ. Ἄνεισι δὲ εἰς τὸ ὄρος, ἤτοι εἰς τὸν σταυρὸν, ἵνα πάντας ἑλκύσῃ πρὸς ἑαυτὸν, ἢ εἰς τὸν οὐρανὸν, εἰς τὴν θεοπρεπῆ τιμὴν καὶ δόξαν. Ἀναληφθεὶς γὰρ εἰς οὐρανὸν, καὶ ὡς Θεὸς παρ' ἡμῶν δοξαζόμενος, καὶ μὴ ψιλὸς ἄνθρωπος, εἰς ὄρος ἀνελθεῖν λέγεται· ἡ γὰρ ὑψηλὴ περὶ αὐτοῦ ἔννοια, ὄρος. Διαδίδωσι δὲ ἡμῖν τοῖς ταῖς πέντε αἰσθήσεσιν ὑποπεπτωκόσι, τοὺς λογικοὺς ἄρτους πέντε καὶ αὐτοὺς ὄντας. Ἑκάστῃ γὰρ αἰσθήσει τὸν πρόσφορον ἄρτον δίδωσι, ἤτοι τὸν λόγον· ὡς καὶ Παῦλος λέγει· «Θέλω πέντε λόγους ἐν Ἐκκλησίᾳ λαλῆσαι, τοὺς ταῖς πέντε δηλαδὴ αἰσθήσεσιν ἁρμόζοντας πρὸς διόρθωσιν.» Οὐ μέντοι δυνάμεθα τούτους τοὺς πέντε λόγους ὅλους καταφαγεῖν, ἀλλὰ καὶ περιττεύουσιν. Οὐ γάρ τις δύναται ἡμῶν ὅλους τοῦ μυστηρίου τοὺς λόγους χωρῆσαι, ἀλλὰ τὰ ἡμῖν τοῖς ὑλικωτέροις ἀνέφικτα καὶ ἄβρωτα οἱ ἀπόστολοι βαστάζουσιν, ὥσπερ, ἔν τισι κοφίνοις, ταῖς ἑαυτῶν δικαίαις ψυχαῖς. Οἱ γὰρ κόφινοι, ἐκ βαΐων φοινικίνων· «Δίκαιος δὲ, ὡς φοῖνιξ ἀνθήσει.»

A essent discipuli cophini reliquiarum, ut omnes gustent, et neque Judas ipse expers relinquatur, sed habens etiam hoc miraculum quod monstret sibi Deum esse magistrum, inde utilitatem capiat: quamvis etiam hoc propter malitiam ejus in condemnationem ipsius cesserit; eum enim qui tantas reliquias fecerat, de quibus et ipse cophinum portavit, prodidit. Non enim sine causa imperavit apostolis ut cophinos gestarent, sed ut semper memores essent miraculi, utpote magistri orbis futuri. Nam multitudo quidem non magnam utilitatem perceptura erat, statim enim obliviscebatur miraculi; at discipuli non vulgare lucrum inde habituri erant. Discamus item ex hoc miraculo ne pusillanimes simus in angustiis et paupertate, neque timidi simus in hospitalitate et communione; sed credamus B quod etiam si unum tantum panem habeamus, illum multiplicaturus sit, qui ex quinque panibus tantum superesse fecit. Per allegoriam autem Dominus quando exivit Hierosolyma, secundum quod in prophetis dictum est [37] : « Dereliqui domum meam, reliqui hæreditatem meam : » tunc sane in Galilæam gentium vadit, gentiles suscipiens, et turba illlum magna sequitur. Ascendit autem in montem, hoc est crucem, ut ad se rapiat omnes vel in cœlum, ad honorem et gloriam Deo dignam. Ut enim ascendit in cœlos et glorificari cœpit a nobis ut Deus, et non ut nudus homo, in montem ascendisse dicitur. Sublimis enim de illo opinio, mons est. Dat autem nobis, quicunque sensibus C subjecti sumus, rationales panes quinque, quia et ipsi quinque sunt : unicuique enim sensui convenientem panem dat, hoc est sermonem : sicut et Paulus dicit [38]. « Volo quinque sermones in Ecclesia loqui qui quinque sensuum ædificationi conveniant. » Non possumus autem quinque sermones integros capere, sed ex eis abundant reliquiæ. Nullus enim potest integros mysteriorum sermones capere, sed quæ nos capere et comedere utpote carnales non possumus, apostoli gestant, quasi in quinque cophinis, suis justis animabus. Cophini ex ramis palmarum sunt; « Justus autem ut palma florebit [39]. »

« Οἱ οὖν ἄνθρωποι, ἰδόντες τὸ σημεῖον ὃ ἐποίησεν D ὁ Ἰησοῦς, ἔλεγον ὅτι, Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον. Ἰησοῦς οὖν, γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι, καὶ ἁρπάζειν αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος. » Ὅρα τὴν γαστριμαργίαν τοῦ πλήθους· μυρία θαύματα ποιήσαντος τοῦ Ἰησοῦ, καὶ θαυμασιώτερα, οὐκ ἐθαύμαζον· καὶ ἰδοὺ διὰ τὴν βρῶσιν, « Οὗτος, φασὶν, ἔστιν ὁ προφήτης. » Οὐκ ἔτι αὐτῷ περὶ τῆς τοῦ Σαββάτου παραβάσεως ἐγκαλοῦσιν, οὐκ ἔτι τὸν νόμον ἐκδικοῦσιν· ἀλλὰ τοσοῦτον διὰ τοὺς ἄρτους αὐτὸν τιμῶσιν, ὥστε οὐ μόνον προφήτην ἀναγορεύουσιν, ἀλλὰ καὶ βασιλείας

VERS. 14, 15. « Illi ergo homines cum vidissent quod Jesus fecerat signum, dicebant: Hic est vere propheta ille qui venturus est in mundum. Jesus ergo cum cognovisset quod venturi essent, ac rapturi ipsum ut facerent ipsum regem, secessit iterum ipse in montem solus. » Vide gulam vulgi, cum fecisset innumera miracula, et **885** mirabiliora, non admirabantur, et ecce propter cibum dicunt, » Hoc est ille propheta. » Non amplius eum de Sabbati violatione arguunt, non ultra legem vindicant, sed adeo illum propter panes colunt, ut et eum non solum prophetam prædicent, sed et dignum regno censeant. At ille fugit, erudiens nos mundanas con-

[37] Jerem. XII, 7 [38] I Cor. XIV, 19. [39] Psal. XCI, 13.

temnere dignitates. « Secedit autem in montem ipse solus, » nullo discipulorum assumpto, quo illorum probaret desiderium, num ferrent sui absentiam.

VERS. 16-24. « At ubi jam vespera esset, descenderunt discipuli ejus ad mare, et conscensa navi, venerunt trajecto mari ad oppidum Capernaum. Jamque tenebræ erant, nec venerat ad eos Jesus. Mare autem vento magno flante intumescebat. Cum remigassent ergo ferme stadia viginti quinque aut triginta, vident Jesum ambulantem super mare et appropinquantem navi, ac timuerunt. Ille autem dicit eis: Ego sum, nolite timere. Voluerunt ergo recipere eum in navim, et illico navis appulerat terræ ad quam ibant. » Dominus quidem ascendit in montem solus, ut, sicut diximus, probet desiderium discipulorum an inquirant eum. At illi expectabant usque ad vesperam sperantes venturum ipsum: et cum non veniret, non tolerabant, sed desiderio quærendi illum accensi conscendunt in navim. Non enim temere et forte evangelista tempus manifestavit, sed per hoc vehementem illorum charitatem declaravit, quod neque vespera eos retinuerit. Permisit autem eos tempestate periliclitari, ut facta post tempestatem tranquillitate, miraculo magis lætarentur, et indelebilis memoria sui illorum pectoribus insideret. Assistit autem illis cum tempestas esset, et sermone timorem ejiciens et tranquillitatem in mari faciens, duplicem serenitatem operatur, sedando tam animarum quam maris turbationem. Porro in navem non ascendit miraculum majus facere volens. Vide enim tria miracula : unum, quod ambularit super mare; secundum, quod compescuerit fluctus; tertium, quod statim navem fecerit esse in terra in quam ibant, quamvis multum abesset a terra cum assisteret ei Dominus. Igitur transierunt quidem Judæi mare Rubrum, duce Mose [40]; verum ille ut servus omnia faciebat et precabatur; at hic omni cum potestate. Et illic flante austro cedebat aqua, ut quasi in arida daret transitum; hoc autem loco majus miraculum fit. Manens enim in sua natura mare, in superficie sua ferebat Dominum, ut impleretur propheticum [41] : « Qui ambulat super mare ut super pavimentum. » Multi autem et nunc sumus in spiritualibus tenebris, et periclitamur in spirituali mari submergi; sed excipiamus Christum, et omnino a periculis salvabimur. Et quamvis sæpe tumultus excitent nobis quidem, vel diaboli, vel homines tentantes nos, et per terrores molientes
586 nos concutere, audiamus tamen Christum clamantem : « Ne timeatis, ego sum. » Quod autem dicit, hunc habet sensum : Terribilia quidem prætereunt, ideo ne timeatis ea quæ prætereunt : *Ego* autem *sum*, hoc est semper manens, et sicut Deus ego sum ille qui est. Itaque quia terribilia

A ἄξιον οἴονται. Ἀλλ' ἐκεῖνος φεύγει, παιδεύων ἡμᾶς τῶν κοσμικῶν καταφρονεῖν ἀξιωμάτων. Ἀναχωρεῖ δὲ εἰς τὸ ὄρος αὐτὸς μόνος, μηδένα τῶν μαθητῶν παραλαβών· ὡς ἂν αὐτῶν τὸν πόθον δοκιμάσῃ, καὶ εἰ μὴ φέρουσι τὴν αὐτοῦ στέρησιν.

« Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν θάλασσαν. Καὶ ἐμβάντες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ. Καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς. Ἥ τε θάλασσα ἀνέμου πνέοντος διηγείρετο. Ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ πλοίου γενόμενον· καὶ ἐφοβήθησαν. Ὁ δὲ λέγει αὐτοῖς· Ἐγώ εἰμι, μὴ φοβεῖσθε. Ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, B καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον. » Ὁ μὲν Κύριος ἄνεισιν εἰς τὸ ὄρος μόνος, ἵνα, καθὼς εἴπωμεν, δοκιμάσῃ τὸν πόθον τῶν μαθητῶν, εἰ ἐπιζητοῦσιν αὐτόν. Οἱ δὲ, περιμένουσι μὲν αὐτὸν ἄχρις ὀψίας, προσδοκῶντες ἥξειν αὐτόν· μὴ ἐλθόντος δὲ, οὐκ ἀνέχονται, ἀλλὰ πρὸς ζήτησιν αὐτοῦ τῷ πόθῳ κεντούμενοι, ἐμβαίνουσιν εἰς τὸ πλοῖον. Οὐ γὰρ ἁπλῶς, καὶ ὡς ἔτυχεν, ὁ εὐαγγελιστὴς τὸν καιρὸν ἐδήλωσεν, ἀλλὰ διὰ τούτου τὴν σφοδρὰν ἀγάπην αὐτῶν ἐμφαίνων, ὅτι οὐδὲ ἑσπέρα αὐτοὺς κατέσχεν. Ἀφίησι δὲ αὐτοὺς χειμασθῆναι, ἵνα ἐκ τοῦ κλύδωνος γαλήνης ἐπιγενομένης, τῷ γεγονότι μᾶλλον ἐπευφρανθῶσι, καὶ ἀνεπίληστος ἡ μνήμη τούτου ταῖς αὐτῶν καρδίαις ἐνσημανθῇ. Ἐφίσταται δὲ αὐτοῖς C χειμαζομένοις, καὶ διὰ τοῦ λόγου τόν τε φόβον ἐκβάλλει, καὶ ἅμα γαλήνην τῇ θαλάσσῃ ἐμποιεῖ· καὶ διπλῆν εὐδίαν ἐργάζεται, τῶν τε ψυχῶν αὐτῶν καὶ τῆς θαλάσσης πραΰνας τὴν ταραχήν. Οὐκ ἀνέβη δὲ εἰς τὸ πλοῖον, τὸ θαῦμα μεῖζον ἐργάσ[ασθ]αι βουλόμενος. Ὅρα γὰρ τρία τὰ θαύματα· ἓν, ὅτι περιεπάτει ἐπὶ τῆς θαλάσσης· δεύτερον, ὅτι κατεστόρεσε τὰ κύματα· τρίτον, τὸ εὐθέως ποιῆσαι γενέσθαι τὸ πλοῖον ἐπὶ τὴν γῆν, εἰς ἣν ὑπῆγον, καίτοι πολὺ ἀπεῖχε τῆς γῆς, ὅτε τούτῳ ἐπέστη ὁ Κύριος. Διέβησαν μὲν οὖν καὶ Ἰουδαῖοι τὴν Ἐρυθρὰν, Μωσέως ἡγουμένου, ἀλλ' ἐκεῖνος μὲν ὡς δοῦλος πάντα εἰργάζετο καὶ εὐχόμενος· οὗτος δὲ, μετ' ἐξουσίας ἁπάσης. Κἀκεῖ μὲν νότου πνεύσαντος, εἶξε τὸ ὕδωρ, ὥστε ἐπὶ ξηρᾶς ποιῆσαι παρελθεῖν· D ἐνταῦθα δὲ, μεῖζον τὸ θαῦμα ἐγένετο. Μένουσα γὰρ ἐπὶ τῆς οἰκείας φύσεως ἡ θάλασσα, οὕτως ἔφερε τὸν Δεσπότην ἐπὶ τῶν νώτων, ἵνα πληρωθῇ τὸ προφητικόν· « Ὁ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπὶ ἐδάφους. » Πολλοὶ καὶ νῦν ἐσμεν ἐν σκότῳ τῷ νοητῷ, καὶ κινδυνεύομεν ἐν τῇ θαλάσσῃ τῇ νοητῇ καταποντίζεσθαι· ἀλλ' ὑποδεξώμεθα Χριστὸν, καὶ πάντως σωθησόμεθα ἀπὸ τῶν κινδύνων· κἂν πολλάκις φόβους ἐπεισάγωσιν ἡμῖν τινες, πειράζοντες ἡμᾶς ἢ δαίμονες, ἢ ἄνθρωποι, καὶ διὰ τὸν φόβον πειρῶνται ἡμᾶς κατασείειν, ἀκούσωμεν τοῦ Χριστοῦ βοῶντος· « Μὴ φοβεῖσθε, ἐγώ εἰμι. » Ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· Τὰ μὲν φοβερὰ παρέρχονται, διὸ μὴ φοβεῖσθε

[40] Exod. XIV, 29. [41] Psal. LXV, 6.

τὰ παρερχόμενα. Ἐγὼ δέ εἰμι, τουτέστιν, ἀεὶ μένω, καὶ ὡς Θεὸς ἐγὼ τυγχάνω ὁ ὤν. Ἐπεὶ τοίνυν τὰ μὲν φοβερὰ πρόσκαιρα, καὶ οὐκ ἀληθῶς ὄντα, ἐγὼ δέ εἰμι, ἀντὶ τοῦ, μένω, καὶ οὐδέποτε παρέρχομαι, ἀλλ' ἀληθῶς εἰμι, μὴ προδῶτε τὴν εἰς ἐμὲ πίστιν διὰ τὰ πρόσκαιρα. Ὅρα δέ μοι, πῶς οὐκ ἐν ἀρχῇ τοῦ κινδύνου, ἀλλ' ἐν ἀκμῇ ἐπιφαίνεται ὁ Χριστὸς, καὶ λύει τὸν φόβον. Ἐᾷ γὰρ ἡμᾶς ἐν μέσοις γενέσθαι τοῖς δεινοῖς, ἵνα παλαίσαντες τῇ θλίψει, καὶ πιεσθέντες, δοκιμώτεροι γενώμεθα· καὶ ἵνα κινήσαντες πᾶσαν τὴν ἡμετέραν δύναμιν καὶ σοφίαν, καὶ εὑρόντες αὐτὴν ἀσθενῆ, πρὸς ἐκεῖνον καταφεύγωμεν μόνον, τὸν ἐξ ἀπροσδοκήτων σώζειν δυνάμενον. Ὅτε γὰρ ὁ ἀνθρώπινος ἀποκάμῃ νοῦς, τότε ἡ ἐκ Θεοῦ σωτηρία ἀθρόον ἐπιγινομένη, παρασκευάζει ἡμᾶς πρὸς ἐκεῖνον πέτασθαι μόνον τὸν σώζοντα, καὶ μὴ ἑαυτοῖς τὴν σωτηρίαν ἐπιγράφεσθαι. Εἰ θελήσωμεν δὲ καὶ εἰς τὸ πλοῖον ἡμῶν λαβεῖν τὸν Χριστὸν, τουτέστι, κατοικίσαι τὸν Χριστὸν ἐν τῇ καρδίᾳ ἡμῶν, εὐθὺς εὑρεθησόμεθα ἐν τῇ γῇ, εἰς ἣν ἀπαγόμεθα. Ποία δὲ ἡ γῆ ἐστιν αὕτη; Ἡ πάντως ἡ γῆ τῆς ἐπαγγελίας, ὁ οὐρανὸς, ἡ γῆ τῶν πραέων, καὶ ἀπὸ πάσης κακίας εἰρηνευσάντων.

« Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης, εἰδὼς ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον. ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ τῆς Τιβεριάδος ἐγγὺς τοῦ τόπου, ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ Κυρίου ὅτε οὖν εἶδεν ὁ ὄχλος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ, οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἀνέβησαν καὶ αὐτοὶ εἰς τὰ πλοιάρια καὶ ἦλθον εἰς Καπερναοὺμ, ζητοῦντες τὸν Ἰησοῦν. Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ· Ῥαββὶ, πότε ὧδε παραγέγονας; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε. » Πεζεύων μὲν ὁ Ἰησοῦς ἐπὶ τῆς θαλάσσης, ἀπῆλθεν εἰς τὸ πέραν. Οἱ δὲ ὄχλοι τῇ ἐπαύριον, ζητοῦντες αὐτὸν, καὶ ἰδόντες, ὅτι πλοῖον ἓν ἦν τὸ τοὺς μαθητὰς ὑποδεξάμενον, εἰς ὃ οὐ συνεισῆλθεν ὁ Ἰησοῦς, εἰς ἔννοιαν ἦλθον τοῦ θαύματος, καὶ ὑπενόουν, ὅτι τὴν θάλασσαν πεζεύων, παρεγένετο εἰς τὸ πέραν. Εἰ μὲν γὰρ καὶ ἄλλο πλοῖον ἦν, εἰκὸς ἦν ὑπονοῆσαι, ὅτι τοῖς μαθηταῖς οὐ συνέπλευσεν, εἰς ἐκεῖνο δὲ εἰσελθὼν, διεπέρασε. Νῦν δὲ, ἑνὸς ὄντος τοῦ πλοίου τοῦ τοὺς μαθητὰς μόνους, καὶ μὴ τὸν Κύριον, ὑποδεξαμένου, πρόδηλον τὸ θαῦμα. Ταῦτα τοίνυν ἐννοήσαντες οἱ ὄχλοι, ἐπειδὴ εὗρον ἄλλα πλοιάρια ἐκ τοῦ πέραν ἐλθόντα, ἐνέβησαν ἐν ἐκείνοις, καὶ εἰς Καπερναοὺμ διεπέρασαν· ἔνθα δὲ τὸν Κύριον εὑρόντες, οὐ προσπίπτουσι, καὶ δέονται μαθεῖν πῶς διέβη, οὐδὲ ζητοῦσι περὶ τούτου τοῦ σημείου, ἀλλ' οὕτω χαύνως φασί· « Πότε ὧδε παραγέγονας; » Οἱ γὰρ ζητοῦντες αὐτὸν ἁρπάσαι καὶ ποιῆσαι βασιλέα, εὑρόντες αὐτὸν, οὐδὲν τοιοῦτον βουλεύονται· ἀλλὰ τὸ θαῦμα ἐκβάλλοντες, ἄλλης ζητοῦσι τραπέζης ἀπολαύειν, οἵας καὶ πρότερον. Διὸ καὶ ὀνειδίζονται παρὰ

quidem temporaria sunt, et non vere sunt, ego autem sum, hoc est maneo, et nunquam prætereo, et vere sum, ne prodatis vestram in me fidem propter temporalia. Vide autem, obsecro, quomodo non statim ab initio periculi, sed in fervore apparet Christus et solvit metum. Sinit enim nos in mediis esse periculis, ut cum certaverimus in tribulatione et pressi fuerimus, probatiores fiamus, et ut cum noverimus omnem nostram virtutem et sapientiam, invenerimusque eam infirmam, ad illum confugiamus solum, qui ex inexspectatis salvare poterit. Nam cum humana mens fatigata fuerit, tunc divina salus repente subvenit, ac parat nos ut ad illum solum fugiamus, qui salvare potest, et non nobisipsis ascribamus salutem. Si voluerimus autem et nos in navim nostram suscipere Christum, hoc est habitationem dare Christo in corde nostro statim inveniemur in terra in quam abimus. Quæ autem terra ista? Omnino terra promissionis, cœlum, quæ est terra mitium, et eorum qui liberati a malitia, in pace vivunt.

VERS. 22-26. « Postero die, turba quæ stabat trans mare, vidit quod navicula alia non esset ibi nisi una illa in quam ingressi fuerant discipuli ejus, et quod non introisset Jesus cum discipulis suis in naviculam, sed soli discipuli ejus abiissent. Aliæ vero supervenerunt naviculæ a Tiberiade juxta locum ubi comederant panem, postquam gratias egisset Dominus. Cum ergo vidisset turba quod Jesus non esset ibi, neque discipuli ejus, ascenderunt et ipsæ in naviculas et venerunt Capernaum, quærentes Jesum. Et cum invenissent eum trans mare, dixerunt ei : Rabbi, quando huc venisti? Respondit eis Jesus et dixit : Amen, amen dico vobis, quæritis me, non quia vidistis signa, sed quia comedistis de panibus, et saturati estis. » Jesus quidem pedestri itinere super mare abiit in regionem, quæ trans mare. Turbæ autem, die postero, cum quæsivissent illum, et vidissent quod una tantum navis adfuisset, in quam ingressi fuerant discipuli, et non Jesus ipse, cogitaverunt apud se hoc miraculum, et suspicati sunt quod mare pedes transierit. Nam si quidem et alia navis adfuisset, verisimile potuisse eos cogitare, quod cum discipulis non navigarit, sed in aliam ingressus transferat. Nunc autem cum una tantum fuerit, quæ discipulos solos, et non Dominum exceperit, 587 manifestum est miraculum. Igitur turbæ hæc intellexerunt; et post invenerunt alias naves quæ trajecerant, et ascenderunt in illas et in Capernaum transfretarunt. Illic autem invento Domino, non supplicant et rogant ut discant quomodo transierit, neque quærunt de hoc signo, sed remisse dicunt : « Quando huc venisti? » Nam qui quærebant illum rapere et facere regem, invento eo nihil tale deliberant; sed abjecto miraculo inquirunt magis frui mensa alia quali et prius: propter-

ea exprobat eis Dominus. « Quæritis enim me, inquit, eo quod de panibus comedistis ; » et ideo mei tenemini desiderio, ut iterum vobis mensam parem. Observa autem, quod quamvis redarguat eos, non tamen dura utitur reprehensione. Non enim dixit, O mancipia ventris, et gulosi, sed cum mansuetudine; corrigere enim volens, arguit illos : simul autem et per hoc quod detegit occulta cordis illorum, ad majorem illos adducere volens fidem. Quod autem emendatio illorum fuerit reprehensio, manifestum ex sequentibus. Utilissimam enim eis doctrinam facit et dicit :

VERS. 27. « Operemini non cibum qui perit, sed qui permanet in vitam æternam, quem Filius hominis dabit vobis. Hunc enim Pater consignavit Deus. » Vos quidem, inquit, quæritis me propter panes, quia cibum illum desideratis. Oportet autem vos non omnino deditos esse ventri, sed maxime spiritualium agere curam, et non omnem sollicitudinem in corporalem cibum insumere. Nam illum vocavit « cibum qui perit. » Nam quia multi sunt cupientes ignavi vivere, et maxime Masseliani, qui usi sunt hoc dicto ad patrocinium suæ ignaviæ, operæ pretium fuerit declarare hoc dictum: non enim hoc dixit Dominus noster Jesus Christus, ut corporalem quidem operationem ab eis velit amovere, et ipsos ad otium cogere: « Omnem enim malitiam docuit otiositas[42], » et si oportet evidenter dicere, ipsum otiose velle vivere, cibus est qui perit: et ita eum qui Christum sequitur, oportet operari ut habeat quod et aliis communicet : hoc enim habet mercedem, et promissionem futuri regni. Et quomodo igitur, inquiunt, dicit Dominus quod non oporteat operari cibum qui perit? Continuum circa cibos studium rejiciens, et ad spiritualia nos parum inducens. Profecto, dicunt, quod per hoc Dominus corporalem operationem excludit, id quoque manifestum ex hoc quod ad Martham dicit[43] : « Martha, sollicita es et turbaris, uno autem opus est : Maria bonam partem elegit; » et iterum [44] : « Ne solliciti sitis in crastinum. » Et hæc quidem afferunt hi qui per ignaviam pasci vellent. Nos autem quid dicimus? Dictum 588 ad Martham non de opere est et operatione vel otio, sed de temporis observatione, et ne tempus audiendi insumatur in occupationes parandorum ciborum. Persuadet igitur ei ne perdat tempus doctrinæ frustra propter occupationem in his quæ ventris sunt. Quod autem dicit. « Ne solliciti sitis : » neque hoc dicto operationem rejecit. Aliud enim sollicitudo est, et aliud operatio. Fieri enim potest ut sollicitus non sit qui operetur. Docet igitur nos Dominus ne addicti simus curis vitæ, neque habeamus curam quomodo cras refocillemur; vult ut unoquoque die operemur, dicens : « Ne solliciti sitis de crastino : » quasi in hunc modum diceret : Ne solliciti sitis quomodo hodie operando, cras quiescatis; sed quotidie cibum

A τοῦ Κυρίου. « Ζητεῖτε γάρ με, φησὶν, ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, » καὶ διὰ τοῦτό με ποθεῖτε, ἵνα πάλιν ἔχητέ με τραπεζοποιόν. Πρόσχες δὲ, ὅτι καίτοι ἐλέγχων αὐτοὺς, οὐ σκληρῷ κέχρηται τῷ ἐλέγχῳ. Οὐ γὰρ εἶπεν, ὅτι, Ὦ γαστρίδουλοι καὶ λαίμαργοι, ἀλλὰ μετὰ πραότητος. Διορθώσασθαι γὰρ βουλόμενος, ἐλέγχει αὐτοὺς, ἅμα δὲ καὶ διὰ τοῦ ἐκκαλύψαι τὰ κρυπτὰ τῆς καρδίας αὐτῶν, εἰς πίστιν αὐτοὺς ἐθέλων ἀγαγεῖν μείζονα. Ὅτι δὲ διόρθωσις ἦν αὐτῶν ὁ ἔλεγχος, δῆλον ἐκ τῶν ἑφεξῆς. Διδασκαλίαν γὰρ χρησιμωτάτην πρὸς αὐτοὺς ποιεῖται καί φησιν·

« Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ Υἱὸς τοῦ ἀνθρώπου δώσει ὑμῖν· τοῦτον γὰρ ὁ B Πατὴρ ἐσφράγισεν ὁ Θεός. » Ὑμεῖς μὲν, φησὶ, διὰ τοὺς ἄρτους ζητεῖτέ με, ὡς τὴν τροφὴν ταύτην ποθοῦντες· δεῖ δὲ ὑμᾶς μὴ ὅλως νεύειν εἰς γαστέρα, ἀλλὰ τῶν πνευματικῶν φροντίζειν μάλιστα, καὶ μὴ πᾶσαν τὴν μέριμναν εἰς τὴν σωματικὴν τροφὴν ἀναλίσκειν. Ταύτην γὰρ « βρῶσιν ἀπολλυμένην » ἐκάλεσεν. Ἐπεὶ δὲ πολλοὶ τῶν θελόντων ἀργῶς ζῇν, καὶ μάλιστα οἱ Μασαλιανοὶ, τῷ ῥητῷ τούτῳ κέχρηνται πρὸς συνηγορίαν τῆς αὐτῶν ἀργίας, ἀναγκαῖον σαφηνίσαι τὸ ῥητόν. Οὐ γὰρ τοῦτο εἶπεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὡς τὴν μὲν σωματικὴν ἐργασίαν ἀποκόψαι βουλόμενος, εἰς ἀργίαν δὲ συνωθῶν. Πᾶσαν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία, καὶ εἰ δεῖ τ' ἀκριβὲς εἰπεῖν, τοῦτό ἐστιν ἡ ἀπολλυμένη βρῶσις, C τὸ ἀργῶς ἐθέλειν ζῇν· ὡς τόν γε τῷ Χριστῷ ἑπόμενον, δεῖ ἐργάζεσθαι, ἵνα ἔχῃ καὶ ἄλλοις μεταδιδόναι· τοῦτο γὰρ ἔχει μισθὸν, τὴν τῆς μελλούσης βασιλείας ἐπαγγελίαν. Πῶς οὖν, φησὶν, εἶπεν ὁ Κύριος, ὅτι οὐ δεῖ ἐργάζεσθαι τὴν βρῶσιν τὴν ἀπολλυμένην; Τὸ σύντονον τῆς αὐτῶν περὶ τὰ βρώματα σπουδῆς ἐκκόπτων, καὶ πρὸς τὰ πνευματικὰ μετρίως μεταβιβάζων. Ναὶ, φησὶν, ἀλλὰ μὴν, ὅτι τὴν σωματικὴν ἐργασίαν ἐκκόπτει ὁ Χριστὸς, δῆλον ἐκ τοῦ πρὸς τὴν Μάρθαν εἰπεῖν· « Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ, ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο· » καὶ πάλιν· « Μὴ μεριμνήσητε περὶ τῆς αὔριον. » Ταῦτά μὲν διαπoροῦσιν οἱ τρέφεσθαι ἀργῶς θέλοντες. Ἡμεῖς δὲ τί φαμεν; Ὅτι τὸ πρὸς τὴν D Μάρθαν λεχθὲν, οὐ περὶ ἔργου ἐστὶ, καὶ ἐργασίας, καὶ ἀργίας, ἀλλὰ περὶ τοῦ καιρὸν εἰδέναι, καὶ μὴ τὸν τῆς ἀκροάσεως χρόνον ἀναλίσκειν εἰς τὴν περὶ τὰ βρώματα σπουδήν. Πείθων οὖν αὐτὴν, μὴ τὸν τῆς διδασκαλίας καιρὸν προδιδόναι μάτην διὰ τὴν περὶ τῆς γαστρὸς ἀσχολίαν, ταῦτά φησι. Τὸ δὲ, « Μὴ μεριμνήσητε, » εἰπὼν, οὐδὲ οὕτως ἐκβάλλει τὴν ἐργασίαν. Ἄλλο γὰρ μέριμνα, καὶ ἄλλο ἐργασία. Ἔστι γάρ τινα καὶ ἐργαζόμενον, μηδὲν μεριμνᾷν. Διδάσκων οὖν ἡμᾶς ὁ Κύριος, μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς, μηδὲ ποιεῖσθαι φροντίδα τῆς αὔριον ἀναπαύσεως, ἀλλὰ μᾶλλον καθ' ἑκάστην θέλων ἡμᾶς ἐργάζεσθαι, φησί· « Μὴ μεριμνήσετε περὶ τῆς αὔριον· » ὥσπερ ἂν εἰ οὕτως ἔλεγε· Μὴ μεριμνή-

[42] Eccli. XXXIII, 29. [43] Luc. X, 41, 42. [44] Matth. VI, 34.

σητε, πῶς σήμερον ἐργαζόμενοι, αὔριον ἀναπαύσεσθε· ἀλλ' ἑκάστης ἡμέρας τροφὴν ἐκ τῆς καθ' ἡμέραν ἐργασίας ἔχοντες, μὴ μεριμνᾶτε περὶ τῆς αὔριον. Βρῶσιν δὲ μένουσαν, τὴν μυστικὴν λέγει μετάληψιν τῆς σαρκὸς τοῦ Κυρίου, ἣν αὐτὸς ἡμῖν δίδωσιν, Υἱὸς ἀνθρώπου γενόμενος, ὃν ὁ Πατὴρ ἐσφράγισε, τουτέστιν, ἀπέδειξεν, ἐβεβαίωσεν, ὅτι ἔστιν Υἱὸς αὐτοῦ. Ἀπέδειξε μὲν γὰρ καὶ αὐτὸς ἑαυτὸν ὁ Χριστὸς διὰ τῶν θαυμάτων· ἐπεὶ δὲ πρὸς Ἰουδαίους διαλέγεται, ἵνα μὴ ταραχθῶσιν, ἐπὶ τὸν Πατέρα ἀνατρέχει, καί φησι, παρ' αὐτοῦ ἐσφραγίσθαι, τουτέστιν, ἀποδεδεῖχθαι, μεμαρτυρῆσθαι. Ἐπεὶ καὶ εἰκών ἐστι τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ σφράγισμα, καὶ χαρακτὴρ, νόει παρ' αὐτοῦ σφραγισθῆναι τοῦτον, καθ' ὃ εἰκὼν καὶ σφράγισμά ἐστιν· ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον· Τοῦτον γὰρ τὸν φαινόμενον Υἱὸν ἀνθρώπου, ἐσφράγισεν ὁ Πατὴρ, τουτέστι, σφραγῖδα αὐτοῦ καὶ εἰκόνα ἐγέννησε, ἀπαραλλαξίαν πᾶσαν καὶ ταυτότητα φυσικὴν πρὸς αὐτὸν ἀποσώζουσαν.

A quotidiana operatione parantes, ne solliciti sitis de crastino. Cibum autem manentem, mysticam dicit sumptionem carnis Domini, quam nobis ipse dat Filius hominis factus, quem Pater obsignavit, hoc est ostendit et confirmavit quod sit Filius suus; et ipse quidem Christus ostendit se per miracula; sed quia cum Judæis loquitur, ut ne turbentur, ad Patrem recurrit, et dicit ab illo se signatum esse, hoc est, monstratum et testimoniis confirmatum esse; quia et imago est Patris Filius, et signaculum et character, intellige ab illo hunc signatum, quatenus imago et sigillum est; et ita se habet quod dicit, Hunc enim qui videbatur Filius hominis, signavit Pater, hoc est signaculum suum et imaginem genuit, quæ haberet in se omne quod ipse habebat, et naturalem cum ipso identitatem.

« Εἶπον οὖν πρὸς αὐτόν· Τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. Εἶπον οὖν αὐτῷ· Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν, καὶ πιστεύσωμέν σοι; Τί ἐργάζῃ; » Ζητοῦσιν οἱ Ἰουδαῖοι μαθεῖν τὸ ἔργον τοῦ Θεοῦ, οὐχ ἵνα τοῦτο πράξωσιν, ἀλλ' ἵνα δράξωνται ἀφορμάς. Εἰδὼς οὖν αὐτοὺς μηδὲν ὠφεληθησομένους, ὅμως διὰ τὸ κοινωφελὲς τῆς διδασκαλίας ἀποκρίνεται, καὶ ὑποδείκνυσιν αὐτοῖς, μᾶλλον δὲ πᾶσιν ἀνθρώποις, ὅτι τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, τὸ πιστεύειν εἰς ὃν ἐκεῖνος ἀπέστειλεν. Ἡ γὰρ εἰς αὐτὸν πίστις, ἔργον ὄντως ἱερόν τε καὶ τέλειον, καὶ ἁγιάζον τοὺς ταύτην ἔχοντας. Ὁδηγὸς γὰρ γίνεται ἡ ἀκριβὴς πίστις πρὸς πᾶσαν ἀγαθὴν ἐργασίαν, καὶ ἡ ἀγαθὴ ἐργασία συντηρεῖ τὴν πίστιν, « Τά τε γὰρ ἔργα ἄτερ πίστεως νεκρὰ, καὶ ἡ πίστις χωρὶς ἔργων. » Ὅρα δὲ ἀγνωμοσύνην καὶ ἀναισθησίαν· σημεῖον πάλιν ζητοῦσιν οἱ τοσαῦτα καὶ τηλικαῦτα ἰδόντες, καὶ τὸ τῶν ἄρτων μᾶλλον ἀφ' ὧν ἐκορέσθησαν. Ὡς γαστρίμαργοι οὖν, πάλιν τοιοῦτον αἰτοῦσι σημεῖον, εἰς γαστέρα αὐτοῖς συμβαλλόμενον. Ὅτι δὲ τοῦτο ἀληθὲς, δῆλον ἐκ τῶν ἑξῆς.

B VERS. 28-30. « Dixerunt ergo ad eum: Quid faciemus ut operemur opera Dei? Respondit Jesus et dixit eis: Hoc est opus Dei, ut credatis in eum quem misit ille. Dixerunt ergo ei: Quod ergo tu facis signum ut videamus et credamus tibi? quid operaris? » Quærunt Judæi discere opus Dei, non ut hoc faciant, sed ut occasionem apprehendant. Dominus autem quamvis sciret eos nullam utilitatem percepturos, respondit tamen per doctrinam utilem omnibus, et ostendit eis, imo omnibus hominibus, quod hoc sit opus Dei credere in eum quem ille misit. Nam fides erga illum, opus profecto est sanctum et perfectum, et sanctificans eos qui illam habent. Dux enim fit diligens fides ad omnem bonam operationem, et bona operatio conservat fidem. C « Nam et opera sine fide mortua sunt, et fides sine operibus [45]. » Vide autem ingratitudinem insensatorum: signum iterum quærunt, quamvis tanta et talia viderint, et maxime panum quibus saturati fuerant. Vere gastrimargi, qui iterum signum tale quærunt, quod ventri prodesset: et quod hoc sit verum, 589 manifestum est ex sequentibus.

« Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. Ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Εἶπον οὖν πρὸς αὐτόν· « Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. » Οὐ μάτην ἐλέγομεν, ὅτι ὡς τῇ κοιλίᾳ δουλεύοντες, ἐζήτουν σημεῖον· οἷον ἦν τὸ τῶν ἄρτων. Ἰδοὺ γοῦν τοῦ μάννα μέμνηνται, καὶ οὐχ ἑτέρου τινὸς θαύματος, εἴτε τῶν Αἰγυπτίων, εἴτε τῶν κατὰ τὴν Ἐρυθρὰν θάλασσαν. Βουλόμενοι γὰρ ἐρεθίσαι αὐτὸν, ἵνα καὶ αὐτὸς τοιοῦτον σημεῖον ποιήσῃ, ὅπερ ἠδύνατο αὐτοὺς

VERS. 31-34. « Patres nostri manducaverunt manna in deserto, sicut scriptum est: Panem de cœlo dedit eis ad edendum. Dixit eis Jesus: Amen, amen dico vobis: non Moses dedit vobis illum panem de cœlo, sed Pater meus dat vobis panem de cœlo verum. Panis enim Dei est, qui de cœlo des- D cendit, et dat vitam mundo. Dixerunt ergo ad eum: Domine, semper da nobis panem istum. » Non frustra diximus quod ventri servientes quærebant signum quale erat signum panum. Ecce et mannæ mentionem faciunt, et non alterius miraculi vel in Ægypto, vel in mari Rubro. Volentes enim incitare eum ut et ipse tale signum faceret quo carnaliter pascerentur, recordantur mannæ propter immodicam gulam. Quid igitur immensa Dei sapientia Do-

[45] Jac. II, 20.

minus noster Jesus Christus respondet eis? « Non Moses dedit vobis panem, » hoc est verum panem non dedit vobis Moses. Omnia enim quæ tunc fiebant, typi erant eorum quæ nunc fiunt. Moses enim figuram habebat Dei, veri spiritualium Israelitarum ducis. Panis autem ille figura est mei, qui de cœlo descendit, et vere pasco, et vere sum. Cæterum dicit seipsum verum panem, non quod manna falsum fuerit, sed quia illud figura fuit et umbra, non ipsamet veritas. Proprie enim manna unigenitus Filius Dei factus homo, verbum et auditio obstupescere faciens. Nam manna interpretatur *quid hoc?* Judæi enim viso illo, quod cumulatim depluitum esset ante cujusque tabernaculum, obstupefacti insolito et peregrino spectaculo, interrogabant se invicem? « Quid hoc[46]. » Dominus igitur factus homo Filius Dei, ipse est manna, quod stupefacit omnes, ita ut dicant : « Quid hoc? » Quomodo Filius Dei et Filius hominis? Quomodo ex duobus diversis una persona? quid hoc mysterium? Hic igitur panis vita secundum naturam existens, utpote viventis Patris Filius, facit quod sibi proprium est: vivificat enim omnia. Igitur sicut qui ex terra panis, infirmam naturam carnis continet non sinens illam corrumpi; ita et Christus per Spiritus operationem animam vivificat, atque etiam ipsum corpus ab incorruptione conservat. Per Christum enim humanæ naturæ resurrectio ex mortuis, et incorruptio corporum est concessa. Sed Judæi adhuc dediti ventri et toti terreni, de sensibili pane intelligunt dicta et dicunt, « Da nobis hunc panem. » Sic igitur stulte loquentes redarguebantur et dicunt, « Semper da nobis panem hunc, » non ad unum vel ad duos dies. Hoc autem præ avaritia dicebant. Ut enim non opus sit multa impendere in cibos dicunt, Da semper hunc facile parabilem 500 panem.

A θρέψει σαρκικῶς, μέμνηνται τοῦ μάννα διὰ γαστριμαργίας ὑπερβολήν. Τί οὖν ἡ ἄπειρος τοῦ Θεοῦ σοφία, ὁ Κύριος ἡμῶν Ἰησοῦς, ἀποκρίνεται αὐτοῖς; Ὅτι « Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον· » τουτέστι, τὸν ἀληθινὸν ἄρτον οὐ δέδωκεν ὑμῖν Μωσῆς· ἀλλὰ πάντα τὰ τότε γινόμενα, τύποι ἦσαν τῶν νῦν γινομένων. Ὁ μὲν γὰρ Μωσῆς τύπον ἐπεῖχε τοῦ Θεοῦ, τοῦ ἀληθινοῦ τῶν νοητῶν Ἰσραηλιτῶν στρατηγοῦ· ὁ δὲ ἄρτος ἐκεῖνος, τύπος ἐμοῦ τοῦ ἐκ τῶν οὐρανῶν καταβάντος, καὶ ἀληθῶς τρέφοντος, καὶ ἀληθινοῦ ὑπάρχοντος. Λέγει δὲ ἑαυτὸν ἀληθινὸν ἄρτον, οὐχ ὡς τοῦ μάννα ψευδοῦς ὄντος, ἀλλ' ἐπειδὴ ἐκεῖνος τύπος ἦν καὶ σκιὰ, καὶ οὐκ αὐτοαλήθεια. Κυρίως γὰρ μάννα ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος B γενόμενος, τὸ ἐκπληκτικὸν ῥῆμα καὶ ἄκουσμα. Μάννα γὰρ ἑρμηνεύεται, Τί τοῦτο; Οἱ γὰρ Ἑβραῖοι, ἰδόντες αὐτὸ ἕκαστος πρὸ τῆς οἰκίας σκηνῆς σωρηδὸν κεχυμένον, καὶ τῷ ἀήθει καὶ ξένῳ τοῦ θεάματος καταπλαγέντες, ἠρώτων ἀλλήλους· Τί τοῦτο; Ὁ τοίνυν Κύριος γενόμενος ἄνθρωπος ὁ Υἱὸς τοῦ Θεοῦ, αὐτός ἐστι τὸ πάντας ἐκπλῆττον μάννα, ὥστε ἕκαστον διαπορούντα λέγειν· Τί τοῦτο; Πῶς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ Υἱὸς ἀνθρώπου; Πῶς ἐκ δύο τῶν ἐναντίων ἓν πρόσωπον; Τί τοῦτο τὸ μυστήριον; Οὗτος οὖν ὁ ἄρτος, ζωὴ κατὰ φύσιν ὢν, οἷα ζῶντος Πατρὸς Υἱὸς, ποιεῖ τὸ οἰκεῖον· ζωοποιεῖ γὰρ τὰ πάντα. Ὥσπερ οὖν ὁ ἐκ γῆς ἄρτος τὴν ἀσθενῆ φύσιν τῆς σαρκὸς συνέχει, καὶ οὐκ ἐᾷ καταφθείρεσθαι· οὕτω καὶ ὁ Χριστὸς διὰ τῆς τοῦ Πνεύματος ἐνεργείας τὴν ψυχὴν ζωοποιεῖ, καὶ μὴν καὶ αὐτὸ τὸ σῶμα συνέχει εἰς ἀφθαρσίαν. Διὰ γὰρ Χριστοῦ ἡ ἐκ νεκρῶν ἀνά-C στασις τῇ ἀνθρωπίνῃ φύσει κεχάρισται, καὶ ἡ τῶν σωμάτων ἀφθαρσία. Ἀλλ' οἱ Ἰουδαῖοι περὶ γαστέρα ἔτι νεύοντες, καὶ τὸ ὅλον γῆ ὄντες, περὶ αἰσθητοῦ ἄρτου νοοῦσι τὰ εἰρημένα, καί φασι· « Δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. » Οὕτως οὖν ἀνοηταίνοντες, ἠλέγχοντο, οὐ μίαν ἡμέραν οὐδὲ δύο. Τοῦτο δὲ καὶ ἀπὸ φιλαργυρίας περὶ τὴν τῆς τροφῆς εὐπορίαν, δὸς πάντοτε τοῦτον τὸν

καί, « Πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον, » φασίν, ἔλεγον. Ἵνα γὰρ μὴ ἀναλίσκωμεν τὰ χρήματα ἡμῶν εὐπόριστον ἄρτον.

VERS. 35, 38. « Dixit autem eis Jesus : Ego sum panis vitæ : qui venit ad me, non esuriet; et qui credit in me, non sitiet unquam. Sed dixi vobis quod etiam vidistis me, nec creditis. Omne quod dat mihi Pater, ad me veniet : et qui venerit ad me, non ejicio foras, quia descendit de cœlo ut faciam non quod ego volo, sed quod vult qui me misit. » Cum Judæi, utpote terreni, de sensibili pane Christum loqui putarent, et propter hoc urgerent et quærerent : redarguens eos Dominus, monstrat quod quandiu sensibilem panem exspectent, accurrant: quando autem discunt quod spiritualis sit, non ultra accurrant. Unde dicit : « Ego sum panis vitæ. » Non dixit autem, panis alimoniæ, sed *vitæ*. Nam cum omnia mortificata essent, vivificavit nos per semetipsum Christus, qui est panis, eo quod fermentum humanæ conspersionis credimus coctum esse igne deitatis. Panis autem vitæ non hujus soli-

« Εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με, οὐ μὴ πεινάσῃ· καὶ ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ διψήσῃ πώποτε. Ἀλλ' εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε. Πᾶν ὃ δίδωσί μοι ὁ Πατὴρ, πρὸς ἐμὲ ἥξει· καὶ τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω· ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ D ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. » Τῶν Ἰουδαίων οἷα δὴ γηΐνων, περὶ αἰσθητοῦ ἄρτου νομιζόντων λέγειν τὸν Κύριον, καὶ διὰ τοῦτο ἐπικειμένων, καὶ ζητούντων, ἐλέγχων αὐτοὺς ὁ Κύριος, καὶ δεικνὺς, ὅτι ἕως μὲν αἰσθητὴν ὑπώπτευον τὴν τροφὴν, ἐπέτρεχον· ὅταν δὲ μάθωσιν, ὅτι πνευματική ἐστιν, οὐκ ἔτι ἐπιδραμοῦνται, φησίν· « Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. » Οὐκ εἶπε δὲ, Ἄρτος τροφῆς, ἀλλὰ, « Ζωῆς. » Ἐπειδὴ γὰρ τὰ πάντα νενέκρωτο, ἐζωοποίησεν ἡμᾶς δι' ἑαυτοῦ ὁ Κύριος, ὅς ἐστιν ἄρτος, καθὸ τὴν ζύμην τοῦ ἀνθρωπίνου φυράματος

[46] Exod. XIV, 15.

πιστεύομεν ἐξοπτηθῆναι τῷ πυρὶ τῆς θεότητος· ζωῆς δὲ ἄρτος οὐ τοιαύτης συνήθως, ἀλλὰ παρηλλαγμένης, καὶ θανάτῳ μὴ διακοπτομένης. Ὁ πιστεύων δὲ εἰς τὸν τοιοῦτον ἄρτον, οὐ μὴ πεινάσῃ, οὐδ' οὐ μὴ λιμώξῃ λιμὸν τοῦ ἀκοῦσαι λόγον Θεοῦ, οὐδὲ διψήσῃ δίψαν νοητὴν, ἀπὸ τοῦ μὴ ἔχειν τὸ ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸν ἁγιασμὸν τοῦ Πνεύματος, γινομένην. Ὁ μὲν γὰρ ἀβάπτιστος, δίψαν ἔχει καὶ ξηρότητα πολλὴν, ἀμοιρῶν τοῦ ἀναψύχοντος ἁγίου ὕδατος· ὁ δὲ βεβαπτισμένος, ἔχων τὸ Πνεῦμα, ἀεὶ ψυχαγωγεῖται δι' αὐτοῦ. Δεικνύων δὲ, ὅτι καὶ ἡ πίστις ἡ εἰς αὐτὸν οὐ τὸ τυχόν ἐστι πρᾶγμα, ἀλλὰ δῶρον Θεοῦ, τοῖς ἀξίοις καὶ εὐθέσι τῇ καρδίᾳ παρὰ τοῦ Πατρὸς διδόμενον, φησὶν, ὅτι « Πᾶν ὃ δίδωσί μοι ὁ Πατὴρ, πρὸς ἐμὲ ἥξει, » τουτέστιν, ἐκεῖνοι πιστεύσουσιν εἰς ἐμὲ, οὓς δίδωσί μοι ὁ Πατήρ. Ὑμεῖς δὲ οἱ Ἰουδαῖοι, ὡς ἀνάξιοι ὄντες, οὐ δίδοσθέ μοι παρὰ τοῦ Πατρός· διὸ οὐδὲ ἔρχεσθε πρὸς μὲ, οὐ γὰρ ἔχετε εὐθεῖαν τὴν καρδίαν, ἵνα ὑμᾶς ἀγαπήσας ὁ Θεὸς καὶ Πατὴρ, ἀγάγῃ εἰς τὴν ἐμὴν πίστιν. « Ἐγὼ δὲ τὸν ἐρχόμενον πρὸς μὲ, οὐ μὴ ἐκβάλω ἔξω » τουτέστιν, οὐ μὴ ἀπολέσω, ἀλλὰ σώσω, καὶ ἐπιμελείας ἀπολαῦσαι παρασκευάσω πολλῆς. Καταβέβηκα γὰρ ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ἄλλο τι πράξω παρὰ τὸ θέλημα τοῦ Πατρός. Ταῦτα δέ φησιν, ἵνα μάθωσι, ὅτι ὁ μὴ δεχόμενος αὐτὸν, ἀντίθεός ἐστιν, ἐναντιούμενος τῷ θελήματι τοῦ Πατρός. Ἐπεὶ γὰρ αὐτὸν ἀντίθεον ἔλεγον ἐκεῖνοι, αὐτὸς τὸ ἔγκλημα εἰς αὐτοὺς περιτρέπει καί φησιν, εἰ καὶ μὴ φανερῶς, ὅτι, Ὑμεῖς ἐστε ἀντίθεοι, οἱ μὴ δεχόμενοι τὸν τῷ τοῦ Πατρὸς θελήματι ἀκολουθοῦντα. Ποῦ ἐστι Νεστόριος ἐνταῦθα, ὁ λέγων, ὅτι μετὰ τὴν ἀνάστασιν ἐθεοποιήθη ὁ Χριστός; Οὐκ ἀκούεις, ταλαίπωρε, ὅτι καταβέβηκεν ἐκ τοῦ οὐρανοῦ; Ὁ δὲ καταβὰς ἐκ τοῦ οὐρανοῦ, οὐ ψιλὸς ἄνθρωπος δήπου ἦν, ἀλλὰ Θεός. Ψιλὸς γὰρ ἄνθρωπος οὐ καταβαίνει, ἀλλ' εἰ ἄρα ἀναβαίνει εἰς οὐρανὸν, χαριζομένου δι' ἀρετὴν τοῦτο τοῦ Θεοῦ. Ἐπεὶ οὖν τοῦ Κυρίου ἡ κατάβασις προέλαβε τὴν ἀνάβασιν, ὁ αὐτὸς οὖν καὶ κατέβη ἐξ οὐρανοῦ, ὡς Θεὸς δηλονότι, διὰ τὸ ἐνανθρωπῆσαι συγκαταβάς· καὶ ἀνέβη εἰς οὐρανοὺς, μετὰ σαρκὸς δηλαδὴ ὡς ἄνθρωπος, ἔνθα ἦν τὸ πρότερον ὡς Θεός. Οὐκ ἄρα ψιλὸς ἄνθρωπος ὁ Χριστὸς, θεωθεὶς ὕστερον, ὡς ἐλήρει Νεστόριος, ἀλλὰ Θεὸς προαιώνιος ἐνανθρωπήσας ἐν ἐσχάτοις καιροῖς.

« Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με Πατρὸς, ἵνα πᾶν ὃ δέδωκέ μοι, οὐ μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν, καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον· καὶ ἀναστήσω αὐτὸν ἐγὼ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. » Συνεχῶς τίθησι τὸ, « Δέδωκέ μοι ὁ Πατήρ. » Ἵνα πλήξῃ τὰς καρδίας αὐτῶν, καὶ ἐπιγνῶσιν, ὅτι τῆς τοῦ Θεοῦ δωρεᾶς ἀνάξιοί εἰσιν. Εἰ γὰρ ὁ Πατὴρ δίδωσιν ὡς μέγα τι τὴν εἰς Χριστὸν πίστιν, οὗτοι δὲ ταύτην οὐκ ἔχουσι, πρόδηλον ὅτι τῆς τοῦ Θεοῦ δωρεᾶς ἀποπεπτώκασιν. Ἐγὼ τοίνυν, φησὶν, οὐκ ἀπολέσω οὓς δίδωσί μοι ὁ Πατὴρ, τουτέστι, τοὺς πιστεύοντάς μοι· ἀλλ' ἀναστήσω αὐτοὺς, ὅπερ ἐστὶν, ἀναστάσεως ἀξιώσω λαμπρᾶς. Διττὴ γάρ ἐστιν ἡ ἀνάστασις· ἡ μὲν κοινὴ καὶ καθολικὴ, ἣν πάντες οἱ ἁμαρτωλοὶ ἀνίστανται· ἡ δὲ, ἣν μόνοι οἱ δίκαιοι εἰς

A tæ, sed immutate, et morte non deficientis. At qui credit in illum panem, non esuriet neque famem feret audiendi semonem Dei, neque sitiet spiritualem sitim, eo quod habeat aquam baptismi et sanctificationem Spiritus. Nam qui non baptizatus est, sitim patitur, et magnam ariditatem, expers aquæ sanctæ refrigerantis. Baptizatus autem Spiritum habet, per quem semper refrigeratur. Ostendens autem quod fides quæ in Christum, non vulgaris quæpiam res sit, sed donum Dei dignis et rectis corde a Patre datum, dicit quod « Omne quod dat mihi Pater, ad me veniet, » hoc est, illi credent in me, quos dat mihi Pater. Vos autem Judæi, cum indigni sitis, non damini mihi a Patre: propterea neque venitis ad me, neque habetis rectum cor, ut
B vos diligens Deus et Pater ducat ad meam fidem. « Ego autem eum qui venit ad me non ejiciam foras, » hoc est non perdam, sed salvabo, et magna cura illum refocillabo. Descendi enim de cœlo, non ut aliud quiddam faciam præter voluntatem Patris. Cæterum hæc dicit, ut discant quod qui eum non recipit, Deo sit adversarius, Patris voluntati repugnans. Quia enim illnm adversarium Dei dicebant, ipse crimen in illos vertit, tametsi non manifeste, et dicit: Vos estis adversarii Dei, qui me non recipitis, qui facio voluntatem Patris. Ubi est Nestorius hoc loco, qui dicit quod post resurrectionem deificatus sit Christus? Non audis, miser, quod descendit de cœlo? Jam qui de cœlo descendit, non utique nudus erat homo, sed Deus. Nudus enim homo non descendit, sed si quidem ascendit in cœ-
C lum, hoc illi concedit propter virtutem Deus. Solius Domini descensus prævenit ascensum. Ipse igitur et descendit de cœlo sicut Deus, quandoquidem incarnari dignatus est: et ascendit in cœlum cum 891 carne, ut homo scilicet, ubi erat prius ut Deus. Non igitur nudus homo erat Christus postea deificatus, sicut delirabat Nestorius, sed Deus ante sæcula, incarnatus novissimis temporibus.

Vers. 39, 40.. « Hæc autem voluntas ejus, qui misit me, Patris, ut omne quod dedit mihi, non perdam ex eo, sed resuscitem illud in novissimo die.
D Hæc est autem voluntas ejus qui misit me, ut omnis qui videt Filium, et credit in eum, habeat vitam æternam, et ego suscitabo eum in novissimo die » Subinde ponit, « Dedit mihi Pater, » ut perstringat corda illorum ut agnoscant se Dei munere indignos. Nam si Pater dat ut magnum quiddam, dignam in Christum fidem, ipsi autem illam non habent, manifestum est quod dono Dei exciderint. Igitur ego, inquit, non perdam quos dat mihi Pater, hoc est eos qui credunt mihi, sed resuscitabo illos, hoc est in resurrectione claritate illos dignabor. Duplex enim est resurrectio: una quidem communis et generalis, qua omnes etiam peccatores resurgunt; altera, qua soli justi assumuntur in occursum Do-

mini in aera, et prius cum magna fiducia Domino occurrunt. Hanc autem resurrectionem Paulus ἐξανάστασιν, hoc est, «exsurrectionem» nominat, propter elevationem a terra. Peccatores enim resurgent quidem ex sepulcris in terram, de terra autem non exsurgent in aerem. Infra enim manebunt sicut condemnati. Itaque justi resurgunt et exsurgunt, qui rapiuntur in nubibus in occursum Domini [47]: peccatores autem resurgunt tantum. Porro Dominus interpretans quid sit, « Omne quod dedit mihi Pater, non perdam (a),» dicit eamdem sententiam aliis verbis, «Ut omnis qui videt Filium, et credit, habeat vitam æternam. » Nihil enim aliud dicit, quam id quod dixit superius. Nam hoc quidem, « Omne quod dedit mihi Pater,» idem est cum illo, Omnis qui videt Filium et credit.» Hoc autem quod dicit, « Non perdam,» idem est cum eo quod dicit, «Habet vitam æternam. » Sæpe autem mentionem facit resurrectionis, ut persuadeat hominibus, ne iis solum quæ videntur, Dei providentiam circumscribant, sed sciant esse et alium statum in quo absque dubio fruituri sint renumerationibus virtutis : quamvis nunc non sit perspicua in hac vita retributio, et propterea non omittendum virtutis cursum.

VERS. 41-44. «Murmurabant ergo Judæi de illo quod dixisset: Ego sum panis ille qui de cœlo descendi, et dicebant : Nonne hic est Jesus filius Joseph, cujus nos novimus patrem et matrem? Quomodo ergo dicit hic: De cœlo descendi? Respondit ergo Jesus et dixit eis: Nolite murmurare inter vos: Nemo potest venire ad me, nisi Pater qui misit me, traxerit eum, et ego resuscitabo eum in novissimo die.» Murmurabant 802 igitur Judæi dicente Domino, «Ego sum panis, » veluti decepti. Nam hucusque quidem existimabant de pane sensibili eum loqui, et mansuete ipsum ferebant, sperantes quod daturus esset panem hunc, et ventri ipsorum gratificaturus : nunc autem quia revelavit eis quod non de sensibili pane, sed spirituali sermonem haberet, contempto illo, murmurant. Qui enim illi intelligerent spiritualem cibum, et vitam et resurrectionem? Scandalizabantur itaque in eo, videntes ejus matrem, audientes autem dicentem, « De cœlo descendi. » Igitur non intelligentes quod ipse etiam esset Deus, sed in hoc respicientes quod apparebat, murmurabant, tanquam ostentator esset Dominus, et dicebant: «Nonne hic est filius Joseph?» Ipse autem Salvator non respondit eis : Non sum filius Joseph. Non enim poterant intelligere partum ineffabilem qui erat ex virgine. Et quia non capax fuit mens illorum nativitatis secundum carnem, multo minus ejus, quæ ante sæcula ex Patre. Quid autem respondet eis? « Nullus potest venire ad me, nisi Pater traxerit eum.» Hoc autem dicit non ut libertatem tollat arbitrii, absit! sed ut ostendat quod multa habeat opus cooperatione a Deo is qui cre-

A ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα ἀναλαμβανόμενοι, καὶ προσαπαντῶντες τῷ Κυρίῳ μετὰ παῤῥησίας. Ταύτην δὲ τὴν ἀνάστασιν, ὁ Παῦλος ἐξανάστασιν ὀνομάζει, διὰ τὴν ἐκ τῆς γῆς ἔπαρσιν. Οἱ γὰρ ἁμαρτωλοὶ, ἀνίστανται μὲν ἐκ τῶν μνημείων, ἐκ δὲ τῆς γῆς οὐκ ἐξανίστανται εἰς ἀέρα· κάτω γὰρ μένουσιν ὡς κατάκριτοι. Ὥστε οἱ δίκαιοι, καὶ ἀνίστανται, καὶ ἐξανίστανται ἁρπαζόμενοι ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου· οἱ δὲ ἁμαρτωλοὶ ἀνίστανται μόνον. Ἑρμηνεύων δὲ ὁ Κύριος τί ἐστι τὸ, « Πᾶν ὃ δέδωκέ μοι ὁ Πατὴρ, οὐ μὴ ἀπολέσω, » φησὶ τὴν αὐτὴν ἔννοιαν δι' ἄλλων λέξεων· « Ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν, καὶ πιστεύων, ἔχῃ ζωὴν αἰώνιον. » Οὐδὲν γὰρ ἄλλο λέγει, ἢ ὅπερ εἶπεν ἀνωτέρω. Τὸ B μὲν γὰρ, « Πᾶν ὃ δέδωκέ μοι ὁ Πατὴρ, » ταυτόν ἐστι τῷ, « Πᾶς ὁ θεωρῶν τὸν Υἱὸν, καὶ πιστεύων· » τὸ δὲ, « Οὐ μὴ ἀπολέσω, » ταυτὸν τῷ, « Ἔχει ζωὴν αἰώνιον. » Συνεχῶς δὲ μέμνηται ἀναστάσεως, ἵνα πείσῃ τοὺς ἀνθρώπους, μὴ τοῖς ὁρωμένοις μόνοις περιγράφειν τὴν τοῦ Θεοῦ πρόνοιαν, ἀλλ' εἰδέναι ὅτι ἔστι καὶ ἄλλη κατάστασις, καθ' ἣν ἀναμφιβόλως ἀπολαύσουσι τῶν τῆς ἀρετῆς μισθῶν· εἰ καὶ μὴ νῦν προφαίνεταί τις ἡ βιωτικὴ ἀμοιβὴ, διὰ τοῦτο μὴ καθυφιέναι τοῦ πρὸς ἀρετὴν δρόμου.

« Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει οὗτος, ὅτι, Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; C Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Μὴ γογγύζετε μετ' ἀλλήλων. Οὐδεὶς δύναται ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτὸν, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. » Ἐγόγγυζον οἱ Ἰουδαῖοι, εἰπόντος τοῦ Κυρίου, ὅτι « Ἐγώ εἰμι ὁ ἄρτος, » ὡς ἀπατηθέντες. Ἄχρι μὲν γὰρ ἐνόμιζον περὶ ἄρτου αἰσθητοῦ λέγειν αὐτὸν, πράως ἔφερον, ἐλπίζοντες, ὅτι δώσει αὐτοῖς τὸν ἄρτον τοῦτον, καὶ τῇ γαστρὶ αὐτῶν χαρίσεται· ἐπεὶ δὲ ἀπεκάλυψεν αὐτοῖς, ὅτι οὐ περὶ αἰσθητοῦ ἄρτου, ἀλλὰ περὶ πνευματικοῦ ἐστιν ὁ λόγος αὐτῷ, ἀπογνόντες γογγύζουσι, Ποῦ γὰρ αὐτοῖς τὸ νοεῖν πνευματικὴν τροφὴν, καὶ ζωὴν, καὶ ἀνάστασιν; Ἐσκανδαλίζοντο οὖν ἐπ' αὐτῷ, ὁρῶντες μὲν αὐτοῦ τὴν μητέρα, ἀκούοντες δὲ, ὅτι, « Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα. » Μὴ νοοῦντες τοίνυν, ὅτι καὶ Θεός ἐστιν ὁ αὐτὸς, ἀλλ' εἰς τὸ φαινό- D μενον ἀποβλέποντες, ἐγόγγυζον, ὡς ἀλαζονευομένου τοῦ Κυρίου, καὶ ἔλεγον· « Οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ; » Αὐτὸς δὲ ὁ Σωτὴρ οὐκ ἀποκρίνεται αὐτοῖς, ὅτι, Οὐχ εἰμὶ υἱὸς Ἰωσήφ· οὐ γὰρ ἠδύναντο νοῆσαι τὸν τόκον τὸν ἄῤῥητον τὸν ἐκ Παρθένου. Εἰ δὲ τὴν κατὰ σάρκα γέννησιν οὐκ ἐχώρει ἡ διάνοια αὐτῶν, πολλῷ μᾶλλον τὴν ἐκ τοῦ Πατρὸς προαιώνιον. Τί δὲ ἀποκρίνεται αὐτοῖς; « Οὐδεὶς δύναται ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ὁ Πατὴρ ἑλκύσῃ αὐτόν. » Τοῦτο δὲ λέγει, οὐ τὸ αὐτεξούσιον ἀναιρῶν, ἄπαγε! ἀλλὰ δεικνύων, ὅτι πολλῆς δεῖται συνεργείας παρὰ Θεοῦ ὁ μέλλων

[47] Thess. IV, 16.

(a) Edit. Lut. omisit, *non perdam*.

πιστεῦσαι. Ἄλλως δέ· Ἐκείνους ἕλκει ὁ Πατὴρ, τοὺς κατὰ προαίρεσιν ἐπιτηδειότητα ἔχοντας· τοὺς δὲ ποιήσαντας ἑαυτοὺς ἀνεπιτηδείους, οὐχ ἕλκει εἰς πίστιν. Ὥσπερ γὰρ ἡ μαγνῆτις, οὐ πάντα, οἷς προσεγγίζει, ἀλλὰ μόνον τὸν σίδηρον ἕλκει· οὕτω καὶ ὁ Θεὸς, πᾶσι μὲν ἐγγίζει, τοὺς ἐπιτηδειοτέρους δὲ, καὶ οἰκείωσίν τινα πρὸς αὐτὸν ἐπιδεικνυμένους ἕλκει. Ὁ μὲν οὖν Πατὴρ ἕλκει καὶ προσάγει τῷ Υἱῷ, ὁ δὲ Υἱὸς ἀνιστᾷ, καὶ ζωοποιεῖ, καὶ τὴν ἐν ἀγαθοῖς πνοὴν, καὶ ζωὴν, ἥ ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, χαριζόμενος. Ἡ ἁγία οὖν Τριὰς εὐεργετεῖ τοὺς πιστεύοντας, καὶ οὐ παρὰ μέρος ὁ Πατὴρ μόνος, ἢ ὁ Υἱὸς μόνος· ἀλλ' ὥσπερ μία φύσις, οὕτω καὶ ἡ τῆς εὐεργεσίας ἐνέργεια μία, τοῦ Πατρὸς προσάγοντος, τοῦ Υἱοῦ ζωοποιοῦντος, τοῦ ἁγίου Πνεύματος ἀντὶ πνοῆς γινομένου τοῖς ζωοποιουμένοις. Πᾶς γὰρ ὁ ζῶν, καὶ πνοὴν ἔχει. Ὅρα δὲ τὴν αὐθεντίαν τοῦ Υἱοῦ· « Ἐγὼ, φησὶν, ἀναστήσω. » Οὐκ εἶπε γὰρ, ὅτι, Ὁ Πατήρ μου ἀναστήσει, ἀλλ', « Ἐγώ. » Οὐ γὰρ δι' ὅλου ταπεινῶς φθέγγεται, ἀλλ' ἔστιν οὗ καὶ τὸ ὕψος τῆς οἰκείας ἐκκαλύπτει θεότητος.

« Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις· Καὶ ἔσονται πάντες διδακτοὶ τοῦ Θεοῦ. Πᾶς οὖν ὁ ἀκούων παρὰ τοῦ Πατρὸς καὶ μαθὼν, ἔρχεται πρός με· οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν Πατέρα. Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον. » Εἶπεν ἀνωτέρω, ὅτι « Ὃν ἂν ἑλκύσῃ ὁ Πατὴρ, ἐκεῖνος ἔρχεται πρός με· » θέλων δὲ τοῦτο κατασκευάσαι, ἐπὶ τοὺς προφήτας ἀναφέρει τὸν λόγον. « Ἔστι γὰρ, φησὶ, γεγραμμένον ἐν τοῖς προφήταις, ὅτι, Ἔσονται πάντες διδακτοὶ Θεοῦ· » πάντες δὲ οἱ βουλόμενοι δηλονότι. Κοινὸς γὰρ διδάσκαλος ὁ Πατὴρ, δι' ἀποκαλύψεως γνωρίζων τοῖς ἀξίοις τὸν Υἱὸν αὐτοῦ. Ἁπτόμενος γὰρ τῶν καρδιῶν τῶν ἀδόλων καὶ ἀπανούργων, ἀποκαλύπτει αὐτοῖς τὸν Υἱὸν, ὥσπερ καὶ τῷ Πέτρῳ ἀπεκάλυψεν αὐτόν. « Ὁ ἀκούων οὖν παρὰ τοῦ Πατρὸς, » τουτέστιν, ὁ τὴν τοῦ Πατρὸς ἀποκάλυψιν δεχόμενος, καὶ μαθητὴς ἐκείνου ἀληθὴς γινόμενος, « οὗτος ἔρχεται πρός με. » Ὅρα δὲ, πῶς μετ' ἀκριβείας ἅπαντα φθέγγεται. Οὐ γὰρ εἶπεν, ὅτι, Ὁ ἀκούων παρὰ τοῦ Πατρὸς, ἐκεῖνος ἔρχεται πρός με, ἀλλὰ προσέθηκε τὸ, « καὶ μαθών. » Οὐ γὰρ ἀρκεῖ τὸ ἀκοῦσαι, ἀλλὰ δεῖ προσεῖναι καὶ μαθεῖν. Τί οὖν; Πρὸ τούτου ἐν τῇ Παλαιᾷ οὐκ ἦσαν διδακτοὶ Θεοῦ; Ἦσαν μὲν, ἀλλ' οὐχ οὕτως. Ἐνταῦθα γὰρ τὸ ἐξαίρετόν ἐστιν, ἐν τῇ Καινῇ, λέγω, Διαθήκῃ. Τότε μὲν γὰρ δι' ἀνθρώπων ἔμαθον τὰ περὶ Θεοῦ· νῦν δὲ τοῦ Μονογενοῦς σαρκωθέντος, παρ' αὐτοῦ τοῦ Πατρὸς ἐν ἁγίῳ Πνεύματι ἡ γνῶσις γίνεται· ὥστε πληροῦσθαι τὸ προφητικόν· « Ἐν τῷ φωτί σου » (τοῦ Πατρὸς), τουτέστι, τῷ Πνεύματι, « ὀψόμεθα φῶς, » ὅ ἐστιν ὁ Υἱός. Εἰκότως ἄρα νῦν ἐσμεν διδακτοὶ Θεοῦ πάντες, οἱ τὴν εἰς Χριστὸν ὑποδεξάμενοι πίστιν. Ἐπεὶ δὲ εἶπεν, ὅτι « Ὁ ἀκούων παρὰ τοῦ Πατρὸς, ἐκεῖνος ἔρχεται πρός με, » ἵνα μή τις ὑπολάβῃ, ὅτι περὶ αἰσθητοῦ πατρὸς λέγει, φησίν· Οὐ

A diturus est. Et aliter : Illos trahit Pater, qui habent voluntatis aptitudinem. Eos autem qui seipsos non faciunt idoneos, non trahit ad fidem. Nam sicut magnes non omnia ad quæ propius applicatur, sed solum ferrum attrahit; ita et Deus ad omnes quidem appropriat, eos autem qui magis idonei, et familiaritatem erga ipsum præ se ferunt, trahit. Igitur Pater quidem trahit et adducit ad Filium, Filius autem resuscitat et vivificat, in bonis vitam et spirationem, hoc est Spiritum sanctum tribuens. Itaque sancta Trinitas benefacit iis qui credunt, et non Pater solus, vel Filius solus, sed
B sicut una natura, ita una operatio beneficentiæ, Patris adducentis, Filii vivificantis, Spiritus sancti qui fit iis qui vivificantur, pro spiratione. Omnis enim qui vivit, etiam spirationem habet. Vide autem auctoritatem Filii : « Ego, inquit, suscitabo. » Non dixit enim, Pater meus suscitabit; sed, « Ego. » Non enim per omnia humilia loquitur, sed nonnunquam sublimia suæ deitatis detegit.

VERS. 45. « Est scriptum in prophetis. Et erunt omnes docti a Deo. Omnis ergo qui audit a Patre, et didicit, venit ad me : non quod Patrem viderit quisquam, nisi qui est a Deo hic vidit Patrem. Amen, amen dico vobis : qui confidit mihi, habet vitam æternam. » Dixit superius quod « Is quem Pater traxerit, ad me veniet. » Volens autem hoc docere et confirmare, in propheta refert sermonem,
C « Est enim, inquit, scriptum in prophetis, Erunt 593
omnes docti a Deo, » omnes autem, qui voluerint videlicet. Communis enim doctor Pater per revelationem notum facit dignis Filium suum Tangens enim corda simplicium et dolo carentium revelat ipsis Filium, sicut et Petro revelavit ipsum [48]. Igitur « Qui audit a Patre, » hoc est, qui Patris revelationem accipit, et discipulus illius vere efficitur, « hic venit ad me. » Vide autem quomodo cum diligentia loquitur omnia. Non enim dixit, Qui audit a Patre, ille venit ad me : sed addidit, « et didicerit. » Non enim sufficit audire, sed oportet adesse et discere. Quid igitur? nunquid in Veteri non fuerunt docti a Deo? Fuerunt quidem, sed non sic. Hic enim excellentia est, in Novo, dico, Testamento. Nam
D tunc quidem dicebant per homines de Deo. Nunc autem Unigenito incarnato, ab ipso Patre in sancto Spiritu scientia fit, ut ita impleatur propheticum dictum : « In lumine tuo » (Patris scilicet), hoc est Spiritu, « videbimus lumen [49], » quod est Filius. Merito nunc omnes docti sumus a Deo, qui fidem in Christum suscepimus. Quia autem dixit, « Qui audit a Patre, ille venit ad me, » ut ne quis suspicetur quod de carnali patre dicat, inquit : Non hoc dico, quod videat quis Patrem, nisi Filius, qui vere ex illo est, et natus ex substantia illius. Nam omnes quidem ex Deo sumus, sed proprie Filius, unus est, qui et Patrem novit.

[48] Matth. XVI, 21. [49] Psal. XXXV, 10.

τοῦτο λέγω, ὅτι βλέπει τις τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, ἀληθῶς ἐξ αὐτοῦ ὢν, καὶ γεννηθεὶς ἐκ τῆς οὐσίας αὐτοῦ. Πάντες γὰρ ἐκ Θεοῦ ἐσμεν, ἀλλὰ κυρίως ὁ Υἱὸς εἷς ἐστιν, ὃς καὶ οἶδε τὸν Πατέρα.

VERS. 48 52. « Ego sum panis ille vitæ. Patres ves- A tri comederunt manna in eremo, et mortui sunt. Hic est panis qui de cœlo descendit, ut quis ex ipso edat, et non moriatur. Ego sum panis vivus, qui de cœlo descendi. Si quis ederit ex hoc pane, vivet in æternum. Et panis quem ego dabo, caro mea est, quam ego dabo pro mundi vita. » Comparat cum manna alimoniam quam ipse dat. Nam « Ego quidem, inquit, sum panis vitæ; » verum qui « comederunt manna, mortui sunt. » Non absque causa autem addit, « in solitudine, » sed volens monstrare quod non valde diu datum fuit patribus manna, sed tantum in solitudine, et non contigerit eis in terra promissionis. Verum hic panis non est talis, sed perpetuo durans, et ita Judæi multo plura bona accepturi erant, si quidem B voluissent, quam patres sui. Quomodo autem non majora, quæ dantur a Christo? Nam etsi quis gustaverit mortem, vivit tamen propter spem resurrectionis. Manifeste autem nobis hoc loco de mystica communione corporis sui dicit. Nam « Panis, inquint, quem ego dabo, caro mea est, quam ego dabo pro mundi vita. » Porro potestatem suam indicans, quod non ut servus et minor Patre crucifigendus sit, sed voluntarie, inquit, Ego dabo carnem meam pro 594 mundi vita. Nam quamvis et a Patre dicatur esse traditus, attamen et seipsum tradidisse dicitur: et illud quidem est ut discamus ejus cum Patre concordiam : hoc autem, ut liberam voluntatem Filii non ignoremus. Attende autem quod panis qui a nobis in mysteriis manducatur, C non est tantum figuratio quædam carnis Domini, sed ipsa caro Domini. Non enim dixit, Panis quem ego dabo, figura est carnis : sed, « caro mea est. » Transformatur enim arcanis verbis panis ille per mysticam benedictionem et accessionem sancti Spiritus, in carnem Domini. Et ne quem conturbet quod credendus sit panis caro. Etenim et in carne ambulante Domino, et ex pane alimoniam admittente, panis ille qui manducabatur, in corpus ejus mutabatur, et similis fiebat sanctæ ejus carni, et in augmentum et sustentationem conferebat juxta humanum morem. Igitur et nunc panis in carnem Domini mutatur. Et quomodo, inquit, non apparet nobis caro, sed panis? Ut non abhorreamus ab ejus esu. Nam si quidem caro apparuisset, insua- D viter affecti essemus erga communionem Nunc autem condescendente Domino nostræ infirmitati, talis apparet nobis mysticus cibus, qualibus alioquin assueti sumus. Pro mundi autem vita carnem suam ad mortem dedit; moriens enim mortem solvit. Intellige autem per vitam mundi etiam resurrectionem. Mors enim Domini generalem resurrectionem toti hominum generi operata est. Fortassis autem et in sanctificatione et in beatitudine vitam, mundi vitam nominavit. Nam quamvis non omnes acceperint sanctificationem et vitam in spiritu, Dominus

« Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. » Πρὸς τὸ μάννα συγκρίνει τὴν παρ' αὐτοῦ διδομένην τροφήν. « Ἐγὼ μὲν γὰρ, φησὶν, εἰμὶ ὁ ἄρτος τῆς ζωῆς· » τὸ δὲ « μάννα οἱ φαγόντες ἀπέθανον. » Οὐχ ἁπλῶς δὲ προσέθηκε τὸ, « Ἐν τῇ ἐρήμῳ, » ἀλλὰ βουλόμενος δεῖξαι, ὅτι οὐδὲ ἄχρι πολλοῦ διήρκεσε τοῖς πατράσι τὸ μάννα, ἀλλ' ἐν τῇ ἐρήμῳ μόνον, οὐ συνεισῆλθε δὲ αὐτοῖς εἰς τὴν ἐπαγγελίας γῆν. Οὗτος δὲ ἄρτος οὐ τοιοῦτος, ἀλλὰ διαιωνίζων, ὥστε πολλῷ μείζονα τῶν πατέρων αὐτῶν ἀγαθὰ δέξονται, εἴγε βουλήσονται. Πῶς δὲ οὐ μείζονα τὰ παρὰ Χριστοῦ διδόμενα; Κἂν γὰρ γεύσηταί τις θανάτου, ὅμως ζῇ διὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως. Φανερῶς δὲ ἐνταῦθα περὶ τῆς μυστικῆς μεταλήψεως τοῦ σώματός αὐτοῦ φησιν. « Ὁ ἄρτος γὰρ, φησὶν, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. » Τὴν ἐξουσίαν δὲ αὐτοῦ δεικνύων, ὅτι οὐχ ὡς δοῦλος καὶ ἐλάττων τοῦ Πατρὸς αὐτοῦ ἐσταυρώθη, ἀλλ' ἑκὼν, φησὶν, ὅτι Ἐγὼ δώσω τὴν σάρκα μου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Εἰ γὰρ καὶ δεδόσθαι λέγεται ὑπὸ τοῦ Πατρὸς, ἀλλὰ καὶ ἑαυτὸν δεδωκέναι· ἐκεῖνο μὲν, ἵνα τὴν πρὸς τὸν Πατέρα ὁμόνοιαν μάθωμεν· τοῦτο δὲ, ἵνα τὴν αὐτεξουσιότητα τοῦ Υἱοῦ. Πρόσχες δὲ, ὅτι ὁ ἄρτος ὁ ἐν τοῖς μυστηρίοις ὑφ' ἡμῶν ἐσθιόμενος, οὐκ ἀντίτυπόν ἐστι τῆς τοῦ Κυρίου σαρκὸς, ἀλλ' αὐτὴ ἡ τοῦ Κυρίου σάρξ. Οὐ γὰρ εἶπεν, ὅτι, Ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἀντίτυπόν ἐστι τῆς σαρκός μου, ἀλλ', « ἡ σάρξ μοῦ ἐστι. » Μεταποιεῖται γὰρ ἀπορρήτοις λόγοις ὁ ἄρτος οὗτος διὰ τῆς μυστικῆς εὐλογίας, καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, εἰς σάρκα τσῦ Κυρίου, Καὶ μή τινα θροείτω τὸ τὸν ἄρτοτ σάρκα πιστεύεσθαι. Καὶ γάρ τοι καὶ ἐν σαρκὶ περιπατοῦντος τοῦ Κυρίου, καὶ τὴν ἐξ ἄρτου τροφὴν προσιεμένου, ὁ ἄρτος ἐκεῖνος ὁ ἐσθιόμενος, εἰς σῶμα αὐτοῦ μετεβάλλετο, καὶ συνεξωμοιοῦτο τῇ ἁγίᾳ αὐτοῦ σαρκὶ, καὶ εἰς αὔξησιν καὶ σύστασιν συνεβάλλετο κατὰ τὸ ἀνθρώπινον. Καὶ νῦν οὖν ὁ ἄρτος εἰς σάρκα τοῦ Κυρίου μεταβάλλεται. Καὶ πῶς, φησὶν, οὐχὶ καὶ σὰρξ φαίνεται ἡμῖν, ἀλλ' ἄρτος; Διὰ τὸ μὴ ἡμᾶς ἀηδίζεσθαι πρὸς τὴν βρῶσιν. Εἰ μὲν γὰρ σὰρξ ἐφαίνετο, ἀηδῶς ἂν διεκείμεθα πρὸς τὴν μετάληψιν· νῦν δὲ, τῇ ἡμετέρᾳ ἀσθενείᾳ συγκαταβαίνοντος τοῦ Κυρίου, τοιαύτη φαίνεται ἡμῖν ἡ μυστικὴ βρῶσις, οἵα ἐστὶν ἡ συνήθης ἡμῖν. Ὑπὲρ τῆς τοῦ κόσμου δὲ ζωῆς τὴν σάρκα αὐτοῦ πρὸς θάνατον δέδωκεν· ἀποθανὼν γὰρ, τὸν θάνατον λέλυκε. Νόει δέ μοι τοῦ κόσμου ζωὴν, τάχα μὲν καὶ τὴν ἀνάστασιν (ὁ γὰρ θάνατος τοῦ Κυρίου τὴν καθολ[illegible]ν ἀνάστασιν παντὶ τῷ γένει [illegible]ῶν. [illegible]πρ[illegible]ατεύσ[illegible])· τάχα δὲ καὶ τὴν ἐν ἁγιασμῷ καὶ μακαριότητι ζωὴν, τοῦ

κόσμου ζωὴν ὀνομάζει. Κἂν γὰρ μὴ πάντες παρεδέξαντο τὸν ἁγιασμὸν καὶ τὴν ἐν Πνεύματι ζωὴν, ἀλλ' οὖν ὅγε Κύριος ὑπὲρ τοῦ κόσμου ἑαυτὸν δέδωκε, καὶ ὅσον τὸ ἐπ' ἐκείνῳ, ὁ κόσμος ἐσώθη, καὶ ἡ φύσις ἅπασα ἡγιάσθη, καθὸ δύναμιν ἔλαβε νικᾷν τὴν ἁμαρτίαν, καὶ ἡ ἁμαρτία ἀπέδρα διὰ τοῦ ἑνὸς ἀνθρώπου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὥσπερ καὶ δι' ἑνὸς ἀνθρώπου τοῦ Ἀδὰμ εἰς ἁμαρτίαν ὠλίσθησεν.

« Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον· καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις. » Ἀκούσαντες οἱ Ἰουδαῖοι περὶ τῆς βρώσεως τῆς σαρκὸς τοῦ Κυρίου, ἀπιστοῦσι. Διὰ τοῦτο καὶ τὸ τῆς ἀπιστίας ῥῆμα, τὸ, « Πῶς; » φθέγγονται. Ὅταν γὰρ ἀπιστίας λογισμοὶ εἰσέλθωσιν εἰς ψυχὴν, τότε καὶ τὸ, Πῶς; συνεισέρχεται. Διὰ τοῦτο καὶ αὐτὸς θέλων δεῖξαι, ὅτι οὐκ ἔστι τοῦτο ἀδύνατον, ἀλλὰ καὶ σφόδρα ἀναγκαῖον, καὶ οὐκ ἔστιν ἄλλως ἔχειν ζωὴν, φησίν· « Ἐὰν μή μου τὴν σάρκα φάγητε, » καὶ τὰ ἑξῆς. Οὕτω καὶ ὁ Νικόδημος ἐξ ἀπιστίας ἔλεγε· « Πῶς δύναται ἄνθρωπος εἰσελθεῖν εἰς τὴν κοιλίαν τῆς μητρός; » Δεῖ τοίνυν ἡμᾶς ἀκούσαντας, ὅτι ἐὰν μὴ φάγωμεν τὴν σάρκα τοῦ Υἱοῦ, οὐκ ἔχομεν ζωὴν, ἐν ταῖς μεταλήψεσι τῶν θείων μυστηρίων πίστιν ἔχειν ἀδίστακτον, καὶ μὴ ζητεῖν τὸ, Πῶς; Ὁ γὰρ ψυχικὸς ἄνθρωπος, τουτέστιν, ὁ λογισμοῖς ἀνθρωπίνοις καὶ ψυχικοῖς, ἤτοι φυσικοῖς, ἑπόμενος, οὐ δέχεται τὰ ὑπὲρ φύσιν καὶ πνευματικά· ὥσπερ οὖν καὶ τὴν πνευματικὴν βρῶσιν τῆς τοῦ Κυρίου σαρκὸς οὐ νοεῖ, ἧς οἱ μὴ μεταλαμβάνοντες, ἀμέτοχοι ἔσονται τῆς αἰωνίου ζωῆς, ὡς μὴ παραδεξάμενοι τὸν Ἰησοῦν τὸν ὄντα ζωὴν ἀληθινήν. Οὐ γὰρ ψιλοῦ ἀνθρώπου σάρξ ἐστιν ἡ ἐσθιομένη, ἀλλὰ Θεοῦ, καὶ θεοποιεῖν δυναμένη, ὡς ἀνακραθεῖσα θεότητι· Αὕτη καὶ ἀληθῶς ἐστι βρῶσις, καθὸ οὐ πρὸς ὀλίγον καιρὸν διαρκεῖ, οὐδὲ φθείρεται καθάπερ ἡ ῥευστὴ βρῶσις, ἀλλὰ τῆς αἰωνίου ζωῆς ἐστιν ἐπίκουρος. Ὁμοίως δὲ καὶ ἡ πόσις τοῦ αἵματος τοῦ Κυρίου, ἀληθῶς ἐστι πόσις, ὅτι μὴ πρὸς καιρὸν ἐπαρκεῖ τῷ δίψει, ἀλλ' εἰς ἀεὶ ἄδιψον διατηρεῖ καὶ ἀνενδεῆ τὸν πιόντα· καθὼς καὶ πρὸς τὴν Σαμαρεῖτιν ἔλεγεν, ὅτι, « Ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω, οὐ διψήσῃ. » Ὅστις γὰρ τὴν χάριν τοῦ ἁγίου Πνεύματος διὰ τῆς μεταλήψεως τῶν θείων μυστηρίων δέξεται, οὔτε λιμώττει νοητὸν λιμὸν, οὔτε διψᾷ δίψος, οἷον οἱ ἄπιστοι.

« Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα, καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· οὐ καθὼς ἔφαγον τὸ μάννα οἱ πατέρες ὑμῶν ἐν τῇ ἐρήμῳ, καὶ

A tamen seipsum pro mundo dedit, et quantum in ipso erat, mundus servatus, naturaque universa sanctificata est, eo quod accepit virtutem vincendi peccatum per unum homiuem Dominum nostrum Jesum Christum, sicut et per unum hominem Adam in peccatum ceciderat.

**Vers. 53-56.** « Decertabant ergo Judæi inter se, dicentes : Quomodo hic potest nobis dare carnem suam ad edendum? Dixit eis Jesus : Amen, amen dico vobis, nisi ederitis carnem Filii hominis, et biberitis ejus sanguinem, non habebitis vitam in vobis. Qui edit meam carnem, et bibit meum sanguinem, habet vitam æternam, et ego suscitabo eum B in novissimo die. Caro enim mea vere est cibus, et sanguis meus vere est potus. » Judæi cum audissent de esu carnis illius, discredunt. Ideo et verbum incredulitatis dicunt: Quomodo? Nam quando cogitationes incredulitatis ingrediuntur in animam, ingreditur simul, Quomodo? Propterea ipse volens hoc ostendere quod non sit impossibile, sed etiam valde necessarium, ait : Non potest aliter haberi vita, « nisi meam carnem 595 comedatis, » etc. Ita et Nicodemus ex incredulitate dicebat : « Quomodo potest homo intrare in ventrem matris? » Oportet igitur nos, cum audiverimus, Nisi ederitis carnem Filii, non habebitis vitam, in sumptionibus divinorum mysteriorum indubitatam retinere fidem, et non quærere, Quo pacto? Nam animalis C homo, hoc est qui sequitur cogitationes humanas et animales, sive naturales, non est capax eorum quæ sunt super naturam, et spiritualium. Atque ita et spiritualem esum carnis Dominicæ non intelligit [50] : cujus qui non sunt participes, non erunt participes æternæ vitæ, eo quod non susceperunt Jesum, qui est Vita æterna. Non enim nudi hominis caro est quæ manducatur, sed Dei, et quæ deificare valet, utpote contemperata deitati. Ista etiam vere est cibus, eo quod non ad parvum tempus duret, neque corrumpatur sicut corruptibilis cibus, sed æternæ vitæ sit subsidium. Similiter et potus sanguinis Domini, vere est potus : quia non ad tempus sufficit siti, sed semper D absque siti conservat, nec indigere permittit bibentem, sicut et ad Samaritanam dicebat : « Qui bibit ex aqua quam ego dabo, non sitiet [51]. » Nam quisquis gratiam sancti Spiritus per sumptionem divinorum mysteriorum susceperit, neque famem spiritualem neque sitim patietur, qualem increduli.

**Vers. 57-59.** « Qui edit meam carnem, et bibit meum sanguinem, in me manet, et ego in illo. Sicut misit me vivens Pater, ita et ego vivo propter Patrem, et qui ederit me, et ipse vivet propter me. Hic est panis qui de cœlo descendit : non sicut comederunt patres vestri manna, et mortui sunt,

[50] I Cor. II, 14. [51] Joan. IV, 13.

Qui edit hunc panem, vivat in æternum.» Hoc loco discimus sacramentum communionis. Nam qui edit et bibit carnem et sanguinem Domini, in ipso manet Domino, et Dominus in ipso. Contemperatio enim fit nova, et super rationem, ita ut sit Deus in nobis, et nos in Deo. Non audis terribilem auditum? Non Deum nudum manducamus : tangi enim nequit, et incorporeus est. et neque oculis neque dentibus apprehendi potest; neque rursum nudi hominis carnem, nihil enim prodesse potest : sed quia Deus univit sibi carnem secundum ineffabilem contemperationem, vivifica est et caro, non quod in Dei naturam transierit, absit! sed ad similitudinem candentis ferri, quod et ferrum manet, et ignis ostendit operationem: sic igitur et Domini caro manens caro, vivifica est sicut Dei Verbi caro. Igitur quemadmodum ego, inquit, vivo propter Patrem, hoc est, tanquam natus ex Patre, qui est vita, ita et qui manducat me, vivet propter me, dum quodammodo miscetur mihi, et transelementatur in me, qui 596 vivificare possum. Quando autem audis, «Ego vivo,» ne existimes eum juxta participationem vitæ vivere, alioqui animal diceretur Deus, sed non est, neque enim Deus animal nominatur, neque creatura quædam vita vocabitur. Sæpe autem et multum in ore versat, «Patres vestri comederunt manna in solitudine,» ut persuadeat hominibus. Nam si possibile quadraginta annis sine messe et semente pasci homines, et conservari illorum vitam: multo magis nunc conservabit nostram spiritualem meliori pane Dominus, carne sua, quæ absque semine viri ex virgine est constituta. Ubique autem vitæ meminit, et crebro hoc nomen addidit, quia nihil ita suave hominibus ut res illa. Igitur et tu potes non solum secundum mysticam communionem comedere et bibere carnem et sanguinem Domini, sed et alio quodam modo. Etenim et carnem quidem manducat aliquis, quando per praticen incedit. Caro enim confectu difficilis, sicut et pratice laboriosa. Sanguinem vero bibit ut vinum quod cor lætificat, contemplativus. Labore enim caret contemplatio, imo et laborum requies est, et potui similatur, quia et potus minori labore eget quam cibus.

VERS. 60-63. «Hæc dixit in synagoga docens in Capernaum. Multi ergo his auditis ex discipulis ejus, dixerunt : Durus est hic sermo, quis potest eum audire? Sciens autem Jesus apud semetipsum quod murmurabant de hoc discipuli ipsius, dixit eis : Hoc vos offendit? Quid igitur si videritis Filium hominis ascendentem eo ubi prius erat?» Quare in synagoga docuit? Partim quod volebat venari multitudinem, partim quod ostendebat se non esse contrarium legi, quæ legebatur in synagogis. Quare autem tales sermones in medium proferebat, quamvis sciebat nullam inde utilitatem percepturum, sed multos etiam inde magis offendi? Nam et di-

ἀπέθανον. «Ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα.» Ἐνταῦθα μανθάνομεν τὸ μυστήριον τῆς μεταλήψεως. Ὁ γὰρ τρώγων καὶ πίνων τὴν σάρκα καὶ τὸ αἷμα τοῦ Κυρίου, ἐν αὐτῷ μένει τῷ Κυρίῳ, καὶ ὁ Κύριος ἐν αὐτῷ. Συνανάκρασις γὰρ ξένη καὶ ὑπὲρ λόγον γίνεται, ὥστε εἶναι τὸν Θεὸν ἐν ἡμῖν, καὶ ἡμᾶς ἐν τῷ Θεῷ. Οὐκ ἀκούεις φρικτὸν ἄκουσμα; Οὐ Θεὸν ψιλὸν τρώγομεν (ἀναφὴς γὰρ ἐστι καὶ ἀσώματος, καὶ οὔτε ὀφθαλμοῖς, οὔτε ὀδοῦσιν ἁλώσιμος), οὐδὲ πάλιν ψιλοῦ ἀνθρώπου σάρκα (οὐδὲν γὰρ ὠφελῆσαι δύναται)· ἀλλ' ἐπειδὴ Θεὸς ἥνωσεν ἑαυτῷ τὴν σάρκα κατὰ τὴν ἄῤῥητον ἀνάκρασιν, ζωοποιὸς ὑπάρχει καὶ ἡ σάρξ, οὐχ ὅτι εἰς τὴν τοῦ Θεοῦ φύσιν μετακεχώρηκεν, ἄπαγε! ἀλλὰ κατὰ τὴν ὁμοίωσιν τοῦ πεπυρωμένου σιδήρου, ὃς καὶ σίδηρος μένει, καὶ τὴν τοῦ πυρὸς δείκνυσιν ἐνέργειαν· οὕτως οὖν καὶ ἡ τοῦ Κυρίου σάρξ μένουσα σάρξ, ζωοποιός ἐστιν, ὡς τοῦ Θεοῦ Λόγου σάρξ. Ὥσπερ οὖν, φησὶν, ἐγὼ ζῶ διὰ τὸν Πατέρα, τουτέστιν, ὡς γεννηθεὶς ἐκ τοῦ Πατρὸς, ὅς ἐστι ζωὴ, οὕτω καὶ ὁ τρώγων με, ζήσεται δι' ἐμὲ ἀνακιρνώμενος, ὥσπερ καὶ μεταστοιχειούμενος εἰς ἐμὲ τὸν ζωογονεῖν ἰσχύοντα. Ὅταν δὲ ἀκούσῃς, ὅτι, «Ἐγὼ ζῶ,» μὴ νόμιζε αὐτὸν κατὰ μετοχὴν ζωῆς ζῆν· ἢ γὰρ ἂν ζῶον ἐλέγετο ὁ Θεός· ἀλλ' οὐκ ἔστιν. Οὔτε γὰρ Θεὸς ζῶον ὀνομάζεται, οὔτε κτιστὸν ἡ ζωὴ κληθήσεται. Συνεχῶς δὲ ἄνω καὶ κάτω στρέφει τὸ, «Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ,» διὰ τὸ πεῖσαι τοὺς ἀκούοντας, ὅτι εἰ δυνατὸν ἐγένετο ἐν τεσσαράκοντα ἔτεσιν ἄνευ ἀμητοῦ καὶ σπορᾶς διατραφῆναι ἀνθρώπους, καὶ διακρατηθῆναι αὐτοῖς τὴν ζωὴν, πολλῷ μᾶλλον νῦν διακρατήσει τὴν ζωὴν ἡμῶν τὴν νοητὴν τῷ κρείττονι ἄρτῳ ὁ Κύριος, τῇ σαρκὶ αὐτοῦ τῇ ἄνευ σπορᾶς ἀνδρὸς συστάσῃ ἐκ παρθένου γῆς. Πανταχοῦ δὲ ζωῆς μέμνηται, καὶ συχνότερον τοῦτο τὸ ὄνομα παράγει, ἐπειδὴ οὐδὲν οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τοῦτο τὸ χρῆμα. Καὶ σὺ τοίνυν δύνασαι οὐ μόνον κατὰ τὴν μυστικὴν μετάληψιν ἐσθίειν καὶ πίνειν τὴν σάρκα καὶ τὸ αἷμα τοῦ Δεσπότου, ἀλλὰ καὶ κατ' ἄλλον τρόπον. Καὶ γὰρ τὴν μὲν σάρκα ἐσθίει τις, ὅταν διὰ τῆς πρακτικῆς βαδίζῃ· δυσκατέργαστον γὰρ ἡ σάρξ, ὥσπερ καὶ ἡ πρακτικὴ ἔγκοπος· τὸ δὲ αἷμα πίνει, ὡς οἶνον εὐφραίνοντα καρδίαν, ὁ θεωρητικός· ἄκοπον γὰρ ἡ θεωρία, μᾶλλον δὲ καὶ κόπων ἀνάπαυσις, καὶ πόσει ἐοικυῖα, ἐπεὶ καὶ ἡ πόσις ἄκοπον μᾶλλον, ἤπερ ἡ βρῶσις.

«Ταῦτα εἶπεν ἐν τῇ συναγωγῇ διδάσκων ἐν Καπερναούμ. Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ, εἶπον· Σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν; Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· Τοῦτο ὑμᾶς σκανδαλίζει; Ἐὰν οὖν θεωρῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρότερον;» Τίνος ἕνεκεν ἐν τῇ συναγωγῇ ἐδίδασκεν; Ἅμα μὲν τὸ πλῆθος θηρεῦσαι βουλόμενος, ἅμα δὲ δεικνύων, ὅτι οὐκ ἐναντίος ἐστὶ τῷ νόμῳ τῷ ἀναγινωσκομένῳ ἐν ταῖς συναγωγαῖς. Διατί δὲ τοὺς τοιούτους λόγους εἰς τὸ μέσον προὔφερε, καίτοι μηδένα μέλλων ὠφελῆσαι, ἀλλὰ πολλοὺς

σκανδαλίζειν μᾶλλον; Καὶ γὰρ οἱ μαθηταὶ αὐτοῦ A ἀκούσαντες, εἶπον· « Σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν; » Τί οὖν τὸ κέρδος ἐκ τούτων τῶν ῥημάτων; Καὶ μάλα πολὺ καὶ μέγα. Ἐπεὶ γὰρ σωματικῆς τροφῆς ἐμέμνηντο συνεχῶς, καὶ τὸ μάννα εἰς μέσον προὔφερον, δεικνύων αὐτοῖς, ὅτι πάντα ἐκεῖνα τύποι ἦσαν καὶ σκιὰ, τὰ νῦν δὲ παρ' αὐτοῦ λεγόμενα ταῦτα, εἰσὶν ἡ ἀλήθεια, τούτου ἕνεκεν ταῦτα λέγει, καὶ τροφῆς πνευματικῆς μέμνηται, ἵνα πείσῃ αὐτοὺς ἀπὸ τῶν αἰσθητῶν ποσῶς ἀνανεῦσαι, καὶ τῶν τύπων μὲν καὶ τῆς σκιᾶς καταφρονῆσαι, τῇ δὲ ἀληθείᾳ προσδραμεῖν. Ἀλλ' ἐκεῖνοι μηδὲν ὑπὲρ τὴν αἴσθησιν νοεῖν δυνάμενοι, οὔτε βελτιοῦνται, καὶ μᾶλλον ἀποπηδῶσι καί φασι. « Σκληρός ἐστιν ὁ λόγος οὗτος, » ἀντὶ τοῦ, τραχὺς, B ἀπαράδεκτος. Τίς γὰρ σαρκικὸς ὢν, δύναται παραδέξασθαι πνευματικὴν τροφὴν, καὶ ἄρτον ἐξ οὐρανοῦ καταβαίνοντα, καὶ σάρκα ἐσθιομένην; Ὅταν δὲ ἀκούσῃς, ὅτι οἱ μαθηταὶ αὐτοῦ ἀπεπήδησαν, μὴ τοὺς ὄντως μαθητὰς νοήσῃς, ἀλλὰ τοὺς εἰς τάξιν μαθητῶν αὐτῷ ἀκολουθοῦντας, καὶ τῷ φαινομένῳ μόνῳ σχηματιζομένους, ὅτι διδάσκονται παρ' αὐτοῦ. Καὶ γὰρ ἐν τοῖς μαθηταῖς ἦσάν τινες, οἳ, ὡς μὲν πρὸς τὸν ὄχλον συγκρινόμενοι, ἐλέγοντο αὐτοῦ μαθηταί· παρέμενον γὰρ αὐτῷ πλείονα καιρὸν, ἤπερ οἱ ὄχλοι· ὡς δὲ πρὸς τοὺς ἀληθινοὺς αὐτοῦ μαθητὰς παρεξεταζόμενοι, οὐδενὸς ἦσαν ἄξιοι, ἅτε πρὸς καιρὸν πιστεύσαντες αὐτῷ, καὶ ἀπὸ ψυχρᾶς, ἵν' οὕτως εἴπω, θερμότητος. Ὅρα δὲ ἀνοησίαν. Δέον γὰρ ἐρωτῆσαι, καὶ μαθεῖν τὰ ἀγνοούμενα, οἱ δὲ ἀποπηδῶσι, C καὶ οὐδὲν πνευματικῶς ἐκλαμβάνονται, ἀλλὰ πάντα κατὰ τὸ φαινόμενον. Ἐπεὶ γὰρ σάρκα ἤκουον, ἐνόμιζον, ὅτι σαρκοφάγους αὐτοὺς ἀναγκάζει γενέσθαι καὶ αἱμοβόρους. Οἱ δὲ πνευματικῶς νοοῦντες ἡμεῖς, οὔτε σαρκοφάγοι ἐσμὲν, καὶ μᾶλλον ἁγιαζόμεθα διὰ τῆς τοιαύτης τροφῆς. Θέλων δὲ δεῖξαι αὐτοῖς, ὅτι ὡς Θεὸν οὐδὲν αὐτὸν λανθάνει τῶν ἐν ταῖς καρδίαις αὐτῶν, φησί· « Τοῦτο ὑμᾶς σκανδαλίζει; » Ἐὰν οὖν ἴδητε εἰς οὐρανὸν ἀνερχόμενον ἐμὲ, τὸν φαινόμενον Υἱὸν ἀνθρώπου, ὅπου ἦν τὸ πρότερον ὡς Θεός; Ὁ γὰρ αὐτὸς ἀναβαίνει ὡς ἄνθρωπος, ὅπου ἦν τὸ πρότερον ὡς Θεός. Τοῦτο δὲ εἶπεν, ἵνα ἀπαγάγῃ αὐτοὺς ἀπὸ τοῦ νομίζειν αὐτὸν εἶναι υἱὸν Ἰωσήφ. Ὁ γὰρ πιστεύσας, ὅτι ἐν οὐρανῷ ἦν τὸ πρότερον, D πάντως δήπου πιστεύσει αὐτὸν μηδὲ τοῦ Ἰωσὴφ υἱὸν εἶναι, ἀλλὰ τοῦ Θεοῦ· καὶ λοιπὸν πεισθήσεται τοῖς παρ' αὐτοῦ λεγομένοις. Ἀκούων δὲ, ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν οὐρανῷ ἦν τὸ πρότερον, μὴ νόμιζε ὅτι ἐξ οὐρανοῦ κατέβη τὸ σῶμα (τοῦτο γὰρ Μαρκέλλου τοῦ αἱρεσιάρχου καὶ Ἀπολιναρίου τὸ παραλήρημα). ἀλλ' ἐπειδὴ εἷς καὶ ὁ αὐτὸς ἦν Υἱὸς τοῦ ἀνθρώπου καὶ Θεὸς Λόγος, καθὰ εἴπομεν, ἀναβαίνειν ὡς ἄνθρωπος, ὅπου ἦν τὸ πρότερον ὡς Θεός.

« Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή ἐστιν. Ἀλλ' εἰσί τινες ἐξ ὑμῶν οἳ οὐ πιστεύουσιν. Ἤδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς, τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν. » Ἐπειδὴ, ὡς πολλάκις εἴπομεν, σαρκικῶς

scipuli ejus his auditis, dixerunt, « Durus est sermo hic, quis potest illum audire? » Igitur quod lucrum ex his verbis? Imo plurimum et maximum. Nam quoniam memores erant subinde cibi corporalis, et manna in medium proferebant, ostendens eis quod omnia illa figura fuerint et umbra, quæ autem ab ipso nunc introducuntur, veritas sint: ejus gratia hæc dicit, et spiritualis cibi mentionem facit ut faciat eos a sensibilibus aliquantum emergere, contemnereque figuras et umbras, et accurrere ad veritatem. Sed illi cum nihil possent intelligere quod supra sensum, meliores non fiunt, sed magis resiliunt, et dicunt: « Durus est sermo hic, » hoc est, asper, et qui suscipi nequeat. Quis enim cum carnatis sit, posset suscipere spiritualem cibum, et panem qui de cœlo descendit, et carnem quæ comeditur? 597 Quando autem audis quod discipuli ejus recedunt, ne intellexeris eos qui vere sunt discipuli, sed eos qui sequebantur in ordine discipulorum, et videbantur figuram quidem gerere discipulorum, cum docerentur ab eo. Etenim et inter discipulos erant quidam, qui ad reliquam turbam collati dicebantur ejus discipuli (manebant enim apud eum longiore tempore quam turbæ), ad alios autem veros discipulos collati, nullius erant momenti, eo quod ad tempus credebant ei, et frigido quodam (ut sic dicam) calore. Vide autem insipientem illorum. Nam debebant interrogare et discere ea quæ ignorabant: at illi resiliebant, et nihil spiritualiter exponebant, sed omnia ut videbantur. Nam quia carnem audierant, putabant quod eos cogeret carnis et sanguinis fieri devoratores. Quia autem non spiritualiter intelligimus, neque carnium voratores nos sumus, imo sanctificamur per talem cibum. Volens autem ostendere eis quod sicut Deus nihil ignoret, quod si in cordibus ipsorum, dicit: « Hoc vos offendit? » Quid igitur si videritis ascendentem in cœlum me, qui vobis Filius hominis esse videor, ubi eram prius sicut Deus? Nam ipse ascendit ut homo, ubi erat prius ut Deus. Hoc autem dixit ut abducat eos ab opinione, qua putabant eum filium esse Joseph. Nam qui credit quod in cœlo erat prius, omnino credet eum neque Joseph esse filium, sed Dei, et fidem habebit iis, quæ ab eo dicuntur. Cum autem audieris quod Filius hominis erat in cœlo prius ne putes quod ex cœlo descenderit corpus, ut Marcellus et Apollinarius hæresiarchæ delirarunt: sed quia unus et idem erat Filius hominis, et Deus Verbum, dicitur, sicut diximus, ascendere ut homo, ubi erat prius ut Deus.

VERS. 64, 65. « Spiritus est qui vivificat, caro non prodest quidquam. Verba quæ ego loquor vobis, spiritus et vita sunt. Sed sunt quidam ex vobis qui non credunt. Noverat enim ab initio Jesus, qui essent non credentes, et quis proditurus esset ipsum. » Quoniam, ut sæpe diximus, carnaliter

exponentes ea quæ dicebantur a Christo, offende- A bantur, dicit quod Spiritualiter intelligere ea quæ dicuntur a me, hoc solum prodest; caro autem, hoc est, carnaliter illa exponere, nihil prodest, sed offendiculi occasio fit. Sic igitur illi qui carnaliter audiebant quæ a Christo dicebantur, offendebantur. Subdit igitur, « Verba quæ ego loquor, spiritus sunt,, hoc est, spiritualia sunt, » et vita, nihil carnale habentia, et vitam afferentia æternam. Ostendens autem deitatis esse dignitatem, revelare quæ occulta sunt, dicit ad eos : « Sunt quidam ex vobis qui non credunt. » Dicens autem, « quidam, » discipulos excepit. **598** Et evangelista volens ostendere quod ab initio mundi omnia cognoverit, dicit: « Ab initio noverat Jesus qui essent non credentes, B insuper et proditoris malitiam : quo certe monstrabatur deitas. Nam propheta inquit de Deo : « Qui sciebat omnia priusquam ipsa fierent [52]. »

ἐκλαμβάνοντες τά λεγόμενα παρά τοῦ Χριστοῦ, ἐσκανδαλίζοντο, φησὶν, ὅτι, Τὸ πνευματικῶς νοεῖν τὰ λεγόμενα παρ' ἐμοῦ, τοῦτό ἐστι τὸ ὠφελοῦν· ἡ δὲ σάρξ, τουτέστι, τὸ σαρκικῶς αὐτὰ ἐκδέχεσθαι, οὐδὲν ὠφελεῖ, ἀλλὰ σκανδάλου ἀφορμὴ γίνεται. Οὕτω δὴ αὐτοὶ σαρκικῶς ἀκούοντες τῶν παρὰ Χριστοῦ λεγομένων, ἐσκανδαλίζοντο. Ἐπιφέρει οὖν, ὅτι, « Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, πνεῦμά ἐστι, » τουτέστι, πνευματικά ἐστι, « καὶ ζωή ἐστιν, » οὐδὲν ἔχοντα σαρκικὸν, καὶ ζωὴν προξενοῦντα αἰώνιον. Δεικνύων δὲ τὸ τῆς θεότητος ἀξίωμα, τὸ ἀποκαλύπτειν φημὶ τὰ κεκρυμμένα, φησὶ πρὸς αὐτοὺς, ὅτι « Εἰσί τινες ἐξ ὑμῶν, οἳ οὐ πιστεύουσιν. » Εἰπὼν δὲ, « τινὲς, » τοὺς μαθητὰς ὑπεξήγαγε. Καὶ ὁ εὐαγγελιστὴς θέλων ἡμῖν δεῖξαι, ὅτι πρὸ καταβολῆς κόσμου πάντα ἐγίνωσκε, φησὶν, ὅτι, Ἐξ ἀρχῆς ἐγίνωσκεν ὁ Ἰησοῦς, τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, ἔτι δὲ καὶ τοῦ προδότου τὴν πονηρίαν· ὅπερ ἦν ἀληθοῦς θεότητος ἔνδειξις. Ὁ γὰρ προφήτης περὶ τοῦ Θεοῦ φησιν· « Ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν. »

VERS. 66-68. « Et dicebat : Propterea dixi vobis, quod nemo potest venire ad me, nisi fuerit ei datum a Patre meo. Ex eo tempore multi discipulorum ejus abierunt retrorsum, nec amplius cum illo ambulabant. Dixit ergo Jesus ad duodecim: Num et vos vultis abire? » Sæpe diximus, quando audieris quod Pater dat fidem in Filium, ne existimes quod aliis benefaciat Pater quos segreget, aliis autem non : hoc enim injuste agentis esset; sed illis benefacere puta Patrem, et illis dare donum fidei, quibus cooperatur electio et voluntas. Nam qui a voluntate non adjuvatur, etiamsi a Deo assumitur, C non percipit utilitatem : ut exempli gratia quid dicam: Omnibus dat Deus, sed hoc quidam et sumunt bene, et utuntur eo quod datur, et custodientes illud, ostendunt Dei donum. Quidam autem recipiunt: sed ea quæ dantur, disperdunt, ita ut nihil accepisse videantur. Quando igitur evangelista dicit, Nisi fuerit alicui datum a Patre, non poterit venire ad Filium, hoc dicit, Ille venit ad Filium, cui daturus est Pater, hoc est, a quo custoditum fuerit donum a Deo quod illi datum est. « Abierunt igitur multi discipuli retrorsum, » hoc est diviserunt se a Magistro, et progressi sunt non proficientes, sed retrosum, hoc est, in incredulitatem. Nam revera qui seiqsum a Christo dividit, retror- D sum vadit : qui autem secundum Paulum adhæret Domino, semper se extendit ad anteriora [53]. Ipse autem ostendens quod nullius vel ministerii vel curæ quod sibi impendebant indigeat, dicit eis : « Num etiam vos vultis abire? Qaure autem non magis laudavit duodecim, quod non cum aliis abacti fuerunt? Partim quia servabat digni-

« Καὶ ἔλεγε· Διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ Πατρός μου. Ἐκ τούτου πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ οὐκ ἔτι μετ' αὐτοῦ περιεπάτουν. Εἶπε δὲ ὁ Ἰησοῦς τοῖς δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν ; » Πολλάκις εἴπομεν, ὅτι ὅταν ἀκούσῃς, ὡς ὁ Πατὴρ δίδωσι τὴν εἰς τὸν Υἱὸν πίστιν, μὴ νομίσῃς, ὅτι ἄλλους μὲν εὐεργετεῖ ὁ Πατὴρ κατὰ ἀποκλήρωσιν, ἄλλους δὲ οὔ : τοῦτο γὰρ ἀδικοῦντός ἐστιν, ἀλλ' ἐκείνους εὐεργετεῖν νόμιζε τὸν Πατέρα, καὶ ἐκείνοις διδόναι τὴν τῆς πίστεως δωρεὰν, ὅσοις προαίρεσις συνεργεῖ. Ὁ γὰρ μὴ ὑπὸ τῆς προαιρέσεως συνεργούμενος, οὐδὲ ὑπὸ τοῦ Θεοῦ προσλαμβανόμενος ὠφελεῖται. Οἷόν τι λέγω· Πᾶσι δίδωσιν ὁ Θεὸς, ἀλλ' οἱ μὲν καὶ λαμβάνουσι, καὶ χρῶνται καλῶς τῷ δεδομένῳ, καὶ φυλάττοντες αὐτὸ, δεικνύουσι τὴν τοῦ Θεοῦ δωρεάν. Οἱ δὲ λαμβάνουσι μὲν, ἀπολλύντες δὲ τὰ δεδομένα, φαίνονται μηδὲν λαβόντες. Ὅταν οὖν λέγῃ ὁ εὐαγγελιστὴς, ὅτι Ἐὰν μὴ ᾖ δεδομένον τινὶ ἐκ τοῦ Πατρὸς, οὐ δύναται ἐλθεῖν πρὸς τὸν Υἱὸν, τοῦτο λέγει, ὅτι, Ἐκεῖνος ἔρχεται πρὸς τὸν Υἱὸν, ᾧτινι δώσει ὁ Πατὴρ, ἤτοι παρ' οὗ φυλαχθείη ἡ γενομένη αὐτῷ παρὰ Θεοῦ δωρεά. « Ἀπῆλθον οὖν (24) πολλοὶ τῶν μαθητῶν εἰς τὰ ὀπίσω. » τουτέστιν, ἀποσχίσαντες ἑαυτοὺς τοῦ Διδασκάλου, οὐκ εἰς προκοπὴν προῆλθον, ἀλλ' εἰς τὰ ὀπίσω, τουτέστιν, εἰς ἀπιστίαν· τῷ ὄντι γὰρ, ὁ ἑαυτὸν ἀποσχίζων τοῦ Χριστοῦ, εἰς τὰ ὀπίσω ἄπεισιν· ὁ δὲ κατὰ Παῦλον κολλώμενος τῷ Κυρίῳ, ἀεὶ τοῖς ἔμπροσθεν ἐπεκτείνεται. Αὐτὸς δὲ δεικνὺς ὅτι οὐ δέεταί τινος, οὐδὲ τῆς παρ' αὐτῶν τούτων διακονίας ἢ θεραπείας, λέγει πρὸς αὐτούς· « Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν ; » Διὰ τί δὲ μᾶλλον οὐκ

[52] Dan. XIII, 42. [53] Philipp. III, 13.

Ex collatione codd. Venet. S. Marci.

(24) Cod. 30, ἡ γενομένη αὐτῷ παρὰ Θεοῦ δωρεά, καὶ ὃς ποιήσει ἑαυτὸν ἄξιον τοῦ λαβεῖν. Ἀπῆλθον οὖν, κ. τ. λ. « Donum a Deo, quod illi datum est, et qui se dignum accipiendi præstiterit. Abierunt igitur multi, » etc.

ἐπῄνεσε τοὺς δώδεκα, ὡς μὴ συναπαχθέντας τοῖς A ἄλλοις; Ὁμοῦ μὲν τηρῶν τὸ τῷ διδασκάλῳ πρέπον ἀξίωμα, ὁμοῦ δὲ δεικνύων καὶ ἡμῖν, ὅτι διὰ τούτου μᾶλλον ἐφέλκεσθαι τοῦ τρόπου ἔνεστιν. Εἰ μὲν γὰρ ἐπῄνεσε, κἂν ἔπαθόν τι ἀνθρώπινον, καὶ ἠλαζονεύσαντο, χαρίζεσθαι αὐτῷ οἰόμενοι διὰ τῆς ἀκολουθήσεως. Τὸ δὲ δεικνύναι, ὡς οὐ δεῖται τῆς ἀκολουθήσεως αὐτῶν, μᾶλλον αὐτοὺς ἠδύνατο κατέχειν, ὡς εὐεργετουμένους μᾶλλον, ἢ εὐεργετοῦντας, καὶ λαμβάνοντας χάριν, ἢ διδόντας. Σκόπει δὲ, πῶς συνετῶς εἶπεν. Οὐκ εἶπε γὰρ, Ἀπέλθετε· τοῦτο γὰρ ἀπωθουμένου ἦν· ἀλλ' ἐρωτᾷ· « Μὴ θέλετε ὑπάγειν; » ὅπερ ἦν αὐτοὺς ποιοῦν κυρίους τοῦ ἀκολουθεῖν καὶ μή· δεικνύντος, ὅτι οὐ βούλεται αὐτοὺς αἰδοῖ τῇ πρὸς αὐτὸν ἀκολουθεῖν αὐτῷ, ἀλλὰ B μετὰ τοῦ χάριν εἰδέναι ὑπὲρ τοῦ ἀκολουθεῖν.

« Ἀπεκρίθη αὐτῷ Σίμων Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; Ῥήματα ζωῆς αἰωνίου ἔχεις· καὶ ἡμεῖς πεπιστεύκαμεν, καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; Καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν; Ἔλεγε δὲ τὸν Ἰούδαν Σίμωνος Ἰσκαριώτην· οὗτος γὰρ ἔμελλεν αὐτὸν παραδιδόναι, εἷς ὢν ἐκ τῶν δώδεκα. » Φιλόστοργος ὢν ὁ Πέτρος καὶ φιλάδελφος, ὑπὲρ παντὸς ἀπολογεῖται τοῦ χοροῦ. Οὐ γὰρ εἶπε, Κύριε, πρὸς τίνα ἀπελεύσομαι; Καὶ ὅτι Ἔγνωκα καὶ πεπίστευκα, ἀλλὰ, « Πρὸς τίνα ἀπελευσόμεθα; » καὶ τὰ ἑξῆς. Ζωῆς δὲ αἰωνίου ῥήματα ἔχειν τὸν Κύριόν φησιν, ἐπειδὴ C ἤκουσεν αὐτοῦ λέγοντος, ὅτι « Τὸν πιστεύοντα εἰς ἐμὲ ἀναστήσω, καὶ ἕξει ζωὴν αἰώνιον. » Ἤδη γὰρ τὴν ἀνάστασιν οὗτοι παρεδέξαντο, καὶ πᾶσαν τὴν διδασκαλίαν. Ὥστε οὐ ῥήματα ἦσαν τὰ σκανδαλίζοντα, ἀλλὰ καὶ ἡ ἀπροσεξία καὶ ἡ ῥᾳθυμία, καὶ ἡ ἀγνωμοσύνη τῶν ἀκουόντων. Καὶ γὰρ καὶ οὗτοι οἱ δώδεκα τὰ αὐτὰ ἤκουον, καὶ ὅμως οὐκ ἐσκανδαλίσθησαν, ἀλλ' ἔμειναν. Τί οὖν ὁ Χριστός; Ἆρα ἐπαινεῖ Πέτρον, ὥσπερ ἀλλαχοῦ τοῦτο ἐποίησεν; Οὐδαμῶς, ἵνα μὴ δόξῃ, ὅτι κολακεύει διὰ τὸ παραμεῖναι αὐτῷ. Ἀλλὰ τί λέγει πρὸς τὸν Πέτρον; Ἐγὼ μὲν ὑμᾶς ἐξελεξάμην τοὺς δώδεκα, πλὴν οὐδὲ ὑμεῖς ἅπαντές ἐστε τῆς ἐκλογῆς ἄξιοι, ἀλλ' εἷς ἐξ ὑμῶν διάβολός ἐστι. Τοῦτο δὲ διχῶς νοητέον. Ἢ γὰρ ὅτι, Καὶ νῦν πάντα τὰ ἐμὰ διαβάλλει, καὶ οὐδὲν τούτων ἀποδέχεται, ἢ ὅτι, Μέλλει D διαβάλλειν ἐμέ. Καὶ γὰρ ὄντως τοιοῦτος ἀπεφάνθη Ἰούδας, διαβάλλων πρὸς Ἰουδαίους τὸν Κύριον, καὶ τὰ μυστήρια αὐτοῦ ἐκφέρων αὐτοῖς· καθὰ καὶ Δαυῒδ περὶ αὐτοῦ φησιν· « Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. » Λέγει δὲ ταῦτα πρὸς τὸν Πέτρον ὁ Κύριος, διορθούμενος αὐτόν. Ἐπεὶ γὰρ εἶπεν ὁ Πέτρος, ὅτι, Καὶ ἐγνώκαμεν καὶ πεπιστεύκαμεν, Μὴ τοῦτο νόμιζε, φησίν. Οὐ γὰρ πάντες ἐστὲ πιστοὶ, οὐδὲ πάντες με ἐγνώκατε. Ὅρα δέ μοι τὸν Κύριον, πῶς ἔτι πόῤῥωθεν τοῦ προδότου τὴν κακίαν ἀνακρουόμενος, καὶ ἀναχαιτίζων αὐτὴν, ταῦτά φησιν· εἰδὼς μὲν, ὅτι οὐδὲν ὠφελήσει, ὅμως δὲ τὸ ἑαυτοῦ ποιῶν· καὶ οὔτε φανερὸν αὐτὸν ἐποίησεν, οὔτε

latem doctori convenientem: partim quia hoc modo magis attrahi poterant. Nam si quidem laudasset, forte humanum quiddam passi fuissent, factique arrogantiores existimassent se illi gratificari propter comitationem. Per hoc autem, quod demonstravit eis se nullius indigere comitatu, magis potuit eos continere, eo quod beneficium potius accipiant quam præstent: et accipiant magis quam dent. et considera quam prudenter dixerit: non enim dixit, Abite, hoc enim repellentis fuisset: sed interrogavit, « Num vultis abire? » Quo verbo eis liberum faciebat, sequerentur, necne: et demonstrabat quod nollet eos reverentia erga se, comitari se: sed ut scirent beneficium esse quod sequantur.

Vers. 69-72. « Respondit ergo ei Simon Petrus: 590 Domine, ad quem ibimus? Verba vitæ æternæ habes, et nos credimus et cognovimus quod tu es Christus Filius Dei vivi. Respondit eis Jesus: Nonne ego vos duodecim elegi? et ex vobis unus diabolus est? Dicebat autem de Juda Simonis Iscariotæ. Hic enim proditurus erat eum, cum esset unus ex duodecim. » Petrus cum esset amator fratrum, pro toto choro respondet. Non enim dixit, Domine, ad quem ibo? et, Cognovi et credidi, sed, « Ad quem ibimus? » etc. Vitæ autem æternæ verba Dominum habere dicit, quia audiverat eum dicentem, « Eum qui credit in me, resuscitabo, et habebit vitam æternam. » Jam enim illi resurrectionem receperant, et omnem doctrinam: itaque verba ipsa offendiculo non erant, sed attendendi negligentia et ignavia, imprudentiaque auditorum. Nam hi duodecim eadem audierunt, nec tamen sunt offensi, sed manserunt. Quid igitur Christus? Nunquid laudat Petrum, sicut alio loco facit? Minime, ut ne videretur blandiri illi quod apud se maneret. Sed quid dixit ad Petrum? Ego quidem vos elegi duodecim, verumtamen neque vos omnes estis electione digni, sed unus ex vobis diabolus est. Hoc autem bifariam est intelligendum: vel enim sic: Nunc mea omnia calumniatur, et nihil illorum recipit; vel sic: Calumniaturus est me. Et enim reipsa talis apparuit Judas, calumnians apud Judæos Dominum, et mysteria ejus illis efferens, sicut et David de ipso dicit: « Egrediebatur foras, et loquebatur in idipsum [54]. Dicit autem hæc ad Petrum Dominus, emendans eum; quia enim dixerat Petrus, Et cognovimus et credidimus: Ne hoc putes, inquit, non enim omnes estis fideles, neque omnes me cognovistis. Vide autem quomodo antea Dominus proditoris malitiam repellens et refrenans hæc dicit, sciens quidem quod nihil profuturus esset, nihilominus tamen quod suum erat faciens, neque illum manifestavit, neque omnino occultum esse permisit: illud quidem ut ne impudentior et contentiosior fieret: hoc autem, ut ne licenter facinus patraret, occultum illud putans. Ex

[54] Psal. XL, 7.

illo autem etiam hoc discimus, quod non coactione A et vi quadam meliores facere consueverit Deus, neque ejus electio cogat voluntatem nostram cum si mala, ut fiat bona: sed electio quidem fit a Deo, qui adhortatur nos ad bonum, et suam nobis impertit bonitatem. In mente autem nostra et voluntate situm est salvari et digne ad electionem ambulare, vel e diverso. Admirare autem quod diabolus in tantum infestus est, et potuerit etiam unum ex duodecim abripere, qui suscitabant mortuos, et faciebant 600 miracula, et fruebantur spirituali et vivifica doctrina Domini. Et ubi post hæc salutis spes nobis, qui sponte a juventute nos ipsos malitiæ mancipamus? Ideo et evangelista quasi admirans dicit: «Cum esset unus ex duodecim.» Quamvis enim, inquit, esset e sancto illo choro, attamen B mala sua voluntate indignus inventus est. Ita homo animal est suapte natura vertibile. Valeant igitur posthæc Manichæi. Non enim a natura sumus mali, alioqui omnia operaretur in nobis malitia. Nunc autem non semper erat Judas malus, sed fuit etiam aliquando sanctæ voluntatis. Igitur a voluntate mala et nascuntur et crescunt.

A πάντη λαθεῖν εἴασεν· ἐκεῖνο μέν, ἵνα μὴ ἀπαναισχυντήσας φιλονεικότερος γένηται· τοῦτο δὲ, ἵνα μὴ ἀδεῶς ἐργάζηται τὸ τόλμημα, οἷα νομίζων λανθάνειν. Ἐκ τούτου δὲ καὶ τοῦτο μανθάνομεν, ὅτι οὐκ ἀνάγκῃ καὶ βίᾳ ποιεῖν εἴωθεν ἀγαθοὺς ὁ Θεὸς, οὐδὲ ἡ ἐκλογὴ αὐτοῦ βιάζεται τὴν προαίρεσιν ἡμῶν, καὶ κακὴν οὖσαν ἀναγκάζει γενέσθαι ἀγαθήν. Ἀλλ' ἡ μὲν ἐκλογὴ γίνεται παρὰ Θεοῦ, προτρέποντος ἡμᾶς ἐπὶ τὸ καλὸν, καὶ τὴν αὐτοῦ ἐφαπλοῦντος ἡμῖν ἀγαθότητα· ἐν δὲ τῇ γνώμῃ ἡμῶν καὶ τῇ προαιρέσει κεῖται τὸ σωθῆναι, καὶ ἀξίως τῆς ἐκλογῆς περιπατῆσαι, ἢ τοὐναντίον. Θαύμασον δὲ, ὅτι τοσοῦτον ὁ διάβολος πολεμεῖ, ὡς δυνηθῆναι ἕνα τῶν δώδεκα ἀφαρπάσαι, τῶν ἐγειράντων νεκροὺς, καὶ θαύματα ποιησάντων, καὶ τῆς πνευματικῆς τοῦ Κυρίου διδασκαλίας καὶ ζωοποιοῦ ἀπολαυσάντων. Καὶ ποῦ λοιπὸν σωτηρίας ἐλπὶς ἡμῖν τοῖς ἐθελουσίως ἐκ νεότητος ἑαυτοὺς τῇ κακίᾳ δουλώσασι; Διὸ καὶ ὁ εὐαγγελιστὴς, ὡς θαυμάζων, εἶπε τὸ, « Εἷς ὢν ἐκ τῶν δώδεκα. » Καίτοι γὰρ, φησὶ, τούτου τοῦ ἁγίου χοροῦ ὢν, ὅμως τῇ πονηρᾷ προαιρέσει ἀνάξιος εὑρέθη· οὕτως ἐθελότρεπτον ζῶον ὁ ἄνθρωπος. Καὶ λοιπὸν ἐῤῥέτωσαν Μανιχαῖοι. Οὐ γὰρ ἀπὸ φύσεώς ἐσμεν κακοί· ἢ γὰρ ἂν πάντοτε ἐνήργει ἐν ἡμῖν ἡ κακία. Νῦν δὲ οὐ πάντοτε ἦν Ἰούδας κακὸς, ἀλλ' ἦν, ὅτε ἦν ἅγιος. Προαιρέσει ἄνα τὰ κακὰ καὶ τίκτονται καὶ αὐξάνονται.

## CAPUT VII.

*Quomodo Christus clanculum ad festivitatem venerit. De Judæis mirantibus, quomodo Christus litteras sciret a nullo edoctus. De divisione turbæ ob Christum. De ambiguitate principum et Nicodemi.* C

## ΚΕΦΑΛ. Ζ'.

Περὶ τῆς ἀναβάσεως τοῦ Κυρίου ὡς ἐν κρυπτῷ εἰς τὴν ἑορτήν. Περὶ τῶν Ἰουδαίων θαυμαζόντων, πῶς ὁ Ἰησοῦς γράμματα οἶδε μὴ μεμαθηκώς. Περὶ τοῦ σχίσματος τοῦ ὄχλου περὶ Χριστοῦ. Περὶ τῆς τῶν ἀρχόντων καὶ Νικοδήμου ἀμφισβητήσεως.

VERS. 1-5. « Versabatur Jesus post hæc in Galilæa Non volebat enim in Judæa versari, quia Judæi querebant eum interficere. Erat autem in propinquo dies festus Judæorum Scenopegia. Dixerunt igitur ad eum fratres ejus: Transi hinc, et vade in Judæam, ut et discipuli tui videant opera tua quæ facis. Nemo quippe in occulto facit aliquid, et quærit ipse palam esse. Si hæc facis, declara teipsum mundo. Nam ne fratres quidem ejus credebant in eum.» Noluit Jesus in Judæa ambulare, propter homicidas Judæos, non ut timens mortem: poterat enim in medio illorum illæsus ambulare; sed si hoc semper fecisset, non creditus fuisset homo, sed habitus D fuisset phantasma. Unde nunc quidem secedit, confirmans quod vere homo: et confutans omnes qui dicunt eum secundum apparentiam tantum incarnatum, sicut Manichæi, Marcion, et Basilides, et similes dicunt. Alias etiam cum esset in medio ipsorum insanientium contra ipsum, manebat illæsus, et ostendebat suam deitatem: confundens Paulum Samosatenum, et docens omnes quod non purus homo, sed et Deus fuerit. Secedit in Galilæam nunc. Nam quia nondum advenerat tempus Passionis, va-

« Καὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ Σκηνοπηγία. Εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· Μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε εἰς Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα ἃ ποιεῖς· οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ, καὶ ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ εἶναι. Εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ. Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. » Διὰ τοὺς μιαιφόνους Ἰουδαίους ἀναχωρεῖ (25), οὐκ ὡς δειλιῶν πρὸς D τὸν θάνατον· ἐνῆν γὰρ αὐτὸν καὶ ἐν μέσῳ αὐτῶν περιπατεῖν, καὶ μηδὲν παθεῖν· ἀλλ' εἰ τοιαῦτα πάντοτε ἐποίει, οὐκ ἂν ἐπιστεύθη, ὅτι ἄνθρωπος γέγονεν, ἀλλὰ φαντασία ἔδοξεν ἄν. Ὅθεν νῦν μὲν ὑποστέλλεται βεβαιῶν καὶ πιστούμενος τὸ ἀνθρώπινον, καὶ ἐντρέπων πάντας τοὺς κατὰ φαντασίαν αὐτὸν σαρκωθῆναι λέγοντας, Μάνεντα, Μαρκίωνα, καὶ Βασιλείδην, καὶ τοὺς ὁμοίους. Ἄλλοτε δὲ πάλιν ἐν μέσῳ ὢν τῶν φονώντων, καὶ κατ' αὐτοῦ λυττώντων ἀβλαβὴς διαμένει, καὶ δείκνυσι τὰ τῆς θεότητος, καταισχύνων τὸν Σαμοσατέα Παῦλον, καὶ πείθων πάντας ὅτι οὐ ψιλὸς ἄνθρωπος, ἀλλὰ καὶ Θεὸς ἦν. Ὑπο-

Ex collatione codd. Venet. S. Marci.

(25). Codd. 26, 30, 31. 32. Οὐδὲ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. Οὐκ ἤθελεν ὁ Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ περιπατεῖν διὰ τοὺς μιαιφόνους Ἰουδαίους, κ. τ. λ. «*Neque fratres quidem ejus credebant in eum.* Noluit Jesus in Galilæa ambulare propter homicidas Judæos, » etc., ut habuit interpres

χωρεῖ τοίνυν εἰς Γαλιλαίαν νῦν. Ἐπεὶ γὰρ οὔπω ἐνειστήκει ὁ καιρὸς τοῦ πάθους, μάταιον ἦν καὶ περιττὸν, ἐν μέσῳ τῶν ἐχθρῶν αὐτοῦ ἀναστρέφεσθαι, καὶ πλείονος ἀεὶ λύττης αὐτοῖς πρόξενον γίνεσθαι. « Ἦν δὲ, φησὶν, ἡ Σκηνοπηγία. » Ἄξιον εἰπεῖν περὶ τῶν ἑορτῶν τῶν τελουμένων τοῖς Ἰουδαίοις. Τρεῖς γὰρ ἦσαν· μία ἡ τοῦ Πάσχα, ἣν ἐτέλουν ὡς ἐκ τῆς Αἰγύπτου διαβάντες, ἣ καὶ πρώτη παρ' αὐτοῖς· δευτέρα δὲ ἡ Πεντηκοστὴ, ἣν ἐτέλουν ὡς ῥυσθέντες μὲν τῶν ἐν τῇ ἐρήμῳ κακῶν, εἰς δὲ τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθόντες, καὶ γευσάμενοι τότε πρώτως καρποῦ σιτηροῦ· διὸ καὶ δράγματα ἐν ταύτῃ τῇ ἑορτῇ ὡς ἀπαρχὰς προσῆγον. Τρίτη ἡ Σκηνοπηγία, ἣν ἐτέλουν εὐχαριστήριον ἐπὶ τῇ συγκομιδῇ τῶν καρπῶν κατὰ τὸν Σεπτέμβριον παρὰ Ῥωμαίοις μῆνα. Τότε γὰρ δὴ εὐχαρίστουν τῷ Κυρίῳ, ὡς πάντας τοὺς καρποὺς συγκομισάμενοι. Διὸ καὶ σκηνὰς, ἤτοι καλύβας ἐπήγνυον, καὶ ὡς ἐν ἀγροῖς διάγοντες, ηὐφραίνοντο. Ὅθεν καὶ ψαλμούς τινας Δαβιτικοὺς ἐπιγραφὴν ἔχοντας, Ὑπὲρ τῶν ληνῶν, φασί τινες, εἰς ταύτην τὴν ἑορτὴν συντεθῆναι ὑπὸ τοῦ Δαυΐδ. Τότε γὰρ δὴ τοὺς ληνοὺς αὐτῶν ἐπλήρουν, τρυγῶντες δηλαδὴ καὶ ἐπὶ τούτοις εὐχαριστοῦντες, καὶ ψαλμοῖς ἐχρῶντο, καὶ τοῖς ἄλλοις τοῖς πρὸς εὐχαριστίαν. Οἷος ἐστιν ὁ ὄγδοος ψαλμός. Διὸ καὶ ἐν αὐτῷ μέμνηται τῶν παρὰ Θεοῦ δοθέντων ἀγαθῶν τῷ ἀνθρώπῳ ὁ προφήτης. Ἠνίττετο δὲ καὶ ταῦτα· τὸ μὲν Πάσχα, τὴν διάβασιν ἡμῶν, τὴν ἐξ ἀπιστίας εἰς πίστιν· ἡ δὲ Πεντηκοστὴ, τὴν εἰς τὴν Ἐκκλησίαν εἰσέλευσιν, ὡς γῆν ἄλλην ἐπαγγελίας, ὅτε δηλαδὴ καὶ ἄρτον τρώγομεν, μεταλαμβάνοντες τῶν θείων μυστηρίων. Οὐ γὰρ ἅμα τῷ πιστεῦσαι καὶ διαβῆναι ἀπὸ τῆς ἀπιστίας, ἤδη καὶ τοῦ ἄρτου ἐσθίομεν· ἀλλὰ δεῖ πρότερον βαπτισθῆναι, καὶ ἄξιον γενέσθαι τοῦ μετὰ τῶν βεβαπτισμένων ἐν Ἐκκλησίᾳ ἵστασθαι, καὶ τότε τοῦ ἄρτου μεταλαβεῖν. Ἡ δὲ Σκηνοπηγία, τὴν ἀνάστασιν, ὅτε πάντες μὲν οἱ καρποὶ τῶν πράξεων ἡμῶν συντελοῦνται, τὰ σκηνώματα δὲ ἡμῶν τὰ διὰ τοῦ θανάτου καταλυθέντα, αὖθις συμπήγνυνται. Εἰσὶ δὲ καὶ ἄλλοι λόγοι θειότεροι ἐπὶ ταύταις ταῖς ἑορταῖς, οὓς οὐ νῦν λέγειν καιρός· τὸ τοῖς πολλοῖς γὰρ ὠφελιμώτερον ἀεὶ ἐκλεγόμεθα. Οὔσης οὖν ἑορτῆς τοῖς Ἰουδαίοις τῆς καλουμένης Σκηνοπηγίας, ἐπεὶ εἶδον αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ μὴ παρασκευαζόμενον ἀναβῆναι, φθονοῦντες αὐτῷ, φασί· Μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε ἐκεῖ, ἵνα καὶ οἱ μαθηταί σου, τουτέστιν, οἱ ὄχλοι οἱ ἀκολουθοῦντές σοι, θεωρήσωσιν ἃ ποιεῖς. Οὐ γὰρ περὶ τῶν δώδεκά φησιν, ἀλλὰ περὶ τῶν ἄλλως ἑπομένων αὐτῷ. Ἐγκαλοῦσι δὲ αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ, οἱ τοῦ Ἰωσὴφ δηλαδὴ παῖδες, δύο πάθη, δειλίαν, καὶ φιλοδοξίαν. Διὸ καί φασιν· « Οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ, » ὅπερ ἐστὶ δειλίας, « καὶ ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ εἶναι, » ὅπερ ἐστὶ φιλοδοξίας. « Εἰ ταῦτα ποιεῖς, φανέρωσον, φασὶ, σεαυτὸν τῷ κόσμῳ. » Ἐνταῦθα δὲ αἰνίττονται, ὅτι Οὐδὲ ἀγαθὴν ὑπόληψιν ἔχομεν ἐπὶ τοῖς ὑπὸ σοῦ γενομένοις. Εἰ γὰρ ταῦτα ποιεῖς ὡς καλὰ, φανέρωσον σεαυτόν· εἰ δὲ ἀπο-

A num et supervacuum erat in medio inimicorum suorum versari, et majoris semper rabiei illis auctorem fieri. Erat autem, inquit, Scenopegia. Operæ pretium fuerit dicere de festis quæ faciunt Judæi. Tria enim erant: unum Pascha, quod fecerunt egressi ex Ægypto, quod et primum apud ipsos erat: secundum Pentecoste, quod celebrabant 604 quidem ut liberati a malis quibus in solitudine affligebantur: cum scilicet in terram promissionis ingressi essent, ac tunc primum frumenti fructum gustassent; et ideo manipulos in festo illo tanquam primitias afferebant: tertium Scenopegia, quod celebrabant in gratiarum actionem propter convectas fruges a Romanis (a) mense Septembri. Tunc enim
B gratias agebant Domino, convectis omnibus fructibus. Ideo et tabernacula fiebant, et quasi sub dio agentes lætabantur. Unde psalmos quosdam David qui inscripti sunt Pro torcularibus, quidam compositos esse dicunt in hoc festum. Nam tunc torcularia sua implebant, et uvas premebant, propterea que agebant gratias, et psalmis utebantur atque aliis in gratiarum actionem. Talis est psalmus VIII. Ideo et Propheta in ipso meminit bonorum homini a Deo datorum. Significant autem etiam hæc: Pascha, transitum nostrum ex infidelitate ad fidem; Pentecoste, ingressum in Ecclesiam, ut terram aliam promissionis, quando scilicet et panem manducamus sumentes divina mysteria. Non enim simul atque credidimus, transiverimusque ab incredulitate, mox et
C panem comedimus, sed oportet primum baptizari, ut digni fiamus qui stemus cum baptizatis in Ecclesia, et tunc de pane participemus. Scenopegia autem, resurrectionem, quando omnes quidem fructus nostrorum operum consummantur, tabernaculaque nostra per mortem destructa, iterum construuntur. Sunt et alii diviniores sermones de his festis, at de his nunc non est dicendi tempus. Exponimus enim hoc quod multis utilius. Itaque cum esset festum Judæorum quod vocatur Scenopegia, quia viderunt eum fratres ejus non apparatum ad iter, invidentes ei dicunt: Transi hinc, et vade illuc, ut et discipuli tui, hoc est turbæ quæ te sequuntur,, videant quæ facis. Non enim de duodecim dicit, sed de iis qui illum alias sequebantur. Arguebant autem eum fratres ejus, filii scilicet Joseph, propter duas affectio-
D nes, timorem et vanam gloriam, ideo et dicunt: « Nullus enim in occulto facit aliquid (id quod est formidinis), et quærit ipse palam esse, » id quod vanæ gloriæ. « Si hæc facis, manifesta teipsum mundo. » Hoc autem loco insinuant: Haud bonam opinionem habemus de his quæ a te fiunt. Nam si hæc facis ut bona, manifesta teipsum. Si autem te occultaris, manifestum quod mala faciens occulteris. Cujus autem gratia in his quinque mensibus, cum nihil aliud narrasset evangelista, quam signum hoc de panibus et sermonem Domini ad comedentes, quem postea ingrati irridebant, ad alia transi-

(a) Edit. Lut. non habet, *a Romanis*.

liit, dicens : «Erat autem prope festum Judæorum Scenopegia?» Nam 602 quod opera quinque mensium in intermedio siluerit, manifestum hinc. Cum enim miraculum panum faceret, Pascha erat, quod habebatur apud illos primo mense, quem Romani Martium vocant : nunc autem Scenopegia mense fiunt Septembri. Quare igitur hoc fecit evangelista? Eo quod non erat opus omnia enumerare. Et aliter, evangelistæ illa studuerunt dicere, propter quæ reprehensio aliqua vel contradictio a Judæis subsequebatur. Dignum autem est veritatem illorum admirari, quomodo non erubescant dicere illa quæ videbantur afferre ignominiam quamdam Magistro. Unde evangelista multa miracula et verba Domini transcurrens, infidelitatem fratrum et ea quæ illi opprobrant, narrat. Unde autem illa incredulitas? Ex voluntate et invidia. Solent enim cognati semper invidere. Verumtamen attende quod qui tanta infidelitate affecti erant in illum antequam crucifigeretur, cum etiam ipsum gloriosum viderent, et miracula facientem, post crucem et ignobilitatem quæ videbatur, pro ipso testimonium tulerunt, apostoli et prædicatores et episcopi facti. Unde sine contradictione illum resurrexisse viderunt. Non enim exposuissent se pro illo, nisi certa quædam et solida habuissent argumenta de ejus resurrectione.

κρύπτῃ, πρόδηλον ὅτι κακὰ πράττων ἀποκρύπτῃ. Τίνος δὲ ἕνεκεν ἐν τοῖς πέντε μησὶν οὐδὲν ἄλλο διηγησάμενος ὁ εὐαγγελιστὴς, ἀλλ' ἢ τὸ κατὰ τοὺς ἄρτους σημεῖον, καὶ τὴν πρὸς τοὺς φαγόντας, εἶτα ἀγνωμονοῦντας (26) τοῦ Κυρίου διάλεξιν, τἆλλα ὑπερεπήδησεν, εἰπών· « Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ Σκηνοπηγία ; » Ὅτι γὰρ διὰ μέσου πέντε μηνῶν ἔργα ἀπεσιώπησε, δῆλον ἐντεῦθεν. Ὅτε μὲν γὰρ τὸ θαῦμα ἐτέλεσε τῶν ἄρτων, Πάσχα ἦν, ὅπερ κατὰ τὸν παρὰ Ῥωμαίοις Μάρτιον μῆνα ἐτελεῖτο, πρῶτον παρ' ἐκείνοις καλούμενον μῆνα· νῦν δὲ ἡ Σκηνοπηγία, ἣ συνίσταται κατὰ τὸν παρ' ἡμῖν Σεπτέμβριον. Διατί οὖν τοῦτο ἐποίησεν ὁ εὐαγγελιστής; Διότι οὐκ ἐνῆν ἅπαντα καταλέγειν. Ἄλλως τε, ἐκεῖνα λέγειν ἐσπουδάκασιν οἱ εὐαγγελισταὶ, ὑπὲρ ὧν μέμψις ἢ ἀντιλογία τις παρὰ τῶν Ἰουδαίων παρηκολούθησεν. Ἄξιον δὲ θαυμάσαι τὸ φιλάληθες αὐτῶν, πῶς οὐκ αἰσχύνονται λέγειν ταῦτα, ἃ δοκεῖ ἀδοξίαν τινὰ ἐπιφέρειν τῷ Διδασκάλῳ. Πολλὰ οὖν παραδραμὼν καὶ θαύματα καὶ ῥήματα τοῦ Κυρίου ὁ εὐαγγελιστὴς, τὴν ἀπιστίαν τῶν ἀδελφῶν διηγεῖται, καὶ ὅσα προσωνείδιζον αὐτῷ. Πόθεν δὲ αὐτοῖς ἡ τοσαύτη ἀπιστία ; Ἀπὸ προαιρέσεως καὶ φθόνου· τὸ γὰρ συγγενὲς, εἴωθέ πως ἀεὶ διαφθονεῖσθαι. Πλὴν σκόπει, ὅτι τοσαύτην ἀπιστίαν ἔχοντες πρὸ τοῦ σταυροῦ εἰς αὐτὸν, ὅτε καὶ ἔνδοξον αὐτὸν ἑώρων, καὶ θαύματα ποιοῦντα, μετὰ τὸν σταυρὸν καὶ τὴν δοκοῦσαν ἀδοξίαν ὑπὲρ αὐτοῦ ἐμαρτύρησαν, ἀπόστολοι, καὶ κήρυκες, καὶ ἀρχιερεῖς γενόμενοι. Ὅθεν ἀναντιῤῥήτως αὐτὸν ἀναστάντα ἑωράκασιν. Οὐ γὰρ ἂν ὑπὲρ αὐτοῦ δεδώκασιν ἑαυτοὺς, εἰ μὴ βεβαίαν τὴν περὶ τῆς ἀναστάσεως αὐτοῦ πληροφορίαν ἐδέξαντο.

VERS. 6-8. «Dicit ergo eis Jesus: Tempus meum nondum adest, tempus autem vestrum semper est paratum. Non potest mundus odisse vos: me autem odit, quia ego testimonium fero de illo quod opera ejus mala sint. Vos ascendite ad diem festum hunc, ego nondum ascendo ad festum hoc, quia meum tempus nondum impletum est. » Fratres quidem Domino invidentes, arguunt eum metus et arrogantiæ. Ille autem quid dicit ad eos? num dure loquitur? minime, sed mansuete. Non enim dixit : Vos qui estis, qui talia mihi consulitis, et ita docetis? Sed quid inquit? « Tempus meum nondum adest, » hoc est crucis et mortis. «Tempus autem vestrum semper est paratum. » Vos, inquit, etiamsi semper cum Judæis conveneritis, non occident illi vos, qui eadem sectamini quæ illi : me autem statim occisuri sunt, si quidem viderunt ad festum venientem. Vel et aliter hoc intelligendum Nam qui beatos facit lugentes in hoc sæculo, similia et nunc loquitur, et quæ ad omnes sanctos pertinere possunt. Non est enim, inquit, tempus festivitatis, cum videam in plenitudine Judæorum omnem vigere malitiam Luctus enim et lamenti tempus est, cum veritati quidem obsistitur, divina autem voluntas non servatur. Igitur propter hæc mihi non est tempus festivitatis : at vos quidem, utpote qui cum Judæis conspiratis, et mundo addicti estis, non mirum si

« Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν, ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς, ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν. Ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτην· ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται. » Οἱ μὲν ἀδελφοὶ, τῷ Κυρίῳ φθονοῦντες, ἐγκαλοῦσιν αὐτῷ δειλίαν ἅμα καὶ ἀλαζονείαν. Ἐκεῖνος δὲ τί φησι πρὸς αὐτούς ; Ἆρα τραχέως φθέγγεται ; Οὐ μὲν οὖν, ἀλλὰ πράως. Οὐ γὰρ εἶπεν· Ὑμεῖς τίνες ἐστὲ, οἱ συμβουλεύοντες ταῦτα καὶ διδάσκοντες ; Ἀλλὰ τί φησιν ; « Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν· » τουτέστιν, ὁ τοῦ σταυροῦ καὶ τοῦ θανάτου· « ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. » Ὑμεῖς γὰρ, φησὶ, κἂν ἀεὶ συνῆτε τοῖς Ἰουδαίοις, οὐκ ἀναιρήσουσιν ὑμᾶς τὰ αὐτὰ ζηλοῦντας αὐτοῖς· ἐμὲ δὲ εὐθέως βουλήσονται ἀνελεῖν, εἴπερ ἴδωσιν εἰς τὴν ἑορτὴν ἀφικόμενον. Ὃ καὶ ἄλλως νοητέον τοῦτο. Ὁ γὰρ μακαρίζων τοὺς πενθοῦντας ἐπὶ τοῦ παρόντος αἰῶνος, ἀκόλουθα καὶ νυνὶ φθέγγεται, καὶ εἰς πάντας τοὺς ἁγίους δυνάμενα διαβαίνειν. Οὐκ ἔστι γὰρ, φησὶν, ἐμὸς καιρὸς ἑορτῆς, ὅτε δρῶ πᾶσαν κακίαν ἐμπολιτευομένην τῷ τῶν Ἰουδαίων πληρώματι. Θρήνου γὰρ καὶ πένθους καιρὸς, ἀληθείας μὲν ἀπεληλαμένης, τοῦ δὲ θείου θελήματος οὐ κρατοῦντος. Διὰ ταῦτα οὖν ἐμὸς καιρὸς ἑορτῆς

Ex collatione codd. Venet. S. Marci.

(26) Cod. 31, εἶτα ὀνειδίζοντας.

οὐκ ἔστιν· ὑμῖν δέ γε, ὡς συμφώνως τοῖς Ἰουδαίοις A ἐμπολιτευομένοις, καὶ τῷ κόσμῳ προσκειμένοις, οὐκ ἀνοίκειον τὸ συνεορτάζειν τοῖς ὁμοίοις ὑμῖν. Καὶ ὑμᾶς μὲν ὁ κόσμος οὐ δύναται μισεῖν, τουτέστιν, οἱ τὰ τοῦ κόσμου φρονοῦντες, οἷα δὴ, καθὰ εἴρηται, ἐοικότας αὐτοῖς· ἐμὲ δὲ μισεῖ, ὅτι ἐλέγχω αὐτοῦ τὰ ἔργα. Τοῦτο γὰρ τοῦ μίσους γίνεται αἴτιον, ὁ ἔλεγχος ὁ πεπαῤῥησιασμένος. Πέμπει τοίνυν τοὺς ἀδελφοὺς εἰς τὴν ἑορτὴν, δεικνύων, ὅτι οὐκ ἀναγκάζει σὺν αὐτῷ μένειν, εἴ γε μὴ βούλεται. Σκόπει δὲ, ὅτι πρὸς τὰ δύο ἐγκλήματα ἃ ἐπέφερον αὐτῷ ἐκεῖνοι, δειλίαν λέγω καὶ φιλοδοξίαν, δύο καὶ τὰς ἀπολογίας ποιεῖται· πρὸς μὲν τὴν δειλίαν, ἐν τῷ λέγειν, ὅτι Ἐλέγχω τὰ ἔργα τοῦ κόσμου, ἤγουν τῶν τὰ τοῦ κόσμου φρονούντων· οὐκ ἂν δὲ ἤλεγχον, εἴ γε δειλὸς ἤμην, ὡς νομίζετε· πρὸς δὲ τὴν φιλοδοξίαν, ἐν τῷ μὴ ἀναγκά- B ζειν αὐτοὺς, ὥστε παραμένειν αὐτῷ. Εἰ γάρ τοι φιλοδοξίας ἐγκλήματι ἔνοχος ἦν, οὐκ ἂν αὐτοὺς ἀπεπέμπετο· ἐπεὶ τοῖς φιλοδόξοις καὶ ἀλαζονικοῖς, τὸ πολλοὺς ἔχειν ἀκολούθους μᾶλλον σπουδάζεται. Ἐπεὶ οὖν δύο ταῦτα αὐτῷ προσωνείδιζον, εἰκότως πρὸς τὰ δύο ἀντέστη, δεικνύων σαθρὰν τὴν αὐτῶν ὑπόνοιαν. Τὸ δὲ, « Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται, » τοῦτο δηλοῖ, ὅτι Οὔπω τοῦ θανάτου καὶ τοῦ σταυροῦ καιρός. Δεῖ γάρ με ἔτι ἐν σαρκὶ ζῆν πρὸς τὸ καὶ πλείονα σημεῖα ποιῆσαι, καὶ πλείους διδασκαλίας ἐκθέσθαι· ὡς ἂν καὶ πλείους ὄχλους πιστεῦσαι παρασκευάσω, καὶ τοὺς μαθητὰς στεῤῥοτέρους ποιήσω, διά τε τῆς τῶν πλειόνων σημείων ἐπιδείξεως καὶ τῆς διδασκαλίας. Οὔπω οὖν, φησὶν, ἐνέστη ὁ καιρὸς τοῦ θανάτου, ἵνα ἐπιῤῥίψω ἐμαυτὸν τοῖς κατ' ἐμοῦ λυττῶσι· διὸ οὐδὲ ἀναβαίνω εἰς τὴν ἑορτήν.

« Ταῦτα δὲ εἰπὼν αὐτοῖς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ. C Καὶ ὅτε ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτὴν, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ. » Τίνος ἕνεκεν, εἰπὼν τοῖς ἀδελφοῖς, ὅτι « Οὐκ ἀναβαίνω εἰς τὴν ἑορτὴν, » πάλιν ἀναβαίνει; Οὐκ εἶπε καθάπαξ, ὅτι Οὐκ ἀναβαίνω, ἀλλὰ, Νῦν, τουτέστι, Μεθ' ὑμῶν. Ἐν ἀρχῇ μὲν παρῃτεῖτο τὴν ἀνάβασιν, ἅτε ζεόντων θυμῷ τῶν Ἰουδαίων. Μετὰ ταῦτα μέντοι μελλούσης τῆς ἑορτῆς λύεσθαι, ἄνεισιν, ὅτε καὶ τὴν μανίαν αὐτῶν εἰκὸς ἦν λωφῆσαι. Καὶ ἄλλως δέ· Οὐκ ἐναντία πεποίηκεν ὧν εἶπεν. Οὐ γὰρ ἀνέβη ἑορτάσων, ἀλλὰ διδάξων· καὶ οὐ μετὰ ἱλαρότητος ᾗ χρῶνται οἱ πανηγυρίζοντες, ἀλλὰ λάθρα. Κρύπτεται δὲ διὰ τὸ βεβαιῶσαι τὸ ἀνθρώπινον. Εἰ γὰρ ἐνεφανίσθη, ἐλύττησαν ἂν κατ' αὐτοῦ, βουλό- D μενοι αὐτὸν ἀποκτεῖναι. Οὐκ ἂν δὲ παρεχώρησεν αὐτοῖς τοῦτο ποιῆσαι, οἷα μήπω τοῦ καιροῦ ἐνστάντος τοῦ πάθους· ἀλλὰ μέσον αὐτῶν ὢν, ἐξέφυγεν ἂν τὸ πάθος, καὶ ἔδοξεν ἂν φαντασίᾳ σαρκωθῆναι· διὰ τοῦτο φεύγει καὶ ἀναχωρεῖ ὡς ἄνθρωπος, οἰκονομῶν τὰ οἰκεῖα.

« Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ, καὶ ἔλεγον· Ποῦ ἐστιν ἐκεῖνος; Καὶ γογγυσμὸς πολὺς περὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις. Οἱ μὲν ἔλεγον, ὅτι Ἀγαθός ἐστιν· ἄλλοι δὲ ἔλεγον. Οὐκ, ἀλλὰ πλανᾷ τὸν ὄχλον. Οὐδεὶς μέντοι παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ

A festum agatis cum **603** his qui vobis similes sunt, et non quidem mundus non potest odio habere, hoc est qui mundana sapiunt, veluti, sicut dictum est, sui similes: me autem odio habet, quia redarguo opera ejus. Liberior enim reprehensio odium parit. Mittit igitur fratres ad festivitatem, ostendens quod non cogat cum eo manere, si quidem nolint. Attende autem quomodo ad duo crimina quæ intendebant illi, metum dico et vanam gloriam, duo etiam responsa dat: ad metum quidem dicendo, Arguo opera mundi, hoc est, eorum qui mundum sapiunt: non autem arguissem, si quidem meticulosus essem, ut putatis; ad vanam autem gloriam, non compellendo eos ut secum maneant: nam si inanis gloriæ crimini fuisset obnoxius, neutiquam B illos dimisisset; quoniam gloriæ cupidis(a), deditisque ostentationi maxima cura est, multos habere sectatores. Itaque quia duo hæc opprobaverant, merito contra duo illa restitit, ostendens vitiosam illorum suspicionem. « Tempus enim meum nondum impletum est, » significat quod Nondum est tempus mortis et crucis. Oportet enim me adhuc in carne vivere, ut plura signa faciam, et plures doctrinas exponam, atque ita ut plures turbas in fide instruam, et discipulos meos confortem tam per plura signa, quam per doctrinas. Nondum igitur, inquit, urget tempus mortis, ut objiciam me his qui contra me insaniunt: propterea neque ad festum ascendo.

C Vers. 9, 10. « Hæc autem cum dixisset illis, mansit in Galilæa. Ut autem ascenderunt fratres ejus, tunc et ipse ascendit ad festum, non manifeste, sed velut in occulto. » Quare dicens fratribus: « Non ascendo ad diem festum, ascendit? Non dixit simpliciter, Non ascendo: sed, Nunc, hoc est, Vobiscum. Nam principio quidem ascendere detrectabat, utpote ferventibus furore Judæis. Post hæc autem cum festum solvendum esset, ascendit, quando et insaniam illorum verisimile erat mitigatam esse. Et aliter quoque: Non fecit contraria his quæ dixit. Non enim ascendit diem festum acturus, sed docturus: et non cum hilaritate qua solent celebraturi ferias, sed clam. Delitescit autem, D ut confirmet se hominem. Nam si comparuisset, insanivissent utique contra eum, occidere illum cupientes: et si non permisisset eis hoc facere, eo quod nondum instaret tempus passionis, sed e medio eorum effugisset passionem, videri potuisset quod non vere, sed apparenter tantum fuisset incarnatus: et propterea fugit et secedit ut homo, quod hominis erat faciens.

Vers. 11-13. « Judæi ergo quærebant eum in die festo, et dicebant: Ubi est ille? Et murmur multum erat in turbis de eo. Quidam enim dicebant: Bonus **604** est. Alii autem dicebant: Non, sed seducit turbam. Nemo tamen palam loquebatur de

(a) Edit. Lut. *quia arrogantibus magnæ pompæ cordi sunt.*

illo propter metum Judæorum. » Præ multo odio Judæi etiam nomen ejus non proferunt. Non enim dicunt : Ubi est Jesus? sed, « Ubi est ille? » Ita et ipsi ejus nomini adversabantur. Considera autem quam avidi fuerint cædis, cum neque per tempus festivitatis illi parcerent, sed venari illum per illud volebant, ideo et quærebant : tam parvam reverentiam diei festo exhibebant, taliaque illorum erant opera. Murmur autem multum de eo erat in turbis, quoniam variæ de illo erant sententiæ, dicentibus quidem principibus : « Seducit turbas; » multis autem dicentibus : « Bonus est. » Qui autem eum bonum dicebant, de turba erant. Et quod hoc sit verum, manifestum est ex eo quod evangelista dicit nullum fuisse ausum libere loqui propter metum Judæorum. Manifestum enim quod e turba erant qui de illo palam loqui ausi non fuerint, et timentes principes Judæorum siluerint. Sed et eos qui dicebant : « Seducit turbam, » conjectura est, ex principibus fuisse qui illum calumniabantur. Nam si fuissent ex turba, dixissent : Seducit nos; Nunc autem cum dicunt : « Seducit turbam, » ostenditur quod non fuerint de turba, sed ex principibus qui talia dicebant. Vide autem ubique principes corruptos, subditos vero incorruptos. Verumtamen quia viriliore animo carebant, adhuc imperfecti manebant, et libere nihil audebant.

Vers. 14-16. « Cum autem jam dimidium festi peractum esset, ascendit Jesus in templum, ac docebat. Et mirabantur Judæi, dicentes : Quomodo hic litteras scit, cum non didicerit? Respondit eis Jesus, et dixit : Mea doctrina non est mea, sed ejus qui me misit. » Quare ascendit cum esset dimidium festi? Ut leniret illorum animum, et insuper ut majori attentione audirent ea quæ ab ipso dicebantur, ne festi strepitus illorum aures occluderet. Nam in principio festi verisimile est eos in his quæ festi erant, occupatos fuisse. Cum igitur repente apparuisset eis, simpliciter audierunt omnes, partim illum bonum, partim impostorem, dicentes : et alii quidem ut lucri quiddam inde perciperent, et admirarentur; alii autem ut illum reprehenderent et comprehenderent veluti seductorem. Porro quid docuerit, non dixit evangelista, quod autem mirabilia quædam dixerit, per quæ illos cohibuerit, et mentem illorum in miraculum mutaverit, manifestavit per hoc quod dicit, « Admirabantur quomodo litteras sciret, qui nunquam didicisset. » Verumtamen quamvis admirarentur, attamen neque sic liberata est mens illorum a malitia. Non enim doctrinam admirabantur, neque quæ dicebantur suscipiebant, **605** sed admirabantur quomodo sciret litteras, id est, obstupescebant, id quod solet invidis accidere : veluti si pauper quispiam vicinus repente in splendidiori vestitu prodeat, et videat eum vicinus invidus, dicit : Quomodo hic tam sumptuosis vestibus indutus est, qui dudum pauperri-

διὰ τὸν φόβον τῶν Ἰουδαίων. » Ἀπὸ πολλοῦ μίσους οἱ Ἰουδαῖοι οὐδὲ τοῦ ὀνόματος αὐτοῦ μέμνηται. Οὐ γὰρ λέγουσι, Ποῦ ἐστιν ὁ Ἰησοῦς; ἀλλὰ, « Ποῦ ἐστιν ἐκεῖνος; » οὕτω καὶ τῷ ὀνόματι αὐτοῦ ψιλῷ ἀπηχθάνοντο. Σκόπει δέ μοι καὶ τὴν μιαιφονίαν αὐτῶν, πῶς οὐδὲ τοῦ καιροῦ τῆς ἑορτῆς ἐφείδοντο, ἀλλὰ θηρεῦσαι κατὰ ταύτην αὐτὸν ἐβούλοντο· διὸ καὶ ἐζήτουν· οὕτω πολλὴν εὐλάβειαν καὶ αἰδῶ ἐτήρουν περὶ τὰς ἑορτὰς, καὶ τοιαῦτα ἦν αὐτῶν τὰ κατορθώματα. « Γογγυσμὸς δὲ περὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις, » ἐπειδὴ διάφοροι περὶ αὐτοῦ ἦσαν γνῶμαι· τῶν μὲν ἀρχόντων λεγόντων, ὅτι « Πλανᾷ τὸν ὄχλον· » πολλῶν δὲ λεγόντων, ὅτι « Ἀγαθός ἐστιν. » Οὗτοι δὲ ἄρα οἱ λέγοντες αὐτὸν ἀγαθὸν, ἐκ τοῦ ὄχλου ἦσαν. Ὅτι δὲ τοῦτο ἀληθὲς, δῆλον ἐκ τοῦ εἰπεῖν τὸν εὐαγγελιστὴν, ὡς οὐδεὶς ἐτόλμα παῤῥησιασθῆναι διὰ τὸν φόβον τῶν Ἰουδαίων· πρόδηλον γὰρ, ὅτι ἐκ τοῦ ὄχλου ἦσαν οἱ μὴ τολμῶντες παῤῥησίᾳ ὑπὲρ αὐτοῦ λαλῆσαι, καὶ ἐσιώπων, δεδοικότες τοὺς ἄρχοντας Ἰουδαίους. Ἀλλὰ καὶ τὸ λέγειν, ὅτι « Πλανᾷ τὸν ὄχλον, » τεκμήριόν ἐστι τοῦ ἐκ τῶν ἀρχόντων εἶναι τοὺς διαβάλλοντας αὐτόν. Εἰ γὰρ ἦσαν ἐκ τοῦ ὄχλου, ἔλεγον ἂν, ὅτι Πλανᾷ ἡμᾶς. Νῦν δὲ λέγοντες, ὅτι « Πλανᾷ τὸν ὄχλον, » δεικνύουσιν ὅτι οὐκ ἐκ τοῦ ὄχλου, ἀλλ' ἐκ τῶν ἀρχόντων εἰσὶν οἱ ταῦτα λέγοντες. Ὅρα δέ μοι πανταχοῦ τὸ μὲν ἀρχικὸν διεφθαρμένον, τοὺς δὲ ἀρχομένους ἀδιαφθόρους μένοντας· πλὴν, διὰ τὸ μὴ ἔχειν ἀνδρειοτέραν τὴν γνώμην, ἀλλ' ἔτι ἀτελεῖς εἶναι, ἀπαῤῥησιάστους ὄντας.

« Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε. Καὶ ἐθαύμαζον οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς οὗτος γράμματα οἶδε, μὴ μεμαθηκώς; Ἀπεκρίθη οὖν αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με. » Διὰ τί τῆς ἑορτῆς μεσούσης ἀνῆλθεν; Ἵνα χαυνώσῃ αὐτῶν τὸν θυμὸν, ἅμα δὲ καὶ ἵνα μετὰ σχολῆς ἀκούσωσι καὶ προσοχῆς τῶν παρ' αὐτοῦ λεγομένων, μηκέτι τῆς ἑορτῆς ἐμφραττούσης τὰ ὦτα αὐτῶν. Ἐν γὰρ τῇ ἀρχῇ τῆς ἑορτῆς εἰκὸς ἦν αὐτοὺς περισπᾶσθαι περὶ τὰ τῆς ἑορτῆς. Ἄφνω οὖν αὐτοῖς ἐπιφανέντος, ἤκουον ἁπλῶς πάντες, οἵ τε ἀγαθὸν αὐτὸν, οἵ τε πλάνον λέγοντες· οἱ μὲν, πρὸς τὸ κερδῆσαί τι καὶ θαυμάσαι· οἱ δὲ, πρὸς τὸ ἐπιλαβέσθαι αὐτοῦ, καὶ συλλαβεῖν αὐτὸν ὡς πλάνον. Τί μὲν ἐδίδαξεν, οὐκ εἶπεν ὁ εὐαγγελιστής· ὅτι δὲ θαυμάσιά τινα εἶπεν, δι' ὧν κατέσχεν αὐτοὺς, καὶ μετέβαλλε τὰς γνώμας εἰς θαῦμα, ἐδήλωσε διὰ τοῦ εἰπεῖν, ὅτι « Ἐθαύμαζον, πῶς γράμματα οἶδε, μὴ μεμαθηκώς. » Πλὴν εἰ καὶ ἐθαύμαζον, ἀλλ' οὐδὲ οὕτως ἀπήλλακται ἡ γνώμη αὐτῶν πονηρίας. Οὐ γὰρ τὴν διδασκαλίαν ἐθαύμαζον, οὐδὲ τὰ λεγόμενα ἐδέχοντο, ἀλλ' ἐθαύμαζον πῶς οἶδε γράμματα, τουτέστι, διηπόρουν, ἐξεπλήττοντο, ὅπερ εἰώθασιν οἱ βασκαίνοντες πάσχειν. Οἷον, ὡς ἐπὶ παραδείγματος, ἔστι τινὶ γείτων πένης, εἶτα τυχὸν πολλάκις εὐπορεῖ ἱματίου πολυτελεστέρου· ἰδὼν οὖν τοῦτον ὁ βάσκανος γείτων, λέγει· Πῶς οὗτος ἐνδέδυται πολυτελῶς πενέστατος ὤν; Πόθεν τὸ τοιοῦτον ἱμάτιον; Ταῦτα δὲ λέγει, οὐχ ὡς θαυμάζων τῷ ὄντι, ἀλλὰ φθόνῳ διακαιόμενος.

καὶ πρὸς διαβολὴν τοῦ γείτονος τοιούτοις λόγοις χρώμενος· Πάντως γάρ, φησίν, ἔκλεψε τὴν ἐσθῆτα. Οὕτως οὖν καὶ οἱ Ἰουδαῖοι· « Πῶς οὗτος οἶδε γράμματα; » Πάντως ἐν τῷ Βεελζεβούλ. Καίτοι ἐχρῆν αὐτοὺς ἀπὸ τούτου μᾶλλον ἐννοῆσαι, ὅτι οὐδὲν ἀνθρώπινον ἦν αὐτῷ. Ἀλλ' ἐπειδὴ τοῦτο αὐτοὶ οὐκ ἤθελον ὁμολογῆσαι, αὐτὸς ἀποκρίνεται αὐτοῖς, ἀναδιδάσκων, ὅτι ἀπὸ τοῦ Πατρὸς καὶ Θεοῦ ἐστιν ἡ διδασκαλία. Οὐδὲν γὰρ ἐμόν ἐστι, φησί, οὐδὲν ἀπ' ἐμαυτοῦ ὡς ἀντίθεος φθέγγομαι, ἀλλ' ἅπερ ἂν εἴη τοῦ Πατρός, ταῦτα καὶ ἐμά ἐστι ῥήματα.

« Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ. Ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτόν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία οὐκ ἔστιν ἐν αὐτῷ. » Εἰπών, ὅτι « Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, » τουτέστιν, ἐναντία Θεῷ, « ἀλλὰ τοῦ Πατρός μου ἐστίν, » φησίν, ὅτι Ἐάν τις τὸ θέλημα τοῦ Θεοῦ ποιῇ, τουτέστιν, Ἐάν τις ἀρετῆς ἀντιποιῆται, καὶ μὴ φθόνῳ δουλεύῃ, οὐδὲ τῷ πρός με ματαίῳ φθόνῳ ἐπισκοτῆται, γνώσεται τῶν ἐμῶν λόγων τὴν δύναμιν, ἐάν τε τὰ τοῦ Πατρὸς λαλῶ, ἐάν τε ξένα τινὰ καὶ παρηλλαγμένα. Θέλημα δὲ τοῦ Θεοῦ ποιεῖ, καὶ ὁ τὰς Γραφὰς καὶ τοὺς προφήτας ἐρευνῶν. Ὁ γοῦν τοιοῦτος δύναται γνῶναι περὶ τῆς τοῦ Κυρίου διδαχῆς, ὅτι ἀπὸ Θεοῦ ἐστιν. Οἱ προφῆται γὰρ οὐκ ἀντίθεον εἰσάγουσι τὸν Κύριον καὶ ἀφ' ἑαυτοῦ λαλοῦντα, ἀλλὰ πάντα τὰ τῷ Θεῷ δοκοῦντα, καὶ λέγοντα καὶ πράττοντα. Εἶτα καὶ ἕτερον λογισμὸν ἐπιφέρει, λέγων· Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τουτέστιν, ὁ βουλόμενος ἰδίαν στῆσαι διδασκαλίαν, δι' οὐδὲν ἕτερον τοῦτο ποιεῖ, ἢ χάριν τοῦ δόξαν τινὰ ἐκ τούτου καρπώσασθαι. Εἰ δὲ ἐγώ, φησίν, οὐ βούλομαι καρπώσασθαι δόξαν ἰδίαν, ἀλλὰ τὴν δόξαν τοῦ πέμψαντός με ζητῶ, τίνος ἕνεκεν βουλοίμην ἂν ἕτερα διδάσκειν; Ἀληθὴς οὖν εἰμι, καὶ οὐκ ἔστιν ἀδικία ἐν ἐμοί· τουτέστιν, Οὐ δόξαν ἑτέρῳ ἁρμόζουσαν ἁρπάζω· τοῦτο γὰρ ἀδικία. Ὥστε ἡ διδαχή μου καὶ ἀλήθειαν ἔχει, καὶ δικαιοσύνην ἐν ταὐτῷ. Οὐ γὰρ ἐξ ἀλαζονείας γίνεται, ἵνα καὶ τὸ ψευδὲς ἔχῃ καὶ τὸ ἄδικον. Ὁ γὰρ ἀλαζὼν καὶ ψεύδεται, καθὸ περὶ αὐτοῦ τὰ ὑπὲρ τὴν ἀξίαν αὐτοῦ λέγει, καὶ ἀδικεῖ, καθὸ τὴν ἀλλοτρίαν καὶ μηδὲν αὐτῷ προσήκουσαν δόξαν ἁρπάζει. Ὁ δὲ Κύριος ἐπειδὴ τὰ τοῦ Πατρὸς ἐζήτει, καὶ οὐδὲν περὶ ἑαυτοῦ ἠλαζονεύετο, καὶ ἀληθής ἐστι πάντως καὶ δίκαιος. Πολλαχοῦ δὲ εἴπομεν, καὶ νῦν λέγομεν, ὅτι ὅταν ταπεινά τινα λέγων φαίνηται ὁ Κύριος, οὐ δεῖ νομίζειν, ὅτι ὡς ἐλάττων ὢν τοῦ Πατρὸς κατὰ φύσιν, ταῦτα φθέγγεται, ἀλλὰ διὰ τὸ μὴ ἀντίθεος νομισθῆναι, καὶ διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων, καὶ διὰ τὸ σάρκα περιβεβλῆσθαι, καὶ διὰ τὸ διδάσκειν ἡμᾶς μετριάζειν, καὶ μηδὲν μέγα λέγειν περὶ ἑαυτῶν. Ὅταν δέ γε ὑψηλὰ καὶ περὶ τῆς οἰκείας δόξης φθέγγηται, χρὴ πιστεύειν ἡμᾶς, ὅτι ὡς τῷ ὄντι ἴσος τῷ Πατρί, ταῦτα τὰ ὑψηλὰ φθέγγεται, διὰ τὸ μέγεθος τῆς οἰκείας φύσεως.

« Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον; Καὶ οὐδεὶς ἐξ

A mus erat? Unde huic vestis illa? Hæc autem dicit non quod reipsa admiretur, sed quod aduratur invidia, ad vicini calumniam usus talibus sermonibus. Omnino enim, dicit, furatus est vestem. Sic igitur et Judæi: «Quomodo hic scit litteras?» Profecto ex Beelzebul habet Tametsi inde illos conjectare potius oportebat non esse hoc humanum: sed quia hoc ipsi fateri noluerunt, ipse respondet eis, docens quod a Deo et Patre sit doctrina illa Nihil meum est, inquit, neque a meipso, tanquam adversarius Deo, loquor: sed quæcunque illa fuerint Patris, hæc et mea verba sunt.

Vers. 17, 18. «Si quis voluerit voluntatem ipsius facere, sciet de doctrina utrum ex Deo sit, an ego a meipso loquar. Qui a semetipso loquitur, gloriam propriam quærit: qui autem B quærit gloriam ejus qui misit ipsum, hic verax est, et injustitia in eo non est.» Dixerat: «Mea doctrina non est mea,» hoc est, adversaria Deo, «sed Patris mei est,» inquit. Si quis voluntatem Dei fecerit, hoc est, si virtutem amplexatus fuerit, et invidiæ non servierit, neque vano contra me odio obtenebratus fuerit, sciet meorum sermonum virtutem, num ea quæ Patris sunt loquar, an aliena et indigna quædam. Voluntatem autem Dei facit et qui Scripturas et prophetas scrutatur. Igitur qui talis est, poterit scire de doctrina Domini quod ex Deo sit. Nam prophetæ non inducunt Dominum Deo adversarium, et a seipso loquentem, sed omnia quæ Deo congruunt et dicentem et facientem. Insuper et C aliam rationem subdit, dicens: Qui a seipso loquitur, hoc est qui vult propriam statuere doctrinam, propter nihil aliud hoc facit, quam ut gloriam quamdam inanem inde percipiat. Si autem ego, inquit, gloriæ propriæ fructum nolo, sed gloriam ejus qui me misit quæro, cujus gratia velim alia docere: verax igitur sum, et non est injustitia in me: hoc est non rapio gloriam alteri debitam. Hoc enim injustitiæ foret. Atque ita doctrina mea et veritatem complectitur, et justitiam in se. Non enim ex arrogantia fit, ut mendacium habeat ac injustitiam. Arrogans vero et mentitur, eo quod de se plus quam meretur, dicit, et injuste agit, quia alienam et sibi inconvenientem gloriam rapit. At Dominus quia quæ Patris sunt quærebat, et D nihil de se arroganter dicebat, omnino et verax est et justus. Sæpe autem diximus, et nunc quoque dicimus, 606 quod quando Dominus humilia quædam dicere videtur, non existimandum hæc illum dicere quod natura minor sit Patre, sed ne habeatur adversarius Deo, et propter auditorum imbecillitatem, et propterea quod carne amictus sit, utque nos doceat modestos esse, et nihil magnum de nobis ipsis dicere. Quando autem sublimia et de sua divina gloria loquitur, oportet credere nos quod grandia hæc ut æqualis Patri loquatur, propter magnitudinem suæ naturæ.

Vers. 19, 20. «Nonne Moses dedit vobis legem?

et tamen nemo ex vobis factis præstat legem? Quid me quæritis interficere? Respondit turba, et dixit: Dæmonium habes, quis te quærit interficere?» Videntur quidem hæc cum superioribus non cohærere. bene autem consideranti et valde consequentia apparent. Nam cum criminarentur eum quod Sabbatum solveret. et legem prævaricaretur, ad hoc urget, ostendens eis quod ipsi magis prævaricatores sint legis. Nam lex quidem inquit: « Non occides[55]: » vos autem quæritis me occidere: et ita vos solvitis legem, non ego. Igitur cum a vestra condemnatione desistitis, me calumniamini quasi prævaricantem legem, eo quod hominem in Sabbato curaverim. Nullus autem ex vobis facit legem, dixit, eo quod omnes cum quibus loquebatur, quærebant eum occidere. Vide autem quomodo ipse quidem mansueta voce his loquatur, illi autem contumeliose et audacter dicunt, « Dæmonium habes: » eo quod putabant se terrere illum, et animam ejus contumeliis cruciari. Cæterum Mosen dicit dedisse legem (quamvis ipse erat Dominus Mosi, et legis dator) propter infirmitatem Judæorum, et quod insensati erant. Nam quomodo sustinuissent dicentem: Non Moses dedit vobis legem, sed ego, qui Dominus Mosis et legis?

VERS. 21-24. « Respondit Jesus, et dixit eis: Unum opus feci, et omnes miramini propter hoc. Moses dedit vobis circumcisionem, non quod ex Mose sit, sed ex patribus: et tamen in Sabbato circumciditis hominem. Si circumcisionem accipit homo in Sabbato, ut non solvatur lex Mosis, mihi indignamini quod totum hominem sanum fecerim in Sabbato? Nolite judicare secundum aspectum, sed justo judicio judicate. » Syllogismo quodam ostendit eos sine causa odio sui laborare, et dicit: « Unum opus feci » in Sabbato, paralytici videlicet sanationem, « et omnes admiramini propterea, » hoc est turbamini et tumultuamini: quamvis Moses ille legislator Sabbatum solverit, eo quod jusserit omnem animam die octavo circumcidi. Sæpe enim accidit, octavum diem, in quo necesse est ut circumcidatur puer, diem Sabbati esse: atque si Sabbatum solutum est ab ipso Mose propter circumcisionem, et nihil prohibebat Sabbati die circumcidi hominem: et si Sabbatum fuerit ille 607 octavus dies, solvitur lex de otio Sabbati, ut ne solvatur lex circumcisionis. Si hæc igitur ita se habent, quid mihi succensetis et irascimini quod in Sabbato hominem integrum sanum feci? quamvis circumcisio non Mosis fuerit, sed patrum: attamen illa etiam quæ non est Mosis, legem de Sabbato a Mose datam solvit. Et circumcisio quidem quæ dolorem affert, non prohibetur in Sabbato: ego autem, qui liberum feci hominem a dolore, et sanum feci, arguor? Ne judicate secundum faciem, id est, Juste et absque personarum acceptione judicate. Neque Mosen, qui solvit Sabbatum propter circumcisionem, extra

A ὑμῶν ποιεῖ τὸν νόμον; Τί με ζητεῖτε ἀποκτεῖναι; Ἀπεκρίθη ὁ ὄχλος, καὶ εἶπε· Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι; » Φαίνεται μὲν, ὡς οὐδεμίαν ἀκολουθίαν σώζει πρὸς τὰ πρότερα τοῦτο, ὃ λέγει νῦν· καλῶς δὲ σκοποῦσιν ἡμῖν, καὶ λίαν ἀκόλουθα. Ἐπειδὴ γὰρ ἐνεκάλουν αὐτῷ, ὅτι τὸ Σάββατον ἔλυε, καὶ τὸν νόμον παρέλυε, πρὸς τοῦτο ἐνίσταται, δεικνύων αὐτοὺς μᾶλλον παραβάτας τοῦ νόμου. Ὁ μὲν γὰρ νόμος φησί· Μὴ φονεύσεις· ὑμεῖς δὲ ζητεῖτε ἀποκτεῖναι. Ὥστε ὑμεῖς παραλύετε τὸν νόμον, οὐκ ἐγώ. Ἀφέντες οὖν τὸ ἑαυτοὺς καταδικάζειν, ἐμοὶ ἐγκαλεῖτε ὡς παραβαίνοντι τὸν νόμον, διότι ἄνθρωπον ἐθεράπευσα ἐν Σαββάτῳ. Τὸ δὲ, « Οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον, » εἶπε, διότι πάντες, πρὸς οὓς διελέγετο, ἐζήτουν αὐτὸν ἀποκτεῖναι. Ὅρα δὲ, πῶς B αὐτὸς μὲν πραείᾳ τῇ φωνῇ αὐτοῖς διαλέγεται· ἐκεῖνοι δὲ ὑβριστικῶς καὶ μετὰ θράσους, « Δαιμόνιον ἔχεις, » φασί· διὰ τοῦτο γὰρ ὑβρίζουσι, προκαταπλήττειν αὐτὸν καὶ ἐκφοβεῖν οἰόμενοι. Τὸν Μωσῆν δέ φησι δοῦναι τὸν νόμον, καίτοι αὐτὸς ὢν Κύριος Μωσέως, καὶ τοῦ νόμου πάροχος, διὰ τὴν ἀσθένειαν καὶ ἀναισθησίαν τῶν Ἰουδαίων. Πῶς γὰρ ἂν ἠνέσχοντο ἀκοῦσαι, ὅτι οὐχ ὁ Μωσῆς δέδωκεν αὐτοῖς τὸν νόμον, ἀλλ' αὐτὸς ὁ τοῦ Μωσέως Δεσπότης καὶ Κύριος;

« Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε διὰ τοῦτο. Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομὴν, οὐχ ὅτι ἐκ τοῦ Μωσέως ἐστὶν, ἀλλ' ἐκ τῶν πατέρων· καὶ ἐν Σαββάτῳ περιτέμνετε ἄνθρωπον. Εἰ περιτομὴν λαμβάνει ὁ C ἄνθρωπος ἐν Σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν Σαββάτῳ; Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. » Ἀπὸ συλλογισμοῦ τινος δείκνυσιν αὐτοὺς μάτην κατ' αὐτοῦ λυττῶντας, καί φησιν· « Ἓν ἔργον ἐποίησα » ἐν Σαββάτῳ, τὴν τοῦ παραλύτου ἀνόρθωσιν, « καὶ πάντες θαυμάζετε διὰ τοῦτο, » ἀντὶ τοῦ, Ταράττεσθε, θορυβεῖσθε. Καίτοι Μωσῆς αὐτὸς ἐκεῖνος ὁ νομοθέτης ἔλυσε τὸ Σάββατον, διὰ τὸ κελεῦσαι πᾶσαν ψυχὴν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτέμνεσθαι. Συνέβαινε γὰρ πολλάκις τὴν ἡμέραν τὴν ὀγδόην, καθ' ἣν ἀνάγκη ἦν περιτέμνεσθαι, Σάββατον εἶναι. Ὥστε εἰ τὸ Σάββατον παρελύθη ὑπ' αὐτοῦ τοῦ Μωσέως διὰ τὴν περιτομὴν, καὶ οὐδὲν κωλύει ἡ τοῦ Σαββάτου ἡμέρα περιτμη- D θῆναι ἄνθρωπον, ἀλλὰ κἂν Σάββατον τύχῃ εἶναι ἡ ὀγδόη ἡμέρα, παραλύεται ὁ περὶ τῆς ἀργίας τοῦ Σαββάτου νόμος, ἵνα μὴ λυθῇ ὁ τῆς περιτομῆς· εἰ ταῦτα τοίνυν οὕτως ἔχει, τί ἐμοὶ χολᾶτε καὶ ὀργίζεσθε, ὅτι ἐν Σαββάτῳ ἄνθρωπον ὁλόκληρον ὑγίασα; Καίτοι ἡ περιτομὴ οὐ τοῦ Μωσέως ἦν, ἀλλὰ τῶν πατέρων· ἀλλ' ὅμως αὕτη, καίτοι μὴ οὖσα Μωσέως, τὸν περὶ τοῦ Σαββάτου νόμον τὸν ὑπὸ τοῦ Μωσέως τεθέντα, παρέλυσε. Καὶ ἡ μὲν περιτομὴ, ὀδύνην ἐμποιοῦσα, οὐ κωλύεται παρὰ τοῦ Σαββάτου· ἐγὼ δὲ ὀδύνης ἐλευθερώσας ἄνθρωπον, καὶ ὑγιῆ ποιήσας, διαβάλλομαι; « Μὴ κρίνετε κατ'

[55] Exod. xx, 13: Deut. v, 17.

ἔψιν, » ἀντὶ τοῦ, Δικαίως καὶ ἀπροσωπολήπτως A ψηφίσασθε. Μὴ τὸν μὲν Μωσέα λύοντα τὸ Σάββατον διὰ τῆς περιτομῆς, ἔξω μέμψεως τίθετε· ἐμὲ δὲ κατακρίνετε, καὶ ταῦτα ἐπ' εὐεργεσίᾳ ἀνθρώπου τὸ Σάββατον καταλύσαντα. Τὸ γὰρ τὸν μὲν Μωσέα ἔξω μέμψεως τιθέναι διὰ τὸ τοῦ προσώπου ἀξίωμα, ἐμὲ δὲ δοκοῦντα ἄδοξον, κατακρίνειν, προσωποληψία σαφής.

« Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν· Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; Καὶ ἴδε παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. Μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός; Ἀλλὰ τοῦτον οἴδαμεν, πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν. » Οὐκ ἁπλῶς καὶ μάτην πρόσκειται τὸ, « Τινὲς τῶν Ἱεροσολυμιτῶν, » ἀλλ' ἵνα δείξῃ, ὅτι οἱ μάλιστα τῶν B μεγάλων ἀπολαύσαντες σημείων, οὗτοι πάντων ἦσαν ἀθλιώτεροι. Πῶς γὰρ οὐκ ἄθλιοι, ὅτι μέγα σημεῖον τῆς αὐτοῦ θεότητος ἰδόντες, ἔτι διεφθαρμένοι εἰσὶ τῇ κρίσει; Μέγα μὲν γὰρ σημεῖον εἶχον, εἴπερ ἠβούλοντο, τὸ ἐν μέσῳ τῶν κατ' αὐτοῦ λυττώντων παῤῥησιάζεσθαι αὐτὸν, καὶ μηδὲν ὑπ' αὐτῶν πάσχειν. Ἀλλ' οὐκ ἠβούλοντο ἀπὸ τούτου τοῦ σημείου ἐπιγνῶναι τὴν δύναμιν αὐτοῦ. Διστάζουσι δὲ, λέγοντες· « Μή ποτε ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός; » Καὶ οὐδὲ ἐπὶ ταύτης τῆς γνώμης μένουσιν, ἀλλὰ συλλογίζονται, ὅτι Τὸν μὲν Χριστὸν οὐδεὶς οἶδε, πόθεν ἔρχεται· τοῦτον δὲ οἴδαμεν, πόθεν ἐστίν· οὐκ ἄρα οὗτός ἐστιν ὁ Χριστός. Καίτοι ὅρα τὴν κακίαν, πῶς καὶ ἑαυτῇ ἐναντιοῦται· οἱ ἄρχοντες αὐτῶν ἐρωτώμενοι ὑπὸ Ἡρώδου, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας φασὶ γεννᾶσθαι τὸν Χριστόν· C οὗτοι δὲ λέγουσιν, ὅτι οὐδεὶς οἶδε τὸν Χριστὸν, πόθεν ἐστίν. Ὁρᾷς ἐναντιοφωνίαν; Καὶ πάλιν ἀλλαχοῦ μέν φασιν, ὅτι « Ἡμεῖς οἴδαμεν, ὅτι Μωσεῖ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. » Εἶδες (27) μαινομένων λόγους; Οἴδαμεν, καὶ, Οὐκ οἴδαμεν. Τί ταύτης τῆς μανίας ἴσον; Πρὸς μὲν γὰρ ἓν μόνον ἑώρων, τὸ μὴ πεισθῆναι. Διὸ ὅταν μὲν αὐτοῖς συνέφερεν, ἔλεγον, ὅτι Οἴδαμεν· ὅταν δὲ πάλιν οὐ συνέφερε, διετείνοντο, ὡς Οὐκ οἴδαμεν. Τῆς κακίας οὖν ἐστιν αὐτῶν ἡ τοσαύτη ἐναντιοφωνία. Ζητήσειε δ' ἄν τις, Πόθεν κινούμενοι οὗτοι λέγουσιν, ὅτι « Ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν; » Οὐ γὰρ ἂν, εἰ μὴ μαρτυρίαν τινὰ εἶχον ἀπὸ τῶν Γραφῶν, ἢ παραδόσεις βεβαίας, οὕτω προδήλως D ἐναντία ἐφθέγγοντο τοῖς ἐπὶ τοῦ Ἡρώδου Γραμματεῦσιν, εἰποῦσι προφανῶς, ὅτι « Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας γεννᾶται· » καὶ πάλιν τοῖς λέγουσιν, ὅτι « Ἐκ Βηθλεὲμ τῆς κώμης ὁ Χριστὸς ἔρχεται. » Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι ἀπὸ τῶν προφητῶν ἀμφότεροι ταῦτα ἔλεγον. Οἵ τε γὰρ ἐν Βηθλεὲμ αὐτὸν γεννᾶσθαι, καὶ ἐκ τῆς κώμης τοῦ Δαυῒδ εἶναι λέγοντες,

reprehensionem ponitis, si me judicaveritis maxime benefaciendo homini Sabbatum non observantem. Manifestum enim quod personam recipiatis, si me propter humilitatem condemnatis, et Mosen propter ejus dignitatem non condemnatis.

VERS 25-27. « Dicebant ergo quidam ex Hierosolymitanis: Nonne hic est quem quærunt interficere? Atqui ecce palam loquitur, et nihil ei dicunt. Num vere cognoverunt principes hunc ecce vere Christum? Sed hunc novimus unde sit. Christus autem cum venerit, nemo scit unde sit. » Non simpliciter absque causa adjecit. « Quidam ex Hierosolymitanis, » sed ut ostendat quod cum maxima illis miracula evenissent, omnium fuerint miserremini. Quomodo enim non (a) miseri, qui viso magno deitatis illius signo, adhuc corruptum habent judicium? Etenim magnum quidem habuissent signum, si voluissent, quod invitis et insanientibus ipsis contra eum, libere in medio ipsorum ambularet, neque pateretur ab eis. Sed nolebant hoc signo virtutem ejus cognoscere. Dubitant autem dicentes: « Num forte et principes cognoverunt quod hic est vere Christus? » et neque in hac sententia permanent, sed colligunt quod Nullus quidem scit unde venturus sit Christus, illum autem scimus unde sit: non igitur hic est Christus. Cæterum vide malitiam, quomodo et illi sibi adversarii sint. Principes enim ipsorum cum interrogarentur ab Herode, dicunt in Bethleem Juda nasci Christum 56. Illi autem dicunt quod nullus sciat unde sit Christus. Vides dictorum contrarietatem? Et iterum alibi quidem dicunt: « Nos scimus quod Mosi locutus est Deus, hunc autem nescimus unde sit 57. » Porro hoc loco dicunt: « Hunc scimus unde sit. » Vidisti insanientium sermones? Scimus et nescimus. Quid huic insaniæ verborum par? Ad unum enim spectabant, ne credant. Itaque quando in illorum rem erat, dicebant, Scimus: quando vero minus, negabant. Unde eorum malitiæ fuerit hæc sententiarum varietas. At forte quæsiverit aliquis, Unde moti isti dicunt quod « Christus, quando venerit, nemo novit unde sit? » Nequaquam enim nisi testimonium aliquod habuissent a Scripturis, aut solidas traditiones, 600 adeo aperte contraria scribis illis dixissent qui Herodis erant tempore, qui clare dixerant, quod « in Bethleem Judææ nascatur; » atque rursum iis qui dicunt quod « ex Bethleem castello Christus veniet. » Quid igitur dicendum? Quod ex prophetis utrique ista dicebant. Nam qui in Bethleem ipsum nasci, et ex civitate David esse dicebant, manifeste prophetam

56 Matth. II, 5. 57 Joan. IX, 29.

Ex collatione codd. Venet. S. Marci.

(27) Cod. 26, Τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. Ἐνταῦθα δέ φασιν, ὅτι Τοῦτον οἴδαμεν πόθεν ἐστίν. Εἶδες, κ. τ. λ.

(a) In edit. Lat. omittitur, *non*.

habebant testem Michæam dicentem, quemadmodum et Matthæus ait: «Et tu, Bethleem, terra Juda, nequaquam minima es in principibus Juda: ex te enim egredietur dux qui regat populum meum Israel 58.» Et contra hi qui dicebant quod Christum non novit quis unde veniat, prophetas habebant testes hujusmodi sententiæ: quin et ipsum Michæam 59 dicentem: «Egressus ipsius ab initio, a diebus sæculi;» id quod ignotum ejus egressum, hoc est nativitatem declarat. Nullus enim hominum scit quomodo ab initio et a diebus sæculi exitum, hoc est, nativitatem habeat. Homines enim in tempore, ille autem a diebus sæculi, et ab initio. Quod autem æternum, quomodo hi qui sub tempore, cognoscunt? Sed et Isaias dicit: «Generationem ejus quis enarrabit 60?» Ex his igitur persuasi dicebant: Nemo scit unde sit Christus. Non enim intelligebant quod duplex esset Dominus Jesus: et secundum nativitatem carnalem, quæ erat e Virgine, sciebatur unde erat, nempe quod in Bethleem natus; secundum incorpoream vero et ineffabilem ejus nativitatem, qua a Patre ante sæcula natus est, supra omnem sermonem nativitas ejus est. Hierosolymitani igitur illi nativitatem in carnem fatentur se scire unde sit: illam autem quæ ante sæcula, secundum quam nemo scit Christum unde sit, non fatentur. Idcirco, cum non intelligerent eum duplicis naturæ, et una quidem sciebatur, altera vero non, dicunt quod non sit Christus.

VERS. 28, 29. «Clamavit igitur in templo docens Jesus, et dicens: Et me scitis, et scitis unde sim: et a meipso non veni, sed est verax qui misit me, quem vos non novistis. Ego vero novi eum, quia ab ipso sum, et ille me misit.» Quoniam non alia de causa dicebant, Hunc unde sit scimus, quam ostendere volentes quod de terra sit, et quod fabri filius, propterea reducit eos ad cœlum, dicens: «Et me scitis, et scitis unde sim,» hoc est, quamvis propter malitiam reticeatis, scitis tamen unde sim, quod de cœlo. Quoniam enim Pater meus illinc est, manifestum quod et ego illinc sum, et quod ab illo missus sum, qui est verus. Quia autem ille verus, ideo et ego utique verax et non mendax. Non enim verax impostorem et mendacem mittere vellet. Hunc autem qui misit me, vos quidem nescitis et ignoratis, quandoquidem id operibus non declaratis. Nam (sicut Paulus inquit 61) in scientia ignorantia 609 est «Deum, inquit, fatentur scire, opere autem inficiantur eum. Et vos quidem Judæi nescitis Patrem meum, propter opera vestra mala, et pessimum animum. Ego autem illum scio, neque enim obstant mihi vel mens mala, vel opera quæ illi displicent, quominus illum cognoscam. «Ab ipso enim sum,» hoc est, ex ipso, non ab alia substantia, vel alienus ab eo, «et ille me misit.» Vide autem et hoc loco duas naturas in Christo manifestari: per hoc enim quod ait Apostolus, «Ab ipso sum,» sub-

A προφανῶς τὸν προφήτην Μιχαίαν εἶχον μάρτυρα λέγοντα, ὡς καὶ ὁ Ματθαῖός φησι· «Καὶ σὺ, Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος ὅστις ποιμανεῖ τὸν λαόν μου Ἰσραήλ.» Καὶ οὗτοι δὲ πάλιν οἱ λέγοντες, ὅτι τὸν Χριστὸν οὐκ οἶδέ τις, πόθεν ἔρχεται, τοὺς προφήτας εἶχον μάρτυρας τῆς ταύτης γνώμης· καὶ αὐτὸν δὲ τὸν Μιχαίαν λέγοντα, ὅτι «Αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος·» ὅπερ ἄγνωστον τὴν αὐτοῦ ἔξοδον, ἤτοι τὴν γέννησιν ἐμφαίνει. Τὸν γὰρ, «ἀπ' ἀρχῆς,» καὶ «ἐξ ἡμερῶν αἰῶνος,» τὰς ἐξόδους ἔχοντα, ἤτοι τὴν γέννησιν, οὐκ ἄν τις ἀνθρώπων εἰδείη. Ἄνθρωποι γὰρ ἐν χρόνῳ, ἐκεῖνος δὲ ἐξ ἡμερῶν αἰῶνος καὶ ἀπ' ἀρχῆς· τὸ δὲ αἰώνιον πῶς ὁ ὑπὸ χρόνον γινώσκει; Ἀλλὰ
B καὶ Ἡσαΐας φησί· «Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;» Ἐκ τούτων οὖν πειθόμενοι ἔλεγον, ὅτι Τὸν Χριστὸν οὐκ οἶδέ τις, πόθεν ἐστίν. Οὐ γὰρ δὴ ἐνενόουν, ὅτι διπλοῦς ὢν ὁ Κύριος Ἰησοῦς, κατὰ μὲν τὴν ἐκ Παρθένου ἐν σαρκὶ γέννησιν, ἐγνωρίζετο πόθεν ἐστὶν, ὅτι ἐκ Βηθλεέμ· κατὰ δὲ τὴν ἀσώματον καὶ ἀποῤῥητοτέραν τὴν ἐκ Πατρὸς πρὸ πάντων τῶν αἰώνων, λέγεται γενεὰν ἔχειν ὑπερτέραν πάσης διηγήσεως. Οὗτοι τοίνυν οἱ Ἱεροσολυμῖται τὴν μὲν ἐν σαρκὶ γέννησιν ὁμολογοῦσιν εἰδέναι, καὶ πόθεν ἐστί· τὴν δὲ πρὸ αἰώνων, καθ' ἣν οὐκ οἶδέ τις τὸν Χριστὸν, πόθεν ἐστὶν, οὐχ ὁμολογοῦσιν. Διὸ μὴ λογιζόμενοι ὅτι διπλοῦς ὢν, τὸ μέντοι γινώσκεται, τὸ δ' οὔ, φασὶν, ὡς οὐκ εἴη ὁ Χριστός.

«Ἔκραζεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς, καὶ λέγων· Κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί· καὶ ἀπ'
C ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. Ἐγὼ δὲ οἶδα αὐτὸν, ὅτι παρ' αὐτοῦ εἰμι, κἀκεῖνός με ἀπέστειλεν.» Ἐπειδὴ τὸ, «Οἴδαμεν τοῦτον, πόθεν ἐστὶ,» δι' οὐδὲν ἕτερον ἔλεγον, ἀλλ' ἢ δεῖξαι θέλοντες, ὅτι ἐκ τῆς γῆς ἐστι, καὶ ὅτι τέκτονος υἱὸς, διὰ τοῦτο αὐτοὺς ἀνάγει αὐτοὺς εἰς τὸν οὐρανὸν λέγων· «Καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί· τουτέστι, Κἂν εἰ διὰ τὴν κακίαν συγκαλύπτητε, ὅμως οἴδατε πόθεν εἰμὶ, ὅτι ἐξ οὐρανοῦ. Ἐπεὶ γὰρ ἐκεῖθέν ἐστιν ὁ Πατήρ μου, πρόδηλον, ὅτι καὶ αὐτός ἐκεῖθέν εἰμι, καὶ ὅτι παρ' ἐκείνου ἀπεστάλην, ὅς ἐστιν ἀληθής. Ἐπεὶ δὲ ἐκεῖνος ἀληθὴς, κἀγὼ ἂν εἴην ἀληθὴς, καὶ οὐ πλάνος. Οὐ γὰρ ἂν ὁ ἀληθὴς, πλάνον καὶ ψευδῆ ἠθέλησεν ἀποστεῖλαι. Τοῦτον δὲ τὸν ἀποστείλαντά με, ὑμεῖς μὲν οὐκ οἴδατε, ἀλλ'
D ἀγνοεῖτε ἄγνοιαν τὴν διὰ τῶν ἔργων. Ὡς γὰρ ὁ Παῦλός φησιν, ἔστιν ἄγνοια ἐν γνώσει. «Θεὸν, φησὶν, ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. Καὶ ὑμεῖς οὖν οἱ Ἰουδαῖοι οὐκ οἴδατε τὸν Πατέρα μου διὰ τὰ ἔργα ὑμῶν τὰ πονηρὰ, καὶ τὴν κακίστην γνώμην. «Ἐγὼ δὲ οἶδα αὐτόν.» Οὐ γὰρ ἐμποδίζουσί μοι οὔτε γνώμη πονηρὰ, οὔτε ἔργα ἀπαρέσκοντα ἐκείνῳ, πρὸς τὴν γνῶσιν αὐτοῦ. «Παρ' αὐτοῦ γάρ εἰμι·» τουτέστιν, ἐξ αὐτοῦ, οὐκ ἀπ' ἄλλης οὐσίας, ἢ ἀλλότριος αὐτοῦ, «κἀκεῖνός με ἀπέστειλεν.» Ὅρα δὲ ἐνταῦθα τὰς δύο φύσεις τοῦ Χριστοῦ δηλουμένας· διὰ

58 Matth. II, 6; Mich. V, 2. 59 ibid. 60 Isa. LVIII, 8. 61 Tit. I, 16.

μὲν τοῦ, « Παρ' αὐτοῦ εἰμι, » τὴν οὐσίαν τῆς θεότητος· διὰ δὲ τοῦ, « Κἀκεῖνός με ἀπέστειλε, » τὸ ἀνθρώπινον· ἀπόστολος γὰρ κατὰ τὸ ἄνθρώπινον λέγεται, καθὸ καὶ δοῦλος ὁ Υἱὸς τοῦ Θεοῦ.

« Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτὸν, καὶ ἔλεγον, ὅτι Ὁ Χριστὸς ὅταν ἔλθῃ, μήτι πλείω σημεῖα τούτων ποιήσει, ὧν οὗτος ἐποίησεν; » Δεικνύων ὁ εὐαγγελιστὴς, ὅτι ἀοράτως κατείχοντο, καὶ ὅτι ἑκὼν ἔπαθε, καὶ οὐκ ἐξ ἀδυναμίας, φησὶν, ὅτι « Ἐζήτουν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας. » Τὸ δὲ, Οὔπω ἦλθεν ἡ ὥρα αὐτοῦ, » ἔφη, οὐχ ὅτι καιροῖς ὑπέκειτο, ἀλλ' ὅτι πάντα ἐν ὥρᾳ, καὶ ἐπιτηδείῳ καιρῷ καὶ τῷ προσήκοντι ποιεῖ. Ἡνίκα γὰρ τὸ παθεῖν εὔκαιρον ἐλογίσατο, δηλαδὴ κατὰ τὸν ὡραῖον καὶ ἐπιτήδειον χρόνον, τότε δὴ καὶ τοῖς σταυρωταῖς συνεχώρησε. Πάντα γὰρ ἐν καιροῖς ὡραίοις καὶ ἐπιτηδείοις ποιεῖ καὶ οἰκονομεῖ. Οἷον, ἔδει δοθῆναι τὸν νόμον, ἀλλ' ἐν καιρῷ τῷ προσήκοντι, τοὺς προφήτας ὁμοίως, καὶ τὸ Εὐαγγέλιον. Τὸ οὖν τῆς ὥρας ὄνομα, τὸ ἀκριβὲς τῆς σοφίας καὶ τῆς προνοίας τοῦ Σωτῆρος ἐνδείκνυται. « Πολλοὶ δὲ ἐπίστευσαν αὐτῷ, λέγοντες· Μὴ ὁ Χριστὸς πλείω σημεῖα ποιήσει, ὧν οὗτος ἐποίησε; » Λέγουσι δὲ περὶ τοῦ οἴνου τοῦ ἐν Κανᾷ, τοῦ υἱοῦ τοῦ βασιλικοῦ, τοῦ παραλύτου, τῶν ἄρτων, καὶ ἁπλῶς τῶν ἄλλως πάντων, ὧν οὐδὲ οἱ εὐαγγελισταὶ, διὰ τὸ πλῆθος, ὀνομαστὶ ἐπιμέμνηνται. Πλὴν εἰ καὶ ἀκούεις, ὅτι ἐπίστευσαν πολλοὶ, ἀλλ' οὖν οὐκ ἀκριβὴς ἦν ἡ πίστις αὐτῶν, ἀλλ' οἵαν εἰκὸς εἶναι πλήθους χυδαίου, ἄλλοτε ἄλλως μεταττομένου ταῖς γνώμαις.

« Ἤκουσαν οἱ Φαρισαῖοι γογγύζοντος τοῦ ὄχλου περὶ αὐτοῦ ταῦτα· καὶ ἀπέστειλαν ὑπηρέτας οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς, ἵνα πιάσωσιν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε· καὶ ὅπου ἐγὼ εἰμι, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· Ποῦ οὗτος μέλλει πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; Μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι, καὶ διδάσκειν τοὺς Ἕλληνας; Τίς ἐστιν ὁ λόγος οὗτος ὃν εἶπε· Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; » Δι' ὧν ἐγόγγυζεν ὁ ὄχλος, ἐνέφηνεν ὡς ἄρα χρηστοτέραν ἔσχον διάθεσιν, καὶ μερικήν τινα πίστιν πρὸς τὸν Κύριον, καὶ ὡς ἀποσχισθῆναι τῶν ἀρχόντων ἠβούλοντο· οὕπερ ἐκεῖνοι αἰσθόμενοι, ἔπεμψαν συλλαβέσθαι τοῦτον, διὰ τοῦτο μόνον ὅτι ἐπιστεύετο εἶναι Χριστός. Ἔπεμψαν δὲ, ἀλλ' οὐκ αὐτοὶ ἦλθον, φοβούμενοι τὸν ὄχλον, μή τι νεωτερίσωσι· διὸ τοὺς ὑπηρέτας στέλλουσιν, ἑαυτοὺς μὲν ὑπεξάγοντες τοῦ ἴσως συμβησομένου κινδύνου, ἐκείνους δὲ τῷ θυμῷ τοῦ ὄχλου ἐνδιδόντες· οὕτω πανταχοῦ τὸ ἑαυτῶν ἐσκόπουν. Ὁ δὲ Κύριος ταπεινοφροσύνης γέμοντα ῥήματα φθέγγεται· « Ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι. » Τί, φησὶ, σπουδάζετέ με ἀπελθεῖν; Τί διώκετε; Μικρὸν ἀναμείνατε χρόνον, καὶ οὐδὲ θελόντων ὑμῶν

A stantia divina declaratur : cum vero ait, « Et ille misit me, humana : secundum enim humanam naturam missus dicitur atque etiam servus, qui Filius est Dei.

Vers. 30, 31. « Quærebant igitur illum apprehendere, et nemo misit manus in illum, quia nondum venerat hora ejus. Multi autem ex turba crediderunt in eum, et dicebant quod Christus cum venerit, num signa plura edet iis quæ hic edidit? » Ostendens evangelista quod invisibiliter cohiberentur, et quod sponte pateretur, non ex imbecillitate, dicit : « Quærebant illum apprehendere, nullus autem misit in illum manus. » Quod autem « Nondum venerit hora ejus, » dixit non quod temporibus esset obnoxius, sed quod omnia tempore opportuno et hora convenienti fecerit. Quando enim tempestivum existimavit quod pateretur, tunc
B et crucifixoribus se permisit. Omnia enim temporibus opportunis et accommodis facit ac moderatur : et sicut legem dari conveniebat tempore congruo, ita similiter et prophetas, et Evangelium. Unde nomen horæ ostendit evidentem prudentiam et sapientiam Salvatoris. « Multi autem crediderunt ei, dicentes : Nunquid Christus plura signa faciet, quam hic fecit? » Dicunt autem de vino in Cana Galilææ, de filio regio, de paralytico, de panibus, et in summa de aliis omnibus, de quibus neque evangelistæ propter multitudinem ipsorum nominatim mentionem fecerunt. Veruntamen cum audieris quod multi crediderint, scias illorum fidem exactam non fuisse, sed qualem verisimile
C est esse in vulgari multitudine subinde mutante sententiam.

Vers. 32-36. « Audierunt Pharisæi turbam murmurantem de illo hæc, et miserunt Pharisæi ac principes sacerdotum ministros ut apprehenderent eum. Dixit ergo eis Jesus : Adhuc pusillum temporis vobiscum sum, et abeo ad eum qui me misit. Quæretis me, nec invenietis, Et ubi ego sum, eo vos non potestis venire. Dixerunt ergo Judæi inter sese : Quo hic iturus est, quia non inveniemus eum? Num in dispersionem gentium iturus est, et docturus gentes? Quis est hic sermo quem dixit, Quæretis me, et non invenietis, et ubi ego sum, eo vos non potestis venire? » Quia murmurabat turba, manifestum quod affectionem habuerit blan-
D diorem, et fidem quamdam erga Dominum 610
diminutam, nam a principibus separari volebat, id quod illi sentientes, miserunt ad comprehendendum Jesum, ob eam duntaxat causam, quod Christus esse credebatur. Miserunt autem, sed non ipsi venerunt, metuentes turbam, ne tumultuaretur : et propterea ministros mittunt, seipsos subducentes, ne quid periculi suboriretur, illos autem furori populi exponentes. Ita undequaque quod suum erat, sectabantur. At Dominus verba humilitate plena loquitur : « Adhuc parvo tempore vobiscum sum. » Quid anhelatis, inquit, ut ego discedam? quid persequimini? ad parvum exspectate tempus, et neque impe-

diam vos, si me tenere volueritis. Cæterum cum dicitur, « Vobiscum sum, » sensum habet hunc : Etiamsi persecuti fueritis, etiamsi abegeritis, ego adhuc vobiscum sum : hoc est, pro vobis curam gero, et loquor ea quæ ad salutem vestram spectant, et vado ad eum qui me misit. Hic etiam illis metum incutit, tanquam futurum sit ut in eum impingant qui miserat ipsum. Nam qui eum, qui missus est, ignominia afficiunt, manifestum quod impingunt in eum qui misit. Dicendo autem, « Vado, » significavit mortem suam voluntariam. Porro monstrans quod mors sua non sit talis qualis communis dicit: «Quo ego vado, vos non potestis venire.» Nam si communis, et similis omnibus fuisset mors ejus, et mansurus fuisset in morte, non dixisset : « Vos non potestis venire » Omnes enim ad communem mortem abimus. Igitur monstrare volens, id quod dicebam, quod mors sua non sit talis qualis est mors communis, dicit : « Quo ego vado, vos non potestis venire. » Et dicendo : «Quæretis me, et non invenietis, » indicat se eis fore desiderabilem. Quando autem quæsiverunt eum? Lucas dixit quod multæ mulieres lugebant super eo [62]. Verisimile autem et aliis multis hoc evenisse : et dum caperetur civitas, Christi atque miraculorum ejus fuere memores, quæsiveruntque præsentiam ejus. Porro hæc omnia dicebat, volens illos sibi conciliare et demulcere Nam ubi ministri eorum venerunt, volentes comprehendere eum, ostendit quod sciat causam profectionis illorum, et quod vellent ipsum occidere. Idem prædicit eis mortem suam, quod parvum tempus sit, et vadeat ad Patrem ; prædicere autem mortem, magnum est et non humanum. Idcirco et David dicit : « Notum fac mihi, Domine, finem meum [63]. » Dicebant autem Judæi: « Num in dispersionem gentium abiturus est? » Vide quomodo evenerit eis, et confracti sint ad ea quæ ab illo dicebantur : id quod manifestum ex eo quod interrogabant, « Nunquid in dispersionem gentium abiturus est ? » Nam si hoc erat, 611 dixissent utique : Visne abire? Nos hoc precabamur, hoc nobis gratum erit. Nunc autem nihil tale dicunt, sed quasi dolentes ne illo privarentur, quærunt quo sit abiturus. Manifestum etiam hoc quia dicunt, Abiturus est ad gentes, et docturus eas. Non enim dixerunt, Seducturus illas, sed Docturus Dispersionem vero vocabant gentiles, utpote in omnem locum dispersos Judæi enim olim illis non commiscebantur, sed uno loco Palestinæ coacti opprobrabant gentilibus ut quocunque dispersis, id quod postea in illos versum est. Ipsi enim Hebræi facti sunt dispersio.

VERS. 37, 38, « In novissimo autem die magno festi stabat Jesus, et clamabat, dicens : Si quis sitit, veniat ad me, et bibat. Qui credit in me, sicut dicit Scriptura, flumina de ventre ejus fluent aquæ vivæ. » Primum diem festi, et novissimam hunc

A κατέχειν με, ἀντέξομαι. Ὅρα δὲ καὶ τὸ, « Μεθ' ὑμῶν εἰμι· » τουτέστι, Κἂν διώκητε, κἂν ἐλαύνητε, ἐγὼ μεθ' ὑμῶν εἰμι· ἤγουν, Τὰ ὑπὲρ ὑμῶν οἰκονομῶ, καὶ τὰ πρὸς σωτηρίαν λέγω. « Καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. » Ἐνταῦθα καὶ ἐκφοβεῖ αὐτοὺς, ὡς μέλλοντας ἐκείνῳ προσκρούειν τῷ πέμψαντι αὐτόν. Οἱ γὰρ τὸν πεμφθέντα ἀτιμάζοντες, εὔδηλον ὅτι τῷ πέμψαντι προσκρούουσιν. « Ὑπάγω » δὲ εἰπὼν, ἐδήλωσε τὸ ἑκούσιον τοῦ θανάτου. Δεικνὺων δὲ, ὅτι ἡ τελευτὴ αὐτοῦ οὐκ ἔσται τοιαύτη οἵα ἡ κοινὴ, φησὶν, ὅτι « Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. » Εἰ γὰρ κοινὴ καὶ ὁμοία ἦν τοῖς πολλοῖς ἡ τελευτὴ αὐτοῦ, καὶ ἔμελλεν ἐναπομεῖναι τῷ θανάτῳ, οὐκ ἂν εἶπεν, ὅτι « Ὑμεῖς οὐ δύνασθε ἐλθεῖν· » πάντες γὰρ εἰς τὸν κοινὸν θάνατον ἄπιμεν. Ὅπερ οὖν εἶπεν,
B δεῖξαι βουλόμενος, ὅτι ὁ αὐτοῦ θάνατος οὐκ ἔστι τοιοῦτος, οἷος ὁ κοινὸς, φησὶν, ὅτι « Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. » Καὶ τὸ εἰπεῖν δὲ, ὅτι « Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε, » δείκνυσιν ὅτι ποθεινὸς αὐτοῖς ἔσται. Πότε δὲ ἐζήτησαν αὐτόν ; Ὁ Λουκᾶς εἶπεν, ὅτι « Πολλαὶ γυναῖκες ἐκόπτοντο ἐπ' αὐτῷ· » εἰκὸς δὲ καὶ ἄλλους πολλοὺς τοῦτο πάσχειν, ἀλλὰ καὶ τῆς πόλεως ἁλισκομένης, μεμνῆσθαι τοῦ Χριστοῦ καὶ τῶν θαυμάτων αὐτοῦ, καὶ τὴν παρουσίαν ζητεῖν τὴν αὐτοῦ. Ταῦτα δὲ πάντα ἔλεγεν, ἐφελκύσασθαι αὐτοὺς καὶ κατακάμψαι βουλόμενος. Ἐπεὶ γὰρ οἱ ὑπηρέται ἦλθον, συλλαβεῖν αὐτὸν βουλόμενοι, δείκνυσιν, ὡς οἶδε τῆς ἀφίξεως αὐτῶν τὴν αἰτίαν, καὶ ὅτι φονεῦσαι αὐτὸν βούλονται. Διὸ προλέγει αὐτοῖς τὸν ἑαυτοῦ θάνατον, ὅτι μικρὸν, καὶ ὑπάγει πρὸς τὸν Πατέρα. Καὶ τὸ προειπεῖν δὲ τὸν θάνατον, μέγα
C καὶ οὐκ ἀνθρώπινον. Διὸ καὶ ὁ Δαυΐδ, « Γνώρισόν μοι, φησὶ, Κύριε, τὸ πέρας μου. » Ἔλεγον δὲ οἱ Ἰουδαῖοι· « Μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει ἀπέρχεσθαι ; » Ὅρα πῶς ἔπαθόν τι, καὶ κατεκλάσθησαν πρὸς τὰ λεχθέντα ὑπ' αὐτοῦ· δῆλον δὲ ἀπὸ τοῦ ἐρωτᾷν· « Μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι ; » Εἰ γὰρ οὐ τοῦτο ἦν, εἶπον ἄν· Βούλει ἀπελθεῖν ; Ἡμεῖς τοῦτο εὐχόμεθα, τοῦτο ἀσμενίζομεν. Νῦν δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ὥσπερ ἀγωνιῶντες μὴ στερηθῶσιν αὐτοῦ, ζητοῦσι, ποῦ μέλλει ἀπελθεῖν. δῆλον δὲ τοῦτο καὶ ἀπὸ τοῦ εἰπεῖν, ὅτι Εἰς τοὺς Ἕλληνας μέλλει πορεύεσθαι, καὶ διδάσκειν αὐτούς. Οὐ γὰρ εἶπον, ὅτι Μέλλει πλανᾷν αὐτοὺς, ἀλλὰ, « Διδάσκειν. » Διασπορὰν δὲ ἐκάλουν τοὺς ἐθνικοὺς, ὡς ἐν παντὶ τόπῳ διεσπαρμένους. Αὐτοῖς γὰρ οἱ Ἰουδαῖοι τὸ παλαιὸν οὐκ ἐμίγνυντο, ἀλλ'
D ἐν ἑνὶ τόπῳ, τῇ Παλαιστίνῃ συνηγμένοι, ὠνείδιζον τοὺς ἐθνικοὺς, ὡς πανταχοῦ διεσπαρμένους· ὅπερ εἰς αὐτοὺς περιετράπη ὕστερον· διασπορὰ γὰρ μᾶλλον αὐτοὶ οἱ Ἑβραῖοι γεγόνασιν.

« Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς, εἱστήκει ὁ Ἰησοῦς, καὶ ἔκραζε λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶντος. » Τὴν πρώτην

[62] Luc. XXIII, 27. [63] Psal. XXXVIII, 5.

ἡμέραν τῆς ἑορτῆς καὶ τὴν ἐσχάτην, ἤτοι τὴν ἑβδόμην, μεγάλην ὠνόμαζον, ἐπεὶ καὶ ὁ νόμος τὴν ἑβδόμην ἡμέραν τῆς ἑορτῆς, κλητὴν ἁγίαν ἐκάλεσε. Τούτῳ γοῦν ἑπόμενος καὶ ὁ εὐαγγελιστὴς, τὴν ἐσχάτην ἡμέραν, μεγάλην ὀνομάζει. Εἰκότως οὖν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ διαλέγεται τοῖς ὄχλοις, ἐφόδια οἱονεί τινα διδοὺς αὐτοῖς μέλλουσιν ἀπιέναι οἴκαδε. Τὰς γὰρ ἐν τῷ μέσῳ ἡμέρας εἰς τρυφὴν ἀνειμένοις, ἄκαιρον ἦν προσδιαλέγεσθαι· οὐδὲ γὰρ προσεῖχον ἄν. Ἔκραζε δὲ ὁ Ἰησοῦς, ἅμα μὲν ἵνα ἐξάκουστος εἴη, ἅμα δὲ τὴν παῤῥησίαν δεικνύων, καὶ ὡς οὐδένα πτοεῖται. Τί οὖν φησιν; « Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφή· » ἐνταῦθα γὰρ δεῖ στίξαι, εἶτα ἀπ' ἄλλης ἀρχῆς ἀναγνωστέον τὸ, « Ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ. » Ἐπεὶ γὰρ πολλοὶ ἀπὸ τῶν σημείων ἐπίστευον, δεικνὺς ὅτι οὐκ ἀπὸ τῶν σημείων δεῖ πιστεύειν οὕτως ὡς ἀπὸ τῶν Γραφῶν (ἡ γὰρ διωρθωμένη πίστις ἀπὸ τῶν Γραφῶν ἐστι), τούτου ἕνεκέν φησιν· « Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφή· » τουτέστι, Καθὰ μαρτυρεῖ ἡ Γραφὴ περὶ ἐμοῦ, ὅτι Υἱός εἰμι Θεοῦ, ὅτι Κτίστης, ὅτι Κύριος τοῦ παντὸς, ὅτι Σωτὴρ τοῦ κόσμου. Πολλοὶ γὰρ ἔδοξαν πιστεύειν, ἀλλ' οὐχ ὡς εἶπεν ἡ Γραφὴ ὡς δὲ αὐτοὶ ταῖς αὐτῶν αἱρέσεσιν ἠκολούθησαν· τοιοῦτοι πάντες οἱ αἱρετικοί. Ποταμοὺς δὲ εἶπεν ἐκ τῆς κοιλίας τοῦ οὕτω πιστεύσαντος ῥεῦσαι, κοιλίαν μὲν τροπικῶς ὀνομάζων τὴν καρδίαν· ὡς καὶ ὁ Δαυΐδ· « Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου· » τουτέστι, Τῆς καρδίας μου. Ποταμοὺς δὲ ῥεῦσαι ἔφη, καὶ οὐ ποταμὸν, ὕδατος ζῶντος, τὴν τοῦ Πνεύματος ἄφθονον χάριν καὶ τὴν δαψίλειαν αἰνιττόμενος. Τοιοῦτον γάρ ἐστι τὸ Πνεῦμα, εἰς οἵαν ψυχὴν εἰσέλθοι, καὶ ἐν ᾧ ἂν ἱδρυνθείη, ποιοῦν αὐτὴν ἀναβλύζειν πάσης πηγῆς ἀφθονώτερον. Καὶ μάθοι ἄν τις, πῶς ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας τοῦ πιστεύοντος κατὰ τὰς Γραφὰς, εἴγε τὴν τοῦ Πέτρου γλῶτταν, καὶ τὴν τοῦ Παύλου ῥύμην, καὶ τὴν τοῦ Στεφάνου σοφίαν κατασκέψαιτο· οὓς οὐδὲν ὑφίστατο λέγοντας, ἀλλὰ πάντες παρεσύροντο ὥς τινων ποταμῶν ῥεύμασιν ἀνυποστάτοις τὴν φοράν.

« Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. » Ἑρμηνεύων ὁ εὐαγγελιστὴς τίνες εἰσὶν οἱ ποταμοὶ τοῦ ζῶντος ὕδατος, φησὶν, ὅτι « Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες. Οὔπω γὰρ ἦν, φησὶ, Πνεῦμα ἅγιον. » Ἀλλ' ἐνταῦθα ζητήσειεν ἄν τις· Πῶς φησιν ὁ εὐαγγελιστὴς, ὅτι οὔπω ἦν Πνεῦμα ἅγιον, δοθὲν δηλονότι; καὶ μὴν οἱ προφῆται Πνεύματι ἐλάλουν; Καὶ οἱ ἀπόστολοι δὲ πῶς ἄρα τὰς ἰάσεις ἐτέλουν; Φαμὲν οὖν, ὅτι οἱ προφῆται Πνεύματι ἐλάλουν ὁμολογουμένως, ἀλλ' ἡ χάρις αὕτη συνεστάλη, καὶ ἀπὸ τῆς γῆς ἀνεχώρησεν. Ὥστε εἰ καὶ ἐν τοῖς χρόνοις τῶν προφητῶν ἐνήργει, ἀλλὰ τότε διὰ τὸ ἀνάξιον τοῦ λαοῦ, ὅτε, φημὶ, Χριστὸς ἐν σαρκὶ περιεπάτει, οὐκ ἐπεχωρίαζεν ἡ προφητεία, οὐδὲ ἐπόπτευεν αὐτῶν τὰ ἅγια καὶ τὸν ναὸν ἡ χάρις. Ἐπεὶ οὖν τότε μὲν οὐκ ἦν ἡ τοῦ Πνεύματος ἐνέργεια, ἔμελλε δὲ δοθῆναι, διὰ τοῦτό φησιν,

septimum, magnum dicebant: quia et lex septimum diem festi vocatum, sanctum nominavit. Illam igitur sequens evangelista, novissimum diem magnum nominat[64]. Merito autem in novissimo die loquitur cum turbis, quasi viatica illis dans domum redituris. Cum his enim, qui in diebus intermediis deliciis erant intenti, intempestivum erat colloqui, neque enim attendissent. Clamavit autem Jesus partim ut magis audiretur, partim ut libertatem suam in dicendo manifestaret, et quod nullum metueret Quid autem dicit? « Qui credit in me, sicut dicit Scriptura; » hoc enim loco punctum oportet facere. deinde aliud faciendum est principium: « Flumina fluent ex ventre ejus. » Quia enim multi propter signa credebant, ostendit non tam propter signa credendum esse, quam propter Scripturam. Fides enim recta ex Scripturis est. Ejus gratia inquit: « Qui credit in me, sicut Scriptura dicit, » hoc est, quemadmodum testatur de me Scriptura, quod Filius sum Dei, quod Creator, quod Dominus universi (multi enim putant se credere sed non ut dicit Scriptura, atque ita suas secuti sunt sectas, quales sunt omnes hæretici). At flumina dixit ex ventre ejus qui vere fidelis est, fluere, ventrem quidem «cor» nominans tropo Hebraico, sicut et David inquit: « Et legem tuam in medio ventris mei[65], » hoc est, cordis mei. Flumina autem fluere dicebat, et non flumem aquæ vivæ, Spiritus liberalem gratiam et largitatem insinuans. Talis enim est Spiritus, ut in quamcunque animam introierit, et in qua resederit, faciat illam scaturire quovis fonte uberius. Et discet quis quomodo fluant flumina ex ventre credentis secundum Scripturam, si quidem Petri linguam, et Pauli impetum, et Stephani sapientiam consideravit, quos dicentes nihil effugit, sed omnes sequuntur 642 tanquam a fluminibus quibusdam impetu ruentibus rapti.

VERS. 39. «Hoc autem dixit de Spiritu quem accepturi erant credentes in ipsum. Nondum enim erat Spiritus sanctus, quia Jesum nondum erat glorificatus. » Interpretans evangelista quæ sint flumina aquæ vivæ, dicit: «Hoc autem dixit de Spiritu, quem accepturi erant credentes.» Nondum enim erat, inquit. Spiritus sanctus. » Sed hoc loco quæsiverit quispiam: Quomodo inquit evangelista quod Spiritus sanctus nondum erat, datus, videlicet? Annon et prophetæ Spiritu locuti sunt? Et apostoli quoque quomodo sanitates perfecerunt? Dicimus igitur quod prophetæ absque controversia Spiritu locuti sunt, sed donum hoc contractum erat, et a terra secesserat: atque ideo quamvis in temporibus prophetarum operabatur, tunc tamen propter populi indignitatem, quando, inquam, Christus in carne ambulabat, non familiaris erat prophetia, neque illorum sancta et templum respiciebat gratia. Quia igitur tunc quidem non erat operatio Spiritus,

[64] Exod. XXXV, 2. [65] Psal XXXIX, 9.

sed erat danda : propter hoc, inquit, quia « Nondum datus erat Spiritus sanctus, » hoc est, non versabatur in Judæis, nec apparebat per operationes. Apostoli autem non Spiritu. sed in potestate Domini miracula faciebant. Audi enim Evangelium quid dicat, quia Missurus illos dedit eis potestatem, sed non Spiritum sanctum : atque quæcunque faciebant miracula, non Spiritu, sed potestate et nomine Domini faciebant [66]. Nam cum resurrexisset e sepulcro, tunc dixit eis : « Accipite Spiritum sanctum [67]. » Et in Pentecoste venit super eos Spiritus sanctus [68]. Et aliter : Erat et in prophetis Spiritus virtus, et in apostolis ante crucem : sed non sic ut post assumptionem, largus scilicet ac copiosus, ita ut fluminibus comparari debuerit. Atque ita merito evangelista dixit quod nondum fuerit datus Spiritus sanctus, hoc est nondum ita largiter effusus sicut postea : quia et ante crucem erat datus quidem, sed non tam largus. Nondum enim Jesus glorificatus erat, gloriam hoc loco crucem nominante evangelista. Per crucem enim dejecit tyrannum, et regnavit. Nondum igitur cruce firmata, neque peccato abolito, neque natura nostra in Christo victrice mundi, et conciliata Deo, merito non datum fuisse largum Spiritus donum dicitur. Oportebat enim nos prius fieri amicos Dei, id quod per crucem consummatum est. Insuper sic accipiendum donum Dei sicut et mundanum. Primum aliquis fit amicus regis, deinde accipit dona. Gratia Deo, qui tantum nobis largitus est beneficium, quantum neque prophetis. Nam prophetæ gratiam quidem habebant Spiritus, sed aliis non exhibebant. 613 Apostoli vero innumeros impleverunt.

VERS. 40-43. «Multi ergo de turba cum audissent hunc sermonem, dicebant : Hic est vere propheta, Alii dicebant : Hic est Christus. Quidam autem dicebant : Num a Galilæa veniet Christus ? Nonne Scriptura dicit quod ex semine David, et de Betheem castello, ubi erat David, veniet Christus ? Dissensio itaque orta est in turba propter eum. » Verborum libertate placati quidam de turba, non ex principibus (nam principes semper propter invidiam reluctabantur) confitentur quod hic sit propheta ille qui exspectabatur. Alii autem qui erant ex imperita et incircumspecta turba, didebant, Christus est, non intelligentes quod idem esset et non alius et alius Christus et propheta ille. Ingratiores autem : Non, inquiunt. ex Galilæa Christus veniet, sed ex Bethleem. et ex semine David. Hoc autem dicebant maligna mente, et non sicut Nathanael legis peritus et accuratus inquit, « Quid e Nazareth (a) boni potest esse [69] ? » Ideo et Dominus laudat eum sicut non dolosum, sed magis ob legis studium hoc dicentem. Hi autem dolose hoc dicunt,

A ὅτι « Οὐδέπω ἦν Πνεῦμα ἅγιον, » τουτέστιν, ἐμπολιτευόμενον τοῖς Ἰουδαίοις, καὶ ἐπιφαινόμενον διὰ τῶν ἐνεργειῶν. Οἱ δέ γε ἀπόστολοι, οὐκ ἐν Πνεύματι, ἀλλ' ἐν τῇ τοῦ Κυρίου ἐξουσίᾳ τὰ θαύματα ἐτέλουν. Ἄκουε γὰρ καὶ τοῦ Εὐαγγελίου, τί φησιν, ὅτι « Μέλλων αὐτοὺς πέμπειν, ἔδωκεν αὐτοῖς ἐξουσίαν, » ἀλλ' οὐ Πνεῦμα ἅγιον. Ὥστε ὅσα ἐποίουν θαυμάσια, οὐ Πνεύματι, ἀλλ' ἐξουσίᾳ καὶ ὀνόματι Κυρίου ἐποίουν. Ὅτε μέντοι ἐξανέστη τοῦ τάφου, τότε εἶπεν αὐτοῖς· « Λάβετε Πνεῦμα ἅγιον· » καὶ ἐν τῇ Πεντηκοστῇ ἦλθεν ἐπ' αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον. Ἄλλως τε, εἰ καὶ ἐν τοῖς προφήταις ἦν ἡ τοῦ Πνεύματος δύναμις, καὶ ἐν τοῖς ἀποστόλοις πρὸ τοῦ σταυροῦ, ἀλλ' οὐχ οὕτως, ὡς μετὰ τὴν ἀνάληψιν, δαψιλὴς δηλαδὴ καὶ ἄφθονος, ὡς καὶ ποταμοῖς παραβάλλεσθαι. Ὥστε εἰκότως ὁ εὐαγγελιστὴς εἶπεν, B ὅτι « Οὔπω ἦν Πνεῦμα ἅγιον, » τουτέστιν, οὕτως ἐκχυθὲν δαψιλῶς ὡς ὕστερον· ἐπεὶ καὶ πρὸ τοῦ σταυροῦ ἦν μὲν, ἀλλ' οὐχ οὕτω δαψιλῶς. « Οὐδέπω γὰρ Ἰησοῦς ἐδοξάσθη, » δόξαν ἐνταῦθα τὸν σταυρὸν ὀνομάζοντος τοῦ εὐαγγελιστοῦ. Διὰ γὰρ τοῦ σταυροῦ κατέβαλε τὸν τύραννον, καὶ ἐβασίλευσεν. Οὔπω οὖν τοῦ σταυροῦ παγέντος, οὐδὲ τῆς ἁμαρτίας καταργηθείσης, οὐδὲ τῆς φύσεως ἡμῶν ἐν Χριστῷ νικησάσης τὸν κόσμον, καὶ καταλλαγείσης τῷ Θεῷ, εἰκότως οὐκ ἐδόθη ἡ δαψιλὴς τοῦ Πνεύματος χάρις. Ἔδει γὰρ πρότερον ἡμᾶς γενέσθαι τοῦ Θεοῦ φίλους, ὃ διὰ τοῦ σταυροῦ ἐτελέσθη, εἶθ' οὕτως λαβεῖν τὴν δωρεὰν τοῦ Θεοῦ· ὥσπερ καὶ ἐν τοῖς κοσμικοῖς, πρότερόν τις γίνεται τοῦ βασιλέως φίλος, εἶτα λαμβάνει C τὰς δωρεάς. Χάρις οὖν τῷ Θεῷ, τῷ τοσαύτην ἡμῖν ἐπιδαψιλευσαμένῳ τὴν χάριν, ὅσην οὐδὲ τοῖς προφήταις. Οἱ γὰρ προφῆται χάριν μὲν εἶχον Πνεύματος, ἄλλοις δὲ οὐ παρεῖχον· οἱ δὲ ἀπόστολοι μυριάδας ἐνέπλησαν.

« Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον, ἔλεγον· Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης. Ἄλλοι ἔλεγον· Οὗτός ἐστιν ὁ Χριστός. Ἄλλοι ἔλεγον· Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται ; οὐχὶ ἡ Γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος Δαυΐδ, καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαυΐδ, ὁ Χριστὸς ἔρχεται ; Σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν. » Τὴν παῤῥησίαν τῶν ῥημάτων καταδυσωπηθέντες τινὲς ἐκ τοῦ ὄχλου, οὐκ ἐκ τῶν ἀρχόντων (οἱ γὰρ D ἄρχοντες ἀεὶ διὰ βασκανίαν ἀντέπιπτον), ὁμολογοῦσιν, ὅτι « Οὗτός ἐστιν ὁ προφήτης, » ὁ προσδοκώμενος. Ἄλλοι δὲ, οἱ ἐκ ὄχλος ὄντες ἀμαθὴς καὶ ἀπερίσκεπτος, ἔλεγον, ὅτι « Ὁ Χριστός ἐστιν. » οὐ συνιέντες, ὅτι αὐτός ἐστι, καὶ οὐκ ἄλλος καὶ ἄλλος ὅ τε Χριστὸς καὶ ὁ προφήτης. Οἱ δὲ ἀγνωμονέστεροι, Μὴ γὰρ, φασίν, ὁ Χριστὸς ἐκ τῆς Γαλιλαίας ἔρχεται ; ἀλλ' ἐκ Βηθλεὲμ καὶ ἐκ σπέρματος Δαυΐδ. Τοῦτο δὲ ἔλεγον κακούργῳ γνώμῃ, καὶ οὐ κατὰ τὸν Ναθαναήλ. Ὁ μὲν γὰρ, ὡς νομομαθὴς καὶ ἀκριβὴς, ἔλεγεν, ὅτι « Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι ; » Διὸ καὶ ὁ Κύριος ἐπαινεῖ αὐτὸν, ὡς οὐ κακούργως, ἀλλὰ κατὰ νομικὴν

[66] Matth. x, 40 ; Luc. x, 19. [67] Joan. xx, 32. [68] Act. I, 2, seqq. [69] Joan. I, 46.

(a) In edit. Lut. desunt, *peritus et accuratus inquit*, *Quid e Nazareth*.

ἀκρίβειαν τοῦτο λέγοντα. Οὗτοι δὲ δολερῶς τοῦτό φασιν, ὅτι οὐκ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται. Ἐοίκασι γὰρ γινώσκειν μὲν, ὅτι ἐκ Βηθλεὲμ ἐστιν ὁ Ἰησοῦς, εἰ καὶ ἐν τῇ Γαλιλαίᾳ ἀνετράφη ἐκ βασκανίας δὲ μὴ θέλειν ὁμολογεῖν τὴν ἐκ Βηθλεὲμ γέννησιν, ἀλλὰ Γαλιλαῖον αὐτὸν προσονομάζειν. Ἔστω δὲ, ὅτι ἠγνόουν αὐτὸν ἐκ Βηθλεὲμ εἶναι· τὸ, « ἐκ σπέρματος Δαυῒδ, » πῶς ἀμφέβαλλον; Ἢ γὰρ οὐ προδήλως ἐκ ἐκ Δαυῒδ ἡ Μαρία εἷλκε τὸ γένος; Ἐκ τούτου οὖν δῆλον, ὅτι κακούργως ἔλεγον ταῦτα. « Σχίσμα δὲ ἐγένετο ἐν τῷ ὄχλῳ, » οὐκ ἐν τοῖς ἄρχουσιν. Οἱ γὰρ ἄρχοντες, μιᾶς γνώμης ἦσαν, τοῦ μὴ δέχεσθαι αὐτὸν ὡς Χριστόν.

« Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτὸν, ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας. Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους· καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διὰ τί οὐκ ἠγάγετε αὐτόν; Ἀπεκρίθησαν οἱ ὑπηρέται· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. » Οἱ μὲν οὖν μετριώτεροι ἐκ κακίας, ἐν λόγοις μόνοις ἠναντιοῦντο τῇ δόξῃ τοῦ Χριστοῦ· οἱ δὲ ἀναισχυντότεροι, καὶ χεῖρας ἤθελον ἐπάγειν· ἀλλ' ὅμως ἀοράτως πεπέδηντο, τῆς θείας αὐτοὺς κατεχούσης δυνάμεως· καὶ οὐδὲ ὑπὸ τούτου τοῦ θαύματος κατενύσσοντο. Ὄντως ὁ Δαυῒδ περὶ τούτων εἶπε τό· « Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν. » Οἱ δὲ ὑπηρέται οἱ σταλέντες, ὥστε ἀγαγεῖν αὐτὸν, ἴδωμεν τί ἀποκρίνονται τοῖς Φαρισαίοις, ὡς λίαν εὐγνώμονες. Οἱ μὲν γὰρ Φαρισαῖοι καὶ σοφώτεροι δοκοῦντες εἶναι, καὶ Γραφὰς ἀναγινώσκοντες, καὶ θαύματα ὁρῶντες, λυττῶσι κατὰ τοῦ Κυρίου, καὶ ἐρωτῶσι ληστρικῶς· « Διὰ τί οὐκ ἠγάγετε αὐτόν; » Οἱ δὲ καὶ χωρὶς σημείων ἀπὸ διδασκαλίας μόνης ἐπείσθησαν· οὕτως ἦσαν εὐφυεῖς πρὸς τὸ ἀγαθόν. Ὅτι δὲ οὐκ ἀπὸ σημείων, ἀλλ' ἀπὸ τῆς διδασκαλίας ἑάλωσαν, ὃ μεῖζόν ἐστι, δῆλον ἐντεῦθεν. Οὐ γὰρ εἶπον, ὅτι Οὐδέποτε οὕτως ἐθαυματούργησεν ὁ ἄνθρωπος, ἀλλ', « Οὕτως ἐλάλησεν· » οὕτως ἦσαν συγκεκροτημένοι καὶ ὀξεῖς εἰς τὸ παραδέξασθαι λόγον σωτηρίας. Χρὴ δὲ οὐ μόνον τὴν σύνεσιν αὐτῶν θαυμάσαι, ἀλλὰ καὶ τὴν παῤῥησίαν. Οὐ γὰρ ὑπέπτηξαν τὸν θυμὸν τῶν Φαρισαίων, οὐδὲ ὡς ὑπηρέται ὑπεστάλησαν, καὶ τὰ ἀρεστὰ τοῖς ἄρχουσιν αὐτῶν εἶπον, ἀλλὰ μαρτυροῦσι τῇ ἀληθείᾳ. Οὓς δεῖ μιμεῖσθαι πάντας τοὺς τοῖς ἄρχουσι παρεπομένους, καὶ μὴ ὑπακούειν αὐτοῖς ἐφ' οἷς ἂν ἀδίκως προστάξειεν· ὥσπερ καὶ ἐπὶ τοῦ Σαοὺλ γέγονε. Καὶ γὰρ τούτου προστάξαντος τοὺς ἱερεῖς τοῦ Θεοῦ παρανόμως ἀναιρεθῆναι, οἱ παρεστῶτες αὐτῷ ποιῆσαι οὐκ ἐπείσθησαν.

« Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· Μὴ καὶ ὑμεῖς πεπλάνησθε; Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, ἢ ἐκ τῶν Φαρισαίων; Ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί εἰσιν. Λέγει Νικόδημος πρὸς αὐτοὺς, ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτὸν, εἷς ὢν ἐξ αὐτῶν· Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, καὶ γνῷ τί ποιεῖ; » Τίνος ἕνεκεν τοῖς ὑπηρέταις οὐκ ὀργίλως, ἀλλὰ πράως προσφέρονται οἱ Φαρισαῖοι, ἠπίως;

A quia non ex Galilæa Christus venit. Videntur enim scire quidem quod ex Bethleem sit Jesus, etiam si in Galilæa enutritus fuerit, præ invidia tamen nolebant fateri nativitatem ex Bethleem, sed Galilæum nominabant. Esto autem quod ignorarint eum ex Bethleem esse, at ex semine David esse quomodo dubitarunt? Annon manifeste ex David Maria traxit genus? Ex hoc igitur manifestum quod dolose hæc dicebant. Dissensio autem facta est in turba, non in principibus. Nam principes unius sententiæ fuerunt, ne susciperetur ipse ut Christus.

VERS. 44-46. « Quidam autem ex ipsis volebant apprehendere eum, sed nemo conjecit in eum manus. B Venerunt ergo ministri ad pontifices et Pharisæos: et dixerunt eis illi: Quare non adduxistis illum? Responderunt ministri, Nunquam sic locutus est homo, sicut hic homo, » Qui non tantæ malitiæ erant, solis sermonibus gloriæ Christi erant adversarii: at qui impudentiores, etiam manus in eum injicere volebant: ligabantur tamen invisibiliter, cohibente illos divina virtute: et neque hoc miraculo compuncti erant. Profecto David de his dixit: « Discissi sunt, et nunc compuncti [70]. » Ministri autem missi ut ipsum adducerent, videamus quid responderint Pharisæis, quoniam valde sapientes. Nam Pharisæi qui et sapientiores videbantur esse et Scripturas legentes, et miracula videntes, sæviebant contra Jesum, et interrogabant latronum more: « Quare non adduxistis illum? » At illi etiam absC que signis a sola doctrina persuasi fuerunt: ita ad bonum erant idonei. Quod autem non a signis, sed sermonibus **614** capti fuerint, quod majus est, manifestum est inde. Non enim dixerunt: Nunquam tale miraculum fecit homo; sed, « Sic locutus: » ita composili et alacres erant ad suscipiendum verbum salutare. Oportet autem non solum sapientiam illorum admirari, sed et libertatem. Neque enim curaverunt iram Pharisæorum, neque quia ut servi missi fuerant, quæ placita erant principibus, dixerunt, sed testabantur veritati. Hos omnes principum ministros imitari oportebat, et non obedire in his quæ Deo sunt adversa, sicut et Sauli non obtemperatum est, cum astantibus imperasset ut contra legem sacerdotes Dei interimeD rentur [71].

VERS. 47-51. « Responderunt ergo eis Pharisæi: Num et vos seducti estis? Num quis ex principibus credidit in eum, aut ex Pharisæis? Sed turba hæc quæ non novit legem, exsecrabiles sunt. Dicit Nicodemus ad eos, is qui nocte venerat ad eum, qui unus erat de numero eorum: Num lex nostra judicat hominem, nisi prius audierit ab ipso, et cognoverit quid faciat? » Quam ob causam ministris non iracunde, sed mansuete loquuntur Pharisæi, placide

[70] Psal xxxiv, 16. [71] I Reg. xxii, 16.

sic dicentes : « Num et vos seducti estis? » Quia timebant ne illi prorsum avellerentur, et sequerentur Christum : ideo mitius et adulantius eos alloquuntur: «Num et vos» qui aliis estis sapientiores et nobis legisperitis semper adhæretis, «seducti estis?» Tentant autem et illis persuadere stulto valde argumento. Dicunt enim : « Num quis principum credidit in illum?» Tametsi cujus hoc crimen? Christi, an eorum qui non crediderunt? Omnes enim illi maledicti, qui non crediderunt. Maledictam autem turbam aiunt eo quod credidit, ipsi innumeris maledictis digni, utpote increduli et aliis incredulitatis auctores. Cujus autem gratia evangelista notavit de Nicodemo, quod nocte venerat ad Jesum et quod ex ipsis erat? Ut ostendat eos mendaces. Quia enim dixerant quod nullus principum credidit in illum, ostendit quod in hoc mentiantur. Ecce enim Nicodemus cum princeps esset, et unus ex eis, credidit in Christum. Quomodo Nicodemus loquitur cum eis? « Num lex nostra, inquit, judicat hominem, nisi prius audiat? Ostendit igitur hinc quod neque legem cognoscebant neque faciebant quæ legis erant, tametsi de lege multum gloriarentur. Nam lex quidem nullum jubet incondemnatum occidi, hi autem ad cædem ejus qui non auditur, ruunt : unde manifeste legis sunt prævaricatores. Dicendo igitur, «Et cognoverit quid faciat, » ostendit quod non perfunctorie, sed perfecte ac diligenter audire oporteat, ut cognoscatur quid faciendum, et non incognite ita condemnetur.

οὕτω λέγοντες · « Μὴ καὶ ὑμεῖς πεπλάνησθε ; » Διότι ἐδεδοίκεσαν, μὴ καὶ αὐτοὶ τέλεον ἀποσχισθῶσι, καὶ πρόσθωνται τῷ Χριστῷ. Διὸ ἡμερώτερον αὐτοῖς καὶ κολακευτικώτερόν φασιν· « Μὴ καὶ ὑμεῖς, » οἱ [illegible] τῶν ἄλλων σοφώτεροι, καὶ παραμένοντες ἡμῖν τοῖς νομομαθέσι, « πεπλάνησθε ; » Πειρῶνται δὲ κἀκείνους πεῖσαι ἀπὸ τεκμηρίου σφόδρα ἀνοήτως· » Μὴ γάρ, φασί, τίς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν ; » Καίτοι τίνος τὸ ἔγκλημα ; Τοῦ Χριστοῦ, ἢ τῶν μὴ πιστευσάντων ; Πάντως γὰρ ἐκεῖνοι κατακριτέοι, οἱ μὴ πιστεύσαντες. Ἐπικατάρατον δὲ τὸν ὄχλον φασί, διότι ἐπίστευσεν, αὐτοὶ μυρίων ὄντες κατάρων ἄξιοι, ὡς ἄπιστοι, καὶ τοῖς ἄλλοις ἀπιστίας πρόξενοι. Τίνος δὲ ἕνεκεν ἐπισημαίνεται ὁ εὐαγγελιστὴς περὶ τοῦ Νικοδήμου, ὅτι ἦλθε νυκτὸς πρὸς τὸν Ἰησοῦν, καὶ ὅτι ἐξ αὐτῶν ἦν ; Ἵνα δείξῃ αὐτοὺς ψευδομένους. Ἐπεὶ γὰρ εἶπον, « Μή τις τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν ; » δείκνυσιν ὅτι καὶ ἐν τούτῳ ψεύδονται. Ἰδοὺ γὰρ ὁ Νικόδημος, ἄρχων ὤν, καὶ εἷς ἐξ αὐτῶν, ἐπίστευσεν εἰς Χριστόν. Πῶς οὖν αὐτοῖς διαλέγεται ὁ Νικόδημος ; « Μὴ ὁ νόμος ἡμῶν, φησί, κατακρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ πρότερον ἀκούσῃ ; » Δείκνυσιν οὖν ἐντεῦθεν, ὅτι οὐδὲ τὸν νόμον ἀνεγίνωσκον, οὐδὲ τὰ τοῦ νόμου ἐποίουν, κἂν ἐπὶ τοῖς νομικοῖς μέγα ἐφρόνουν. Εἰ γὰρ ὁ νόμος μὲν κελεύει μηδένα ἀποκτιννύναι ἀκρίτως, οὗτοι δὲ πρὶν ἀκοῦσαι ἐπὶ τοῦτο ὥρμησαν, παραβάται τοῦ νόμου εἰσὶ προφανεῖς. Εἰπὼν δὲ τό, « Καὶ γνῷ τί ποιεῖ, » ἐνέφηνεν ὅτι οὐ ψιλῆς ἀκροάσεως, ἀλλὰ καὶ λίαν ἀκριβοῦς δεῖ, ὥστε γνῶναι τί χρὴ ποιῆσαι, καὶ μὴ ἀγνώστως οὕτω καταδικάσαι.

—

# ORDO RERUM

## QUÆ IN HOC TOMO CONTINENTUR.

### *THEOPHYLACTUS BULGARIÆ ARCHIEPISCOPUS.*

**FINIS TOMI CENTESIMI VIGESIMI TERTII.**



Mercurii curte. — ex Typis CHASSEL.